14 Pari modo de duabus operationibus in Christo cogitandum et ratiocinandum est. Nam rerum mirabilium et prodigiosarum effectiones, maxime illas, quæ absque attactu sanctissimæ carnis Christi factæ (cujusmodi erant, quando ad preces Chananææ mulieris filiæ ad Christum non profectæ[6], et puero centurionis[7] sanitatem contulit; quando velum templi scissum est; quando sol tenebris obscuratus; quando petræ ruptæ, sepulcra aperta, mortuique excitati[8]; sacratissimo ejus corpore jam vita orbo in cruce pendente, nihilque horum attingente) ascribere oportet ipsi divini Verbi divinæ operationi, quæ sola hæc opera patravit.

Ἀνθρωπίνην δὲ πάλιν ἐν Χριστῷ ἐνέργειαν καθαρὰν, καὶ ἁγίαν, καὶ ἄμωμον, καὶ θεόδοτον, καὶ θεόκτιστον, καὶ ζωτικὴν λέγομεν, τὴν τῆς ἁγίας αὐτοῦ ψυχῆς ζωοποιὸν ἐνέργειαν, δι' ἧς ἐζωποιεῖτο τὸ πανάγιον αὐτοῦ σῶμα, ἧς χωρισθείσης κατὰ τὸν καιρὸν τοῦ πάθους, καὶ ἐξελθούσης ἐκ τοῦ σώματος, εὐθέως νεκρὸν τὸ σῶμα γέγονε, τῆς θείας ἐνεργείας μὴ χωρισθείσης ἐξ αὐτοῦ. Ὅτι δὲ διὰ τῆς ἐνεργείας τῆς ζωτικῆς, τῆς νοερᾶς ψυχῆς ζωοποιεῖται τὸ σῶμα, μαρτυρεῖ ἡ Γραφὴ δι' αὐτοῦ θείου ἐμφυσήματος δημιουργήσασα τῷ χοϊκῷ ἡμῶν σώματι ψυχὴν ζωτικήν. Περὶ ἧς φησιν ὁ Σολομὼν πρός τινας παρανόμους καὶ εἰδωλολάτρας· « Ηηλοῦ ἀτιμότερος ὁ βίος αὐτῶν, ὅτι ἠγνόησαν τὸν πλάσαντα αὐτὸν, καὶ τὸν ἐμπνεύσαντα αὐτῷ ψυχὴν ἐνεργοῦσαν, καὶ ἐμφυσήσαντα αὐτῷ πνεῦμα ζωτικόν. » Ἰδοὺ σαφῶς δι' ἐνεργείας τῆς ψυχῆς μανθάνομεν ζωοποιεῖσθαι τὸ σῶμα, καθὼς ὁ Κύριος τοὺς περὶ σαρκὸς, καὶ ψυχῆς εἰσάγων λόγους φησὶν, « ὅτι Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. » Εἰ δὲ λέγει ὁ δι' ἐναντίας, ὅτι ὁ Θεὸς Λόγος ἦν ὁ ζωοποιῶν τὸ σῶμα, ἐξ ἀνάγκης εὑρίσκεται λέγων, ὅτι κατὰ στέρησιν, καὶ χωρισμὸν αὐτοῦ τοῦ Θεοῦ Λόγου τέθνηκεν αὐτοῦ τὸ σῶμα. Καὶ εἰ ταῦτα οὕτως, τίς ἦν χρεία, ὅλως λαβεῖν, ἢ ἔχειν αὐτὸν ζωτικὴν ψυχὴν λογικήν;

Rursus humanam in Christo operationem appellamus puram illam, sanctam, inculpatam, a Deo datam, et creatam vitalemque, et vivificam actionem, a sacrosancta Christi anima manantem, qua tempore passionis separata, et ex corpore educta, corpus derepente exanime mansit, divina operatione minime ab illo sejuncta. Cæterum quod corpus efficiatur vivum per ipsam operationem vitalis, et intellectualis animæ, testatur Scriptura, cum ait, terreno corpori nostro ex ipso Dei spiraculo animam viventem procreatam esse[9]. De qua loquitur Salomon ad quosdam improbos et idololatras: « Luto vilior vita ejus; quoniam ignoravit, qui se finxit, et qui inspiravit ei animam, quæ operatur, et qui insufflavit ei animam vitalem[10]. » En perspicue discimus per animæ operationem vivificari corpus; sicut et Dominus docet loquens de carne et sanguine: « Spiritus est, qui vivificat; caro non prodest quidquam[11]. » Quod si adversarius objiciat, verbum divinum vivificasse corpus, necessario concedere debebit corpus Christi mortuum esse sejunctione et separatione Verbi divini a corpore. Quod si ita est, quid ergo opus erat, ut animam vitalem et rationalem assumeret aut haberet?

Τινὲς δέ φασι, ὅτι καὶ πᾶσα αὔξησις, ἡ ἔκκρισις, ἡ ἀφαίρεσις, ἡ ἔνδεια τῆς ἁγίας σαρκὸς τοῦ Χριστοῦ μὴ θεωρουμένη φυσικῶς καὶ ἐπὶ τῆς θεότητος, ἐνέργεια ἀνθρωπίνη λέγεται Χριστοῦ· θεανδρικὴν δὲ ἐνέργειαν νοοῦμεν τὴν κοινοπρεπῶς πως ὑπὸ Χριστοῦ πραττομένην, καὶ θεωρουμένην, οἷα ἦν διὰ πτύσματος τοῦ τυφλοῦ ἀνάβλεψις, καὶ ἡ διὰ τῆς ἁφῆς τῆς ἁγίας αὐτοῦ χειρὸς τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου ἀνάστασις· καὶ ἡ τῶν ἄρτων εὐλογία, καὶ ἡ διὰ τοῦ δακτύλου αὐτοῦ τοῦ κωφοῦ ἴασις, καὶ διὰ τῆς οἰκείας φωνῆς τοῦ Λαζάρου ἔγερσις, καὶ τῆς πλευρᾶς αἵματος ἔκκρισις ἐκ νεκροῦ σώματος, καὶ ὁ ἐπὶ τῆς θαλάσσης περίπατος, καὶ ἡ τοῦ θεοστόμου αὐτοῦ

Quidam dicunt omnem accretionem, aut secretionem, aut ablationem, aut indigentiam sanctissimæ carnis Christi, quæ naturaliter in ipsa divinitate, nec re, nec consideratione insit, operationem humanam Christi appellari posse: theandricam vero, hoc est, Deo hominique consonam, operationem illam nominamus; quæ communioni naturæ divinæ et humanæ convenienter a Christo parata est; qualis erat cæci per lutum curatio[12], et excitatio filiæ archisynagogi attactu sacrosanctæ manus Christi peracta[13]: benedictio panum[14]; surdi sanatio interventu digiti[15]; resuscitatio Lazari ministerio vocis[16]; sanguinis fluxus ex mortuo cor-

[6] Matth. xv, 22 seqq. [7] Matth. viii, 8 seqq. [8] Matth. xxvii, 52. [9] Gen. ii, 7. [10] Sap. xv, 11. [11] Joan. vi, 64. [12] Joan. ix, 1 seqq. [13] Marc. v, 22 seqq.; Luc. viii, 41. [14] Matth. xiv, 14 seqq. [15] Marc. vii, 32. [16] Joan. xi, 1 seqq.

pore, latere perculso [17]; ambulatio supra mare [18], et communicatio sancti Spiritus per insufflationem in discipulos [19]. Hæretici oculis in hanc, Christo, ut Deus et homo est, 15 communem competentemque operationem conversi; abnuunt in illo divinam quamdam confiteri; similiter et vitalem humanam operationem.

A ἐμφυσήματος μετάδοσις τοῦ Πνεύματος. Οἱ γοῦν αἱρετικοὶ εἰς ταύτην τὴν κοινοπρεπῆ Χριστοῦ θεανδρικὴν ἀφορῶντες ἐνέργειαν, ἀποστρέφονται τοῦ ὁμολογεῖν ἐν αὐτῷ θείαν τινὰ ὁμοίως καὶ ζωτικὴν ἀνθρωπίνην ἐνέργειαν.

Cæterum hoc pro certo exploratoque reputandum est; hæreticos et Nestorium, ideo in Christo humanam voluntatem et operationem non constituere; quod videant voluntatem et operationem suæ propriæ animæ et corporis indesinenter, et absque ulla cessatione impugnari et inquinari ab inflammatione et actione diaboli. At monophysitæ ταυτοβουλίαν et ταυτοπραξίαν, quasi dicas *identitatem volendi et agendi*, ex cerebro suo commenti sunt; quemadmodum in sequentibus, et alibi fuse demonstravimus.

Δεῖ μέντοι ἀκριβῶς, καὶ ἀναμφιβόλως ἐπίστασθαι ἡμᾶς, ὅτιπερ οἱ ἐξ ἐναντίας, ἐκ τοῦ θεωρεῖν τὸ θέλημα αὐτῶν, καὶ τὴν ἐνέργειαν τῆς οἰκείας ψυχῆς, καὶ τοῦ σώματος, διηνεκῶς, καὶ ἀπαύστως πολεμουμένην, καὶ βεβορβορωμένην ὑπὸ τῆς πυρώσεως, καὶ ἐνεργείας τοῦ διαβόλου· τούτου χάριν καὶ αὐτοὶ, καὶ Νεστόριος παρητήσαντο εἰπεῖν ἐν Χριστῷ ἀνθρώπινον θέλημα, ἢ ἐνέργειαν. Ἀλλὰ Μονοφυσῖται B ταυτοβουλίαν, καὶ ταυτοπραξίαν ἐφαντάσθησαν, καθὼς περὶ τούτου διὰ πλάτους, καὶ ἐν τοῖς ἑξῆς, καὶ ἐν ἑτέροις εἰρήκαμεν.

Scholion. Noverit studiosus lector; cum a dæmone obsessos nominare soleamus *energumenos*, hæretici, quando audiunt energias (hoc est, operationes) in Christo, statim arbitrantur has esse energias, quas patiuntur, quos dæmon occupat. Quocirca indignantur, et vocabulum hoc aversantur non aliter quam *energumeni*, hoc est, a dæmonibus exagitati.

Σχόλιον. Μὴ λανθανέτω τοὺς φιλοπόνους, ὅτιπερ ἐπειδὴ τοὺς δαιμονιζομένους, *ἐνεργουμένους* εἰώθαμεν ὀνομάζειν· τούτου χάριν οἱ αἱρετικοὶ, ἐπειδὰν ἀκούσωσιν ἐνεργείας ἐν τῷ Χριστῷ, εὐθέως τὰς τῶν πασχόντων ἐνεργείας νομίζοντες ταύτας εἶναι, ἀγανακτοῦσι, καὶ ἀποστρέφονται τὴν τοιαύτην φωνὴν ὡς ἀληθῶς ἐνεργούμενοι ὄντες, ἤγουν δαιμονιζόμενοι.

Divina gratia opitulante. Protheoria seu consideratio ad definitiones explicatas in libro cui Ὁδηγὸς *inscribitur.*

Σὺν Θεῷ. Προθεωρία τῆς ὑποθέσεως τῶν ὅρων τῆς βίβλου, ἧς ἡ ἐπωνυμία Λέγεται Ὁδηγός.

Universa generis nostri, hoc est, humana natura C et compositio, animam rationalem et intellectualem, et concretionem ex elementis, quam carnem dicimus; a supremo rerum Conditore sortita est; at vita ad virtutis normam conformata, ex pietate, fide, divinorumque mandatorum observantia, pulchritudinem suam dicit. Neque enim corpus anima destitutum vitam per se obtinet: neque mandatorum observatio, si cum vera et orthodoxa doctrina non jungatur, quidquam emolumenti parit. Nam quod anima corpori, hoc præstat spiritui orthodoxia, et recta de rebus divinis existimatio. Ante omnia igitur in id incumbamus, eoque omnem industriam conferamus, ut puram et ab omni labe integram de cœlesti doctrina sententiam custodiamus, ut fundamento puro et immoto jacto angularis lapis Christus a nobis honoretur, nosque omnes culpæ exsortes in hoc spirituale ædificium apposite coagmentet ac componat; ut ab omnibus hæreticæ imposituræ impressionibus et incursibus illæsi persistamus.

Τῆς καθ' ἡμᾶς ἅπαντας βροτοὺς οὐσίας ἡ σύστασις ἐκ ψυχῆς λογικῆς τε μὴν καὶ νοερᾶς καὶ τῆς τῶν στοιχείων συνδρομῆς, ὅ ἐστι σὰρξ, παρὰ τοῦ πανσόφως δεδημιουργηκότος ἔλαχε· τῆς δὲ κατ' ἀρετὴν ἐντελοῦς πολιτείας, ἐξ εὐσεβοῦς τε πίστεως, καὶ τῆς τῶν θείων ἐντολῶν τηρήσεως, τὸ κάλλος κρατύνεται. Οὔτε γὰρ σῶμα ψυχῆς ἔρημον ζωὴν καθ' ἑαυτὸ κέκτηται· Οὔτε μὴν ἐντολῶν τήρησις ὀρθοδοξίας ἀπηλλαγμένη, παντελῶς ὀνήσειεν τὸν ἄνθρωπον. Ὅπερ γὰρ ψυχὴ σώματι, τοῦτο ὀρθοδοξία πνεύματι. Οὐκοῦν σκοπήσωμεν, εἰ δοκεῖ, πρὸ πάντων, καὶ μάθωμεν, καὶ φυλάξωμεν, τὴν περὶ Θεοῦ, καὶ τῶν θείων ἀπαθῆ ἔννοιαν, ὅπως τοῦ θεμελίου καθαροῦ τε καὶ ἀκραδάντου προκαταβληθέντος, ὁ ἀκρογωνιαῖος λίθος Χριστὸς, εὐσεβῶς ὑφ' ἡμῶν γεραιρόμενος, D συσφίγξῃ ἡμῶν ἀμώμων εἰς ἅπαν τὸ πᾶν οἰκοδόμημα, βολαῖς ἁπάσαις καὶ προσβολαῖς αἱρετικῆς μαγγανείας γινόμενον ἄπτωτον.

Quia vero stabile et inconcussum fundamentum omnis sapientiæ, quæ a ratione proficiscitur, consuevit esse præceptio et prænotio definitionum proposito argumento inservientium; ideo oportet ut istæ antecedant, tanquam præsentis argumenti 16 certissimæ duces. Paucis enim, et his minime omnium, qui ævo nostro degunt, curæ cordique

Ἐπεὶ δὲ κρηπὶς βεβαία, καὶ ἀσφαλὴς θεμέλιος λογικῆς ἁπάσης σοφίας πέφυκεν ἡ τῶν πραγματικῶν ὅρων προκατάληψίς τε καὶ πρόγνωσις, προηγεῖσθωσαν οὗτοι ὥσπερ τινὲς ἀσφαλεῖς ὁδηγοὶ τῆς παρούσης ὑποθέσεως. Ὀλίγοις γὰρ καὶ μάλιστα τοῖς κατὰ τὴν ἡμετέραν γενεὰν σπουδὴ, καὶ πόνος γέγονεν ἡ τῶν ὅρων παίδευσίς τε καὶ πρόγνωσις·

[17] Joan. XIX, 34. [18] Marc. VI, 47. [19] Joan. XX, 21.

ἀλλ' οὕτω πως, ὥσπερ ἔν τινι νυκτομαχίᾳ, μᾶλλον δὲ τυφλομαχίᾳ οἱ πολλοὶ τῶν αἱρετικῶν, οἷς συνετύχομεν, τὰ περὶ Χριστοῦ δογματίζειν ἐδοκίμαζον. Οἷς, ὡς ἀληθῶς καὶ πλατὺν γέλωτα καταχέομεν, καὶ μάλιστα κατὰ τὴν Ἀλεξάνδρου πόλιν. Τί γὰρ ἂν καὶ ἔσται τούτου καταγελαστότερον; περὶ φύσεως ἐδογμάτιζον, καὶ τί ἐστι φύσεως ὅρος, ὅλως οὐκ ἠπίσταντο. Περὶ ὑποστάσεως ἐφιλονείκουν, καὶ τί ἐστιν ὑπόστασις, οὐκ ἐγίνωσκον, καὶ τὰ λοιπὰ ὁμοίως. Ἡμεῖς γοῦν, τῇ συνεργείᾳ τοῦ Χριστοῦ, ἐκ νεαρᾶς ἡλικίας, ἐκ πατρικῆς παραδόσεως παραλαβόντες μερικῶς τὴν τῶν ὅρων παίδευσιν, μετὰ Θεὸν δι' αὐτῆς τροπουμένους καὶ ἡττωμένους πάντας τοὺς ἀντιδίκους θεασάμενοι, παρακαλοῦμεν πρὸ πάντων τὴν τῶν ὅρων ποιεῖσθαι ἐπιμέλειαν, καὶ μάλιστα τῶν εἰς δόγμα συντεινόντων Χριστοῦ· ὅπως μὴ ἔσεσθε τυφλοὶ βάρβαροι, καὶ ὁ λαλῶν σὺν ὑμῖν βάρβαρος.

Εἰδέναι μέν τοί γε πρὸ πάντων ἐχρῆν, ὡς ἡ παράδοσις τῆς καθολικῆς Ἐκκλησίας οὐ στοιχεῖ οὐδὲ ἔπεται τοῖς Ἕλλήνων φιλοσοφικοῖς εἰς ἅπαν ὅροις. Καὶ μάλιστα ἐν τῷ κατὰ Χριστὸν μυστηρίῳ, καὶ τῷ τριαδικῷ λόγῳ· ἀλλὰ ἰδίῳ τινὶ καὶ εὐαγγελικῷ, καὶ ἀποστολικῷ στοιχεῖ θεοπρεπῶς κανόνι. Ὑπὲρ γὰρ τοὺς φυσικοὺς ὅρους, καὶ νόμους ἐστὶ τὸ τῆς θεότητος μυστήριον. Ὅπερ οἱ αἱρετικοὶ μὴ διακρίναντες ἐπλανήθησαν. Διὰ τοῦτο ἔλεγεν ὁ Παῦλος, ὅτι « Οὐκ ἐν πειθοῖς σοφίας λόγοις τοῦ αἰῶνος τούτου » κηρύττει τὸν Χριστόν· ὅτι *μωρία* ἐστὶ παρὰ Θεῷ ἡ ἐγκύκλιος φιλοσοφία.

Ὅρα γοῦν ὅτι ὁ πρῶτος ὅρος αὐτῆς οὕτω λέγει· « Τὰ κατὰ φύσιν ἑαυτοῖς ἐναντία, πρὸς τὴν ἀλλήλων κοινωνίαν ἀδύνατον συνελθεῖν. » Οἷον, ὡς τὸ πῦρ ἀδύνατον ἀπαθῶς ἑνωθῆναι τῷ χόρτῳ. Καὶ μὴν ὁ πρῶτος ὅρος τῆς σωτηρίας ἡμῶν ἀνατρέπει τὸν πρῶτον ἐν φιλοσοφίᾳ ὅρον, παρθενίαν, καὶ τόκον, καὶ θεῖον πῦρ πρὸς ἐναντίαν φύσιν, σαρκὸς κοινωνίαν, καὶ ἕνωσιν κηρύττων.

Δεύτερος φιλοσοφίας ὅρος· « Ἀπερίγραπτόν ἐστι μοναδικὴ ὑπόστασις τῶν πάντων περιεκτική· » δυάδα γὰρ, καὶ τριάδα, ἀπερίγραπτον ἀδύνατον λέγειν· ἐν γὰρ τῇ περιγραφῇ τῆς μονάδος γνωρίζεται δυάς. Ἡ δὲ ἁγία Ἐκκλησία τρεῖς ὑποστάσεις ἀπεριγράπτους Θεοῦ ὁμολογεῖ. Πάλιν ὁ Πλάτων φησὶν, ὅτι « Πατρότης ἐστὶ προῦπαρξις υἱότητος· » ἡ δὲ Ἐκκλησία συνύπαρκτον καὶ συνάναρχον λέγει τὸν Υἱὸν τῷ Πατρὶ, πρὸ τῶν αἰώνων.

Ταῦτα καὶ τὰ τοιαῦτα καλῶς ὁ Θεόφρων Βασίλειος ἐπιστάμενος φησὶ πρὸς Ἀμφιλόχιον· « Φύσις, καὶ οὐσία ἐν τοῖς ἐκκλησιαστικοῖς δόγμασιν ἓν ἐστιν· » εἰπὼν δὲ ὁ πατὴρ ἐν τοῖς Ἐκκλησιαστικοῖς δόγμασιν ἐσήμανεν, ὅτι ἐν τοῖς Ἑλληνικοῖς οὐκ ἔν τί ἐστιν οὐσία, καὶ φύσις. Διὰ τοῦτο καὶ Κλήμης ὁ πολὺς ἐν σοφίᾳ, καὶ

A fuit, ut definitiones bene cognitas, perspectasque haberent; sed quasi in nocturna, vel potius cæcorum pugna, multi hæreticorum, cum quibus manus conseruimus, de dogmatibus ad Christum pertinentibus, digladiabantur. Quos merito effuse risimus; potissimum illos, qui Alexandriæ vivunt. Quid enim magis ridiculum est? de natura nova dogmata cudebant, et disceptabant, et quæ naturæ definitio esset, penitus ignorabant. De hypostasi contendebant, et quid hypostasis esset, non cognoscebant. Nos igitur, ope Christi, a teneris unguiculis per paternam traditionem, scientia definitionum accurate accepta, et conspicati, post Deum, per illam omnes adversarios fusos fugatosque esse: hortamur ut ante omnia habeatur sedula definitionum cura: maxime illarum, quæ ad defensionem doctrinæ de Christo faciunt; ne sitis barbari percussi, isque, qui vobiscum loquitur, item barbarus.

Principio scire oportet traditionem Ecclesiæ nequaquam in omnibus sectari et insequi Græcorum philosophorum definitiones. Præcipue in disputatione de mysterio Christi et sacrosanctæ Trinitatis: sed suas quasdam ex evangelicis et apostolicis fontibus deductas sequitur regulas. Nam mysterium de divinitate omnes naturales definitiones et leges transcendit. Quod cum hæretici non adverterint, a recta via exciderunt. Propterea dicebat Paulus « se non in persuasibilibus sapientiæ hujus mundi sermonibus [20] » prædicare Christum; eo quod sapientia hujus mundi, et omnis philosophiæ cognitio, sit *stultitia* apud Deum.

Adverte igitur, quid prima philosophiæ definitio sanciat: « Quæ natura sibi mutuo adversantur, impossibile est in mutuam communionem venire. » Exempli gratia: fieri non potest ut ignis feno jungatur sine noxa. Atqui prima salutis nostræ definitio evertit primam philosophiæ definitionem; dum docent virginitatem et partum, divinumque ignem, et naturam carnis in unam communionem et societatem coaluisse.

Altera philosophiæ definitio: « Sola illa et unica hypostasis, quæ omnia continet, incircumscripta est; » fieri enim non potest, ut quis binarium, aut ternarium incircumscriptum dicat; nam in circumscriptione unitatis inest binarius. At vero sancta Ecclesia tres hypostases incircumscriptas in Deo confitetur. Rursus, Plato ait: « Paternitatem prius esse, quam sit ratio filii. » Ecclesia vero docet Filium simul cum Patre ante omnia sæcula exsistere, pariterque initii expertem esse.

17 Hæc et alia hujus generis probe sciens divinus Basilius sic scribit ad Amphilochium. « Natura et essentia in ecclesiasticis dogmatis idem sunt; » significans in Græcorum schola naturam et essentiam distingui. Quamobrem præstantissimus ille sapientia et doctrina Clemens composuit

[20] I Cor. II, 13, 14.

propriis ecclesiasticorum dogmatum definitiones, tanquam genuinus sanctorum Petri, et maxime sapientissimi Pauli discipulus, cum audisset ipsum valde repudiare, et detestari Græcanicam sapientiam.

γνώσει, πεποίηκεν ἰδιάζοντως ὅρους ἐκκλησιαστικῶν δογμάτων, ὡς φοιτητής, καὶ θρέμμα γνήσιον ὑπάρχων τῶν ἁγίων Πέτρου, καὶ Παύλου μάλιστα τοῦ πανσόφου. Καὶ ἀκούσας αὐτοῦ ἀποβαλλομένου, καὶ λίαν μυσαττομένου καὶ καθυβρίζοντος τὴν Ἑλληνικὴν σοφίαν.

Prima quæstio ad hæreticos, qui veniunt contradicturi nobis de incarnatione Christi.

Πρώτη ἐρώτησις παρ' ἡμῶν πρὸς τοὺς αἱρετικοὺς περὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Χριστοῦ ἀντιλέγειν ἐρχομένους πρὸς ἡμᾶς.

Unde, vel ex quonam fonte sacrarum litterarum hausit Ecclesia primum naturæ vocabulum? Et quis energiam, hoc est, operationem introduxit et unde didicit *genus*? Et quis primus voluntatis nomen protulit: et ubi de hypostasi, usia seu essentia quidquam audivit Salomon, Moyses, liber Leviticí, Psalmi, Psalmus? cum autem hæreticus horum omnium probatione ac demonstratione destituatur, certum est illum, hoc primo statim congressu, devictum prostratumque iri.

Πόθεν, ἤτοι ἐκ τίνος, ἐν τῇ θείᾳ Γραφῇ παρέλαβεν ἡ Ἐκκλησία, πρὸ πάντων, φύσιν; Καὶ τίς ὁ εἰπὼν αὐτὴν ἐνέργειαν, καὶ ποῦ ἔμαθεν τὸ *γένος*; Καὶ τίς πρὸ πάντων εἶρηκε, τὸ θέλημα; καὶ ποῦ τὴν ὑπόστασιν, καὶ ποῦ τὴν οὐσίαν ἐν πρώτοις ἀκήκοε Σολομῶν, Μωϋσῆς, Λευϊτικὸν, οἱ Ψαλμοὶ, ὁ Ψαλμός; Ἀπορουῦντος δὲ αὐτοῦ τῶν τοιούτων ἀποδείξεων, πρώτῃ ἥττα αὐτοῦ αὕτη γενήσεται.

CAP. II.

ΚΕΦΑΛ. Β'.

Divina adjuvante gratia, variæ definitiones secundum traditionem et fidem sanctæ et Catholicæ Ecclesiæ, ex Clemente et sanctis Patribus collectæ, quas ante omnes alias disciplinas discere oportet illum, qui divina adjutus gratia verbo pietatis præesse cogitat.

Σὺν Θεῷ. Ὅροι διάφοροι κατὰ παράδοσιν, καὶ πίστιν τῆς ἁγίας καθολικῆς Ἐκκλησίας λεγόμενοι, συλλεγέντες ἀπό τε Κλήμεντος, καὶ ὁσίων Πατέρων· οὓς δεῖ πρὸ παντὸς ἑτέρου μαθήματος ἐκτηθίζειν τὸν τῇ βοηθείᾳ τοῦ Θεοῦ προϊστασθαι τοῦ λόγου τῆς εὐσεβείας βουλόμενον.

Ad accuratiorem vero traditionem, illud quoque scire convenit, omnem quæstionem seu interrogationem tres quæstiones et inquisitiones continere, dubitationis aliquid inter nos et adversarios complectentes. Exempli gratiâ: Quid est Deus? Et, Unde dictus est Deus? Et quot modis dicitur Deus? Et quidem, quando sciscitamur, quid est Deus? planum est nos definitionem rei quærere. Quando autem percontamur, unde dictus est Deus? etymologiam seu notationem nominis postulamus. Quando rursus petimus, quot modis Dei appellatio accipitur? liquet nos indicari nobis velle, quot modis hoc nomen 18 *Deus* usurpetur. Qui igitur absque scientia definitionum de dogmatibus disceptare ingreditur, is nihil differt a cæco viatore; qui hac illacque temere oberrat. Auspicandum ergo est prædicto modo, et triplex de definitionibus instituenda inquisitio, quid scilicet sit definitio; unde dicatur; et quotuplex ejus notio.

Πρὸς δὲ ἀκριβεστέραν παράδοσιν, κἀκεῖνο εἰδέναι ἐχρῆν, ὅτιπερ πᾶν τὸ οἷον οὖν ζήτημα, ἢ ἐρώτημα, τρεῖς τινας ἐρωτήσεις, καὶ ἐξετάσεις ἔχει. Οὕτως ἀπορούμενον παρ' ἡμῶν πρὸς τοὺς ἀντιδίκους· Οἷον τί ἐστι Θεός; Καὶ κατὰ τί εἴρηται Θεός; Καὶ ὁσαχῶς νοεῖται Θεός; Καὶ ὅτε μὲν ἐρωτῶμεν λέγοντες, Τί ἐστι Θεός; πρόδηλον, ὅτι τὸν ὅρον τοῦ πράγματος ζητοῦμεν. Ὅτε δὲ λέγομεν, Κατὰ τί Θεὸς εἴρηται; τὴν ἐτυμολογίαν αὐτὴν τοῦ ὀνόματος ἀπαιτοῦμεν. Ἡνίκα δὲ πάλιν λέγομεν, ὅτι Ὁσαχῶς νοεῖται ἡ Θεοῦ προσηγορία; πρόδηλον, ὅτι τὸ κατὰ πόσους τρόπους εἴρηται Θεὸς, εἰπεῖν ἡμῖν αὐτοὺς εἰσπράττομεν. Ὁ γοῦν ἐκτὸς εἰδήσεως τῶν ὅρων, δογματίζειν ἐπιχειρῶν, οὐδὲν διαφέρει τυφλοῦ ὁδοιπόρου, ὧδε κἀκεῖσε πλαζομένου. Ἀρκτέον τοίνυν τῷ προειρημένῳ τρόπῳ, τριχῶς ποιεῖσθαι τὰς ἐξετάσεις τῶν ὅρων, τί ἐστιν ὅρος, καὶ κατὰ τί εἴρηται ὅρος, καὶ ὁσαχῶς νοεῖται ὁ ὅρος.

Definitio est oratio brevis notificans subjectam rei essentiam. Nominantur ὅροι (definitiones), quasi sint ὁράσεις, *intuitus et oculi rerum*. Vel quia mentis vim paucis circumscribunt. Nam loco hujus: « Homo est substantia ex carne, anima, ratione, sanguine, elementis aliisque pluribus conflata, » breviter rem per definitionem in hunc modum circumscribimus: « Homo est animal rationale, mortale, mentis et scientiæ capax. » Multæ quidem sunt et innumeræ definitiones de qualibet re. Ex multis autem paucas duntaxat afferemus propter socordiam hominum hujus ætatis.

Ὅρος ἐστὶ λόγος σύντομος δηλωτικὸς τῆς ὑποκειμένης οὐσίας τῷ πράγματι. Ὅροι δὲ λέγονται, ὡς ὁράσεις, καὶ ὀφθαλμοὶ τῶν πραγμάτων ὑπάρχοντες. Ἤτοι περιλέγοντες συντόμως τὴν τοῦ νοήματος δύναμιν, οἷον, ἀνθρώπου λέγομεν, ὅτι « Ἄνθρωπός ἐστιν οὐσία ἔνσαρκος, καὶ ψυχῆς, καὶ λόγου, καὶ αἵματος, καὶ στοιχείων, καὶ ἑτέρων πλειόνων. » Περιορίζομεν ταῦτα διὰ τοῦ ὅρου λέγοντες, ὅτι Ἄνθρωπός ἐστι ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. » Πολλοὶ μὲν οὖν εἰσι καὶ ἀναρίθμητοι ὅροι περὶ παντὸς πράγματος. Ἐκ πολλῶν δὲ ὀλίγους τοὺς κυριωτέρους ἐντάττομεν διὰ τὸ ῥάθυμον τῶν νῦν ἀνθρώπων.

Attamen illud observare et credere oportet eum, qui accurate definitiones instituerit, facile in con-

Πλὴν τοῦτο γνωστέον, καὶ πιστευτέον, ὅτι ὁ φιλοπόνως πράττων τοὺς ὅρους, ῥήτορας, καὶ δεινους

(*) Cf. hujusce *Patrologiæ* tom. XXVIII, col. 531-534.

πολυλόγους δυνήσεται εὐχερῶς ἐν ταῖς διαλέξεσιν ἐπιστομίζειν. Ἐπὰν γὰρ ἐρωτηθῇ, τί ἐστι λόγος· καὶ κατὰ τί εἴρηται *λόγος*, ὁσαχῶς ὁ λόγος, καὶ ἀπορήσει εἰπεῖν τοὺς ὅρους ὁ δι' ἐναντίας· καὶ ἐν τοῖς λοιποῖς λοιπὸν καταισχύνεται ὡς μηδὲν ἐπιστάμενος.

Ὅρος τῶν ὅρων ἐστὶν, ὁ πάντα μὲν ὁρίζων, αὐτὸς δὲ ὑπ' οὐδενὸς ὁριζόμενος. Ὅστις ἐστὶν ὁ μόνος ὅρος τῶν ὅρων Θεός. Ἀόριστόν ἐστι τὸ κατ' οὐσίαν ἀσήμαντον Θεός. Δυσόριστόν ἐστι τὸ, μὴ καθόλου, ἀλλ' ἐκ μέρους γινωσκόμενον· οἷον, τὸ ξύλον τῆς ζωῆς. Τρία ἐστὶ κατ' οὐσίαν ἀνθρώποις ἄγνωστα, καὶ ἄρρητα, Θεὸς, καὶ *ἄγγελος*, καὶ ψυχὴ, μόνῳ τῷ Θεῷ γνωριζόμενα κατ' οὐσίαν. Λοιπὸν ὁ καλῶς διαπορῶν πρὸς τὸν δι' ἐναντίας, οὕτω λέγει· Τί ὅρος; καὶ τί τὸ ἀόριστον; καὶ τί τὸ δυσόριστον; καὶ οἷον *εὐόριστον*; Εὐόριστον δέ ἐστι τὸ ψηλαφώμενον, καὶ φθειρόμενον, οἷον, ὁ ἄρτος, καὶ τὰ ὅμοια. Ὁριόν ἐστιν ἀνυπέρβατος στάσις. Ἀόριστον δέ ἐστι τὸ μόνον ἄκτιστον, Θεός. Δυσόριστον δὲ τὸ κτιστὸν, καὶ ἀόριστον· οἷον, *ἄγγελος*, *ψυχὴ*, *δαίμων*.

A gressionibus silentium impositurum et rhetoribus, et quibusvis aliis vi dicendi pollentibus. Si enim interrogetur, quid sit ὁ λόγος, *oratio*, unde et quot modis dicatur λόγος; et adversarius in assignandis definitionibus fluctuet, in reliquis etiam de cætero, tanquam indoctus rubore suffunditur.

Definitio definitionum ea est quæ omnia quidem definit, ipsa vero a nullo definitur. Qualis definitio definitionum solus Deus est. Definiri nequit, quod secundum essentiam suam sub significationem non cadit, ut Deus. Difficulter definiri potest, quod non est universale, sed ex parte cognitum, ut lignum vitæ. Tria sunt secundum essentiam suam hominibus incognita et inexplicabilia : *Deus*, *angelus*, *et anima*, soli Deo secundum substantiam perspecta. Postea, qui cum adversario recte rem B gerit, is sciscitatur, quid sit definitio; et quid illud, quod definiri nequit, et quid, quod difficulter definiri potest; et quid τὸ εὐόριστον, quod facile definiri potest. Facile definitur, quod sub tactum cadit; quodque interitui obnoxium; ut panis et similia. Finis est limes seu terminus, quem transcendere non licet. Definitionis expers est solus increatus Deus. Non facile definitur ex creatis rebus, *angelus*, *anima*, *dæmon*.

Τί Θεός; καὶ κατὰ τί Θεός; καὶ ὁσαχῶς εἴρηται τὸ, Θεός;

Καὶ Θεὸς μέν ἐστιν οὐσία ἀναίτιος, αἰτία παναλκὴς, πάσης αἰτίας αἰτία τις ὑπερούσιος. Θεός ἐστιν ἀνώνυμος, καὶ ἀσήμαντος παρ' ἀνθρώποις ὕπαρξις, πάσης ὑπάρξεως ποιητική. « Ἀκοινώνητον γὰρ ὄνομα, » εἶπεν ὁ Σολομῶν, εἶναι τὸν Θεόν. Ἀκοινώνητον δὲ ὄνομά ἐστι, τὸ μήτε ἀνθρώποις, μήτε ἀγγέλοις ἀκουσθὲν, ἢ ἐννοηθέν. Ὁσαχῶς ἡ, Θεὸς, προσηγορία εἴρηται ἐν τῇ Γραφῇ; καὶ δῆλον, ὅτι διττῶς. Φύσει, καὶ σχέσει· φύσει μὲν ὁ Ποιητὴς· σχέσει δὲ, καὶ χάριτι καὶ οἱ δίκαιοι λέγονται *θεοί*.

Quid Deus, secundum quid dicatur, et quot modis vox hæc usurpetur?

Deus est substantia causæ expers; causa omnipotens omnis causæ; causa quædam supra substantiam. Deus substantia est, quæ ab hominibus nec nominari, nec significari valet; substantia omnis substantiæ effectrix. « Nam nomen Dei *incommunicabile*[21] » esse Salomon pronuntiavit. Incommunicabile vero nomen est, quod nec 19 ab hominibus, nec ab C angelis auditu perceptum et mente comprehensum est. Quot modis Dei appellatio in Scriptura accipitur? Clarum est, duobus accipi, scilicet secundum naturam, et secundum habitudinem. Natura Deus dicitur creator rerum omnium; habitudine et gratia *Dii* nominantur justi[22].

Ἐρώτησις. Ἡ, Θεὸς, προσηγορία, πότερον οὐσιώδης, ἢ προσωπικὴ, ἢ ἐνεργητικὴ, ἢ τοπικὴ καθέστηκε, καὶ μεταφορική; Ἀπόκρισις. Καὶ πρόδηλον, ὅτι ἐνεργητικὴ τυγχάνει· οὐ γὰρ αὐτὴν τοῦ Θεοῦ οὐσίαν ἡμῖν παρίστησιν· ἀδύνατον γὰρ ταύτην γνῶναι, ἀλλὰ μόνην τὴν θεωρητικὴν αὐτοῦ ἐνέργειαν δηλοῖ τὸ, Θεός.

Interrogatio. Num Dei appellatio essentiam, an personam, an operationem denotat? Item, num propria est, an metaphorica et translatitia? *Responsio.* Operationem significat; quod per se liquidum, neque enim ipsam Dei substantiam intelligentiæ nostræ subjicit; fieri namque non potest, ut ea cognoscatur; sed solam potentiam agendi, quam Deo inesse cogitatione apprehendimus, vocabulum Dei nobis repræsentat.

Περὶ πατρότητος.

Τί Πατήρ; καὶ κατὰ τί εἴρηται Πατήρ; καὶ ὁσαχῶς ἐπὶ Θεοῦ ἡ Πατρότης; Πατὴρ μὲν οὖν κυρίως εἴρηται ἀναίτιος ὑπόστασις, γενητικὴ, ἀγένητος. Εἴρηται δὲ Πατὴρ, ἢ, ὡς *τὰ πάντα τηρῶν*, ἢ ὡς *τοὺς οἰκείους παῖδας τηρῶν*, *οἷον πατήρ*. Διττῶς δὲ λέγεται Πατὴρ ὁ Θεὸς, φύσει, καὶ χάριτι. Φύσει μὲν, τοῦ

De paternitate.

Quid Pater? et unde dicitur Pater et quot modis dicitur Paternitas in Deo? Pater proprie nominatur hypostasis causæ expers, generans et ingenita. Dicitur Pater vel ὡς *τὰ πάντα τηρῶν*, *quasi omnia* D *conservans*, *vel tanquam filios conservans*, *quasi* πατήρ (1). Dupliciter autem dicitur Deus Pater,

[21] Sap. XIV, 21. [22] Psal. LXXXI, 6; Joan. X, 34.

NOTÆ.

(1) Leg. οἷον πατήρ, ut alludat ad illud . τοὺς, παῖδας τηρῶν.

natura et gratia. Natura pater est proprii sui, et sibi consubstantialis Verbi : gratia vero noster : juxta illud : « Ego dixi : Dii estis, et filii Excelsi omnes. »

A ἰδίου, καὶ ὁμοουσίου Θεοῦ Λόγου· χάριτι δὲ καὶ ἡμῶν, ὡς τὸ, « Ἐγὼ εἶπον· Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες. »

De filiatione.

Quid Filius? et unde dicitur Filius? et quot modis Filius intelligitur? Filius proprie est geminatio seu iteratio hypostaseos in eadem natura; vel personarum in eadem natura multiplicatio; vel processio naturæ in communionem ejusdem substantiæ. Υἱὸς Filius proprie dicitur, quasi dixeris οἷος, *Qualis*. Nam qualis Pater secundum essentiam, talis est et unigenitus Filius, videlicet ex increato increatus, sive ex mortali mortalis. Duobus vero modis dicitur Filius de Deo, natura et gratia. Natura de Verbo divino, gratia de nobis.

Περὶ υἱότητος.

Τί Υἱός; καὶ κατὰ τί εἴρηται Υἱός; καὶ ὁσαχῶς ὁ Υἱὸς νοεῖται; Καὶ υἱὸς μὲν κυρίως ἐστὶ δευτερότης ὑποστάσεως ἐν ταυτότητι φύσεως, ἢ αὔξησις προσώπων ὁμογενὴς· ἢ πρόοδος φύσεως εἰς συγγένειαν γνωριζομένη (2). Υἱὸς δὲ κυρίως εἴρηται, ὡς ἂν εἴποις οἷος. Οἷος γὰρ ὁ Πατὴρ τὴν οὐσίαν, τοιοῦτος ὁ μονογενὴς, καὶ ὁ Υἱὸς εἴτε ἐξ ἀκτίστου ἄκτιστος, εἴτε ἐκ θνητοῦ θνητὸς, καὶ βροτοῦ βροτός. Κατὰ δύο δὲ τρόπους πάλιν εἴρηται ἐπὶ Θεοῦ ἡ υἱότης· φύσει, καὶ χάριτι· φύσει, Υἱὸς ὁ Θεὸς Λόγος, χάριτι δὲ, οἱ δίκαιοι.

B

De spiritu.

Quid Spiritus? unde et quotupliciter in Scriptura usurpatur? Spiritus est subtilis et tenuis, materiæ et figuræ expers substantia per processionem. Dicitur spiritus πνεῦμα quasi πᾶν νεῦμα *omnis nutus:* eo quod nutus instar celeriter quocunque volet, feratur et moveatur. Accipitur Spiritus quatuor modis in Scriptura : pro Spiritu sancto, pro angelo, pro anima et pro vento. Ad hæc mens quoque spiritus vocatur. Trias seu Trinitas, si rem naturæ cursu metiri velimus, nihil aliud est, quam **2** unitatum compositio. At in divinis est Trinitas substantia, seu subsistentia omnem numerum supergressa.

Περὶ Πνεύματος.

Τί πνεῦμα; κατὰ τί εἴρηται Πνεῦμα; καὶ ὁσαχῶς λέγεται ἐν τῇ Γραφῇ τὸ Πνεῦμα; Καὶ πνεῦμα μέν ἐστι λεπτὴ, καὶ ἄϋλος, καὶ ἀσχημάτιστος ἐκπορευτὴ ὕπαρξις. Πνεῦμα δὲ εἴρηται, ὡσανεὶ *πᾶν νεῦμα*· διʼ αὐτὸ, ὡς νεῦμα, ὀξέως παντὶ νεῦον, καὶ κινούμενον. Εἴρηται δὲ τὸ πνεῦμα ἐν τῇ Γραφῇ τετραχῶς· τὸ Πνεῦμα τὸ ἅγιον· πνεῦμα ὁ ἄγγελος· πνεῦμα ἡ ψυχή· Πνεῦμα καὶ ὁ ἄνεμος. Ἔστι δὲ ὅτε καὶ ὁ νοῦς εἴρηται πνεῦμα. Τριάς ἐστι κατὰ μὲν τὴν φυσικὴν ἀκολουθίαν, μονάδων σύνθεσις· κατὰ δὲ τὴν θεῖκὴν οὐσίαν ὑπεράριθμος ὕπαρξις.

C

De æternitate.

Ἀΐδιον, æternum est, τὸ ἀεὶ διόν, quod semper et omnia permeat, sive quod principio et fine caret. Non omne quod finis est expers, caret etiam initio. Nam angeli et animæ initium suæ procreationis habuerunt; finem vero non habent.

Περὶ ἀϊδιότητος.

Ἀΐδιόν ἐστι τὸ *ἀεὶ διόν* (3), ἤγουν τὸ μηδέποτε ἀρξάμενον, οὐδὲ λῆγον. Οὐ πᾶν ἀτελεύτητον, πάντως καὶ ἄναρχον. Οἱ γὰρ ἄγγελοι, καὶ αἱ ψυχαὶ, ἀρχὴν μὲν εἶχον εἶναι, τέλος δὲ οὐκ ἔχουσι.

De idiomate seu proprietate.

Proprietas dicitur, quod alicui naturæ proprie competit; inque alia natura non reperitur : quemadmodum in homine *risibile*. In nulla enim alia natura, qualiscunque illa sit, risus inest.

Περὶ ἰδιώματος.

Ἰδίωμα λέγεται τὸ κυρίως ἔν τινι φύσει γνωριζόμενον, ἐν ἑτέρᾳ δὲ οὐσίᾳ μηδαμῶς ὑπάρχον· ὥσπερ ἐν τῷ ἀνθρώπῳ τὸ *γελαστικόν*. Οὐ γάρ ἐστι γέλως ἐν ἄλλῃ οἵᾳ δήποτε φύσει.

De natura.

Quid natura? quotupliciter, et unde dicitur? Natura ex ecclesiasticæ doctrinæ regula, est vera rei exsistentia. Secundum Aristotelem vero, aliosque Græcos multifariam natura definitur; quas definitiones Severiani sectati a veritate exciderunt. Natura, ex divini Apostoli institutione, est omne, quod in veritate exsistit; nec a sola phantasia fingitur; de quo postea copiosius. Ecclesia naturam vocat ipsam rerum exsistentium veritatem; sive id quod essentiæ illarum insitum est. Natura dicitur a nascendo et quod sit seu exsistat· sicut et οὐσία, essentia

Περὶ φύσεως.

Τί φύσις; καὶ ὁσαχῶς ἡ φύσις; καὶ κατὰ τί εἴρηται φύσις; Καὶ φύσις μέν ἐστι κατὰ τὸ φρόνημα τῆς Ἐκκλησίας, ἀληθὴς πράγματος ὕπαρξις. Κατὰ δὲ Ἀριστοτέλην, καὶ τοὺς λοιποὺς Ἕλληνας, πολυτρόπως ἡ φύσις ὁρίζεται· οὕστινας ὅρους οἱ ἀπὸ Σευήρου κρατοῦντες, ἀπεπλανήθησαν. Φύσις ἐστὶ κατὰ τὸν θεῖον Ἀπόστολον, πᾶν τὸ ἐν ἀληθείᾳ ὄν· ἀλλʼ οὐκ ἐν φαντασίᾳ λεγόμενον, καθὰ πλατύτερον λέξομεν ἐξῆς. Φύσιν λέγει ἡ Ἐκκλησία τὴν τῶν ὑπαρχόντων ἀλήθειαν, ἤγουν τὸ τούτων ἐνούσιον. Φύσις δὲ εἴρηται διὰ τὸ *πεφυκέναι*, καὶ *εἶναι*,

D

NOTÆ.

(2) C. B. ἡ πρόοδος φύσεως ἡ συγγένεια γνωριζομένη. Cognita cognatio.

(3) C. B. τὸ ἀεὶ ὄν. Recte. Expressi tamen lect. Cod. Aug.

ὥσπερ καὶ οὐσία,, ὡς οὖσα, καὶ ἐν ἀληθείᾳ γνωριζομένη. Φύσις, καὶ οὐσία, καὶ γένος, καὶ μορφὴ, ἓν καὶ τὸ αὐτό εἰσιν ἐν τοῖς ἐκκλησιαστικοῖς δόγμασιν· ὥσπερ ὁ ἄρτος, καὶ τὸ ψωμίον, καὶ τὸ βουκίν (4). Διὸ καὶ τὸ ἔμφυτον, καὶ τὸ *ἐνούσιον* ταυτόν τί ἐστι.

A dicitur quasi οὖσα, *ens*, exsistens, quæ vere concipitur seu cogitatur esse. Natura; et οὐσία seu essentia, et genus et forma unum idemque in ecclesiasticis dogmatibus significant; quemadmodum panis frustulum et buccella idem sonant. Quare et innatum, et τὸ ἐνούσιον, quod essentiæ insitum est, idem sunt.

Τετραχῶς δὲ εἴρηται ἡ φύσις, ὡς προεῖπον· οὐσία, καὶ φύσις, καὶ γένος, καὶ μορφή. Εἴρηται τοίνυν τῷ σοφῷ Σολομῶντι περὶ τῶν ἀσεβῶν ἀνθρώπων, ὅτι « Μάταιοι πάντες ἄνθρωποι φύσει (5)· οἱ ἔχοντες ἀγνωσίαν Θεοῦ. » Καὶ πάλιν εἴρηται τῷ θείῳ Ἀποστόλῳ περὶ ἡμῶν τῶν ἐθνῶν, ὅτι « Ἤμέν ποτε τέκνα φύσει ὀργῆς. » Ἐὰν οὖν φυσικῶς, ἤτοι αὐτοφυῶς εἰσιν οἱ ἀσεβεῖς μάταιοι, ἀνέγκλητοί εἰσι. Τὰ γὰρ ἐκ φύσεως φυσικῶς ἡμῖν ἐνυπάρχοντα, ἀδιάβλητα καὶ ἀκατάγνωστά εἰσιν, ὡς φυσικῶς ἐν ἡμῖν ὑπὸ Θεοῦ δημιουργηθέντα, ὥσπερ τὸ ἀναπνεῖν, καὶ τὸ ἐσθίειν, καὶ τὸ καθεύδειν. Καὶ εὑρεθήσεται ὁ Θεὸς φυσικῶς δημιουργήσας ἐν ἀνθρώποις τὴν ματαιότητα. Ὡσαύτως καὶ ἐὰν *φύσει* ἐσμὲν τέκνα ὀργῆς, εἰς Θεὸν ἡ αἰτία ἀνατρέχει. Τὸ *φύσει* γὰρ, τὸ *οὐσιωδῶς* οὕτως ὑπάρχον, εἴρηται, ὥσπερ φύσει εἰς τὸ φωτίζειν ἡ τοῦ φωτὸς φύσις γέγονεν. Καὶ φύσει εἰς τὸ καίειν τὸ πῦρ ἐδημιουργήθη· καὶ φύσει ἡ γῆ εἰς τὸ βλαστάνειν διεπλάσθη. Οὐκοῦν πρόκειται τοῖς αἱρετικοῖς ἓν ἐκ τῶν δύο εἰπεῖν· ἢ ὅτι ματαιότητος, καὶ ὀργῆς φύσεις ὁ Θεὸς ἐποίησεν· ἢ ὅτι τὸ *φύσει* (6) οὐδὲν ἕτερον δηλοῖ, εἰ μὴ τὸ ἐν ἀληθείᾳ ὄν. Καὶ λοιπὸν ἀνέγκλητοί ἐσμεν λέγοντες φύσει Θεὸν τὸν Χριστὸν, καὶ φύσει ἄνθρωπον, τουτέστι, τὸν κατὰ ἀλήθειαν Θεὸν καὶ κατὰ ἀλήθειαν ἄνθρωπον. Ταύτην δὲ τὴν παράδοσιν, καὶ τὸν ὅρον, τὸν περὶ φύσεως τοῦτον, ὃν νῦν ἐκ Παλαιᾶς, καὶ Καινῆς Διαθήκης παρηγάγομεν, οὔτε διδάσκαλος, ἐξ οὐρανοῦ καινοποιῆσαι, ἢ ἀνατρέψαι δύναται εἰς τὸν αἰῶνα.

Porro quadrifariam appellatur natura; ut antea dixi, essentia videlicet, natura, genus et forma. Apud sapientissimum Salomonem de impiis pronuntiatum legimus: « Vani sunt omnes natura, in quibus non subest scientia Dei [23]. » Et divinus Apostolus de nobis ethnicis asserit: « Eramus (natura) aliquando filii iræ [24]. » Si igitur impii natura vani sunt, vanitatemque naturæ insitam habent, B reprehensione carent. Nam quæ naturaliter nobis a natura insunt; ea reprehendi et damnari nequeunt, utpote naturaliter ab Auctore et Conditore universarum rerum profecta; sicut reprehendi non potest, quod respiramus, edimus, et dormimus. Ex quo conficeretur, Deum vanitatem illam naturæ insitam condidisse. Pari modo, si *natura* filii iræ eramus, ad Deum causa referenda erit. Natura enim id nominatur quod *essentialiter* se ita habet, sicut natura, seu naturaliter lucis natura ad 21 illuminandum facta est; et ignis naturaliter procreatus est ad urendum. Et terra natura condita est, ut germina proferat. Restat igitur, ut ex duobus hæretici alterum affirment: vel quod Deus vanitatis et iræ naturas creaverit, vel quod τὸ φύσει (6), natura seu naturaliter nihil aliud significet, C quam id quod revera exsistit. Quo fit ut in posterum liberemur ab omni reprehensione, cum asserimus Christum natura Deum, et natura hominem esse: hoc est, eum, qui revera Deus est, revera quoque hominem esse. Hanc autem traditionem, naturæque definitionem, quam ex Veteri et Novo Testamento nunc attulimus, neque doctor, neque angelus de cœlo unquam in omnem æternitatem expugnabit aut evertet.

Περὶ ὑποστάσεως.

Τί ὑπόστασις; καὶ κατὰ τί ὑπόστασις, καὶ ὁσαχῶς ἡ ὑπόστασις εἴρηται; Ὑπόστασις οὖν ἐστι κατὰ τὴν ἐκκλησιαστικὴν καὶ ἀποστολικὴν παράδοσιν, τὸ πρόσωπον, ἤγουν ὁ χαρακτὴρ, καθά φησιν ὁ Παῦλος τὸν Υἱὸν, « Ἀπαύγασμα τῆς δόξης τοῦ Πατρὸς, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, » τουτέστιν πρόσωπον ὁμοούσιον, τοῦ χαρακτῆρος τῆς ὑποστάσεως τοῦ Πατρός. Πρόσωπον δὲ καὶ χαρακτῆρα λέγομεν ἐπὶ

De hypostasi.

Quid hypostasis; unde, et quot modis dicitur? Hypostasis secundum ecclesiasticam et apostolicam traditionem est persona sive character, hoc est, figura; quo pacto a Paulo apostolo Filius nominatur « splendor gloriæ Patris, et figura hypostaseos D (substantiæ) ejus[3] id est, persona consubstantialis seu character hypostaseos Patris. » Personæ vero et characteris nomine intelligimus in Deo incorporeum

[23] Sap. XIII, 1. [24] Ephes. II, 3. [3] Hebr. I, 3.

NOTÆ.

(4) C. B. βουκίον.

(5) In Lat. edit. non habetur, *natura*, sed in Græco est, φύσει.

(6) Accipit Anastasius illud τὸ, φύσει, *natura*, latius pro eo quod est; nec tamen solum pro eo quod vere et positive est; sed et pro iis quæ communi hominum loquendi consuetudine vere esse seu exsistere dicuntur; ut sunt negationes, privationes, peccata et defectus varii seu moralium, seu naturalium perfectionum, licet stricte loquendo non sint aut exsistant, cum non sint entia, sed negationes quædam entium. Quia tamen vere dicimus de cæco, Cæcus est; et de aere lucis experte, Tenebrosus est: quo loquendi modo significamus cæcitatem et tenebras aliquo modo esse seu exsistere: ideo et hæc negativa seu privativa Anastasius, τὸ, φύσει, id est, ἐν ἀληθείᾳ, vere exsistere ait; licet non sint naturæ ἐνούσια, innata et insita.

quid, incircumscriptum, figuraque carens. Persona sive hypostasis, ex sententia sanctorum Patrum, est proprium quiddam præter commune. Nam cujusvis rei natura est quiddam commune; at hypostases sunt propriæ. Utque exemplum afferamus : una natura seu essentia est divinitas ; tres vero hypostases, Pater, et Filius, et Spiritus sanctus. Tres personæ sive characteres, una vero essentia et genus (6').

Si quis ergo dixerit : Custodiet nos divinitas, tota Trinitas significatur. At si dicas : Nobiscum est Filius Dei, unam ex tribus hypostasibus indicasti, totamque divinitatem. Iterum de iisdem adverte : *Divinitas :* en id quod commune est; ipsamque perfectam essentiam. Pergamus. *Paternitas :* ecce unam personam, seu hypostasin. *Filiatio :* en aliam hypostasin. *Spiritus sanctus :* ecce aliam hypostasin. Tres sunt hypostaticæ proprietates in divinitate. Ingenitum esse, Patris ; genitum, Filii ; et processio, Spiritus sancti. Neque genitus est Pater, neque procedens Filius ; neque genitus Spiritus sanctus. Quinque appellationes habet hypostasis : Hypostasis, persona, character, proprietas, et individuum.

22 *Rursus de natura.*

Natura dicitur substantia angeli ; hypostasis autem angeli est propria cujusvis angeli appellatio, puta Gabriel, Michael, Uriel, Raphael. Rursus : Natura una est et communis, ut humanitas ; hypostasis vero est Petrus, Paulus, Thomas, cæteræque personæ et characteres. Natura igitur est auctrix, fons et origo hypostaseon, quæ in ipsa insunt ; hinc et hypostases vocantur ; tanquam sub ipsa natura, fonte et origine sua consistentes.

Iterum de eodem argumento verba faciamus. Si dicas : Insignis natura angeli ; totam ipsorum essentiam insinuasti. At si dicas : Magnus est Gabriel ; unam hypostasin ex omnibus significasti. Miserandus homo. En tota natura. At Conon, Simon, Philo, hypostases sunt. Rursus : si dicas, volatile esse leve : ecce tota natura ; at vero columba, turtur, luscinia, pavo, olor, hypostases sunt. Jumentum, en tota jumentorum natura. At equus, leo, canis, hypostases, characteres, et *supposita* appellantur. Et hæc regula locum habet non solum in iis quæ ratione, intellectu et anima pollent ; sed et in naturis, quæ anima, sensu et motu destitutæ sunt.

Exemplo res declarabitur. Si dicam, a Deo creatam esse lucem, ecce totam luminarium naturam significavimus. Et hæc natura dividitur in suas hypostases. Hypostases naturæ luminis sunt luna et astra, Orion, Hesperus, Ursa, Lucifer, Cancer, et similia. Eadem ratio est in ventis. Si dicas, spiritus, omnem ventorum naturam indicasti. At si dixeris : Notus, aut Boreas, aut Lips ; jam hypostases nominas. Par ratio ignis. Una constat natura. Dividi-

(6') Accipit genus pro natura, ut supra professus est.

A Θεοῦ, ἀσώματα, καὶ ἀπερίγραπτα, καὶ ἀσχημάτιστα· Πρόσωπον ἤγουν ὑπόστασίς ἐστι κατὰ τοὺς ἁγίους Πατέρας, τὸ ἰδικὸν παρὰ τὸ κοινόν. Κοινότης γάρ ἐστιν ἡ φύσις ἑκάστου πράγματος· ἴδια δέ εἰσιν αἱ ὑποστάσεις, οἷόν τι λέγω· φύσις ἐστὶν ἤγουν οὐσία μία, ἡ θεότης, ὑποστάσεις δὲ τρεῖς, Πατὴρ, καὶ Υἱὸς, καὶ ἅγιον Πνεῦμα· τρία πρόσωπα, ἤγουν χαρακτῆρες, μία δὲ οὐσία, καὶ τὸ γένος.

Ἐὰν οὖν εἴπῃς, ὅτι Φυλάξει ἡμᾶς ἡ θεότης, ὅλην τὴν ἁγίαν Τριάδα ἐσήμανας. Εἰ δὲ εἴπῃς, Μεθ' ἡμῶν ὁ Υἱὸς τοῦ Θεοῦ, μίαν τῶν τριῶν ὑποστάσεων εἶπας, καὶ ὅλην τὴν θεότητα. Καὶ πάλιν περὶ τῶν αὐτῶν ἄκουσον· Ἡ *Θεότης*· ἰδοὺ κοινὸν, καὶ ὁλοτελὲς τῆς οὐσίας. Λοιπὸν ἡ *Πατρότης*· ἰδοὺ, ἓν πρόσωπον, ἤτοι ὑπόστασις. Ἡ *Υἱότης*· ἰδοὺ ἄλλη ὑπόστασις· τὸ B *Πνεῦμα τὸ ἅγιον*· ἰδοὺ, ἄλλη ὑπόστασις. Τρεῖς ὑποστατικαὶ ἰδιότητές εἰσιν ἐπὶ τῆς θεότητος. Τὸ ἀγέννητον τοῦ Πατρός· καὶ τὸ γεννητὸν τοῦ Υἱοῦ· καὶ τὸ ἐκπορευτὸν τοῦ ἁγίου Πνεύματος. Οὐδὲ γεννητός ἐστιν ὁ Πατὴρ, οὐδὲ ἐκπορευτός ἐστιν ὁ Υἱὸς, οὐδὲ γεννητὸν τὸ Πνεῦμα τὸ ἅγιον. Πενταχῶς δὲ εἴρηται ἡ ὑπόστασις· ὑπόστασις, καὶ πρόσωπον, καὶ χαρακτὴρ, καὶ ἴδιον, καὶ ἄτομον.

Πάλιν περὶ φύσεως.

Φύσις λέγεται ἡ ἀγγελιότης· ὑπόστασις δὲ αἱ ἰδικαὶ ἑκάστου ἀγγέλου προσηγορίαι· Γαβριὴλ, Μιχαὴλ, Οὐριὴλ, Ῥαφαὴλ. Καὶ πάλιν, φύσις ἐστὶ μία, καὶ κοινή· (ὡς) ἡ ἀνθρωπότης· ὑπόστασις δὲ, Πέτρος, Παῦλος, Θωμᾶς, καὶ τὰ λοιπὰ πρόσωπα, καὶ οἱ χα- C ρακτῆρες. Ἡ οὖν φύσις ἐστὶν ἡ κυρία, καὶ αἰτία, καὶ γεννητικὴ τῶν ὑποστάσεων τῶν ἐν αὐτῇ· καὶ διὰ τοῦτο ὑποστάσεις λέγονται, ὡς ὑπὸ τὴν φύσιν ἱστάμεναι (κατὰ) τὴν αὐτὴν πηγήν.

Καὶ πάλιν περὶ τοῦ αὐτοῦ ἐροῦμεν. Ἐὰν εἴπῃς, Καλὴ φύσις ὁ ἄγγελος, ὅλην τὴν οὐσίαν αὐτῶν ἐσήμανας. Εἰ δὲ εἴπῃς, Μέγας ἐστὶν ὁ Γαβριὴλ, ὑπόστασιν μίαν ἐκ πάντων εἶπες. Ὁ ἄνθρωπος ἐλεεινός· ἰδοὺ ὅλη ἡ οὐσία. Ὁ δὲ Κώνων, καὶ ὁ Σίμων, καὶ ὁ Φίλων ὑποστάσεις εἰσί. Καὶ πάλιν· ἐὰν εἴπῃς, ὅτι τὸ πετεινὸν ἐλαφρόν· ἰδοὺ ὅλη οὐσία· ἡ δὲ περιστερὰ, ἡ τρυγὼν, ἡ ἀηδὼν, ὁ ταὼς, ὁ κύκνος· ἰδοὺ αὗται ὑποστάσεις. Τὸ κτῆνος· ἰδοὺ πᾶσα ἡ κτηνώδης οὐσία. Ὁ δὲ ἵππος, καὶ ὁ λέων. καὶ ὁ κύων· ἰδοὺ αὗται ὑποστάσεις, καὶ χαρακτῆρες, καὶ *πρόσωπα* λέγονται. Οὐ μόνον δὲ ἐπὶ νοερῶν καὶ λογικῶν, καὶ ἐμψύχων ὁ αὐτὸς κανὼν τῶν ὅρων ἁρμόζει, ἀλλὰ καὶ ἐπὶ πάσης ἀψύχου, καὶ ἀναισθήτου, καὶ ἀκινήτου φύσεως.

D Οἷόν τι λέγω· Ἐὰν εἴπωμεν, ὅτι ἐποίησεν ὁ Θεὸς τὸ φῶς. Ἰδοὺ τὴν οὐσίαν τῶν φωστήρων πᾶσαν ἐσημάναμεν. Αὕτη λοιπὸν ἡ οὐσία τέμνεται εἰς τὰς ὑποστάσεις αὐτῆς. Ὑποστάσεις δὲ φύσεως τοῦ φωτός εἰσι· σελήνη, καὶ ἄστρα, Ὠρίων, Ἔσπερος, Ἄρκτος, Ἑωσφόρος, Καρκῖνος, καὶ τὰ λοιπά. Ὁμοίως καὶ ἐπὶ ἀνέμων· ἐὰν εἴπῃς, πνεῦμα, πᾶσαν τὴν φύσιν τῶν ἀνέμων ἐσήμανας. Εἰ δὲ εἴπῃς, Νότος, ἢ Βορρᾶς, ἢ Λίψ, αὗται ὑποστάσεις εἰσίν. Ὡσαύτως τὸ πῦρ· μία

οὐσία ἐστίν. Τέμνεται δὲ εἰς ὑποστάσεις, ἤγουν λύχνους, καὶ κηροὺς, καὶ λαμπάδας, καὶ κλιβάνους, καὶ καμίνους, ὁμοίως γοῦν, ὡς προεῖπον. Καὶ ἀνθρωπότης πᾶσα μία οὐσία ἐστίν· πολλὰ δὲ πρόσωπα.

Τὴν οὖν ἁγίαν σάρκα τοῦ Χριστοῦ οὐ λέγομεν πρόσωπον, ἀλλ' οὐσίαν. Ἵνα σημάνωμεν ὅτι ὅλην τὴν φύσιν ἡμῶν ἔλαβε, καὶ ἔσωσεν· εἰ γὰρ εἴπομεν αὐτὴν ὑπόστασιν, ἕνα τινὰ ἄνθρωπον εὑρισκόμεθα λέγοντες, ὅτι ἀνέλαβε, καὶ ἔσωσεν ὁ Χριστός. Πλὴν οὔτε δύναται λέγεσθαι ὑπόστασις, ἐφ' ὅσον ἀχώριστός ἐστιν τοῦ Θεοῦ Λόγου ἡ σάρξ. Ὑπόστασις γὰρ τὸ κεχωρισμένον πρόσωπον λέγεται.

Ἐνυπόστατον μέντοι αὐτὴν λέγομεν, οὐ μὴν ὑπόστασιν. Τὸ γὰρ ἐνυπόστατον, τὸ ὑπάρχον ἐστίν. Ὥσπερ ἀνυπόστατον πάλιν, τὸ μὴ ἔχον ὕπαρξιν, ἤτοι οὐσίαν· οἷόν ἐστι τὸ ἐνύπνιον, ἀνούσιον, καὶ ἀνυπόστατον, καὶ φαντασιῶδες.

hoc enim natura et subsistentia, et 23 hypostasi caret;

Καὶ ὅπως (7) ὁριστικῶς εἴπομεν, ἀνυπόστατον, καὶ ἀνύπαρκτον, καὶ ἀνούσιόν ἐστι· τὸ ῥήματι μὲν πολλάκις λεγόμενον, ἐν οὐσίᾳ δὲ ἢ ὑποστάσει γνωριζόμενον, οἷον, ὁ ᾅδης (7*), ὁ θάνατος, ἡ νόσος. Πάλιν ἀνούσιον λέγομεν, ἢ αὐτὸ τὸ ὄν, ἢ τὸ ἐν τῇ οὐσίᾳ γνωριζόμενον ἰδίωμα. Οἷον· ἀνούσιόν ἐστι τοῦ ἀνθρώπου τὸ λογιστικὸν, καὶ τὸ φθαρτόν. Ὁμοίως καὶ τὸ ἐνυπόστατον, κατὰ δύο τρόπους λέγεται· ἢ τὸ κατ' ἀλήθειαν ὑπάρχον, ἢ τὸ ἐν τῇ ὑποστάσει ἰδίωμα, ὡς ἐν τῷ Θεῷ, καὶ Πατρὶ, τὸ ἀγέννητον. Ἐν δὲ τῷ Υἱῷ, τὸ γεννητόν. Ἐν δὲ τῷ ἁγίῳ Πνεύματι, τὸ ἐκπορευτόν. Καθὼς καὶ ἀνωτέρω εἴρηται.

Ἕξις ἐστὶν ἡ ποιὰ πάσης φύσεως δύναμις. Ἡ τῶν λοιπῶν αὐτὴν οὐσιῶν διακρίνουσα, καὶ ἀφορίζουσα, καθά φησιν ὁ Διονύσιος, ὅτι φθορά ἐστι φύσεως, ἀσθένειά τε καὶ ἔλλειψις τῶν φυσικῶν ἕξεών τε, καὶ ἐνεργειῶν, καὶ δυνάμεων.

Περὶ θελήματος.

Τί ἐστι θέλημα; καὶ κατὰ τί εἴρηται θέλημα; καὶ ὁσαχῶς ἐστι τὸ θέλημα; Καὶ θέλημα μέν ἐστιν οὐσία, νοερᾶς, καὶ λογικῆς ἔφεσις πρὸς τὸ καταθύμιον. Πᾶν γὰρ νοερὸν, πρόδηλον, ὅτι καὶ θελητικόν. Ὥσπερ γὰρ πνοή τίς ἐστι, καὶ ζωὴ ἡ θέλησις πάσῃ λογικῇ φύσει οὐσιωδῶς ὑπάρχουσα.

Θέλημα δὲ εἴρηται κατὰ τὸ *θέειν λίαν ἅμα* τὴν φύσιν πρὸς τὸ αὐτῇ θελητόν· ἢ, *τοῦ θελητοῦ λῆμμα*, ἤγουν, κράτημα. Τριχῶς δὲ θεωρεῖται τὸ θέλημα, τοῦτ' ἔστι, θεϊκὸν, καὶ ἀγγελικὸν, καὶ ψυχικόν. Αἱ τρεῖς γὰρ αὗται καὶ μόναι φύσεις εἰσὶ θελητικαί. Τριχῶς δὲ πάλιν καὶ ἐν τῇ Γραφῇ εὑρίσκομεν τὸ θέλημα λεγόμενον· θεϊκὸν, καὶ φυσικὸν.

A tur autem in hypostases, ut in lychnos, cereos, lampades, clibanos et caminos. Similiter, ut antea dictum, humanitas, una est natura; multas vero personas complectitur.

Sacrosanctam igitur Christi carnem non vocamus personam, sed naturam; ut indicemus, eum totam naturam nostram assumpsisse et salvasse: si enim illam nominemus hypostasin, necesse est affirmare Christum unum quemdam hominem assumpsisse et salvasse, sed neque dici potest (caro Christi) hypostasis; quatenus a divino Verbo inseparabilis est; hypostasis enim est et dicitur persona separata.

In hypostasi quidem subsistens vocatur (caro) non autem hypostasis; nam quod in hypostasi in-
B est, est id quod exsistit; quemadmodum id, quod est absque hypostasi, est id, quod non exsistit, essentiæ, seu naturæ expers; cujusmodi est somnium; quippe in sola imaginatione situm.

Ut vero definitionem afferamus, subsistentia, exsistentia, et essentia carens est illud, quod nomine quidem multifariam dicitur, natura autem seu hypostasi præditum esse vere per cogitationem non apprehenditur, ut orcus, mors, morbus. Rursus in natura inexsistens, nominamus aut ipsum ens; aut proprietatem quamdam in natura exsistentem: Exempli causa; exsistens in natura hominis est ra-
C tionale et mortale. Similiter etiam subsistens in hypostasi dupliciter usurpatur; aut pro illo, quod secundum rei veritatem exsistit, aut pro proprietate in hypostasi. Sicut in Deo Patre est ingenitum esse; in Filio genitum esse: in Spiritu sancto, procedere, quemadmodum supra quoque dictum est.

Habitus est quælibet cujuscunque naturæ potentia, qua a cæteris naturis secernitur et separatur; sicut dicit divinus Dionysius; corruptionem esse naturæ, imbecillitatem vero et defectionem esse naturalium habituum, operationum et facultatum.

De voluntate.

Quid est voluntas? unde dicitur? et quot modis accipitur? Voluntas est in natura intellectuali et rationali appetitio ejus quod gratum est et jucundum. Perspicuum est enim omne illud quod intellectu præditum est, etiam volendi potentia præditum esse. Nam voluntas inest essentialiter omni
D rationali naturæ, non aliter quam spiritus quidam ac vita.

Dicitur voluntas, κατὰ τὸ θέειν λίαν ἅμα, quod valde currat natura ad id quod concupiscit; vel dicitur quasi τοῦ θελητοῦ λῆμμα, apprehensio ejus quod vult. Tripliciter porro accipitur voluntas: pro voluntate divina, angelica, et humana. Istæ enim tres naturæ, eæque solæ volendi facultate valent. Rursus trifariam in Scriptura usurpatur voluntas,

NOTÆ.

(7) De his lege Damascenum in Dialectica, et definitiones S. Maximi.
(7*) Ὁ ᾅδης. Poeticus scilicet, quia fabulosus.

videlicet pro divina, pro naturali sive media, tertio pro carnali, quæ est voluntas diabolica. Voluntas naturalis a Deo condita hominique tributa, significat motionem intellectualem appetitivæ partis animæ secundum naturam, impellens hominem ad id quod desideratur. Divina voluntas apud homines est, insitæ intellectualis appetitionis ad ea, quæ sunt supra naturam impulsio. Voluntas carnalis affectionibusque dedita est exorbitatio et deerratio ab illis, quæ secundum naturam, ad ea quæ præter naturam sunt.

A ἤγουν μέσον· τρίτον, τὸ σαρκικὸν, ὅπερ σημαίνει τὸ διαβολικόν. Θέλημα φυσικὸν θεόκτιστον ἀνθρώπου ἐστὶ κίνησις νοερὰ τοῦ ἐπιθυμητικοῦ μέρους τῆς ψυχῆς κατὰ φύσιν πρὸς τὸ ποθούμενον συνωθοῦσα τὸν ἄνθρωπον. Θέλημά ἐστι θεῖκὸν παρὰ ἀνθρώποις ἡ τῆς ἐμφύτου νοερᾶς ὀρέξεως πρὸς τὸ ὑπὲρ φύσιν, ἐκ τοῦ κατὰ φύσιν, ἔπειξις. Θέλημα σαρκικὸν ἐμπαθές ἐστιν, ἡ τοῦ κατὰ φύσιν τῆς ψυχῆς παρατροπή.

Quid sit idioma seu proprietas.

Quid est idioma? unde dicitur? et quot modis accipitur? Idioma seu proprietas **24** inde nominatur, quod proprium sit simul propriæ naturæ sine admistione aliarum naturarum : vel quia simul est in specie. Inseparabiles enim sunt a naturis et hypostasibus proprietates eorum. Idioma igitur seu proprietas est quod proprie in una natura inest, in alia vero non reperitur. Exempli gratia, in natura divina, æternum, increatum et incircumscriptum esse, quæ in nulla alia natura inveniuntur, ne in ipso quidem sacrosancto Christi corpore secundum naturam. Neque enim æternum est, nec increatum, neque unquam incircumscriptum erit.

Proprietas angelicæ naturæ est, ut sit impatibilis, et ut absque intermissione Deo hymnos concinat. Et cum impatibilem voco; immortalitatem quoque eorum indico. Proprium est hominis, ut ex mortali et immortali natura compactus sit; quam compositionem in nulla alia re inveneris. Sunt igitur ea, quæ prius dixi, naturæ idiomata et proprietates. Sunt et hypostaticæ proprietates; videlicet, albedo, simitas seu curvitas nasi, nigredo, longitudo; mutilum esse; celeritas, tarditas, et id genus alia, quæ non similiter in cunctis hominibus inveniuntur. Non enim omnes sunt simi; non omnes celeres, non omnes flavi. Quocirca non desunt, qui doceant hypostasin esse collectionem earum characteristicarum proprietatum, quas antea recensuimus. At naturæ proprietates æqualiter reperiuntur in omni specie. Omnes enim homines æque sunt mortales, rationis participes, respiratione somnoque utentes; ambulare soliti, latis unguibus præditi, artium cultores.

Accidens appellatur, quod adest, et abest, ut infantia; quæ adest, et abest propter perfectiorem ætatem. Simili modo mutatur sanitas, morbus, calor, siccitas; uno verbo, omne illud, quod variari potest, accidens nominatur. Voluntas essentialis est, quæ communiter generatimque in natura inest. Si igitur caro Christi sponte habuit voluntatem non moriendi, ut sancti Patres docent : si ejusmodi voluntas in Patre et sancto Spiritu reperiatur, omnino sequetur eamdem carnis et divinitatis voluntatem esse.

Naturalis voluntas hominis est, ut dicit sanctus Basilius et Cyrillus, amare vitam. Omnis enim

Τί ἰδίωμα.

Τί ἰδίωμα; καὶ ὁσαχῶς τὸ ἰδίωμα; καὶ κατὰ τί εἴρηται ἰδίωμα; Τὸ ἰδίωμα εἴρηται κατὰ τὸ ἴδιον B εἶναι ἅμα τῆς ἰδίας φύσεως ἀμιγὲς τῶν λοιπῶν οὐσιῶν ὑπάρχον· ἢ διὰ τὸ ἐν τῷ εἴδει ἅμα εἶναι. Ἀχώριστοι γὰρ εἰσι τῶν φύσεων, καὶ τῶν ὑποστάσεων αἱ αὐτῶν ἰδιότητες. Ἴδίωμα ἤγουν ἰδιότης ἐστὶ, τὸ κυρίως ἔν τινι φύσει ἰδικῶς γνωριζόμενον, ἐν ἑτέρᾳ δὲ μὴ εὑρισκόμενον. Οἷόν τι λέγω· Ἐν τῇ θείᾳ φύσει τὸ προαιώνιον, τὸ ἄκτιστον, τὸ ἀπερίγραπτον, ἅτινα οὐχ ὑπάρχουσιν ἐν ἄλλῃ οἵᾳ δήποτε οὐσίᾳ· οὔτε ἐν αὐτῷ τῷ παναγίῳ σώματι τοῦ Χριστοῦ κατ' οὐσίαν. Οὔτε γὰρ προαιώνιόν ἐστιν, οὐδὲ ἄκτιστον, οὐδὲ ἀπερίγραπτον ἔσεταί ποτε.

Ἴδίωμα ἀγγελικῆς φύσεως τὸ ἀπαθὲς τῆς οὐσίας, καὶ ὑμνολογικὸν, ἀσίγητον. Ἀπαθὲς δὲ, τὸ ἀθάνατον αὐτῷ εἶπον. Ἴδιον τοῦ ἀνθρώπου κυρίως, τὸ σύνθεC τον ἐκ θνητῆς καὶ ἀθανάτου φύσεως, ἐν ἄλλῃ οἵᾳ δήποτε οὐσίᾳ μὴ γνωριζόμενον. Εἰσὶ δὲ ἰδιώματα φυσικὰ, ἃ προεῖπον, καὶ εἰσὶν ὑποστατικά· οἷον ἀσπρότης, σιμότης, μελανότης, μακρότης, κολοβότης, γοργότης, ωθρότης, καὶ ὅμοια, ἅπερ δὺκ ἐν πᾶσιν ὁμοίως ἀνθρώποις εὑρίσκονται. Οὐ γὰρ πάντες σιμοι, οὐ πάντες γοργοὶ, οὐ πάντες ξανθοί. Διόπερ καί τινες ὑπόστασιν εἶναι λέγουσι, τὴν συνδρομὴν, τὴν ἰδιάζουσαν τῶν χαρακτηριστικῶν ἰδιωμάτων, ὧν προεῖπον. Τὰ δὲ φυσικὰ ἰδιώματα ἐξ ἴσου ἐν παντὶ τῷ γένει ὁμοίως εὑρίσκονται· οἷον, πάντες ἄνθρωD ποι βροτοὶ, ὁμοίως εἰσὶ θνητοὶ, λογικοὶ, ἀναπνευστικοὶ, ὑπνωτικοὶ, περιπατητικοὶ, πλατυώνυχες, γεωργητικοὶ τεχνῶν.

Συμβεβηκὸς εἴρηται τὸ γενόμενον, καὶ ἀπογινόμενον, οἷον ἡ νηπιότης· καὶ γίνεται, καὶ ἀπογίνεται διὰ τελειότητος· ἡ ὑγεία ὁμοίως μεταβάλλεται, καὶ ἡ νόσος, καὶ ἡ θερμότης, καὶ ἡ ξηρότης, καὶ ἁπλῶς, πᾶν, τὸ παραλλαγῆναι δυνάμενον, συμβεβηκὸς λέγεται. Θέλημα οὐσιῶδές ἐστι, τὸ κατὰ κοινοῦ ὁμοίως ἐν τῇ φύσει ὁρώμενον. Εἰ οὖν εἶχεν ἐκουσίως ἡ σὰρξ τοῦ Χριστοῦ, τὸ μὴ θέλειν ἀποθανεῖν, ὡς οἱ ἅγιοι Πατέρες φασὶν, ἐὰν εὑρεθῇ τοιοῦτο θέλημα ἐν τῷ Πατρὶ, καὶ ἁγίῳ Πνεύματι, πάντως, ὅτι μία ἐστὶν ἡ θέλησις τῆς σαρκὸς, καὶ τῆς θεότητος.

Φυσικὸν θέλημα ἀνθρώπου ἐστὶν, ὥς φησιν ὁ ἅγιος Βασίλειος, καὶ Κύριλλος, τὸ φιλόζωον. Πᾶς γὰρ ἀν-

Θρωπος φύσει φιλεῖ τὴν ζωὴν, καὶ τὸ ὁρᾷν τὸ φῶς. Ἰδοὺ τὸ κοινὸν θέλημα. Γνωμικὰ θελήματα ἐν τῇ φύσει ἡμῶν πολλά. Ἄλλος γὰρ ἄνθρωπος θέλει ἰδιάζειν, ἄλλος οἰκοδομεῖν, ἄλλος γεωργεῖν, ἕτερος πλέειν. Καὶ οἱ λοιποὶ ὁμοίως πολλὰ γνωμικὰ θελήματα ἔχομεν. Ἓν δὲ φυσικὸν θέλημα, τοῦτ' ἔστι, τὸ φιλεῖν τὴν ζωήν. Φιλεῖ δὲ τὴν ζωὴν ὁ ἄνθρωπος οὐκ ἀσκόπως, ἀλλὰ σημαίνουσα ἡ φύσις, ὅτι ὅπερ ἀπ' ἀρχῆς εἶχεν, ὅτε γέγονεν, ἦγουν τὴν ἀθανασίαν αὐτὴν ἀγαπᾷ, καὶ ζητεῖ.

A homo natura sua vitæ amans est, et ut hac luce fruatur. Ecce communem voluntatem. Particulares seu gnomicas voluntates habet natura nostra varias. Alius enim vult privatus esse sibique vivere. Alius ædificare. Alius agriculturam exercere. Alius navigare; et sic cæteri similiter speciales suas voluntates et particularia proposita habent. At naturalis voluntas una est, nimirum amare hanc 25 vitam. Amat autem homo vitam non sine causa, sed id fit naturæ instinctu, quæ a primo suo ortu immortalitate prædita fuit. Ideo adhuc illam diligit et quærit.

Θέλημα θεῖον, τὰ προστάγματα τοῦ Θεοῦ. Θέλημα φυσικὸν φύσεως λογικῆς ἡ ἐργασία τοῦ Θείου θελήματος. Θέλημα σαρκικὸν ἡ παραχὴ τοῦ θείου νόμου.

Divina voluntas consistit in præceptis Dei. Naturalis voluntas naturæ rationalis est exsecutio divinæ voluntatis. Carnalis voluntas est prævaricatio divi- B næ legis.

Περὶ ἐνεργείας.

Τί ἐνέργεια; καὶ κατὰ τί εἴρηται ἐνέργεια; καὶ ὁσαχῶς ἡ ἐνέργεια; Ἐνέργεια τοίνυν ἐστὶ καθά φησιν ὁ ἅγιος Γρηγόριος ὁ Νύσσης, ἡ φυσικὴ ἑκάστης οὐσίας δύναμίς τε, ἢ κίνησις, ἧς μόνον ἐστέρηται τὸ μὴ ὄν. Τὸ γὰρ οὐσίας τινὸς μετασχὸν, συμμετέχει πάντως καὶ τῆς δηλούσης αὐτὸ ἐνεργείας. Ὅρους γὰρ τῶν οὐσιῶν τὰς ἀψευδεῖς αὐτῶν ἐνεργείας ὁ ἀληθὴς ἐπίσταται λόγος· νοερῶν ἐνέργειαν, τὴν νόησιν, αἰσθητῶν τὴν αἴσθησιν, κινητικῶν τὴν κίνησιν, πτηνῶν τὴν πτῆσιν, νηκτῶν τὴν νῆξιν, βλαστικῶν τὴν βλάστησιν, ἑρπυστικῶν τὴν ἕρψιν, φωτιστικῶν τὴν ἔκλαμψιν, καυστικῶν, τὴν καῦσιν, ῥευστῶν τὴν ῥύσιν, θεωρητικῶν, τὴν ὅρασιν, γεννητικῶν, τὴν γέννησιν, καὶ καθολικῶς εἰπεῖν· τὸ πάσης φύσεως σημαντικὸν, καὶ ἀφοριστικὸν, ἡ ἐνέργεια αὐτῆς ἡ φυσικὴ καθέστηκεν, ἧς ἀναιρουμένης, πάντως συναναιρεῖται, καὶ ἀπόλλυται καὶ ἡ φύσις. Ἀναιρουμένης τῆς καύσεως, σβέννυται τὸ πῦρ, ἀναιρουμένης τῆς κινήσεως τοῦ ζώου, ἀπόλλυται τὸ ζῶον, ἀναιρουμένης τῆς νοήσεως, ἀπόλλυται τὸ νοερὸν τῆς ψυχῆς, καὶ λογιστικόν αὐτῆς. Καὶ διὰ τοῦτο δύο λέγομεν ἐν Χριστῷ θελήσεις, καὶ ἐνεργείας, ἵνα μὴ ἄψυχον σῶμα καὶ ἄλογον ψυχὴν ἐπ' αὐτοῦ εἴπωμεν· ἐνέργεια γὰρ ἐμψύχου σώματος, τὸ περιπατεῖν καὶ ἐργάζεσθαι. Ἐνέργεια δὲ λογικῆς ψυχῆς ἡ θελητικὴ, καὶ λογιστικὴ, καὶ βουλευτικὴ διάνοια αὐτῆς ἐστιν.

De operatione.

Quid est operatio? unde? et quot modis dicitur? Operatio igitur est, ut docet sanctus Gregorius Nyssenus, cujusvis naturæ facultas naturalis et motio, qua solum id, quod non est, privatur. Nam quidquid essentiæ alicujus particeps est, illud etiam particeps est operationis, cujus interventu innotescit. Recta enim ratio docet naturarum definitiones esse ipsasmet earum veras germanasque operationes; ut intellectualium intellectionem: sensilium, sensum; mobilium, motionem; volatilium, volatum; natatilium, natatum: habilium ad germinandum, C germinationem, reptilium, reptationem; earum quæ illuminandi vim habent, illuminationem; quæ urendi vi pollent, ustionem; fluxilium, fluxum. Earum, quæ contemplandi potentia instructæ sunt, contemplationem; quæ generandi facultate valent, generationem; universimque loquendo, cujuslibet naturæ index et definitio est naturalis ipsius operatio; qua sublata et eversa, omnino necesse est ipsam quoque naturam tolli et everti. Sublata urendi facultate, tollitur etiam ignis. Sublata animalis motione, necesse est ipsum quoque animal tolli. Sublata intellectione tollitur itidem pars animæ, quæ intelligendi et ratiocinandi potestate exornata est. Propterea duas in Christo statuimus voluntates et operationes, ne corpus inanime, et animam rationis expertem in illo constituamus. Nam animati corporis operatio est ambulare et laborare. At animæ rationalis operatio est actio illa volendi ratiocinandi et consultandi.

Οὐ μόνον δὲ ἐπὶ ἐμψύχων καὶ κινητικῶν, ἀλλὰ καὶ ἀψύχων καὶ ἀκινήτων ἔστιν εὑρεῖν φυσικὰς ἐνεργείας· ὡς μαρτυρεῖ ἡ σκαμμωνία, καὶ τὰ καθάρσια, τὰ κενωτικῆς ἐνεργείας ὑπάρχοντα. Καὶ ἡ ὑδράργυρος θανατικὴν ποιοῦσα ἐνέργειαν. Καὶ τὸ κώνειον ὁμοίως ἀναιρετικὸν ὑπάρχον. Τὸ δὲ παράδοξον, ὅτι καί τινες διάφοροι φύσεις, στερούμεναι πολλάκις τῶν φυσικῶν ἐνεργειῶν αὐτῶν, ἑτέρας ἐνεργείας τίκτουσιν, οἷον, ἡ λίθος καιομένη, ἀπόλλυσι τὴν ψυχρὰν ἐνέργειαν, ἄσβεστος γινομένη κέκτηται. Ὁμοίως καὶ ἡ κέδρος καιομένη, στερεῖται μὲν τῆς φυσικῆς, καὶ αὐξητικῆς, καὶ βλαστώδους ἐνερ- D

Neque duntaxat in rebus animatis et mobilibus, sed et in inanimatis et immobilibus intueri licet naturales operationes; quod testatur scammonia, et omnia illa, quæ expurgandi evacuandique potentiam habent: et argentum vivum mortem creandi vim possidet. Similiter et cicuta vi sua perimit. Illud admiratione dignum est, quod variæ naturæ, postquam jam naturali sua actione exutæ sunt; alias operationes progignunt; ut lapis exustus, exuit frigidam illam naturam, inque calcem conversus vim illam omnia corpora exurendi induit. Similiter et cedrus exusta privatur naturali illa

augescendi, et germinandi facultate, et aliam quamdam, quæ cedrea dicitur, sanitati procurandæ vermibusque interficiendis appositam assumit.

26 Equidem qui attente et pensiculate rerum appellationes rimari, et perscrutari norunt, facile intelligent, plerasque appellationes quarumlibet rerum non a natura, sed ab operationibus desumptas esse : quippe quæ rebus ex propriis actionibus sint impositæ. Et hujus rei demonstrandæ exordium ab ipsa Dei appellatione petendum est. Nam nomen Dei non subjicit menti nostræ ipsam Dei incomprehensibilem et ineffabilem naturam ; sed ex actione, quam in eo inesse animo concipimus, Deus nominatur. Pari modo et angelus non significat naturam et substantiam illorum spirituum , sed a nuntiandi munere et ministerio, quo funguntur, angeli nomen descendit. Sicut et homo non dicitur talis a sua essentiali conditione , sed quod vultum ad supera erectum habeat , ἄνθρωπος , hoc est, homo nominatur ; quia ex omnibus animalibus, quæ oculis utuntur, solus homo oculis ad sidera erectis præditus est : unde et ipse ex sursum intuendi potestate, ἄνθρωπος vocatur. Alii volunt ἄνθρωπον, hoc est, hominem dictum, quod erectus incedat : cum omnia alia animalia inter eundum terram spectent, vultumque humi abjectum habeant.

Si igitur etiam duæ appellationes naturarum Christi, Deus nimirum et homo, ex naturalibus actionibus derivatæ sunt ; qui fit, quod rubore non suffunduntur illi, qui duas operationes in Christo constituere abnuunt ; cum non prolato ullo ex sacris Litteris, sanctorumve Patrum monumentis, ex ipsis Dei et hominis nominibus, quæ Christo tribuuntur, perspicue redarguantur? Nam ut paulo ante diximus, fere omnis natura nomen ex essentiali sua operatione adepta est. Exempli causa παρθένος, *virgo*, quasi πῦρ θανόν, *ignis mortuus*, seu *extinctus* ; eo quod carnis ardorem exstinguat. Rursus cum περιστερὰν, *columbam*, nominamus, non avis hujus naturam , aut illius qualitatem significamus ; sed operationem, quam exercet, nam ἀπὸ τοῦ πέτασθαι στερρά, quod firmiter volet, dicta est περιστερά. Sic et sequentia nomen traxerunt a naturalibus operationibus : Ἔλαφος, *cervus*, διὰ τὸ ἐλεῖν τοὺς ὄφεις, *quod serpentes tollat*. χελιδών, *hirundo*, διὰ τὸ τὰ χεῖλη δονεῖν ἐν τῷ λαλεῖν, *quod os agitet , cum quid capit ; ὄφις, serpens*, quasi, ὁ φελς, ἤγουν λαλήσας, loquens seu locutus, ad Evam videlicet in Paradiso. δορκάς, *caprea*, ἐκ τοῦ ὀξέως δέρκειν, *quod acutum videat ;* τρυγών, *turtur*, quasi τηρυγών, *quod vroprium genus conservet, ab altero connubio abstinens ;* ἀηδών, *luscinia*, διὰ τὸ ἀεὶ ᾄδειν, *quod semper canat, æstate simul ac hieme ;* γύψ, *vultur*, διὰ τὸ γυρεύειν τὰ ὕψη, *quod sublimia loca pererret ;* ἵππος, *equus*, ἐκ τοῦ ἱπτασθαι ποσίν, *quod pedibus volet ;* **27** ἐλλέβορος, ἑλοῦσα ἤγουν θανατοῦσα βρῶσις, *quasi esca mortem afferens ;* βρὰ enim dicitur βρῶσις ; ἀετός, *aquila*, quasi ἀεὶ γείας, ἰαματικὴν δέ τινα καὶ ἀναιρετικὴν σκωλήκων ἐνέργειαν, τὴν κεδρέαν δίδωσιν.

Ἀμέλει γοῦν τοῖς ἐχεφρόνως τὰς τῶν ὄντων προσηγορίας διασκοπεῖν καὶ ἀνακρίνειν ἐπισταμένοις ἔστιν εὑρεῖν, ὅτι αἱ πλείους πάσης ὑπάρξεως προσηγορίαι , ἐνεργητικὰς, ἀλλ' οὐ φυσικὰς τὰς ὀνομασίας ἔχουσιν ἐκ τῶν ἰδίων ἐνεργειῶν ταύτας λαβοῦσαι, καὶ ἔχουσαι, καὶ λεγόμεναι. Καὶ ἀρκτέον τῆς τοιαύτης ἀποδείξεως, ἐξ αὐτῆς τῆς τοῦ Θεοῦ προσηγορίας τε καὶ ὀνομασίας· Θεὸς γὰρ οὐκ αὐτὴν τὴν οὐσίαν, τὴν ἀκατάληπτον, καὶ ἀνώνυμον τοῦ Δημιουργοῦ ἡμῖν παρίστησιν· ἀλλ' ἐκ τῆς θεωρητικῆς αὐτοῦ ἐνεργείας εἴρηται Θεός. Ὁμοίως καὶ τὸ, ἄγγελος, οὐ τὴν οὐσίαν αὐτὴν, καὶ τὴν ὕπαρξιν τῆς αὐτῶν φύσεως δηλοῖ, ἀλλ' ἐκ τῆς ἀγγελτικῆς αὐτῶν ἐνεργείας, καὶ διακονίας, τὴν ἀγγέλου ὀνομασίαν ἔχουσιν. Ὥσπερ δὲ καὶ ὁ ἄνθρωπος, οὐκ ἐκ τῆς οὐσιώδους αὐτοῦ ποιότητος λέγεται ἄνθρωπος· ἀλλὰ διὰ τὸ ἄνω θρεῖν τὴν ὦπα· εἴρηται ἀνώθρωπος· ὅτι πάντων τῶν ζώων εἰς γῆν ὁρώντων τοὺς ὀφθαλμοὺς ὁ ἄνθρωπος μόνος ἄνω θρεῖ τὴν ὦπα· ἦγουν ἄνω ὁρᾶται ὀφθαλμοῖς· ὥστε καὶ αὐτὸς ἐκ τῆς ἀνωθριωπῆς ἐνεργείας λέγεται ἄνθρωπος. Ἄλλοι δὲ λέγουσιν, ὅτι ἐκ τῆς ἀνορθοπεριπατητικῆς ἐνεργείας ἄνθρωπος ἐκλήθη, πάντων τῶν ζώων κατωκλινῶς κεκυφότων καὶ περιπατούντων.

Εἰ οὖν καὶ αἱ δύο προσηγορίαι τῶν οὐσιῶν τοῦ Χριστοῦ, λέγω δὴ, τὸ, Θεὸς καὶ ἄνθρωπος, ἐκ τῶν φυσικῶν αὐτῶν ἐνεργειῶν τὰ ὀνόματα ἔχουσι, πῶς οὐκ αἰσχύνονταί τινες, ἀπαρνούμενοι τὰς δύο λέγειν ἐπ' αὐτοῦ ἐνεργείας; Οἵτινες χωρὶς πάσης ἑτέρας Γραφικῆς, ἢ πατρικῆς παραστάσεως, ἐξ αὐτῶν τῶν ὀνομάτων τοῦ Χριστοῦ καταισχύνονται ἐκ τοῦ, Θεὸς καὶ ἄνθρωπος. Καθὰ γὰρ πρὸ βραχέος εἰρήκαμεν, σχεδὸν πᾶσα φύσις ἐκ τῆς οὐσιώδους αὐτῆς ἐνεργείας ἔχει τὴν οἰκείαν προσηγορίαν. Οἷόν τι λέγω· παρθένος, ἤγουν *πῦρ θανόν*, κατὰ τὸ τὴν πύρωσιν θανατοῦν τῆς σαρκός. Καὶ πάλιν ὁπηνίκα λέγομεν περιστερὰν, οὐκ αὐτὴν τὴν φύσιν τοῦ ζώου, ἤγουν τῆς σαρκὸς αὐτοῦ τὴν ποιότητα ἐσημάναμεν, ἀλλὰ τὴν ἐνέργειαν, ἣν διαπράττεται. Ἀπὸ γὰρ τοῦ πέτασθαι στερρὰ, εἴρηται περιστερά. Καθὰ καὶ τὰ ἑξῆς οὐ φυσικὰς, ἀλλ' ἐνεργητικὰς ἔχουσι τὰς οἰκείας προσηγορίας· οἷον Ἔλαφος, Ἔλαφος διὰ τὸ ἐλεῖν τοὺς ὄφεις· χελιδὼν, διὰ τὸ τὰ χεῖλη δονεῖν ἐν τῷ λαλεῖν· ὄφις, τοῦτ' ἔστιν ὁ φελς, ἤγουν ὁ λαλήσας πρὸς τὴν Εὔαν ποτέ· δορκὰς ἐκ τοῦ ὀξέως δέρκειν καὶ ὁρᾷν· τρυγὼν, τηρυγὼν, ὅτι τηρεῖ τὸ οἰκεῖον γένος, μὴ διγαμοῦσά ποτε· ἀηδὼν, διὰ τὸ ἀεὶ ᾄδειν ἐν θέρει, καὶ ἐν χειμῶνι· γὺψ, διὰ τὸ γυρεύειν τὰ ὕψη· ἵππος, ἐκ τοῦ ἵπτασθαι ποσίν· ἐλλέβορος, ἑλοῦσα, ἤγουν θανατοῦσα βρῶσις. Βορὰ γὰρ ἡ βρῶσις εἴρηται. Ἀετὸς, ἤγουν *ἀεὶ ἔτος*, διὰ τὸ πολλάκις ἀνακαινίζεσθαι, καὶ πολλὰ ζῆν· πετεινὸν τὸ τὴν πτέρυγα τεῖνον· ποταμὸς, ὡς πότιμον ἔχων ἐνέργειαν· χείμαρρος, ὅτι τῷ χειμῶνι ῥεῖ· φύσις, ἐκ τοῦ φύειν τὰς ὑποστάσεις· βοτάνη κατὰ τὸ βαδίζειν ἄνω· ὥσπερ καὶ ἄνθος, ἐκ τοῦ ἄνω θέειν, ἤτοι τρέχειν· καὶ ἡ

ψυχὴ δὲ, ἐκ τῆς οἰκείας ἐνεργείας ἔχει τὴν τῆς ψυχῆς προσηγορίαν· ψύχειν γὰρ τὸ ζωοποιεῖν λέγεται. Οὐκοῦν ἐκ τῆς ζωοποιοῦ ἐνεργείας ψυχὴ λέγεται, διὰ τὸ ζωοποιεῖν τὸ σῶμα.

A ἕτος, *perennis*, quod sæpe renovetur, longoque tempore vivat; πετεινόν, *volatile*, τὸ τὴν πτέρυγα τεῖνον, *quod alam tendat*. ποταμός, *fluvius*; ὡς πότιμον ἔχων ἐνέργειαν *quasi potabilem functionem habens*; χείμαῤῥος, *torrens*, ὅτι τῷ χειμῶνι ῥεῖ, *quia hieme fluit*; φύσις, *natura*, ἐκ τοῦ φύειν τὰς ὑποστασεις, *quod hypostases proferat*; βοτάνη, *herba*, *gramen*, κατὰ τὸ βαδίζειν ἄνω, *quod sursum vergat*: sicut et ἄνθος, *flos*, ἐκ τοῦ ἄνω θέειν, *quod se sursum tollat*; ψυχή, *anima* quoque ex propria sua operatione hoc nomen traxit: nam ψύχειν idem est, quod ζωοποιεῖν, *vivificare*. Itaque ex *vivificandi* actione ψυχὴ nominatur; quod *corpus vivificet*.

Καὶ ἕτερα δὲ μυρία ἔστιν εὑρεῖν, ἵνα μὴ λέγω πάντα, κατὰ τὰς ἰδίας ἐνεργείας ἔχοντα τὰς οἰκείας προσηγορίας. Ἐνέργεια γάρ ἐστιν ἡ τῆς φύσεως δύναμις. Οὐ ταυτὸν γὰρ ἐνέργεια, καὶ ἐνεργητικὸν, καὶ ἐνέργημα. Ἐνεργητικὸν γὰρ εἴρηται, αὐτὸ τὸ ὂν, τὸ τῆς οὐσίας πρᾶγμα· ἐνέργημα δὲ τὸ ἀποτέλεσμα, ὅπερ ἀποτελεῖ ἡ ἐνέργεια τοῦ ἐνεργοῦντος. Ἐνέργημα Θεοῦ, ὁ οὐρανὸς, ὁ ἄνθρωπος, ὁ ἄγγελος, καὶ πᾶσα ἡ κτίσις. Ἐνέργεια δὲ εἴρηται, διὰ τὸ ἐν ἔργοις εἶναι, ἤγουν φαίνεσθαι. Διττῶς δὲ νοεῖται ἡ ἐνέργεια, λέγω δὴ νοερῶς, καὶ αἰσθητῶς· αἰσθητόν ἐστι τὸ ὁρώμενον, καὶ ἀκουόμενον, καὶ φθειρόμενον· νοητὸν δὲ, τὸ ἄφθαρτον, καὶ ἀΐδιον. Νοερὸν δὲ, τὸ, τὰ νοήματα, τὰ ἀόρατα ὁρῶν. Ἐνέργεια, καὶ κατὰ τὸ ἐνεργεῖν, ἤτοι πράττειν εἴρηται. Οὐ ταυτόν ἐστι τὸ θέλημα, καὶ τὸ θελητικὸν, καὶ τὸ θελητόν. Θέλημα μὲν γάρ ἐστιν οὐσίας νοερᾶς νοερὰ ὄρεξις, θελητικὸν δέ ἐστιν αὐτὸ τὸ τὴν θέλησιν ἔχον.

Sexcenta alia invenire licet (ne omnia enumerem), quibus nomina sunt indita ab operationibus, quibus pollent. Energia enim seu operatio est naturæ facultas quædam. Neque idem sunt energia, ἐνεργητικὸν, καὶ ἐνέργημα. Nam τὸ ἐνεργητικὸν (operativum) est ipsamet res, seu rei substantia, ἐνέργημα est effectus, qui ex operantis operatione nascitur, ἐνέργημα effectus Dei est cœlum, homo, angelus, omnisque creatura. Ἐνέργεια operatio, appellatur, διὰ τὸ ἐν ἔργοις εἶναι, quod in operibus versetur. Dupliciter accipitur energia, hoc est, operatio; pro intellectuali scilicet et sensitiva; sub sensum cadit, quod videtur, et auditur, et corrumpitur: sub intellectum, id quod corruptionis expers est, et sempiternum: intellectuale est, quod inaspectabiles notiones intuetur. Energia seu operatio, ab agendo et operando nomen invenit. Non est autem idem voluntas, et voluntate præditum, et quod sub voluntatem cadit. Nam voluntas est substantiæ intellectualis intellectiva appetitio; θηλητικὸν est id, quod volendi facultate valet (8).

B

Περὶ ἑνώσεως.

Τί ἐστιν ἕνωσις; καὶ κατὰ τί εἴρηται ἕνωσις; καὶ ὁσαχῶς νοεῖται ἡ ἕνωσις; Καὶ ἕνωσις μέν ἐστι διεστώτων πραγμάτων κοινωνικὴ συνδρομή. Ἕνωσις δὲ εἴρηται διὰ τὸ εἰς ἓν ὦσαι, τοῦτ' ἔστιν συνωθῆσαι τὰ πράγματα. Πενταχῶς δὲ λέγεται ἡ ἕνωσις· συγχυτικὴ, ὡς ἡ τοῦ οἴνου καὶ τοῦ ὕδατος· διαιρετικὴ, ὡς ἡ ἀνθρώπου πρὸς ἄνθρωπον· σχετικὴ, ὡς τὰ ἔθνη ἐν τῇ πίστει· θετικὴ, ὡς χρυσὸς πρὸς χρυσόν. Ἡ δὲ τοῦ Χριστοῦ ἕνωσις ὑπὲρ πάσας ταύτας καθ' ὑπόστασιν εἴρηται. Καθ' ὑπόστασιν δὲ ἕνωσίς ἐστιν ἡ ἀμφύπαρκτος ἐν τῇ μήτρᾳ τῆς ἁγίας Θεοτόκου, τῶν δύο φύσεων συνδρομή. Οὔτε γὰρ τὸ σῶμα πρὸ τοῦ Θεοῦ Λόγου ὑπέστη ἐκεῖ, οὐδὲ ἡ ψυχή. Ἀλλ' ἅμα σὰρξ, ἅμα Θεὸς Λόγος, ἅμα σὰρξ ἔμψυχος λογικὴ· ἐν αὐτῷ γὰρ ὑπέστη. Καθάπερ, ὡς ἐμοὶ δοκεῖ, καὶ ἡ ἡμετέρα σύλληψις. Ἀμφυπάρκτως συντρέχει ἡ ψυχὴ, καὶ τὸ σῶμα. Οὔτε γὰρ σῶμα καθ' ἑαυτὸ συνίσταται, οὔτε δὲ ψυχὴ προϋπάρχει τοῦ σώματος, προτύπωσις οὖσα τῆς ἑνώσεως τοῦ Χριστοῦ.

C

De unione.

Quid est unio? unde dicitur? et quot modis? Unio est rerum separatarum ad mutuam communionem coagmentatio. Ἕνωσις dicitur διὰ τὸ εἰς ἓν ὦσαι; quod res in unum cogat et redigat. Quinque modis accipitur unio. Primo, pro ea, qua res permiscentur et confunduntur, qualis unio est inter vinum et aquam. Secundo pro ea, qua res dividuntur, qualis unio est hominis ad hominem. Tertia dicitur secundum habitudinem; quo pacto omnes fideles sunt unum in fide. Quarta est θετικὴ, secundum situm et locum, ut cum aurum auro adjungitur. At unio in Christo secundum hypostasin omnes istas longe exsuperat; unio vero secundum hypostasin est illa simul coexsistens in utero Deiparæ duarum naturarum conjunctio. Neque enim corpus prius, quam Deus Verbum ibi exstitit; neque anima; sed pariter caro, et pariter Dei Verbum: pariterque caro animæ rationalis vigore informata. Quod enim in nostra conceptione usu venit, id, meo judicio, hic itidem accidit. Simul enim concurrunt corpus et anima. Nam neque corpus per se exsistit; neque anima exsistit ante corpus; ut proinde adumbratio quædam unionis in Christo existimari possit.

D 28

Περὶ ὁμοουσίου.

Τί ὁμοούσιον· καὶ κατὰ τί εἴρηται ὁμοούσιον; καὶ

De consubstantiali.

Quid est consubstantiale? unde dicitur? et quot

NOTÆ.

(8) Omittit quid sit θελητόν. Est autem res quæ appetitur; uno verbo, appetibile; ad verbum, volibile.

modis? Consubstantiale alteri illud nominatur, quod ejusdem naturæ et operationis invariabiliter consors est; ut homo hominis; angelus angeli; animal animalis; flamma flammæ; quæ in diversis hypostasibus seu suppositis una sunt natura. Ὁμοούσιον dicitur, quod unam naturam seu substantiam et potentiam possideat. Quatuor significat homousion, nimirum *similis substantiæ*, *cognatum*; *ejusdem naturæ*, *ejusdemque sortis*, *et stirpis*. Similis substantiæ est, quod in eadem natura, virtute et facultate minus est: ut lapis jam putris senioque marcidus, et lapis recens excisus. Item lignum palmæ, et lignum ebeni; caro piscis, et caro cameli.

A ὁσαχῶς τὸ ὁμοούσιον; Καὶ ὁμοούσιον μέν ἐστι τὸ τῆς αὐτῆς οὐσίας καὶ ἐνεργείας ἀπαραλλάκτως ὑπάρχον, ὥσπερ ἄνθρωπος ἀνθρώπου, καὶ ἄγγελος ἀγγέλου, καὶ ζῶον ζώου, καὶ φλὸξ φλογὸς, ἐν διαφόροις ὑποστάσεσι μία οὐσία ὄντα. Ὁμοούσιον (9) δὲ λέγεται ὅτι μίαν οὐσίαν, καὶ δύναμιν κέκτηται. Τετραχῶς δὲ εἴρηται τὸ ὁμοούσιον· ὁμοούσιον, καὶ *ὁμογενὲς*, καὶ *ὁμοφυὲς*, καὶ *ὁμόφυλον*. Ὁμοούσιόν ἐστι τὸ τῇ δυνάμει ἐν τῇ αὐτῇ οὐσίᾳ ἔλαττον, οἷον λίθος σαθρὸς, καὶ λίθος ἀκρότομος. Ὁμοίως ξύλον φοίνικος, καὶ ξύλον ἐβένινον, σὰρξ ἰχθύος, καὶ σὰρξ καμήλου.

Ἑτερούσιον est quod omni modo alteri est dissimile, ut ignis et aqua; homo et Deus, angelus et lutum, sol et herba: ἡμιούσιον quasi dicas, *semisubstantiale* nominarunt aliqui carnem mortuam, vitæ exsortem. Τὸ ἑτεροφυὲς καὶ ἀλλογενὲς καὶ ἑτερογενὲς dicitur illud quod est alterius naturæ. ἑκάτερον, quasi utrumque; hoc nimirum et illud; sive ambo.

B Ἑτερούσιόν ἐστι τὸ κατὰ πάντα τρόπον τοῦ ἑτέρου ἀνόμοιον, ὡς πῦρ, καὶ ὕδωρ, καὶ ἄνθρωπος, καὶ Θεὸς, καὶ ἄγγελος, καὶ πηλὸς, καὶ ἥλιος, καὶ πρὸς χλόην· ἡμιούσιόν τινες εἰρήκασι τὴν σάρκα τὴν νεκρὰν ζωῆς κεχωρισμένην. Τὸ ἑτεροφυὲς, καὶ ἀλλογενὲς, καὶ ἑτερογενὲς, τὸ ἑτέρας οὐσίας ὑπάρχον. Ἑκάτερον εἴρηται, τοῦτ' ἔστι τοῦτο, κἀκεῖνο, ἤγουν ἀμφότερα.

Καινοτομία sive innovatio; quod omni ratione a præscripto communis naturæ recedit, et in nullo usitato hominum mori assimilatur. Hanc definitionem nosse oportet, propter illos, qui perperam in Christo καινοτομίαν istam, novumque et extraordinarium modum statuunt. Licet enim præter naturæ leges aliquid egerit, quando sine semine conceptus est; nihilominus post partum plurima, non nova, sed usitata, et ad similitudinem nostram comparata, absque peccato tamen, ut Paulus docet, in ipso videre erat, ut augmentum ætatis, et id genus alia multa ad corpus spectantia; ut ingestionem et egestionem, circumcisionem, exsilium, seu de loco ad locum migrationem: item formam, membra, pilorum, dentium et unguium succretionem; infantilem in loquendo balbutiem, hæsitationem, et incessum. Hæc omnia, non præter naturæ legem se habebant, sed secundum similitudinem aliquam nostri, absque peccato, ut Paulus clamat.

Καινοτομία ἐστὶ τὸ κατὰ πάντα τρόπον παρηλλαγμένον τοῦ νόμου τῆς κοινῆς φύσεως, καὶ ἐν μηδενὶ τῇ τῶν ἀνθρώπων συνηθείᾳ ἐξομοιούμενον. Τοῦτον δὲ τὸν ὅρον ἀναγκαῖον ἐπίστασθαι, διὰ τοὺς κακῶς νοοῦντας τὴν καινοτομίαν ἐν τῷ Χριστῷ. Εἰ γὰρ ἐκαινοτόμησε τὴν φύσιν ἀσπόρως γεννηθεὶς, ἀλλ' ὅμως μετὰ τὸν τόκον τὴν αὔξησιν τῆς ἡλικίας, καὶ τὰ πολλὰ τὰ ἐν τῷ σώματι, καὶ τὰς εἰσκρίσεις, καὶ τὰς ἐκκρίσεις, καὶ περιτομὴν, καὶ μετάστασιν, καὶ τὸ εἶδος, καὶ τὰ μέλη, καὶ τὰς ἐκφύσεις τριχῶν, καὶ ὀδόντων, καὶ ὀνύχων, καὶ ψελλισμάτων, καὶ νηπιώδους περιπάτου. Πάντα ταῦτα οὐ κατὰ καινοτομίαν εἶχεν, ἀλλὰ καθ' ὁμοιότητα ἡμῶν χωρὶς ἁμαρτίας, ὡς ὁ Παῦλος βοᾷ.

C

De anima.

Quid est anima? unde dicitur? et quot modis? Bifariam accipitur anima in Veteri Scriptura; pro rationali nimirum et rationis experte, qualis est brutorum, et aliorum quæ anima constant. Rationalis **29** anima est substantia intellectualis, nomine carens et incognita; vitam et compositionem corpori suppeditans. Anima est substantia tenuis, a materia et figura immunis, imago et forma Dei. Ψυχὴ dicitur διὰ τὸ ψύχειν, sive quod propria sua actione corpus vivificet.

Περὶ ψυχῆς.

Τί ψυχή; καὶ κατὰ τί εἴρηται ψυχή; καὶ ὁσαχῶς λέγεται ἡ ψυχή; Καὶ εἴρηται μὲν ἐν τῇ Γραφῇ τῇ Παλαιᾷ διττῶς ἡ ψυχή· τοῦτ' ἔστιν ἡ λογικὴ, καὶ ἡ ἄλογος, ἡ τῶν κτηνῶν, καὶ τῶν λοιπῶν ἐμψύχων. Ψυχὴ λογικὴ ἐστιν οὐσία νοερὰ, ἀνώνυμος, καὶ ἀγνώριστος, λογικὴ, σώματος ζωτικὴ καὶ συστατικὴ. Ψυχή ἐστιν οὐσία λεπτὴ ἄὔλος καὶ ἀσχημάτιστος, εἰκὼν Θεοῦ καὶ τύπος. Ψυχὴ δὲ εἴρηται διὰ τὸ ψύχειν, ἤτοι διὰ τῆς οἰκείας ἐνεργείας ζωοποιεῖν τὸ σῶμα.

D

Anima rationis expers est operatio sanguinem vivificans, calefaciens, perque spiritum materialem movens et agitans. Anima bruti est materialis quædam potentia, operans, sentiens, corpusque componens.

Ψυχὴ ἄλογός ἐστιν ἡ τοῦ αἵματος ζωτικὴ, καὶ θερμαντικὴ, καὶ κτηνικὴ διὰ πνεύματος ὑλικοῦ ἐνέργεια. Ψυχὴ κτηνώδης ἐστὶ δύναμις ὑλικὴ, ἐνεργητικὴ, καὶ αἰσθητικὴ, σώματος συστατικὴ.

Mens rationalis est immortalis et intellectualis animæ contemplandi facultas. Mens est visio seu

Νοῦς λογικός ἐστιν αἴσθησις θεωρητικὴ ψυχῆς ἀθανάτου, καὶ νοερᾶς. Νοῦς ἐστιν ὅρασις ἀσώματος,

(9) Cod. Aug. hic habet, ὁμοούσιον. Sed necessario legendum videtur, ὁμοιούσιον. Quam lectionem confirmant omnes hujus loci apices.

ἀκαμάτως εἰς πᾶν διατρέχουσα. Ὁσαχῶς ὁ νοῦς ; καὶ λέγομεν, ὅτι τριχῶς, νοῦς Θεοῦ, νοῦς καὶ ὁ ἄγγελος. Νοῦς καὶ ὁ ἡμέτερος.

Σχόλιον. Τίς ἔγνω νοῦν Κυρίου ;

Νοητόν ἐστι τὸ διὰ τοῦ νοούμενον (10)· νοητὸν δὲ εἴρηται διὰ τὸ τὰ νοητὰ ὁρᾷν.

Σῶμά ἐστι κατὰ μὲν τοὺς ἔξω, πᾶν τὸ τριχῶς διαστατόν· ἤγουν, τὸ ἔχον, μῆκος, πλάτος, καὶ πάχος. Κατὰ δὲ τὴν Ἐκκλησίαν, σῶμά ἐστι πᾶν τὸ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι γενόμενον. Καὶ σώματα γὰρ ἐπουράνια, καὶ σώματα ἐπίγεια. Τὰ οὖν ἐπουράνια, οὐκ ἔχουσι πάχος. Εἰδέναι μέντοιγε προσήκει, ὅτι πᾶσα σὰρξ πρόδηλον ὅτι καὶ σῶμα εἴρηται· οὐ πᾶν δὲ σῶμα σὰρξ ὀνομάζεται. Καὶ γὰρ οἱ ἀστέρες σώματα ἐπουράνια λέγονται, οὐ μὴν καὶ σάρκες ἐπουράνιοι. Τὸ σῶμα μὲν οὖν εἴρηται διττῶς· ποτὲ μὲν ὑλικὸν, ποτὲ δὲ λεπτόν. Σῶμα ὑλικόν ἐστι, τὸ δι' ἁφῆς κρατούμενον, καὶ φθορᾷ ὑποκείμενον· σῶμα δὲ λεπτόν ἐστι, τὸ ἀνέπαφον, καὶ ἀψηλάφητον. Σάρξ ἐστι στοχείων συνδρομή. Σάρξ ἐστιν οὐσία ῥευστὴ, ἐξ αἵματος, καὶ φλέγματος, καὶ χυμοῦ συνισταμένη, ἤγουν ἐξ ἀέρος, καὶ γῆς, καὶ πυρὸς, καὶ ὕδατος· τοῦτ' ἔστιν ἐκ θερμοῦ, καὶ ψυχροῦ, καὶ ὑγροῦ, καὶ ξηροῦ. Ὁ ἥλιος τὸ θερμὸν, καὶ ζωτικόν· ὁ ἀὴρ, τὸ ψυχρόν· ἡ γῆ, τὸ ξηρόν· τὰ ὕδατα τὸ ὑγρὸν στοιχεῖον τίκτει.

Στοιχεῖόν ἐστιν οὐσία ἁπλῆ, κτίσεως τετάρτη μοῖρα. Ἡνίκα τοίνυν ἀκούσῃς τοῦ Παύλου λέγοντος· οὐκέτι γινώσκομεν τὸν Χριστὸν κατὰ σάρκα, νόησον, ὅτι σάρκα τὴν φθαρτὴν εἶπεν. Οὐ γὰρ εἴρηκεν, ὅτι οὐκέτι γινώσκομεν Χριστὸν κατὰ σῶμα, ἀλλὰ κατὰ σάρκα, τοῦτ' ἔστι, ἐν οὐσίᾳ ῥευστῇ. Αἰσθήσεις εἰσὶ παρ' ἡμῖν πέντε· τοῦτ' ἔστιν, ὅρασις, ἀκοὴ, ὄσφρησις, γεῦσις, καὶ ἁφὴ, ἤγουν ψηλάφησις. Αἰσθητὸν οὖν ἐστι πᾶν τὸ μιᾷ ἐκ τῶν πέντε τούτων αἰσθήσεων ὑποπίπτον. Αἰσθητήριον δὲ τὸ ὅλον τοῦ σώματος ὄργανον, τὸ τὰς αἰσθήσεις τηροῦν. Αἰσθητικὸν δὲ, πᾶν ζῶον αἴσθησιν φόβου, καὶ θανάτου ἔχον, νοητὸν οὖν ἐστι τὸ διαφεῦγον τὰς πέντε ἡμῶν αἰσθήσεις.

Περὶ φθαρτοῦ

Τί φθαρτόν ; καὶ κατὰ τί εἴρηται φθαρτόν ; καὶ ὁσαχῶς ἡ φθορά ; Εἴρηται μὲν οὖν ἡ φθορὰ κατὰ δύο τρόπους ἐν τῇ θείᾳ Γραφῇ· τοῦτ' ἔστι σωματικῶς, καὶ πάλιν ψυχικῶς, ὡς ὅτ' ἂν λέγει· « Καὶ εἶδεν Κύριος ὁ θεὸς, καὶ ἰδοὺ πᾶσα ἡ γῆ κατεφθαρμένη » τῇ ἁμαρτίᾳ. Καὶ πάλιν εἴρηται περὶ ἀνθρώπων, ὅτι « Διεφθάρησαν, καὶ ἐβδελύχθησαν, ἐν ἀνομίαις, καὶ ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. » Λοιπὸν ἡνίκα ἀκούσῃς διδασκάλου λέγοντος, ἄφθαρτον τὸ σῶμα τοῦ Χριστοῦ ὑπάρχειν πρὸ τοῦ σταυροῦ, νόησον ὅτι κατὰ τὴν φθορὰν τῆς ἁμαρτίας λέγει αὐτὸ ἄφθαρτον, ἤτοι,

A contemplatio incorporea per omnia absque laboris molestia discurrens. Quot modis usurpatur mens ? Tribus ; nimirum pro mente Dei, angelis et nostra.

Scholion. Quis cognovit mentem seu sensum Domini ?

Quod mente intelligitur, intelligibile nominatur ; νοῦς vocatur, quod τὰ νοητὰ videat.

Corpus, secundum externæ philosophiæ professores, dicitur omne illud quod trina dimensione constat : videlicet, longitudine, latitudine et profunditate. At ex Ecclesiæ doctrina corpus est omne, quod ex non ente factum est ens. Corporum alia sunt cœlestia ; alia terrestria. Cœlestia non habent profunditatem. Sciendum est omnem carnem dici corpus ; at non omne corpus carnem. Etenim stellæ B sunt cœlestia corpora ; minime vero caro cœlestis. Corpus bifariam usurpatur, interdum pro materiali ; interdum pro subtili et tenui. Corpus ex materia concretum est quod sub tactum et interitum cadit. Corpus subtile illud est, quod contactum fugit. Caro est elementorum concretio. Caro est substantia fluxilis ex sanguine, phlegmate, humoribus, et ex aliis conflata, nimirum ex aere, terra, igne, aqua ; hoc est, ex calido et frigido, ex humido et sicco. Sol producit calidum et vitale : aer frigidum ; terra, siccum ; aqua, humidum.

Elementum est substantia simplex, rei creatæ quarta pars. Quando igitur audieris Paulum dicentem : Quia non secundum carnem Christum cognoscimus [26], scire debes carnem pro corruptione ab C eo usurpatam. Non enim dixit nos Christum non cognoscere secundum corpus, sed secundum carnem, hoc est, in natura fluxili et labili. Sensus quinque sunt : visus, auditus, olfactus, gustus et tactus. Sensibile est omne illud, quod sub aliquem ex prædictis sensibus cadit. Sensorium **30** seu instrumentum sentiendi est totum illud in corpore organum, quod quemlibet sensum conservat. Omne animal sensu præditum est, habens sensum timoris et mortis. Intelligibile dicitur illud, quod quinque sensus nostros fugit.

De corruptibili.

Quid corruptibile ? unde et quot modis dicitur ? D Accipitur corruptio dupliciter in divinis Litteris, corporaliter et spiritualiter ; ut illic : « Vidit Dominus, et ecce omnis terra corrupta erat [27] » peccato. Alibi de hominibus : « Corrupti et abominabiles facti sunt in iniquitatibus et studiis suis [28]. » Cæterum quando audis a doctore corpus Christi ante crucem fuisse incorruptibile, accipere id debes de incorruptione a peccato ; hac enim corruptione non erat corruptibile ; quippe immaculatum prorsus et illibatum ; non autem intelligendum est,

[26] II Cor. v, 16. [27] Gen. VI, 11. [28] Psal. LII, 2.

NOTÆ.

(10) Lego Græce τὸ διὰ τοῦ νοῦ νοούμενον, νοητὸν εἴρηται· νοῦς δὲ διὰ τὸ τὰ νοητὰ ὁρᾷν.

quasi corpus Christi quoad mortalitatem alienum quid et peregrinum a nostris corporibus habuerit. Incorruptibile enim proprie est id, quod passionis, materiæ, omnisque contactus expers est. Incorruptibile est, quod ab alia substantia lædi non potest. Incorruptibile est, quod nihil quoquo modo perdit, quod nullius eget, quod sauciari nequit. At sacrosanctum Christi corpus et passionem subiit, et transfixum est clavis et lancea, sanguine et aqua inde manante; et ex vivo exsors vitæ redditum est.

A ἀμίαντον, καὶ οὐ κατὰ λεπτότητά τινα, καὶ ἀλλοτριότητα τῶν ἡμετέρων σωμάτων. Ἄφθαρτον γὰρ κυρίως ἐστὶ τὸ ἀπαθὲς, καὶ ἄῦλον, καὶ ἀψηλάφητον. Ἄφθαρτόν ἐστι τὸ ὑφ' ἑτέρας οὐσίας βλαβῆναι μὴ δυνάμενον. Ἄφθαρτόν ἐστι τὸ κατὰ πάντα ἄρευστον καὶ ἀνενδεὲς, καὶ ἄτρωτον· τὸ δὲ πανάγιον σῶμα Χριστοῦ, καὶ πέπονθε καὶ ἐτρήθη τοῖς ἥλοις, καὶ τῇ λόγχῃ καὶ αἷμα, καὶ ὕδωρ ἐξήγαγε, καὶ ἐκ ζωῆς νεκρὸς γέγονε

Corruptibile est omne quod mortis et interitus capax, et a vita separabile est. Corruptio naturæ est, ut dicit sanctus Dionysius, imbecillitas quædam et defectio naturalium habituum, et operationum, et potentiarum. Quidam dixerunt sanctissimum Christi corpus potentia fuisse corruptibile; hoc est, corruptionis capax; virtute vero divini Verbi conservatum esse in sepulcro absque corruptione. Καταφθορὰ est omnimoda rei destructio et interitio. Διαφθορὰ est, quando alia substantia per aliam perditur; ut corpus a vermibus. Μορφὴ (forma) dicitur (11), quasi τῶν μορίων ὑφὴ, partium textus et nexus; μόρια δὲ μορφῆς, partes formæ, sunt hypostases.

B Φθαρτὸν δέ ἐστι πᾶν τὸ θανάτου δεκτικὸν, καὶ ζωῆς χωριστικόν. Φθορὰ δὲ φύσεώς ἐστιν, ὡς φησιν ὁ ἅγιος Διονύσος, ἀσθένειά τε, καὶ ἔλλειψις τῶν φυσικῶν ἕξεών τε, καὶ ἐνεργειῶν, καὶ δυνάμεων. Τινὲς δὲ εἶπον, ὅτι δυνάμει μὲν φθαρτὸν ἦν τὸ πανάγιον σῶμα Χριστοῦ, τοῦτ' ἔστι, δεκτικὸν φθορᾶς. Ἐνεργείᾳ δὲ διετηρήθη ἐν τῷ μνήματι ὑπὸ τῆς θεότητος τοῦ λόγου ἄφθαρτον. Καταφορά ἐστιν ἡ παντελὴς ἀπώλεια. Διαφθορά ἐστιν, ὅτ' ἂν ἄλλη οὐσία δι' ἑτέρας ἀφανίζηται, ὥσπερ τὸ σῶμα ὑπὸ σκωλήκων. Ἡ μορφὴ, ὡς τῶν μορίων ὑφὴ ἐκλήθη μορφὴ, ἤτοι οὐσία· μόρια δὲ μορφῆς, αἱ ὑποστάσεις αὐτῆς λέγονται, ἤτοι τὰ μέρη.

Scholion. Homo quadruplicem notionem in Scriptura habet. Accipitur enim pro Deo, pro angelo, pro Satana; pro interiore et exteriore homine nostro. Homo est animal rationale erecti incessus, et latis unguibus præditum; vel animal rationale, materiale, risibile; vel, animal conflatum ex diversis naturis simul tempore modoque inexplicabili compositis; **31** vel, animal rationale, mortale, mentis et scientiæ capax. Animal dicitur, ut ab inanimatis sejungatur; rationale, ut separetur a natura rationalis experte; mortale, ut significetur discrimen ab immortali angelorum substantia; mentis et rationis capax, tanquam id quod imaginem Dei secundum gratiam præfert. Angelus est animal rationale, igneum, somni expers (12).

C *Σχόλιον.* Ὁ ἄνθρωπος εἴρηται τετραχῶς ἐν τῇ Γραφῇ. Ἄνθρωπος ὁ Θεὸς, καὶ ὁ ἄγγελος, καὶ ὁ Σατανᾶς· καὶ ὁ ἐντὸς, καὶ ὁ ἐκτὸς ἡμῶν ἄνθρωπος. Ἄνθρωπός ἐστι ζῶον λογικὸν ὀρθοπεριπατητικὸν πλατυώνυχον· ἢ, ζῶον λογικὸν, ὑλικὸν, γελαστικόν· ἢ ζῶον ἐξ ἐναντίων οὐσιῶν, ὁμόχρονος, καὶ ἀῤῥήτος σύνθεσις· ἢ ζῶον λογικὸν, θνητὸν, νοῦ, καὶ ἐπιστήμης δεκτικόν. Ἑρμηνεύεται ζῶον, κατὰ ἀφορισμὸν τῆς ἀψύχου κτίσεως· λογικὸν, κατὰ ἀφορισμὸν τῆς ἀλόγου οὐσίας· θνητὸν, κατὰ διορισμὸν τῆς ἀθανάτου τῶν ἀγγέλων ὑπάρξεως· νοῦ, καὶ ἐπιστήμης δεκτικὸν, ὡς ἐν εἰκόνι Θεοῦ κατὰ χάριν ὑπάρχον. Ἄγγελός ἐστι ζῶον λογικὸν, πύρινον, ἄῦπνον (12).

De fide.

Quid est fides? unde et quot modis recta fides dicitur? Fides est conceptio menti insita, seu substantia animo concepta, vocatur πίστις κατὰ τὸ πείθεσθαι εἰς τί, quia obedit, ut credat aliquid. Recta fides bifariam accipitur. Est enim fides ex auditu prædicationis. Alia firmior, est « bonorum sperandorum substantia [39]. » Et illam quidem, quæ est ex auditu, omnes homines possidere possunt (13): alteram vero soli justi possident. Orthodoxia est

D *Περὶ πίστεως.*

Τί πίστις; καὶ κατὰ τί εἴρηται πίστις; καὶ ὁσαχῶς ἡ ὀρθὴ πίστις; Πίστις ἐστὶν ἐνδιάθετος ὕπαρξις, πίστις δὲ εἴρηται κατὰ τὸ πείθεσθαι εἰς τί. Διττῶς δὲ νοεῖται ἡ πίστις ἡ ὀρθή. Ἔστι γὰρ πίστις ἐξ ἀκοῆς τοῦ κηρύγματος. Καὶ ἔστι βεβαιοτέρα πίστις, « ἡ τῶν ἐλπιζομένων ἀγαθῶν ὑπόστασις. » Καὶ τὴν μὲν ἐξ ἀκοῆς πάντες ἄνθρωποι ἔχειν δύνανται (13)· τὴν δὲ δευτέραν μόνοι οἱ δίκαιοι κέκτηνται. Ὀρθοδοξία ἐστὶν ἀψευδὴς περὶ Θεοῦ, καὶ κτίσεως ὑπό-

[39] Hebr. xi, 1.

NOTÆ.

(11) Nomen μορφῆς accipit pro οὐσία, μορφὴ ἤτοι οὐσία. Sic et supra.

(12) Alludit ad illud David: *Qui facit Angelos suos spiritus, et ministros suos ignem ardentem.*

(13) Considerat fidem prout cum certa spe et charitate jungitur; cujusmodi fide mali, qua mali, præditi esse non possunt.

ληψις · ἡ ἔννοια περὶ πάντων ἀληθὴς, ἡ δόξα τῶν ὄντων καθάπερ εἰσίν.

A vera et recta de Deo rebusque creatis existimatio. vel vera de omnibus notitia mentis, vel opinio de rebus, prout sunt.

Περὶ Λόγου.

Τί λόγος; καὶ ὁσαχῶς ὁ λόγος; καὶ κατὰ τί εἴρηται λόγος ὁ λόγος; Εἴρηται μὲν οὖν ὁ λόγος τριχῶς · λόγος ἐνούσιος, ὁ Θεὸς λόγος, λόγος ἐνδιάθετος ὁ τῶν ἀγγέλων, καὶ ὁ ἐν τῇ ἡμετέρᾳ διανοίᾳ λαλῶν, λόγος καὶ ὁ προφορικὸς τῆς γλώττης. Λόγος δὲ εἴρηται ἐκ τοῦ λέγειν. Λόγος προφορικός ἐστιν ἄγγελος νοήματος.

De verbo.

Quid verbum? quot modis accipitur, et unde nomen ducit? Verbum tria significat: Verbum substantiale, scilicet divinum illud; verbum angelicæ et nostræ menti insitum, et verbum quod lingua profertur. Λόγος dicitur a λέγειν, a dicendo. Verbum vocale est mentis et cogitationis nuntius.

Χριστιανός ἐστιν ἀληθινὸς οἶκος Χριστοῦ λογικὸς, δι' ἔργων ἀγαθῶν, καὶ δογμάτων εὐσεβῶν συνιστάμενος. Αἱρετικός ἐστι συκοφάντης, καὶ κατήγορος ἀληθείας · ἡ ψευδὴς ὑπόληψις τοῦ μὴ ὄντος. Ἄτρεπτόν ἐστι τὸ ἀεὶ ὡς αὕτως ἔχον. Φυσικόν ἐστιν, ἡ τὸ ἐν τῇ φύσει κείμενον, ἡ, τὸ κατὰ κοινὴν, καὶ καθολικὴν συνήθειαν γινόμενον, ἡ τὸ ἀληθῶς ἀληθὲς γνωριζόμενον. Παρὰ φύσιν ἐστὶν, ὃ ὁ Θεὸς οὐχ οὕτως πεποίηκεν, ἡ ὅπερ ὅλως οὐ πεποίηκεν, οἷόν ἐστιν ἡ ἁμαρτία, καὶ ὁ θάνατος. Ὑπὲρ φύσιν ἐστὶ, ὃ τοῦ κρείττονος οὗ γέγονε μεταποιούμενον. Οἷον, κατὰ φύσιν, ὁ γάμος · παρὰ φύσιν, ἡ πορνεία · ὑπὲρ φύσιν ὁ τοῦ Χριστοῦ τόκος.

Verus Christianus est rationalis domus Christi, ex bonis operibus, piisque dogmatibus constituta. B Hæreticus est sycophanta et accusator veritatis, vel falsa existimatio de eo, quod non est. Immutabile est, quod semper se eodem modo habet. Naturale est, quod fit secundum communem et universalem consuetudinem: vel, quod vere verum esse cognoscitur. Præter vel contra naturam est, quod Deus non ita fecit; vel quod omnino non fecit, cujusmodi est peccatum et mors. Supra naturam est, quod diversa ratione ab usitato modo factum est, idque beneficio præstantioris causæ. Secundum naturam est matrimonium; contra naturam, fornicatio; supra naturam, Christi conceptio et generatio.

Θέωσίς ἐστιν, ἡ ἐπὶ τὸ κρεῖττον ὕψωσις, οὐμὴν φύσεως μείωσις, ἢ μετάστασις. Οἰκονομία ἐστὶν ἑκούσιος μεγέθους συνκατάβασις πρὸς σωτηρίαν τινῶν ἐπιτελουμένη · θεωθὲν λέγεται τὸ, πρὸς μείζονα δόξαν ἀνυψωθὲν, οὐ μὴν τῆς οἰκείας φύσεως ἀλλοιωθέν. Ἡ σύγκρασις ποτὲ μὲν τὴν ἕνωσιν, ποτὲ δὲ τὴν σύγχυσιν δηλοῖ. Λύπη ἐστὶν ἔνδεια ὀρέξεως. Ὄρεξις δέ ἐστιν ἡ τοῦ ἐπιθυμητικοῦ μέρους τῆς ψυχῆς κίνησις. Ἐπιθυμητικὸν δέ ἐστι τὸ θελητικὸν, ὥστε τὴν λύπην, τὴν ἐπαινετὴν ὁ Χριστὸς ἐν τῷ θελητικῷ μέρει τῆς ψυχῆς ἑκουσίως ἐδέξατο. Λύπη γὰρ κατὰ τὸ λεῖπον εἴρηται. Τοίνυν ἐν ἀληθείᾳ ἐλυπεῖτο Χριστὸς τὴν ἀπώλειαν Ἰούδα, καὶ Ἰουδαίων, καὶ Ἱερουσαλὴμ, ἣν καὶ ἐδάκρυσεν ἐν ἀληθινῇ αἰσθήσει ψυχῆς λυπούμενος, καὶ δεικνὺς τὸ φύσει φιλάνθρωπον.

Deificatio est ad id quod excellentius est, evectio; non tamen naturæ imminutio aut transmutatio. Œconomia est voluntaria descensio et dimissio (seu dejectio) ob aliquorum salutem instituta. Deificatum vocatur, quod ad majorem gloriam elevatum est, non tamen a propria natura alienatum. Commistio interdum unionem, interdum confusionem significat. Tristitia est inopia appetitionis. Appetitio **32** est concupiscentis partis in anima motio. *Concupiscibile* idem est, quod volendi vi pollens. Itaque Christus sponte sua tristitiam illam quæ laudem meretur, in ea animæ parte, quæ volendi facultate valet, suscepit. λύπη enim dicitur κατὰ τὸ λεῖπον, *a defectu*. Christus ergo in rei veritate tristabatur ob perditionem Judæ, et Judæorum, et civitatis Hierosolymitanæ, super quam etiam D vero doloris sensu flevit, ipsis lacrymis humanitatem illam a natura omnibus insitam testatus.

Ἀδημονία ἐστὶ σκυθρωπὴ τῆς ψυχῆς διάθεσις, ἐπὶ ἀποτυχίᾳ τινὸς τῶν ποθουμένων γινομένη. Ἐμβρίμησίς ἐστι ψυχῆς λογικῆς τοῦ θυμικοῦ μέρους ἐνέργεια. Δειλία ἐστὶ συστολὴ ψυχῆς πρὸς ἑαυτὴν, ἐπὶ προσδοκίᾳ τινὸς τῶν οὐ ποθουμένων συνισταμένη. Αὐτεξούσιόν ἐστι τὸ ἀδέσποτον. Τὸ γὰρ ὑπὸ δεσπότην ὄν, οὐκ ἔστιν αὐτεξούσιον. Ἡ γὰρ αὐτεξουσιότης κυρίως ἐστὶν ἡ ἀκυρίευτος πρὸς τὸ καταθύμιον ἀνεμπόδιστος κυρίευσις. Αὐτεξουσιότης ψυχῆς νοερᾶς ἐστιν ἡ ἀκώλυτος πρὸς ἀρετὴν, ἢ κακίαν τοῦ ἐπιθυμητικοῦ ἡμῶν ῥοπή τε καὶ κίνησις. Ἔνθα δὲ κακίας καὶ ἀρετῆς προσβολὴ οὐ γίνεται, ἐκεῖ οὐδὲ

Anxietas est mœsta animi affectio, inde orta, quod aliquid eorum, quæ desiderabantur, non sit obtentum. Indignatio est operatio animæ rationalis, in ea parte, quæ irascibilis appellatur. Timor est contractio animæ ad seipsam, ob exspectationem quorumdam, quæ non appetuntur. Liberum est quod sui juris est. Nam quod sub domino seu alieno jure est, hoc non est liberum; libertas enim proprie est omnis freni, et impedimenti expers potestas persequendi id, quod animo illubescit. Libertas animæ intellectuali competit; et est concupiscibilis partis expedita nulloque obice retardata ad virtutem

vel malitiam propensio et motio. Ubi vero malitia et virtus non objiciuntur, illic libertas (14) reperiri non potest. Qua enim ratione libera eligendi facultas eluceseat, nisi contrariorum oppositu?

Scholion. Notandæ sunt prædictæ definitiones. Nam ad Christum, et ea, quæ Christo competunt, diriguntur.

Sola igitur Christi mens, et sanctissima ejus anima incapax, omnisque malitiæ nescia fuit. Forma enim servi erat, quæ regebatur et gubernabatur a divino Verbo in eadem hypostasi sibi conjuncto. Quocirca hoc etiam profitebatur ea, quæ in Salvatore inerat humana natura: « Non possum a meipso facere quidquam [50]. » Cum enim supra naturæ leges et præscripta sine humano semine, tanquam corpus Dei et anima, subsisteret, Domini nutui et imperio prompte subjiciebatur, tanquam ad divinitatem evecta.

Qualitas est facultas naturæ insita; ut aquæ frigus, igni calor, lapidi durities, siccitas terræ. Qualitas et proprietas, et differentia, et idioma unum idemque significant.

Corpus quadripertitum est, ex quatuor elementis, quemadmodum mundus quispiam, compositum. Tripertita est anima; in corpore sacrosanctam Trinitatem adumbrans, quæ quasi in corpore quodam, in mortuo hoc mundo apparebit, ut eum divina cognitione vivificet. Tripertitam vero animam vocant; quod tanquam elementa intellectualia habet suas **33** partes seu potentias, ex quibus etiam componitur; hoc est, ratiocinandi, concupiscendi et irascendi facultates; ut per vim ratiocinandi virtutis pulchritudinem secum reputet; per vim concupiscendi, Deum amet, dæmonibus irascatur, sumptis in illos armis. Sicut ergo fieri non potest, ut sit corpus non constans quatuor elementis, sic fieri nequit, ut sit anima, quæ non habeat tres prædictas partes quibus constituitur.

De relativis, seu iis, quæ sunt ad aliquid.

Natura vere domina est et genitrix quædam omnium rerum. Quare omnia, quæ a natura proficiscuntur, ex eorum numero sunt, quæ ad aliquid dicuntur. Nam hypostases, filiatio, proprietas, qualitas, simplicitas, et omnia alia ex natura causam suam habent et originem ducunt; et hoc respectu *ad aliquid* dicuntur; hoc est, ex eorum numero, quæ ex naturæ quasi radice dependent; ex quibus etiam sunt voluntas et operatio.

Affirmatio est sententia seu enuntiatio de aliquo prolata: ut cum dicimus: *Fluvius ascendit;* vel: *Princeps ingreditur.* Negatio est affirmationis ever-

ἡ αὐτεξουσιότης τῆς ψυχῆς γνωρίζεσθαι δύναται (14) Πῶς γὰρ ἂν καὶ φανήσεται ἡ αὐτεξούσιος προαίρεσις, ἔνθα προσβολὴ ἐναντία οὐχ ὑφίσταται;

Σχόλιον. Σημειωτέον τοὺς παρόντας ὅρους, εἰς Χριστὸν γὰρ, καὶ εἰς τὰ αὐτοῦ συντείνουσι.

Μόνος τοίνυν ὁ τοῦ Χριστοῦ νοῦς, καὶ ἡ παναγία αὐτοῦ ψυχὴ, ἄδεκτος, καὶ ἀγνώριστος πάσης πονηρᾶς προσβολῆς γέγονεν. Μορφὴ γὰρ δούλου ἦν, χαλιναγωγουμένη, καὶ δεσποζομένη ὑπὸ τοῦ καθ' ὑπόστασιν ἡνωμένου αὐτῇ Θεοῦ Λόγου. Διόπερ καὶ ἔλεγεν ὁ κατὰ τὸν Σωτῆρα νοούμενος ἄνθρωπος· « Οὐ δύναμαι ἐγὼ ἀπ' ἐμαυτοῦ ποιεῖν οὐδέν. » Ὑπὲρ γὰρ τοὺς ὅρους, καὶ νόμους τῆς ἡμετέρας φύσεως ὑποστὰς ἀσπόρως, ὡς Θεοῦ σῶμα, καὶ ψυχὴ ὢν, τῇ τοῦ Δεσπότου νεύσει ἑτοίμως ὑπετάττετο ὡς θεωθείς.

Ποιότης ἐστὶν ἐνούσιος δύναμις, ὡς τοῦ ὕδατος ἡ ψυχρότης, καὶ τοῦ πυρὸς ἡ θερμότης, καὶ τοῦ λίθου ἡ σκληρότης, καὶ τῆς γῆς ἡ ξηρότης. Ποιότης, καὶ ἰδιότης, καὶ διαφορὰ, καὶ ἴδίωμα ἓν, καὶ τὸ αὐτὸ σημαίνη.

Τετραμερές ἐστι τὸ σῶμα, ἐκ τεσσάρων στοιχείων ὥσπερ τις κόσμος συνιστάμενον. Τριμερὴς δὲ ἡ ψυχὴ ἡ ἐν αὐτῷ, προτυποῦσα τὴν ἁγίαν Τριάδα, ὥσπερ ἐν σώματί τινι μέλλουσαν ἐν τῷ νεκρωθέντι κόσμῳ φανερωθῆναι, καὶ τοῦτον τῇ θεογνωσίᾳ ζωοποιῆσαι. Τριμερῆ δὲ λέγουσι τὴν ψυχὴν, ἔχουσαν ὥσπερ τινὰ στοιχεῖα νοερὰ, τὰ ἑαυτῆς μέρη, δι' ὧν καὶ συνίσταται, τοῦτ' ἔστι, τὸ λογιστικὸν, καὶ τὸ ἐπιθυμητικὸν, καὶ τὸ θυμικὸν, ὅπως διὰ μὲν λογιστικοῦ λογίζεται τὴν ἀρετὴν, διὰ δὲ τοῦ ἐπιθυμητικοῦ ἀγαπᾷ τὸν Θεὸν, διὰ δὲ τοῦ θυμικοῦ, ὀργίζεται τοῖς δαίμοσιν, ἀνδριζομένη κατ' αὐτῶν. Ὥσπερ οὖν ἀδύνατον, εἶναι σῶμα μὴ ἔχον τὰ τέσσαρα στοιχεῖα, οὕτως ἀδύνατον, εἶναι ψυχὴν, μὴ ἔχουσαν τὰ τρία μέρη, δι' ὧν καὶ συνίσταται.

Περὶ τοῦ πρός τι.

Ἡ φύσις κυρία πηγαία μήτηρ πάντων, καὶ ὄντος (15) τίς ἐστιν. Πάντα δὲ λοιπὸν, ὅσα ἐκ τῆς φύσεως προσέρχεται τῶν πρός τι λέγονται. Αἱ γὰρ ὑποστάσεις, καὶ ἡ υἱότης καὶ ἰδιότης, καὶ ποιότης, καὶ ἁπλότης, καὶ πάντα τὰ λοιπὰ, ἐκ τῆς φύσεως τὴν αἰτίαν, καὶ τὴν πρόοδον ἔχουσι, καὶ κατὰ τοῦτο τῶν πρός τι λέγονται, τοῦτ' ἔστι, τῶν πρὸς τὴν ῥίζαν τῆς φύσεως ἀποκρεμαμένων, ἐξ ὧν ἐστι καὶ ἡ θέλησις, καὶ ἡ ἐνέργεια.

Κατάφασίς (16) ἐστι δόξα, ἤγουν κατηγορία περί τινος λεγομένη οἷον, ὡς ὅτε λέγομεν· ὅτι, *ὁ ποταμὸς ἀνέρχεται* · ἢ, *ὁ ἄρχων εἰσέρχεται.* Ἀπόφασις (17)

[50] Joan. v, 30.

NOTÆ.

(14) Libertas scilicet quoad speciem actus; potest tamen esse libertas quoad exercitium, vel modum exercitii, si non in omnibus, certe in aliquibus.

(15) C. B. ὄντως.
(16) C. B. τί κατάφασις.
(17) C. B. τί ἀπόφασις.

εἰ ἐστιν ἀνατρεπτὴ τῆς καταφάσεως, οἷον, ὁ ποταμὸς οὐκ ἀνέρχεται, οὐδὲ ὁ ἄρχων εἰσέρχεται.

Ἡ κατηγορία, οὐ πάντως ἐπὶ κακῷ λέγεται, ἀλλὰ καὶ ἐπ' ἀγαθῷ. Κατηγορία γάρ ἐστι πᾶσα περὶ οἵου δή ποτε πράγματος ὁριστικὴ ἔμφασις· οἷον, ὁ Θεὸς ἀγαθὸς φύσει· ὁ διάβολος πανοῦργος· δολερόν, ἡ ἀλώπηξ· κλεπτικόν, ἡ γαλαῖα (18).

Καταχρηστικόν (19) ἐστι πᾶν τὸ μὴ ὁριστικῶς, ἀλλ' ἐν ἀφελότητι, καὶ ἀκακίᾳ, εἰρημένον (20) ὑπό τινος. Ἄτινα οὐδὲ εἰς νόμον, ἢ ὅρον ἀναφέρεσθαι δύναται· οἷόν ἐστι τὸ εἰρημένον, ὅτι τότε ἐνέπτυσαν εἰς πρόσωπον αὐτοῦ. * Οὐ γὰρ παρὰ τοῦτο δυνάμεθα πρόσωπον ἰδικὸν εἰπεῖν τὸ ἅγιον σῶμα αὐτοῦ, ἀλλὰ φύσιν.

A sio et refutatio : ut *Fluvius non ascendit. Princeps non ingreditur.*

Categoria non solum in malam partem (pro accusatione), sed et in bonam sumitur. Categoria enim est quælibet de quavis re definita enuntiatio ; ut, *Deus natura bonus est ; diabolus versipellis et vafer ; astuta vulpes ; furax felis.*

Catachresticum et abusivum est omne illud, quod non definite et simpliciter, sed certo modo, bonaque fide et mente asseritur. Quæ hujus generis sunt, sub certam legem aut definitionem redigi non possunt : quale illud : « Tunc exspuerunt εἰς πρόσωπον, in faciem ejus [81] ; » neque enim hic nomine προσώπου ipsam Christi personam accipere licet, sed naturam.

Περὶ ἐτυμολογίας.

Ἐτυμολογία ἐστὶν ἡ τῆς δυνάμεως τοῦ ὀνόματος ὀρθότης, ἐξ αὐτοῦ τοῦ ὀνόματος ἑρμηνευομένη. Οἷόν τι εἰρήνη, κατὰ τὸ ἠρεμεῖν τὸν νοῦν· ὥσπερ πάλιν ταραχὴ, διὰ τὸ ῥᾷον χεῖσθαι· καὶ πλάνη, κατὰ τὸ πλαγιάζειν τὸν νοῦν· σωφροσύνη κατὰ τὸ σῶα φρονεῖν, ἢ διὰ τὸ τὸ σῶμα φρουρεῖν ἀπὸ ῥύπου· πορνεία εἴρηται, (ὡς) πηρωνία, διὰ τὸ πηροῦν τὴν νεότητα, ἢ διὰ τὸ πηροῦν τὸν νοῦν, ἤγουν, ἐκτυφλοῦν, ἢ πάλιν διὰ τὸ πορρώθεν νεύειν· ἁγνεία, διὰ τὸ ἄγονον ἵστασθαι βίον· ἀγάπη, διὰ τὸ ἄγειν τὸ πᾶν, ἤτοι ἑνοῦν, καὶ συνάπτειν πρὸς ὁμόνοιαν· ἀρετὴ ἀρέσκον Θεῷ τι, ἢ ἀρετὴ, ἤτοι ἐραστὴ, καὶ φιλητή.

B *De etymologia.*

Etymologia est notatio seu rectitudo potestatis, qua nomen pollet, ex ipsa nominis interpretatione desumpta. Exempli gratia, εἰρήνη κατὰ τὸ ἠρεμεῖν τὸν νοῦν, **34** *quod mentem pacificet ac tranquillet ;* sicut ταραχὴ, *turba, tumultus,* διὰ τὸ ῥᾷον χεῖσθαι, *quod facile diffundatur.* Πλάνη *error,* κατὰ τὸ πλαγιάζειν τὸν νοῦν, *quod mentem transversim abripiat.* Σωφροσύνη, *temperantia,* διὰ τὸ σῶα φρονεῖν, *quod quæ ad salutem pertinent, sapiat ;* ἢ διὰ τὸ τὸ σῶμα φρουρεῖν ἀπὸ ῥύπου, *vel quod mentem custodiat a sordibus.* Πορνεία dicitur quasi πηρονία, *mutilatio,* διὰ τὸ πηροῦν τὴν νεότητα, *quod juventutem mutilet ;* ἢ διὰ τὸ πηροῦν τὸν νοῦν, ἤγουν ἐκτυφλοῦν, *quod mentem excæcet ;* vel διὰ τὸ πόρρωθεν νεύειν, *quod eminus annuat.* Ἁγνεία, *castitas,* διὰ τὸ ἄγονον ἵστασθαι βίον, *ob vitam infecundam.* Ἀγάπη *charitas,* διὰ τὸ ἄγειν τὸ πᾶν ; *quod omnia ducat, vel uniat et copulet ad concordiam.* Ἀρετὴ, *virtus:* ἀρέσκον Θεῷ τι, *quiddam Deo placitum, vel* ἀρετὴ, *tanquam* ἐραστὴ *amabilis,* καὶ φιλητὴ, *amicabilis.*

Βάπτισμα, *Βάπταισμα,* ἐν ᾧ βάλλεται, ἤγουν πίπτει τὸ πταῖσμα· ἀγαθὸν, τὸ ἄγαν Θεῖον, ἢ τὸ ἀγαπᾷν Θεόν· θάνατος, θένωτος, διὰ τὸ τίθεσθαι κατὰ νώτου τὸν θνήσκοντα· ᾅδης, διὰ τὸ ἄδηλον, ἄδυς, ἄδηλος δύσις, ἢ ἄδηλος δῆσις ᾅδης· ἀνάστασις, ἄνω στάσις, ἤτοι ἔγερσις· φθορὰ ἐκ τοῦ φθείρεσθαι ῥᾷον, ἤτοι σήπεσθαι εὐχερῶς· φθίσις γὰρ ἡ σῆψίς ἐστι· σορὸς, ἐν ᾧ τὸ σῶμα ῥεῖ, ἤτοι καταῤῥεῖ· σῶμα, σώαιμα, σῶον αἷμα ἐν τῷ ἅμα· μέλη, ὡς ἵνα εἴπῃς, μέρη· κοινωνία, εἰς κοινὸν ἰέναι τὰ μέρη· σταυρὸς στᾶ εὖρος, στάσις, καὶ εὖρος, ἤγουν μῆκος καὶ πλάτος· εὖρος γὰρ τὸ πλάτος ἐστίν· θυσιαστήριον, τὸ τὴν θυσίαν τηροῦν· ἱερεῖον τὸ πρόβατον εἴρηται, διὰ τὸ ἵεσθαι, ἤγουν φέρειν τὸ ἔριον· λοι-

C Βάπτισμα, quasi βάπταισμα, in quo βάλλεται ἤγουν πίπτει τὸ πταῖσμα, *abjicitur caditque peccatum.* Ἀγαθὸν *bonum,* τὸ ἄγαν Θεῖον, *valde divinum ;* vel τὸ ἀγαπᾷν Θεόν, *Deum amare.* Θάνατος, *mors,* quasi θένωτος, διὰ τὸ τίθεσθαι κατὰ νῶτον τὸν θνήσκοντα, *quod morientem in dorso ponat.* Ἅδης, *infernus,* διὰ τὸ ἄδηλον, *propter obscuritatem,* quasi ἄδυς, ἄδηλος δύσις, vel *obscurus ingressus ;* ἢ ἄδηλος δῆσις, vel *obscura colligatio.* Ἀνάστασις, *resurrectio,* ἄνω στάσις, *quasi rursum statio,* seu *resuscitatio.* Φθορὰ, *corruptio,* ἐκ τοῦ φθείρεσθαι ῥᾷον, *quod facile corrumpatur, vel facile putrescat :* φθίσις enim est *putrefactio.* Σορὸς, *loculus,* in quo τὸ σῶμα ῥεῖ, *corpus diffluit.* Σῶμα, *corpus,* σώαιμα, σῶον αἷμα

[81] Matth. xxvi, 67.

NOTÆ.

(18) C. B. γαλλῆ. Rect. γαλῆ.

(19) C. B. καταχρηστικὸν καὶ κατάχρησις.

(20) C. B. Πᾶν μὴ ὁριστικῶς ἐν ἀφελότητι καὶ ἀκακίᾳ εἰρημένον. Omne quod non definite, simplici et malitiæ experte animo dicitur.

* C. B. οὐ γὰρ παρὰ τοῦτο πράσωπον πρόσωπον ἰδικὸν εἶπε ἅγιον σῶμα αὐτοῦ, ἀλλὰ φυσιν. In cod. cod. hæc subduntur omissa in Aug. : κατάχρησίς ἐστιν, ὅταν ἔκ τινος συνηθείας λέγηταί τι μὴ ὂν αὐτὸ

D κυρίως, ὡς ὅταν τις καὶ τὸν ἐν λίμνῃ ἢ ποταμῷ ἰχθύας ἀγρεύοντα ἁλιέα λέγῃ, κυρίως γὰρ ἐπὶ τῆς θαλάσσης λέγεται ἁλιεὺς, ἅλα γὰρ ἡ θάλασσα. *Catachresis, quando ex quadam consuetudine aliquid dicitur, quod non est proprie ipsum, ut cum quis eum, qui pisces in lacu aut fluvio capit,* ἁλιέα *nominat, cum proprie talis appelletur, qui in mari piscatur.*

ἐν τῷ ἅμα, *incolumis sanguis simul junctus.* Μέλη, *membra*, *quasi dixeris*, μέρη, *partes*. Κοινωνία, *communio*, εἰς κοινὸν ἰέναι τὰ μέρη, *quod partes ad communionem tendant.* Σταυρὸς, *crux*, στᾶ εὖρος, *sta latitudo*, *stasis* καὶ εὖρος, ἤγουν μῆκος καὶ πλάτος, *longitudo et latitudo*; nam latitudo appellatur εὖρος. Θυσιαστήριον, *altare*, τὸ τὴν θυσίαν τηροῦν, *quod sacrificium servet.* Ἱερεῖον vocatur *ovis*, διὰ τὸ ἱεσθαι ἤγουν φέρειν τὸ ἔριον, *quod lanam ferat.* Ἱερεὺς, *sacerdos*, ὁ ἱερεῖον εὖων, ἤτοι προσφέρων, *hostiam immolans.* Hinc nomen invenit ἱερεύς.

A πὸν, ἱερεὺς, ὁ τὸ ἱερεῖον εὖων, ἤτοι προσφέρων, ἐκ τούτου οὖν ἐκλήθη ἱερεύς.

Quæ nomen habent compositum ab ἀνὰ, ea ἄνω, *sursum* significant. Ut ἀναφορὰ, quasi ἄνω φορά, *elatio in altum*: ἀνάστασις, *resurrectio*, ἄνω στάσις; ἀνατολὴ, *oriens*, ἄνω ἐπιτολὴ τοῦ ἡλίου, *ascensio solis sursum*; ἀναγραφὴ, ἀνάγνωσις, ἡ ἄνω γνῶσις, et id genus alia; ut ἀνάβασις (quasi ἄνω βάσις) *ascensus.* Ἀναγκαῖα, *necessaria*, ἡ ἄνωθεν καίνωσις, *renovatio superna*; ἀνάπαυσις, *requies*; ἀνάλημμα, *analemma*; ἀναψυχὴ, *refrigeratio.* Γῆρας, *senectus*, quasi γέρας seu τιμὴ, *honor*; ἢ ὅτι γῆν ὁρᾷ, *vel quia terram spectat.* Λύχνος, *lucerna*, διὰ τὸ λύειν τὸ νύχος, ἤγουν τὸ σκότος, *quod tenebras dissolvat.* Λύπη, *tristitia*, λείπει, quasi a verbo *deficit*, exoritur enim ob defectum aliquem. Ἄνεμος, *ventus*, ὅτι φυσῶν πάλιν ἀναμένει, *quia flans iterum manet.* Ἀῤῥενικὸν, *masculum*, *virile*, *quod victoriam tollat*; σημεῖον, *signum*, *quod signet eum qui illud ponit.*

Ὅσα ὀνόματα ἔχουσι τὸ ἀνὰ, τὸ ἄνω δηλοῦσιν. Οἷον, ἀναφορὰ ἤγουν ἀνωφορά [ἄνω φορά]· ἀνάστασις, ἀνώστασις [ἄνω στάσις]· ἀνατολὴ, ἄνω ἐπιτολὴ τοῦ ἡλίου· ἀναγραφὴ, ἀνάγνωσις, ἡ ἄνωθεν γνῶσις, καὶ τὰ λοιπὰ ὁμοίως. Ἀνάβασις, ἀναγκαία, ἡ ἄνωθεν καίνωσις· ἀνάπαυσις, ἀνάλημμα [ἀνάλυμα], ἀναψυχή. Γῆρας, γέρας, ἤγουν τιμὴ, ἢ ὅτι γῆν ὁρᾷ· λύχνος διὰ τὸ λύειν τὸ νύχος, ἤγουν τὸ σκότος· λύπη, λείπει, ἐπιλείψει γὰρ συνίσταται· ἄνεμος, ὅτι φυσῶν πάλιν ἀναμένει· ἀῤῥενικὸν, ἐκ τοῦ αἴρειν τὸ νίκος· σημεῖον σύσσημον ὃν τοῦ τιθέντος.

Κύων, canis, ἐκ τοῦ συχνῶς κύειν, *quod crebro concipiat.* Κηρὸς, *cera*, ὅτι καιομενος ῥεῖ, *quod fluat*, *cum uritur*, sicut cedrus 35 ustulata sudat; νεφέλη, nubes, διὰ τὸ νάματα ὑφελεῖν, *quod fluenta subtrahat.* Ἐπίσκοπος, *episcopus*, ἐπὶ τῷ σκοπεῖν ὧν, *quod sit in specula.* Καρδία, *cor*, ὡς ἐκ τοῦ κραδαίνεσθαι ἤτοι ἀπαύστως σαλεύεσθαι, *quod indesinenter agitetur.* Νεφροὶ, *renes*, διὰ τὸ ἐν νώτῳ φέρεσθαι, *quod in dorso ferantur*; μετάφρενα, τὰ ὄπισθεν τῆς κεφαλῆς, *quæ retro caput sunt*: ἤγουν μετὰ τὰς φρένας, *post mentem*, *nam mens in capite est.* Κρανίον, *cranium*, ἐν ᾧ κρέμαται ὁ νοῦς, *in quo mens pendet.* Τράχηλος, *collum*, τῆς ῥάχης ἦλος, *quasi spinæ dorsi clavus.* Μύσταξ, *mystax*, ἐν ᾧ οἱ μυκτῆρες στάζουσιν, *in quo nares stillant.* Μηροὶ, *femora*, διὰ τὸν μερισμὸν τοῦ σώματος, *ob corporis divisionem.* Ὦμος δὲ, *humerus vero*, διότι ἡμάς ἐστι τοῦ πλάτους, καὶ μήκους· *quod æqualis sit latitudinis et longitudinis.* Γόνυ, *genu*, ὡς εἰς γῆν νεῦον, *tanquam ad terram innuens.* Ἀγκύλη, *inflexio* seu *curvatura cubiti*, διὰ τὸ ἄνωθεν αὐτῆς κοῖλον, *propter cavitatem ejus.* Μάλαι, *alæ*, *axillæ*, ἐκ τοῦ μαλοῦ τῶν τριχῶν, *a teneritudine pilorum.* Ὀδόντες, *dentes*; οἱ ἐπὶ τῇ ἐδωδῇ ὄντες, *esui destinati.* Χεῖρες, *manus*, διὰ τὸ χεῖσθαι ῥᾷον, *quod facile diffundantur*; καὶ διὰ τὸ τὴν χρείαν ὑπουργεῖν, *et quia subministrant necessaria.* Πόδες, *pedes*, διὰ τὸ παίειν τὸ ἔδαφος, *quod pulsent solum.* Κοιλία, *venter*, *quod concipiat* θάλεα. Ἔντερα, *viscera*, *quod intus fluant.* Πνεύμων, *pulmo*, quia in ipso sunt πνεύματα, *spiritus.*

Κύων, ἐκ τοῦ συχνῶς κύειν· κηρὸς, καιόμενος ῥεῖ, ὥσπερ κέδρος καιόμενος ἱδροῖ. Νεφέλη, διὰ τὸ νάματα ὑφέλλειν (21). Ἐπίσκοπος ἐπὶ τῷ σκοπεῖν ὧν· καρδία, ὡς ἐκ τοῦ κραδαίνεσθαι, ἤτοι ἀπαύστως σαλεύεσθαι· νεφροὶ, διὰ τὸ ἐν νώτῳ φέρεσθαι· μετάφρενα, τὰ ὄπισθεν τῆς κεφαλῆς, ἤγουν μετὰ τὰς φρένας. ἐν τῇ κεφαλῇ γὰρ φρένες· κρανίον, ἐν ᾧ κρέμαται ὁ νοῦς, εἴρηται· τράχηλος, τῆς ῥάχης ἦλος· μύσταξ, ἐν ᾧ οἱ μυκτῆρες στάζουσι· μηροὶ, διὰ τὸν μερισμὸν τοῦ σώματος· ὦμος δὲ, διότι ὁμάς ἐστι τοῦ πλάτους, καὶ τοῦ μήκους· γόνυ, ὡς εἰς γῆν νεῦον· ἀγκύλη, διὰ τὸ ἄνωθεν αὐτῆς κοῖλον· μάλαι, ἐκ τοῦ μαλοῦ τῶν τριχῶν· ὀδόντες, οἱ ἐπὶ ἐδωδῇ ὄντες· χεῖρες, διὰ χεῖσθαι ῥᾷον, καὶ διὰ τὸ τὴν χρείαν ὑπουργεῖν· πόδες, διὰ τὸ παίειν τὸ ἔδαφος· κοιλία, διὰ τὸ κύειν (22) τὰλία· ἔντερα, διὰ τὸ τὰ ἐντὸς ῥεῖν· πνεύμων, ὅτι ἐν αὐτῷ τὸ πνεῦμα.

Sciendum est nomina nonnulla esse peregrina, quorum etymologia explicari nequit, ut *sacellarius*, Syriacum est. *Sacella* enim Syris idem est, quod *recipere.* Similiter *latus*, Romanum est; nam Romanis πλάτος appellatur *latus* seu *latitudo.* Δεσπότης, *dominus*, δεσμός τις, *vinculum quoddam*, *quod omnes ditione sua comprehendat.* Κύριος, *dominus*, quasi κῦρος, *auctoritas*, seu κράτος, *potentia.* Κήρυξ,

Εἰδέναι μέντοι ἐχρῆν, ὅτι τινὰ ὀνόματά εἰσιν ἀλλόγλωσσα, ἅπερ οὔτε δύνανται ἐτυμολογηθῆναι. Οἷον, *σακελλάριος* Συριστὶ ἐστι· *σάκελλα* γὰρ τὸ δέχεσθαι εἴρηται. Ὁμοίως *λάτος* Ῥωμαϊστὶ εἴρηται· *λάτος* γὰρ πλάτος κέκληται. Δεσπότης δεσμός τις, διὰ τὸ πάντας περιέχειν, καὶ συγκρατεῖν· Κύριος, *κῦρος* τὸ κράτος εἴρηται· κήρυξ, τῇ κινήσει ῥᾷον ὀξύς· Ὕψιστος, ὁ ἐν τῷ ὕψει ἑστώς· οὐρανὸς, ὅρασις

NOTÆ.

(21) Fort. ὀφελεῖν vel ὀφέλκειν.

(22 ita C. A. Quod quid sit quæro. Forte legendum, θάλεα, (quæ vox significat omnia bona, quæ hominem quasi florere, et virere faciunt, fort. θάλεια, *florida*, *læta*, *jucunda* παρὰ τὸ θάλειος.

ἄνω· σελήνη, σέλας νηπιάζον· ἥλιος, διὰ τὸ ἕεσθαι, τὸ ἕως γὰρ ἡ ἀνατολή· πλειὰς, ἐκ πλειόνων ἀστέρων οὖσα· ἑωσφόρος, τὴν ἕως φέρεσθαι, ἤγουν *ἀνατολήν*· πωμάριν [πωμάριον forte] ῥωμαϊστί ἐστιν ἡ λέξις, *πώμαρα* [πωμάρια] γὰρ λέγουσι τὰ κηπία· Αἴγυπτος, ἐγγύποτος, ὡς ἐγγίζουσα τῷ πότῳ, ἢ τῷ ποταμῷ· Νεῖλος, διὰ τὸ νεάζειν τὴν ὕλην· Βαβυλὼν, Ἑβραΐα ἡ λέξις, Βαβὲλ, τοῦτ' ἔστι *σύγχυσις*, ἢ *τάραχος*· νυμφίος, ὁ νῦν φιλῶν νύμφην· νοτάριος, Ῥωμαΐα ἡ λέξις· *Νότα* γὰρ τὰ γράμματά εἰσι Ῥωμαϊστί· νήπιον, νέον πίον, ἤγουν λιπαρόν· νεώτερος, ὁ νέος τῇ ὁράσει· ναύτης, τῆς νηός τις· κόρη, κώλυσις τοῦ ῥεῖν ἤτοι πρὸ τοῦ τόκου, ἤτοι πρὸ τῶν αἱμάτων. καὶ ἡ κόρη τοῦ ὀφθαλμοῦ, ὡς τοῦ κύκλου ῥέειν τὸ δάκρυον. Λέγεται ἐκ τούτου κολούριον, τὸ κωλύον τὸ ῥέον. Εἴρηται ὀφθαλμὸς, ὅρασις θολουμένη· ὠμῶς, ἤγουν χαλεπῶς· σχόλιον εἴρηται, διὰ τὸ κατὰ σχολὴν παρατίθεσθαι πρὸς φερτέραν ἑρμηνείαν τῶν δυσνοήτων, νοημάτων, ἢ ῥημάτων.

A *præco*, τῇ κινήσει ῥᾷον ὀξύς· *facile mobilis et agilis*. Ὕψιστος, *altissimus*, ὁ ἐν ὕψει ἑστὼς, *qui in alto stat*. Οὐρανὸς, *cœlum*, ὅρασις ἄνω, *superna visio* seu *contemplatio*. Σελήνη, *luna* : σέλας νηπιάζον, *quasi recens, et*, ut sic dicam, *infantilis lux*; ἥλιος, *sol*, forte, *quod auroram ferat*. Ἕως enim est ἀνατολὴ, *oriens* seu *aurora*. Πλειὰς, *pleias*, ἐκ πλειόνων ἀστέρων οὖσα, *quod ex pluribus stellis constet*. *Lucifer*, *quod lucem seu auroram ferat*. Πωμάριον, *pomarium*, Romana dictio est; *hortos* enim vocant *pomaria*. Αἴγυπτος, ἐγγύποτος, ὡς ἐγγίζουσα τῷ ποτῷ ἢ τῷ ποταμῷ, *tanquam propinquans potui aut flumini*. Νεῖλος, *Nilus*, διὰ τὸ νεάζειν [*forte*, τὴν ἰλὺν, *quod limum renovet*], τὴν ὕλην, quod *materiam renovet*. *Babylon*, Hebræa dictio, hoc est *confusio* vel *tumultus*. Νυμφίος, *sponsus*, ὁ νῦν φιλῶν νύμφην, *qui nunc sponsam amat*. Νοτάριος, Romana vox; nam *notæ* Romana lingua sunt litteræ. Νήπιον, *infans*, νέον πίον, ἤγουν λιπαρὸν, *recens res pinguis*. Νεώτερος, *junior*; ὁ νέος τῇ ὁράσει, *qui aspectu juvenis est*. Ναύτης, *nauta*; τῆς νηός τις, *quidam de nave*. Κόρη, *puella*; *prohibitio fluxus vel ante partum, vel ante menses*; *pupilla oculi*, ὡς τοῦ κύκλου ῥεῖν τὸ δάκρυον, *quod in orbem fluat lacryma*. Hinc et κολούριον, *collyrium*, τὸ κωλυόμενον τὸ ῥέον, *quod fluxum sistat*. Dicitur ὀφθαλμὸς, *oculus*; ὅρασις θολουμένη, *visio turbida*; ὠμῶς, ἤγουν χαλεπῶς, *difficulter*; σχόλιον nominatur, διὰ τὸ κατὰ **36** σχολὴν παρατίθεσθαι, *quod per otium adjungatur ad majorem explicationem difficilium rerum aut verborum*

B

Μὴ ἀγνοήτω ὁ φιλομαθὴς μηδὲ τοῦτο, λέγω δὴ, ὅτι ὁ φιλοπόνως ἐγκύπτων τοῖς προκειμένοις ὅροις, πᾶσαν τὴν δύναμιν τῶν δογμάτων ἐν αὐτοῖς προαποκειμένην εὐχερῶς ἐκμανθάνει. Ἰστέον ὅτι καὶ αἱ δύο προσηγορίαι τοῦ Χριστοῦ, λέγω δὴ τὸ, *Θεὸς* καὶ *ἄνθρωπος*, ἐνεργητικῶς λέγονται ἐκ τῶν οἰκείων αὐτῶν ἐνεργειῶν οὕτως ὀνομασθεῖσαι. Καὶ γὰρ τὸ, *Θεὸς*, οὐ τὴν οὐσίαν τῆς θεότητος σημαίνει· ἀκατάληπτος γὰρ αὕτη, καὶ ἀνώνυμος ἡμῖν· ἀλλ' ἐκ τῆς θεωρητικῆς αὐτοῦ ἐνεργείας Θεὸς εἴρηται, ὥς φησιν ὁ ἅγιος Διονύσιος, ἢ ἐκ τοῦ θέειν, ἤγουν *διατρέχειν*, καὶ *φλογίζειν*. Ὁμοίως καὶ τὸ, *ἄνθρωπος*, οὐκ αὐτὴν τὴν φύσιν δηλοῖ, ἀλλὰ τὸ ἄνω θρεῖν τὴν ὤπα, τοῦτ' ἔστιν ἄνω ὁρᾷν τὴν τῶν ὀφθαλμῶν ἐνέργειαν. Εἰ οὖν αἱ δύο προσηγορίαι τῶν Χριστοῦ φύσεων, ἐκ τῶν οἰκείων ἐνεργειῶν τὰ ὀνόματα ἔχουσι, θάμβος τῆς τῶν αἱρετικῶν πηρώσεως, πῶς τὰς οὐσιώδεις αὐτοῦ ἐνεργείας ἀπαρνούμενοι οὐκ αἰσχύνονται.

C

Neque hoc a studioso lectore ignorandum est, quod qui definitiones hucusque traditas diligenter perpenderit animoque reposuerit, is nullo negotio omnem de dogmatibus doctrinam in illis recondi-tam percepturus sit. Notandum et hoc, duas Christi appellationes, cum *Deus* et *homo* vocatur, ab operatione desumptas esse; nam ex propriis operationibus hæc nomina Christo obtigerunt. Nam *Deus* non significat ipsam divinitatis substantiam; comprehendi enim a nobis et nominari nequit, sed ex actione, quæ ei inest, Dei nomen adeptus est, ut dicit sanctus Dionysius, ἢ ἐκ τοῦ θέειν ἤγουν *διατρέχειν* καὶ *φλογίζειν*, vel a *currendo* et *inflammando*. Similiter et *homo* non significat ipsam substantiam, sed quod oculis sursum aspiciat. Quod si duæ istæ Christi appellationes ex actionibus propriis deductæ sunt, non immerito miramur cæcitatem hæreticorum, quo modo non erubescant, quando ab essentia ejus manantes operationes inficiantur.

D

Περὶ τῶν οἰκονομικῶν.

Τὸ, *οἰκονομικῶς* ἐπὶ Χριστοῦ κατὰ τρεῖς δύναται νοεῖσθαι τρόπους, τοῦτ' ἔστιν, ἢ ὡς ὅταν λέγωμεν· οἰκονομικῶς ἐθήλασε, καὶ ἐνηπίασε, καὶ ἠύξησεν ὁ Χριστὸς καὶ ἐκοιμήθη, καὶ ἐπείνασε, τοῦτ' ἔστι κατὰ τὴν φύσιν τῆς οἰκονομίας αὐτοῦ. Λέγομεν πάλιν οἰκονομικῶς καὶ ὅτε γίνεται πρᾶγμα, οὐ πάντως ὀφεῖλον γενέσθαι, γίνεται δὲ διὰ συγκατάβασιν, καὶ σκοπὸν σωτηρίας τινῶν. Ὡς ὅτ' ἂν ὁ Παῦλος περιέτεμε τὸν Τιμόθεον βουλόμενος ἐπισπάσασθαι Ἰουδαίους. Διὸ καὶ συνήγνιζεν ἑαυτόν. Καὶ ἡ περιτομὴ τοῦ Χριστοῦ, κατὰ τοῦτον τὸν τρόπον γέγονεν οἰκο-

De illis quæ ad œconomiam seu Incarnationem pertinent.

Vox œconomiæ seu dispensationis tripliciter de Christo dici potest : primo, ut idem est, quod œconomiæ et dispensationis gratia, qua notione dicimus, Christum per dispensationem ubera matris suxisse, infantis speciem subiisse, crevisse, dormivisse, esurivisse, hoc est, secundum naturam carnis, quam per œconomiam induit. Secundo, per dispensationem aliquid fieri dicimus, quando fit quidpiam, quod non oportebat omnino fieri, fit autem, quia quis intuitu salutis ad aliorum imbecillitatem sese demittit et accommodat: ut cum Paulus

circumcidit Timotheum[32], volens Judæos hac ratione ad Christum adducere. Quocirca et seipsum sanctificavit. Equidem circumcisio Christi hoc modo οἰκονομικῶς peracta est, ne videretur legem dissolvere. Tertio, illud etiam per dispensationem actum est, quando mane ad ficulneam venit, esuriens, eamque arefecit[33], et quando noctu venit ad suos discipulos ambulans super aquas[34], quæ occulta quædam œconomia acta sunt. Hæretici igitur, relictis hujus œconomiæ modis, asserunt id, quod per œconomiam gestum est, non aliter quam secundum phantasiam, opinionem, externamque istam speciem gestum esse.

A νομικῶς· ἵνα μὴ φανῇ καταλύων τὸν νόμον. Ἔστι δὲ πάλιν οἰκονομικὸν, ὅτ' ἂν ἦλθεν εἰς τὴν συκῆν ἀπὸ πρωΐας πεινῶν, καὶ ἐξήρανεν αὐτήν· καὶ ὅτε ἦλθε πρὸς τοὺς μαθητὰς νυκτὸς περιπατῶν ἐπὶ τῶν ὑδάτων, διά τινας οἰκονομίας ἀποκρύφους. Οἱ οὖν αἱρετικοὶ ἀφέντες τὸ κατ' αὐτοὺς τοὺς τρόπους νοεῖν τὸ οἰκονομικὸν, οἰκονομικὸν τὸ ὡς ἐν φαντασίᾳ, καὶ δοκήσει γινόμενον λέγουσι.

Scholion. Observandum est naturas compositas facile esse dissolubiles, ut dicit sanctus Gregorius, quia compositio est diremptionis principium. Hac de causa corpora hominum et animalium facile corrumpuntur et intereunt, utpote ex quatuor naturalibus elementis constituta, **37** quæ perpetuas pugnas ob naturæ diversitatem, inter se ciere solent. At vero res simplices et concretione carentes, firmæ sunt et stabiles, integræque usque ad mundi consummationem perseverant, ut anima humana, sol, lux, luminaria seu stellæ, aer, aqua, ignis, spiritus et omnia quæ simplicia sunt, et solitaria, permistionisque et compositionis expertia. Unde etiam plantæ et arbores, tanquam ex quatuor elementis conflatæ, ex terra, inquam, aqua, sole et aere, ad finem usque non persistunt, senii et interitus exsortes; sed marcescunt moriunturque, ut et alia corpora. Eadem est conditio terræ. Confice laterem ex terra et aqua, et facile frangetur.

Σχόλιον. Ἰστέον, ὡς αἱ σύνθετοι φύσεις, ὡς σύνθετοι πεφύκασιν εἶναι, καὶ εὐδιάλυστοι, ὥς φησιν ὁ Γρηγόριος, ὅτι σύνθεσις ἀρχὴ διαστάσεως. Διὰ τοῦτο γοῦν τὰ σώματα καὶ ἀνθρώπων, καὶ ζώων εὔφθαρτα, καὶ εὔθνητα τυγχάνει ὡς ἐκ τεσσάρων φύσεων στοιχείων συγκείμενα· καὶ οἱονεὶ στοιχείων προσάλληλα ἐναντίως ἐχόντων, καὶ στασιαζόντων. Τὰ δὲ ἁπλᾶ καὶ ἀσύνθετα τῶν πραγμάτων, εὐδιάμονα, καὶ ἕως τῆς συντελείας ἀκατάλλυτα μένει· οἷον ψυχὴ ἀνθρώπου, ἥλιος, φῶς, φωστῆρες, ἀὴρ, ὕδατα, πῦρ, πνεῦμα, καὶ πάντα τὰ ἁπλᾶ, καὶ ἐνιαῖα, καὶ ἀμιγῆ, καὶ ἀσύνθετα. Ὅθεν καὶ τὰ φυτὰ, καὶ δένδρα, ὡς διὰ τῶν τεσσάρων στοιχείων συνιστάμενα, λέγω δὴ γῆς, καὶ ὕδατος, ἡλίου [ἡλίου, intell. πῦρ, ignem], καὶ ἀέρος, καὶ αὐτὰ οὐκ ἀγήρατα, οὐδὲ ἄφθαρτα οὔτε ἀμάραντα ἕως ἔξω διαμένει, ἀλλὰ θνήσκει καθὰ καὶ τὰ σώματα, ὥσπερ καὶ ἡ γῆ συνίσταται. Ποίησον δὲ πλίνθον σύνθετον ἐκ γῆς, καὶ ὕδατος, καὶ εὐχερῶς φθείρεται.

B

Scholion. Refutatio problematis illius apud monophysitas valde decantati: nullam esse naturam sine hypostasi.

Σχόλιον. Ἀνατροπὴ καὶ καθαίρεσις τοῦ πολυθρυλλήτου προβλήματος πάντων τῶν μονοφυσιτῶν, τοῦ φάσκοντος, ὡς οὐκέτι φύσις ἀνυπόστατος.

C

CAPUT III.

Interrogatio orthodoxi.

Vos, qui affirmatis duas esse generationes in Christo, alteram æternam ex Patre secundum divinitatem, alteram ultimis temporibus ex virgine secundum humanitatem, dicite nobis, num sit partus sine hypostasi, et nos vicissim vobis dicemus, num sit natura sine hypostasi. Proprie enim partus est additamentum hypostaseos in eadem natura. Igitur sicut duæ generationes in una Verbi divini hypostasi, non multiplicarunt hypostasin; sic neque ex duabus naturis hypostatice unitis, accessio personæ facta est. Rursus quando sciscitantur hæretici, num sit aliqua natura sine hypostasi, vicissim ex illis quærere oportet, num sit partus sine persona.

ΚΕΦΑΛ. Γ'.

Ἐρώτησις ὀρθοδόξου.

Λέγοντες δύο γεννήσεις ἐπὶ Χριστοῦ, τοῦτ' ἔστι τὴν προαιώνιον ἐκ Πατρὸς κατὰ τὴν θεότητα, καὶ τῶν ἐσχάτων τῶν χρόνων, ἐκ τῆς Παρθένου, κατὰ τὴν ἀνθρωπότητα, εἴπατε ἡμῖν εἰ ἔστι τόκος ἀνυπόστατος· καὶ λέγομεν ὑμῖν εἰ ἔστι φύσις ἀνυπόστατος. Κυρίως γὰρ τόκος ἐστὶ προσθήκη ὑποστάσεως, ἐν ταυτότητι φύσεως, οὐκοῦν ὥσπερ ἐν τῇ μιᾷ τοῦ Θεοῦ Λόγου ὑποστάσει γενόμεναι αἱ δύο γεννήσεις, οὐκ ἐποίησαν αὐτὴν προσθήκην ὑποστάσεως· οὕτως οὐδὲ ἐκ τῶν δύο καθ' ὑπόστασιν ἡνωμένων φύσεων, προσθήκην προσώπου ἐδέξατο. Λοιπὸν ἡνίκα ἡμᾶς ἀποροῦσι λέγοντες οἱ αἱρετικοὶ, ὅτι ἐστὶ φύσις ἀνυπόστατος; ἀντερωτητέον αὐτοὺς, ἔστι τόκος ἀπρόσωπος· ἔνθα γὰρ καινὸς τόκος, ἐκεῖ καὶ προσθήκη προσώπου γνωρίζεται.

D

Rogo autem eos qui hunc librum lecturi sunt, ut etiam legant scholia certis locis inserta. Et si, ut probabile futurum, liber solœca quædam continet, venia dabitur. Dum autem auctor tota mente, et cogitatione in sensu notando, et designando defixus hæret, sæpe usuvenit, ut solœcismos et interpunctiones in postremis ducat.

Παρακαλοῦμεν δὲ τοὺς ἐντυγχάνοντας τῇ βίβλῳ, ἐκ παντὸς τρόπου ἀναγινώσκειν καὶ τὰ κατὰ τοὺς τόπους παρακείμενα, σχόλια. Εἰ δὲ καὶ ὡς εἰκὸς, καὶ βραχέά τινα σόλοικα ἔχει ἡ βίβλος, συγγνώμην αἰτοῦμεν. Ὁ γὰρ αὐτοσχεδίως ἐκτιθέμενος, πολλάκις ἔχον τὸν νοῦν αὐτοῦ ἐν τοῖς νοήμασιν, καὶ σπεύδων ταῦτα σημειοῦσθαι, περιφρονεῖ τῶν σολοίκων, καὶ τῆς στίξεως.

[32] Act. xvi, 3. [33] Matth. xxi, 19. [34] Marc. vi, 47 seqq.

Ἀναστασίου ἐλαχίστου μοναχοῦ Πόνημα περὶ πίστεως ὀρθοδόξου, ἀνθολογηθὲν ἐκ τῶν ἁγίων Γραφῶν, καὶ διδασκάλων.

A *Anastasii minimi monachi opus de orthodoxa fide, ex sacris Litteris ac doctoribus deceptum.*

Ἀρχὴ τῶν λόγων σου, Χριστὲ, ἀλήθεια, μᾶλλον δὲ σὺ αὐτὸς ὁ Θεὸς Λόγος, ἡ ἀληθὴς ἀλήθεια, ὡς ὄντως ὢν ἐκ τῆς ὑπεραληθοῦς πατρικῆς ἀληθείας γέννημα, καὶ ἀλήθεια, καὶ τοῖς τῆς σῆς ἀληθείας, ἐρασταῖς [ἐργάταις] ἐπαγγελλόμενος ἀποστέλλειν τὸ Πνεῦμα τῆς ἀληθείας, καὶ λέγων· « Ὁ δὲ Παράκλητος, ὃν πέμψω ὑμῖν, ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, τὸ Πνεῦμα τῆς ἀληθείας, ἐκεῖνος ἡμᾶς ὁδηγήσει εἰς πᾶσαν ἀλήθειαν, ὅπως μὴ ὑμεῖς ἔσεσθε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τῆς ἀληθείας τὸ λαλοῦν ἐν ὑμῖν τὴν ἀλήθειαν. » Καὶ γὰρ καὶ οἱ τοὺς φωτοφόρους καὶ πολυτίμους μαργαρίτας ἐκ βυθῶν ἀοράτων τοῖς ἀνθρώποις θηρᾶν καὶ ἐμφανίζειν βουλόμενοι, γυμνοῦντες ἑαυτοὺς παντὸς περικαλύμματος, καὶ ἔλαιον τὸ οἰκεῖον στόμα πληροῦντες, καὶ πνεῦμα ἱκανὸν ἐν τοῖς μυκτῆρσιν ἐκ τοῦ ἀέρος ἕλκοντες, οὕτως ἑαυτοὺς τῷ φοβερῷ ἐκείνῳ, καὶ ζοφώδει βυθῷ παραπέμπουσι. Δηλοῦντος, ὡς οἶμαι, τοῦ ὑποδείγματος, ὅτι δεῖ πάντα ἄνθρωπον τὸν τοὺς βυθοὺς τῶν πνευματικῶν ὑδάτων, καὶ δογμάτων διερευνᾶν, καὶ τοὺς θείους, καὶ καθαροὺς μαργαρίτας ἐξ αὐτῶν ἀγρεύειν βουλόμενον, γυμνὸν εἶναι παντὸς ἐμπαθοῦς περικαλύμματος, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἐν ταῖς ῥισὶ τῆς ψυχῆς ἕλκειν καὶ ἔχειν, κατὰ τὸν λέγοντα ἅγιον, ὅτι « Πνεῦμα θεῖον τὸ περιόν μοι ἐν ῥισὶ, πνοὴ δὲ Παντοκράτορος ἡ διδάσκουσά με. » Καί· « Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅπερ ἐστὶ τὸ ἔλαιον ἀγαλλιάσεως. » Ὅπως ἐπ' αὐτοῖς πληρωθῇ τὸ θεῖον λόγιον τὸ φάσκον, ὅτι « Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας προφέρει τὰ ἀγαθὰ, ὥσπερ δὴ πάντως καὶ ὁ ἐμπαθὴς ἄνθρωπος ἐκ τοῦ ἐμπαθοῦς θησαυροῦ τῆς καρδίας προφέρει τὰ πονηρά. » Οὐ γὰρ τοσοῦτος ὁ κίνδυνος τοῖς εἰς βυθοὺς ὑδάτων κατατολμῶσιν, ὅσος τοῖς τὰ πάθη ἔχουσι, καὶ διερευνᾶν τὰ βάθη τῶν ἱερῶν Γραφῶν ἐπιχειροῦσι· μόνον γὰρ τὸ Πνεῦμα τὸ ἅγιον, ὡς Θεὸς, δύναται ἐρευνᾶν τὰ βάθη τοῦ Θεοῦ. »

Principium verborum tuorum, Christe, veritas, quin potius, tute ipse, Deus Verbum, vera veritas, ceu vere e verissima paterna veritate genitura, atque veritas, et qui veritatis tuæ amantibus missurum te veridicum **38** Spiritum promittis in hæc verba : Cæterum « Paracletus, quem mittam vobis in nomine Patris, veridicus Spiritus, is vos in omnem veritatem deducet, ut non vos sitis qui loquamini, sed veridicus Spiritus, qui per vos loquatur veritatem[58]. » Nam et qui splendidos atque pretiosos uniones ex inaspectabilibus profundis hominibus venari ac proferre volunt, vestitu omni B se despoliantes, et oleo os implentes, auræque quod satis sit naribus ex aere trahentes, ita se in terribile illud ac tenebricosum profundum demittunt. Quod, ut arbitror, exemplum ostendat, qui spiritualium aquarum atque dogmatum profunda vestigare, ex iisque divinos atque puros uniones venari velit, oportere eum ab omni concitato, quasi quodam tegumento nudum esse sanctumque ; Spiritum animi tanquam naribus trahere et continere, secundum dicentem sanctum : « Spiritus divinus qui mihi inest in naribus, et Omnipotentis aura quæ me erudit[56]; » et : « Os meum aperui, et attraxi spiritum, quod oleum lætificatum est[57]. » Ut in iis comprobetur divini oraculi effatum : « Bonus ex bono animi thesauro bona profert, ut sane vitiosus e vitioso animi thesauro vitiosa profert[58]; » C neque enim tantum periculi est profunda aquarum tentantibus, quantum vitio obstrictis, et sacrarum Litterarum profunda rimari aggredientibus : solus namque Spiritus sanctus, ceu Deus, rimari potest profunda Dei[59]. »

Διὰ τοῦτο καί τις σοφὸς ἔλεγεν, ὅτι Πρῶτον καθαρτέον, καὶ τότε τῷ καθαρῷ προσομιλητέον. Εἰ γὰρ ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, καὶ ἕως τρίτου οὐρανοῦ ἀνελθὼν καὶ ἐν παραδείσῳ ἀῤῥητα ῥήματα μαθὼν, καὶ εἰπὼν ὅτι « Ζῶ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός· » ἐπιστέλλων τοῖς Κορινθίοις ἔφασκεν, ὅτι « Ἐκ μέρους λαλοῦμεν, καὶ ἐκ μέρους γινώσκομεν, » τίς ἐστι ὁ δυνάμενος λέγειν ὅτι τελείως λαλῶ, καὶ τελείως γινώσκω, καὶ μάλιστα τὰ περὶ τοῦ ἀκαταλήπτου Θεοῦ; Ἅπερ πάλιν τις θεολόγος λαλῶν διὰ Πνεύματος ἁγίου ἔλεγεν, ὅτιπερ « Ἡνίκα περὶ Θεοῦ λαλῶ φρίττω καὶ γλῶτταν, καὶ ἀκοὴν καὶ διάνοιαν. » Τὸ γὰρ περὶ Θεοῦ λαλεῖν οὐκ ἀκίνδυνον. Ἀλλὰ ταῦτά τινες μὴ ἐννοοῦντες μήτε ἀνακρίνοντες, οἱ τὰ ἐντὸς τῆς κοιλίας ἑαυτῶν πῶς διοικοῦνται μὴ ἐπιστάμενοι, ἀλλ' ἐν τοῖς πάθεσι τῆς ἀτιμίας, καὶ τῷ βορβόρῳ τῶν ἡδονῶν κατ' ἐμὲ συμφυρόμενοι, καὶ οὐδὲ εἰ ἔστιν ἐν ἀνθρώποις Πνεῦμα

Quare et sapiens quidam ait : In primis purganda mens est, ac tum puro consuescendum. Nam si Christum habens in se loquentem, et qui in tertium cœlum evasisset, vocesque in paradiso insolentes hausisset[60], cujusque hæc sint verba : « Vivo non jam ego, quin vivit in me Christus[61], » Corinthiis scribens ait : « Partim loquimur, et partim cognoscimus[62], » ecquis est qui dicere possit, Integre loquor, et integre cognosco, maximeque quæ ad incomprehensum Deum spectant? Quæ rursum theologus quidam per Spiritum sanctum eloquens, inquit : « Cum de Deo loquor, et lingua, et auditu, et mente inhorresco. » Nam sine periculo non est de Deo loqui. Sed hæc quidam minime cogitantes neque discernentes, qui quemadmodum quæ intra eorum ventres sunt obeantur, nesciant, in fœdisque vitiis, et voluptatum sordibus mei instar volvantur, ac ne sciant quidem, insitne in hominibus Spiritus

D

[56] Joan. xvi, 13 ; Matth. x, 20. [57] Job. xxvii, 2, 3. [58] Psal. cxviii, 131. [58] Matth. xii, 35. [59] I Cor. ii, 10. [60] II Cor. xii, 2. [61] Galat. ii, 20. [62] I Cor. xiii, 9.

sanctus, sed interriti omnia carnis atque libidinis desideria exerceant, in cauponis, prostibulis, foro, balneis Christi arcana traducunt et irrident, infideliumque contumeliis propinant, **39** plerumque duo pene verbula, aut tres sententiolas e Patribus furati, memoriaque complexi, atque e vestigio se doctores, non divinitus creatos, sed qui affectibus ferantur, animo inani gloria, atque voluptatibus fracto, ob turpem quæstum ingerentes, Judaice porcis sæpe, et indignis divinos verbi uniones venditant. Siquidem, ut cognoscas licet ex æqualibus ecclesiasticorum historicorum, pleræque omnes hæreses, e vana regnandi libidine, avaritia, hominibus placendi studio, superbia fluxerunt; non tam iis futuris cæcis, si otium atque exercitationem secuti, et affectibus defuncti, Spiritum sanctum sibi domesticum fecissent. Nam, si orare, quæ par est, nescimus, nisi divinum Spiritum teneamus, quanto magis Dei arcana scrutari? Sed omnino dicent mihi vani theologi, Nihil domi natum loquimur, sed cum e sacra Scriptura, tum ex SS. catholicæ Ecclesiæ Patribus petita. Quibus dicam ego quoque: Omnes hæretici id ipsum prædicant. Unde ex sacris Litteris ac doctoribus contradicere nobis videntur. Quare, meo judicio, nec Scripturam, nec Patrum sententias, sine errore et offensa intelliget, qui non locutum in iis Spiritum sanctum ducem ac inhabitatorem habuerit. Quod enim ait Christus, quoniam Spiritus veritatis ducet vos in omnem veritatem [48], procul dubio et Scripturam et Patres denotabat.

A ἅγιον ἐπιστάμενοι, ἀλλὰ πάντα τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν ἡδονῶν ἀδεῶς ἐργαζόμενοι, ἐπὶ καπηλείων τε καὶ χαμαιτυπείων καὶ ἀγορῶν, καὶ βαλανείων τὰ τοῦ Χριστοῦ μυστήρια διασύρουσι καὶ διαπαίζουσι, καὶ βλασφημεῖσθαι ὑπὸ τῶν ἀπίστων παρασκευάζουσι, δύο που πολλάκις λεξείδια, ἢ τρία χρησείδια, καὶ κλεψύδρια Πατρικὰ συλήσαντες, καὶ ἐκστηθίσαντες, καὶ παρ' αὐτὰ ἑαυτοὺς διδασκάλους. οὐ θεοχειροτονήτους, ἀλλὰ παθοκινήτους, προβαλλόμενοι ἐκ κενοδόξου καὶ φιληδόνου γνώμης, αἰσχροῦ κέρδους χάριν, πολλάκις Ἰουδαϊκῶς ἀπεμπολοῦνται τοῖς χοίροις, καὶ ἀναξίοις τοὺς θείους τοῦ λόγου μαργαρίτας. Καὶ γὰρ ὡς ἔξεστι μαθεῖν ἐκ τῶν κατὰ καιροὺς τῶν ἐκκλησιαστικῶν ἱστοριογράφων, αἱ πλείους τῶν αἱρέσεων ἐκ κενοδόξου φιλαρχίας, καὶ B φιλαργυρίας, καὶ ἀνθρωπαρεσκείας, καὶ ὑπερηφανίας γεγόνασιν, οὐκ ἂν οὕτως ἀποτυφλωθέντες, εἰ διὰ σχολῆς καὶ γυμνασίας καὶ ἀπαθείας τὸ Πνεῦμα τὸ πανάγιον ἐν ἑαυτοῖς εἰσοικίσαντο, εἰ γὰρ τὸ τί προσεύξασθαι καθ' ὃ δεῖ οὐκ οἴδαμεν, ἐὰν μὴ θεῖον Πνεῦμα κτησώμεθα, πόσῳ γε μᾶλλον μυστήρια Θεοῦ ἐρευνᾶν; Ἀλλὰ πάντως ἐροῦσί μοι οἱ κενοὶ θεολόγοι ὅτιπερ οὐδὲν οἰκοθεν λαλοῦμεν, ἀλλ' ἐκ τῆς ἁγίας Γραφῆς, καὶ τῶν ὁσίων Πατέρων τῆς καθολικῆς Ἐκκλησίας. Πρὸς οὓς κἀγὼ ἐρῶ, ὅτι καὶ πάντες οἱ αἱρετικοὶ τοῦτο αὐτὸ λέγουσιν. Ὅθεν ἐκ τῆς ἱερᾶς Γραφῆς, καὶ τῶν διδασκάλων ἡμῖν ἀντιλέγειν δοκοῦσι. Διὸ, ὡς ἐμοὶ δοκεῖ, οὐδὲ τοὺς τῶν Πατέρων λόγους δυνήσεται ἄνθρωπος ἀπταίστως, καὶ ἁπλανῶς [ἀμέμπτως] καταλαβεῖν, ἐὰν μὴ τὸ Πνεῦμα τὸ ἅγιον τὸ λαλῆσαν ἐν αὐτοῖς ἔνοικον καὶ ὁδηγὸν κτήσηται. Τὸ γὰρ εἰπεῖν τὸν Χριστὸν, ὅτι τὸ Πνεῦμα τῆς ἀληθείας αὐτὸ ὑμᾶς ὁδηγήσει εἰς πᾶσαν ἀλήθειαν, εὔδηλον ὅτιπερ [που] καὶ τὴν Γραφὴν, καὶ τοὺς Πατέρας ἐσήμανεν.

Capita, quæ orthodoxus rejicere, exsecrari debet ante colloquium, ubi cum Theodosianis, aut Gaianitis de fide verba est facturus.

In primis Nestorius, ejusque fides exsecranda est, atque hæc ordine deinceps: Qui sanctam Virginem Mariam naturaliter, et supernaturaliter Deiparam non agnoscat: qui in Christo asserat duas personas, aut duas hypostases, aut duas naturas hypostasi separatas: qui in Christo unionem in hypostasi non suscipiat: qui sententiam non admittat, quæ solam Dei Verbi naturam incarnatam dicat, quomodo eam D. Cyrillus est interpretatus: qui in Christo duas naturas, maris, ac feminæ dicat, aut cogitatione deformet: qui divinitatem Christi a corpore sejunctam dicat in cruce, seu monumento, seu alio quovis loco: qui Dei corpus, ac Dei sanguinem neget, quem percipimus. Præ omnibus vero, et ante omnia exsecrandus est, qui novam fidem, aut sententiam prædicet, vel teneat, a CCCXVIII Nicææ, CL Constantinopoli, CC Ephesi primitus **40** SS. Patrum fide diversam. Similiter, et qui inveniat, aut suscipiat ex concilio Chalcedo-

C *Κεφάλαια, ἅπερ ὀφείλει ἀποβάλλεσθαι καὶ ἀναθεματίζειν πρὸ τῆς διαλέξεως ὁ ὀρθόδοξος, ἡνίκα μέλλῃ πρὸς Θεοδοσιανοὺς, ἢ Γαϊανίτας συναίρειν περὶ πίστεως λόγον.*

Πρωτοτύπως χρὴ ἀναθεματίζειν Νεστόριον, καὶ τὴν πίστιν αὐτοῦ, καὶ λοιπὸν καθεξῆς ταῦτα· τὸν μὴ ὁμολογοῦντα φύσει καὶ ὑπὲρ φύσιν Θεοτόκον τὴν ἁγίαν Παρθένον Μαρίαν, τὸν λέγοντα δύο πρόσωπα, ἢ δύο ὑποστάσεις ἐν τῷ Χριστῷ, ἢ δύο φύσεις διῃρημένας, τὸν μὴ δεχόμενον τὴν καθ' ὑπόστασιν ἕνωσιν ἐν τῷ Χριστῷ, τὸν μὴ δεχόμενον τὴν φωνὴν τὴν λέγουσαν μίαν τοῦ Θεοῦ λόγου φύσιν σεσαρκωμένην, καθὼς ἡρμήνευσεν αὐτὴν ὁ ἅγιος Κύριλλος, τὸν λέγοντα, ἢ (23) ἐννοούμενον ἐν Χριστῷ δύο φύσεις ἄρρενος καὶ θήλεος, τὸν λέγοντα ὅτι ἐχωρίσθη ἡ θεότης D τοῦ Χριστοῦ ἐκ τῆς ἁγίας αὐτοῦ σαρκὸς ἐν τῷ σταυρῷ, ἢ ἐν τῷ τάφῳ, ἢ ἐν ἄλλῳ οἱῳδήποτε τόπῳ, τὸν μὴ ὁμολογοῦντα Θεοῦ τὸ σῶμα, καὶ Θεοῦ τὸ αἷμα, ὃ μεταλαμβάνομεν. Πολλῷ πλέον δὲ πάντων, καὶ πρὸ πάντων χρὴ ἀναθεματίζειν τὸν κηρύττοντα, ἢ ἔχοντα νέαν πίστιν, ἢ νέον δόγμα, παρηλλαγμένον τῆς πίστεως τῶν ἐν Νικαίᾳ ΤΙΗ' Πατέρων, καὶ τῶν ἐν Κωνσταντινουπόλει ΡΝ' καὶ τῶν ἐν Ἐφέσῳ τὸ πρό-

[48] Joan. XVI, 7.

NOTÆ.

(23) Sic et cod Augusi.

τερον Σ' ἁγίων Πατέρων· ὡσαύτως καὶ τὸν εὑρόντα ἢ παραλαβόντα ἐκ τῆς συνόδου Χαλκηδόνος νέαν πίστιν παρεκτὸς τοῦ φρονήματος τῶν ἁγίων Πατέρων, Διονυσίου, Εἰρηναίου, Κλήμεντος, Ἀμβροσίου, Ἰουλίου, Εὐσταθίου, Ἀθανασίου, Βασιλείου, Γρηγορίου, καὶ Γρηγορίου, Ἀμφιλοχίου, Ἰωάννου, Ἐπιφανίου, Θεοφίλου, Πρόκλου, Ἐφραὶμ, Ἰσιδώρου, καὶ τοῦ μακαρίου Πατρὸς, καὶ διδασκάλου Κυρίλλου, καὶ τῶν λοιπῶν ἁγίων Πατέρων τῶν ὁμοφρόνων αὐτῶν. Τοὺς γὰρ μὴ ἀκολουθοῦντας τούτοις τοῖς ἁγίοις διδασκάλοις κατακρίτους ἡγούμεθα, καὶ ἀλλοτρίους τοῦ Χριστοῦ.

A nensi novam fidem, præter sanctorum Patrum mentem, Dionysii, Irenæi, Clementis, Ambrosii, Julii, Eustathii, Athanasii, Basilii, Nazianzeni, et Nysseni utriusque Gregorii, Amphilochii, Joannis, Epiphanii, Theophili, Procli, Ephræmi, Isidori, beati Patris, ac doctoris Cyrilli reliquorumque SS. Patrum cum iis concordium. Nam, qui sanctos eos doctores non sequuntur, damnatos ducimus, a Christoque alienos.

ΚΕΦΑΛ. Δ'.

Ἀναστασίου (24) ἐλαχίστου πρεσβυτέρου τοῦ ἁγίου ὄρους Σινὰ περὶ πίστεως τῆς οἰκονομίας Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ πρὸς τὴν ἁγίαν καθολικὴν Ἐκκλησίαν τὴν ἐν Βαβυλῶνι γραφεῖσαν, αἰτησαμένων τοῦτο τῶν ἐν αὐτῇ φιλοχρίστων καὶ ὀρθοδόξων ἡμῶν ἀδελφῶν.

B

Ἐν ἀρχῇ ἦν ὁ Θεὸς, καὶ ὁ Θεὸς ἦν ἐν ἀρχῇ, καὶ πρὸ ἀνάρχου ἀρχῆς ἦν ἀεὶ, καὶ ἔστι, καὶ ἔσται, ὁ Θεός. Θεὸν δὲ λέγω τὴν ἁγίαν καὶ ὁμοούσιον, καὶ ἄκτιστον Τριάδα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. Οὗτος ὁ Θεὸς ἡμῶν, ὁ ἀεὶ ὤν, καὶ πρὸ πάντων προὼν, ταῖς προαναρχικαῖς αὐτοῦ καὶ παναδήλοις θεοβουλίαις, πρῶτον τῆς πάσης κτίσεως ἐννοεῖ, καὶ ποιεῖ τὰς ἁγίας καὶ ἀγγελικὰς δυνάμεις ὅτε οἶδε καὶ ὅπου οἶδε καὶ ὡς ἂν συνεῖδε, καὶ ὡς μόνος αὐτὸς οἶδεν. Ὧν τὴν οὐσίαν, καὶ τὴν τάξιν, καὶ τὸν ἀριθμὸν, καὶ τὴν διαγωγὴν, καὶ τὴν ἰδέαν μόνος αὐτὸς ὁ τούτων ποιητὴς γινώσκει Θεός. Ἐκ τούτων δὴ τῶν ἀσωμάτων καὶ ταγμάτων ταξίαρχος εἷς ἀλαζονευθεὶς κατὰ τοῦ Δημιουργοῦ, ὡς φησι ὁ Ἡσαΐας, καὶ Ἰεζεκιὴλ, οἱ προφῆται, ἀπερρίφη, καὶ ἔπεσε σὺν τῷ τάγματι αὐτοῦ, ὁ καλούμενος νῦν διάβολος, καὶ οἱ δαίμονες οἱ σὺν αὐτῷ. Δημιουργοῦντος οὖν τοῦ Θεοῦ τὸν ὁρώμενον κόσμον, λέγω δὴ τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὰ ἐν αὐτῇ, ἐνώμιζεν ὁ διάβολος, ὡς φησί τις τῶν διδασκάλων, ὅτι αὐτὸν μέλλει καθιστᾶν ὁ Θεὸς βασιλέα καὶ Κύριον τῆς ὁρατῆς κτίσεως. Ὅτε δὲ εἶδε τὸν Ἀδὰμ γεγονότα, καὶ κατασταθέντα ὑπὸ τοῦ Θεοῦ δεσπόζειν τῶν ἐπὶ τῆς γῆς, διαπονηθεὶς, καὶ φθονήσας τῷ ἀνθρώπῳ ὁ πονηρὸς, ἠπάτησεν αὐτὸν διὰ τῆς Εὔας καὶ τοῦ ξύλου, εἴτε κατὰ παραχώρησιν Θεοῦ, εἴτε καθ' ἕτερόν τινα τρόπον μυστικώτερον, τῷ Θεῷ ἔγνωσται. Οὐ γὰρ δεῖ ἡμᾶς περιεργάζεσθαι τὰ σεσιωπημένα τῇ θείᾳ Γραφῇ. Λέγω δὴ τὰ περὶ παραδείσου, καὶ τοῦ ξύλου τῆς γνώσεως, καὶ τῶν χιτώνων, καὶ ἑτέρων τινῶν τοιούτων, μὴ σαφῶς δεδηλωμένων ἡμῖν ἐν ταῖς βίβλοις ταῖς ἱεραῖς. Ὡπλίσθη τοίνυν, ὡς προεῖπον, κατὰ τοῦ ἀνθρωπίνου [πείου] γένους ἀπαρχῆς ὁ Σατανᾶς. Εἶτα θανατοῖ διὰ τοῦ Καῒν τὸν Ἄβελ· εἶτα ἀποπλανᾷ τοὺς ἀνθρώπους εἰς τὰς θυγατέρας τοῦ Κάϊν· λοιπὸν δὲ καὶ εἰς τὰ εἴδωλα, καὶ χειροποίητα προσκυνεῖν ὡς θεοὺς ἀντὶ Θεοῦ. Διὸ παιδεύει τούτους ὁ Θεὸς διὰ κατακλυσμοῦ. Εἶτα φι-

C

D

CAP. IV.

Anastasii, minimi presbyteri sancti montis Sina, opus de fide œconomiæ Christi Dei Filii, ad sanctam catholicam Ecclesiam Babylone scriptum, fratribus nostris in ea Christi studiosis, et orthodoxis petentibus.

In principio erat Deus, et Deus erat in principio, anteque principium sine principio; et erat semper, et est, et erit Deus. Deum vero dico sanctum, unius naturæ, et increatam Trinitatem Patris, et Filii, et Spiritus sancti. Hic Deus noster, qui semper est, et ante omnia est, occultis suis, et initio omni prioribus consiliis, primum antequam quidquam conderet, sanctas, et angelicas Virtutes animo informat, et creat: quando, et ubi, et quemadmodum, solus ipse conscit, novitque, quorum naturam, ordinem, numerum, instituta, formam, solus opifex Deus cognoscit. Ex his incorporeis classibus primas unus in auctorem superbiens, ut Isaias [43], ac Ezechiel [44] prophetæ referunt, deturbatus cum omni sua manu corruit: qui, nunc diabolus vocatur, et ejus factio, dæmones. Deo igitur aspectabilem hunc orbem moliente, cœlum dico terramque, et quæ insunt in ea, credebat diabolus, ut ait quidam doctorum, regem se, ac dominum ab eo aspectabilis naturæ designatum iri. At, ubi vidit Adamum productum, a Deoque qui terrestrium potiretur, constitutum, excruciatus animi, et invidia flagrans malignus, hominem per Evam, lignumque decepit, seu Dei permissu, seu alio secretiore quodam modo, Deo est compertum. Neque enim fas est nos, quæ silentio Scriptura tegit, perquirere. Puta, qui sit paradisus, quod scientiæ lignum, quæ tunicæ, et alia quædam similia, 41 parum in sacris voluminibus explicata. Itaque jam inde a principio, ut dixi, Satanas se in humanum genus armavit. Tum, occidit Abel per Cain: hominesque diversos in Cain filias agit: atque ad idola denique, et simulacra manu facta, quæ, ceu deos pro Deo colerent. Quare diluvio eos Deus castigat. Dein, homini placatus, mundum per Noe semen instaurat. Sed neque post hæc quidem mortales ad frugem redibant, sed idolis, flagitiisque

[43] Isa. XIV. [44] Ezech. XXVIII, 44.

NOTÆ.

(24) In cod. August., Ἐν ὀνόματι τοῦ Πατρὸς, καὶ Υἱοῦ, καὶ τοῦ ἁγίου, καὶ ζωποιοῦ Πνεύματος.

deserviendo insaniebant. Cæterum, lumina quædam, et exempla in Deum pietatis, edit, ostentatque Deus: Abraham, inquam, et Isaac et Jacob. Sed ne sic quidem orbis resipuit. Proinde, diversas variasque pœnas mundi Dominus mundo intulit. Tum igitur dat legem scriptam, signis ac prodigiis Israelitarum genti conspectus. At, ne sic quidem homines ab errore abstitere. Misit post legem prophetas, miraculorum patratores: sed et eos aversati mortales, peremere.

A λανθρωπευθείς, ἀνακαινίζει τὸν κόσμον διὰ τοῦ σπέρματος τοῦ Νῶε ἀλλ' οὐδὲ μετὰ ταῦτα ἐσωφρονίσθησαν οἱ ἄνθρωποι, ἀλλὰ περὶ τὰ εἴδωλα καὶ τὰ κακὰ κατεμαίνοντο. Λοιπὸν ἀναδείκνυσιν ὁ Θεός τινας φωστῆρας, τύπους θεοσεβείας τυγχάνοντας. Λέγω δὴ τοὺς περὶ τὸν μακάριον Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. Ἀλλ' οὐδὲ οὗτος ὁ κόσμος ἐσωφρόνισεν. Εἶτα ἐπήγαγε τῇ κτίσει διαφόρους, καὶ πολυτρόπους παιδείας ὁ Δεσπότης. Εἶτα δίδωσι γραπτὸν νόμον, σημείοις καὶ τέρασι, καὶ δυνάμεσιν ὁπτανόμενος τῷ Ἰσραήλ. Καὶ οὐδ' οὕτως οἱ ἄνθρωποι τῆς πλάνης ἀφίσταντο. Ἀπέστειλε μετὰ νόμον θαυματουργοὺς προφήτας. Ἀλλὰ καὶ τούτους οἱ ἄνθρωποι ἀποστραφέντες κατέσφαξαν.

Demum, quando veteris divinique sui consilii tempus fuit completum, ut arcanum illud mysterium ederetur, quod ad nostram gloriam ante sæcula Deus præstituerat, misit Filium suum, ex semper Virgine femina, sine semine, hominem natum: « Post hæc in terris visus est, et cum hominibus conversatus est [45]. » Sed neque ita quidem improbus impudensque veterator, turbandi mundi finem fecit: sed extemplo, humanis vasis, organisque suis occupatis, Christi adventum evertere funditus festinavit. Primusque Simon, Magus Samaritanus, Sittarum vico editus, Romanis, qui Petro apostolorum principi crediderant, dicebat Christum Jesum, qui venisset, mendacem et impostorem fuisse: se vero, verum esse Christum. Post eum exorti, Cerinthus, Nicolaus, Marcion, Simoni consentanea pariaque fingebant. Sed mox tum istos, tum eorum dogmata divina sententia sustulit. At neque ita malignus draco Ecclesiam impugnare cessavit: statimque gentilium, et iniquorum persecutiones in eam concivit. Verum his Christi potentia sublatis, versipellis serpens, tertium aliquem fallaciæ modum excogitat. Cum audisset enim in Evangeliis oraculum illud, a Domino editum: « Si abiero ad Patrem, rogabo ipsum, et alium Paracletum mittam vobis [46], » magis quibusdam, et incantatoribus hominibus subjecit, ut dicerent, quod ipse esset Paracletus, quem missurum se mundo Christus promiserat. In quibus Manes erat, Manichæorum antesignanus, et Montanus, ex Ardabau vico natus, et alii nonnulli. 42 Quibus et ipsis spe sua frustratis, cum inimicus videret in dies Christi augescere dilatarique præconium, nec jam ultra se hominum genus ad idolorum cultum posse detorquere: de cætero varia in orbem prosevit zizania, ut pugnam et dissensionem, quam in idolorum cultura tenuerant, eamdem in Dei cultu mortales tenerent.

B Τέλος δὴ πάντων, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου τῆς ἀρχαίας βουλῆς τοῦ Θεοῦ, τοῦ γενέσθαι τὸ μυστήριον ὃ προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν, ἐξαπέστειλε τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικὸς ἀειπαρθένου ἄνευ σπορᾶς ἄνθρωπον. « Ὅτε ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συναναστράφη. Ἀλλ' οὐδὲ οὕτως ὁ πονηρὸς ἀναισχυντῶν τοῦ τὸν κόσμον ταράττειν ἐπαύσατο, ἀλλὰ θᾶττον ἐνοικήσας εἰς ἴδια σκεύη καὶ ὄργανα ἀνθρώπινα, ἀνατρέπειν ὁλοτελῶς τὴν τοῦ Χριστοῦ παρουσίαν ἔσπευδε. Καὶ πρῶτος Σίμων ὁ Μάγος, ὁ Σαμαρείτης, ὁ ἀπὸ Σιτθῶν τῆς κώμης, ἔφασκε τοῖς ἐν Ῥώμῃ ἐπὶ Πέτρου τοῦ κορυφαίου ὅτι ψεύστης καὶ πλάνος ἦν ὁ ἐλθὼν Ἰησοῦς, ἐγὼ δέ εἰμι ὁ ἀληθὴς Χριστός. C Εἶτα μετὰ τοῦτον ἀναφανεὶς Κήρινθος, καὶ Νικόλαος, καὶ Μαρκίων, τὰ ὅμοια τῷ Σίμωνι ἐφαντάζοντο. Ἀλλ' αὖθις ἡ τοῦ Θεοῦ ψῆφος ὤλεσε τούτους, καὶ τὰς αὐτῶν διδαχάς. Ἀλλ' οὐδ' οὕτως ὁ πονηρὸς δράκων τοῦ πολέμου τὴν Ἐκκλησίαν ἐπαύσατο. Θᾶττον γὰρ διωγμοὺς ὑπὸ Ἑλλήνων καὶ ἀνόμων κατ' αὐτῆς διήγειρεν. Ἀλλ' ἐκ μέσου τῇ δυνάμει τοῦ Χριστοῦ γεγονότων, ἐπινοεῖ καὶ τρίτον τινὰ ἀπάτης τρόπον ὁ πολύμορφος ὄφις. Ἀκούσας γὰρ τοῦ ἐν Εὐαγγελίοις ῥητοῦ τοῦ Κυρίου λέγοντος, Ὅτι ἐὰν ἀπέλθω πρὸς τὸν Πατέρα, ἐρωτήσω αὐτὸν, καὶ ἄλλον παράκλητον πέμψω ὑμῖν, » ὑπέσπειρέ τισιν ἀνθρώποις μάγοις τε καὶ γόησι λέγειν ὅτι, Ἐγώ εἰμι ὁ Παράκλητος, ὃν ὑπέσχετο Χριστὸς ἀποστέλλειν τῷ κόσμῳ. Ἐξ ὧν ἦν Μάνης, ὁ Μανιχαίων ἀρχηγὸς, D καὶ Μοντανὸς, ὁ ἀπὸ Ἀρδαβαῦ τῆς κώμης, καὶ ἕτεροί τινες. Ὧν τινων καὶ αὐτῶν ἀστοχησάντων, ὡς εἶδεν ὁ ἐχθρὸς ὅτι ἡμέρᾳ καὶ ἡμέρᾳ πλατύνεται, καὶ αὔξει τὸ τοῦ Χριστοῦ κήρυγμα, καὶ οὐκέτι ἰσχύει πρὸς τὴν εἰδωλολατρείαν ἀποκλίναι τὸ γένος τῶν ἀνθρώπων, τὰ διάφορα λοιπὸν ζιζάνια κατέσπειρε τῷ κόσμῳ, ὅπως τὴν μάχην καὶ διάστασιν, ἣν ἐν τῇ εἰδωλολατρείᾳ ἐκέκτηντο, ταύτην ἐν τῇ θεοσεβείᾳ οἱ ἄνθρωποι ἔχωσιν.

Enimvero ex eo jam aliquot post intervalla et Manentis et Montani, Novati etiam, Arianam illam orchestram scenicam, chori hujus quasi intermedius quidam, dæmon constituit hujusque sectæ imitatores, Apollinarium, qui Christum, hominem inanimem, et sine mente, atque imperfectum suscepisse diceret, et Eunomium cum sectatoribus,

Ἐκ τούτου δὴ μετὰ χρόνους τινὰς Μάνεντός τε, καὶ Μοντανοῦ, καὶ Νομάτου τὴν Ἀρειανὴν ἐκείνην θυμελικὴν ὀρχήστραν, ὁ ταύτης μεσόχορος δαίμων συνεστήσατο, καὶ τοὺς ταύτης μιμολόγους, Ἀπολλινάριον, φάσκοντα ἄψυχον καὶ ἄνουν καὶ ἀτελῆ ἄνθρωπον ἀνειληφέναι τὸν Χριστὸν, καὶ Εὐνόμιον, καὶ τοὺς σὺν αὐτῷ, κτίσμα λέγοντας τὸν τοῦ Θεοῦ Λόγον, καὶ

[45] Baruch III, 38. [46] Joan. XIV, 16.

μίαν φύσιν, καὶ θέλησιν, καὶ ἐνέργειαν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος αὐτοῦ δογματίζοντας. Αὖθις δὴ πάλιν μὴ ἀρκούμενος ἐν τούτοις ὁ μισόκαλος, ὁπλίζεται, καὶ κατὰ τοῦ Πνεύματος τοῦ παναγίου διὰ Μακεδονίου τοῦ πνευματομάχου. Ἀλλ' ἡ ἐξ ὕψους δύναμις πάντας ἐκείνους τοὺς πονηροὺς καὶ θεομάχους θῆρας ἀπώλεσε, καὶ οὐδαμοῦ σήμερον Ἀρειανῶν, ἢ Μακεδονιανῶν μνήμη ἐν κόσμῳ, τῶν τῇ θεότητι πολεμούντων καὶ ὥσπερ δράκων καιρίαν τινὰ πληγὴν λαβὼν ἡμέρᾳ τῇ ἡμέρᾳ διὰ τῆς ὀδύνης ἀσθενέστερος γίνεται, οὕτω καὶ ὁ διάβολος, διὰ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ κροταφισθεὶς, κατὰ πρόσβασιν τοῦ χρόνου καταργούμενος ἀπεδείχθη. Ὅρα γὰρ, ἠθέλησεν ἐν πρώτοις εὐθέως διασκεδάσαι τὴν ἐπιδημίαν τοῦ Χριστοῦ, καὶ οὐκ ἴσχυσεν. Εἶτα ἠθέλησε διὰ διωγμῶν τὸ κήρυγμα καταργῆσαι, καὶ ἠστόχησεν. Ἠθέλησεν ἀντὶ Πνεύματος ἁγίου γόητας ἄνδρας προσκυνεῖσθαι, καὶ τοῦ σκοποῦ ἐξέπεσε. Προσέκρουσε τῇ θεότητι τοῦ Χριστοῦ, καὶ κατῃσχύνθη. Τότε δὴ λοιπὸν ἀδυνατῶν θεότητι πολεμεῖν, ἐπὶ τὴν σάρκα τοῦ Χριστοῦ, τὸν πόλεμον ἔτρεψε, μετὰ τὴν Ἀρειανικὴν ὀρχήστραν τὴν τῆς διαιρέσεως χάρυβδιν διορύξας· λέγω δὴ τὴν σάρκα τοῦ Χριστοῦ μερίζων ἐκ τῆς θεότητος, καὶ εἰς δύο τὸν ἕνα κατατέμνων Χριστόν. Ταύτης δὲ τῆς διαιρέσεως ἀρχηγοὶ γεγόνασι Θεόδωρος ὁ Ἀντιοχείας, καὶ Διόδωρος ὁ Ταρσοῦ.

A qui Dei Verbum creaturam dicerent, atque unam divinitatis, et humanitatis ejus naturam, voluntatem et actionem censerent. Neque vero his osor ille honesti contentus, per Spiritus sancti oppugnatorem Macedonium, in sanctissimum armatur Spiritum. Verum superna illa, et divina vis, et potestas, omnes istas malignas, et infestas Deo feras disperdidit, neque ulla hodie Arianorum, aut Macedonianorum, aut Eunomianorum, qui Deum oppugnent, per orbem memoria superest. Ac, velut draco, lethali accepto vulnere, quotidie ex dolore impotentior redditur: sic et diabolus, a Christo Dei Filio quasi circa tempora percussus, successu temporis emortuus apparuit. Nam ecce voluit in primis statim Christi adventum dissipare, nec potuit. B Tum autem voluit persecutionibus motis præconium Christi abolere, sed frustratus est. Voluit pro Spiritu sancto magos adorari, et scopo excidit. Impetivit Christi divinitatem, et pudefactus est. Cæterum cum divinitatem tum oppugnare nequiret, in Christi humanitatem bellum convertit, post Arianam orchestram, separationis charybde adobrutus; cum inquam Christi carnem a divinitate dividens, in duo unum Christum secuisset. Ejus vero divisionis principes fuere Theodorus Antiochiæ, ac Diodorus Tarsi episcopi.

Ἐξ ὧν ὥσπερ τις ῥίζα ἐλλεβόρου ἐβλάστησεν ὁ Χαλδαῖος χοῖρος ὁ Ἀσσύριος Νεστόριος, μέχρι καὶ νῦν τὸν ἴδιον βόρβορον τοῖς αὐτῷ πειθομένοις καταβαίνων. Καθαιρεθεὶς γὰρ ἀπὸ Κωνσταντινουπόλεως, καὶ ἐπὶ τὰ τῆς Μεσοποταμίας [ἐπὶ] ἐνδημήσας κλίματα, ἐκεῖσε τὸν ἴδιον ἰὸν καὶ τὸν βόρβορον κατέσπειρε, κἀκεῖθεν ὡς ἐκ καναλίσκου τινὸς πᾶσαν μάλιστα τὴν Ἀνατολὴν κατεμίανε. Καθ' οὗ διὰ πλάτους σύνταγμα πεποιήκαμεν, τὸν δόλον καὶ τὴν πανουργίαν αὐτοῦ στηλιτεύσαντες, κακεῖ τοὺς φιλοπόνους παραπέμπομεν. Εἰδέναι μέντοιγε προσήκει ὡς οὐκ ἔστι σήμερον κακουργοτέρα τῆς Νεστορίου αἱρέσεως δυσχερῶς τὸν ἴδιον ἰὸν φανεροῦσα. Καὶ γὰρ αἰσχροῦ κέρδους καὶ δόξης χάριν πολλάκις ἐν ὑποκρίσει καὶ Θεὸν λέγουσι τὸν Χριστὸν, καὶ Θεοτόκον τὴν ἁγίαν Παρθένον, καὶ ἀναθεματίζουσι Νεστόριον, ἀποβάλλονται τὸν λέγοντα δύο πρόσωπα ἐν Χριστῷ. Ὁ μέν τοι τὸν δόλον αὐτῶν ἐλέγξαι βουλόμενος τὸν μακάριον Κύριλλον, καὶ τὴν κατ' αὐτὸν σύνοδον τὴν κατὰ Νεστορίου προενέγκοι αὐτοῖς, καὶ ἐὰν ταῦτα εἰλικρινῶς δέξωνται, ἐν τούτοις τὸ ἀπόδεκτον ἔχουσι. Τοσαῦτα μὲν οὖν ἐπὶ τοῦ παρόντος περὶ Νεστορίου τοῦ δυσσεβοῦς Ἰουδαιόφρονος, καὶ Χαλδαίου Ἀσσυρίου χοίρου. Τοῦτον γὰρ ἀποβάλλεται ἡ ἁγία Ἐκκλησία διὰ τὴν τῶν ἐν Χριστῷ φύσεων διαίρεσιν, ὥσπερ καὶ Σεβῆρον, καὶ τοὺς σὺν αὐτῷ διὰ τὴν τῶν φύσεων σύγχυσιν.

Ex quibus velut radix quædam hellebori Chaldæus porcus, Assyrius Nestorius prodiit, qui hodieque sibi addictos suopte cœno aspergit. C Nam Constantinopoli submotus, atque in Mesopotamiam evadens, venenum suum, ac lutum indidem consevit; unde velut e canali quodam, Orientem omnem maxime infecit, conspurcavitque. Contra quem prolixe opus conscripsimus, palamque hominis fallaciam fecimus, quo studiosos remittimus. Sane sciendum est nullam hodie Nestorii hæresi maligniorem exstare, quæ ægrius **43** venenum suum prodat. Siquidem fœdi quæstus, ac gloriæ vanæ causa per simulationem sæpe, et Deum appellant Christum, et Deiparam sanctam Virginem; ac Nestorium duas in Christo personas dicentem exsecrantur, et repudiant. Quamquam, qui eorum fraudes coarguere velit, beatum Cyrillum, initumque ejus memoria con- D cilium contra Nestorium iis proferat, quæ, si sincere accipiant, in his habent, cur approbentur. Atque hæc hactenus in præsens de Nestorio, impio illo, ac Judaicis opinionibus imbuto, et Chaldæo Assyrio porco. Hunc enim sancta Ecclesia ob naturarum in Christo divisionem, separationemve, ut Severum cum suis, ob earumdem confusionem, rejicit.

ΚΕΦΑΛ. Ε'.

Περὶ τῶν ἁγίων συνόδων.

Ἀναγκαῖον δὲ τὸν φιλόπονον καὶ τοῦτο ἐπίστασθαι, φημὶ δὴ τὸ περὶ τῶν ἁγίων, καὶ οἰκουμενικῶν ἐξ [γρ. ε'.] συνόδων, τὸ τίνος χάριν, κατὰ ποίων αἱρέ-

CAP. V.

De sanctis conciliis.

Necesse est autem studiosum illud quoque tenere, sancta œcumenica sex concilia, et quamobrem, et contra quas hæreses sint celebrata, quin et (nosse

oportet) alia quoque diversa provincialia, et ante et postea in diversis provinciis de diversis capitibus acta.

Itaque primum sanctum œcumenicum concilium CCCXVIII Patrum Nicææ sub D. Constantino imp. gestum est contra Arium Alexandrinum presbyterum, quem et sanctus Petrus martyr ac episcopus jam ante exsecratus erat, dicens : Arius et in hoc sæculo, et in futuro a Dei Filii Jesu Christi gloria separatus est et segregatus. Prædicabat enim creaturam esse Dei Filium atque Verbum, neque genitum ex Patre ante sæcula. Sanctum vero concilium ejusdem cum Patre principii Filium, ejusdemque naturæ, genitum, non factum definivit. Damnavit autem et Sabellium Lybem, qui unam Patris, Filii, ac Spiritus sancti personam diceret, tres hypostases, unam substantiam, divina synodus professa. Ex qua quidem, cum primis pudefaciendi Theodosiani, et Jacobitæ, qui substantiam, sive naturam, atque hypostasin idem esse dicunt, uti ostendemus. Condemnavit etiam Photini hæresin hæc sancta synodus, quæ diceret, Christum, et divinitatis, et humanitatis principium habere a Maria, neque secundum increatam ipsius divinitatem sæculis præstare.

Secundum sanctum œcumenicum CL SS. Patrum concilium Constantinopoli sub Theodosio Magno imp. coactum, factumque est contra Macedonium, archiepiscopum 44 Constantinopolitanum, qui Spiritum sanctum creaturam esse diceret. Sanctum vero concilium, abdicato Macedonio, Spiritum sanctum Patri, et Filio consubstantialem proclamavit, addique curavit in Symbolo illud : *Et in Spiritum sanctum, Dominum, et vivificantem*, et quæ sequuntur. Tertium sanctum Ephesi prius CC sanctorum Patrum concilium sub Theodosio Parvo imp. celebratum est annis post Constantinopolitanum, L, contra impium Nestorium Constantinopolitanum episcopum, qui doceret sanctissimam Deiparam, hominem merum genuisse; quique demum Christum in duas personas, duasque hypostases impie divideret. Quo abrogato, sanctum concilium gloriosissimam sanctam Virginem proprie, ac vere Deiparam, unamque Christi compositam hypostasin esse, decrevit.

Annis circiter post decem, Eutyches quidam, Archimandrita Constantinopoli est exortus; qui diceret Christi corpus e cœlo devenisse, aliudque a nostro, totumque Christum naturam unam esse. Contra quem Flavianus, Constantinopolitanus episcopus, provinciali indicto concilio, tunc abdicato eodem, Christi corpus ejusdem cum nostro esse substantiæ definivit. Cæterum Eutyches porrecto libello supplice imp. ei persuasit : accitoque Dioscoro, Alexandrino episcopo, secundum Ephesi peregit concilium contra Flavianum, quod dicitur

σεων γεγόνασιν αὗται, οὐ μὴν δὲ ἀλλ' ὅτι καὶ ἕτεραι διάφοροι τοπικαὶ πρὸ αὐτῶν τε καὶ μετὰ ταύτας γεγόνασι σύνοδοι ἐν διαφόροις τόποις περὶ διαφόρων κεφαλαίων.

Ἡ μὲν οὖν ἁγία καὶ πρώτη οἰκουμενικὴ σύνοδος τῶν ΤΙΗ' Πατέρων, ἐν Νικαίᾳ γέγονεν ἐπὶ τοῦ ἁγίου Κωνσταντίνου τοῦ βασιλέως κατὰ Ἀρείου τοῦ γενομένου διακόνου πρεσβυτέρου ἐν Ἀλεξανδρείᾳ· ὃν καὶ προανεθεμάτισεν ὁ ἅγιος Πέτρος, ὁ μάρτυς καὶ ἐπίσκοπος, εἰπών, Ἄρειος καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν μέλλοντι κεχωρισμένος ἐστὶ ἐκ τῆς δόξης τοῦ Υἱοῦ τοῦ Θεοῦ Ἰησοῦ Χριστοῦ. Ἐκήρυττε γὰρ ὁ αὐτὸς Ἄρειος κτίσμα εἶναι τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, καὶ οὐ γεννηθέντα ἐκ τοῦ Πατέρος πρὸ τῶν αἰώνων. Ἡ δὲ ἁγία σύνοδος ὁμοούσιον καὶ συνάναρχον ὥρισε τὸν Υἱὸν τῷ Πατρὶ, γεννηθέντα, οὐ ποιηθέντα. Κατέκρινε δὲ καὶ Σαβέλλιον τὸν Λυβικὸν, φάσκοντα μίαν ὑπόστασιν εἶναι Πατέρος, Υἱοῦ, καὶ ἁγίου Πνεύματος, τρεῖς ὑποστάσεις κηρύξασα ἡ αὐτὴ θεόφρων σύνοδος, μίαν δὲ οὐσίαν. Ἐξ ἧς μάλιστα ἔστι καταισχῦναι τοὺς Θεοδοσιανοὺς, καὶ Ἰακωβίτας, ταὐτὸν λέγοντας εἶναι τὴν οὐσίαν, ἤτοι φύσιν, καὶ τὴν ὑπόστασιν, καθὼς μέλλομεν δεῖξαι. Ἀπεκήρυξε δὲ καὶ τὴν αἵρεσιν Φωτεινοῦ ἡ ἁγία σύνοδος, τὴν φάσκουσαν ἀπὸ Μαρίας ἔχειν τὴν ἀρχὴν τῆς θεότητος, καὶ τῆς σαρκὸς τὸν Χριστὸν, καὶ μὴ εἶναι αὐτὸν προαιώνιον κατὰ τὴν ἄκτιστον αὐτοῦ θεότητα.

Ἡ δευτέρα ἁγία καὶ οἰκουμενικὴ σύνοδος τῶν ἐν Κωνσταντινουπόλει ΡΝ' ἁγίων Πατέρων γέγονεν ἐπὶ Θεοδοσίου τοῦ μεγάλου βασιλέως κατὰ Μακεδονίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως κτίσμα λέγοντος τὸ Πνεῦμα τὸ ἅγιον. Ἡ δὲ ἁγία σύνοδος καθελοῦσα Μακεδόνιον, ὁμοούσιον ἐκήρυξε τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, τὸ Πνεῦμα τὸ ἅγιον, προσθεῖσα ἐν συμβόλῳ τὸ, *Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον Κύριον καὶ ζωοποιὸν*, καὶ τὰ ἑξῆς. Ἡ ἁγία σύνοδος τῶν ἐν Ἐφέσῳ τὸ πρότερον Σ' ἁγίων Πατέρων γέγονε μετὰ Ν' χρόνους τῆς ἐν Κωνσταντινουπόλει ἐπὶ Θεοδοσίου τοῦ Μικροῦ βασιλέως κατὰ Νεστορίου τοῦ δυσσεβοῦς ἐπισκόπου Κωνσταντινουπόλεως, ἀνθρωποτόκον κηρύττοντος τὴν παναγίαν Θεοτόκον, λοιπὸν δὲ καὶ διαιροῦντος τὸν Χριστὸν εἰς δύο πρόσωπα ἀσεβῶς, καὶ δύο ὑποστάσεις. Ὃν καθελοῦσα ἡ ἁγία σύνοδος, Θεοτόκον κυρίως, καὶ ἀληθῶς ὥρισε τὴν πανένδοξον ἁγίαν Παρθένον, μίαν Χριστοῦ σύνθετον ὑπόστασιν εὐσεβῶς διδάσκουσα.

Μετὰ οὖν δέκα τινὰς χρόνους ἀνεφύη Εὐτύχιός τις ἀρχιμανδρίτης ἐν Κωνσταντινουπόλει, ἐξ οὐρανοῦ λέγων κατεληλυθέναι τὸ σῶμα τοῦ Χριστοῦ, καὶ ἑτερούσιον ἡμῶν αὐτὸ εἶναι, καὶ μίαν φύσιν τὸν Χριστὸν ὅλον τυγχάνειν. Καθ' οὗ πεποίηκε τοπικὴν σύνοδον ὁ μακάριος Φλαβιανὸς, ἐπίσκοπος ὢν Κωνσταντινουπόλεως, τότε καθελὼν αὐτὸν, καὶ ὁρίσας ὁμοούσιον ἡμῶν εἶναι τὸ σῶμα τοῦ Χριστοῦ. Λοιπὸν δέησιν ἐπιδεδωκὼς τῷ βασιλεῖ ὁ Εὐτύχιος, ἔπεισεν αὐτὸν, καὶ μεταστειλάμενος Διόσκορον τὸν πάπαν Ἀλεξανδρείας, ἐποίησε τὴν ἐν Ἐφέσῳ τὸ δεύτερον σύνοδον κατὰ

Φλαβιανοῦ, τὴν λεγομένην, ληστρικήν, ἐν ᾗ κυκλωθεὶς ἀπέθανεν ἐξ αὐτῶν.

Δι' ὃν ἡ ἁγία σύνοδος ἡ ἐν Χαλκηδόνι γέγονε, κατὰ Διοσκόρου, καὶ Εὐτυχοῦς τῶν αἱρεσιαρχῶν, μίαν φύσιν λεγόντων τὸν Χριστόν. Ἡ δὲ ἁγία σύνοδος διὰ τὸ τέλειον εἶναι ἐν θεότητι, καὶ τέλειον ὁμοίως ἐν ἀνθρωπότητι τὸν Χριστὸν, ἐν δύο αὐτὸν ἡνωμέναις φύσεσιν ἕνα Κύριον ἀσυγχύτως, καὶ ἀδιαιρέτως ἐκήρυξεν, ἐπικυρώσασα τὴν καθαίρεσιν Νεστορίου ἣν ἐποίησεν ὁ μακάριος Κύριλλος τῇ ἐν Ἐφέσῳ τὸ πρότερον ἁγίᾳ συνόδῳ, εὐφημίσασα καὶ τὸν αὐτὸν μακάριον Κύριλλον καὶ εἰποῦσα, Κυρίλλου αἰωνία ἡ μνήμη, ἐπὶ Μαρκιανοῦ τοῦ βασιλέως.

Μετὰ χρόνους Ρ' τῆς ἐν Χαλκηδόνι συνόδου γέγονεν ἐπὶ Ἰουστινιανοῦ τοῦ βασιλέως ἡ πέμπτη οἰκουμενικὴ σύνοδος κατὰ Ὠριγένους, καὶ Διδύμου, καὶ Εὐαγρίου τῶν ματαιοφρόνων λεγόντων τὰς ἡμετέρας ψυχὰς μετὰ τῶν δαιμόνων ἐξ οὐρανοῦ καταπεσεῖν εἰς τὰ σώματα ἡμῶν, καὶ ὅτι τέλος ἔχει ἡ κόλασις, καὶ ἀποκαθίσταται δι' αὐτῆς πάλιν ὁ διάβολος εἰς τὴν ἀρχαίαν αὐτοῦ τάξιν τὴν ἀγγελικήν. Κατέκρινε δὲ ἡ αὐτὴ ἁγία σύνοδος καὶ Σεβῆρον, καὶ τὸ φρόνημα αὐτοῦ, καὶ πάντα τὸν λέγοντα προϋπάρχειν τὰς ψυχὰς ἡμῶν πρὸ τῶν σωμάτων. Εἰδέναι μέντοιγε χρὴ ὅτι γεγόνασι καὶ ἄλλαι πλεῖσται σύνοδοι τοπικαὶ ἐν διαφόροις χώραις χάριν διαφόρων ἐκκλησιαστικῶν κεφαλαίων (25).

A latrocinans; in quo ab ipsis circumventus, fuit trucidatus.

Ob quem habitum est Chalcedone concilium adversus Dioscorum, et Eutychen hæresiarchas, unam in Christo naturam asserentes. At sancta hæc synodus, quod Christus tam divinitate quam humanitate æque perfectus esset, in duabus inconfuse, et inseparabiliter unitis naturis unum Dominum est professa: confirmata Nestorii, in priore Ephesino concilio, auctore Cyrillo, damnatione; quo quidem beato Cyrillo collaudato, eidem hoc edidit elogium: Cyrilli æterna memoria; quæ quidem omnia sub Marciano imp. sunt peracta.

B Annis post Chalcedonense concilium C sub Justiniano imp. quintum œcumenicum actum est concilium, contra Origenem, Didymum, et Evagrium stulte sapientes; quippe qui dicerent animas nostras cum dæmonibus e cœlo in corpora nostra decidisse: et, quod pœna (damnatorum) habeat finem; quodque diabolus in antiquum angelicum denuo restituendus sit ordinem. Damnavit etiam hæc sancta synodus Severum, et sententiam ipsius, omnesque idem sentientes, animas scilicet nostras ante corpora præexsistere. Sciendum vero est alia plurima 45 provincialia celebrata esse concilia in diversis locis, et de diversis ecclesiasticis capitibus.

ΚΕΦΑΛ. Ϛ'.

Πόθεν ἡ μονόφθαλμος Σεβήρου πίπτις ἐβλάστησεν.

C

Ὅσιον λοιπὸν πρὸς τὸ γινώσκειν τὸν φιλόπονον διὰ βραχέων εἰπεῖν, πόθεν ἀπήρξατο καὶ ἡ τὴν σύγχυσιν δογματίζουσα τῶν Μονοφυσιτῶν αἵρεσις, καὶ ἐκ ποίων αἱρέσεων καὶ δρακόντων ἀρχαίων τὸν ἰὸν ἐθήλασε. Ταῖς γὰρ Μανιχαίων, καὶ Οὐαλεντίνων, καὶ Μαρκιωνιστῶν, καὶ Ἀρειανῶν βίβλοις ἐγκύψας ὁ Εὐτυχὴς, ὁ καθαιρεθεὶς ὑπὸ τῆς ἁγίας συνόδου Καλχηδόνος, ἐκεῖθεν ἐδιδάχθη τὴν φαντασίαν καὶ δόκησιν, καὶ τὸ μίαν φύσιν κηρύττειν τῆς θεότητος, καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ. Εἶτα ἐκ τοῦ Εὐτυχοῦς παρέλαβε τὴν τοιαύτην νόσον ὁ Διόσκορος. Λοιπὸν καθαιρεθέντος καὶ Διοσκόρου ἐν Χαλκηδόνι, ἐσχίσθη ἡ Ἐκκλησία Κωνσταντινουπόλεως, καὶ Ἀλεξανδρείας. Μετὰ γοῦν χρόνους τινὰς γέγονε Τιμόθεος ἐπίσκοπος τῶν Μονοφυσιτῶν ἐν Ἀλεξανδρείᾳ, καὶ εὐθέως κατέγραψε συγγράμματα κατὰ τῆς συνόδου Χαλκηδόνος, καὶ τοῦ τόμου Λέοντος τοῦ Πάπα Ῥώμης. Εἶτα Ἰωάννης ὁ Καισαρεὺς ὁ γραμματικὸς ἀπελογήσατο ὑπὲρ τῆς συνόδου, καὶ ἕτεροι πλεῖστοι

D

CAP. VI.

Unde monocula Severi fides pullulaverit.

Pium deinceps est, ne ignoret studiosus, breviter exponere, unde cœperit confusionem docens Monophysitarum hæresis, et e quibus hæresibus, et antiquis draconibus venenum hauserit. Nam Manichæorum, Valentinianorum, Marcionitarum, et Arianorum libris inspectis, Eutyches qui a sancto concilio Chalcedone damnatus fuit, inde, phantasticum et putatitium corpus edoctus, unam divinitatis et humanitatis Christi naturam provulgavit. Ab Eutyche deinde morbum hunc suscepit Dioscorus. Cæterum Dioscoro in Chalcedonensi concilio condemnato, abdicatoque, Constantinopolitana et Alexandrina Ecclesia per schisma fuere separatæ. Post aliquot igitur annos Timotheus Monophysitarum Alexandriæ episcopus, statim adversus Chalcedonense concilium, ac Leonis Romani Pontificis volumen libros conscripsit. Defendere concilium Joannes Cæsareensis, et alii plurimi, scriptis verissimis. Pulsus igitur Antiochia Severus ob prava dogmata,

NOTÆ.

(25) Post hæc verba, sequitur in cod. August. titulus *De natura*; sed omnia jam habes supra in capite de definitionibus, et quidem ad verbum: Exceptis hisce pauculis: Ἐκ Παλαιᾶς καὶ Καινῆς Διαθήκης, ὅτι οὐδὲν ἕτερον σημαίνει τὸ λέγειν φύσει Θεὸν τὸν Χριστὸν, καὶ φύσει ἄνθρωπον, εἰ μὴ ἐν ἀληθείᾳ ὄντα Θεὸν, καὶ ἐν ἀληθείᾳ τὸν αὐτὸν γενόμενον ἀτρέπτως ἄνθρωπον. Εἴρηται τοίνυν τῷ σοφῷ Σολομῶντι, etc. *Ex Veteri et Novo Testamento, Christum natura esse Deum, et natura esse hominem, nihil aliud significare, quam illum ipsum, qui in rei veritate Deus est, etiam in rei veritate immutabiliter factum esse hominem. Dictum est itaque a sapientissimo Salomone*, etc.

quæ contra Chalcedonense docebat concilium, proficiscitur Alexandriam, serpentium, hoc est, catholicæ Ecclesiæ hostium, lustrum : scriptisque Cæsareensis, et aliorum, qui pro concilio scribebant, permultis Patrum, ac Scripturæ sententiis, probationibus, ac demonstrationibus instructis obiter perlectis, extemplo cum contra Joannem Cæsareensem scripsit, tum, quod Aquila, in veteri Scriptura fecit, prava interpretatione compluribus sententiis, et testimoniis de Christo perversis, et mutilatis, ac quæ in contrarium studio ferretur (vero scilicet ac religioni Christianæ consentaneo) falsa editione Judæis ad perniciem relicta, idem ipse quoque Severus patravit. Cum enim vidisset, pro concilio propugnantes, e Patrum et sanctorum doctorum testimoniis probe constabilivisse, Christum in una persona duabus naturis præditum, oblitus hic passim Severus. Patrem judicium omne Christo (Filio) dedisse [47], ceu Antichristus, erepta ei judicii dignitate, et quasi arbiter quidam, judexque sanctorum

Ecce Dominicas divinasque voces, quæ diversas rerum essentias, seu substantias animatorum animaque carentium, volatilium, et aquatilium, et reptilium theologice appellant diversa genera sive naturas: nequaquam personas diversas, juxta Aristotelis aut Homeri disciplinam. Nimirum docuit nos omnium rerum conditor, aliud esse genus (seu naturam) reptilium, 56 aliud bestiarum, aliud genus hominum, aliud dæmonum. Sicut et Christus de illis testatur: « Genus hoc (dæmoniorum) non exit nisi in oratione et jejunio [62]. » Hinc et Paulus, cum Atheniensibus philosophis demonstraret nos et Christum secundum carnem ejusdem substantiæ esse, dixit: « Ipsius enim et genus sumus [63]. » At forte Severus tam Moysen, quam Paulum repudians, abnuet naturam appellari genus. Sed refutat illum per nos Dei frater Jacobus in Catholica sua Epistola; qui, ut Dei frater, Deo consona et consentanea loquitur. Nam quæ Deus ore Moysis appellavit *genera*, ea nominat Jacobus *naturas*: « Omnis, inquiens, natura bestiarum et volucrum et serpentium, et aqua-

[60] Gen. I, 11. [60] ibid. 20, 21. [61] ibid. 24, 25. [62] Marc. IX, 28. [63] Act. XVII, 28.

tilium domita sunt, et domantur ab humana natura[66]. » Ecce diserte Domini frater diversa genera nominat diversas naturas. Quare cunctus etiam sanctorum Patrum cœtus ea quæ sunt diversæ substantiæ et naturæ vocavit diversorum generum. Igitur qui unam in Christo naturam post unionem ponunt, eos necesse est affirmare, aut divinitatem versam in creaturam congenerem esse carni; aut carnem consubstantialem factam esse sanctissimæ Trinitati: quod ex eorum numero est, quæ fieri nulla potestate valent. Si vero corpus non est Verbo consubstantiale, oportet, ut alia et alia sit in Christo natura: quemadmodum ostendit sapientissimus Cyrillus in Apologia pro Orientalibus ad Eulogium Constantinopoli degentem.

Scholion. Cyrillus in *Thesauro* vocat heterogenea, hoc est, diversi generis, ea quæ sunt diversæ naturæ seu essentiæ. Et Gregorius, Oratione in Epiphanium, cujus exordium : *Rursus Jesus meus*, vocat Spiritum sanctum Verbumque divinum testatam cognationem, quemadmodum et Gabriel ad Deiparam dixit : « Et ecce Elisabeth cognata tua. » Verum hæc hactenus. Pergamus ad alia.

Post Moysen in medium procedat ex divino prophetarum et apostolorum choro, sapientissimus Salomon, qui ipse etiam primus naturæ rationem exposuit diserte in libro qui *Sapientia* inscribitur. « Vani sunt omnes homines natura, in quibus non subest scientia Dei [66]. » Quid est natura? Hoc est, in veritate. Natura enim est, ut divinitus inspiratæ Litteræ tradunt, ipsa rerum veritas. Invertamus propter insipientes orationem Salomonis, dicamusque : « Vani sunt omnes homines προσώπῳ, *persona*; in quibus non subest scientia Dei. » Sed inconveniens ineptumque erit dicere : « *vani persona;* » conveniet igitur alterum; « *vani natura.* » Non igitur idem natura et persona? de qua re etiam a nobis dictum est **57** in Tomo apologetico ad populum, neque id memoria excidit. Sed quia agitur de ulcere et putredine diuturna et contumaci, et quæ omnia depascitur, et fetorem, fistulæ instar, exhalat, maxime in specubus et cavernis fuscarum Ægyptiarumque regionum, arena et pulvere semper oppletarum, ideo rursus de eodem argumento disputare oportet; præsertim ut si sacræ Scripturæ verba inverterimus, imperitis fidem faciamus, *naturam* et *personam* unum et idem non esse. Repetamus igitur beati Jacobi dictum, nomenque *naturæ* mutemus in nomen *personæ*. « Omnis natura bestiarum, et volucrum, et serpentium et aquatilium domita sunt et domantur ab humana natura [67]. » Non dixit, ab humana per-

A πετεινῶν, ἑρπετῶν τε, καὶ ἐναλίων δεδάμασται, καὶ δαμάζεται τῇ ἀνθρωπίνῃ φύσει. » Ἰδοὺ σαφῶς ὁ τοῦ Χριστοῦ ἀδελφὸς τὰ διάφορα γένη, διαφόρους φύσεις προσηγόρευσεν. Ὅθεν καὶ πᾶς ὁ τῶν ἁγίων Πατέρων χορὸς, τὰ ἑτερούσια καὶ ἑτεροφυῆ, ἑτερογενῆ οἶδεν ὀνομάζειν. Οὐκοῦν οἱ μίαν φύσιν μετὰ τὴν ἕνωσιν λέγοντες εἶναι τὸν Χριστὸν, ἤγουν ἓν γένος ἐκ παντὸς τρόπου, ἢ τὴν θεότητα συγγενῆ τῆς σαρκὸς λέγουσι τραπεῖσαν εἰς κτίσμα· ἢ τὴν σάρκα, πάλιν συγγενῆ καὶ ὁμοούσιον γενομένην τῆς ἁγίας Τριάδος· ὅπερ τῶν ἀμηχάνων, καὶ ἀδυνάτων ἐστίν. Εἰ δὲ οὐχ ὁμοούσιον τὸ σῶμα τῷ Λόγῳ, ἑτέρα πάντως, καὶ ἑτέρα φύσις ἐν Χριστῷ, καθὰ ὁ πάνσοφος Κύριλλος ἀπολογούμενος ὑπὲρ τῶν Ἀνατολικῶν πρὸς Εὐλόγιον ἐσήμανεν ἐν Κωνσταντινουπόλει ὄντα.

B *Σχόλιον.* Κύριλλος ἐν τῷ *Θησαυρῷ*, τὰ ἑτερογενῆ λέγει εἶναι, καὶ Γρηγόριος ἐν τῷ Λόγῳ τῶν Θεοφανίων, εἰς τὸ *Πάλιν Ἰησοῦς ὁ ἐμὸς*, συγγένειαν μεμαρτυρουμένην [Schol. μαρτυρουμένην] εἶπεν τὸ ἅγιον Πνεῦμα, καὶ τὸν Θεὸν Λόγον, ὥσπερ καὶ ὁ Γαβριὴλ φησὶ πρὸς τὴν Θεοτόκον· « Καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου. Ἀλλὰ μὴν μὲν τὸ πέρυσι ἐχέτω ἐνθάδε. Λοιπὸν δὲ ἐπὶ τὰ ἑξῆς ἰτέον.

Μετὰ γὰρ Μωσέα εἰς μέσον παρελθὼν τοῦ θειοτάτου, καὶ δεσποτικοῦ ἀκροατηρίου [C. A. ἀκροτηρίου.] τῆς τῶν ἁγίων προφητῶν, καὶ ἀποστόλων, πανηγύρεως Σολομῶν, ὁ πάνσοφος, πρῶτος καὶ αὐτὸς τηλαυγῶς ἡμῖν ἐν τῇ Παλαιᾷ Διαθήκῃ τὸν περὶ φύσεως ἐξετίθετο λόγον, ἐν τῇ παρ' αὐτοῦ ἐκτεθείσῃ C *Σοφίᾳ*, φάσκων· « Μάταιοι πάντες ἄνθρωποι φύσει, οἱ ἔχοντες ἀγνωσίαν Θεοῦ. » Τί ἐστι, φύσει; τοῦτ' ἔστιν, ἐν ἀληθείᾳ. Φύσις γάρ ἐστιν, ὡς αἱ θεόπνευστοι διαγγέλλουσι Γραφαὶ, ἡ τῶν πραγμάτων ἀλήθεια. Ἀντιστρέφω διὰ τοὺς ἄφρονας τὸν λόγον τοῦ Σολομῶντος, καὶ λέγω· « Μάταιοι πάντες ἄνθρωποι προσώπῳ οἱ ἔχοντες ἀγνωσίαν Θεοῦ. » Ἀλλ' οὐχ ἁρμόζει ὅλως, τὸ λέγειν, « μάταιοι προσώπῳ· » ἀλλὰ « μάταιοι φύσει. » Ὥστε οὐκ ἔστι ταυτὸν, φύσις, καὶ πρόσωπον. Καὶ εἴρηται μὲν ἡμῖν περὶ τούτου καὶ ἐν τῷ τόμῳ τῷ Ἀπολογητικῷ πρὸς τὸν λαὸν, καὶ οὐκ ἐπελαθόμην. Ἀλλ' ἐπειδὴ περὶ ἕλκους, καὶ σηπεδόνος χρονίας λαλῶ, καὶ σύριγγος, νομὴν, καὶ δυσωδίαν ποιήσαντος, καὶ μάλιστα ἐν τοῖς ὑπονόμοις, καὶ διώρυξιν τῆς ἄμμου, καὶ κονιορτοῦ τοῦ D ἐμπεπλησμένων τῶν Θελονάμων (35), καὶ Αἰγυπτιακῶν χώρων (36) οὐκ ὀκνητέον πάλιν περὶ τῶν αὐτῶν εἰπεῖν, καὶ μάλιστα ἵνα τὰς ἀντιστροφὰς τῶν λέξεων ποιήσαντες ἐκ τῆς ἱερᾶς Γραφῆς τοὺς ἄφρονας πείσωμεν, ὅτι οὐκ ἔστι ταυτὸν, *φύσις* καὶ *πρόσωπον*. Οὐκοῦν ἀναλάβωμεν πάλιν τὴν τοῦ μακαρίου Ἰακώβου φωνὴν διὰ τὴν ἀντιστροφὴν

[66] Jac. III, 7. [67] Luc. I, 36. [66] Sap. XIII, 1.

NOTÆ.

(53) Sch. θολανόμων Videtur nomen proprium regionis vel populi. Sed cujus? Nihil uspiam reperi Quo fit, ut credam, legendum θολουμένων, prout etiam in versione Latina expressi, quia facilis mendo occasio fuit ἐκθολουμένον in θολανόμων. Hæc tamen valeant eo usque dum θολανόμων regio ab aliquo peritiore inveniatur.

(36) Sch. γωοῦν.

τῆς λέξεως· » Πᾶσα φύσις θηρίων τε, καὶ πετεινῶν, ἑρπετῶν τε, καὶ ἐναλίων δεδάμασται, καὶ δαμάζεται τῇ ἀνθρωπίνῃ φύσει. » Οὐκ εἶπεν, τῷ ἀνθρωπίνῳ *προσώπῳ*· οὐδὲ γὰρ ἓν πρόσωπόν ἐστιν ἡ ἀνθρωπότης, ἀλλὰ *μυρία πρόσωπα*, φύσις δὲ *μία*· καὶ διὰ τοῦτό φησι, « τῇ ἀνθρωπίνῃ φύσει. »

A *sona*; neque enim natura humana est una persona: sed sunt personæ infinitæ; natura vero una; propterea dicit, « ab humana natura. »

Ταῦτά μου λέγοντος, ὁ θεῖος ῥήτωρ τῆς οἰκουμένης, Παῦλος τὴν πρὸς Ῥωμαίους φέρων Ἐπιστολὴν εἰς μέσον ἦλθεν, ἐν ᾗ ἡμᾶς διδάσκει λέγων, ὅτ' ἂν γὰρ « ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου τελοῦσι. » Τί ἐστι φύσει, εἰ μὴ ἐν ἀληθείᾳ; Ἀντιστρέψωμεν τὴν φωνὴν, καὶ εἴπωμεν, ὅτ' ἂν γὰρ « ἔθνη, τὰ μὴ νόμον ἔχοντα, » προσώπῳ τὰ τοῦ νόμου τελοῦσιν. Ἀλλ' οὐδαμῶς οὐδ' ὅλως ἁρμόζει τὸ λεγόμενον, ὥστε οὐκ ἔστιν ἡ φύσις πρόσωπον. Πάλιν γὰρ λέγει, ὅτι « κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία τὸν νόμον τελοῦσα, » τοῦτ' ἐστιν ἡ τῶν ἐθνῶν ἀκροβυστία ἐν ἀληθείᾳ τὸν νόμον τελοῦσα, κατακρίνει σε τὸν διὰ περιτομῆς παραβάτην τοῦ νόμου.

Hæc cum dissererem, ecce ingreditur divinus ille universi orbis doctor et orator Paulus, manibus suis Epistolam ad Romanos ferens, in qua ista tradit: « Gentes, quæ legem non habent, natura (seu naturaliter) ea quæ legis sunt, faciunt [66]. » Quid est natura, nisi in veritate? Invertamus hanc vocem, dicamusque: « Gentes quæ leges non habent, » persona ea quæ legis sunt, faciunt. At oratio hæc nullo modo conveniens est et apta. Sequi- B tur ergo naturam et personam non esse idem. Iterum idem ait: « Et judicabit id, quod ex natura est præputium, legem consummans [67], » hoc est, gentium præputium in veritate legem consummans condemnat te qui per circumcisionem transgressor es legis.

Σχόλιον. Οὐδεὶς ἐκ φύσεως τὸν νόμον τοῦ Θεοῦ ποιεῖ, ἀλλ' ἐκ προαιρέσεως· ἐπεὶ εἰ ἐκ φύσεως ἦν ἡ ποίησις τῶν τοῦ Θεοῦ ἐντολῶν, πάντες ἐδικαιοῦντο. Ὥστε καὶ ἐνταῦθα τὸ φύσει, ἀντὶ τοῦ ἐν ἀληθείᾳ εἴρηται.

Scholion. Nullus natura legem Dei facit, sed ex proposito et electione; quia si divinorum præceptorum impletio et exsecutio a natura esset, omnes justificati fuissent. Itaque et hoc loco nomen illud, natura, accipitur pro eo quod est, in veritate.

Καὶ πάλιν· « Εἰ γὰρ ὁ Θεὸς τῶν » κατὰ φύσιν « κλάδων οὐκ ἐφείσατο, » τοῦτ' ἔστι τῶν κατὰ ἀλήθειαν συνουσιωμένων ἐν τῇ ῥίζῃ, οὐδέ σου φείσεται τοῦ ἀρνουμένου τὴν ἀλήθειαν. Ἀντιστρέψωμεν πάλιν τὴν λέξιν διὰ τοὺς στρεβλοὺς, καὶ εἴπωμεν· Εἰ γὰρ ὁ Θεὸς τῶν κατὰ πρόσωπον κλάδων οὐκ ἐφείσατο. Ποῖον *πρόσωπον*, εἰπέ μοι, ἢ ποῦ ὅλως ἔχει λόγον, ἢ ἀκολουθίαν τὸ λεγόμενον; Οὐκοῦν οὐκ ἔστιν ἡ φύσις πρόσωπον. Εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἀγριελαίου, τοῦτ' ἔστιν ἐκ τῆς κατὰ ἀλήθειαν ἀπιστίας ἐξεκόπης. Καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι οἱ κατὰ φύσιν ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ; Ἀγριέλαιον τὴν ἀπιστίαν εἶπεν. Οὐδεὶς δὲ κατὰ φύσιν ἐστὶν ἄπιστος, ἀλλὰ κατὰ προαίρεσιν. Ὥστε καὶ ἐνταῦθα, ἀντὶ ἀληθείας κεῖται, τὸ, *φύσει.*

Rursus: « Si enim Deus ramis natura (naturalibus) non pepercit [70]; » hoc est: ramis qui secundum veritatem radici uniti et insiti fuerant; neque tibi veritatem neganti parcet. Mutemus iterum dictio- C nem propter pervicaces et tortuosos, dicamusque: Si enim Deus ramis persona non pepercit. Qualemnam *personam*, dic obsecro, intelligit? Aut quænam tandem hujus orationis est ratio et connexio? Ergo natura non est persona. Nam si tu ex naturali excisus es oleastro (ex oleastro, qui natura talis est), hoc est, si exemptus es ab ea quæ secundum rei veritatem erat infidelitas, et contra naturam insertus es in bonam olivam, quanto magis ii qui secundum naturam, inserentur suæ olivæ! Per oleastrum infidelitatem intelligit. Nullus enim natura est 58 infidelis, sed ex electione. Itaque et hoc loco ponitur vox, *natura*, pro veritate.

Ταῦτά μου εἰρηκότος, καὶ σπεύδοντος ἐφ' ἑτέρας ἀποδείξεις, πρὸς τὸ γραφικῶς παραστῆσαι, ὅτι οὐκ ἔστι ταυτὸν φύσις, καὶ πρόσωπον, κατέσχε μου τῆς χειρὸς πάλιν ὁ ἱερὸς ἀπόστολος τὴν πρὸς Κορινθίους πρώτην Ἐπιστολὴν αὐτοῦ ἐπιδούς· ἐν ᾗ πάλιν σαφῶς ἡμᾶς διδάσκει, ὅτι οὐδὲν ἕτερον σημαίνει ἡ φύσις, εἰ μὴ αὐτὴν τὴν τῶν πραγμάτων ἀλήθειαν. Ἐν οἷς ἐγκαλῶν τισι γυναιξὶν ἀκατακαλύπτῳ τῇ κεφαλῇ προσευχομέναις, φησὶν· « Ἐν ὑμῖν αὐτοῖς κρίνατε· πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ προσεύχεσθαι; Οὐδὲ αὐτὴ ἡ φύσις διδάσκει ὑμᾶς, » τοῦτ' ἔστιν, οὐδὲ αὐτὸ τὸ πρᾶγμα. Ἆρα ἐὰν ἀντιστρέψωμεν, καὶ εἴπωμεν ἀντὶ τῆς *φύσεως*, ὅτι *Οὐδὲ αὐτὴ ἡ ὑπόστασις διδάσκει ὑμᾶς*, ἔχει ὅλως νόστον ἡ

D Cum his finitis ad aliam demonstrationem properarem, ut ex Scripturæ testimoniis planum facerem naturam et personam unum et idem non esse, manum meam apprehendit Apostolus, offerens mihi primam suam ad Corinthios Epistolam, in qua rursus perspicue nos docet, naturam aliud non significare, quam ipsam rerum veritatem. Ubi enim mulieres quasdam capite non velato orantes reprehendit, sic loquitur: « *Vos ipsi, judicate, decet mulierem non velatam orare Deum? Nec ipsa natura docet vos* [71]; » hoc est, neque ipsa res. An igitur si loco vocabuli *naturæ* substituamus aliud, orationemque hunc in modum conformemus: *Nec ipsa hypostasis seu persona docet vos*, eamdem gratiam

[66] Jac. III, 7. [67] Rom. II, 15. [68] ibid. 37. [70] Rom. XI, 21.

et connexionem servabit oratio? Nequaquam. Non est igitur idem persona seu hypostasis et natura.

Sed exarchi et præsides decicornis illius sodalitii hæc non perpenderunt, neque Moysis, aut Salomonis, aut Christi, aut Jacobi, aut Pauli rationem habuerunt, quod attinet ad ea quæ de natura et persona tradiderunt. Si enim hæc ex lectione cognovissent, utique Dominum gloriæ non blasphemassent, dicendo naturam non esse sine persona; sed unum idemque reputari debere naturam et personam.

Ex quo sequitur, synodum Chalcedonensem, vel potius sanctos Patres, qui duas indivisas in Christo affirmarunt naturas, duas item personas ex Nestorii persuasione in Christo statuisse, eamque ob causam Severus, æquissimus ille judex eos de solio deposuit. Quod igitur natura et hypostasis non sint unum et idem satis superque ex Veteri Novoque Testamento demonstratum est. Sequitur, ut ex eadem sacra Scriptura planum faciamus, personam ne posse quidem naturæ appellationem suscipere. Nec aliud superest, quam ut qui ex imperitia personam et naturam unum idemque esse contendunt, animum ad ea, quæ dicentur, diligenter advertant.

Quæ sequuntur legenda sunt forma interrogationis et responsionis.

Cum Deus Cain maledixit[72], universæne humanæ naturæ maledixit, an uni personæ seu hypostasi? Clarum, quod tantummodo ejus qui deliquerat, personæ. Itaque persona et natura non sunt idem.

Cum Noe filium suum, a quo nuditas ejus patefacta et irrisa fuerat, sic compellavit: « Maledictus Chanaan, servus servorum 59 erit fratribus suis[73], » num communem trium filiorum naturam diris devovit, an unam ex tribus illis personam? Perspicuum, quod solum Chami personam. Ergo idem non est persona et natura.

Num translato Enoch a Deo[74], tota hominum natura translata est, an unica duntaxat persona? Clarum, quod sola persona Enoch. Non est ergo idem persona et natura.

Pari modo Christus cum exsecratus est Judam[74*], non exsecratus est universam apostolorum naturam, sed unam personam. Et ne videamur adversariis narrare fabulas, agedum, conferamus nos ad ea sacræ Scripturæ loca, in quibus proprie fit mentio personæ, cum de Deo sermo est.

Proditum legimus, patriarcham Jacob, post admirandam illam luctam, nominasse locum illum Phanuel, id est *visionem Dei;* dixit enim: « Vidi Deum πρόσωπον πρὸς πρόσωπον, *facie ad faciem;* » quasi dicas, *persona ad personam.* « Et salva facta est anima mea[75]. » Dicat mihi Severus, magnus ille

ἀκολουθίαν τὸ λεγόμενον; Οὐδαμῶς. Ὥστε οὐκ ἔστι ταυτὸν, φύσις, καὶ πρόσωπον, καὶ ὑπόστασις.

Ἀλλ' οἱ ἔξαρχοι τοῦ δεκαχεράτου ῥήτορες ταῦτα οὐδαμῶς διενοήθησαν, οὐ Μωσέως, οὐ Σολομῶντος, οὐ τοῦ Χριστοῦ, οὐκ Ἰακώβου, οὐ Παύλου εἰς τοὺς περὶ φύσεως, καὶ ὑποστάσεως, καὶ προσώπου λόγους μνείαν ἐποιήσαντο. Εἰ γὰρ ταῦτα ἀναγνόντες ἔγνωσαν, οὐκ ἂν τὸν τῆς δόξης κύριον ἐβλασφήμησαν, φάσκοντες, Οὐκ ἔστι φύσις ἀπρόσωπος. Ἀλλὰ ταυτόν ἐστι ἡ φύσις, καὶ τὸ πρόσωπον.

Λοιπὸν ἡ σύνοδος Χαλκηδόνος, μᾶλλον δὲ καὶ οἱ ἅγιοι Πατέρες, δύο φύσεις ἀδιαιρέτους εἰπόντες ἐν Χριστῷ, δύο πάντως, καὶ πρόσωπα ἐπ' αὐτοῦ κατὰ Νεστόριον εὑρίσκονται λέγοντες· καὶ τούτου χάριν Σεβῆρος ὁ δίκαιος κριτὴς τὴν αὐτῶν καθαίρεσιν ἐποιήσατο. Ὅτι μὲν οὖν οὐκ ἔστιν ἡ φύσις πρόσωπον, ἱκανῶς ὁ λόγος ἐκ Παλαιᾶς τε, καὶ Καινῆς Διαθήκης ἀπέδειξε λοιπὸν ἀκόλουθον ἀντιστρέψαι τὴν τάξιν. Καὶ ἐκ τῆς αὐτῆς ἱερᾶς καὶ θείας Γραφῆς παραστῆσαι, ὅτι οὐδὲ τὸ πρόσωπον δυνατόν ἐστι, φύσιν προσαγορεύεσθαι. Λοιπὸν ὅσοι ἄφρονες ταυτὸν λέγετε τὴν φύσιν, καὶ τὸ πρόσωπον, τῶν λεγομένων νουνεχῶς ἀκούσατε.

Κατ' ἐρώτησιν δὲ, καὶ ἀπόκρισιν ἀναγνωστέον τὰ ἀκόλουθα.

Καταρασάμενος ὁ Θεὸς τὸν Κάϊν, πᾶσαν τὴν φύσιν τῶν ἀνθρώπων κατηράσατο, ἢ ἓν πρόσωπον, καὶ μίαν ὑπόστασιν; Πρόδηλον, ὅτι μόνον τὸ τοῦ ἡμαρτηκότος πρόσωπον. Ὥστε οὐ ταυτὸν, πρόσωπον, καὶ φύσις.

Εἰπὼν ὁ Νῶε πρὸς τὸν υἱὸν αὐτοῦ τὸν στηλιτεύσαντα αὐτοῦ τὴν γύμνωσιν, ὅτι « Ἐπικατάρατος, καὶ παῖς οἰκέτης ἔσται Χαναάν. » πότερον τὴν κοινὴν φύσιν τῶν τριῶν υἱῶν κατηράσατο, ἢ ἓν ἐκ τῶν τριῶν προσώπων; Εὔδηλον ὅτι μόνον τὸ τοῦ Χὰμ πρόσωπον. Ὥστε οὐ ταυτὸν, φύσις καὶ πρόσωπον.

Μετενεχθέντος τοῦ Ἐνὼχ ὑπὸ τοῦ Θεοῦ, πᾶσα ἡ φύσις τῶν ἀνθρώπων μετηνέχθη, ἢ ἓν, καὶ μόνον πρόσωπον; Δῆλον, ὅτι μόνον τὸ τοῦ Ἐνὼχ πρόσωπον. Ὥστε οὐκ ἔστιν ἡ φύσις πρόσωπον.

Ὁμοίως καὶ ὁ Χριστὸς καταρασάμενος τὸν Ἰούδαν, οὐ πᾶσαν τὴν φύσιν τῶν ἀποστόλων κατηράσατο, ἀλλ' ἓν πρόσωπον. Καὶ ὅπερ μὴ δόξωμεν μύθους διηγεῖσθαι τοῖς ἀντιδίκοις, φέρε δὴ ἐπ' αὐτὴν τὴν κυρίως προσωπολεξίαν, τὴν ἐν τῇ θείᾳ Γραφῇ τυγχάνουσαν, περὶ Θεοῦ, χωρήσωμεν.

Γέγραπται γὰρ, ὅτι μετὰ τὴν παράδοξον ἐκείνην παλαίστραν, φησὶν ὁ θεσπέσιος Ἰακὼβ, ἐκάλεσε τὸν τόπον ἐκεῖνον, εἶδος θεοῦ. « Εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον (37). Καὶ ἐσώθη μου ἡ ψυχή. » Λεγέτω μοι νῦν ὁ φιλόσοφος Σεβῆρος, ὁ ταυτὸν λέγων εἶναι, τὴν φύσιν, καὶ τὸ πρόσωπον· ἆρα δυνα-

[71] I Cor. xi, 13, 14. [72] Gen. iv, 11. [73] Gen. x, 25. [74] Gen. v, 22. [74*] Matth. xxvi. [75] Gen. xxxii, 30.

NOTÆ.

(37) Argumentum hoc non est valde efficax, quia πρόσωπον plura significat quam persona.

τὸν ἦν τῷ Ἰακὼβ ἀντὶ τοῦ, « Εἶδον Θεὸν, πρόσωπον πρὸς πρόσωπον, » εἰπεῖν, « Εἶδον Θεὸν, *φύσις πρὸς φύσιν*, καὶ ἐσώθη μου ἡ ψυχή; » Οὐδαμῶς. Ὥστε οὐ ταυτὸν, φύσις, καὶ πρόσωπον.

A philosophus, qui naturam et personam idem esse contendit; num fieri potuerit, ut Jacob loco hujus: « Vidi Deum, πρόσωπον πρὸς πρόσωπον, » diceret: « Vidi Deum *natura ad naturam*, et salva facta est anima mea? » Nequaquam. Non ergo idem est natura et persona.

Δέχου ὁ Ἰακωβίτης καὶ ἕτερον παρὰ Ἰακὼβ λίθον σφενδονίτην. Εἶπε γὰρ πρὸς Ἡσαῦ τὸν ἀδελφὸν αὐτοῦ, ὅτι « Εἶδον τὸ πρόσωπόν σου, ὡς ἄν τις ἴδοι πρόσωπον Θεοῦ. » Ἰδοὺ πάλιν πρόσωπον εἶπεν. Ἀδύνατον γὰρ ἦν αὐτὸν εἰπεῖν, ὅτι εἶδον τὸ πρόσωπόν σου, ὡς ἄν τις ἴδοι φύσιν Θεοῦ. Ὥστε οὐ ταυτὸν φύσις, καὶ πρόσωπον.

Accipe Jacobita alium a Jacobo, quasi funda missum lapidem. Dixit enim ad Esau fratrem suum: « Vidi πρόσωπόν σου, *faciem tuam* (personam tuam), quasi viderim πρόσωπον, *vultum* Dei[76]. » Et rursus dixit πρόσωπον. Fieri enim non poterat, ut diceret: Vidi πρόσωπόν σου, quasi quis videret naturam Dei. Ergo idem non est persona et natura.

Εἴρηται πάλιν ἐν τῇ Ἐξόδῳ, ὅτι εἶδον οἱ υἱοὶ Ἰσραὴλ τὸ πρόσωπον Μωσέως, ὅτι δεδόξασται, καὶ περιέθηκαν αὐτῷ κάλυμμα. Καλύψαντες οὖν τὸ πρόσωπον Μωσέως, ἆρα τὴν φύσιν πᾶσαν αὐτοῦ ἐκάλυψαν, ἦγουν ὅλον τὸ γένος τοῦ Ἰσραήλ; Οὐδαμῶς. Ὥστε οὐ ταυτὸν φύσις, καὶ πρόσωπον.

In Exodo scriptum est Israelitas vidisse πρόσωπον, *faciem* Moysis glorificatam, et posuisse velamen super faciem Moysis[77]. Cum ergo πρόσωπον, faciem Moysis velassent; num ideo totam naturam ejus velarunt, vel totum genus Israeliticum? Nequaquam. Igitur idem non est natura et persona.

Καὶ πάλιν, ὅτε λέγει ἐπὶ τῆς βάτου, ὅτι « Καὶ ἀπέστρεψε τὸ πρόσωπον (38) αὐτοῦ Μωσῆς. Ηὐλαβεῖτο γάρ· » ἀδύνατον γὰρ εἰπεῖν, ὅτι Καὶ ἀπέστρεψε Μωσῆς τὴν *φύσιν αὐτοῦ*· ὥστε οὐκέτι ταυτὸν ἡ φύσις καὶ τὸ πρόσωπον.

Et rursus cum de Moyse ad rubum dicit: « Avertit τὸ πρόσωπον, *faciem suam* Moyses. Timebat enim[78]; » fieri non potuit, ut diceret: Avertit Moyses *naturam suam;* non est ergo idem natura, et πρόσωπον (*persona*).

Καὶ ὅτ' ἂν λέγει ὁ προφήτης πρὸς Θεόν· « Ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα, οὐ δύναται εἰπεῖν, Ἐπίφανον τὴν φύσιν σου, καὶ σωθησόμεθα· ὥστε οὐ ταυτὸν ἡ φύσις, καὶ τὸ πρόσωπον.

Et quando Propheta ait ad Dominum: « Ostende (πρόσωπον) *faciem tuam*, et salvi erimus[79]; » non quivit dicere: Ostende naturam tuam, et salvi erimus; φύσις et πρόσωπον minime idem erunt.

Ἀλλὰ μὴν οὔτε πάλιν προσευχόμενος, καὶ φάσκων τῷ Κυρίῳ ὅτι « Ἐξεζήτησέ σε τὸ πρόσωπόν μου, » ἠδύνατο εἰπεῖν, ὅτι, Ἐξεζήτησέ σε ἡ φύσις μου. Οὔτε γὰρ ἡ φύσις τῶν ἀνθρώπων τότε ἐξεζήτει τὸν Θεὸν, ἀλλ' ὁ Δαυίδ· ὥστε οὐ ταυτὸν φύσις καὶ πρόσωπον.

Neque cum preces ad Dominum fundens siebat[80]: « Exquisivit te, πρόσωπόν μου, **60** *facies mea;* » dicere potuit: Quæsivit te φύσις, *natura* mea. Neque enim hominum natura tunc quærebat Deum, sed David. Igitur idem non est natura et πρόσωπον.

Καὶ πάλιν λέγων πρὸς Θεὸν, ὅτι, « Ἐγὼ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου, οὐκ ἠδύνατο ἀντάλλαξαι τὴν φωνὴν, καὶ εἰπεῖν· Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῇ φύσει σου. Ἀδύνατον γὰρ τοῦτο. Οὐκοῦν οὐ ταυτὸν, φύσις καὶ πρόσωπον.

Rursus alloquens Dominum: « In justitia apparebo *conspectui* (προσώπῳ) tuo[81]; » non potuit mutata voce dicere: Ego vero in justitia apparebo τῇ φύσει σου, *naturæ tuæ*. Non est igitur idem φύσις et πρόσωπον.

Καὶ Ἡσαΐας δὲ λέγων ὅτι, Τὸ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων, » οὐκ ἠδύνατο εἰπεῖν, ὅτι, Τὴν φύσιν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· ὥστε οὐ ταυτὸν φύσις, καὶ πρόσωπον. Ἀλλ' οὐδὲ ὅτ' ἂν λέγει ὅτι, « Ἔστησα τὸ πρόσωπόν μου ὥσπερ πέτραν στερεὰν, » ἠδύνατο εἰπεῖν, τὴν φύσιν μου. Ὥστε οὐκέτι ταυτὸν φύσις, καὶ πρόσωπον, ὡς Σευῆρος ληρωδεῖ.

Sic Isaias cum dixit: « Faciem meam non averti ab increpantibus, et conspuentibus in me[82]; » dicere non potuit: Averti φύσιν, *naturam meam* a sputorum opprobrio. Itaque φύσις et πρόσωπον non sunt idem. Sed neque cum dixit: « Posui *faciem meam* (πρόσωπόν μου) quasi petram firmam; [83] » dicere potuit *naturam* meam. Non ergo idem φύσις et πρόσωπον, ut Severus delirat.

Ταῦτα λέγων, οὐ τὴν φύσιν μὲν τοῦ Θεοῦ λέγω ἀοράτην, τὸ δὲ πρόσωπον αὐτοῦ ὁρατόν. Ἄπαγε τῆς ἀτοπίας! Ἀλλὰ μόνον βούλομαι δεῖξαι τοῖς αἱρετικοῖς τὴν διαφορὰν τῆς φωνῆς. Καὶ ὅτι, οὐ πάντως ἔνθα ὀνομάζεται φύσις, δύναται καὶ πρόσωπον ὀνομάζεσθαι· οὔτε πάλιν, ἔνθα πρόσωπον λέγεται,

Hæc cum assero, minime assero, naturam quidem Dei esse inaspectabilem, πρόσωπον vero aspectabile; apage hanc absurditatem! sed tantum volo hæreticis discrimen vocis demonstrare, quodque non possit plane fieri, ut ubi nominatur φύσις, *natura*, ibi etiam nominetur πρόσωπον, vel vice versa,

[76] Gen. XXXIII, 10. [77] Exod. XXXIV, 29 seqq. [78] Exod. III, 6. [79] Psal. LXXIX, 4. [80] Psal. XXVI, 8. [81] Psal. XVI, 15. [82] Isa. L, 6. [83] ibid.

NOTÆ.

(38) Omnia ista procedunt ex homonymia vocis προσώπου. Quapropter infirma sunt.

ubi προσώπου nomen ponitur, ibi etiam omni modo ponatur nomen φύσεως, *naturæ*. Et hoc statim ex evangelica, et apostolica, non ex Græcanica traditione demonstrare conabor.

Dicit enim Filius Dei ad quosdam : « Videte, ne contemnatis unum ex parvulis istis; dico enim vobis, quia angeli eorum semper vident (τὸ πρόσωπον) *faciem* Patris mei in cœlis [84]. » Cæterum hoc absolute et simpliciter est impossibile, si intelligatur de natura (sicuti ipsum Dei verbum nos docet his verbis : « Deum nemo vidit unquam : Unigenitus, qui est in sinu Patris, ipse enarravit [85]. » Quod vero ait : « Deum nemo vidit unquam, » id non solum de hominibus pronuntiavit, sed et de angelis. De cætero explicet Acephalus, quomodo angeli, qui πρόσωπον, *faciem*, Patris vident, non videant naturam, si, ut contendunt, idem est natura et πρόσωπον.

λεγέτω Ἀκέφαλος, πῶς τὸ πρόσωπον τοῦ Πατρὸς ἄρα ταυτόν ἐστι, καθὰ φάσκετε, ἡ φύσις, καὶ τὸ πρόσωπον;

Audi et Paulum hæc tibi dilucide exponentem, tandemque depone decantatam illam næniam; idem esse naturam et πρόσωπον. Dicit igitur ad Corinthios de mundis corde, eos nunc quidem videre Deum, tanquam in speculo et ænigmate, in futura vero vita πρόσωπον πρὸς πρόσωπον, *facie ad faciem* [86]. **61** Cedo igitur tu, qui naturam, et πρόσωπον idem arbitraris, an invertere liceat orationem, et dicere : Tunc *natura ad naturam* videbunt justi Deum? Apage. Ipse enim Paulus testatur de Deo : « Quem nullus hominum vidit, sed nec videre potest [87]. » Itaque idem non est φύσις et πρόσωπον. Hujus generis innumera alia testimonia in Scriptura invenire licet, quæ Deum tanquam in imagine et visione secundum πρόσωπον nobis repræsentent; nulla autem, quæ secundum φύσιν, seu naturam. Neque enim in Veteri, aut Novo Testamento usquam invenies naturam Dei manifestatam, aut nominatam; sed omnes, qui invisibilis Dei typica et umbratili visione dignati sunt, ii viderunt προσωπικὴν θέαν, quasi dicas, personalem seu facialem visionem, et non physicam, seu naturalem Dei substantiam. Sic Daniel vidit Antiquum dierum πρόσωπον, et tanquam Filium hominis, et alterum πρόσωπον « veniens cum nubibus cœli [88]. » Et Isaias vidit in typica specie humanæ personæ, per visionem, « Dominum sedentem super thronum excelsum et elevatum, et ea quæ sub ipso erant, replebant templum. Seraphim stabant super illud : sex alæ uni, et sex alæ alteri [89]; » qui quidem divinam naturam non videbant in se, sed adumbratam in specie, cujus beneficio videre poterant, quantum quidem capaces erant Dei, alioquin ab omni aspectu et figura remoti, qui tunc sese humana specie conspiciendum exhibebat. Quod si natura et πρόσωπον idem sunt, qui factum est,

A δύναται τὸ αὐτὸ ἐκ παντὸς τρόπου καὶ φύσις προσαγορεύεσθαι. Καὶ τοῦτο εὐθέως, καὶ ἐξ εὐαγγελικῆς, καὶ ἀποστολικῆς, ἀλλ' οὐχ Ἑλληνικῆς παραδόσεως ἀποδεῖξαι πειράσομαι.

Φησὶ γὰρ ὁ Υἱὸς τοῦ Θεοῦ πρός τινας· « Ὁρᾶτε, μὴ καταφρονήσατε ἑνὸς τῶν ἐλαχίστων τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου ἐν οὐρανοῖς. » Εἰ δὲ ταυτὸν φύσις, καὶ πρόσωπον, ἀντιστρέφω τὴν φωνὴν, καὶ λέγω· Ὅτι οἱ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὴν φύσιν τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. Ἀλλὰ μὴν ἀδύνατον τοῦτο, καὶ παντελῶς ἀμήχανον, καθὼς αὐτὸς ὁ Θεὸς Λόγος διδάσκει ἡμᾶς λέγων ὅτι, « Τὸν Θεὸν οὐδεὶς ἑώρακε πώποτε. » Ὁ μονογενὴς Υἱὸς ὁ ὢν ἐν τοῖς κόλποις B τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο. » Εἰπὼν δὲ ὅτι « Οὐδεὶς Θεὸν ἑώρακεν, » οὐ περὶ ἀνθρώπων μόνον τοῦτο εἴρηκεν, ἀλλὰ καὶ περὶ τῶν ἀγγέλων. Λοιπὸν οἱ ἄγγελοι βλέποντες τὴν φύσιν οὐ βλέπουσιν; εἰ

Ἄκουσον πάλιν καὶ Παύλου τοῦτο σαφῶς διδάσκοντος, καὶ ἀπόθου τὸ πολυθρύλλητόν σου ληρώδημα, τὸ φάσκον, ταυτὸν ὑπάρχειν τὴν φύσιν, καὶ τὸ πρόσωπον. Λέγει γοῦν πρὸς Κορινθίους περὶ τῶν καθαρῶν τῇ καρδίᾳ, ὅτι νῦν μὲν ὁρῶσι τὸν Θεὸν ὡς ἐσόπτρῳ, καὶ αἰνίγματι, ἐν δὲ τῷ μέλλοντι αἰῶνι πρόσωπον πρὸς πρόσωπον. Εἰπέ μοι λοιπὸν νῦν, ὁ λέγων ταυτὸν εἶναι τὴν φύσιν, καὶ τὸ πρόσωπον· ἄρα δυνατόν ἐστιν ἀντιστρέψαι τὴν φωνὴν, καὶ εἰπεῖν· Τότε δὲ *φύσιν πρὸς φύσιν* ὄψονται οἱ δίκαιοι τὸν Θεόν; Ἄπαγε. Αὐτὸς γὰρ Παῦλος ὁ θεῖος προσμαρτυρεῖ περὶ Θεοῦ λέγων· « Ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὔτε ἰδεῖν δύναται. » Ὥστε οὐ ταυτὸν φύσις, καὶ πρόσωπον. Καὶ ἄλλας δὲ μυρίας τοιαύτας παραστάσεις ἔστιν εὑρεῖν ἐν τῇ θείᾳ Γραφῇ, προσωπολογησάσας μὲν ὡς ἐν εἰκόνι τινὶ, καὶ ὁπτασίᾳ τὸν Θεὸν, οὐδαμοῦ δὲ αὐτὸν φυσιολογησάσας. Οὔτε γὰρ εὑρήσεις ἐν πάσῃ τῇ Παλαιᾷ καὶ Καινῇ Διαθήκῃ, ἢ οὐσίαν Θεοῦ δηλωθεῖσαν, ἢ λεγομένην· Ἀλλὰ πάντες οἱ ὁπτασίαν Θεοῦ τοῦ ἀοράτου τυπικῶς, καὶ σκιωδῶς θεωρήσαντες, προσωπικὴν θέαν, ἀλλ' οὐ φυσικὴν οὐσίαν Θεοῦ ἑωράκασιν. Ὥσπερ ὁ Δανιὴλ, Παλαιὸν ἡμερῶν πρόσωπον, καὶ ὡς Υἱὸν ἀνθρώπου ἕτερον πρόσωπον « ἐρχόμενον μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ· » καὶ Ἡσαΐας ἐν εἴδει, καὶ σχήματι τυπικῷ ἀνθρωπίνου προσώπου ὁπτασίαν εἶδεν, « τὸν Κύριον καθήμενον ἐπηρμένου », οὐ τὴν θείαν φύσιν ὁρῶντες, ἀλλ' ὡς ἐν εἴδει τινὶ καθ' ὃ ἠδύναντο βλέπειν, καὶ καθ' ὃ ἐχώρουν ὁπτανομένου αὐτῆς ἐν ἀνθρωπίνῳ σχήματι τοῦ ἀοράτου, καὶ ἀσχηματίστου Θεοῦ. Εἰ δὲ ταυτὸν φύσις, καὶ πρόσωπον, πῶς οὐκ εἶπεν πρὸς Θεὸν ὁ προφήτης· Μὴ ἀποστρέψῃς τὴν φύσιν σου ἀπ' ἐμοῦ, ἀλλὰ, « Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. » Καὶ πάλιν, « Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. » Καὶ ἁπλῶς ἐν μυρίοις τόποις ἡ θεία Γραφὴ πρόσωπον Θεοῦ ὀνομάζουσα, οὐδαμοῦ φύσιν

[84] Matth. XVIII, 10. [85] Joan. I, 18. [86] I Cor. XII, 12. [87] I Tim. VI, 16. [88] Dan. VII, 9. 13. [89] Isa. VI, 1, 2.

Θεοῦ προσηγόρευσεν. Ὥστε πρόδηλον, ὅτι οὐκ ἔστι ταυτὸν φύσις, καὶ πρόσωπον.

A ut Propheta non diceret ad Deum : Ne avertas naturam tuam a me, Cur dixit? « Ne avertas *faciem* (πρόσωπον) tuam a me [90]? » Et rursum : « Τὸ προσωπον, *faciem* tuam illumina super servum tuum [91]. » Iterum : « Ne projicias me a facie (πρόσώπου) tua [92]. » Rursus : « Signatum est super nos lumen vultus (προσώπου) tui, Domine [93]; » et ut paucis omnia complectar, Scriptura divina infinitis locis πρόσωπον Dei nominatim exprimens, nusquam id naturam Dei appellavit. Quare non idem natura et persona.

Ἀλλὰ καταχρηστικῶς, φησὶ, καὶ καθ' ὃ δυνάμεθα ἀκοῦσαι, ἡ θεία Γραφὴ πρόσωπον ἐπὶ Θεοῦ προσηγόρευσεν, ὥσπερ καὶ χεῖρας, καὶ πόδας, καὶ ὦτα, καὶ πτέρυγας, καὶ ὀφθαλμοὺς, καὶ στόμα, καὶ τὰ λοιπὰ μέλη· ἐπεὶ ἀσώματον τὸ Θεῖον, καὶ ἀπρόσωπον, καὶ ἀσχημάτιστον. Ταῦτα τοῦ αἱρετικοῦ ἀντιλέγοντος, συντίθημι τῷ λόγῳ. Ἀλλ' ἐκεῖνο πάλιν ἀντερωτῶ, ὅτι καὶ πῶς ἐν μυρίοις τόποις ἡ θεία B Γραφὴ καταχρηστικῶς, καὶ ἀλληγορικῶς εἰποῦσα πρόσωπον ἐπὶ Θεοῦ, φύσιν, ἢ οὐσίαν οὐδαμῶς ἐπ' αὐτοῦ εἴρηκεν, οὐδὲ καταχρηστικῶς, οὔτε ἀλληγορικῶς, οὐδὲ συμβολικῶς, εἰ ἄρα, ὡς φατε, ταυτὸν φύσις, καὶ πρόσωπον. Ὥστε παντί που δῆλον, ὅτι οὐκ ἔστι ταυτὸν φύσις, καὶ πρόσωπον, καθὰ διὰ πλάτους ἐκ τῆς ἱερᾶς Γραφῆς, Παλαιᾶς τε, καὶ Καινῆς ἀπεδείξαμεν.

At sacra Scriptura per abusionem, utque nostro intelligendi modo sese accommodaret, πρόσωπον Deo tribuit, sicut manus, pedes, aures, alas, oculos, os, et reliqua membra ; cum tamen Deus sit corporis figuræque expers et ἀπρόσωπος. Equidem hæc hæretico opponenti, non invitus assentior : sed quæro cur, et quomodo divina Scriptura sexcentis locis abusive et allegorice Deo πρόσωπον tribuerit, de eodem φύσιν seu οὐσίαν nunquam prædicarit, neque abusive, neque allegorice, neque symbolice, si, ut vobis placet, idem est natura et πρόσωπον. Itaque cunctis manifestum est non esse idem naturam et πρόσωπον, quemadmodum copiose ex sacra Scriptura, antiqua et nova, demonstravimus.

Εἰ δὲ καὶ ζητεῖς λέγον, καὶ τίνος χάριν οἱ μακάριοι προφῆται διὰ πάσης τῆς θείας Γραφῆς προσώπου Θεοῦ ἐπιφάνειαν, καὶ παρουσίαν ἐπεζήτουν, καὶ ἠὔχοντο, καὶ προσεδόκουν, οὐ φύσεως ; ἄκουσον περὶ τούτου λόγον Πατρικὸν ὁμοῦ τε καὶ πιστόν· καὶ μὴ ἀντείπῃ. Γνόντες γὰρ δι' ἐνεργείας Πνεύματος ἁγίου οἱ μακάριοι προφῆται, καὶ πατριάρχαι, ὅτι οὐ τὸ κοινὸν τῆς φύσεως τῆς ἁγίας Τριάδος τὸ ὁλοτελὲς πλήρωμα, τῶν τριῶν προσώπων, Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος ἐπὶ γῆς ἐπιφαίνεσθαι, καὶ σαρκοῦσθαι μέλλει ἐπ' ἐσχάτων τῶν χρόνων, ἀλλὰ τὸ ἓν πρόσωπον, τοῦτ' ἔστιν ὁ Θεὸς Λόγος, τούτου χάριν, οὐ τὴν τριαδικὴν οὐσίαν Θεοῦ ἐπιδημῆσαι ἔλεγον, ἀλλὰ προσώπου Θεοῦ ἐπιφάνειαν ἐκήρυττον, καὶ προσηύχοντο· ὡσανεὶ σαφῶς, καὶ ἀριδήλως τὸ πρόσωπον τοῦ Θεοῦ Λόγου, καὶ τὴν αὐτοῦ ἐπὶ γῆς παρουσίαν ἐπιζητοῦντες, καὶ πρὸς αὐτὸν λέγοντες· « Ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα. » Καὶ, « Ἐξεζήτησέ σε τὸ πρόσωπόν μου, [σου] Κύριε, ζητήσω. » Καὶ, « Ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς ὁ Θεὸς, καὶ ἐλεήσαι ἡμᾶς. » Καὶ πάλιν· « Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, » τοῦτ' ἔστιν, ἐπὶ τὸν ἄνθρωπον, ὃν ἔπλασας. Ἰδικοῦ προσώπου Θεοῦ, ἤγουν τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος παρουσίαν οἱ προφῆται κηρύττοντες, τοῦτ' ἔστι τοῦ Θεοῦ Λόγου, καὶ οὐ φύσεως κοινῆς. Καὶ εἰ δεῖ σαφέστερον εἰπεῖν, ἐνουσίου προσώπου Θεοῦ παρουσίαν καταγγέλλουσι· καὶ οὐ τρισυποστάτου Τριάδος ὁλικὴν τριπρόσωπον σάρκωσιν. Ὥστε οὐ ταυτὸν ἡ φύσις, καὶ τὸ πρόσωπον, ὡς μυριάκις εἶπον.

62 Si quæras, quamobrem beatissimi prophetæ in omnibus divinarum Litterarum locis divini προσώπου apparitionem præsentiamque quæsierint, expetierint, atque expectarint, non naturæ, audi quid Patres hac de re recte et fideliter tradiderint. Nam cum prophetæ et patriarchæ, Spiritus sancti instinctu, cognovissent, non communem sanctissimæ C Trinitatis naturam, complementum illud et plenitudinem trium personarum, Patris, et Filii, et Spiritus sancti, ultimis temporibus in terra apparituram, carnemque assumpturam, sed unam duntaxat personam, hoc est, Dei Verbum ; ideo non naturam illam Dei tribus personis communem nobiscum conversaturam, vel conversatam esse prædicarunt, sed unam personam divinam apparuisse annuntiarunt et ut appareret, exoptarunt ; tanquam aperte et absque velamentis personam divini Verbi, ejusque in terra præsentiam inquirentes, eique acclamantes : « Ostende (πρόσωπον) *faciem* tuam, et salvi erimus [94]. » Et : « Exquisivit te (πρόσωπον) *fa*D *cies* mea : vultum tuum, Domine, requiram [95]. » Et : « Illuminet (πρόσωπον) *vultum* suum super nos, et misereatur nostri [97]. » Iterum : « *Faciem* (πρόσωπον) tuam illustra super servum tuum [97], » hoc est, super hominem, quem finxisti. Designatæ personæ divinæ, sive unius ex sancta Trinitate, adventum prophetæ annuntiarunt, non communis naturæ. Et, si clarius hoc dicere oportet, unius personæ divinæ in essentia divina subsistentis adventum annuntiant, non totius Trinitatis in tribus personis subsistentis incarnationem ; ut proinde idem non sit natura et persona, quemadmodum jam sæpius dictum.

Ταῦτα δέ μου ἐκ τῆς θείας Γραφῆς, καὶ τῶν προφητῶν λέγοντος, φοβοῦμαι, καὶ ἀγωνιῶ, καὶ τρέμω,

His ex divinis Litteris prophetisque allatis, etiam atque etiam metuo anxieque sollicitor, ne hujus-

[90] Psal. XXVI, 9. [91] Psal. CXVIII, 135. [92] Psal. L, 13. [93] Psal. IV, 7. [94] Psal. LXXIX, 4. [95] Psal. XXVI, 8. [96] Psal. LXVI, 2. [97] Psal. XXX, 17.

modi refutationibus exstimulatus Severus, ex tumulo exsiliens, suumque decicornem cœtum convocans, collecta synodo, Christum, Moysen, Paulum, prophetas, et evangelistas repudiet, proculque a se amandet eo modo, quo cum Ecclesiæ doctoribus egit; et quasi lege lata edicat, usque ad Nestorii ætatem dicta Christi, prophetarum, apostolorum substitisse omnemque fidem meruisse; sed a Nestorii tempore repudiari debere, neque periculo vacare Vetus et Novum Testamentum, quod non asserat naturam et personam unum et idem esse. Nam ad exsistentes hæreses, variandas esse et invertendas divinas Litteras, sanctorumque Patrum assertiones, easque modo recipi, modo repudiari debere.

Hæc molitur Severus in angustias redactus, mentisque dubius, qua tandem **63** quasi persona sanctorum Patrum de duabus in Christo naturis dicta reddat irrita. Et tandem non apostolorum, sed Græcorum more naturam accipit. Si enim vestigia Pauli sibi sequenda duxisset, sicut fecit Ecclesia, utique naturam nihil aliud dixisset, quam rei veritatem. Quomodo enim aliter accipiam illud Apostoli, dicentis : « Eramus aliquando filii iræ natura [98] ? » Quid est *natura iræ*, nisi in veritate iræ ? Possem et ex sanctis Patribus multa testimonia adducere, quibus planum facerem, naturam nihil aliud significare, quam veritatem ; sed metuo, ne dicat mihi Severus, hanc vocem, Nestorio exorto, rejectam et reprobatam esse. Adducam tamen eum ipsum, qui, cum Nestorii impietas ebulliit, florebat, sanctum Cyrillum, lumen illud Patrum celeberrimum et beatissimum, qui apostolos secutus docet naturam esse veritatem. Quare multis quoque operum suorum locis nominat in Christo naturalem nativitatem, et naturalem unionem : quas voces cum Theodoretus reprehendisset, explicat seipsum divinus Cyrillus in apologiis, quas pro duodecim anathematismis scripsit, dicens, se physicum, seu naturale accepisse Apostolorum more, pro vero : cui Ægyptiorum et Alexandrinorum consuetudo maxime consentit, quæ naturalia vocare consuevit *vera rerum*. Hinc cum alter alteri vera loquitur, dicere solet in colloquiis : Physica (naturalia) tibi dico, hoc est, *vera*. Num immutare licebit hanc vocem, ejusque loco dicere : Προσωπικά, *personalia* tibi dico ? Nequaquam. Neque enim eamdem vim et ordinem habet hoc vocabulum. Itaque natura et persona non sunt idem. Neque est quod dicta rideas. Ex apostolica enim traditione manavit, ut *natura* vocaretur *veritas*. Unde etiam accepimus naturam et personam distingui.

Ecce beatus Petrus martyr Alexandrinus execrationi devovit Arium his verbis usus : « Arius et in præsenti, et in futuro sæculo separatus sit

μή πως δριμυχθεὶς ὑπὸ τῶν τοιούτων ἐλέγχων ὁ Σευῆρος, τῆς σοροῦ ἐκ νεκρῶν ἀναπηδήσας, καὶ τὸ δεκακέρατον αὐτοῦ συγκαλέσας, καὶ σύνοδον ποιησάμενος, τὴν ἐκβολὴν, καὶ ἀποστροφὴν Χριστοῦ τε, καὶ Μωσέως, καὶ Παύλου, καὶ τῶν προφητῶν, καὶ εὐαγγελιστῶν ποιήσεται, καθάπερ καὶ ἐπὶ τῶν διδασκάλων πεποίηκε, καὶ νομοθετήσει λέγων, ὅτι ἕως μὲν τῶν καιρῶν Νεστορίου πισταὶ, καὶ βέβαιαι ὑπῆρχον αἱ τοῦ Χριστοῦ, καὶ τῶν προφητῶν, καὶ Ἀποστόλων φωναί. Ἀπὸ δὲ τῶν καιρῶν Νεστορίου ἀπεδοκιμάσθησαν, καὶ οὐκ ἔτι ἀσφαλὴς ἐστιν ἡ Παλαιὰ, καὶ Καινὴ Διαθήκη· μὴ λέγουσα ταυτὸν τὴν φύσιν, καὶ τὸ πρόσωπον. Πρὸς γὰρ τὰς ἀνακυπτούσας αἱρέσεις χρὴ παραλλάττειν καὶ μεταστρέφειν τὰς θείας Γραφὰς, καὶ, τοὺς Πατέρας, καὶ νῦν μὲν δέχεσθαι, νῦν δὲ ἀποῤῥίπτειν αὐτάς.

Ταῦτα δὲ ποιεῖ ὁ Σευῆρος στενωθεὶς, καὶ ἀπορήσας δι' οἵου προτώπου ἀκυρώσει τὰς τῶν ἁγίων Πατέρων περὶ τῶν δύο φύσεων Χριστοῦ φωνάς. Λοιπὸν δὲ μήτε νοῶν ἀποστολικῶς, ἀλλὰ Ἑλληνικῶς τὴν φύσιν. Εἰ γὰρ ἠκολούθησε Παύλῳ, καθάπερ ἡ ἁγία Ἐκκλησία, οὐδὲν ἕτερον εἶχεν εἰπεῖν τὴν φύσιν εἶναι, εἰ μὴ τὴν τοῦ πράγματος ἀλήθειαν. Ἐπεὶ πῶς νοήσωμεν τὸ λεγόμενον τῷ Ἀποστόλῳ, ὅτι « Καὶ ἦμέν ποτε τέκνα φύσει ὀργῆς. » Τί ἐστι *φύσει ὀργῆς*, εἰ μὴ ἐν ἀληθείᾳ ὀργῆς ; Καὶ ἠδυνάμην περὶ τούτου, καὶ ἐκ τῶν ἁγίων Πατέρων πιστῶσαι τὴν φωνὴν, ὅτι οὐδὲν ἕτερον σημαίνει ἡ φύσις, εἰ μὴ τὴν ἀλήθειαν. Ἀλλὰ φοβοῦμαι, μὴ εἴπῃ μοι Σευῆρος, ὅτι ἐπὶ Νεστορίου ἀπεδοκιμάσθη καὶ αὐτὴ ἡ φωνή. Πλὴν φέρε ἐπ' αὐτοῦ τοῦ χρόνου, καὶ τοῦ βράσματος τοῦ δυσσεβοῦς Νεστορίου παραστήσωμεν αὐτὸν τὸν φωστῆρα, καὶ τοῦ χοροῦ τῶν Πατέρων ἀοίδιμον τὸν μακάριον Κύριλλον, τὴν φύσιν, ἀλήθειαν εἶναι διδάσκοντος ἀποστολικῶς. Ὅθεν καὶ φαίνεται ἐν διαφόροις τόποις εἰρηκὼς φυσικὴν γέννησιν ἐπὶ Χριστοῦ· καὶ φυσικὴν ἕνωσιν, ἐν οἷς ἐπιλαβομένου Θεοδωρήτου τῶν τοιούτων φωνῶν, ἑρμηνεύει ἑαυτὸν ὁ θεόφρων Κύριλλος ἐν ταῖς ἀπολογίαις τῶν δώδεκα ἀναθεματισμῶν, φάσκων, ὅτι φυσικὸν τὸ ἀληθινὸν εἶναι εἴρηκεν ἀποστολικῶς. Καὶ πᾶσα δὲ ἡ Αἰγυπτίων, καὶ Ἀλεξανδρέων μάλιστα συνήθεια, φυσικὰ τὰ *ἀληθῆ τῶν πραγμάτων* ὀνομάζει. Ὅθεν καὶ ἀληθεύων ἕτερος πρὸς τὸν ἕτερον ἐν ταῖς διαλέξεσί φησιν, ὅτι φυσικά σοι λέγω, τοῦτ' ἔστιν, ἀληθινά. Ἆρα δυνάμεθα ἀντιστρέψαι τὴν τοιαύτην φωνὴν, καὶ εἰπεῖν, ὅτι Προσωπικά σοι λέγω ; οὐδαμῶς. Οὔτε γὰρ ἔχει ὅλως ἀκολουθίαν τὸ ῥῆμα. Ὥστε οὐ ταυτὸν φύσις, καὶ τὸ πρόσωπον. Καὶ μὴ γελάσῃς τὰ λεγόμενα. Ἐξ Ἀποστολικῆς γὰρ παραδόσεως *ἀλήθειαν* εἶναι τὴν *φύσιν* παρέλαβον ὀνομάζειν. Καὶ οὐ ταυτὸν εἶναι τὴν φύσιν, καὶ τὸ πρόσωπον. Ἐπεὶ εἰπέ μοι σύ.

Ἰδοὺ κατηράσατο ὁ μακάριος Πέτρος ὁ μάρτυς ἐν Ἀλεξανδρείᾳ, τὸν μιαρὸν Ἄρειον λέγων· « Ἄρειος, καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι κεχωρι-

[98] Ephes. II, 3.

σμένος ἔσται τοῦ Υἱοῦ τοῦ Θεοῦ. » Λοιπὸν ἡ κατάρα αὐτὴ, εἰπέ μοι, εἰς ἓν πρόσωπον συντείνει, ἢ εἰς τὸ κοινὸν τῆς φύσεως; πρόδηλον, ὅτι εἰς τὸ τοῦ Ἀρείου καὶ μόνον πρόσωπον. Ὄντως κοινωνοὶ τῆς τοιαύτης κατάρας τυγχάνετε ὁμοίως, καὶ πάσης ἑτέρας κατάρας δοθείσης προσώπῳ Ἑλληνικῷ, ἢ αἱρετικῷ. Ἀλλ' οὐχ οὕτως ἔχει ὁ λόγος ἐν ἀληθείᾳ· οὔτε γὰρ ἐὰν λεπρωθῇ ἓν πρόσωπον ἀνθρώπου, δύνασαι λέγειν, ὅτι ἡ φύσις τῶν ἀνθρώπων ἐλεπρώθη. Οὔτε πάλιν, ὅτε κατεκλύσθη ἐπὶ τοῦ κατακλυσμοῦ τὸ κοινὸν τῆς φύσεως τῶν ἀνθρώπων, δυνατὸν εἰπεῖν, ὅτι πρόσωπον τοῦ δεῖνος τοῦ ἀνθρώπου κατεκλύσθη. Οὔτε πάλιν ἐὰν ἐρημωθῇ οὐσία κτήτορος, δύνασαι εἰπεῖν, ὅτι τὸ πρόσωπον, ὡς πολλάκις εἶπον, τὸ ἰδικὸν σημαίνει· ἡ δὲ φύσις τὸ καθολικὸν, καὶ τὴν τοῦ πράγματος ἀλήθειαν, καθὼς παρεστήσαμεν, ἐκ νομικῆς, καὶ προφητικῆς, καὶ Δεσποτικῆς, καὶ εὐαγγελικῆς, καὶ ἀποστολικῆς, καὶ διδασκαλικῆς, καὶ δημιουργικῆς παραδόσεως. Καὶ τούτῳ τῷ κανόνι ἡ καθολικὴ Ἐκκλησία στοιχοῦσα λέγει, ἐν Χριστῷ τῷ Θεῷ δύο ἡνωμένας καθ' ὑπόστασιν φύσεις, ἤγουν δύο ἀληθῆ πράγματα, θεότητα λέγω καὶ ἀνθρωπότητα ἀσυγχύτως, καὶ ἀδιαιρέτως.

Εἰ οὖν, καθὼς ὁ λόγος πολυτρόπως καὶ πολυμερῶς ἀπέδειξεν, ἡ φύσις ἀλήθειά ἐστιν, μανθανέτωσαν πάντες οἱ μὴ λέγοντες φύσιν τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ, ὥσπερ καὶ τὴν θεότητα αὐτοῦ, ὅτιπερ οὐ λέγουσιν ἀλήθειαν τὴν σάρκα τοῦ Χριστοῦ καὶ τὴν ψυχήν. Εἰ δὲ ἀλήθειά ἐστι, πρόδηλον, ὅτι φύσις ἐστίν. Εἰ δὲ οὐκ ἔστι φύσις, οὐκ ἔστιν ἀλήθεια. Εἰ δὲ ἐν ἀληθείᾳ ἄνθρωπος γέγονε, φύσει ἄνθρωπός ἐστι καὶ μετὰ τὴν ἕνωσιν ὁ Χριστὸς, καὶ φύσει Θεὸς, φύσει ἄκτιστος καὶ φύσει κτιστὸς ὁ αὐτὸς, τοῦτ' ἔστιν ἐν ἀληθείᾳ καὶ ἀληθείᾳ. Μὴ ἀρνήσῃ τὴν φύσιν τῆς σαρκὸς, ὦ αἱρετικέ· ἐπεὶ τὴν ἀλήθειαν ἠρνήσω. Ἡ ἀλήθεια γάρ ἐστιν ἡ φύσις· ἐὰν μονότροπον ἔχῃ τὴν φύσιν ὁ Χριστὸς, μονοτρόπως ἐστὶν ἀληθὴς, καὶ καθ' ἕτερον τρόπον ψευδής· εἰ δὲ ἐν θεότητι καὶ ἀνθρωπότητι ἀληθής ἐστι, πρόδηλον ὅτι τὰς δύο ἔχει ἀληθεῖς φύσεις, ὅτι ἡ φύσις ἀλήθειά ἐστιν.

Ὅπερ δὲ πεπόνθασιν οἱ μιαροὶ, Ἄρειος λέγω καὶ Σαβέλλιος, ἐπὶ τοῦ Τριαδικοῦ λόγου, ταυτὸν καὶ Νεστόριος καὶ Σευῆρος ἐπὶ τοῦ τῆς οἰκονομίας λόγου πεπόνθασι. Σαβέλλιος μὲν γὰρ σύγχυσιν φανταζόμενος ἐπὶ τῆς θεότητος, μίαν ὑπόστασιν Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος ἔλεγεν. Ἄρειος δὲ πάλιν ὁ μιαρὸς, πολεμεῖν Σαβελλίῳ δοκῶν, τρεῖς οὐσίας ἑτερογενεῖς ἐπὶ τῆς ὁμοουσίου Τριάδος ἔφασκεν. Ἡ δὲ ἁγία Ἐκκλησία, τὴν βασιλικὴν τοῦ Θεοῦ ὁδὸν ἐκλεξαμένη, ἀπεβάλετο τὴν Σαβελλίου σύγχυσιν, καὶ Ἀρείου διαίρεσιν· τρία μὲν τὰ πρόσωπα, καὶ οὐχ ἓν πρόσωπον, τὴν ἁγίαν Τριάδα λέγουσα, μίαν δὲ τὴν οὐσίαν αὐτῶν, καὶ οὐ τρεῖς οὐσίας εὐσεβῶς ὁρίζουσα. Οὕτω πάλιν καὶ Νεστορίου τοῦ δυσσεβοῦς δύο πρόσωπα ἐπὶ Χριστοῦ δογματίζοντος, Σευήρου δὲ δυστυχοῦς μίαν φύσιν τὸν Χριστὸν φάσκοντος ἡ ἁγία Ἐκκλησία ὁμοίως ἀπεβάλετο, καὶ τὴν Νεστορίου διαίρεσιν ἓν πρόσωπον τὸν Χριστὸν κηρύττουσα· ὡσαύτως καὶ τὴν Σευήρου σύγχυσιν, δύο ἡνωμένου

A a Filio Dei. » Dic mihi num hæc exsecratio, seu maledictio tendit in unam personam, an in communem hominum naturam? Clarum, quod in solam Arii personam. Vere participes estis hujus, et cujusvis alterius exsecrationis, sive in Græcanicam, sive in hæreticam personam pronuntiatæ. At non ita se veritatis ratio habet: neque enim si una hominis persona sit infecta lepra, ideo dicere licet naturam humanam a lepra correptam esse. Neque rursus, in diluvio submersam esse communem hominum naturam; ideo dicere poteris, eo quod hæc vel illa persona cujusdam hominis fuerit submersa. Neque 64 si οὐσία (substantia, pro facultatibus) destituatur possessore, substituere poteris πρόσωπον in locum *usiæ* seu *substantiæ*. Nam, ut sæpius B dictum, πρόσωπον proprium significat, natura vero id, quod commune est, ipsamque rei veritatem, ut ostendimus ex traditione legis, prophetarum, Christi, et Evangelii, apostolorum, doctorum, ipsiusque Conditoris. Et hunc canonem sequens catholica Ecclesia, duas in una hypostasi unicas naturas, sive, duas res veras, divinitatem, inquam, et humanitatem, inconfuse et indivise in Christo profitetur.

Si igitur, ut multis argumentis hactenus fuse demonstravimus, natura veritas est, restat, ut omnes, qui humanitatem Christi naturam appellare abnuunt, quemadmodum et divinitatem illius, intelligant se carnis et animæ Christi veritatem negare. Si vero veritas est, clare liquet naturam quoque esse. Et si non est natura, non est veritas. Si C autem in veritate homo factus est, Christus natura homo erit etiam post unionem: natura Deus, natura increatus, natura creatus, hoc est, in veritate et veritate. Ne inficieris, o hæretice, naturam carnis, quia veritatem negasti. Nam veritas est natura. Si uniformem Christus naturam habet, uniformiter verus est, et alio modo falsus: si vero in divinitate et humanitate veritas est, liquet eum duas veras possidere naturas, quia natura veritas est.

Porro quod exsecrando Ario et Sabellio evenit in mysterio Trinitatis; hoc accidit Nestorio et Severo in divini Verbi incarnatione. Sabellius enim confusionem in divinitate per phantasiam suam D architectatus, unam hypostasin Patris, et Filii, et Spiritus sancti constituit. Scelestus autem Arius bellum, quasi contra Sabellium gerere volens, tres substantias dissimiles in consubstantiali Trinitate confinxit. At Ecclesia sancta regiam viam ingressa repudiavit tam Sabellii confusionem, quam Arii divisionem; tres enim personas, non unam duntaxat in sancta Trinitate, unamque illarum substantiarum, non tres substantias pie profitetur. Sic impio Nestorio duas in Christo personas constituente, miserrimo autem Severo, unam in Christo naturam profitente, sancta Ecclesia tam Nestorii divisionem reprobavit, unam in Christo personam prædicans, quam Severi confusionem rejecit, docens unum et solum Christum Dominum nostrum

esse duas in hypostasi inconfuse et indivise unitas naturas; pariterque detestans Severi confusionem, et impii Nestorii divisionem.

65 Catholica igitur Dei Ecclesia doctrinam de Christo non Aristotelis, aut Græcorum more tradit; sed, ut jam sæpe diximus, evangelice et apostolice, non « in persuasibilibus *Pythagoricæ* sapientiæ verbis, ut non evacuetur crux Christi [99]. » Aristoteles enim dicit naturam esse principium motus et quietis. At pia et ab apostolis profecta traditio neque principium motus, neque quietem sive finem in divina natura statuit. Quare evangelica natura definit naturam esse ipsam rem aptam natam, et in veritate subsistentem. Nam quod non est in veritate et substantia, id in existimatione et phantasia dicitur quidem, sed non subsistit. De qua re jam pro viribus disputavimus probationibus ex Scriptura, natura, et ex rebus ipsis allatis, quibus planum fecimus aliud esse naturam, aliud hypostasin seu personam. Sed omnibus hisce argumentis et exemplis refragabitur adversarius, ratus nos destitui probationibus ex Patribus seu doctoribus, ejusque gratia nos propriis cogitationibus ex penuria solidiorum argumentorum usos esse. Igitur ne et ipsi videamur via Severi incedere, sanctorumque Patrum cœtum, eorumque dicta vilipendere et aversari, agedum ex Patribus quoque atque ex synodis demonstremus, aliud esse id quod commune est cuivis naturæ in hac rerum universitate exsistenti, sive in cœlo, sive in terra : aliud vero id, quod personæ sive hypostasi proprium est. Hujus vero rei probationem non instituam ex unius sancti ore, neque ex centum; sed ex trecentis decem et octo Patribus, in quibus plurimi fuerunt Christi martyres, plurimi miraculorum patratores seu notas et signa suppliciorum in corpore suo gestantes. Forte Severus et asseclæ ejus totam multitudinem reveriti desinent nos calumniis incessere.

καθ' ὑπόστασιν φύσεις, ἀσυγχύτως, καὶ ἀδιαιρέτως τὸν ἕνα, καὶ μόνον Χριστὸν, Υἱὸν, Κύριον, Ἰησοῦν ἐκδιδάσκουσα· μυσαττομένη ἐπ' ἴσης καὶ τὴν Σευήρου σύγχυσιν, καὶ τὴν Νεστορίου τοῦ ἀσεβοῦς διαίρεσιν.

Ἡ μὲν οὖν καθολικὴ Ἐκκλησία τοῦ Θεοῦ, οὐκ Ἀριστοτελικῶς, καὶ Ἑλληνικῶς τὸν Χριστὸν δογματίζει· ἀλλ', ὡς πολλάκις εἶπον, εὐαγγελικῶς καὶ ἀποστολικῶς, οὐκ « ἐν πειθοῖς *Πυθαγορικῆς* σοφίας λόγοις, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ. » Ὁ μὲν γὰρ Ἀριστοτέλης φύσιν εἶναι λέγει, ἀρχὴν κινήσεως καὶ ἠρεμίας. Ἡ δὲ εὐσεβὴς τῶν ἀποστόλων παράδοσις, οὔτε ἀρχὴν κινήσεως, οὔτε ἠρεμίαν, ἤγουν τέλος, ὁμολογεῖ ἐπὶ τῆς θείας φύσεως. Διὸ φύσιν λέγει ἡ εὐαγγελικὴ φύσις αὐτὸ τὸ πρᾶγμα τὸ πεφυκὸς καὶ ὑπάρχον ἐν ἀληθείᾳ. Τὸ γὰρ μὴ ὂν ἐν ἀληθείᾳ, καὶ οὐσίᾳ, εὔδηλον ὅτι ἐν δοκήσει καὶ φαντασίᾳ λέγεται μὲν, οὐχ ὑπάρχει δέ. Καὶ ἤδη μὲν περὶ τούτου ἀπεδείξαμεν κατὰ τὸ ἡμῖν ἐφικτὸν, ἔκ τε Γραφικῶν, καὶ φυσικῶν, καὶ πραγματικῶν παραστάσεων, ὅτι ἕτερόν ἐστιν ἡ φύσις, καὶ ἕτερον ἡ ὑπόστασις, ἤτοι πρόσωπον. Ἀλλ' ἀντιλέξει πάντως ταῖς ἡμετέραις γνώμαις, καὶ τοῖς παραδείγμασιν, ὁ δι' ἐναντίας νομίσας ἡμᾶς ἀπορεῖν διδασκαλικῶν περὶ τούτου παραστάσεων, καὶ τούτου χάριν οἰκείοις λογισμοῖς λοιπὸν ἐξ ἀπορίας χρησαμένους. Οὐκοῦν ἵνα μὴ καὶ ἡμεῖς τὴν αὐτὴν ὁδὸν Σευήρου βαδίσωμεν, τὸν χορὸν τῶν ἁγίων Πατέρων, καὶ τὰς τούτων φωνὰς ἀπωθούμενοι καὶ ἀνατρέποντες, φέρε, καὶ Πατρικῶς ὁμοῦ τε καὶ συνοδικῶς ἀποδείξωμεν, ὅτι ἕτερον μέν ἐστι τὸ κοινὸν τῆς φύσεως ἑκάστης τῶν ὄντων ὑπάρξεως ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς. Ἕτερον δὲ πάλιν τὸ ἰδικὸν τῆς προσωπικῆς ὑποστάσεως. Ποιήσομαι δὲ τὴν τοιαύτην παράστασιν οὐκ ἐξ ἑνός τινος ἁγίου στόματος, οὔτε ἐξ ἑκατὸν, ἀλλ' ἐκ τριακοσίων δέκα καὶ ὀκτὼ Πατέρων. Ἐν οἷς πλεῖστοι μὲν γεγόνασι Χριστοῦ μάρτυρες, πλεῖστοι δὲ σημειοφόροι. Ἴσως τὸ τοσοῦτον πλῆθος αἰδεσθεὶς ὁ Σευῆρος, καὶ οἱ σὺν αὐτῷ παύσονται λοιδοροῦντες ἡμᾶς.

CAP. IX.

De natura et hypostasi ex sacrosancta synodo Nicæna.

Exstiterunt olim duo pessimi, et zizaniorum teracissimi hæresiarchæ, tanquam Annas quispiam et Caiphas, vel Pilatus, et Herodes Deum blasphemantes, Arius, inquam, et Sabellius, magistri Severi, qui et ipsi affirmabant idem esse naturam et personam. Et Sabellius quidem unam personam, et unam substantiam in sanctissima Trinitate constituebat; Arius vero tres personas, et tres substantias seu naturas : docebantque ambo naturam et personam idem esse. Quorum impietatem, perversamque sententiam evertit et condemnavit sanctissima illa et beatissima, Spiritus sancti quasi **66** unigenita filia, universalis synodus Nicæna, trecentorum oc-

ΚΕΦΑΛ. Θ'.

Περὶ φύσεως, καὶ ὑποστάσεως ἐκ τῆς ἁγίας συνόδου τῆς ἐν Νικαίᾳ.

Ἀνέφυ ποτὲ δυάς τις πονηρὰ ζιζανιόσπορος αἱρεσιαρχῶν, ὥσπερ τις Ἄννας, καὶ Καϊάφας, ἢ Πιλάτος καὶ Ἡρώδης εἰς Θεὸν βλασφημούντων, Ἄρειος λέγω καὶ Σαβέλλιος, οἱ Σευήρου διδάσκαλοι, ταυτὸν λέγοντες καὶ αὐτοὶ τὴν φύσιν καὶ τὸ πρόσωπον· ὁ μὲν Σαβέλλιος ἓν πρόσωπον, καὶ μίαν οὐσίαν λέγων ἐπὶ τῆς ἁγίας Τριάδος, ὁ δὲ Ἄρειος τρία πρόσωπα καὶ τρεῖς οὐσίας, ἀμφότεροι ταυτὸν λέγοντες εἶναι τὴν φύσιν καὶ τὸ πρόσωπον. Ὧν τὴν ἀσέβειαν καὶ τὸ τοιοῦτον φρόνημα ἀνατρέπουσα ἡ ἁγία καὶ μακαρία πρωτότοκος τοῦ ἁγίου Πνεύματος οἰκουμενικὴ σύνοδος τῶν ἐν Νικαίᾳ τιη' Πατέρων τῶν θεοφόρων, διδάσκουσα σαφῶς ἡμᾶς, ὅτι ἕτερόν ἐστιν ἡ οὐ-

[99] 2 Cor. I, 17; II, 4.

σία, ἤτοι ἡ φύσις, καὶ ἕτερον ἡ ὑπόστασις. Οὕτω βοᾷ·

Τοὺς δὲ λέγοντας, Ἦν ποτε, ὅτε οὐκ ἦν ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ πρὶν γεννηθῆναι, οὐκ ἦν. Καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως, ἢ οὐσίας, φάσκοντας εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ, τρεπτὸν, ἢ ἀλλοιωτὸν, τούτους ἀναθεματίζει ἡ ἁγία, καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία.

His, et id genus aliis multis in conventu dictis, cum veteri diversaque experientia compertum haberem, Severi sectatores scripta Cyrilli a vertice usque ad extremum unguem excutere, sursumque ac deorsum testimonia illius volvere, aliorum vero exiguam rationem ducere; paucis diebus ante hanc disceptationem, intelligens Theodosianos advocasse sectæ suæ duces ac principes, ut eos nobis opponerent, Joannem, inquam, et Gregorium, otio sumpto, composui Tomum dogmaticum, sub nomine Flaviani, **88** episcopi Constantinopolitani a Dioscoro interempti, eo quod assereret duas indivisibiliter unitas naturas in una composita hypostasi. In hoc igitur Tomo sententiam mentemque sanctorum Patrum ea, qua potui, diligentia et accuratione integram retinui, verba tamen illorum in ea, quæ ejusdem notionis ac significationis erant, commutata posui : Exempli gratia, loco *forma*, scripsi *substantiam* seu *essentiam;* loco *terreni*, terrestre; loco passionis, *crucem;* ut omnibus testatum facerem, istos hostili et male affecto animo, non amore veritatis concilio Chalcedonensi, beato Flaviano, et Tomo sancti Leonis adversari. Videbam enim illos temere, et absque ulla ratione, audito solo Flaviani nomine, vel tomo Leonis, anathema crepare, nihil pensi habentes, num recta an perversa esset, quæ in Tomo illo tradebatur, doctrina. Dixi igitur illis : Si placet, verbis comperdium fiat, nec opus erit multa

ἀνακυπτούσας αἱρέσεις δεῖ παραλλάττειν καὶ τὴν πίστιν, καὶ παραγράφεσθαι τὰ τῶν θείων Γραφῶν καὶ Πατέρων διδάγματα.

Ἀχθομένων οὖν, καὶ λίαν δριμυττομένων ἐπὶ τοῖς λεγομένοις Ἰωάννου, καὶ τῶν σὺν αὐτῷ ἑτεροδόξων, εἶπον πάλιν πρὸς αὐτούς· Οὕτως ἐστὶν, ὡς ἐνώπιον Κυρίου, ὅτι τῇ παραινέσει, καὶ νουθεσίᾳ πειθόμενοι Σευήρου, τῇ ἐπιτρεπούσῃ ὑμῖν παραγράφεσθαι μετὰ τὸν καιρὸν Νεστορίου τὰς φωνὰς τῶν ἁγίων Πατέρων, κἂν αὐτοῦ τοῦ ἁγίου Κυρίλλου τυγχάνουσι, δύο φύσεις ἐπὶ Χριστοῦ λέγουσαι, τούτου χάριν οὐ δέχεσθε τὰς τῶν Πατέρων χρήσεις, ἀλλ' ἠρετίσασθε, καὶ αὐτὰ τὰ ἅγια Εὐαγγέλια σχεδὸν διεκρούσασθε, καὶ πᾶσαν Παλαιὰν, καὶ Καινὴν, καὶ Πατρικὴν Γραφὴν, στοιχήσαντες ὥσπερ νέῳ τινὶ Ἀκύλᾳ τῷ Σευήρῳ. Ἐπεὶ τίς ἐξ ὑμῶν οὐ γινώσκει κατὰ πᾶσαν ἀκρίβειαν, ὅτι εἶπον οἱ Πατέρες δύο φύσεις ἀμειώτους ἐν Χριστῷ διαμένειν; τίς ἐξ ὑμῶν οὐ μαρτυρεῖ, ὅτι τοῦ ἁγίου Κυρίλλου εἰσὶν αἱ εἰρημέναι χρήσεις, αἱ φάσκουσαι, εἶναι, καὶ διαμένειν, καὶ γνωρίζεσθαι, καὶ μὴ συγχεῖσθαι, καὶ ἀριθμεῖσθαι ἐν ἑνὶ προσώπῳ δύο ἀδιαιρέτους ἐν Χριστῷ φύσεις; τίς ἐξ ὑμῶν οὐκ οἶδεν, ὅτι οὐ ταυτόν ἐστι φύσις καὶ πρόσωπον; Ἰδοὺ γὰρ μυρία μὲν πρόσωπα ὑπάρχομεν ἐνταῦθα· μία δὲ φύσις ἐσμὲν πάντες.

Τούτων δὲ καὶ ἑτέρων πλειόνων ἐν τῷ συνεδρίῳ εἰρημένων, ἐκ παλαιᾶς καὶ διαφόρου πείρας ὑπάρχων, ὅτι ἄνω καὶ κάτω τῷ μακαρίῳ Κυρίλλῳ σχολάζουσιν οἱ τὰ Σευήρου φρονοῦντες, καὶ ἄνω καὶ κάτω τὰς αὐτοῦ χρήσεις φέρουσι, τῶν δὲ λοιπῶν μακαρίων Πατέρων οὐ πλείστην παρέχουσι πρὸ μικρῶν ἡμερῶν τῆς διαλέξεως ἀκούσας, ὅτι τοὺς ἀκρέμονας, καὶ ἐξάρχους αὐτῶν μετεστείλαντο λέγω δὴ Ἰωάννην, καὶ Γρηγόριον, οἱ Θεοδοσιανοὶ πρὸς τὸ ἡμῖν παρατάξασθαι, καθεσθεὶς συντέταχα Τόμον δογματικὸν ὡς ἐξ ὀνόματος Φλαβιανοῦ τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως, τοῦ φονευθέντος ὑπὸ Διοσκόρου, διὰ τὸ ὁμολογεῖν ἐν Χριστῷ δύο ἡνωμένας ἀδιαιρέτως φύσεις ἐν μιᾷ συνθέτῳ ὑποστάσει. Ἐν Τόμῳ, τὸν μὲν σκοπὸν, καὶ τὸ φρόνημα τῶν ἁγίων Πατέρων μετὰ πολλῆς τινὸς τῆς ἀκριβείας ἐφύλαξα· μικρὸν δὲ τὰς αὐτῶν ῥήσεις δι' ἑτέρων τινῶν ἰσοδυνάμων λέξεων ὑπαλλάξας τέθεικα. Οἷον, ἀντὶ *μορφῆς*, *οὐσίαν*, καὶ ἀντὶ *χοϊκοῦ*, *γηγενὲς*, καὶ ἀντὶ *πάθους*, *σταυρόν*· πρὸς τὸ δεῖξαι πᾶσιν, ὅτι ἐχθρωδῶς καὶ ἀντιπαθῶς, ἀλλ' οὐ φιλαλήθως ἐναντιοῦνται τῇ συνόδῳ Χαλκηδόνος, καὶ τῷ μακαρίῳ Φλαβιανῷ, καὶ τῷ Τόμῳ τοῦ ἁγίου Λέοντος. Ἐγίνωσκον γὰρ, ὅτι ἀλόγως, εἰ μόνον ἀκούσωσι τὸ ὄνομα Φλαβιανοῦ, ἢ τοῦ Λέοντος ἐν τῷ Τόμῳ, ἀναθεματίζουσιν αὐτὸν, μὴ ἀνακρίνοντες, εἰ ὀρθὴ, ἢ διεστραμμένη ὑπάρχει ἡ ἔκθεσις ἐν αὐτῷ. Εἶπον οὖν πάλιν πρὸς αὐτούς· Ἐὰν ἀρέσκῃ ὑμῖν, ἵνα μὴ

NOTÆ.

(49) Loquitur de Aquila Scripturæ interprete, et nimium judaizante.

πολλὰ εἴπωμεν καὶ ἀκούσωμεν, ἰδοὺ ἡ πίστις ἡμῶν καὶ τῆς συνόδου Χαλκηδόνος· δέξασθε, καὶ ἀνάγνωτε, καὶ ἢ στοιχήσατε ἢ ἀναθεματίσατε. Εἶχεν δὲ ὁ Τόμος οὕτως·

A vel a vobis audiri. En fidem nostram, et synodi Chalcedonensis. Accipite et legite, et vel approbate, vel reprobate; sic autem Tomus iste.

Φλαβιανοῦ ἐπισκόπου Κωνσταντινουπόλεως ἐκ τοῦ Τόμου τοῦ δογματικοῦ, οὗ ἔγραψε πρὸς Λέοντα τὸν πάπαν Ῥώμης, περὶ τῆς ἐνσάρκου οἰκονομίας Χριστοῦ, τοῦ ἀληθινοῦ ἡμῶν Θεοῦ.

Ex Tomo Flaviani episcopi Constantinopolitani, quem misit ad Leonem papam Romanum de incarnatione Christi, veri nostri Dei.

« Ὁ Λόγος, φησὶ, σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. » Ἕτερον δέ τι ἡ σκηνὴ, καὶ ἄλλο τὸ κατασκηνοῦν. Οὐ λέγω, ἄλλος καὶ ἄλλος, ὡς ἐπὶ δύο προσώπων, ἀλλ' ἕτερον καὶ ἕτερον, ὡς ἐπὶ δύο φύσεων. Πᾶσα μὲν γὰρ εὐαγγελικὴ καὶ ἀποστολικὴ παραίνεσις καὶ μαρτυρία περὶ τοῦ Ἐμμανουὴλ, εἰς δύο διαιρεῖται τρόπους· τῇ μὲν τὸ μοναδικὸν αὐτοῦ δηλοῦσα πρόσωπον, τῇ δὲ τὰς δύο αὐτοῦ σαφῶς μαρτυροῦσα φύσεις. Καὶ γὰρ ἦν, καὶ ἔστι διπλοῦς, ὁ εἷς, καὶ μόνος Ἰησοῦς καὶ Χριστός· καὶ διπλοῦς ὁ ἐπ' αὐτῷ λόγος, οὐ πρὸ τῆς ἑνώσεως, ἀλλὰ μετὰ τὴν ἄφραστον ἕνωσιν, τέλειος ὁ αὐτὸς, ὥσπερ ἐν θεότητι, οὕτως καὶ ἐν ἀνθρωπότητι. Εἰ γὰρ ἦν ἁπλοῦς, ὡς [leg. πῶς;] πάσχειν καὶ θνήσκειν ἠδύνατο; πῶς τύπτεσθαι καὶ ῥαπίζεσθαι, εἰ μὴ τῇ τοῦ σώματος παθητῇ καὶ γηγενεῖ φύσει; Ὥσπερ γὰρ ὁμοούσιος ὢν τῷ Θεῷ καὶ Πατρὶ, τέλειός ἐστιν ἐκ τελείου Θεός· οὕτως καὶ ὁμοούσιος ἡμῖν ὑπάρχων, τέλειος τυγχάνει ἄνθρωπος.

B « Verbum, inquit, caro factum est, et habitavit in nobis [17]. » Aliud vero habitatio, aliud vero habitans; non dico alius et alius, quasi duæ essent personæ; sed aliud et aliud, tanquam de duabus naturis. Omnes enim evangelicæ et apostolicæ admonitiones et testimonia de Emmanuele bifariam dividi possunt: partim enim singularem ejus personam indicant; partim duas ejus naturas perspicue declarant. Erat enim et est geminus unus et solus Jesus Christus, et duplex ejus ratio, non ante, sed post inenarrabilem unionem, idem perfectus sicut in divinitate, sic et in humanitate. Nam si natura simplici constitisset, quomodo pati ac mori potuisset? Quomodo verberari, clavis affigi et colaphis cædi; si hæc non est passus passibili et terrena corporis natura? Quemadmodum enim, consubstantialis Deo et Patri exsistens, perfectus est ex perfecto Deus; sic et ejusdem substantiæ nobiscum exsistens perfectus est homo.

Σχόλιον. Ταῦτα ἐκτιθέμεθα, ἵνα τῷ αὐτῷ τρόπῳ χέχρηνται οἱ φιλόπονοι κατὰ τῶν ἐναντίων· ἐπεὶ καὶ ὁ μακάριος Παῦλος οἶδεν τῷ τοιούτῳ τρόπῳ χρήσασθαι. Διὸ καὶ ἔλεγε πρός τινας, ὅτι « Δόλῳ ἡμᾶς ἔλαβον. »

C *Scholium.* Hæc commemoravimus, ut studiosi eodem pugnandi modo utantur adversus adversarios, quandoquidem et beatus Paulus hoc modo usus est. Qua de causa dixit ad quosdam: « Dolo vos cepi [18]. »

Σχόλιον. Γρηγορίου Θεολόγου εἰς τὰ Θεοφάνια, καὶ Κυρίλλου Ἱεροσολύμων, ὡσαύτως καὶ Κυρίλλου Ἀλεξανδρείας ἐν τῷ πρώτῳ λόγῳ, τῷ *Εἰς τὴν ἁγίαν Τριάδα*· Γρηγορίου Νύσης [Νύσσης] *Κατὰ Εὐνομίου*, καὶ Κυρίλλου Ἀλεξανδρείας *Πρὸς Σούκκενσον*, ἐκ τοῦ προ[σ]φωνητικοῦ Παύλου ἐπισκόπου Ἐμέσης ἐν Ἀλεξανδρείᾳ, ἡ [*l.* οὗ] χρῆσίς ἐστιν, τὴν [*l.* ἣν] ἐπὶ τοῦ ἁγίου Κυρίλλου εἶπεν· « Ὁ γὰρ ἐν μορφῇ Θεοῦ ὤν, μορφὴν δούλου ἔλαβε δι' ἡμᾶς. » Ἡ δὲ μορφὴ τοῦ Θεοῦ, οὐσίαν σημαίνει Θεοῦ, ὥσπερ καὶ ἡ μορφὴ τοῦ ἀνθρώπου, φύσιν ἀνθρωπίνην δηλοῖ. Γρηγορίου Νύσης [Νύσσης] *Κατὰ Εὐνομιανῶν*· « Αἱ μὲν οὖν πληγαὶ, καὶ ὁ σταυρὸς, καὶ ὁ θάνατός ἐστι τοῦ ἀνθρώπου, ἐν ᾧ ἐστιν ὁ Δεσπότης ὁ Θεὸς Λόγος, ἡ δὲ δόξα, καὶ τὸ κράτος ἐστὶ τοῦ Δεσπότου, περὶ ὃν ἐστιν ὁ δοῦλος, τοῦτ' ἔστιν ὁ ἄνθρωπος. » Γρηγόριος, *Κατὰ Εὐνομίου*. « Εἰ οὖν καὶ ἀπαθές ἐστι περὶ τὸ θεῖον, τὰ δὲ πάθη περὶ τὸ ἀνθρώπινον, πῶς ἂν τις τῶν εὐφρονούντων μίαν λέξειεν τὰς δύο αὐτοῦ φύσεις; »

89 *Scholium.* Gregorii Theologi in Epiphaniam, et Cyrilli Hierosolymitani, et Cyrilli Alexandrini lib. 1 *De sanctissima Trinitate*, Gregorii Nysseni *Contra Eunomium*, et Cyrilli Alexandrini *Ad Successum*: et ex concione Pauli episcopi Emeseni, quam Alexandriæ præsente sancto Cyrillo dixit, cujus est hoc dictum: « Qui in forma Dei erat, formam servi propter nos accepit [19]. » Forma vero Dei substantiam Dei significat; sicut et forma hominis naturam humanam significat. Gregorii Nysseni *Contra Eunomianos*: « Plagæ igitur et crux, et mors sunt hominis, in quo est Dominus, Dei Verbum. Gloria et potentia est Domini, quam circumdat servus, hoc est, homo. » Gregorius, *Contra Eunomium*: « Si igitur secundum naturam divinam impassibilis est; passionis vero capax secundum naturam humanam, quis, cui cor sapiat, duas ejus naturas unam ausit dicere? »

Τοῦ ἁγίου Ἐφραὶμ *εἰς τὸν Μαργαρίτην*· » Εἰ δὲ μία εἰσὶν, ἆρα ἂν ἡμίθεος ἐσαρκώθη Θεὸς καὶ ἡμιφυὴς ἀνελήφθη ἄνθρωπος. » Ἀλλ' οὐχ οὕτως διδάσκει τῆς εὐσεβείας ὁ θεσμὸς, ὃν διεκρούσατο Εὐτυχὴς ὁ ἀρχιμανδρίτης, μίαν κηρύττων φύσιν τῆς ἀκτίστου θεότητος καὶ τῆς καθ' ἡμᾶς ἀνθρωπότητος τοῦ Χριστοῦ·

Sanctus Ephræm *In Margaritam*: « Si vero divinitas et humanitas una sunt natura, igitur semideus incarnatus est Deus; et semi-homo in cœlum assumptus est. » At non ita docuit sanctorum cœtus, quem Eutyches archimandrita respuit; non docuit, inquam, unam esse naturam increatæ di-

[17] Joan. I, 14. [18] II Cor. XII, 6. [19] Philipp. II, 6, 7.

vinitatis, et nostræ, quæ in Christo inest, humanitatis; quin potius universus sanctorum Patrum chorus duplicem substantiam seu naturam in Christo confitetur; at non duplicem personam sive substantiam; ex quorum numero, Amphilochius, Cyrillus ad Successum, Proclus.

Testimonium Amphilochii : « In unam enim personam, sicut et vestra sanctitas docet, convenerunt duæ naturæ, quas et in Christo esse, et conservari immutabiliter et indivisibiliter confitemur. »

Testimonium Procli : « Est enim unus et unigenitus Filius et Verbum Dei; naturis ejus non in duplicem hypostasin divisis; sed ineffabili ratione in unam hypostasin conjunctis; intus sanctissimo ejus corpore per verbum exornato, foris autem Spiritus sancti protectione custodito, ut ex utrisque claritas naturarum emineat ac elucescat. Sic enim ipsum etiam comedisse dicimus, non modo ante passionem; sed et post resurrectionem, ut naturam corporis sui comprobaret. » Si vero corpus, de quo hæretici disceptant, natura ac substantia appellatur, manifestum est utramque in uno Christo naturam integram superesse, hoc est, divinam et humanam, eumque in divina natura proloqui, quæ Deum decent; in nostra autem rursus proferre humana, et statui abjectionis consentanea; ita ut nullam commistionem, nullam confusionem, nullamque divisionem in naturis subierit; sed ut sit unus Jesus et Christus, et Dominus, et Salvator illis, qui pie in ipsum credunt.

90 Hæc cum ex Tomo lecta fuissent, eum Joannes et Gregorius exsecrati sunt, respuerunt, et quæcunque in eo scripta erant anathemati subjecerunt. Et postquam Tomum detestati fuissent, et anathematizassent, protulimus sanctorum Patrum libros, ex quibus omnia testimonia, quæ in Tomo comprehendebantur, desumpta erant; nam in promptu habebamus. Et singula testimonia nihil aliud erant, quam hæreticorum redargutiones ac refutationes. Et quando ex propriis illorum libris demonstravimus, eos non Flavianum, sed sanctos Patres diris devovisse, et anathemati subdidisse; consurrexit populus, plurimisque opprobriis affectos tantum non lapidibus obruit. Hic nimirum triumphus, et hoc dedecus fuit, quod Joannes cum sociis publice retulit.

Non abs re fuerit studiosos istud itidem observare hoc loco. Narrabant nobis catholici qui Alexandriæ degunt, post tempora beati Eulogii papæ (Alexandrini), hic fuisse præfectum Augustalem Severianum, qui satis diu quatuordecim calligraphos seu librarios ejusdem secum sententiæ habuerit ac aluerit, quibus id negotii dabat, ut Patrum libros falsarent ac depravarent, maxime sancti Cyrilli, in cuius *epistolam ad Successum* cum incidissemus : dictum illud : « duas in Christo naturas dicimus; » non ullis in Alexandrinis exemplis sincerum ac incorruptum invenimus ; sed quædam habebant : « Duas naturas unitas dicimus. » Alia : « Duas na-

A ὁ δὲ πᾶς τῶν ἁγίων Πατέρων χορὸς, διττὸν τὴν οὐσίαν εἶναι, ἤτοι τὴν φύσιν, ὁμολογεῖ τὸν Χριστόν· οὐ διττὸν δὲ τὴν ὑπόστασιν, ἤτοι τὸ πρόσωπον. Ἀμφιλοχίου, πρὸς Σούκκενσον Κυρίλλου, Πρόκλου.

Ἀμφιλοχίου· « Εἰς ἓν γὰρ πρόσωπον, καθὼς καὶ ἡ ὑμετέρα διδάσκει ἁγιωσύνη, συνέδραμον αἱ δύο φύσεις, ἅσπερ καὶ εἶναι, καὶ σώζεσθαι ἀτρέπτως καὶ ἀδιαιρέτως ἐν Χριστῷ ὁμολογοῦμεν. »

Πρόκλου· « Ἔστι γὰρ εἷς καὶ μόνος μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, οὐ τῶν φύσεων αὐτοῦ εἰς δυάδα ὑποστάσεων τεμνομένων, ἀλλὰ τοῦ ἀῤῥήτου λόγου εἰς μίαν ὑπόστασιν ἑνώσαντος, ἔνδοθεν κοσμουμένου τοῦ παναγίου σώματος, διὰ τοῦ θείου B Λόγου, ἔξωθεν δὲ τῷ Πνεύματι φρουρουμένου· ἵνα ἐξ ἀμφοτέρων τὸ περιφανὲς τῶν φύσεων δειχθῇ· οὕτω γὰρ καὶ ἐσθίειν αὐτόν φαμεν, οὐ πρὸ τοῦ πάθους μόνον ἀλλὰ καὶ μετὰ τὴν ἀνάστασιν, τὴν φύσιν τοῦ σώματος αὐτοῦ πιστούμενος. » Εἰ δὲ τὸ σῶμα, εἰς ὃ οἱ αἱρετικοὶ διαμφισβάλλουσι, φύσις καὶ οὐσία προσαγορεύεται, εὔδηλον λοιπὸν φυλάττεσθαι ἐν τῷ ἑνὶ Χριστῷ ἑκατέραν φύσιν, τοῦτ' ἔστι, τὴν θείαν τε καὶ τὴν ἀνθρωπίνην· καὶ ἐν μὲν τῇ θείᾳ λαλεῖν αὐτὸν τὰ θεοπρεπῆ· ἐν δὲ τῇ ἡμετέρᾳ, πάλιν φθέγγεσθαι αὐτὸν τὰ ἀνθρώπινα καὶ πτωχά· οὐ φυρμόν τινα, οὐ σύγχυσιν, οὐ διαίρεσιν περὶ τὰς φύσεις ἔχοντα· ἀλλ' ἕνα Υἱὸν, καὶ Χριστὸν, καὶ Κύριον, καὶ Σωτῆρα ὑπάρχοντα τοῖς εὐσεβῶς πιστεύειν εἰς αὐτὸν βουλο- C μένοις.

Ταῦτα δὴ τοῦ Τόμου περιέχοντος, καὶ ἀναγνωσθέντος, ἐδδελύξαντο, ἀπώσαντο, ἀνεθεμάτισαν τὰ ἐν αὐτῷ γεγραμμένα. Ὅτε Ἰωάννης, καὶ Γρηγόριος, καὶ μετὰ τὸ καταράσασθαι καὶ ἀναθεματίσαι, προσηγάγομεν εἰς μέσον τὰς βίβλους τῶν ἁγίων Πατέρων, ἐξ ὧν ὑπῆρχον πᾶσαι αἱ χρήσεις, αἱ ἐν τῷ Τόμῳ ὑπάρχουσαι· εἴχομεν γὰρ αὐτὰς αὐτόθι μετὰ χεῖρας ἠὐτρεπισμένας, καὶ ἑκάστης χρήσεως τὸν ἔλεγχον δεδηλωμένον. Καὶ ὅτε ἀπεδείξαμεν ἐκ τῶν ἰδίων αὐτῶν βίβλων, ὅτι οὐ Φλαβιανὸν, ἀλλὰ τοὺς ἁγίους Πατέρας κατηράσαντο, καὶ ἀνεθεμάτισαν, ἀνέστη ὁ λεπτὸς δῆμος ἐσχάτως ἀτιμάζων, καὶ σχεδὸν λιθοβολῆσαι αὐτοὺς θέλων. Οὗτος ὁ θρίαμβος, καὶ ἡ αἰσχύνη, ἣν καὶ Ἰωάννης καὶ οἱ σὺν αὐτῷ B δημοσίως ἔπαθον.

Πρὸς τὸ εἰδέναι τοὺς φιλοπόνους, καλὸν καὶ τοῦτο παρασημειώσασθαι ἐνταῦθα. Διηγοῦντο τοίνυν ἡμῖν οἱ τῆς καθολικῆς Ἐκκλησίας ἐν Ἀλεξανδρείᾳ· ὅτι μετὰ τοὺς χρόνους τοῦ μακαρίου Εὐλογίου τοῦ πάπα, γέγονέν τις Αὐγουστάλιος ἐνταῦθα Σευηριανός. Καὶ ἐπὶ ἱκανοὺς χρόνους ἔσχε ιδ' καλλιγράφους σύμφρονας αὐτοῦ, κατ' ἐπιτροπὴν αὐτοῦ καθεζομένους, καὶ φαλσεύοντας τὰς βίβλους τῶν δογμάτων τῶν Πατέρων, καὶ μάλιστα τὰς τοῦ ἁγίου Κυρίλλου· ἐν οἷς ἐλθόντων ἡμῶν εἰς *τὴν πρὸς Σούκκεσσον*, χρῆσιν, τὴν λέγουσαν, ὅτι « Δύο τὰς φύσεις εἶναί φαμεν, » οὐχ εὕρομεν αὐτὴν ὀρθῶς κειμένην, ἐν οἷς δήποτε βίβλῳ ἐν Ἀλεξανδρείᾳ· ἀλλ' αἱ μὲν

εἶχον· « Δύο φύσεις ἡνῶσθαί φαμεν. » Αἱ δὲ πάλιν· « Δύο τὰς φύσεις ἐννοεῖσθαί φαμεν. » Καὶ ἐν πολλῇ ἀθυμίᾳ ἡμῶν ὄντων, ἐξήγαγεν ἡμῖν ὁ κύριος Ἰσίδωρος ὁ βιβλοφύλαξ τοῦ πατριαρχείου βίβλον ἔχουσαν ἀνόθευτον τὴν τοιαύτην χρῆσιν. Ὁμοίως καὶ τὴν τοῦ μακαρίου Ἀμβροσίου διέστρεψαν· ἀντὶ γὰρ τοῦ, « Φυλάξωμεν τὴν διαφορὰν τῆς θεότητος καὶ τῆς σαρκὸς, » Φυλάξωμεν τὴν διαφορὰν τῆς ἀναγνώσεως. Πάλιν τε τὴν τοῦ μακαρίου Πρόκλου τὴν περὶ Χριστοῦ φάσκουσαν, ὅτι « Ἐκεῖνος ἀφθάρτως ἐγεννήθη, ὁ καὶ θυρῶν κεκλεισμένων ἀκωλύτως εἰσελθὼν, οὗ τὴν συζυγίαν τῶν φύσεων, ὁ Θωμᾶς ἑωρακὼς, » ἀντὶ τοῦ *ἀφθάρτως* διὰ τοῦ ως γραφομένου, οἱ Γαϊανῖται *ἄφθαρτος* λέγουσι. Καὶ ἀντὶ τοῦ εἰπεῖν, ὁμολογούμενον τὸ ἄρθρον, τὸ φάσκον, *οὗ τὴν συζυγίαν τῶν φύσεων*, τοῦτ' ἔστι τοῦ Χριστοῦ, ἐκεῖνο πάλιν ἀρνητικὸν αὐτὸ φάσκουσι λέγοντες, *οὐ τὴν συζυγίαν* ὁ Θωμᾶς ἑωρακὼς, καὶ τὰ ἑξῆς. Ὁμοίως, εἰ τὸ, « Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτὸν, » τὸν χορὸν τῶν ἀποστόλων λέγουσι, ναὸν τοῦ Χριστοῦ, σκορπισθέντα φησὶν, καὶ πάλιν συναχθέντα. Ἐν οἷς ἀναισχύντῳ στόματι, οὐκ ἠρυθρίασαν λέγειν, ὅτι συνέφερε τοῖς Χαλκηδονίταις λέγειν ἐπὶ Χριστοῦ δύο ὑποστάσεις, καὶ μὴ λέγειν δύο φύσεις. Ἡ γὰρ *φύσις*, φασὶ, *πολλῶν ὑποστάσεών* ἐστι δηλωτική. Ταῦτα αὐτῶν γλωσσαλγούντων, λέγω πρὸς αὐτούς· Εἶτα ὑμεῖς οὐκ ὁμολογεῖτε, οὐδὲ μίαν φύσιν ὅλως ἐν τῷ Χριστῷ; Οἱ αἱρετικοὶ λέγουσι· Ναὶ ὁμολογοῦμεν μίαν φύσιν ἐν αὐτῷ, καθὰ διδάσκουσιν οἱ Πατέρες. Ταῦτα αὐτῶν ὁμολογούντων, ἔφην μεγάλῃ τῇ φωνῇ, ὥστε καὶ ὑμεῖς ἐλέγχεσθε ἐν αὐτῇ τῇ μιᾷ φύσει τοῦ Χριστοῦ, διαφόρους ὑποστάσεις ὁμολογοῦντες ἐν αὐτῷ· εἴγε κατὰ τὸν τρόπον, ὃν εἰρήκατε, διαφόρων ὑποστάσεων ὑπάρχει ἡ φύσις σημαντική.

turas considerari dicimus. » Et cum magno in mœrore versaremur, protulit nobis dominus Isidorus bibliothecæ Patriarchicæ præfectus librum, in quo Cyrilli sententia habebatur incorrupta. Simili nequitia sancti quoque Ambrosii dictum corruperunt; nam loco ejus : « Servemus differentiam divinitatis, et carnis, » posuerunt, « Servemus differentiam lectionis. » Corruperunt insuper beati Procli de Christo dictum, quando ait : « Eum absque corruptione natum esse, qui per clausas januas absque impedimento ingressus sit; in quo naturarum conjunctionem Thomas agnoverit; » loco ἀφθάρτως per ω scripti Gaianitæ dicunt ἄφθαρτος, hoc est, *corruptionis expers;* et loco affirmativi articuli dicentis : οὗ τὴν συζυγίαν, *cujus conjunctionem naturarum*, hoc est, Christi : ipsi particulam negativam substituunt in hunc modum : Οὐ τὴν συζυγίαν, etc. « Thomas non agnovit conjunctionem naturarum, » etc. Sic in illo : « Solvite templum hoc, et in triduo reædificabo illud; » nomine templi Christi, intelligunt apostolorum cœtum dispersum, rursusque congregatum. Ubi ore impudentissimo affirmare non erubuerunt, Chalcedonensis **91** synodi professoribus profuisse duas in Christo hypostases, non autem duas naturas profiteri; nam *natura*, inquiunt, *plures hypostases* indicat. Cum hæc effutirent, hunc in modum eos compellavi : Anne vos nullam in Christo naturam confitemini? Responderunt hæretici : Fatemur in illo unam naturam, sicut docent Patres. Hæc illis dicentibus, elata voce dixi; ut manifestum fiat vos, dum unam naturam in Christo ponitis, diversas hypostases in eodem profiteri, si secundum modum a vobis statutum et approbatum, diversarum hypostaseon natura index est; agedum id demonstrare aggrediamur.

Ἕτερος πάλιν τρόπος, δι' οὗ συνείραμεν πρὸς τοὺς αὐτοὺς Θεοδοσιανοὺς, κατὰ παρουσίαν τοῦ Αὐγουσταλίου, ἐπὶ δημοσίας ἀκοῆς καὶ τῆς πόλεως.

Alius modus, quo cum Theodosianis congressi sumus, præsente præfecto Augustali in publica civitatis audientia.

Ἱκανῶς τοίνυν καὶ ἀναμφιβόλως καταισχυνθέντων τῶν αἱρετικῶν τῆς γεγενημένης αὐτοῖς ὑφ' ἡμῶν δραματουργίας, καὶ μηκέτι ὅλως ἐχόντων πρόσωπον διᾶραι τὸ στόμα αὐτῶν πρὸς τοὺς τῆς καθολικῆς Ἐκκλησίας ἀποστείλαντες ἐν Αἰγύπτῳ, μεταστέλλονταί τινας ἐπισκόπους, οὓς ἐδόκουν Γραφικοὺς ὑπάρχειν, ἐν οἷς ἦν καὶ ὁ Κυνοπολίτης. Οἵτινες παραγενόμενοι πρὸς τὸν Αὐγουστάλιον ἐπηρώτων αὐτὸν ἐπιζητοῦντες ἡμῖν διαλεχθῆναι περὶ Χριστοῦ, καὶ ἀποστείλας, μετεστείλατο ἡμᾶς γνησίως ἐν τῷ πραιτωρίῳ. Οἱ δὲ παραγενόμενοι, ἀπήγγειλαν ἡμῖν, ὡς ὅτι ἐπίσκοποί τινες παρεγένοντο Θεοδοσιανοὶ, ἐπιζητοῦντες περὶ πίστεως συνᾶραι λόγον μεθ' ἡμῶν ἐπὶ τοῦ Αὐγουσταλίου. Παραγενομένων οὖν ἡμῶν καὶ καθεσθέντων, λέγει ὁ Αὐγουστάλιος· Ἀκούσαντες οἱ ἐπίσκοποι οὗτοι τὰ κινηθέντα μεταξὺ τῆς Ἐκκλησίας καὶ τῶν Θεοδοσιανῶν, παρεγένοντο ἐπιζητοῦντες διαλεχθῆναι ἐπὶ τῇ ὁσιότητι ὑμῶν. Εἶτα ταῦτα τοῦ ἄρχοντος εἰρηκότος ἤρξαντο λαλεῖν οἱ ἐπίσκοποι, καὶ κατεγκαλεῖν μοι, ὡς ὄθεν ταράξαντι τὴν πόλιν,

Satis igitur et absque ulla dubitatione hæreticis pudore ac rubore ex actione nostra, quam dramatis instar institueramus, suffusis, et cum plane nullus amplius prætextus suppeteret, ut os adversus catholicam Ecclesiam aperirent, missis in Ægyptum nuntiis, advocarunt nonnullos episcopos, quos Scripturarum peritos arbitrabantur, quorum unus etiam Cynopolitanus erat, qui Augustalem accedentes, rogabant ut nobiscum de Christo disputandi copiam faceret; quo haud gravate annuente, mox in prætorium accersiti sumus. Qui vero missi fuerant, nuntiabant nobis adesse Theodosianos, quibus animus esset nobiscum de fide conferendi præsente Augustali. Cum venissemus et consedissemus, sic loqui orsus est Augustalis : Cum audissent episcopi isti, quæ Ecclesiam inter et Theodosianos disceptationes exstiterint, huc se receperunt, cupientes cum sanctitate vestra disputare. Hæc Augustali locuto, ora resolverunt illi episcopi, meque accusare cœperunt, tanquam turbatorem civitatis, populi et

Ecclesiæ illorum. Ad quos ego miti et renidente voce : Venerandi Patres, vidistisne me aliquando? Aut mecum aliquando versati, et familiariter congressi estis? Audivistisne unquam fidem meam, aut sensum meum ex ore meo? Quibus abnuentibus, intuli : Audite igitur, Patres, fidem meam, bonaque spe sum fore ut vobis placeat, neque ullam in me inveniatis culpam. Hæc prolocutus, cum omnibus planam facere et in lucem extrahere vellem improbitatem, quæ in pectore totaque eorum ecclesia latitabat, chartam accepi, et calamum a notariis, qui Augustali assistebant, in qua ista scripsi : **92** Ego Anastasius monachus sancti montis Sina, profiteor idem Dei Verbum ex Patre ante omnia sæcula genitum, crucifixum, sepultum, passumque esse et resurrexisse. Hæc scripsi, neque carnis mentione facta, neque Verbi ad nos adventus et conversationis inter nos, neque incarnationis; sed solam Verbi divinitatem expressi. Deinde exsurgens tradidi illis schedam, quam legerunt, laudarunt, approbarunt : quod cum animadverterem, aiebam : Si eadem vobis mens est, subscribite, et e vestigio communionem vobiscum inibimus. Erat enim dies Dominicus, et quasi hora tertia. Annuerunt et subscripserunt. Accepta charta post subscriptionem accessi ad illum, qui ex eorum numero cæteris sapientior et eruditior videbatur, sensimque manu barbam ejus contingens dixi : Memineris illius : « Christo passo in carne [80], » o Theopaschita, non in divinitate ; « in carne passo, » ut tradit Petrus apostolus, non autem passo in divinitate, ut blasphemat Severus, cujus impietatem subscriptione vestra jam approbastis. Volens enim omnibus patefacere blasphemiam in animo vestro delitescentem, solam nudamque Verbi Dei divinitatem in charta notavi, nulla mentione facta carnis, aut incarnationis, aut ortus ex sanctissima Virgine. Ubi hæc audierunt, tanquam ex crapula ac ebrietate evigilantes et experrecti, nihil non tentarunt, ut hujusmodi chartam a me reciperent : ego vero perpetim clamabam me non restituturum, quousque illam Christo adversus vos in die judicii attulero.

καὶ τὸν λαὸν, καὶ τὴν Ἐκκλησίαν αὐτῶν. Λέγω πρὸς αὐτοὺς πραείᾳ καὶ μειδιώσῃ φωνῇ· Καλόγηροι Πατέρες, ἐωράκατέ μέ ποτε, ἢ συνετύχετε πρός με, ἢ ἀκηκόατε τῆς πίστεώς μου, ἢ τοῦ φρονήματός μου, ἐκ τοῦ στόματός μου; Καὶ ἀποκριθέντες λέγουσιν· Οὐχί. Οὐκοῦν, Πατέρες, εἶπον, ἀκούσατε τὴν πίστιν μου, καὶ ἐλπίζω εἰς τὸν Θεὸν, ὅτι πάνυ ὑμῖν ἔχει ἀρέσαι, καὶ οὐχ εὑρίσκετε παντοίαν αἰτίαν ἐν ἐμοί. Ταῦτα δὲ εἶπον, βουλόμενος πᾶσι φανερῶσαι, καὶ στηλιτεῦσαι τὸν ὄφιν τὸν ἐγκεκρυμμένον ἐν τῇ καρδίᾳ αὐτῶν, καὶ λαβὼν χάρτην καὶ καλαμάριν παρὰ τῶν παρεστώτων νοταρίων, τῷ Αὐγουσταλίῳ ἔγραψα οὕτως· Ἐγὼ Ἀναστάσιος μοναχὸς ἁγίου ὄρους Σινᾶ, ὁμολογῶ, ὅτι αὐτὸς ὁ Θεὸς Λόγος, γεννηθεὶς ἐκ Θεοῦ Πατρὸς πρὸ πάντων τῶν αἰώνων, αὐτὸς ἐσταυρώθη, καὶ ἐτάφη, καὶ ἔπαθε, καὶ ἀνέστη. Ταῦτα ἔγραψα μὴ ὀνομάσας μήτε σάρκα, μήτε ἐπιδημίαν, μήτε ἐνανθρώπησιν, εἰ μὴ μόνον γυμνὴν τὴν θεότητα τοῦ Θεοῦ Λόγου. Εἶτα ἀναστὰς ἐπέδωκα αὐτοῖς· ἀνέγνων, ἐπῆνεσαν, ἐστοίχησαν. Ὡς γοῦν εἶδον αὐτοὺς ἐπαινέσαντας, λέγω· Ἐὰν οἶδα, ὅτι οὕτως φρονεῖτε, ὑπογράψατε, καὶ εὐθέως συγκοινωνῶ ὑμῖν. Ἦν γὰρ Κυριακὴ τῶν ἡμερῶν, ὡσεὶ ὥρα τρίτη. Ἐδέξαντο, καὶ ὑπέγραψαν. Καὶ λαβὼν τὸν χάρτην μετὰ τὴν ὑπογραφὴν, πλησιάσας τῷ δοκοῦντι εἶναι σοφωτέρῳ αὐτῶν, καὶ ἡρέμα τῇ χειρὶ ἁψάμενος τοῦ πώγωνος αὐτοῦ εἶπον· « Χριστοῦ παθόντος σαρκὶ, » ὦ Θεοπασχίτα, καὶ οὐ θεότητι, σαρκὶ παθόντος κατὰ τὴν Πέτρου τοῦ ἀποστόλου θεολογίαν, καὶ οὐ θεότητι παθόντος κατὰ τὴν Σευήρου βλασφημίαν, καθὼς νῦν ὑπεγράψατε. Βουλόμενος γὰρ γυμνῶσαι πᾶσι τὴν ἐν τῇ ψυχῇ ὑμῶν βλασφημίαν, γυμνὴν θεότητα τοῦ Θεοῦ Λόγου ἔγραψα ἐν τῇ τοῦ χάρτου ὑπαγορίᾳ οὔτε σαρκὸς μνημονεύσας, οὔτε ἐνανθρωπήσεως, οὔτε τόκου τοῦ ἐκ τῆς ἁγίας Παρθένου. Ὡς γοῦν ταῦτα ἀκήκοαν, ὥσπερ ἐκ μέθης ἀνανήψαντες, πολλὰ ἠγωνίσαντο τὸν τοιοῦτον χάρτην ἀναλαβεῖν παρ' ἐμοῦ. Ἐγὼ δὲ ἐπὶ πάντων ἐβόων, ὅτιπερ Οὐ δίδωμι τοῦτον ἕως ἂν προσενέγκω αὐτὸν τῷ Χριστῷ καθ' ὑμῶν ἐν ἡμέρᾳ κρίσεως.

Alia disceptatio et contestatio cum iisdem sectariis in urbe Alexandrina, cum Georgio, inquam, cognomento Clidopæo, qui in ecclesia eorum presbyteri, et logographi munere fungebatur.

Ἕτερος πάλιν σκοπὸς διαλέξεως ὃν συνήραμεν πρὸς τοὺς αὐτοὺς ἑτεροδόξους ἐν Ἀλεξανδρείᾳ, λέγω δὴ πρὸς Γεώργιον τὸν πρεσβύτερον, καὶ λογογράφον τῆς Ἐκκλησίας αὐτῶν, τὸν λεγόμενον Κλειδοποιόν.

Considentibus nobis in Semiographeio Cæsarii recitarunt nobis solita ex typo suo problemata ; videlicet, « nullam esse naturam absque hypostasi. » Quare cum synodus Chalcedonensis duas in Christo naturas statuerit, necessario sequi, eam duas quoque hypostases, hoc est, personas, in eodem Christo posuisse : et ex hoc confici, jam non esse tres, sed quatuor in sanctissima Trinitate personas. Ad quæ nos : Et quid nocumenti infertur veritati, si dicamus duas in Christo esse hypostases? Nam

Συγκαθεζομένων ἡμῶν ἐν τῷ σημειογραφείῳ τοῦ Καισαρίου, ὁμοίως τὰ ἀπὸ τύπου προβλήματα αὐτῶν ἔλεγον πρὸς ἡμᾶς, ὡς « Οὐκ ἔστι φύσις ἀνυπόστατος. » Λοιπὸν, δύο φύσεις εἰποῦσα ἡ σύνοδος Χαλκηδόνος ἐν αὐτῷ ἐξ ἀνάγκης πάσης εὑρίσκεται, καὶ δύο ὑποστάσεις, ἤγουν πρόσωπα λέγουσα ἐν Χριστῷ, καὶ οὐκέτι τρία πρόσωπα, ἤτοι τρεῖς ὑποστάσεις εὑρίσκεσθε λέγοντες, ἐπὶ τῆς ἁγίας Τριάδος, ἀλλὰ τέσσαρας. Πρὸς ταῦτα πάλιν ἡμεῖς· Τί γὰρ παραβλάπτεται ἡ ἀλήθεια, κἂν εἴπωμεν δύο

[80] I Petr. IV, 1.

ὑποστάσεις ἐν τῷ Χριστῷ; οὐκ ἔστι γὰρ πρόσωπον ἡ ὑπόστασις. Ἀγνοήσαντες οὖν τὸν ἡμέτερον σκοπὸν πάλιν, ὅτι ὡς κακούργοις πανούργως, καὶ οὐ κατὰ ἀλήθειαν λέγομεν ταῦτα, ἐνίσταντο ἀγανακτοῦντες, καὶ χρήσεις πλείστας καὶ μαρτυρίας προφέροντες ἐκ τινων τῶν ἁγίων Πατέρων, καὶ ἐξ αὐτοῦ τοῦ μακαρίου Κυρίλλου. Ὅτι αἱ ὑποστάσεις πρόσωπά εἰσι, καὶ ἐπὶ τῆς ἁγίας Τριάδος, καὶ ἐπὶ τοῦ Λόγου τῆς ἐνσάρκου οἰκονομίας. Ὅτε οὖν ἱκανῶς καὶ μετὰ πολλῆς τῆς ἐντάσεως ἐκύρωσαν, καὶ ὥρισαν, πρόσωπα εἶναι ἐκ παντὸς τρόπου τὰς ὑποστάσεις, τότε λέγω πρὸς αὐτούς· Ὄντως ἐὰν πρόσωπα δηλοῦσιν αἱ ὑποστάσεις, τῷ ἁγίῳ Κυρίλλῳ προσκρούετε, Νεστοριανὸν αὐτὸν, καὶ ἑαυτοὺς δεικνύντες, φάσκοντα, Ἀσύγχυτοι μεμενήκασιν αἱ Χριστοῦ ὑποστάσεις, ἤτοι ἀσύγχυτα ὑπάρχουσι τοῦ Χριστοῦ τὰ πρόσωπα. Τὸ γὰρ εἰπεῖν, *μεμενήκασι*, τὴν αἰώνιον αὐτῶν, καὶ ἀσύγχυτον, καὶ ἐνύπαρκτον διαμονὴν παρίστησι· τὸ γὰρ παράδοξον, ὅτι οὐκ εἶπεν, *ἀδιαίρετοι* μεμενήκασιν αἱ ὑποστάσεις, ἀλλ' *ἀσύγχυτοι*, τοῦτ' ἔστιν, εὔδηλοι, καὶ εὐσύνοπτοι, καὶ γνωριζόμενοι, καὶ ἀριθμούμεναι, καὶ διαμένουσαι. Κατὰ τοῦτον δὴ τὸν ὅρον λοιπὸν καὶ τὸν νόμον, ἡνίκα λέγετε, ἐκ δύο ὑποστάσεων τὸν Χριστὸν συντεθέντα, ἐκ δύο προσώπων συνετέθη, δῆλον, ὅτι προδιεπλάσθη ἡ σὰρξ καὶ τότε ἐνῴκησεν εἰς αὐτὴν ὁ Θεὸς Λόγος. Καὶ εἰ ταῦτα οὕτως, τί μάχεσθε Νεστορίῳ τὰ Νεστορίου φρονοῦντες; Ὄντως, ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ ὅροι οὗτοι οὐ παρελεύσονται· ὅτι ἐὰν ἡ ὑπόστασις πρόσωπον δηλοῖ, ἀδύνατόν ἐστι λέγειν, ὅτι ἀσύγχυτοι μεμενήκασιν αἱ Χριστοῦ ὑποστάσεις. Καὶ, « Εἴ τις μετὰ τὴν ἄχραντον ἕνωσιν διαιρεῖ τὰς ὑποστάσεις. » Καὶ, « Τύπος ἡμῖν ἔσται ἡ κιβωτὸς τῶν τοῦ Χριστοῦ φύσεων, ἤγουν ὑποστάσεων. » Χρήσεις γάρ εἰσιν αὗται, ὡς λέγετε, τοῦ ἁγίου Κυρίλλου, καὶ ἄλλαι πλεῖσται λέγουσαι ἐν Χριστῷ *ὑποστάσεις*. Μέχρι τούτου τὰ τῆς διαλέξεως· διὰ τούτου τοῦ τρόπου συντομωτέρως οἱ αἱρετικοὶ αἰσχύνονται.

A hypostasis non est persona. Cum igitur hic quoque propositum scopumque nostrum non animadverterent; quod scilicet, tanquam cum malignis vafre et versute, non aperte et absque circumventione ageremus, indignari cœperunt, nullaque testimonia **93** ex sanctis Patribus, et ex ipso etiam Cyrillo protulerunt quibus demonstrarent hypostases esse personas tam in sanctissima Trinitate, quam in Verbi incarnati mysterio. Postquam ergo diu non sine magna contentione confirmassent et definivissent personas omnino esse hypostases, tunc dixi: Revera, si hypostases significant personas, insignem sancto Cyrillo irrogatis injuriam, quippe quem, ut et vos ipsos, Nestorianum faciatis; cum dicat inconfusas B mansisse Christi hypostases, sive inconfusas exsistere Christi personas. Nam vocabulum *mansisse*, perpetuam illarum et inconfusam, et subsistentem durationem indicat; dignumque admiratione duco, quod non ait *indivisas* mansisse hypostases, sed *inconfusas*, hoc est, manifestas, visu cognituque faciles, numerari aptas et permanentes. Secundum hanc igitur legem et regulam quando docetis Christum ex duabus hypostasibus compositum esse, ex duabus personis compositum asseveratis. Si vero ex duabus personis compositus est, liquet prius formatam fuisse carnem, et tum demum divinum Verbum in eam habitandi [gratia venisse. Si hæc ita sese habent, quapde causa oppugnatis Nestorium, quandoquidem cum Nestorio sententia vestra concinit? Vere cœlum et terra transibunt, at regulæ C istæ et decreta non præteribunt: nimirum, si hypostasis significat personam, impossibile est ut quis dicat hypostases Christi mansisse inconfusas. Item: « Si quis post immaculatam unionem hypostases dividit. » Denique: « Duarum in Christo naturarum sive hypostaseon arca fœderis figuram gerit. » Hæc enim sunt, ut dicitis, sancti Cyrilli dicta, ut et alia non pauca, quæ in Christo *hypostases* nominant. Hucusque de disputatione nostra; et hoc modo brevius et expeditius in ruborem dantur hæretici.

Περὶ τῆς φωνῆς τῆς λεγούσης, μίαν τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην, ἣν ἄνω καὶ κάτω προφέρουσιν οἱ μὲν αἱρετικοί.

De dicto, unam in Verbo esse naturam incarnatam, quod hæretici perpetuo nobis objiciunt.

Αὐτοῦ μὲν δὴ λέγω τοῦ πανσόφου Κυρίλλου ἑρμηνεύσαντος τὴν προκειμένην αὐτοῦ φωνὴν, περιττόν τι D λογίζομαι ἀμφιβάλλειν περὶ αὐτῆς· πλὴν καθὼς ὁ αὐτὸς μακάριος Κύριλλος, πρὸς Σούκκενσον ἡμᾶς γράφων διδάσκει, οὐδὲν ἕτερον δηλοῖ διὰ τοῦ εἰπεῖν *σεσαρκωμένην*, εἰ μὴ τὴν ἀνθρωπίνην ἡμῶν φύσιν. Ὅπερ μαθόντες ἡνίκα λέγει πρὸς ἡμᾶς οἱ δι' ἐναντίας, μίαν τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην, εἰπὲ πρὸς αὐτόν· Τίς γὰρ τῶν εὐφρονούντων δύναται ὅλως εἰπεῖν, δύο φύσεις τοῦ Θεοῦ Λόγου σεσαρκωμένας; ἐπεὶ εὑρεθήσονται τέσσαρες φύσεις ἐν τῷ Χριστῷ. Ἀλλ' οὐχ οὕτως, μὴ γένοιτο. Οὐκοῦν τὸ εἰπεῖν μίαν φύσιν σεσαρκωμένην, ἑρμηνεύει ἐν ἑτέρῳ τόπῳ ὁ αὐτὸς σοφώτατος Πατὴρ λέγων, μίαν Χριστοῦ φύσιν σεσαρκωμένην, ἀντὶ τοῦ εἰπεῖν, ὅτι ἓν πρόσωπον τῆς ἁγίας Τριάδος σεσαρκωμένον. Ὁ λόγος γὰρ

Cum ipse sapientissimus Cyrillus dictum hoc nobis explicet, et quam sententiam subjectam habeat, interpretetur, superfluum arbitror de sensu ejus ambigere; significat enim id, quod ipse Cyrillus in Epistola ad Successum indicavit, quando dixit *naturam incarnatam*. Quo intellecto, quando adversariorum quispiam unam Verbi divini naturam incarnatam nominat, die ad illum: Et quis, qui stultus non fuerit, affirmare ausit duas Christi naturas incarnatas? sic enim quatuor naturæ in Christo forent; quod absit! Igitur quis sensus sit, quando unam naturam incarnatam scripsit, alibi **94** idem sapientissimus Pater nobis exposuit, neque enim nomine naturæ unius incarnatæ aliud intellexit, quam unam personam sanctissimæ Trinitatis incarnatam esse: Verbum enim caro factum est, ut

evangelista dicit [91]. Hæc cum ita sese habeant, cumque sanctus Pater unam naturam incarnatam affirmarit; ut quid hac voce contenti non estis, sed novum sensum doctori affingitis, quasi dixerit Christum esse unam naturam, solamque divinitatem, tametsi incarnatam, Christi naturam? Ex quo Patre hoc didicistis? Quis doctorum unam naturam, sive unius ejusdemque rationis, unione peracta, divinitatem et carnem Christi esse docuit? Et quo pacto fieri potest, ut creatum et increatum in eamdem naturam idemque genus conveniant, ita ut totum vel sit creatum, vel increatum? Si igitur Christus est una natura, sequitur eum esse dimidiati generis hominem seu semi-hominem, sicut Manichæorum fabulæ tradunt. Si vero corpus non est ejusdem, sed diversæ omnino a divino Verbo substantiæ, alia et alia natura sit oportet; sicut divinus Cyrillus ad Eulogium affirmat. Perfectus enim est Christus in divinitate, et perfectus in humanitate, ut sancti Patres pie nobis tradiderunt.

Hæc arma, o sanctæ Ecclesiæ et divinæ veritatis propugnatores, tempore belli retinete. Et si quis de grege illo lupus ad vos accedat, afferatque frigidas illas de Christo fabulas, toto incarnationis mysterio in phantasiam inanemque existimationem converso, dicatque nos, nuda animi cogitatione et mentis apprehensione, Christum ex duabus naturis constantem, tanquam unam naturam incarnatam concipere; nam post unionem non esse amplius duas naturas; carnem enim esse deificatam, et velut aceti guttam vasto pelago commistam, eam naturam induisse, quam habet id, a quo deificata est; nam Verbum esse carnem factum, ut et caro fieret Verbum: voluntatem unicam deitatis esse, sicut et substantiam unicam Verbi; neque duas esse Christi naturas, alteram capacem adorationis, alteram adorationis incapacem, et id genus alia probe quidem interdum a Patribus asserta, ab istis autem perperam intellecta; si quis, inquam, hæc vel his similia protulerit, veniat tibi in mentem illud Salomonis: « Responde stulto secundum stultitiam suam [92]; » dicitoque: « Inconfusæ manserunt etiam post unionem Christi hypostases: et si quis post unionem dividit hypostases, anathema esto; » quemadmodum divinus Cyrillus ait. Nam « legalis illa arca typus quidam est duarum in Christo hypostaseon. » Quid vero sunt hypostases? 95 Clarum, quod personæ, ut idem sanctus Cyrillus et universus Patrum chorus docet. Sic, o fidelis, adversariis per adversa seu contraria occurre. Sic eos oppugna. His absurditatibus exsecrandum Severum macta. His percute Theodosium, et Gaianum, et Julianum, et totam

σὰρξ ἐγένετο, ὡς φησιν ὁ εὐαγγελιστής. Τούτων δὴ οὕτως ἐχόντων, τοῦ Πατρὸς μίαν φύσιν σεσαρκωμένην λέγοντος, τί δήποτε μὴ ἀρκεῖσθε τῇ τοιαύτῃ φωνῇ; ἀλλὰ καινοτομεῖτε τὸν διδάσκαλον λέγοντες. Μία φύσις ὁ Χριστός· φύσις γὰρ Χριστοῦ μόνη θεότης, εἰ καὶ σεσάρκωται. Ποίου τῶν Πατέρων ταῦτα ἠκούσατε λέγοντος; Τίς τῶν διδασκάλων μίαν φύσιν εἴρηκεν, ἤγουν ἓν γένος εἶναι τὴν θεότητα καὶ τὴν σάρκα τοῦ μετὰ τὴν ἕνωσιν; Πῶς δὲ ὅλως δυνατὸν γενέσθαι Χριστοῦ ὁμοφυὲς, τὸ κτιστὸν, καὶ τὸ ἄκτιστον; Ὅπου γὰρ μία φύσις λέγεται, ἐκεῖ πάντως ἓν γένος καθέστηκεν, ἢ ὅλον κτιστὸν ὑπάρχον, ἢ ὅλον ἄκτιστον; Εἰ οὖν μία φύσις ὁ Χριστὸς, πάντως ἡμιγενὴς ὁ ἄνθρωπος, καθὼς οἱ τῶν Μανιχαίων μῦθοι διδάσκουσιν. Εἰ δὲ οὐχ ὁμοούσιον τὸ σῶμα τῷ Θεῷ Λόγῳ ἀλλὰ τετραούσιον πάντως, ὅτι ἑτέρα καὶ ἑτέρα φύσις ἐστὶ, καθὰ ὁ θεῖος Κύριλλος πρὸς Εὐλόγιόν φησι. Τέλειος γὰρ ἐν θεότητι, καὶ τέλειος ἐν ἀνθρωπότητι ὁ Χριστὸς, κατὰ τὰς τῶν ἁγίων Πατέρων εὐσεβεῖς παραδόσεις.

Ταῦτα τὰ ὅπλα, ὦ πρόμαχοι τῆς ἁγίας Ἐκκλησίας, καὶ τῆς ἀληθείας φυλάξατε ἐν καιρῷ πολέμου. Καὶ ὁπηνίκα τῆς ἀγέλης ἐκείνων τῶν λύκων προσπελάσαι τις, τοὺς ψυχροὺς ἐκείνους προσάγων περὶ Χριστοῦ μύθους, καὶ φαντασίαν, καὶ δόκησιν τὸν λόγον τῆς οἰκονομίας ποιούμενος, καὶ λέγων, ὅτι λεπταῖς τισιν ἐννοίαις, ἤτοι νοῦ φαντασίαις, νοοῦμεν τὸν Χριστὸν ἐκ δύο φύσεων μίαν φύσιν σεσαρκωμένην· μετὰ γὰρ τὴν ἕνωσιν οὐκέτι εἰσὶ δύο φύσεις. Ἐθεώθη γὰρ ἡ σὰρξ, καὶ ἀνεκράθη ὥσπερ σταγὼν ὄξους ἐν τῷ πελάγει, καὶ τοιαύτη γέγονεν, οἷον καὶ τὸ θεῶσαν αὐτήν. Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, ἵνα καὶ ἡ σὰρξ γένηται Λόγος. Ἡ γὰρ θέλησις θεότητος μόνη, ὥσπερ καὶ ὁμοία (50) μόνη τοῦ Λόγου, καὶ οὐ δύο φύσεις ἐπὶ Χριστοῦ, μία προσκυνητὴ, καὶ μία ἀπροσκύνητος. Τὰ καλῶς μὲν τοῖς Πατράσι λεγόμενα, κακῶς δὲ τοῖς αἱρετικοῖς ἑρμηνευόμενα, ὅτ' ἂν δὴ τούτους καὶ τοὺς τοιούτους τῆς δοκήσεως καὶ φαντασίας προφέρουσι λόγους, ἐννοήθητι τοῦ Σολομῶντος λέγοντος, ὅτι « Ἀποκρίνου τῷ ἄφρονι πρὸς τὴν ἀφροσύνην. » Καὶ εἰπὲ καὶ σύ· « Ἀσύγχυτοι μεμενήκασι καὶ μετὰ τὴν ἕνωσιν αἱ Χριστοῦ ὑποστάσεις. Καὶ εἴ τις μετὰ τὴν ἕνωσιν διαιρεῖ τὰς Χριστοῦ ὑποστάσεις, ἀνάθεμα ἔστω, » καθά φησιν ὁ θεόσοφος Κύριλλος. « Τύπος γάρ ἐστιν ἡ ἐν τῷ νόμῳ κιβωτὸς τῶν Χριστοῦ ὑποστάσεων. » Τί δέ εἰσιν αἱ ὑποστάσεις; Πρόδηλον, ὅτι πρόσωπα, καθὼς πάλιν ὁ αὐτὸς διδάσκει θεῖος Κύριλλος, καὶ πᾶς ὁ τῶν ἁγίων Πατέρων χορός. Οὕτω κατὰ τῶν ἐναντίων, διὰ τῶν ἐναντίων, ὁ πιστὸς, ἐναντιώθητι. Οὕτως αὐτοὺς πολέμησον. Ἐν τούτοις ὅπλοις σφάξον μοι τὸν μιαρὸν Σεῦῆρον. Ἐν τούτοις κατάβαλε Διόσκορον. Ἐν τούτοις πάταξον Θεοδό-

[91] Joan. I 14. [92] Prov. XXVI, 5.

NOTÆ.

(50) Lege οὐσία· patet ex sequentibus.

σιον, καὶ Γάϊον, καὶ Ἰουλιανὸν, καὶ ὅλον τὸ δεκακέρατον αὐτῶν τῶν μίαν ἐπὶ Χριστοῦ δογματιζόντων φύσιν.

illam decicornem turbam, quæ unam in Christo naturam statuit.

ΚΕΦΑΛ. ΙΑ'.

Ἐν ᾧ σημαίνει ὁ ποιητὴς, πόθεν ἐρρέθησαν τῷ διδασκάλῳ αἱ δύο φύσεις.

Ὅπως δὲ μήτις τῶν καθ' ἡμᾶς, ἢ μεθ' ἡμᾶς δόξῃ μανέντας τὰ Νεστορίου φρονεῖν, καὶ δύο πρόσωπα καὶ ὑποστάσεις ἐν Χριστῷ ὁμολογεῖν ἀσεβῶς, ἀναγκαῖον τὸ εἰπεῖν τὴν αἰτίαν, δι' ἣν ἐρρέθη ἡ τοιαύτη φωνή. Ἡ τῶν Ἄφρων, καὶ Ῥωμαίων, καὶ Δυτικῶν γλῶττα, κατὰ τοὺς ἀρχαίους χρόνους τοὺς τοῦ κηρύγματος, οὕτω δογματικῶν λέξεων καὶ βάθους πεῖραν ἔχουσα, ὡς ἐθνικὴ καὶ βάρβαρος, οὐκ ἠὐπόρει διαστεῖλαι τὴν οὐσίαν καὶ τὴν φύσιν ἐκ τῆς ὑποστάσεως, ἀλλὰ ταυτὸν ἔφασκε τὴν οὐσίαν τῇ ὑποστάσει, ὕπαρξιν τὰς ἀμφοτέρας λέξεις ὀνομάζουσα· καὶ ὅλως ὑπόστασιν εἰπεῖν μὴ εὐποροῦσα, ἀλλὰ τρεῖς ὑπάρξεις τὰ τρία πρόσωπα τῆς ἁγίας Τριάδος λέγουσα. Ἡ δὲ ὕπαρξις δύναται τρόπῳ τινὶ, καὶ ἀντὶ οὐσίας, καὶ ἀντὶ ὑποστάσεως λαμβάνεσθαι. Ὕπαρξις μὲν, ὡς ὑπάρχουσα, οὐσία δὲ, ὡς οὖσα. Ὑπόστασις δὲ πάλιν, ὡς ὑφεστῶσα. Ἀποροῦντες, ὡς προεῖπον, οἱ Δυτικοὶ εἰπεῖν τρεῖς ὑποστάσεις ἐπὶ τῆς ἁγίας Τριάδος, ἔλεγον τρεῖς οὐσίας. Ἐκ τούτου τινὲς ἕτεραι χῶραι, τὴν Ἑλληνίδα γλῶσσαν καλῶς ἐπιστάμεναι, καὶ τὰς λέξεις τὰς δογματικὰς διαστέλλειν δυνάμεναι, διεμάχοντο ἐπὶ τοῦ μακαρίου Ἀθανασίου πρὸς τοὺς Δυτικοὺς, φάσκοντες αὐτοῖς, ὡς οὐ χρὴ τρεῖς οὐσίας λέγειν ἐπὶ τῆς ἁγίας Τριάδος. Οἱ Δυτικοὶ, πάλιν ἀγνοοῦντες εἰπεῖν ὑπόστασιν, διισχυρίζοντο τρεῖς λέγειν οὐσίας, ἵνα μὴ ἀνούσιον, φησὶν, εὑρεθῶμεν λέγοντες, ἤγουν, ἀνύπαρκτον τὸν Πατέρα, ἢ τὸν Υἱὸν, ἢ τὸ ἅγιον Πνεῦμα. Μεγάλης οὖν ἐνστάσεως καὶ σχίσματος τυγχάνοντος, ὁ μακάριος Ἀθανάσιος, ὡς Υἱὸς εἰρήνης Θεοῦ, ᾠκονόμησε τοὺς λόγους αὐτοῦ ἐν κρίσει τῇ θείᾳ ἐμπνεύσει· καὶ συγκαλεσάμενος ἀμφότερα τὰ μέρη, καὶ ἀνακρίνας, καὶ γνοὺς, ὅτι τὸ ἓν φρονοῦσιν, ἀλλὰ διὰ τὸ στενὸν τῆς γλώττης οἱ Δυτικοὶ διαμάχονται, εἰρήνευσε τὴν Ἐκκλησίαν, καὶ γράφων πρὸς τοὺς Ἄφρους, συγκαταβάσει τῆς ἀπορίας αὐτῶν χρώμενος, εἶπεν τὴν οὐσίαν ὑπόστασιν. Εἴπερ οὖν τοῦ ἁγίου Κυρίλλου εἰσὶν αἱ χρήσεις, αἱ λέγουσαι τὰς φύσεις, ὑποστάσεις, ἐντεῦθεν τοῦτο ἔλαβε. Ταῦτα μαρτυρεῖ καὶ ὁ ἅγιος Γρηγόριος ὁ Θεολόγος εἰς τὸν ἐπιτάφιον τοῦ ἁγίου Ἀθανασίου. Ὁμοίως καὶ ὁ κύριος Εὐλόγιος, ὁ πάπας Ἀλεξανδρείας, εἰς τὸν Τόμον Λέοντος. Ἐγὼ δὲ πρὸς τοὺς αἱρετικοὺς πάλιν λέγω, ὅτι τὰ σπανίως καὶ ἐξ ἀνάγκης λεγόμενα, οὐδὲ εἰς νόμον γίνονται, οὔτε εἰς πρόκριμα τῇ Ἐκκλησίᾳ. Πλὴν καὶ ἐν τούτῳ ἡ εὐσέβεια Καλχηδόνος δείκνυται, ὅτι δυναμένη εἰπεῖν ὑποστάσεις ἐν Χριστῷ πατρικῶς, οὐδαμοῦ τῇ τοιαύτῃ λέξει ἐχρήσατο, οὔτε ἐκ δύο ὑποστάσεων αὐτὸν εἰρηκεν.

CAPUT XI.

In quo indicat auctor, unde sanctus Cyrillus occasionem sumpserit dicendi duas naturas.

Cæterum ne quis aut eorum qui nunc vivunt, aut posteris temporibus victuri sunt, arbitretur, nos adeo insanire, ut cum Nestorio duas in Christo personas seu hypostases constituamus, et impie profiteamur, necessarium duxi explicare, unde modus ille loquendi manaverit. Afrorum et Romanorum, et omnium Occidentalium lingua temporibus antiquis, et sub primordia acceptæ prædicationis, dictionum, quæ ad dogmata pertinent, et profundorum sensuum nullam adhuc experientiam habens, utpote ethnica et barbara, non poterat essentiam, seu substantiam et naturam ab hypostasi distinguere; sed substantiam idem esse dicebat cum hypostasi, et loco utriusque dictionis vocabulum subsistentiæ usurpabat; cumque hypostasin præ linguæ inopia nominare et exprimere non valeret, tres sanctissimæ Trinitatis personas tres subsistentias appellabat. Potest autem subsistentia aliquo modo et pro substantia, et pro hypostasi usurpari: est enim subsistentia, qua subsistit. Et est essentia, qua est. Et hypostasis, qua substat. Cum ergo, ut dicebam, Occidentales tres in Trinitate hypostases dicere non valerent; dixerunt tres οὐσίας, seu substantias. Hujus locutionis occasione quidam alii Græci sermonis bene periti, dogmaticasque voces accurate discernere docti, temporibus sancti Athanasii, litem movere Occidentalibus; contendentes non esse tres substantias in sanctissima Trinitate dicendas. Occidentales contra, cum tres hypostases dicere nequirent, perstabant in more tres substantias dicendi; ne Patrem, et Filium, et Spiritum sanctum, omni substantiæ ratione privasse viderentur. Magna igitur contentione et dissensione exorta, divinus Athanasius, tanquam filius pacis, disposuit sermones suos in judicio, divino utique instinctu; et convocata utraque parte, cognitoque, quod verbis dissentirent, sensu consentirent, solumque propter sermonis **96** patrii egestatem, Occidentales cum aliis dimicarent, pacem Ecclesiæ reddidit: scribensque ad Africanos, hypostasin nominavit substantiam, penuriæ sermonis illius modum hunc loquendi largitus. Si igitur testimonia illa, in quibus naturæ vocantur hypostases, vere a sancto Cyrillo profecta sunt; hinc utique profluxerunt. Quod et Gregorius Theologus testatur oratione funebri in sanctum Athanasium. Similiter et dominus Eulogius, papa Alexandrinus scribens pro Tomo seu Epistola decretali sancti Leonis. Ego autem addo: ea quæ raro, et quasi ex necessitate, prolata sunt, non transire in legem, neque præjudicare Ecclesiæ. Quin et ex hoc pietas et recta mens synodi Chalcedonensis deprehenditur, quod noluit duas in Christo hypostases dicere; cum id Patrum more faciendi facultas non deesset.

CAPUT XII.

De salutifera Christi passione, et Theopaschitas esse qui usurpant illud : « Sanctus immortalis crucifixus et passus. »

Præclare a sapientissimis viris dictum est refutationes et probationes per rem et opera longe esse firmiores, fideliores et valentiores, quam quæ in solis verbis consistunt, et ex libris hauriuntur : illas enim non posse depravari, ac in alienum sensum flagitiose detorqueri : has vero sæpe ab improbis aut additione, aut subtractione corrumpi ; quod quivis harum rerum studiosus cognoscet, ut antea diximus, ex multis exemplaribus non modo dogmaticis, sed et Mosaicis et propheticis monumentis. Etenim cum exoptato quodam tempore diversa exemplaria Jeremiæ prophetæ in manus B sumpsissem, in illis penitus non reperi triginta argenteos, pretium Christi venditi. Neque figuli agrum venditum. Si igitur ne ipsis quidem sacris Litteris a fide orthodoxa alieni parcunt, quanto minus falsarias manus a doctorum lucubrationibus abstinebunt, de quo jam antea copiosius dictum ! Rebus igitur valentius et validius in ruborem dantur hæretici, fideique veræ expertes. Disceptantibus enim nobis cum adversariis de salutifera passione et cruce Christi, ubi animadvertimus eos allaborare, ut ex testimoniis quæ proferebant, demonstrarent, Dei Verbum propria cum carne passibile esse ; dimissis probationibus in oratione positis, ad rerum argumenta et exempla me converti, depicta in quadam tabella Domini crucifixione, additaque inscriptione, quam testimoniis subjungemus. C

97 *Pauca ex multis testimonia, quæ proferunt Theodosiani et Gaianitæ ut probent, ipsum etiam Dei Verbum cum carne sua passioni fuisse obnoxium. (Ex Epistola ad Corinthios.)*

« Loquimur Dei sapientiam in mysterio, quam nemo principum hujus sæculi cognovit : si enim cognovissent, nunquam Dominum gloriæ crucifixissent [22]. »

Sancti Ignatii episcopi Antiocheni.

« Sinite me fieri imitatorem passionis Dei D mei. »

Julii episcopi Romani.

« Judæi corpus crucifigentes, crucifixerunt Verbum. » Ad hoc testimoninm statim respondi : Si Judæi corpus crucifigentes, occiderunt Verbum, Trinitas igitur non erat Trinitas, sed sola, ut sic dicam, *binitas* in cœlo erat, donec Verbum divinum tertio die a mortuis resurrexit. »

Sancti Gregorii Theologi.

« Ne animo turberis, cum sanguinem Dei et passionem audis. »

[22] I Cor. II, 7, 8.

ΚΕΦΑΛ. ΙΒ'. A

Περὶ τοῦ σωτηρίου πάθους Χριστοῦ, καὶ ὅτι Θεοπασχῖταί εἰσιν οἱ λέγοντες τὸ, « Ἅγιος, ἀθάνατος, ὁ σταυρωθεὶς καὶ παθών. »

Ὅρος ἄριστος ἀνδρῶν πανσοφωτάτων τυγχάνει λέγων· Αἱ πραγματικαὶ ἀντιρρήσεις, καὶ παραστάσεις, ἰσχυρότεραι, καὶ πιστότεραι, καὶ κραταιότεραι καθ' ὑπερβολὴν τυγχάνουσι τῶν ῥηματικῶν λέξεών τε καὶ βιβλικῶν ῥήσεων. Αἱ μὲν γὰρ πραγματικαὶ παραστάσεις, οὐδαμῶς παραγραφῆναι, ἢ ῥᾳδιουργηθῆναι δύνανται· αἱ δὲ ῥηματικαὶ τῶν δέλτων ἐκθέσεις, πολλάκις ὑπὸ ἀνδρῶν κακοφρόνων προσθήκας καὶ ὑφαιρέσεις πάσχουσιν. Ὡς ἔξεστι μαθεῖν τὸν φιλόπονον, καθὼς καὶ ἤδη προεῖπον, ἐκ πολλῶν ἀντιγράφων, οὐ μόνον δογματικῶν, ἀλλὰ καὶ Μωσαϊκῶν, καὶ προφητικῶν παρηλλαγμένων. Καὶ γοῦν κατὰ τὸν ἐφετινὸν [ἐφετικὸν] χρόνον διόφορα τεύχη ψηλαφήσας Ἱερεμίου τοῦ προφήτου, οὐχ εὗρον ὅλως ἐν αὐτοῖς τὰ τριάκοντα ἀργύρια τῆς τιμῆς τοῦ Χριστοῦ, οὔτε τὴν πρᾶσιν τοῦ ἀγροῦ τοῦ κεραμέως. Εἰ οὖν αὐτῆς ἱερᾶς Γραφῆς οὐκ ἐφείσαντο οἱ κακόπιστοι· πόσῳ καὶ μᾶλλον τῶν διδασκαλικῶν λόγων, καθὼς καὶ ἐν τοῖς ἔμπροσθεν πλατύτερον εἰρήκαμεν ; Οὐκοῦν διὰ πραγμάτων μᾶλλον ἰσχυροτέρως καταισχύνονται οἱ αἱρετικοὶ καὶ ἄπιστοι· διαλεγομένων γὰρ ἡμῶν πάλιν πρὸς αὐτοὺς περὶ τοῦ σωτηρίου πάθους, καὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ, ὡς εἴδομεν αὐτοὺς ἐκ τοῦ σκοποῦ τῶν χρήσεων, ὧν προέφερον, ἀγωνιζομένους παθητὸν δεῖξαι καὶ τὸν Θεὸν Λόγον, καὶ θνητὸν μετὰ τῆς ἰδίας αὐτοῦ σαρκὸς, οὐκέτι λοιπὸν διὰ ῥημάτων, ἀλλὰ διὰ πραγματικῶν σχημάτων καὶ ὑποδειγμάτων πρὸς αὐτοὺς ἐχρησάμεθα, ἐν πυξίῳ τινὶ διαχαράξαντες τὴν τοῦ Δεσπότου σταύρωσιν, καὶ τινα ἐπιγραφὴν ἥντινα μετὰ τὰς χρήσεις διαγράψομεν.

Χρήσεις ἐκ πολλῶν ὀλίγαι, ἃς προφέρουσι Θεοδοσιανοὶ καὶ Γαϊανῖται, ἀγωνιζόμενοι παθητὸν σὺν τῇ σαρκὶ δεῖξαι, καὶ τὸν ἐν αὐτῇ Θεὸν Λόγον, ἐκ τῆς πρὸς Κορινθίους.

« Ἀλλὰ λαλοῦμεν Θεοῦ σοφίαν ἐν μυστηρίῳ, ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν. Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. »

Τοῦ ἁγίου Ἰγνατίου ἐπισκόπου Ἀντιοχείας.

« Ἐάσατε μιμητὴν γενέσθαι τοῦ πάθους τοῦ Θεοῦ μου. »

Ἰουλίου ἐπισκόπου Ῥώμης.

« Ἰουδαῖοι τὸ σῶμα σταυροῦντες, τὸν Λόγον ἐσταύρωσαν. » Πρὸς ταύτην τὴν χρῆσιν ἀπεκρίθην εὐθέως λέγων αὐτοῖς· Εἰ τὸ σῶμα σταυροῦντες Ἰουδαῖοι, τὸν Λόγον ἀπέκτειναν, οὐκ ἦν Τριὰς ἡ Τριὰς, ἀλλὰ δυὰς ἐν οὐρανῷ, ἄχρις ἂν ἀνέστη ὁ Θεὸς Λόγος ἐκ νεκρῶν τριήμερος. »

Τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου.

« Μὴ που τὸν λογισμὸν ὀκλάσῃς, αἷμα Θεοῦ καὶ πάθος ἀκούων. »

Μελίτωνος ἐπισκόπου Σάρδεων, ἐκ τοῦ λόγου, εἰς τὸ πάθος.

« Ὁ Θεὸς πέπονθεν ὑπὸ δεξιᾶς Ἰσραηλίτιδος. »

Τοῦ ἁγίου Γρηγορίου.

« Ὀλίγαι ῥανίδες αἵματος Θεοῦ, κόσμον ὅλον ἡγίασαν. »

Τοῦ ἁγίου Κυρίλλου κατὰ Νεστορίου.

« Θεοῦ τὸ πάθος, Θεοῦ ὁ σταυρὸς, Θεοῦ ὁ θάνατος, Θεοῦ ἡ ἀνάστασις. » Συνηγορεῖν δὲ τῇ αὐτῇ θεοπασχίᾳ φάσκουσι καὶ τὴν φωνὴν Γρηγορίου τὴν φάσκουσαν, ὅτι « Ὁ ἀρνούμενος τὴν Χριστοῦ θεότητα, » τετάχθω μετὰ τῶν θεοκτόνων Ἰουδαίων. Διὸ καὶ ὁ πᾶς αὐτῶν σκοπὸς τοῦ Τρισαγίου ὕμνου, ὁ φάσκων, « Ἅγιος ἀθάνατος, ὁ σταυρωθεὶς ὑπὲρ ἡμῶν, » οὐδὲν ἕτερον σημαίνει, εἰ μὴ, « Ἅγιος ἀθάνατος ὁ Θεὸς Λόγος, ὁ παθὼν καὶ ἀποθανὼν δι' ἡμᾶς. » Τὸ γὰρ Θεὸν Λόγον λέγουσιν ἀθάνατον, καθ' ὃ καὶ ἔστιν ἀθάνατος. Ὁμοίως καὶ τὴν φωνὴν τὴν λέγουσαν, *Θεοῦ τὸ πάθος*, μετὰ πάσης εὐλαβείας νοεῖν χρή· ἐπεὶ δύναταί τις κακοθελὴς ὢν, καὶ ἐπὶ Θεοῦ καὶ Πατρὸς ταύτην διαλέγεσθαι· ὁμοίως ἐπὶ τοῦ ἁγίου Πνεύματος· Θεὸς γὰρ καὶ τὸ ἅγιον Πνεῦμα, καθάπερ καὶ ὁ Πατὴρ καὶ ὁ Υἱός. Ὡς γοῦν ταύτας καὶ ἑτέρας πλείους παρήγαγον ἡμῖν χρήσεις, παθητὴν, ὡς προεῖπον, ἀγωνιζόμενοι δεῖξαι τὴν θεότητα τοῦ Χριστοῦ, οἵ τε τὰ Σευήρου, καὶ Γαΐου, καὶ Θεοδοσίου φρονοῦντες, βουλόμενοι τὸν δόλον καὶ τὸν ἰὸν τὸν κεκρυμμένον ἐν τῇ ψυχῇ αὐτῶν στηλιτεῦσαι, οὐκέτι ῥηματικῶς καὶ γραφικῶς πρὸς αὐτοὺς παρεταξάμεθα, ἀλλὰ πραγματικῶς διὰ παραδείγματος καὶ σχήματος ἐνυποστάτου.



Ἐν ᾧ, καὶ ἱκανῶς καταισχυνθέντες ἐνετράπησαν. Ὡς γὰρ προεῖπον, ἐν πυξίῳ τινὶ διαχαράξαντες τὴν τοῦ Δεσπότου σταύρωσιν, μετὰ καὶ ἐπιγραφῆς τινος; ἐξετυπώσαμεν, καὶ τὸν δάκτυλον ἐπιτιθέντες διερωτῶμεν αὐτούς· Ἦν ἡ ἐπιγραφή· « Θεοῦ Λόγος ἐν σταυρῷ, καὶ ψυχὴ λογικὴ, καὶ σῶμα. »

Σχόλιον. Ἐξορκίζομεν εἰς τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν μεταγράφοντα τὸ βιβλίον, ἵνα τὸν αὐτὸν τύπον ποιήσῃ τῆς σταυρώσεως. Τοῦτον τὸν τύπον προθέμενοι, ἠρωτήσαμεν αὐτούς· Ἰδοὺ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ἀνελλιπὴς καὶ ἀδιαίρετος, ἐν τῷ σταυρῷ, τοῦτ' ἔστιν, ὁ Θεὸς Λόγος καὶ ἡ καθ' ὑπόστασιν ἡνωμένη αὐτῷ ψυχὴ λογικὴ, καὶ τὸ σῶμα. Ποῖον τῶν τριῶν τούτων ἀπέθανε, καὶ ἐνεκρώθη, καὶ ἀργὸν καὶ ἀκίνητον γέγονε; Πρόσχες μετ' ἀκριβείας· Οὐκ εἰπόν σοι, ποῖον ἐσταυρώθη, ἀλλὰ, ποῖον ἐκ τῶν τριῶν τούτων, τῶν ἐν Χριστῷ ἀπέθανε, καὶ ἐνεκρώθη τριήμερον; Ταῦτα ὑφ' ἡμῶν ἐρωτηθέντες, ὁμοῦ, καὶ ἐσχάτως αἰσχυνθέντες οἱ αἱρετικοὶ, λέγουσι· Τὸ σῶμα ἀπέθανε τὸ τοῦ Χριστοῦ. Λέγομεν πάλιν πρὸς αὐτούς· Μὴ ἀπέθανεν, ἢ ἔπαθεν, ἢ ἐνεκρώθη ἡ ψυχὴ αὐτοῦ; Λέγουσιν ἐκεῖνοι· Μὴ γένοιτο. Τότε διαπαίζοντες, καὶ μυκτηρίζοντες αὐτοὺς εἴπαμεν· Εἶτα, αἰσχύνεσθε, ὅτι τὴν ψυχὴν αὐτοῦ, τὴν κτισθεῖσαν ὑπ' αὐτοῦ, λέγετε ἀπαθῆ καὶ ἀθάνατον, τὸν δὲ κτίσαντα

Melitonis episcopi Sardium, ex oratione in passionem.

« Deus passus est a dextra Israelitica. »

Sancti Gregorii.

« Paucæ guttulæ sanguinis Dei totum mundum sanctificarunt. »

Sancti Cyrilli contra Nestorium.

« Dei passio, Dei crux, Dei mors, Dei resurrectio. » Aiunt insuper suæ de divinitatis patibilitate persuasioni patrocinari Gregorium, quando dicit: « Qui Christi divinitatem inficiatur, » is in numero Judæorum, qui Deum occiderunt, numeretur. Quare illis etiam verbis, quæ Trisagio hymno adjecerunt: « Sanctus, immortalis, qui crucifixus est pro nobis; » nihil aliud indicant, quam hoc: « Sanctum, immortale Dei Verbum, quod propter nos passum est ac mortuum. » Verbum enim divinum vocant immortale, quod et revera immortale est. Sic et dictum illud, *Dei passio*, caute et circumspecte accipi debet, quandoquidem aliquis maleferiatus id itidem ad Patrem et sanctum Spiritum transferre posset; nam et Spiritus sanctus Deus **98** est, sicut Pater et Filius. Cum igitur Severiani, Theodosiani et Gaianitæ has et id genus alias auctoritates attulissent, quibus probare conabantur divinitatem esse passibilem; nos dolos reconditos, totumque illud virus, quod in pectore eorum abditum latebat, in apertum educere, ac palam traducere volentes, omissis argumentis in sermone positis, exque aliorum scriptis ac lucubrationibus desumptis, ad probationes ex rebus ipsis ex figura oculis subjecta petitas accessimus. Quo probationis genere insigniter quoque confusi sunt. Etenim cum Dominicam passionem in tabella quadam, ut antea dictum, effigiassemus, addita inscriptione, quæ talis erat: « Dei Verbum in cruce; et anima rationalis et corpus; » et digitum imposuissemus; cum illis percontando disserebamus. Erat autem figura hujusmodi.

Scholium. Adjuramus per Filium Dei eum, qui hunc librum transcribit, ut eamdem crucifixi speciem hoc loco efformet. Cum igitur hanc figuram proposuissemus, sic locuti sumus: Ecce Christus Filius Dei vivi indeficiens, perfectus et indivisus in cruce pendet, hoc est, Deum Verbum, et anima quæ ei hypostatice unita est, et corpus. Quodnam ex his tribus mortem ac internecionem subiit, vitæque ac motus expers effectum est? Attende diligenter. Non dixi, quodnam ex his tribus in Christo mortem ac internecionem subiit in illo triduo? Hæc nobis sciscitantibus, summo dedecore ac probro affecti hæretici, responderunt, corpus Christi mortuum esse. Quibus nos: Annon passa et mortua est anima ejus? Illi: Absit! Tunc non sine irrisione et illusione subjunximus: Annon pudet vos quod, cum animam a Verbo creatam statuatis et confiteamini impatibilem ac immortalem, de Deo Verbo, qui animam condidit, canere audeatis

« Sanctus immortalis, qui propter nos passus est ac mortuus ; » magisque in Creatorem, quam in creaturas injuriosi estis? Dicitis angelos immortales et impatibiles. **99** Animas quoque nostras immortales dicitis. Dæmones insuper impassibiles et immortales asseritis. Et non pudet vos, repetam enim, horum omnium effectorem, qui solus natura est impassibilis, passibilem et mortalem appellare, minus honoris et gloriæ Creatori quam creaturis deferentes. Adverte mentem ad ea quæ dico. Quinque erant in cruce, Christo in illa clavis affixo. Erat sol, qui primus clavos et lanceam excepit, mansitque a cruce inseparabilis, et a clavis nihil doloris passus est. Erat et sacratissimum Christi corpus. Erat et sanctissima ejus anima. Erat et Deus Verbum. Erat et lignum Crucis. Quatuor horum creata sunt, at Deus Verbum increatus, et conditor eorum. Duæ creaturæ passionis expertes manserunt, sol, inquam, et sanctissima ejus anima. Et quomodo divinitas ejus mori potuit? Itaque duobus modis Christus immortalis est; uno autem mortalis, nimirum secundum carnem. Annon igitur, o Acephale, a te judicantur et condemnantur fidelissimi illi Petrus et Paulus, columnæ et coryphæi, et luminaria mundi, fideique electi præcones? Nec canas amplius cum Petro Fullone : « Sanctus, immortalis, Deus Verbum, qui passus es ; » sed cum piscatore Petro dicito : « Christo passo in carne pro nobis [24]. » Neque amplius cum Paulo Samosatensi, sed cum Paulo Tarsensi prædica : « Mortuum quidem carne, vivificatum autem spiritu. » Carne mortali, at non spiritu immortali, mortuus est Christus. Atqui canunt : « Sanctus, immortalis, qui crucifixus et passus est pro nobis ; » illi aut divinum Verbum immortale mortuum ferunt, aut immortalem ejus animum. Sed istos redarguit Christi sepulcrum, quod neque Verbum divinum morte exstinctum, neque animam rationis participem mortuam, sed corpus divinum mortuum continuit.

Hæc cum ita sese habeant, quotiescunque audieris : « Dominum gloriæ crucifixum esse ; » aut, « Deum a dextra Israelitidis passum ; » aut, « Sinite me fieri imitatorem passionis Dei mei ; » aut, « Guttæ sanguinis Deis ; » aut, « Dei mortem, et sepulturam, et crucem ; » nolito cogitare, quasi Verbum divinum secundum naturam divinam cruciatus et mortem sustinuerit ; sed secundum carnem, quæ ei hypostatice unita erat. Quemadmodum enim ea quæ Dei sunt prædicantur de carne propter ineffabilem et indivisam cum Verbo unionem ; sic et quæ hominis sunt, ut pati, mori, sæpe tribuuntur Verbo divino ; quod hæc et similia carnis propria per dispensationem et condescensionem assumpsit, manens in se naturaliter, et vere tanquam Deus, omnis passionis et interitus expers. **100** Et quemadmodum, si arrepto gladio, ingres-

[24] I Petr. IV, 1.

A αὐτὴν Θεὸν Λόγον, λέγετε. « Ἅγιος ἀθάνατος, ὁ παθὼν καὶ ἀποθανὼν δι' ἡμᾶς, » ὑπὲρ τὰ κτίσματα καθυβρίζοντες τὸν Κτίστην; Λέγετε τοὺς ἀγγέλους ἀθανάτους καὶ ἀπαθεῖς. Λέγετε τὰς ψυχὰς ἡμῶν ἀθανάτους· [λέγετε καὶ τοὺς δαίμονας ἀπαθεῖς καὶ ἀθανάτους], καὶ οὐκ αἰσχύνεσθε, πάλιν λέγω, τὸν τούτων ποιητὴν, τὸν φύσει μόνον ὄντα ἀπαθῆ, παθητὸν, καὶ θνητὸν προσαγορεύοντες, ὑπὲρ τὰ κτίσματα τὸν Κτίστην ἀτιμάζοντες. Καὶ πρόσχες, ὃ λέγω· Πέντε τινὰ ὑπῆρχον ἐν τῷ σταυρῷ· προσηλουμένου τοῦ Χριστοῦ ἐν αὐτῷ. Ἦν ὁ ἥλιος, ὅστις καὶ πρῶτος τοὺς ἥλους καὶ τὴν λόγχην ἐδέξατο, καὶ ἔμεινεν ἀχώριστος τοῦ σταυροῦ, καὶ ἀπαθὴς ἐκ τῶν ἥλων. Ἦν καὶ τὸ πανάγιον Χριστοῦ σῶμα. Ἦν καὶ ἡ ἁγία αὐτοῦ ψυχή. Ἦν καὶ ὁ Θεὸς Λόγος. Ἦν καὶ τὸ ξύλον B τοῦ Σταυροῦ. Τὰ τέσσαρα τούτων κτιστά. Ὁ δὲ Θεὸς Λόγος ἄκτιστος, καὶ κτίστης αὐτῶν. Διεφυλάχθη τὰ δύο κτίσματα ἀπαθῆ, λέγω δὴ, ὁ ἥλιος, καὶ ἡ παναγία αὐτοῦ ψυχή. Καὶ πῶς λοιπὸν ἡ θεότης αὐτοῦ ἀποθνήσκειν ἠδύνατο; Ὥστε κατὰ δύο μὲν τρόπους ἀθάνατος ὁ Χριστὸς, καθ' ἕνα δὲ τρόπον θνητὸς, ἤγουν τῇ σαρκί. Οὐκοῦν οἱ πιστοὶ παρὰ σοὶ κρίνονται, ὦ ἀκέφαλε, Πέτρος, καὶ Παῦλος, οἱ στύλοι, καὶ κορυφαῖοι, καὶ φωστῆρες τῆς οἰκουμένης, καὶ τῆς πίστεως πρόκριτοι κήρυκες; Μηκέτι κατὰ Πέτρον τὸν σὸν Κναφέα ψάλλε τὸ, « Ἅγιος ἀθάνατος ὁ παθὼν Θεὸς Λόγος, » ἀλλὰ κατὰ Πέτρον τὸν ἀληθέα, λέγε· « Χριστοῦ παθόντος σαρκὶ ὑπὲρ ἡμῶν. » Μηκέτι κατὰ Παῦλον τὸν Σαμωσατέα, ἀλλὰ κατὰ Παῦλον τὸν Ταρσέα Χριστὸν κήρυττε θανωθέντα μὲν C σαρκὶ, ζωοποιηθέντα δὲ Πνεύματι. Σαρκὶ θνητῇ, καὶ οὐ πνεύματι τῷ ἀθανάτῳ, Χριστὸς τέθνηκεν. Οἱ δὲ ψάλλοντες τὸ, « Ἅγιος ἀθάνατος, ὁ σταυρωθεὶς καὶ παθὼν ὑπὲρ ἡμῶν, » ἢ τὸν Θεὸν Λόγον τὸν ἀθάνατον θανατωθέντα λέγουσιν, ἢ τὴν ψυχὴν αὐτοῦ τὴν ἀθάνατον. Ἀλλ' ἐλέγχει αὐτοὺς ὁ τοῦ Χριστοῦ τάφος, οὐ Θεὸν Λόγον νεκρωθέντα ἔχων, οὔτε ψυχὴν νοερὰν θανατωθεῖσαν, ἀλλὰ σῶμα ἔνθεον νεκρόν.

Τούτων δὴ οὕτως ἐχόντων, ὁπηνίκα ἀκούσῃς, ὅτι « Ὁ Κύριος τῆς δόξης ἐσταυρώθη, » ἢ ὅτι « Ὁ Θεὸς πέπονθεν ὑπὸ δεξιᾶς Ἰσραηλίτιδος, » ἢ, « Ἐάσατέ με μιμητὴν γενέσθαι τοῦ πάθους τοῦ Θεοῦ ἡμῶν, » D ἢ « ῥανίδες αἵματος Θεοῦ, » ἢ « Θεοῦ θάνατον, καὶ ταφὴν, καὶ σταυρὸν, » μηδαμῶς τῇ τοῦ Θεοῦ Λόγου φύσει, τὰ πάθη καὶ τὸν θάνατον λογίσῃ, ἀλλὰ τῇ καθ' ὑπόστασιν ἡνωμένῃ αὐτῷ σαρκί. Ὥσπερ γὰρ θεολογεῖται ἡ σὰρξ διὰ τὴν πρὸς Θεὸν Λόγον ἄῤῥητον καὶ ἀδιαίρετον ἕνωσιν, οὕτω πολλάκις ἀνθρωπολογεῖται, καὶ παθολογεῖται, καὶ θανατολογεῖται, καὶ ὁ ἐν αὐτῇ Θεὸς Λόγος οἰκειούμενος τὰ τῆς ἰδίας αὐτοῦ σαρκὸς πάθη οἰκονομικῶς πως καὶ συγκαταβατικῶς, μένων αὐτὸς ἀπαθὴς καὶ ἀθάνατος φυσικῶς καὶ ἀληθῶς, ὡς Θεός. Καὶ ὥσπερ ἐὰν λαβὼν ῥομφαίαν, καὶ εἰσελθὼν ἐν τῇ καμίνῳ τῶν παίδων, ἔσφαξας Ἀζαρίαν, οὐδαμῶς τὴν τοῦ πυρὸς φύσιν

ἔβλαπτες, ἢ ἐχώριζες ἐκ τοῦ σώματος. Οὕτω καὶ τῆς σαρκὸς Χριστοῦ παθούσης, ἀχώριστος καὶ ἀπαθὴς ἦν ὁ Θεὸς Λόγος ἐν αὐτῇ.

Οὐ μόνον δὲ εἰς τὸν περὶ τοῦ πάθους Χριστοῦ λόγον συμβάλλεται ἡμῖν τὸ προκείμενον τοῦ σταυροῦ ἐκτύπωμα, καὶ ὑπόδειγμα, καὶ ἐπίγραμμα τῶν τριῶν προσηγοριῶν, λέγω δὴ τοῦ Θεοῦ Λόγου, καὶ τῆς νοερᾶς ψυχῆς αὐτοῦ, καὶ τοῦ παναγίου σώματος, ἀλλὰ καὶ ἐν πᾶσι τοῖς λοιποῖς τῶν ἐναντίων πρὸς ἡμᾶς προβλήμασι καὶ διαστρέμμασι. Πάλιν γὰρ ἡνίκα ἡμῖν τὰ χρησείδια καὶ κλεψύδρια προεβάλλοντο, καὶ τὰς λεπτὰς ἐννοίας περὶ Χριστοῦ, ἤτοι νοῦ φαντασίας, καὶ τὰς δοκήσεις, καὶ κράσεις, καὶ συγχύσεις, καὶ συμπλοκὰς, καὶ τὰς ἀρνήσεις τῶν ἁγίων Πατέρων τὰς Σευηροπαραδότους, καὶ τὰ τῆς σταγόνος τοῦ ὄξους καὶ τοῦ πελάγους παραδείγματα· καὶ ἁπλῶς ἐν πάσαις αὐτῶν ταῖς προτάσεσι, ταῖς ἀρνουμέναις τὸ εἰπεῖν ἐπὶ Χριστοῦ δύο ἡνωμένας ἀδιαιρέτων φύσεις, ἡμεῖς τὸν προκείμενον τίμιον σταυρὸν, καὶ τὴν ἐν αὐτῷ τρισώνυμον ἐπιγραφὴν κατ' αὐτῶν εἰς τρόπαιον ἀήττητον προβαλλόμεθα διακωμῳδοῦντες αὐτοὺς, καὶ τερετίζοντες, καὶ τὸν δάκτυλον ἡμῶν εἰς ἑκάστην τῶν τριῶν προσηγοριῶν ἐπιτιθέντες, καὶ διερωτῶντες αὐτοὺς, καὶ λέγοντες· Τί φατε ἡμῖν, ὦ οὗτοι « προφασιζόμενοι προφάσεις ἐν ἁμαρτίαις, » σπήλαιον σκοτεινὸν καὶ δύσβατον, λαβύρινθον λεξειδίων προφέρετε λέγοντες, ὅτι « Μετὰ τὴν ἄῤῥητον ἕνωσιν ἐθεώθη ἡ σὰρξ, καὶ οὐκέτι λέγεται φύσις; Τοιαύτη γὰρ γέγονεν, οἷος καὶ ὁ θεώσας αὐτὴν Θεὸς Λόγος· καὶ λοιπὸν οὐκέτι ἐστὶν ἐν τοῖς ἰδίοις ἰδιώμασιν, ἀλλὰ τῇ τοῦ κρείττονος ἐκνικήσει μία φύσις τὸ πᾶν τοῦ Χριστοῦ γέγονε· συνανεχράθη γὰρ τὸ σῶμα τῷ πελάγει τῆς θεότητος. Διὸ καὶ τοῦτο τῇ θεώσει Θεὸς γέγονε.

Σχόλιον. Κατ' ἐρώτησιν ἀναγνωστέον τὸ καταβατόν.

Τί ἡμῖν τούτους καὶ τοὺς τοιούτους ἄνω καὶ κάτω περισύρετε λόγους, καλῶς μὲν τοῖς ἁγίοις Πατράσιν εἰρημένους, κακῶς δὲ ὑφ' ὑμῶν νοουμένους; Ἐμβλέψατε δὴ εἰς τὸν προκείμενον τοῦ σταυροῦ τύπον, καὶ εἰς τὴν τοῦ Χριστοῦ ἐν αὐτῷ τρισώνυμον ἐπιγραφὴν, καὶ εἴπατε ἡμῖν, μὴ γέγονεν ὁ Θεὸς Λόγος ὁμοούσιος τῇ σαρκὶ μετὰ τὴν ἕνωσιν; Μὴ ἀπέστη ἡ νοερὰ ψυχὴ τοῦ εἶναι ψυχή; Μὴ γέγονε τὸ σῶμα ὁμοούσιον τῷ Λόγῳ; Μὴ ἐστερήθη ἐντῶν τριῶν τούτων τῆς οἰκείας ἰδιότητος; Μὴ γέγονε τὸ σῶμα Χριστοῦ ἀπερίγραπτον; Μὴ γέγονε θνητὴ ἡ νοερὰ αὐτοῦ ψυχή; Μὴ γέγονε παθητὸς καὶ ῥευστὸς ὁ Θεὸς Λόγος; Οὐδαμῶς. Οὐκοῦν εἰ καὶ μετὰ τὴν ἕνωσιν ἄτρεπτα καὶ ἀσύγχυτα πάντα τὰ ἐν Χριστῷ μεμενήκασι, πῶς τὰ δύο ἀθάνατα, καὶ τὸ θνητὸν αὐτοῦ σῶμα μία φύσις λέγεσθαι δύνανται;

Ἐρώτησις πρὸς τοὺς αὐτοὺς ἐλέγχουσα τὴν Θεο-

sus in fornacem, in qua erant tres illi pueri, Azariam percussisses, nihil damni ignis naturæ intulisses, neque ignem a corpore separasses; sic et carne Christi passa separationis et passionis expers permansit Verbum, quod in carne illa habitabat.

Neque solum proposita crucis effigies et exemplum, et inscriptio trium vocabulorum, divini, inquam, Verbi, et animæ intelligentia prædita, et sanctissimi corporis, ad Dominicæ passionis rationem demonstrandam conducunt, sed et ad omnia alia problemata, perversasque quæstiones, quas nobis adversarii proponunt, multum conferunt. Quando enim objectant testimonia, et dictiunculas illas suas, et exiles nudasque cogitationes de Christo, sive mentis conceptiones et fictiones, et opinationes, et mistiones, et confusiones, et connexiones, et inficiationes sanctorum Patrum, quas a Severo acceperunt; et illa de gutta aceti, et pelagi exempla; uno verbo, omnia illa pronuntiata, quæ negant, duas in Christo unitas naturas dici oportere; nos opponamus illis, prædictam venerandam Crucem, et tria, quæ ascripta habet, nomina, tanquam invictum tropæum, eosque ludibrio et irrisui exponamus; et digito ad quamlibet ex tribus dictionibus admoto et intento, hunc in modum sciscitemur. Quid dicitis vos, qui « excusatis excusationes in peccatis [25], » qui caliginem densam et imperviam nobis profertis; et inextricabilem verborum labyrinthum fabricatis, dum asseritis: « Post ineffabilem illam unionem carnem in divinitatem migrasse, neque jam naturam dici posse; talem enim factam esse, qualis est Deus Verbum, a quo divinitatem acceperit; neque amplius proprietatibus suis constare, sed præstantiori exsuperanti cessisse, totumque unam Christi naturam evasisse, corpus enim divinitatis pelago commistum et deificatione Deum factum esse. »

Scholium. Per interrogationem legenda sunt sequentia.

Quid nobis hujusmodi dicta usque et usque reponitis et occinitis, recte quidem a sanctis Patribus prolata, perperam vero a vobis intellecta? Respicite in propositam crucis effigiem, et in triplicem illam Christi, quæ adjecta est epigraphen, et dicite nobis num Deus Verbum factus sit ejusdem substantiæ cum carne post unionem? Num anima rationalis desierit esse anima? Num corpus ejusdem substantiæ effectum sit cum Verbo? Num quod ex his tribus insitis proprietatibus privatum sit? Num ejus anima rationis particeps mortalis evaserit? Num Verbum divinum passibile et mutabile effectum **101** sit? Nequaquam. Si igitur etiam post unionem omnia in Christo mutationis expertia et inconfusa perstiterunt, qua tandem ratione duo quæ in ipso sunt, immortalia, et mortale ejus corpus una natura censeri possunt?

Quæstio iisdem proposita, redarguens eos quod

[25] Psal. CXL, 4.

Deum passibilem faciunt. Aut eum, quem crucifixum dicitis, dicitis etiam mortuum aut non ?

HÆRETICI. Utique; unus enim Christus est, non duo.

ORTHODOXUS. Recte. Quando igitur dicitis : « Sanctus, immortalis, qui pro nobis crucifixus et passus est; » quemnam immortaliter obiisse morte asseritis ? Nam si id asseratis de Verbo divino, male dicitis; caro enim illius non erat in cruce immortalis. Si vero totum illud compositum, quod Christus appellatur, intelligitis, quando canitis : « Sanctus, immortalis qui passus est ac mortuus, » rursus male persuasi estis. Nam illud, *immortalis*, competere in corpus nequit, ut jam antea dixi. Mors vero in Verbum immortale non cadit, uti neque in animam, quæ cum Verbo immortalitatem participat. Quocirca undequaque hujusmodi hymnus vester blasphemus est acimpius simul cum auctore suo.

A πασχίαν αὐτῶν. Ὃν λέγετε σταυρωθέντα, τοῦτον λέγετε καὶ ἀποθανόντα, ἢ οὔ ;

ΟΙ ΑΙΡΕΤΙΚΟΙ. Ναί. Εἷς γὰρ ὁ Χριστὸς, καὶ οὐ δύο.

Ο ΟΡΘΟΔΟΞΟΣ. Καλῶς. Λέγοντες οὖν, « Ἅγιος ἀθάνατος, ὁ σταυρωθεὶς καὶ παθὼν ὑπὲρ ἡμῶν καὶ ἀποθανών, » τίνα λέγετε ἀθάνατον ἀποθανόντα ; κἂν γὰρ τὸν Θεὸν Λόγον εἴπητε, κακῶς λέγετε (51) · οὐ γὰρ ἦν ἀθάνατος ἡ σὰρξ ἐπὶ τοῦ σταυροῦ. Κἂν δὲ πάλιν, τὴν πᾶσαν ὁλότητα τοῦ Χριστοῦ εἴπητε, « Ἅγιος ἀθάνατος ὁ παθών, » καὶ οὕτως κακῶς λέγετε· τὸ γὰρ, *ἀθάνατος*, οὐχ ἁρμόζει ἐπὶ τοῦ σώματος, ὡς ἤδη προεῖπον. Ὁ δὲ θάνατος ἀλλότριός ἐστι τοῦ ἀθανάτου Λόγου καὶ τῆς συναθανάτου αὐτοῦ ψυχῆς, ὥστε κατὰ πάντα τρόπον βλάσφημος ὁ τοιοῦτος ὑμῶν ὕμνος σὺν ὑμῖν καὶ τοῦ ποιήσαντος αὐτόν.

B

CAP. XIII.

Examen sive disquisitio et exercitatio Orthodoxi et Acephali de quibusdam dictis sanctorum Patrum ab omnibus hæreticis, qui divinam incarnationem Christi Domini oppugnant, proferri consuetis, ut a Valente [Valentino], Manete, Marcione, et aliis usque ad Eutychen et Dioscorum, Severum, Theodosium et Gaianum, qui unam dicunt esse naturam carnis et divinitatis in Emmanuel.

ΚΕΦΑΛ. ΙΓ'.

Ἀνάκρισις, ἤτοι συζήτησις καὶ γυμνασία Ὀρθοδόξου καὶ Ἀκεφάλου περί τινων χρήσεων, ὧν προφέρουσιν ἐκ τῶν ἁγίων Πατέρων πᾶσαι αἱρέσεις, αἱ ἀθετεῖν βουλόμεναι τὴν ἐνσαρκον οἰκονομίαν τοῦ Χριστοῦ, λέγω δὴ, αἱ ἀπὸ Οὐάλεντος, καὶ Μάνεντος, καὶ Μαρκίωνος, καὶ καθεξῆς, ἕως Εὐτυχοῦς, καὶ Διοσκόρου, καὶ Σευήρου, καὶ Θεοδοσίου, καὶ Γαΐανοῦ, τῶν μίαν λεγόντων φύσιν τῆς σαρκὸς, καὶ τῆς θεότητος τοῦ Ἐμμανουήλ.

Antequam rem ipsam aggrediamur, hoc præmittimus : Num hujusmodi dicta sint hæreticorum quædam additamenta, soli Deo constare. Videmus C enim alibi sanctos Patres plane dissentanea, et talibus testimoniis contraria protulisse. Quod si quædam ex his dictis, vere sunt sanctorum Patrum, ut quidem contingere potest, illud addimus, talia a sanctis Patribus improprie, seu per abusionem et inculpate, absque ulla impietatis suspicione, prolata esse, et fere animo honorandi sanctissimam Christi animam et carnem, quæ, qui incarnationis mysterium negant, perperam et contra sanctorum Patrum mentem hunc interpretantur, eoque rapiunt, ut nostram in Christo naturam inficientur, dum ex carne et divinitate unam naturam, post ineffabilem unionem, coaluisse tradunt, quasi videlicet sanctissima Christi caro in divinitatis naturam **102** per commistionem conversa fuerit; adducuntque quoddam dictum Gregorii Nazianzeni de Dominico corpore dicentis, « ipsum deificatione Deum esse, » et beati Cyrilli, « Dei crucem, Dei passionem, Dei mortem, Dei resurrectionem » prædicantis : et id genus alia complura. Sed miseri et indocti non advertunt, hæc et similia non esse dicta de natura divina; sed ob unionem et deificationem. Neque enim asseruit divinus Gregorius, corpus natura Deum esse; sed perinde est ac si quis diceret

Πρὸ μέντοι τῆς τοιαύτης διασκέψεως, ἐκεῖνο ἐροῦμεν, ὅτι εἰ μὲν αἱρετικῶν τινων ἀνδρῶν εἰσι προσθῆκαι, τοιαῦται λέξεις, μόνῳ ἔγνωσται τῷ Θεῷ. Εὑρίσκομεν γὰρ τοὺς αὐτοὺς ἁγίους Πατέρας ἐν ἑτέροις τόποις ἀσύμφωνα καὶ ἐναντία τῶν τοιούτων χρήσεων εἰρηκότας ῥήματα. Εἰ δὲ καὶ, ὡς εἰκὸς, τινὲς ἐκ τῶν τοιούτων λέξεων πατρικαί εἰσιν, ἐκεῖνο ἐροῦμεν, ὅτι τοῖς μὲν ἁγίοις Πατράσιν, ἢ καταχρηστικῶς πως, καὶ ἀπονήρως ἐν ἀκακίᾳ ἐρρέθησαν, ἢ κατὰ σκοπὸν τιμητικὸν τῆς ἁγίας ψυχῆς, καὶ σαρκὸς τοῦ Χριστοῦ ἐνοήθησαν, ἃς οἱ ἀπαρνούμενοι τὸν τῆς ἐνανθρωπήσεως λόγον, οὐ κατὰ τὸν σκοπὸν τῶν ἁγίων Πατέρων ἑρμηνεύουσιν. Ἀλλ' ἐπ' ἀρνήσει τῆς καθ' ἡμᾶς οὐσίας αὐτὰς ἐκλαμβάνουσι μίαν φάσκοντες γεγονέναι φύσιν τῆς σαρκὸς καὶ τῆς θεότητος μετὰ τὴν ἄφραστον ἕνωσιν, ὡς οἷα τῆς ἁγίας σαρκὸς τοῦ Χριστοῦ διὰ τῆς συγκράσεως μεταβληθείσης εἰς θεότητος D φύσιν, προφέροντες ἡμῖν τὴν τοῦ μακαρίου Γρηγορίου φωνὴν, τὴν φάσκουσαν περὶ τοῦ Δεσποτικοῦ σώματος, ὅτι « Καὶ τοῦτο τῇ θεώσει Θεός · » ὁμοίως καὶ τὸν μακάριον Κύριλλον λέγοντα · « Θεοῦ ὁ σταυρὸς, Θεοῦ τὸ πάθος, Θεοῦ ὁ θάνατος, Θεοῦ ἡ ἀνάστασις, » καὶ ἄλλα πλεῖστα τοιαῦτα. Ἀγνοοῦσι δὲ οἱ τάλανες, καὶ ἀπαίδευτοι, ὅτι οὐ τῇ φύσει, ἀλλὰ τῇ ἑνώσει καὶ θεώσει τοῖς ἁγίοις Πατράσιν, αἱ τοιαῦται εἰρῆνται φωναί. Οὐ γὰρ εἶπεν ὁ θεῖος Γρηγόριος, τὸ σῶμα τῇ φύσει Θεόν · ἀλλ' ἐπεὶ καὶ τοῦτό φησιν,

NOTÆ.

(51) Videtur hic hoc vel simile quid deesse : Ἀθανατος γὰρ ὁ Θεός · εἰ δὲ τὴν σάρκα εἴπετε πάλιν κακῶς λέγετε, οὐ γὰρ ἦν, etc. *Verbum enim immortale est : si vero de carne dicitis, rursus perperam sentitis, caro enim*, etc.

τῇ θεώσει Θεός· ὡς ἵνα τις εἴποι, ὅτι καὶ ὁ σίδηρος τῇ πρὸς τὸ πῦρ ἑνώσει ἀπαστράπτων τῇ πυρώσει πῦρ λέγεται, οὐ μέντοι καὶ τῇ φύσει. Οὐ γὰρ ἀπέστη τοῦ σίδηρος εἶναι. Οὕτω καὶ ὁ πάνσοφος Κύριλλος πάλιν, οὐκ εἴρηκεν, ὅτι θεότητος ὁ θάνατος, οὐδὲ θεότητος τὸ πάθος· ἐπεὶ ἄρα ἂν παθητὸν καὶ θνητὸν ἐποίει τὸ πλήρωμα τῆς θεότητος· ἀλλὰ *Θεοῦ τὸ πάθος* εἶπεν. Δύναται γὰρ, ὡς ἤδη προείρηται, εὐσεβεῖ σκοπῷ λέγεσθαι Θεὸς, διὰ τὴν ἄκραν ἕνωσιν, καὶ ὁ *Κυριακὸς ἄνθρωπος*, εἴγε καὶ ἄνθρωποι φίλοι, καὶ μὴ ἡνωμένῃ [ἡνωμένοι] θεότητι, ὠνομάσθησαν *θεοί*. Οὐ δύναται δὲ *θεότης* καλεῖσθαι κτιστὸν ὑπάρχον τὸ πανάγιον σῶμα, ἵνα μὴ φανῶμεν ὁμοούσιον λέγοντες κτίσματι τὴν θεότητα τῆς ἁγίας Τριάδος. Ὅθεν Θεὸν μὲν λέγομεν πολλάκις καὶ ὅλον τὸ πλήρωμα τοῦ Χριστοῦ, διὰ τὴν ἄκραν ἕνωσιν, οὐ λέγομεν δὲ αὐτὸν ὅλον θεότητα, ἀλλὰ θεότητα καὶ ἀνθρωπότητα, διὰ τὸ διάφορον τῶν φύσεων.

Καὶ ὅπως πάλιν τὸν περὶ τοῦ πάθους Χριστοῦ, καὶ τοῦ Τρισαγίου αὐτοῦ ὕμνου ἀναλάβω τὸν λόγον, διερωτητέον καὶ ἀπορητέον αὐτοὺς, ψαλλόντων καὶ λεγόντων ὑμῶν, « Ἅγιος ἀθάνατος, ὁ σταυρωθεὶς καὶ παθὼν ὑπὲρ ἡμῶν, » πόθεν δῆλον, ὅτι περὶ τοῦ Χριστοῦ τοῦτο λέγετε; Εἰ μὲν γὰρ ἐλέγετε, « Ἅγιος ἀθάνατος ὁ σταυρωθεὶς σαρκὶ ὑπὲρ ἡμῶν, » εὔδηλον, ὅτι εἰς τὸν σαρκωθέντα Χριστὸν τὸν ὕμνον ἀναφέρετε. Μὴ ὀνομαζόντων δὲ ὑμῶν ὅλως σάρκα, ἢ σῶμα, ἢ ἐνανθρώπησιν, ἐπὶ τοῦ τοιούτου ὕμνου, ἀλλὰ λεγόντων ξηρᾷ τῇ λέξει, « Ἅγιος ἀθάνατος ὁ σταυρωθεὶς, » δύναταί τις εὐλόγως ἐπιλαβέσθαι ὑμῶν, καὶ εἰπεῖν, ὡς οὐ τὸν Χριστὸν λέγετε σταυρωθέντα, ἀλλὰ τὸν ἀθάνατον Πατέρα καὶ Θεὸν, ἢ τὸ ἀθάνατον Πνεῦμα τὸ ἅγιον. Τοῦ γὰρ σώματος θνητοῦ ὄντος, καὶ οὐκ ἀθανάτου ἐν τῷ σταυρῷ, πρόδηλοί ἐστε ἐκ παντὸς τρόπου, ὅτι ἢ τὸν ἀθάνατον Πατέρα, ἢ τὸν ἀθάνατον Θεὸν Λόγον, ἢ τὸ ἀθάνατον Πνεῦμα ἅγιον, λέγετε σταυρωθέντα, καὶ παθόντα, καὶ θανόντα.

ΑΚΕΦΑΛΟΣ. Καὶ πῶς πάλιν εὑρίσκομεν τὸν μακάριον Ἀθανάσιον πρὸς Ἰουβενιανὸν τὸν βασιλέα γράφοντα, ὅτι « Ὁ Λόγος σὰρξ ἐγένετο, ἵνα καὶ ἡ σὰρξ γένηται Λόγος. » Εἰ οὖν Λόγος γέγονε καὶ ἡ σὰρξ, πῶς δυνατὸν τοῦ λοιποῦ δύο λέγειν φύσεις;

Ο ΟΡΘΟΔΟΞΟΣ. Καθὼς προείρηκα, καὶ πάλιν ἐρῶ, ὅτιπερ ἐγὼ ἀμφίβολον ἔχω τὴν γνώμην, εἰ ὅλως τῶν ἁγίων Πατέρων εἰσὶν αἱ τοιαῦται φωναί. Καὶ ἵνα ἀποτολμήσας εἴπω· κἂν ἄγγελος ἐξ οὐρανοῦ εἴρηκε τὴν προκειμένην χρῆσιν, ἀδύνατόν τι καὶ οὐδαμῶς γινόμενον εἴρηκεν. Καὶ τοῦτο αὐτὸς ὁ μακάριος Ἀθανάσιος καὶ Κύριλλος φάσκουσι λέγοντες, ὅτι ἀδύνατον, καὶ παντελῶς ἀμήχανον, τὴν σάρκα εἰς τὴν τοῦ Λόγου μεταστῆναι φύσιν. Πῶς γὰρ δυνατὸν, τὴν μετὰ μυρίας γενεὰς καὶ χρόνους, ὑπὸ τοῦ προαιωνίου Θεοῦ Λόγου κτισθεῖσαν, γενέσθαι ὁμοφυῆ καὶ συγγενῆ τοῦ ἀκτίστου Θεοῦ Λόγου; Εἰ δὲ « ὁ Λόγος σὰρξ ἐγένετο, » ἵνα καὶ ἡ σὰρξ γένηται Λόγος, πρόδηλον λοιπὸν, ὅτι καὶ ἐν τοῖς τοῦ Λόγου ἰδιώμασι χρὴ ὁμολογεῖν τὴν σάρκα, τοῦτ' ἔστιν,

[26] Joan. I, 14.

A ferrum, ob conjunctionem cum igne fulgescens, ignescendo ignem esse, non utique natura, cum ferri naturam non exuerit. Sic et sapientissimus Cyrillus non ait: mortem divinitatis esse, neque divinitatis passionem; sic enim plenitudinem divinitatis fecisset passibilem ac mortalem; sed *Dei passionem* dixit. Potest enim recto pioque sensu etiam *Dominicus homo* vocari Deus propter summam illam unionem, ut antea dictum, quandoquidem nudos quoque, nec cum Deitate unitos homines *deos* appellatos novimus. Non potest autem sacratissimum Christi corpus nominari *divinitas*, ne videamur sacrosanctæ Trinitatis divinitatem consubstantialem statuere creaturæ. Hinc totum illud, quod Christus appellatur, crebro vocamus B Deum, idque propter summam unionem; at non vocamus divinitatem, sed divinitatem et humanitatem simul, propter diversitatem naturarum.

Cæterum, ut oratio ad Christi passionem, hymnumque Trisagium revertatur, quærendum est ex istis: Quando psallitis et dicitis, « Sanctus, immortalis, qui pro nobis crucifixus et passus es, » unde vobis liquet hæc de Christo accipi? Nam si diceretis: « Sanctus, immortalis, qui carne pro nobis crucifixus es; » planum clarumque foret vos hymnum illum ad Christum incarnatum referre. At cum carnem aut corpus, aut incarnationem in hoc hymno penitus non exprimatis, sed nude ac præcise dicatis: « Sanctus, immortalis, qui crucifixus es, » merito poterit quis suspicari, quasi non C dicatis Christum esse crucifixum, sed immortalem Patrem ac Deum, aut immortalem Spiritum sanctum. Nam cum corpus in cruce mortale, et non immortale fuerit, manifestum profecto evadit vestro judicio, vel immortalem Patrem, vel immortalem Deum Verbum, vel immortalem Spiritum sanctum crucifixum, passum ac mortuum esse.

ACEPHALUS. Et quomodo interpretabimur beatum Athanasium, qui ad Jovinianum imperatorem scribens dixit: « Verbum caro factum est, ut et caro fieret Verbum. » Si igitur etiam caro est facta Verbum, qua ratione fieri potest ut de cætero duas dicamus naturas?

ORTHODOXUS. **103** Quod antea dixi, id repe- D to: nimirum vehementi dubitatione me teneri, num talia dicta a sanctis Patribus sint profecta. Et ut audacius quiddam proloquar, etiamsi angelus e cœlo prædicta verba protulisset, impossibile quid protulisset. Et ipse beatus Athanasius, et Cyrillus diserte testantur, fieri non posse, ut caro in Verbi naturam transierit. Quomodo enim fieri potest, ut quæ post infinita sæcula ab æterno Verbo condita est, fiat ejusdem naturæ cum increato Dei Verbo? Si vero « Verbum caro factum est [26], » ut et caro fieret Verbum, planum fit etiam Verbi proprietates concedendas esse carni; hoc est, esse incircumscriptum, increatum, principio et figura carere, et coæternum Patri exsistere. Quod si nihil horum

vere de carne Christi affirmare licet, perspicuum relinquitur, carnem non esse factam Verbum. Si non est facta Verbum, sicut vere non est facta, mentitus est igitur ille, qui dixit : « Verbum esse carnem factum, ut et caro fieret Verbum. » Neque vero objiciat Acephalus, magistrum non dixisse carnem factam esse Verbum natura, sed gloria; nam ad hoc in promptu est responsio; omnes homines gloria *deos* effici posse; juxta illud : « Ego dixi : Dii estis, et filii Excelsi omnes[27]; » ut taceam illud, *gloria*, in magistri libro non exstare : sed hoc præcise : « Verbum caro factum est, ut et caro fieret Verbum. »

A ἀπερίγραπτον, καὶ ἄκτιστον, καὶ ἄναρχον, καὶ ἀσχημάτιστον, καὶ συναΐδιον τῷ Πατρί. Εἰ δὲ οὐδὲν τούτων δυνατὸν λέγειν εἶναι τὴν ἁγίαν σάρκα τοῦ Χριστοῦ, πρόδηλον, ὅτι οὐ γέγονε Λόγος ἡ σάρξ. Εἰ δὲ οὐ γέγονε Λόγος, ὥσπερ οὖν οὐδὲ γέγονεν, ἐψεύσατο ὁ λέγων, ὅτι « Ὁ Λόγος σὰρξ ἐγένετο, ἵνα καὶ ἡ σὰρξ γένηται Λόγος. » Καὶ μή μοι εἴπῃ ὁ Ἀκέφαλος, ὅτι οὐ τῇ φύσει εἶπεν ὁ διδάσκαλος γενέσθαι τὴν σάρκα Λόγον, ἀλλὰ τῇ δόξῃ· πρὸς γὰρ τοῦτο δύναμαί σοι κἀγὼ εἰπεῖν, ὅτι τῇ δόξῃ πάντες ἄνθρωποι δύνανται θεοὶ γενέσθαι, κατὰ τὸ, « Ἐγὼ εἶπον, θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες· » πλὴν ὅτι οὐδὲ κεῖται ἐν τῇ βίβλῳ τοῦ διδασκάλου, ὅτι *τῇ δόξῃ*, ἀλλ' οὕτως ἀπολύτως, ὅτι « Ὁ Λόγος σὰρξ ἐγένετο, ἵνα καὶ ἡ σὰρξ γένηται Λόγος. »

Neque hoc solum dictum, tanquam Athanasii producunt, sed et istud, quod dicitur : « Christum incarnatum absque peccato, et carnalibus appetitionibus. Voluntas enim, inquit, sola est, divinitatis, sicut et substantia sola Verbi. » Hujus quis auctor sit dicere, non habeo. Hoc scio, palamque pronuntio omnem hominem, qui unam tantum divini Verbi naturam in Christo prædicat, nullam neque sortem, neque partem in Christo habere, utpote qui massam nostram, nostramque naturam abnegat, quam ex sanctissima Virgine et Deipara assumpsit. Si enim sola divinitas est in Christo, cur reprehendimus Manichæos, affirmantes carnem Christi fuisse talem sola specie externa, et existimatione, hancque ipsam umbratilem speciem nec in re, sed in phantasia consistentem, abjectam, et a Christo depositam esse, postquam in solem ascendit : quorum vestigia, tanquam genuinus discipulus, sedulo sectatur gravis scilicet Timotheus, eamdem erroris semitam calcans et peragrans, cum ait « Solam divinitatem esse naturam Christi, etiamsi incarnatus sit. » Quem proprio ipsius dicto non injuria quis hunc in modum refutaverit. Si sola divinitas est natura **104** Christi, sequitur nativitatem Christi, solius divinitatis fuisse; profectum seu incrementum Christi secundum ætatem, solius divinitatis; infantiam Christi, solius divinitatis; involutionem in fasciis, solius divinitatis; contactum Christi, solius divinitatis; famem et sitim, et laborem, et angustias, et sputum, sanguinem, et lacrymas Christi solius divinitatis, crucifixionem Christi, solius divinitatis. Et quis, cedo, hominum vel dæmonum hæc audeat affirmare? Impius igitur est Timotheus, cum ait : « Natura Christi post incarnationem est sola divinitas. » Si enim Christus est sola divinitas, divinitas vero sub visum et tactum non cadit, neque sacrificari potest, membrorum simul et esus expers; liquido conficitur Timotheum, Judæorum instar, inficiari sacrificium et communionem sacratissimorum mysteriorum corporis et sanguinis Christi, neque credere vereque confiteri corpus et sanguinem Christi visibile, crea-

B Οὐ ταύτην δὲ μόνην τὴν χρῆσιν προφέρουσιν, ὡς τοῦ ἁγίου Ἀθανασίου, ἀλλὰ καὶ ἑτέραν τινὰ φάσκουσαν, « Χριστὸν σαρκωθέντα δίχα ἁμαρτίας καὶ σαρκικῶν θελημάτων. Ἡ γὰρ θέλησις, φησὶν, θεότητος, μόνη, ὥσπερ καὶ οὐσία μόνη τοῦ Λόγου. » Ταῦτα τίς εἴρηκεν, οὐκ ἔχω λέγειν. Ἐκεῖνο δὲ ἐπίσταμαι καὶ κηρύττω, ὅτι πᾶς ἄνθρωπος μόνην οὐσίαν τοῦ Θεοῦ Λόγου κηρύττων ἐν τῷ Χριστῷ, οὐκ ἔχει τινὰ κλῆρον, οὐδὲ μέρος ἐν Χριστῷ, ὡς ἀρνησάμενος τὸ ἡμέτερον φύραμα, καὶ τὴν καθ' ἡμᾶς φύσιν, ἣν ἀνέλαβεν ἐκ τῆς ἁγίας Παρθένου καὶ Θεοτόκου Μαρίας. Εἰ γὰρ θεότης ἐστὶ μόνη ἐν τῷ Χριστῷ, τί ἐγκαλοῦμεν τοῖς λέγουσιν Μανιχαίοις, ὅτι ἐν σκιᾷ, καὶ δοκήσει, καὶ φαντασίᾳ ἦν ἡ σὰρξ τοῦ Χριστοῦ, καὶ ἐν τῷ ἡλίῳ ἀνερχόμενος, ἀπέθετο καὶ αὐτὸ τὸ σκιῶδες C σῶμα, ὃ περιέκειτο ἐν φαντασίᾳ· οἵστισι, λέγω δὴ Μανιχαίοις, γνησίως μαθητεύσας ὁ σεμνὸς Τιμόθεος, τὴν αὐτὴν αὐτοῖς βαδίζει καὶ συνοδεύει τῆς πλάνης τρίβον, φάσκων, ὅτι « Φύσις τοῦ Χριστοῦ μόνη θεότης ἐστὶν, εἰ καὶ σεσάρκωται. » Πρὸς ὃν τις εὐκαίρως ἂν τὴν τοιαύτην αὐτοῦ ἀναλαμβανόμενος φωνὴν, ἀντ-αποκριθήσεται λέγων· Εἰ φύσις Χριστοῦ μόνη θεότης ἐστὶν, ἀκόλουθον λοιπὸν, λέγειν, ὅτι γέννησις Χριστοῦ μόνης θεότητος, καὶ αὔξησις Χριστοῦ μόνης θεότητος, νηπιότης Χριστοῦ μόνης θεότητός ἐστι, σπαργάνωσις Χριστοῦ μόνης θεότητος, ψηλάφησις Χριστοῦ μόνης θεότητος, πεῖνα, καὶ δίψα, καὶ κόπος, καὶ ἀγωνία, καὶ πτύσμα, καὶ αἷμα, καὶ δάκρυον Χριστοῦ μόνης θεότητος, σταύρωσις Χριστοῦ μόνης D θεότητος. Καὶ ποῖος, εἰπέ μοι, ἄνθρωπος, ἢ δαίμων, τι τοιούτων τολμήσει εἰπεῖν; Οὐκοῦν ἀσεβεῖ Τιμόθεος λέγων, « Φύσις τοῦ Χριστοῦ, μόνη θεότης ἐστὶ, καὶ μετὰ σάρκωσιν. » Εἰ γὰρ μόνη θεότης ἐστὶν ὁ Χριστὸς, ἡ δὲ θεότης ἀόρατός ἐστι, καὶ ἀψηλάφητος, καὶ ἄθυτος, καὶ ἀμέλιστος, καὶ ἄδρωτος, πρόδηλός ἐστιν ὁ Τιμόθεος ἀρνούμενος, ὥσπερ οἱ Ἰουδαῖοι τὴν θυσίαν καὶ κοινωνίαν τῶν ἁγίων μυστηρίων, καὶ μὴ πιστεύων, μήτε ὁμολογῶν ἐν ἀληθείᾳ σῶμα, καὶ αἷμα ὁρατὸν, καὶ κτιστὸν, καὶ γηγενὲς Χριστοῦ εἶναι· ὃ προσφέρων μεταδίδωσι τῷ λαῷ λέγων· « Σῶμα καὶ αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. » Εἰ γὰρ φύσιν Χριστοῦ

[27] Psal. xxxi, 6; Joan. x, 35.

μόνην θεότητα εἶναι λέγει, ἀλλότριον δὲ θείας φύσεως τὸ κρατεῖσθαι, καὶ κλᾶσθαι, καὶ μερίζεσθαι, καὶ θρύβεσθαι, καὶ ἐκχεῖσθαι, καὶ κενοῦσθαι, καὶ μεταβάλλεσθαι, καὶ ὑπὸ ὀδόντων κατατέμνεσθαι, εἰς ἓν ἐκ τῶν ὁποτέρων βόθρων ὁ Τιμόθεος πίπτει· ἢ παθητὸν καὶ ῥευστὸν λέγων τὸ Θεῖον, ἢ ἀρνούμενος τὸ σῶμα, καὶ αἷμα Χριστοῦ, ὅπερ προσάγει, καὶ ἐσθίει ἐπὶ τῆς μυστικῆς θυσίας, καὶ μεταδίδωσι λέγων τῷ λαῷ· « Σῶμα καὶ αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. » Ἐχρῆν γὰρ αὐτὸν μᾶλλον πρὸς τὸν μεταλαμβάνοντα λέγειν· « Θεότης μόνη τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. » Λοιπὸν μῦθος παρὰ τῷ Τιμοθέῳ ὁ τῆς σαρκώσεως λόγος.

A tum et terrestre esse, quod offerens tradit his verbis populo: « Corpus et sanguis Domini et Dei, et Salvatoris Jesu Christi. » Si enim solam divinitatem naturam Christi esse asserit, teneri autem, et frangi, et dividi, et in partes distribui, et effundi, et exhauriri, et transmutari, et dentibns conteri, a divinitate prorsus abhorret, in alterutram foveam Timotheus incidat oportet; ut aut divinitatem passibilem et mutabilem statuat, aut neget corpus et sanguinem Christi, quæ offert et manducat in mystica mensa, traditque his verbis populo: « Corpus et sanguis Domini nostri Jesu Christi. » Debebat enim potius sumentem ita alloqui: « Sola divinitas Domini nostri Jesu Christi. » Verumenimvero incarnatio apud Timotheum fabulæ locum obtinet.

Ἀλλ' ἄπαγε. Ἡ γὰρ σὰρξ οὐκ ἔστι θεότης, καθὰ ὁ τρισμακάριος Ἀθανάσιός φησιν, ὧδέ πως λέγων· « Οὐ γὰρ ἦν τὸ σῶμα ὁ Λόγος, ἀλλὰ σῶμα ἦν τοῦ Λόγου. » Καὶ πάλιν ὁ αὐτὸς τὸ διάφορον τῶν οὐσιῶν τοῦ Χριστοῦ κηρύττων, κατεγκαλεῖ τισι βοῶν· « Ποῖος ᾅδης ἠρεύξατο τὴν φωνὴν, τὴν λέγουσαν, ὁμοούσιον εἶναι τὸ σῶμα καὶ τὸν Θεὸν Λόγον; Εἰ δὲ οὐχ ὁμοούσιον, ἑτέρα παντὸς [πάντως] καὶ ἑτέρα φύσις ἐστὶ, καθ' ἃ ὁ πάνσοφος Κύριλλος πρὸς Εὐλόγιον τὸν οἰκεῖον αὐτοῦ τοποποιὸν εἴρηκεν ὄντα ἐν Κωνσταντινουπόλει. Εἰ δὲ ἑτέρα καὶ ἑτέρα φύσις ὁρᾶται ἐν Χριστῷ, οὐκ ἔστιν ἡ οὐσία αὐτοῦ μόνη τοῦ Λόγου. Εἰ δὲ οὐκ ἔστι μόνη τοῦ Λόγου ἡ Χριστοῦ φύσις, ψεύστης ἐστὶ Τιμόθεος λέγων, ὅτι φύσις Χριστοῦ μόνη θεότης, εἰ καὶ σεσάρκωται. »

B Sed valeat. Caro non est divinitas, ut beatissimus Athanasius affirmat sic alicubi scribens: « Corpus non erat Verbum; sed corpus erat Verbi. » Iterum idem diversitatem substantiarum docens, his verbis quosdam objurgat. « Quis orcus eructavit vocem illam, quæ ait corpus et Verbum Dei ejusdem esse substantiæ? Si vero non sunt ejusdem substantiæ, alia igitur et alia est natura, quemadmodum sapientissimus Cyrillus ad Eulogium suum vicarium Constantinopoli versantem scripsit. Si vero alia et alia est in Christo natura, igitur natura illius non est sola natura Verbi. Si ergo natura Verbi non est sola natura Christi, mentitur igitur Timotheus, Christi naturam esse solam divinitatem, etiamsi incarnatus sit. »

Ὁ ἑτερόδοξός φησιν, οὐκ ἀπαρνούμενος ὁ Τιμόθεος ἢ Σευῆρος τὴν σάρκωσιν τοῦ Χριστοῦ, μίαν φύσιν ἐπ' αὐτοῦ κηρύττουσιν. Ἀλλὰ τοῖς ἁγίοις Πατράσιν ἑπόμενοι· ὁ μὲν γὰρ μακάριος Γρηγόριος ὁ Θεολόγος φησὶν, ὅτι ὁμόθεον γέγονε τὸ σῶμα τῷ Θεῷ Λόγῳ, καὶ τοιοῦτον ἀπετελέσθη, οἷον καὶ τὸ θεῶσαν αὐτό. Ὁ δὲ θεόσοφος Νυσσαεὺς καὶ ὑποδείγματι κέχρηται ἐπὶ τῇ θεώσει καὶ μεταστοιχειώσει τοῦ παναγίου σώματος τοῦ Χριστοῦ φάσκων, ὅτι « Καθάπερ σταγὼν ὄξους βληθεῖσα ἐν τῷ πελάγει τῆς θαλάττης, οὐκέτι ἐστὶν ἐν τοῖς ἰδίοις τοῦ ὄξους ἰδιώμασιν· ἀλλὰ μετεποιήθη καὶ συνεκράθη εἰς τοῦ πελάγους τῶν ὑδάτων ἴδίωμα· οὕτω δὴ καὶ τὸ πανάγιον ἐκεῖνο σῶμα συνανακραθὲν τῇ θεότητι, οὐκέτι ἐστὶν ἐν τοῖς τῆς σαρκὸς ἰδιώμασιν. »

C Non abnuit hæreticus ex Timothei et Severi sententia, incarnationem Christi in una natura sitam esse; sed addit hoc ab illis factum, imitatione sanctorum Patrum, **105** cum beatus Gregorius Theologus asserat corpus ad similem cum Verbo divino deitatem evectum esse; Nyssenus insuper exemplum adducat, vel declaret, quomodo sacratissimum Christi corpus in divinitatem conversum fuerit, sic inquiens: « Quemadmodum aceti gutta in mare projecta non retinet amplius aceti proprietates; sed transmutatur induitque proprietates aquæ: sic et sanctissimum illud corpus cum divinitate commistum non habet amplius proprietates carnis. »

Ὁ ΟΡΘΟΔΟΞΟΣ. Τὴν αὐτὴν πάλιν γνώμην σοῦ ἡμῖν προβαλλομένου, λέγω δὴ τὴν ἀναίρεσιν τῆς ἐνσάρκου οἰκονομίας, ἀνάγκη καὶ ἡμᾶς τοῖς ἤδη προειρημένοις χρήσασθαι καὶ νῦν ῥήμασιν. Εἰ γὰρ τοιοῦτον γέγονε τὸ ἅγιον σῶμα, οἷος ὁ θεώσας αὐτὸ Θεὸς Λόγος, καὶ οὐκ ἔτι ἐστὶν ἐν τοῖς τῆς ἀνθρωπίνης φύσεως ἰδιώμασι, πρόδηλον λοιπὸν, ὅτι οὐκέτι ἐστὶ περιγραπτὸν, οὐκέτι ἐστὶ μεταβατικὸν, οὐκέτι ἐστὶν ἐκπορευτὸν, οὐκέτι ἐστὶ ψηλαφητὸν, οὐκέτι ἐστὶν ὁρατὸν, οὐκέτι σχῆμα ἀνθρώπου ἔχει Χριστὸς, οὐκέτι χεῖρας, οὐκέτι πόδας, οὐκέτι σῶμα, οὐκέτι πλευράν· καὶ πῶς λέγει, « Ὄψονται, εἰς ὃν ἐξεκέντησαν; » Εἰ γὰρ οὐκέτι ἐστὶ τὸ σῶμα Χριστοῦ ἐν οἵῳ δή ποτε ἀνθρωπίνῳ ἰδιώματι, ἀλλὰ μετεστοιχειώθη εἰς τὰ

D ORTHODOXUS. Cum iterum nobis sententiam tuam explices, illam dico, quæ divinam incarnationem e medio tollit; necesse est ut et nos eadem, qua antea defensione, utamur. Si enim sacrum Christi corpus ejusmodi effectum est, cujusmodi erat Verbum divinum, a quo deificationem accepit, ita ut jam humanæ naturæ proprietatibus careat, manifestum est illud jam non esse amplius circumscriptum, neque de loco ad locum mobile; neque ire aut exire aptum, neque tactile, neque aspectabile; neque humana figura constabit Christus, neque amplius habebit membra, neque manus, neque pedes, neque corpus, neque latus; et quomodo ait propheta: « Videbunt in quem transfixe-

runt [28]? » Si enim corpus Christi nulla omnino amplius proprietate humana præditum est; sed prorsus in attributa immensæ divinitatis concessit, qua tandem ratione ait discipulis post resurrectionem suam, corpore jam in incorruptionem transmutato : « Palpate me, et videte, quia spiritus carnem et ossa non habet, sicut me videtis habere [29]. » Quomodo fixuras clavorum contrectavit Thomas [30]; de quibus idem Nyssenus ita : « Considera, quantum in latus lancea intravit, ut et totam discipuli manum capere potuerit. » Cui concinit quoque divinus Epiphanius. « Dic, Marcion, quomodo panis fractio facta est? num secundum existimationem tantum; an operante corpore, mole sua prædito? »

A τοῦ πελάγους τῆς θεότητος ἰδιώματα, πῶς λέγει τοῖς μαθηταῖς μετὰ τὴν τριήμερον αὐτοῦ ἔγερσιν, καὶ πρὸς ἀφθαρσίαν τοῦ σώματος μεταποίησιν · « Ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα ; » Πῶς τοὺς τύπους τῶν ἥλων ἐψηλάφησεν ὁ Θωμᾶς; περὶ ὧν φησιν ὁ αὐτὸς Νυσσαεὺς οὕτως · « Σκόπησον, ὅσον εἰσέδυ τὸ δόρυ ἐν τῇ πλευρᾷ, ὥστε καὶ χεῖρα ὅλην μαθητοῦ πρὸς ψηλάφησιν δέξασθαι. » ᾧ συμφωνεῖ καὶ ὁ θεόσοφος Ἐπιφάνιος λέγων· « Εἰπὲ, Μαρκίων, πῶς ἡ κλάσις τοῦ ἄρτου γέγονεν ; ἐν φαντασίᾳ, ἢ σώματος ἐνεργοῦντος ὀγκηροῦ ; »

Quod si adversariorum quispiam ad hæc respondeat : Etiam ex sanctorum Patrum numero quosdam nominatim Nyssenum affirmare, carnem Domini non amplius subjectam esse proprietatibus humanis, noverit imperitus et rudis sectarius, sanctos Patres non eodem sensu, quo ipsi solent, hujusmodi loquendi formulas usurpasse. Sed longe diverso. Initio enim conditus est homo a Deo corruptionis expers et immortalis : at per peccatum effectus est corruptibilis, mortalis, materiæ concretioni ac mutationi, interitui, variisque cruciatibus, tristitiæ, laboribus, lacrymis somnoque obnoxius. Divinum igitur Verbum caro factum, assumptam **106** massam nostram emundavit et liberavit ab omnibus incommodis et calamitatibus, quæ ei per peccatum obtigerant. Quando igitur rudis doctorem asserentem Christi carnem non constare amplius proprietatibus carnis, sic accipe: humanam illam naturam a Christo assumptam, non amplius subjacere illis molestiis, quæ corpori nostro ex peccato evenerunt : sed per unionem cum divinitate, et per resurrectionem post triduum factam, sanctissimum Christi corpus in melius commutatum ac reformatum esse; neque jam prioribus corporis conditionibus et affectionibus subdi. Non enim amplius est mortis et corruptionis capax, non mutationis, non laboris ac molestiarum, neque egestatis, sed transmutatum est ex mortalitate in immortalitatem, ex corruptione in incorruptionem; et materiale evasit immateriale; carnale, spirituale; patibile, impatibile; fluxile, omnis fluxus expers; famî obnoxium, supra omnem famem; aqueum, absque aqua; egenum, nullius indigum; spissum, tenue et subtile; temporarium, æternum; non tamen incircumscriptum; non expers figuræ, non immobile, non intactile, non inaspectabile, non increatum, non absque principio. Hæc enim solius divinitatis proprietates sunt.

B Εἰ δὲ πρὸς ταῦτα διαπορεῖ λέγων ὁ δι' ἐναντίας, ὅτι Καὶ πῶς τινες τῶν Πατέρων φάσκουσι, ὥσπερ καὶ ὁ Νυσσαεὺς, μηκέτι εἶναι τὴν σάρκα τοῦ Κυρίου ἐν τοῖς ἀνθρωπίνοις αὐτῆς ἰδιώμασιν, μανθανέτω ὁ ἀπαίδευτος, ὅτι οὐ καθ' ὃ αὐτὸς ὑπολαμβάνει, οἱ ἅγιοι Πατέρες τὰς τοιαύτας φωνὰς εἰρήκασιν, ἀλλὰ κατὰ τόνδε τὸν τρόπον· Ἐν ἀρχῇ ποτε τότε ἄφθαρτος καὶ ἀθάνατος ὑπὸ Θεοῦ γεγονὼς ὁ ἄνθρωπος διὰ τῆς ἁμαρτίας γέγονε φθαρτὸς, καὶ θνητὸς, καὶ ὑλικὸς, καὶ ῥευστὸς, καὶ βρωτὸς, καὶ πολυπαθὴς, καὶ ἔλλυπος, καὶ ἔγκοπος, καὶ ἔνδακρυς, καὶ ὑπνηλός. Σαρκωθεὶς οὖν ὁ Θεὸς Λόγος, καὶ λαβὼν τὸ ἡμέτερον φύραμα, ἀνεκάθαρε καὶ ἠλευθέρωσεν αὐτὸ πάντων τῶν προσγενομένων αὐτῷ διὰ τῆς ἁμαρτίας ἰδιωμάτων καὶ παθημάτων. Ὅτ' ἂν οὖν ἀκούσῃς διδασκάλου λέγοντος, μηκέτι εἶναι τὴν σάρκα τοῦ Χριστοῦ ἐν τοῖς τῆς σαρκὸς ἰδιώμασιν, οὕτω νόησον, ὅτι οὐκέτι ἐστὶν ὁ κατ' αὐτὸν νοούμενος ἄνθρωπος ἐν τοῖς διὰ τῆς ἁμαρτίας προσγενομένοις τῷ ἡμετέρῳ σώματι φθαρτοῖς πράγμασιν, ἀλλὰ μετεστοιχειώθη διὰ τῆς ἑνώσεως τῆς θεότητος καὶ τῆς τριημέρου ἐγέρσεως τὸ πανάγιον αὐτοῦ σῶμα ἐπὶ τὸ κρεῖττον, καὶ οὐκέτι ἐστὶν ἐν τοῖς προτέροις ἰδιώμασιν. Οὐκέτι ἐστὶ θνητὸν, οὐδὲ φθαρτὸν, οὐδὲ ῥευστὸν, οὐδὲ ἔγκοπον, οὔτε ἐνδεές · ἀλλὰ μετεποιήθη ἀπὸ θνητοῦ εἰς ἀθάνατον, ἀπὸ φθαρτοῦ εἰς ἄφθαρτον, καὶ γέγονε τὸ ὑλικὸν ἄϋλον, τὸ σαρκικὸν πνευματικὸν, τὸ παθητὸν ἀπαθὲς, τὸ ῥευστὸν ἄρευστον, τὸ ἔμπεινον ἄπεινον, τὸ ἔνυδρον ἄνυδρον, τὸ ἐνδεὲς ἀνενδεὲς, τὸ παχυμερὲς λεπτομερὲς, τὸ πρόσκαιρον αἰώνιον · οὐ μέντοι καὶ ἀπερίγραπτον, οὐδὲ ἀσχημάτιστον, οὔτε ἀμετάστατον, οὔτε ἀψηλάφητον, οὔτε ἀόρατον, οὔτε ἄκτιστον, οὔτε ἄναρχον · ταῦτα γὰρ μόνης θεότητός εἰσιν ἰδιώματα.

Igitur sancti Patres pie et orthodoxe Christi corpus illis proprietatibus carere tradunt, quæ ex peccato exstiterunt, non illis, quas initio creationis suæ habuit Adamus a Deo conditus. Sic nimirum sanctorum Patrum dicta accipi debent. Quantum igitur fieri poterat, et corporis natura ferebat, mutatum est ex hypostatica cum divinitate unione, ut

Οὐκοῦν ὁ εὐσεβὴς καὶ ὀρθόδοξος τῶν Πατέρων λόγος οὐκ οἶδε νῦν τὸ πανάγιον Χριστοῦ σῶμα ἐν τοῖς παρεισάκτοις διὰ τῆς παρακοῆς φυσικοῖς ἡμῶν ἰδιώμασιν, ἀλλὰ τοῖς πρὸ τῆς ἁμαρτίας θεοκτίστοις τοῦ Ἀδὰμ κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν πράγμασιν. Οὕτως εὐσεβῶς νοητέον καὶ ἐκληπτέον τὰς τῶν Πατέρων φωνάς. Ὅσον μὲν γὰρ ἦν δυνατὸν καὶ δεκτι-

[28] Zachar. XII, 10. [29] Luc. XXIV, 39. [30] Joan. XX, 24 seqq.

κὸν τὸ πανάγιον σῶμα, μετέβαλεν ἐκ τῆς καθ' ὑπόστασιν αὐτῷ ἡνωμένης τοῦ Λόγου θεότητος, ἵνα τὸ μοναδικὸν τοῦ προσώπου Χριστοῦ μάθωμεν· τινῶν δὲ καὶ ἀμέτοχον γέγονεν, ἵνα τὸ διάφορον διδαχθῶμεν τῶν φύσεων. Καὶ διὰ τοῦτο, εἰ καὶ ἡνώθη τῷ ἀπερι-γράπτῳ Θεῷ Λόγῳ ἡ σὰρξ, οὐ γέγονεν ἀπερίγραπτος, οὔτε ἀΐδιος, εἰ καὶ τῷ ἀϊδίῳ γέγονε σύζυγος, οὔτε μὴν ἀόρατος, εἰ καὶ τὸν ἀόρατον ἔνδον φέρει, οὔτε μὴν ἀσχημάτιστος, εἰ καὶ ἐν ἀσχηματίστῳ τὴν ὕπαρξιν ἔλαβεν, οὔτε ἄκτιστος, εἰ καὶ ἐξ ἀκτίστου εἰς κτίσιν ἦλθεν, καὶ τοῦτον ἐν ἑαυτῇ ἀδιάστατον ἔχει. Εἰ δὲ ξηραῖς καὶ ἀδασανίστοις προσέχεις ταῖς γραφικαῖς καὶ διδασκαλικαῖς φωναῖς, πολλαῖς καὶ ἐλεθρίαις ἀτοπίαις περιπίπτεις, καὶ τοῦτο εὐθέως ἐκ τῆς προκειμένης τοῦ πανσόφου Γρηγορίου φωνῆς ἀποδείξω. Ἰδοὺ ὡς σταγόνα ὄξους τὴν ἡμετέραν φύσιν ἔφησεν ἀνακραθεῖσαν τῷ πελάγει τῆς θαλάττης. Εὔδηλον, ὅτι ἀόρατος λοιπὸν, καὶ ἀνύπαρκτος, καὶ ἀψηλάφητος γίνεται. Εἰ οὖν τὸ Κυριακὸν σῶμα τῇ πρὸς τὸ πέλαγος τῆς θεότητος ἑνώσει ἀόρατον γέγονεν, ἀόρατον δὲ φύσει, καὶ ἀψηλάφητον ὑπάρχει, καὶ τὸ τῆς θεότητος πέλαγος, ἆρα ἂν φαντασία λοιπὸν καὶ δόκησις εὑρεθήσεται πᾶσα ἡ ἐπὶ γῆς διαγωγὴ τοῦ Χριστοῦ, ἀπ' αὐτῆς τῆς ἐκ Παρθένου γεννήσεως, καὶ καθεξῆς μέχρι τῆς αὐτοῦ εἰς οὐρανοὺς ἀναλήψεως. Οὐκοῦν οὐ συγχύσει πραγμάτων, ἀλλὰ παραβολῇ ὑποδειγμάτων ὁ θεῖος Γρηγόριος τῇ προσηγορίᾳ τοῦ ὄξους καὶ τῆς θαλάττης ἐχρήσατο, τὸ εὐτελὲς τῆς ἡμετέρας φύσεως πρὸς τὸ ἄπειρον μέγεθος τοῦ ἀκαταλήπτου πελάγους τῆς θεότητος ἐνδεικνύμενος. Οὐ γὰρ ἂν σύγκρασιν καὶ ἀφανισμὸν κηρύττειν ἔμελλε τῶν Χριστοῦ φύσεων ὁ πρὸς Εὐνόμιον λέγων, ὅτι «Ποία φύσις Χριστοῦ ἐπὶ τοῦ πάθους ῥαπίζεται; καὶ ποία ἐξ ἀϊδίου δοξάζεται;» Φανερὰ γὰρ ταῦτά φησιν ὁ Πατήρ, κἂν μή τις ἑρμηνεύσει τῷ λόγῳ, ὅτι αἱ μὲν ὕβρεις τοῦ δούλου εἰσὶν, ἐν ᾧ ὁ Δεσπότης· ἡ δὲ τιμὴ τοῦ Δεσπότου, περὶ ὃν ὁ δοῦλος. Ταῦτα ὁ διδάσκαλος λέγων, καὶ δοῦλον ὀνομάσας τὴν σάρκα, ἤγουν τὴν μορφὴν τοῦ δούλου, πῶς λοιπὸν αὐτὴν ἀφανισθεῖσαν καὶ συγχυθεῖσαν ὡς σταγόνα ὄξους ἐν πελάγει ἠδύνατο λέγειν; Ὥστε οὐ πρὸς σύγχυσιν, ἀλλὰ πρὸς ἄκραν ἕνωσιν τὸ ὑπόδειγμα αὐτοῦ ὁρᾷ.

A unitatem personæ disceremus. In quorumdam vero communionem non est admissum, ut diversitatem naturæ inde cognosceremus. Quapropter licet incircumscripto Deo Verbo sit unita caro; non tamen incircumscripta evasit; neque æterna, quantumvis cum æterno jugata: neque inaspectabilis, etiamsi inaspectabilem, quasi intus circumferat, neque figuræ expers, quanquam in figuræ experte subsistentiam acceperit; neque increata, licet increati beneficio inter creaturas numeretur, hunc que indivulse in se contineat. Quod si ad nuda Scripturæ et doctorum verba attendas, absque ulla disquisitione et examine, in multas et perniciosas absurditates incidas oportet. Et hoc confestim ex allato sapientissimi Gregorii testimonio planum faciam. B Ecce, naturam nostram ait, ut guttam aceti, divinitatis pelago commistam esse. At clarum est omnem guttam in mare injectam evanescere, et desinere esse, neque amplius sub tactum cadere. Si igitur corpus Domini per unionem, cum divinitatis quasi immenso mari, inaspectabile effectum est; natura autem sua **107** divinitatis pelagus, nec sub aspectum, nec sub tactum venit; omnis igitur Christi in terris conversatio et actio nihil aliud fuerit, quam phantasia quædam, et inanis persuasio, ab ortu ex Virginis utero, et deinceps usque ad ascensionem in cœlos. Divinus ergo Gregorius mentionem fecit pelagi, et aceti, non ut res ipsas confunderet, sed ut exemplo aliquo tenuitatem et C parvitatem naturæ nostræ cum infinito et incomprehenso illo divinitatis pelago comparatæ demonstraret. Neque enim credibile est eum confusionem et abolitionem naturarum in Christo introducere voluisse, qui hæc adversus Eunomium scribit. « Quænam Christi natura in passione colaphis cæditur? Et quæ ab æterno glorificatur? » Planum porro est, quid sibi voluerit iste Pater, licet nulla accedat interpretatio; nempe injurias illas redundasse in servum, in quo Dominus habitabat; gloriam vero et honorem in Dominum, quem servus circumdabat. Cum hæc doctor asserat, carnemque servum, aut formam servi appellarit, qua tandem ratione dicere potuit, carnem evanuisse et commistam fuisse instar guttæ in vasto pelago? Itaque non ad confusionem, sed ad summam unionem declarandam exemplum ejus spectat.

Ο ΑΙΡΕΤΙΚΟΣ πρὸς ταῦτα. Οὐκ ἀπαρνούμενοι οἱ Πατέρες τὴν τοῦ Χριστοῦ σάρκα, τὰς τοιαύτας εἰρήκασι φωνὰς, ἀλλὰ τῇ τοῦ κρείττονος ἐκνικήσει καὶ θεώσει, ὅθεν καὶ ὁ ἀποστολικὸς Πατὴρ Διονύσιος ὁ Ἀρεοπαγίτης, πάντα τὰ ἀνθρώπινα, καὶ φυσικὰ, καὶ ἀδιάβλητα ἡμῶν ὑπὲρ φύσιν, καὶ οὐ κατὰ φύσιν λέγει εἶναι ἐν τῷ Χριστῷ. Φησὶ γὰρ ἐν ταῖς θεολογικαῖς αὐτοῦ στοιχειώσεσι, ὡς ἐξ Ἱεροθέου τοῦ ἀγιωτάτου, οὕτως περὶ Χριστοῦ· « Τὸ δὲ πάντων καινὸν, καινότατον, ὅτι ἐν τοῖς φυσικοῖς ἡμῶν ὑπὲρ φύσιν ἦν· ἐν τοῖς κατ' οὐσίαν, ὑπερούσιος, πάντα τὰ ἡμῶν ἐξ ἡμῶν ὑπὲρ ἡμᾶς ὑπερέχων. » Ὅθεν καὶ πρὸς Γάϊον ἐπιστέλλων ὁ αὐτὸς Πατὴρ φάσκει, ὅτι « Οὐ

D HÆRETICUS. Sancti Patres hujusmodi vocibus usi sunt, non ut carnem Christi negarent; sed ut ostenderent id, quo excellentius est prævaluisse; alterumque, quod minus est præstans, Deitate sua donasse. Unde etiam apostolicus Pater Dionysius Areopagita ait: « Omnia humana, quæ ex natura profluunt, neque digna, quæ repudientur, esse in Christo supra naturam, non secundum naturam. » Nam in Theologicis suis initiamentis, quasi ex sanctissimi Hierothei persona ita de Christo scribit: « Omnium mirabilium mirificissimum est, eum in his, quæ nobis sunt naturalia, supra naturam fuisse; et in his, quæ sunt secundum substantiam

supra substantiam, ita ut in omnibus nostris, et quæ ex nostris acceperat, supra nos excelleret. » Quare idem Pater in Epist. ad Gaium ait : « Christum non secundum hominem actiones humanas et humana egisse. »

κατὰ ἄνθρωπον ὁ Χριστὸς ἐνήργει τὰ ἀνθρώπινα καὶ φυσικὰ ἡμῶν πράγματα, ἀλλ' ὑπὲρ ἄνθρωπον λοιπὸν τὰ ἀνθρώπινα ἔπραττεν. »

naturales exercuisse; sed supra hominem omnia

ORTHODOXUS. In omnibus quidem divinæ Scripturæ locis indiget homo reverentia et timore Dei, maxime vero, ubi sermo est de Deo. Et hæretici quidem similes sunt monoculis; quædam enim Patrum dicta intelligunt, alia vero prætereunt. Nam Pater iste, qui dixerat, Christum omnia nostra supra nos habuisse, in capite de unione et discretione etiam asseruerat : Christum ex Virginis sanguine incarnatum esse : quod rudibus ac indoctis admodum crasse dictum videtur, quasi apud alios Patres prorsus inauditum. Par igitur erat, ut omnia hujus Patris verba reverenter **108** recitarentur. Si enim Christus prorsus nihil naturalium secundum nos similitudine quadam habuit, sed omnia supra nos, mentitur ergo Paulus [31], cum ait factum ex semine David secundum carnem absque semine, et, « cum pueris communicasse carni et sanguini [32], » et, « tentatum per omnia pro similitudine absque peccato [33]. »

Ο ΟΡΘΟΔΟΞΟΣ. Ἐν πάσαις μὲν ταῖς θείαις καὶ ἱεραῖς Γραφαῖς, καὶ ἀναγνώσεσι τῆς θείας εὐλαβείας, καὶ φόβου Θεοῦ δέεται ὁ ἄνθρωπος, πολλῷ πλέον δὲ ἐν τοῖς περὶ Θεοῦ ῥήμασί τε καὶ κηρύγμασιν. Ἀλλ' οἱ αἱρετικῶν παῖδες ἐοίκασιν μονοφθάλμοις τισὶν ἀνθρώποις, τὰ μὲν τῶν Πατέρων καθορῶντες, τὰ δὲ παρορῶντες. Ὁ γὰρ Πατὴρ οὗτως εἰπὼν, ὅτι πάντα τὰ καθ' ἡμᾶς ὑπὲρ ἡμᾶς εἶχεν ὁ Χριστὸς, ὁ αὐτὸς πάλιν εἴρηκεν, ἐν τῷ περὶ ἑνώσεως καὶ διακρίσεως κεφαλαίῳ, ὅτι ἐκ Παρθενικῶν αἱμάτων ἐσαρκώθη · ὅπερ παχύ τι ῥῆμα, καὶ τοῖς ἰδιώταις βαρὺ καταφαίνεται, ὡς μὴ ῥηθὲν ὑφ' ἑτέρου τινὸς τῶν διδασκάλων. Οὐκοῦν ἐχρῆν πάντα τὰ τοῦ Πατρὸς ῥήματα, εὐσεβῶς ἐκλαμβάνειν. Εἰ γὰρ οὐδὲν τῶν καθ' ἡμᾶς φυσικῶν εἶχεν καθ' ὁμοιότητα ἡμῶν ὁ Χριστὸς, ἀλλὰ πάντα ὑπὲρ ἡμᾶς, ψεύδεται Παῦλος λέγων, αὐτὸν γενόμενον ἄνθρωπον ἐκ σπέρματος Δαυὶδ τὸ κατὰ σάρκα ἀστόρως, καὶ « πρὸς τὰ παιδία κεκοινωνηκέναι σαρκὸς καὶ αἵματος, » καὶ « πεπειραμένον κατὰ πάντα τρόπον καθ' ἡμᾶς δίχα μόνης τῆς ἁμαρτίας. »

Scholium. Cum igitur pueri communicaverint carni, et sanguini, videre mihi videor, undenam Dionysius Pauli discipulus hanc loquendi formulam acceperit.

Σχόλιον. Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, δοκεῖ μοι, ἔνθεν ἔλαβεν ὁ Διονύσιος τὴν φωνὴν, ὡς Παύλου γενόμενος μαθητής.

Si ergo Christus factus est homo in similitudinem hominum secundum nos, sequitur non omnia, quæ in nobis sunt, supra nos in ipso fuisse. Et si omnia nostra expertus est, excepto solo peccato, ut Paulus affirmat; sique, quoad humana, non secundum hominem, sed supra hominem erat: quo pacto asserit eum ejusdem esse nobiscum substantiæ quod ad humanitatem attinet? Nam esse ejusdem substantiæ nihil aliud est, quam in iisdem naturalibus proprietatibus invariabilis convenientia. Ergo minime negare voluit Dionysius, corpus Christi ejusdem nobiscum esse substantiæ, ut arbitrantur hæretici, quando dixit : « Omnia, quæ natura nobis insunt, esse in Christo supra naturam; et Christum secundum hominem humana non agere; » sed hoc ideo affirmavit, quia corpus illud non erat ex semine, sed ex divino Verbo, cumque Verbo divino hypostatice, etiam in utero matris, humana nostra animæ et corporis massa subsistebat, et quidem perfecta; et de cætero cum Deo subsistens divinum quiddam per divinitatis participationem evasit. Quo fit ut humana non habuerit nude, hominum instar; sed Dei simul et hominum more, *theandrice* quidem, hoc est, divino simul ac humano modo, et indivulse in una singulari Christi persona subsistentia; at nihilominus utriusque naturæ proprietatem inconfusam conservantia; quæ manifesto indicio sunt, Christum in sua incarnatione, nonnulla

Εἰ οὖν ἐν ὁμοιώματι ἀνθρώπων γέγονεν ἄνθρωπος, καθ' ἡμᾶς ἦν · εἴγε πεπείραται τῶν ἡμετέρων δίχα μόνης τῆς ἁμαρτίας, ὡς Παῦλος νομοθετεῖ. Εἰ δὲ ἐν πᾶσι τοῖς ἀνθρωπίνοις, οὐ κατὰ ἄνθρωπον, ἀλλ' ὑπὲρ ἄνθρωπον ἦν, πῶς δυνατὸν λέγειν, αὐτὸν ὁμοούσιον ἡμῶν εἶναι κατὰ τὴν ἀνθρωπότητα; Ὁμοουσιότης γὰρ κυρίως ἐστὶν ἡ τῶν φυσικῶν ἰδιωμάτων τοῦ ὁμοφυοῦς ἀπαράλλακτος ταυτότης. Οὐκοῦν οὐκ ἀπαρνούμενος ὁ Διονύσιος τὸ τοῦ σώματος τοῦ Χριστοῦ πρὸς ἡμᾶς ὁμοούσιον, καθάπερ οἱ αἱρετικοὶ νομίζετε, εἴρηκε τὸ, « Ἐν πᾶσι τοῖς φυσικοῖς ἡμῶν, ὑπὲρ φύσιν αὐτῶν εἶναι, καὶ οὐ κατὰ ἄνθρωπον ἐνεργεῖν τὰ ἀνθρώπινα, » ἀλλὰ δι' ὅτι οὐκ ἀπὸ σπορᾶς, ἀλλ' ἐκ τοῦ Θεοῦ Λόγου, καὶ σὺν τῷ Θεῷ Λόγῳ καθ' ὑπόστασιν ἐν τῇ μήτρᾳ ὑπέστη τὸ ἀνθρώπινον ἡμῶν τῆς ψυχῆς, καὶ τοῦ σώματος τέλειον φύραμα · καὶ λοιπὸν σὺν Θεῷ ὑποστὰν, καὶ ἔνθεον καὶ σύνθεον γεγονὸς, οὐ ψιλάνθρωπα εἶχε τὰ ἀνθρώπινα, ἀλλὰ *θεανδρικῶς* μὲν, καὶ ἀδιαστάτως τυγχάνοντα ἐν τῷ μοναδικῷ προσώπῳ Χριστοῦ. Ὅμως φυλάττοντα ἀσύγχυτον ἑκατέρων τὴν οἰκείαν ἰδιότητα, καὶ δηλοῦντα σαφῶς, ὅτι τὰ μὲν τῶν φυσικῶν καὶ ἀδιαβλήτων ἡμῶν πραγμάτων ὁ Χριστὸς ἐν τῇ οἰκείᾳ σαρκώσει πεποίηκεν ὑπὲρ ἄνθρωπον, τὰ δὲ κατὰ ἄνθρωπον καὶ κατὰ τὸν νόμον τὸν κοινὸν τῆς ἡμῶν φύσεως · τινὰ δὲ πάλιν, καὶ ταπεινοτέρως τῶν ἡμετέρων πραγμάτων ἐν τῇ οἰκείᾳ σαρκὶ διεπράξατο, ἵνα τὰ τῶν αἱρετικῶν ἐμφράξῃ στόματα. Τὸ γὰρ ὀφθῆναι τὸ εἶδος Χριστοῦ

[31] Rom. I, 3. [32] Hebr. II, 14. [33] Hebr. IV, 15.

ἐν τῷ σταυρῷ ἄτιμον, καὶ « ἐκλεῖπον ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων, » ὡς φησιν ὁ Ἡσαΐας · καὶ πάλιν, τὸ ὀφθῆναι ἄγγελον ἐνισχύοντα αὐτόν · καὶ τὸ πρὸ τῶν λῃστῶν τελευτῆσαι αὐτὸν ἐκ τῆς ὀδύνης τῶν ἥλων ἑκουσίως · καὶ τὸ μώλωπας καὶ τύπους τραυμάτων δεῖξαι ἐν ἀφθάρτῳ σώματι, καὶ τὸ ἐν εὐτελεστάτῃ μορφῇ κηπωροῦ ὁρᾶσθαι φύσιν ἀθανάτου καὶ πνευματικοῦ σώματος · καὶ τὸ ἐπὶ τεσσαράκοντα ἡμέρας συναυλίζεσθαι, καὶ ἐσθίειν, καὶ πίνειν, καὶ συνδιαιτᾶσθαι βροτοῖς καὶ φθαρτοῖς ἀνθρώποις, τὴν ἄχραντον ἐκείνην, καὶ ἔνθεον, καὶ ἀνενδεῆ, καὶ ἄϋλον, καὶ ἀθάνατον τοῦ Δεσποτικοῦ σώματος, μετὰ τὴν ἀνάστασιν, φύσιν, ὄντως πάνυ πτωχείας τινὸς, καὶ συγκαταβάσεως, καὶ εὐτελείας, καὶ ταπεινώσεως μὴ ἁρμοζούσης τῇ ἀθανάτῳ φύσει, τοῦ παναγίου ἐκείνου σώματος Χριστοῦ τυγχάνει. Ταῦτα γὰρ ἅπαντα οὐκ εἰσὶν ὑπὲρ ἄνθρωπον, ἀλλὰ καὶ μᾶλλον πτωχότερα τῆς καθ' ἡμᾶς φύσεως. Οὐδεὶς γὰρ ἀνθρώπων ἐκ νεκρῶν ἐν τῇ ἀναστάσει ἐγειρόμενος, τοῦ λοιποῦ ἐσθίει, καὶ πίνει βρωσιν ἰχθύων ὀπτῶν, ἢ ἀπὸ μελισσίου κηρίον. Οὐδεὶς δίκαιος, οὔτε δὲ ἁμαρτωλὸς ἀνίσταται ἔχων ἐν τῷ σώματι μώλωπας, καὶ οὐλὰς, καὶ τραυμάτων τύπους. Οὐδεὶς δίκαιος ἐν εὐτελεστάτῃ μορφῇ κηπωροῦ ἐκ νεκρῶν ἀνίσταται, εἴγε τότε οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος.

A ex iis, quæ natura nobis insunt, nec detrectari aut repudiari queunt, egisse supra hominem; quædam vero secundum hominem et ex naturæ nostræ communi præscripto : quædam vero nostrarum rerum abjectius et contemptius peregit, ut hæreticorum ora obturaret. Nam quod in cruce species ejus inhonora est visa, et « deficiens super filios hominum, » ut Isaias ait [34] : quodque angelus ipsum confortans apparuit [35] ; et præ dolore crucifixionis sponte ante latrones animam efflavit [36], vibicesque et signa vulnerum in immortali quoque corpore monstravit [37] : et in vili hortulani figura **109** sese ostendit [38], cum jam immortali et spirituali corpore præditus esset; quodque quadraginta dies cum mortalibus versari, manducare et bibere voluit [39], post resurrectionem natura illa Dominici corporis divina, nullius indiga, spiritualis et immortalis, id revera egestatis cujusdam et demissionis, et vilitatis et humilitatis sanctissimo illi corpori nequaquam convenientis argumentum est. Hæc enim omnia non erant supra hominem, sed potius indigentiæ, cui natura nostra subjacet, indicia. Nullus enim hominum in resurrectione a mortuis excitatus amplius comedit, ac bibit, aut esu piscium assatorum, aut favi mellis opus habet.

B Nullus neque ex injustorum numero resurgit adhuc insignitus. Nullus justorum in simplicissima vibicibus, cicatricibus et signis vulnerum in corpore hortulani specie resurgit; quia tunc justi fulgebunt sicut sol.

Εἰ δὲ λέγει μοι ὁ αἱρετικὸς, ὅτι οἰκονομικῶς ταῦτα Χριστὸς πεποίηκε πρὸς πίστωσιν τῶν μαθητῶν, καὶ εἰς νόμον οὐκ ἀναφέρονται, κἀγώ σοι εὐθέως ἐρῶ, ὅτι οἰκονομικῶς κατῆλθε, καὶ ἐσαρκώθη, καὶ λοιπὸν μὴ λεγέσθω ἀληθὴς ἡ οἰκονομικὴ αὐτοῦ ἐνανθρώπησις. Ἐφεύρεμα γάρ ἐστι τοῦτο πρῶτον τοῦ Μάνεντος. Τὸ γὰρ *οἰκονομικῶς*, ἀντὶ τοῦ *φαντασιωδῶς* ἐφεῦρεν ὁ Μάνης.

C Si objiciat hæreticus : Christum hæc omnia fecisse per dispensationem, ut discipulos in fide corroboraret, neque pro lege haberi debere : ego confestim occurram; Christum etiam per dispensationem de cœlo descendisse, et incarnatum esse; non ergo amplius censeatur vera ejus, quæ per dispensationem contigit, incarnatio. Hoc enim commentum primus excogitavit Manes. Nam vocabulum *æconomice*, seu per dispensationem loco ejus, quod est *phantastice*, perque meram solamque imaginationem et fictionem, invenit Manes.

Δειξάντων τοίνυν ἡμῶν ὅτι τινὰ ὁ Χριστὸς, καὶ εὐτελεστέρως τῶν καθ' ἡμᾶς ἑκουσίως διεπράξατο, καίπερ Θεὸς ἀληθὴς ὑπάρχων, ἀναγκαῖον λοιπὸν εἰπεῖν, καὶ ἅπερ καθ' ὁμοιότητα ἡμῶν κατὰ τὸν νόμον τῆς φύσεως πεποίηκε · καὶ πάλιν, ἅπερ ὑπὲρ ἄνθρωπον, καὶ ὑπὲρ φύσιν, ἐν τοῖς φυσικοῖς ἡμῶν, ὡς Θεὸς καὶ ποιητὴς τῆς φύσεως ἐξειργάσατο, καινοτομήσας τοὺς ὅρους, καὶ τοὺς νόμους, καὶ τὴν τάξιν τῆς ἀνθρωπίνης ἡμῶν φύσεως καὶ ὑπάρξεως. Τὸ μὲν οὖν ἄνθρωπον ἐν τῇ μήτρᾳ τῆς παναγίας Παρθένου, τοῦτο ὑπὲρ ἡμᾶς, καὶ θεία ὡς ἀληθῶς θεοῦ ἐνέργεια. Τὸ δὲ κατὰ πρόσβασιν ἐννεαμηνιαῖον τυχεῖν καὶ ἐξογκοῦσθαι τὸ βρέφος καὶ τὴν κοιλίαν τῆς θεοτόκου Μαρίας, τοῦτο καθ' ἡμᾶς, καὶ τῆς ἡμε-

D Cum itaque demonstratum sit Christum, licet verus Deus esset, quasdam actiones, etiam viliores, quam pro naturæ nostræ conditione, obiisse, necesse est ut jam dicamus quænam egerit, etiam secundum similitudinem nostram, et ex præscripto naturæ nostræ : quæque supra hominem, et supra naturam, tanquam Deus et conditor naturæ operatus fuerit, fines et leges, et ordinem humanæ naturæ nostræ, et subsistentiæ transgressus. Igitur quod absque materia (52) et semine in utero sacratissimæ Virginis homo factus est, id supra nos est, et soli virtuti divinæ ascribendum. At quod novem mensium incremento infans est adauctus, Virginisque uterus intumuit, hoc nobis et nostræ

[34] Isa. LIII, 2. [35] Luc. XXII, 43. [36] Luc. XXIII, 39, 40. [37] Joan. XX, 24 seqq. [38] ibid. 15. [39] Act. 1, 3, 4.

NOTÆ.

(52) Extrinsecus a principio activo subministrata.

naturæ consentaneum est; quia nimirum operatio naturalis est et communis tam uterum, quam partum augere solita. Rursus incorruptum servare post partum virginitatis signaculum, id divinitatis opus est, longe vires nostras excedens. At vero ex utero egredi, et ab illo sejungi, id ad similitudinem nostram Christus fecit, vere infans factus, et natus, et ut Deus carnem indutus. **110** Quapropter statim Virginea ubera supra naturam lacte complevit. Accurrit ad ubera, infantium instar, vagiens secundum legem infantilis naturæ nostræ : secundum similitudinem nostram inviolabilem carnis circumcisionem et abjectionem passus est.

Si enim existimatis Paulum vere de Christo affirmasse, eum nostra omnia omnimodo expertum esse, excepto peccato; plane oportet ut per omnia nostra quasi transierit : ut omnia tanquam Deus per unionem divinitate donaret ac sanctificaret. Itaque cum ex summa illa unione Christus Deus incarnatus esset, sponte sua seipsum humiliavit, seque mundo patefecit per omnia illa humilitatis et abjectionis argumenta, quæ servi formæ competunt, sic tamen, ut a gloria Dei nequaquam excideret. Sponte ad similitudinem nostram novem mensium moram in utero traxit. Ad similitudinem hominum parvulus infans in lucem editus est. Ad similitudinem nostram lac maternum appetiit, et sponte ubera quæsivit. Ad similitudinem hominum post partum velut infans modo infantili, tenello ore balbutivit. Ad similitudinem nostram paulatim humi reptare et manuduci desinens, per se incedere, et loqui edocebatur a matre. More nobis usitato capilli, et ungues procreverunt. More nobis consueto corpus ejus incrementum cepit, circumscriptionemque et crassitiem habuit : neque supra morem nostrum ætate, et mole augescere voluit, ne incarnatio ejus sola phantasia, et inanis fictio existimaretur. Neque corpus illius peregrino modo, aut insolito formatum est; neque supra hominem membrorum figuram habebat. Nam formam servi induit Dominus : igitur et corpus servi : et densitatem servi; carunculamque corruptibilem servi, et speciem servi, spissasque partes servi, et mortalitatem servi, et excretiones servi per oculos, per os, per nares, per sudorem, perque duo illa membra, quibus cibus et potus egeruntur. Neque enim nulli molestiæ obnoxium, aut corruptionis nescium corpus induit, quale erat hominis ante lapsum. Nam id quod molestiæ nulli subjacebat, interitus et mortis expers, nulla medicina egebat. Igitur ægram et male habitam acceptamque carnem meam assumpsit Verbum, corruptibilem videlicet, fluxilem, densam, indigam, mortalem, passibilem, fami, siti et laboribus expositam, ut ab his omnibus illam liberaret.

Quocirca desine pravis interpretationibus Patrum, et Dionysii dicta pervertere. Nam si, ut tu hæretice credis, nihil eorum, quæ nobis a natura insunt, **111** habuit aut egit Christus, manifestum

A τέρας φύσεως φυσική τις καὶ κοινὴ κυήσεως γαστρὸς καὶ σώματος αὐξητικὴ ἐνέργεια. Πάλιν τε τὸ φυλάξαι σώας τὰς σφραγίδας τῆς παρθενίας μετὰ τόκον, τοῦτο θεότητος ἔργον ὑπὲρ ἡμᾶς. Τὸ δὲ, προελθεῖν καὶ χωρισθῆναι τῆς μήτρας, τοῦτο καθ' ὁμοιότητα ἡμῶν πεποίηκεν ὁ Χριστὸς, βρέφος ἀληθῶς γενόμενος, καὶ τεχθεὶς, καὶ Θεὸς σεσαρκωμένος. Διὸ εὐθέως ἔδειξεν ὡς Θεὸς παρθενικοὺς μαζοὺς ὑπὲρ φύσιν γαλακτορροοῦντας, προσέδραμε τῶν μαζῶν νηπιοπρεπῶς κλαυθμυριζόμενος κατὰ τὸν νόμον τῆς νηπιαζούσης ἡμῶν φύσεως, καθ' ὁμοιότητα ἡμῶν ἀπαράλλακτον τὴν περιτομὴν καὶ ἐκβολὴν ἐποιήσατο τῆς σαρκός.

Εἰ γὰρ λέγετε, ἀληθεύειν Παῦλον, τὸν φάσκοντα περὶ Χριστοῦ, ὅτι πεπείραται πάντων τῶν ἡμετέρων
B κατὰ πάντα τρόπον, δίχα μόνης τῆς ἁμαρτίας, πάντως ὅτι διὰ πάντων τῶν ἡμετέρων ἦλθεν, ἵνα πάντα θεώσῃ καὶ ἁγιάσῃ ὡς Θεὸς τῇ ἑνώσει. Οὐκοῦν Θεὸς σεσαρκωμένος ὢν, ἐξ αὐτῆς ἄκρας ἑνώσεως ὁ Χριστὸς, ἐταπείνωσεν ἑαυτὸν ἑκουσίως, καὶ διὰ πάντων τῶν ταπεινῶν καὶ πτωχῶν ἰδιωμάτων τῆς μορφῆς ἐμοῦ τοῦ δούλου ἐν κόσμῳ ἐφανερώθη, μὴ ἐκπεσὼν τοῦ εἶναι Θεός. Ἑκουσίως καθ' ὁμοιότητα ἡμῶν πεποίηκε τὸν ἐννεαμηνιαῖον χρόνον ἐν μήτρᾳ, καθ' ὁμοιότητα ἀνθρώπων σμικροπρεπὲς νήπιον ἐτέχθη. Καθ' ὁμοιότητα ἡμῶν τὴν ὄρεξιν τοῦ μητρικοῦ γάλακτος καὶ τὸν μαζὸν ἐπεζήτησεν ἑκουσίως, ἐν ὁμοιωματι ἀνθρώπων, ὡς νήπιος, μετὰ χρόνον τοῦ τόκου τὰ νηπιώδη ψελλίσματα προεβάλετο ἐκ τοῦ
C στόματος. Καθ' ὁμοιότητα ἡμῶν κατὰ βραχὺ μετὰ τὸν νηπιώδη συρτικὸν ἐπὶ τοῦ ἐδάφους περίπατον χειροκρατούμενος, τὸ περιπατεῖν, καὶ λαλεῖν, ὑπὸ τῆς μητρὸς ἐδιδάσκετο. Καθ' ἡμᾶς τὴν τῶν τριχῶν καὶ ὀνύχων ἔκφυσιν κατὰ μικρὸν προεβάλετο. Καθ' ἡμᾶς τὴν αὔξησιν, καὶ τὴν περιγραφὴν, καὶ τὴν παχύτητα τοῦ σώματος εἶχεν. Οὐχ ὑπὲρ ἡμᾶς τὴν αὔξησιν τῆς ἡλικίας ἐποιήσατο, οὐδὲ τἆλλα τὰ τοῦ σώματος, ἵνα μὴ φαντασία καὶ δόκησις νομισθῇ αὐτοῦ ἡ σάρκωσις. Οὐ ξένην, οὐδὲ ὑπὲρ ἄνθρωπον εἶχεν τὴν τοῦ σώματος διάπλασιν· οὐχ ὑπὲρ ἄνθρωπον εἶχεν τὸ τῶν μελῶν σχῆμα. Μορφὴν γὰρ δούλου ὁ Δεσπότης περιέκειτο· οὐκοῦν καὶ σῶμα δούλου, καὶ τὸ παχυμερὲς τοῦ δούλου, καὶ τὸ θνητὸν τοῦ δούλου,
D καὶ τὰς ἐκκρίσεις τοῦ δούλου, τὰς δι' ὀφθαλμῶν, καὶ διὰ στόματος, καὶ ῥινῶν, καὶ ἱδρώτων, καὶ τῶν δύο τῶν καθ' ἡμᾶς μελῶν, τῶν βρώσεων καὶ πόσεων ἐκκριτικῶν. Οὐ γὰρ τὸ ὑγιὲς καὶ ἄφθαρτον σῶμα ἐνεδύσατο, τὸ πρὸ τῆς ἐκπτώσεως τοῦ ἀνθρώπου. Τὸ γὰρ ὑγιὲς, καὶ ἄφθαρτον, καὶ ἀθάνατον ἰατρείας οὐκ ἐχρῃσεν. Οὐκοῦν τὸ νοσῆσαν καὶ παρατραπέν μου σαρκίον ὁ Θεὸς Λόγος ἔλαβε, τὸ φθαρτὸν, τὸ ῥευστὸν, τὸ παχυμερὲς, τὸ ἐνδεὲς, τὸ θνητὸν, τὸ παθητὸν, τὸ
E ἔμπειρον, τὸ ἔνδιψον, τὸ ἔγκοπον, ὅπως τούτων πάντων αὐτὸ ἐλευθερώσῃ.

Λοιπὸν μή μοι κακῶς παρερμήνευε τὰς τῶν Πατέρων καὶ τὰς Διονυσίου φωνάς. Εἰ γὰρ, ὡς σὺ, ὁ αἱρετικὸς νομίζεις, οὐδὲν τῶν ἀνθρωπίνων πραγμάτων τῶν φυσικῶν λέγω καθ' ἡμᾶς εἶχεν, ἢ ἐνήργησεν

ὁ Χριστὸς, πρόδηλον λοιπὸν, ὅτι οὐδὲ ὁμοούσιος ἡμῖν ἦν κατὰ τὴν σάρκα, οὐδὲ ὁμόσχημον ἀνθρώποις ἦν αὐτοῦ τὸ σῶμα· οὐδὲ κατὰ ἄνθρωπον τὰ μέλη· οὔτε καθ' ἡμᾶς ἡ νηπιότης, οὔτε ἡ αὔξησις, οὐδὲ ὁ τῆς γαστρὸς τῆς μητρὸς ὄγκος, οὔτε ὁ χρόνος, οὔτε ἐν ἀληθείᾳ ἔφυγεν, οὔτε νηπιοπρεπῶς ηὔξησεν, οὐδ' ἄλλο τι τῶν θεοκτίστων καὶ ἀδιαβλήτων ἡμῶν κατὰ φύσιν ἐνήργησεν, οὔτε ἔσχεν, οὔτε ἔπραξε. Λοιπὸν, οὔτε ὁ ὕπνος αὐτοῦ ἀληθής ἐστιν ὕπνος· οὔτε ὁ θάνατος ἀληθὴς θάνατος· οὔτε ἡ κέντησις, ἀληθὴς κέντησις· οὔτε ὁ χωρισμὸς τῆς ψυχῆς αὐτοῦ ἐκ τοῦ ἀχράντου σώματος ἀληθὴς χωρισμός· οὔτε ἡ τρῆσις τῶν μελῶν, καὶ τῆς πλευρᾶς τομὴ, ἀληθής ἐστι σώματος πληγὴ καὶ τομή. Εἰ γὰρ πάντα τὰ καθ' ἡμᾶς ἔπασχε καὶ ἔπραττε, μηδὲν λοιπὸν ἐπ' αὐτοῦ κατὰ νόμον τῆς φύσεως ὅλως εἶπῃς μήτε σῶμα, μήτε σχῆμα, μήτε μέλος, μήτε ὕπνον, μήτε μορφὴν, μήτε περιγραφὴν σώματος, μήτε θάνατον. Ἀλλ' οὐχ οὕτως αἱ θεῖαι Γραφαὶ, καὶ ὁ Παῦλος νομοθετεῖ. Ἄκουσον γὰρ αὐτοῦ ἐν πάσαις ταῖς θεοφθόγγοις αὐτοῦ ἐπιστολαῖς, καὶ εὑρήσεις, ὅτι τὸν μὲν ἡμέτερον θάνατον κοίμησιν ὀνομάζει, τὸν δὲ τοῦ Χριστοῦ θάνατον, οὐ κοίμησιν, ἀλλὰ θάνατον κυρίως προ[σ]αγορεύει. Περὶ μὲν γὰρ ἡμῶν, φησὶν· Οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, περὶ τῶν κεκοιμημένων. » Καὶ ὅτι « Πάντες μὲν οὐ κοιμηθησόμεθα· » καὶ, « Οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας. » Καὶ ἄλλα μυρία τοιαῦτα. Περὶ δὲ Χριστοῦ, ὅτι « Ἀπέθανε κατὰ τὰς Γραφὰς, καὶ ὅτι τὸν θάνατον αὐτοῦ καταγγέλλομεν· » καὶ ὅτι « Θανατωθεὶς μὲν σαρκὶ, » καὶ ἁπλῶς ἐν διαφόροις τόποις τὸν ἡμέτερον κοίμησιν λέγει· ἵνα σημάνῃ τὴν ἐξ ὕπνου ἡμῶν πάντων ἀνάστασιν· τὸν δὲ τοῦ Χριστοῦ, θάνατον ὀνομάζει· ἵνα τοὺς αἱρετικοὺς καταισχύνῃ, τοὺς ἐν φαντασίᾳ λέγοντας γενέσθαι τὴν σάρκωσιν καὶ τὰ λοιπὰ ἀνθρώπινα τοῦ Χριστοῦ. Τοῦτο δὲ οὐ Παῦλος ἐλάλησεν, ἀλλ' ὁ Χριστὸς ὁ ἐν αὐτῷ οἰκῶν, αὐτὸς τὸν θάνατον τὸν ἴδιον ὠνόμασεν· ὁ καὶ μετὰ τὴν ἀνάστασιν πιστωσάμενος ἡμῖν τὸν λόγον τῆς σαρκώσεως διὰ τῆς βρώσεως καὶ τῶν τύπων τῶν ἥλων, ὡς προείρηται. Εἰ οὖν οὐ μόνον καθ' ἡμᾶς τὰ καθ' ἡμᾶς, ἀλλ' ἔστιν ὅτε πτωχοτέρως τῶν καθ' ἡμᾶς δείκνυσιν ὁ Χριστὸς ἐν ἑαυτῷ τὰ καθ' ἡμᾶς ἐκουσίως καὶ οἰκονομικῶς, πῶς δυνατὸν εἰπεῖν, ὅτι οὐδὲν ὅλως τῶν ἀνθρωπίνων ἐνήργησεν κατὰ τὴν φύσιν ἐπὶ γῆς, καὶ εἰ δεῖ περὶ τούτου ἀκριβέστερον εἰπεῖν, ἐροῦμεν καὶ ἡμεῖς τῷ θεοσόφῳ Κυρίλλῳ ἑπόμενοι. Ἐκεῖνος γάρ φησιν, ὅτι « Τῶν τοῦ Σωτῆρος φωνῶν αἱ μέν εἰσι θεοπρεπεῖς, αἱ δὲ ἀνθρωποπρεπεῖς, ἄλλαι δὲ πάλιν μέσην τινὰ ἔχουσαι τάξιν. » Οὐκοῦν εἰ λαλεῖ ὁ Χριστὸς θεϊκῶς, λαλεῖ δὲ καὶ ἀνθρωπικῶς, φθέγγεται δὲ πάλιν καὶ ὁμαδικῶς, τοῦτ' ἔστι θεανδρικῶς, πάντως λοιπὸν ὅτι καὶ πάντα τὰ κατ' αὐτὸν πράγματά τε καὶ ἐνεργήματα, τὰ μὲν ἐποίει κατὰ τὴν θεότητα· τὰ δὲ, κατὰ τὴν ἀνθρωπότητα· τὰ δὲ πάλιν κοινῶς, κατὰ τὴν προσωπικὴν αὐτοῦ ὁλότητα. Θεότητα δὲ λέγω ἀχώριστον σαρκὸς, καὶ ἀνθρωπότητα ἀδιαίρετον θεότητος. Καὶ τούτων οὕτως ἐχόν-

A relinquitur, diversæ a nobis secundum carnem substantiæ fuisse: neque corpus ejus fuisse ejusdem figuræ cum corporibus aliis; neque infantiam, neque incrementum et profectum; neque virginei uteri tumorem, neque tempus; quin neque vere fugit; neque infantium instar crevit, neque aliorum quidpiam quæ in natura nostra a Deo effecta sunt, et repudiari non possunt, aut egit, aut habuit. Quo fit ut neque somnus ejus fuerit verus somnus; neque mors vera mors; neque vulneratio ejus vera vulneratio; neque separatio animæ ex illibato corpore, vera separatio; neque cum membra ejus discreta et dilacerata sunt, latusque apertum, vere dissecta ac dilacerata sunt, vereque latus apertum. Si enim omnia nostra sustinuit ac egit supra nos, B nihil igitur penitus in illo secundum naturæ præscriptum inerat: non corpus, non figura, non membrum, non somnus, non forma, non annorum numerus, non vita, non motio, non circumscriptio corporis, non mors. At non ita sacræ Litteræ. Non ita Paulus docet. Nam in omnibus epistolis ejus invenies eum nostram quidem mortem nominare dormitionem; mortem vero Christi non dormitionem, sed proprie mortem. Nam de nobis sic loquitur: « Nolumus vos ignorare fratres de dormientibus [40]. » Et: « Non omnes dormiemus [41]. » Et: « Non præveniemus eos, qui dormierunt [42]. » Et hujus generis complura. At de Christo ait: « Mortuus est secundum Scripturas [43].» Et: « Mortem ejus annuntiamus [44]. » Et: « Mortificatus quidem C carne [45]; » diversisque locis mortem nostram simpliciter dormitionem nominat, ut significet, communem omnium quasi ex somno, resurrectionem: Christi vero excessum, mortem appellat, ut hæreticos pudefaciat, qui incarnationem Christi, et quæ humanitatis sunt, phantasiæ duntaxat, et externæ speciei ascribebant. Hoc autem non protulit Paulus, sed Christus, qui in Paulo habitabat. Ipse etiam obitum suum propriam suam mortem nominavit, qui incarnationis mysterio post resurrectionem quoque fidem per esum et clavorum signa conciliare conatus est, ut antea dictum. Si igitur nostra in Christo non solum more nostro, sed et D interdum vilius et abjectius, quam pro more nostro, elucescunt, volente Christo, perque dispensationem; qua ratione asseveras, eum nihil omnino ex humanis secundum naturæ legem in terris egisse? Et si quid de hoc accuratius dicendum erit, dicemus et nos, imitati divinum Cyrillum, cujus sunt hæc: « Vocum, quæ de Salvatore enuntiantur, alias quidem competere Deo; alias homini: alias vero esse quasi medias. » Igitur si Christus loquitur **112** ut Deus, loquiturque ut homo; et si loquitur, ut utraque natura constans, hoc est, Theandrice, plane sequitur omnia ista esse res quasdam, et operationes ipsi consentaneas. Et alia quidem faciebat secundum divinitatem; alia secun-

[40] I Thess. IV, 12. [41] I Cor. XV, 51. [42] I Thess. IV, 14. [43] I Cor. XV, 3. [44] I Cor. XI, 26. [45] I Petr. III, 18.

dum humanitatem : alia communiter secundum totam personæ rationem. Dico autem divinitatem esse a carne inseparabilem ; et humanitatem a divinitate indivisam. Quæ cum ita sese habeant, quomodo Timotheus, propugnator vester Leonis epistolam vellicans suo in libro ait : « Sola divinitas est natura Christi, etiamsi incarnata sit. » Dicite nobis, o sapientissimi, quomodo unam in Christo naturam constituatis, et hanc divinam ? Estne hæc una, veneranda, sancta et adoranda natura, quam confitemini divinam in Christo filio Dei, perfecta, integra, indeficiens post unionem omni tempore et loco in omnibus, quæ Christus fecit, an non ? Ad hæc Severiani et Gaianitæ concorditer respondent : « Utique : perfecta est, et indeficiens et indivisibilis post unionem natura Christi in omni tempore, loco, rebusque universis : omnis partitionis, aut sectionis, aut imminutionis, aut divisionis prorsus expers. Unus enim Christus[B] est, et una ejus natura, non duæ. »

Scholium. Sic et vos interrogate ipsos ad præscriptum modum, Jacobitas quidem de natura, Harmasitas vero de operatione theandrica.

Responsio nostra ad illos. In confesso est apud omnes ; si Christus una duntaxat natura constat, eaque non est alia, quam divinitas, fieri non posse ut aut imminutionem, aut defectionem, aut subtractionem, aut disjunctionem, aut decrementum, aut complementum subeat. Divina enim natura semper, et in omnem perpetuitatem eodem modo sese habet, neque decessionis, neque accessionis ullius capax ; quia omni tempore et loco, et in omni re sibi similis, integra et indeficiens perseverat. Si ergo una est natura Christi et operatio, C et illa divina, omnino oportet ut Christus in omni loco eodem modo affectus appareat, absque ullo defectu et indigentia. Adesto ergo, hæretice, et ad quatuor loca passibus æquis me subsequere, sub passionis Christi tempus. Et primum quidem ad sepulcrum, in quo exanimis jacuit. Deinde a sepulcro descende ad inferos. Ab inferis tendamus ad paradisum. Redux ex paradiso præsentem te siste extra sepulcrum in horto, ubi illum specie hortulani Maria Magdalena vidit[46]. Si enim Christus sola divinitate constat, ut ais, hæc autem omni loco sibi similis, et absque omni defectu perstat, est enim indeficiens **113** divinitas ; quomodo igitur Christus in sepulcro indeficiens permansit, D separata ab ipso anima rationis participe ? quando dixit : « Pater, in manus tuas commendo spiritum meum[47]. » Descendamus etiam in infernum, ibique Christum contemplemur, quomodo carcerem illum spoliet. Interrogemus Adamum, interrogemus corpora, et ora sanctorum, qui resurrexerunt, ut nobis dicant, qua specie Christum apud inferos aspexerint ? quo corpore, qua natura, qua forma venerit, et descenderit ad subterraneos illos specus?

των, πῶς κατηγορῶν τοῦ τόμου Λέοντος Τιμόθεος ὁ ὑμέτερος πρόμαχος, οὕτω φησὶν ἐν τῷ συγγράμματι αὐτοῦ · « Φύσις γὰρ τοῦ Χριστοῦ μόνη θεότης, εἰ καὶ σεσάρκωται · » ὡς ὑμεῖς μίαν φύσιν ἐν τῷ Χριστῷ δογματίζετε, καὶ ταύτην θείαν ; Εἴπατε λοιπὸν ἡμῖν, ὦ σοφοί, αὕτη ἡ μία, καὶ τιμία, καὶ ἁγία, καὶ προσκυνητὴ φύσις, ἣν ὁμολογεῖτε θείαν ἐπὶ τοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τελεία ἐστὶ, καὶ σώα, καὶ ἀνελλιπὴς μετὰ τὴν ἕνωσιν ἐν παντὶ καιρῷ, καὶ τόπῳ, καὶ ἐν πᾶσιν, οἷς ἔπραξεν ὁ Χριστὸς, ἢ οὔ ; Πρὸς ταῦτα ἀποκρίνονται ὁμοθυμαδὸν οἵ τε Σευηριανοὶ, οἵτε Γαϊανῖται, καὶ λέγουσιν · « Ναὶ, τελεία ἐστὶ, καὶ ἀνελλιπὴς, καὶ ἀμέριστος μετὰ τὴν ἕνωσιν ἡ φύσις τοῦ Χριστοῦ · ἐν παντὶ καιρῷ, καὶ τόπῳ, καὶ πράγματι, μηδαμῶς μερισμὸν, ἢ τομὴν, ἢ μείωσιν ὑφισταμένη, ἢ διαίρεσιν. Εἷς γάρ ἐστιν ὁ Χριστὸς, καὶ μία ἡ φύσις αὐτοῦ, καὶ οὐ δύο. »

Σχόλιον. Οὕτως ἐρωτήσατε αὐτοὺς καὶ ὑμεῖς· Καὶ οὕτως ἁρμόσασθαι πρὸς αὐτοὺς κατὰ τὸν προκείμενον σκοπὸν τοὺς μὲν Ἰακωβίτας περὶ φύσεως · τοὺς δὲ Ἁρμασίτας, περὶ θεανδρικῆς ἐνεργείας.

Ἀπόκρισις ἡμῶν πρὸς αὐτούς. Καὶ γὰρ ὁμολογουμένων ἐστὶν, ἐὰν μία φύσις ἐστὶν ὁ Χριστὸς, καὶ αὐτὴ πᾶσα θεότης γνωρίζεται, ὡς οὐ δύναται ὅλως μείωσίν τινα, ἢ ἔλλειψιν, ἢ ὑφαίρεσιν, ἢ διάζευξιν, ἢ ἐλάττωσιν, ἢ ἀναπλήρωσιν παθεῖν. Ἡ γὰρ θεία φύσις ἀεὶ, καὶ εἰς τὸν αἰῶνα ὁμοίως, καὶ ἀνελλιπῶς, καὶ ἀμειώτως ἡ αὐτὴ ὑπάρχει, μήτε ἔλλειψιν, μήτε προσθήκην παθεῖν δυναμένη, ἀλλ' ἐν παντὶ καιρῷ, καὶ τόπῳ, καὶ πράγματι, ὁμοία, καὶ σώα, καὶ ἀνελλιπὴς τυγχάνουσα. Εἰ οὖν φύσις Χριστοῦ, καὶ ἐνέργεια μία, καὶ αὕτη θεία, ὀφείλει πάντως ὁ Χριστὸς, ἐν παντὶ τόπῳ, ὅμοιος, καὶ ἀνελλιπὴς εὑρίσκεσθαι ὡς Θεός. Δεῦρό μοι λοιπὸν, ὦ αἱρετικὲ, καὶ ἀμφὶ τῷ ποδὶ ἀκολούθει μοι ἐν τέταρσί τισι τόποις ἐν τῷ πάθει τοῦ Χριστοῦ. Λέγω δὴ, νεκροῦ αὐτοῦ τυγχάνοντος ἐν τῷ μνήματι τοῦ· Ἰωσήφ. Εἶτα, ἀπὸ τοῦ μνήματος ἐλθέ μοι ἐπὶ τὸν ᾅδην. Καὶ ἀπὸ τοῦ ᾅδου ἄγωμεν ἐπὶ τὸν παράδεισον. Καὶ ἀπὸ τοῦ παραδείσου, πάλιν ἐλθὲ ἐκτὸς τοῦ τάφου ἐν τῷ κήπῳ, ἔνθα αὐτὸν ἐθεάσατο ἐν σχήματι κηπωροῦ ἡ Μαγδαληνὴ Μαρία. Εἰ γὰρ μόνη θεότης ἐστὶν ὁ Χριστὸς, ὡς λέγετε, ὁμοίως, καὶ ἀνελλιπὴς ἐν παντὶ τόπῳ ὡς Θεὸς εὑρίσκεται · ἀνελλιπὲς γὰρ τὸ Θεῖον. Καὶ πῶς λοιπὸν ἐν τῷ τάφῳ ἐλλιπής ἐστι ὁ Χριστὸς, ψυχῆς νοερᾶς χωρισθείσης ἐξ αὐτοῦ, ἡνίκα εἶπεν· « Πάτερ εἰς χεῖρά σου παρατίθημι τὸ πνεῦμά μου; » Κατέλθωμεν καὶ ἐν τῷ ᾅδῃ, καὶ ἴδωμεν ἐκεῖ τὸν Χριστὸν, πῶς σκυλεύει τὸ δεσμωτήριον. Ἐρωτήσωμεν τὸν Ἀδὰμ, ἐρωτήσωμεν τὰ σώματα, καὶ τὰ στόματα τῶν ἀναστάντων ἁγίων, ὅπως εἴπωσιν ἡμῖν, πῶς ἑώρακαν ἐν τῷ ᾅδῃ Χριστόν · ποίῳ σώματι, ποίᾳ φύσει, ποίᾳ μορφῇ ἦλθε, καὶ κατῆλθεν ἐν τοῖς καταχθονίοις; Πῶς ἐν ἴχνεσιν ἀβύσσου περιεπάτησε; Ποίᾳ φύσει ἠνοίγησαν φόβῳ πύλαι θανάτου ; Ποίαν

[46] Joan. xx, 15. [47] Luc. xxiii, 46.

ἰδέαν ἰδόντες οἱ πυλωροὶ τοῦ ᾅδου ἔφριξαν; Ἆρα τὴν θείαν φύσιν ἐώρακαν γυμνήν; Ἄπαγε. Θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε. Ἀλλὰ τίς ἄρα τὴν σάρκα τοῦ Δεσπότου ἐθεάσατο; Οὐδαμῶς. Αὕτη γὰρ ἔνθεος ἐν τῷ τάφῳ νεκρὰ, καὶ ἀκίνητος ἔκειτο. Οὐκοῦν ἐν μὲν τῷ σταυρῷ, καθώς φησιν ὁ προφήτης, εἴδομεν τὸν Χριστόν. Καὶ οὐκ εἶχεν εἶδος σωματικὸν, οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος τοῦ σώματος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἐν δὲ τῷ τάφῳ εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχε ψυχὴν, οὔτε ἀνθρώπου πνεῦμα. Ἐν δὲ τῷ ᾅδῃ εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχε σῶμα, οὔτε αἷμα, οὔτε ὀστέα, οὔτε πάχος, οὔτε ὑλικὸν εἶδος, ἀλλὰ μόνην ψυχὴν νοερὰν ἔνθεον, σώματος κεχωρισμένην. Ἐν δὲ τῷ παραδείσῳ αὖν τῷ λῃστῇ, καὶ οὐκ εἶχεν οὔτε ψυχὴν, οὔτε σῶμα, ἀλλὰ μόνῃ τῇ θεότητι, τῇ πανταχοῦ παρούσῃ. Συμπαρῆν τῷ λῃστῇ, ὥσπερ καὶ πρότερον τῷ Ἀδὰμ γυμνὸς καὶ ἀσώματος· συμπαρῆν ὡς Θεὸς, ὡς μόνος οἶδεν αὐτὸς, ὁρώμενος αὐτῷ, καὶ μένων ἀόρατος. Αὖθίς τε μετὰ τὴν τριήμερον ταφὴν εἴδομεν Χριστὸν ἀναστάντα, καὶ εἰς ἑαυτὸν, ὡς Γρηγόριός φησιν, ἐπανελθόντα, καὶ πάλιν σῶμα, καὶ ψυχὴν, καὶ νοῦν, καὶ Θεὸν ἅμα τυγχάνοντα, καὶ τῇ Μαρίᾳ ἐν τῷ κήπῳ πρώτῃ ὀραθέντα.

A Quomodo in abyssi vestigiis ambulaverit? Cujus naturæ formidine portæ mortis sint reclusæ? Quam speciem orci janitores intuiti exhorruerint? Num divinam naturam solam viderunt? Apage, Deum enim nemo vidit unquam[48]. Quid ergo? Num carnem Christi viderunt? Nequaquam. Divina enim caro jacebat in sepulcro exanimis et immobilis. Itaque Christum in cruce vidimus. Et ut propheta ait, neque speciem, neque decorem habet[49]; sed species corporis ejus inhonora est, et deficiens præter filios hominum. Vidimus illum etiam in sepulcro, et non habebat animam, aut spiritum hominis. Vidimus illum in inferno, et non habebat corpus, neque sanguinem, neque ossa, neque densitatem, neque ullam ex materiei concretione con-
B flatam formam, sed solam animam rationalem divinam, ab omni corpore sejunctam. In paradiso vidimus illum cum latrone, et nec animam, nec corpus habebat, sed sola divinitate ubique præsente aderat. Aderat latroni, quemadmodum antea inferno absque ulla corporis mole; aderat ut Deus, eo, quem ipse solus intelligit modo, visus a se ipso, et tamen invisibilis permanens. Rursus post triduanam sepulturam vidimus Christum resurrexisse, et ad seipsum, ut Gregorius dicit, revertisse : iterumque corpus, et animam, et mentem, et Deum simul esse; et Mariæ in horto primum apparuisse.

Τούτων δὴ οὕτως ὑπὸ Χριστοῦ πεπραγμένων τε καὶ τετελεσμένων, παρέστωσαν νῦν οἱ αἱρετικοὶ, φάσκοντες, ὅτι μία φύσις ὁ Χριστὸς, καὶ αὕτη πᾶσα θεότης ἐστί. Καὶ ἀκουέτωσαν Ἰακώβου τοῦ ἀποστόλου περὶ θείας φύσεως θεολογοῦντος καὶ λέγοντος, ὅτι « Οὐκ ἔστι παρὰ τῇ θείᾳ φύσει παραλλαγή. » Εἰ οὖν οὐκ ἔστι παρὰ τῇ θείᾳ φύσει οἵα δήποτε παραλλαγὴ, ἀλλὰ πᾶσα ταυτότης, καὶ ἰσότης, καὶ ἀνελλιπὴς, καὶ πάγιος τελειότης, ποίᾳ, εἰπέ μοι, φύσει Χριστοῦ τὰς τοιαύτας καὶ τοσαύτας ἀτρέπτως ἐναλλαγὰς λογισώμεθα, τὰς ἐλλείψεις, τὰς ἀναπληρώσεις, τὰς διαστάσεις, τὰς ἀποκαταστάσεις, τὴν τῆς ψυχῆς διαίρεσιν ἀπὸ σώματος, τὴν ἐν τῷ ᾅδῃ μακρὰν ἀναχώρσιν, τὴν πρὸς τὸ ἴδιον ἔνθεον σῶμα αὐτῆς σύνθεον ἕλευσιν. « Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου, καὶ ὁ Θεός μου, » περὶ τοῦ Θεοῦ Λόγου ὁ προφήτης βοᾷ. Καθὰ καὶ αὐτὸς ὁ Θεὸς Λόγος φησὶν, ὅτι « Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι. » Εἰ οὖν ἐν τοῖς τοῦ Θεοῦ Λόγου ἰδιώμασι μετεποιήθη, καὶ ὁ καθ' ὑπόστασιν ἡνωμένος αὐτῷ ἄνθρωπος, πῶς ἐν μὲν τῷ σταυρῷ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος; ἐν δὲ τῷ τάφῳ ἀτελὴς ἦν, καὶ ἐλλιπὴς ψυχῆς νοερᾶς; ἐν δὲ τῷ ᾅδῃ ἐλλιπὴς ἦν σώματος τοῦ ἰδίου ἡ ψυχή; ἐν δὲ τῷ παραδείσῳ κατ' αὐτὴν τὴν ἡμέραν τοῦ πάθους, συμπαρῆν ἐκεῖ τῷ λῃστῇ· οὐδὲ τὸ σῶμα εἶχεν ἐκεῖ, οὐδὲ τὴν ψυχὴν ἐν ᾅδου οὖσαν; Καὶ ἵνα συντόμως εἴπω, ἐὰν δείξωσιν ἡμῖν οἱ αἱρετικοὶ, πάντη ἀνελλιπῆ τὸν Χριστὸν ἐν τῷ τάφῳ, καὶ ἐν τῷ ᾅδῃ, καὶ ἐν τῷ παραδείσῳ μετὰ ψυχῆς καὶ σώματος ὄντα τῇ ἡμέρᾳ τοῦ πάθους, εὔδηλον ὅτι μία οὐσία καὶ ἐνέργεια, καὶ οὐ δύο ἐστὶ, καθὰ καὶ προκατέθεντο εἰ-

His hunc in modum a Christo actis, ac peractis, adsint hæretici, qui blaterant Christum esse unam naturam, et hanc non aliam, quam divinam, audiantque Jacobum apostolum de natura divina dicentem : « Non esse apud Deum transmutationem[50]. » Si ergo nulla penitus mutatio in natura divina locum habet, utpote quæ semper sit eadem, sibique par, et indeficiens, fixaque, ac stabilis perfectio, cedo, cuinam naturæ has tantas vicissitudines ac mutationes immutabiliter ascribemus? Defectus, inquam, illos, et instaurationes, sejunctiones, et reparationes, separationem animæ a corpore; longinquam **114** secessionem ad inferos, reditumque ad proprium divinumque suum corpus. « Tu es ipse Rex meus, et Deus meus[51], » clamat de Deo Verbo Propheta. Sicut et ipsum Verbum divinum testatur : « Videte, videte, quoniam ego sum, et non mutor[52]. » Itaque si natura humana Verbo hypostatice unita, in Verbi divini proprietates transmutata concessit : quomodo in cruce non habui speciem, neque decorem! Quomodo in sepulcro corpus imperfectum erat, et anima rationis capace destitutum? Quomodo apud inferos anima proprio corpore caruit? In paradiso autem, ipso passionis die aderat latroni; ibi et corpore carebat, et anima, ut quæ apud inferos versaretur. Et ut breviter omnia complectar, si nobis hæretici demonstrarint, Christum omni modo esse indeficientem, ipsoque die Passionis fuisse una cum corpore et anima in sepulcro, in inferno et in paradiso, tum evidenter elucescet unam esse in Christo naturam et opera-

[48] Joan. I, 18. [49] Isa. LIII, 2. [50] Jac. I, 17. [51] Psal. XLIII, 5. [52] Malach. III, 6.

tionem, non duas, quandoquidem necesse est, ut jam antea affirmarunt, naturam Christi omni loco, tempore, et in omni re defectus expertem perstare.

Quibus eadem iisdem verbis oggeram, si Christus est una natura, et hæc divina, quotam partem sui reliquit quando in sepulcro mortua jacuit? Et si omnino fieri potest, ut aliquid de divina natura decedat, quota pars erit ejus anima? quota corpus? Si enim Christus est una natura, oportet ut tertia ejus pars sit Verbum; et tertia, corpus; et alia tertia, anima. Quapropter ut hujusmodi imposturas fraudesque ac perniciosas decipulas vestras evitemus; neque vobiscum tot, et tantas immutabiles mutationes, et invariabiles variationes, additiones, decessiones, transitiones, profectus, figuras, incrementa et vicissitudines in Christo homine constituamus; ipsamque divinam Verbi naturam ab omni prorsus mutatione, variatione, alteratione et interitu liberam demonstremus; ipsam itidem Christi humanitatem appellamus naturam, seu veritatem: neque ullo pacto blasphemam Severi et Timothei vocem admittimus, dicentium solam divinitatem esse naturam Christi.

Quid amplius objiciunt nobis gravissimi isti hæreticorum rhetores ac patroni? Aiunt: « Si Christus non erat divinitas, quomodo sputum ejus cæco medicinam fecit[53]? Quomodo lacrymæ ejus Lazarum excitarunt[54]? Quomodo cum Samaritana muliere colloquens, sitiensque non bibit[55]? Quomodo post quadraginta dierum jejunium esuriens non manducavit[56]? sed neque dormiisse, nisi semel in navi, legimus, sed neque ex Evangelio constat eum, ut sors ferebat, bibisse[57]. Quæ omnia argumento **115** sunt, carnem Christi divinam evasisse, neque amplius humanis proprietatibus subjectam fuisse. Quamobrem una tantum Christus est natura.»

Responsio orthodoxi. Non abs re erit vobis occinere illud: « O stulti et tardi corde ad credendum iis, quæ locuti sunt apostoli et prophetæ. » Cum enim ostendere velitis Christum totum nihil aliud esse quam divinitatem; in ipsam divinitatem, instar Manichæorum et Arianorum, injuriosi et contumeliosi estis; quia illam passionibus et mutationibus, more creaturarum rerum, subjicitis. Certe divinus et sapientissimus inter doctores Melito in tertio de Incarnatione sermone graviter invehitur in illos interpretes, qui comprobare nituntur ex factis Christi post baptismum veritatem corporis et animæ, itemque naturalium, et omnis peccati expertium operationum ejus, famis, inquam, sitis, somni, laboris, lacrymarum, sputi, sudoris, excretionis per nares, egestionisque corrupti, et naturaliter concocti cibi ac potus: neque horum duntaxat, sed et eorum quæ animæ nostræ a natura inesse solent: hoc est, tristitiæ, mœroris et dejectionis. Nam contra Marcio-

πόντες, ὅτιπερ ἐν παντὶ καιρῷ, καὶ τόπῳ, καὶ πράγματι, ἀνελλιπῶς παριστῶμεν εἶναι τὴν φύσιν τοῦ Χριστοῦ.

Πρὸς οὓς πάλιν τὰ αὐτὰ λέξω· Εἰ μία φύσις ἐστὶν ὁ Χριστὸς, καὶ αὕτη θεία, πόστον μέρος αὐτῆς ἔλειψεν, ὅτε ἔκειτο ἐν τῷ τάφῳ νεκρά; Καὶ εἰ ὅλως δυνατὸν ἔλλειψιν ὑπομεῖναι θείαν φύσιν, πόστον μέρος αὐτῆς τάττετε τὴν ψυχήν; καὶ πόστον τὸ σῶμα; Εἰ γὰρ μία οὐσία ὁ Χριστὸς, πάντως ὅτι τρίτη μοῖρα ταύτης ἐστὶν ὁ Λόγος, καὶ τρίτη τὸ σῶμα, καὶ πάλιν τὸ ἄλλο τρίτον μέρος ἡ ψυχή. Διὸ ἵνα μὴ ταῖς τοιαύταις ὑμῶν ἀπάταις, καὶ φρενοβλαβείαις περιπέσωμεν, ὁρῶντες ἡμεῖς εἰς τὸν Κυριακὸν ἔνθεον ἄνθρωπον, τὰς τοιαύτας, καὶ τοσαύτας ἀτρέπτους ἀλλαγάς τε, καὶ προλήψεις, καὶ ὑφαιρέσεις, καὶ μεταστάσεις, καὶ προκοπὰς, καὶ μορφώσεις, καὶ αὐξήσεις, καὶ μεταποιήσεις· καὶ βουλόμενοι τὴν θείαν, καὶ ἄτρεπτον, καὶ ἀναλλοίωτον τοῦ Θεοῦ Λόγου φύσιν ἐλευθέραν δεῖξαι πάσης παραλλαγῆς, καὶ μεταβολῆς, καὶ ἀλλοιώσεως, καὶ νεκρώσεως, τούτου χάριν, καὶ τὴν τοῦ Χριστοῦ ἀνθρωπότητα φύσιν, ἤγουν ἀλήθειαν προσαγορεύομεν, καὶ οὐδέποτε τὴν Σευήρου καὶ Τιμοθέου δύσφημον δεξόμεθα φωνὴν, τὴν λέγουσαν, ὅτι φύσις Χριστοῦ μόνη θεότης ἐστίν.

Ἀλλὰ τί πάλιν ἡμῖν προβάλλονται οἱ σεμνοὶ οὗτοι τῶν αἱρετικῶν ῥήτορες; Φάσκουσι γὰρ, ὅτι « Εἰ μὴ θεότης ἐστὶν ὁ Χριστὸς, πῶς τὸ πτύσμα αὐτοῦ τυφλὸν ἴασατο; Πῶς τὸ δάκρυον αὐτοῦ τὸν Λάζαρον ἤγειρε; Πῶς ἐπὶ γῆς Σαμαρείτιδος διψήσας οὐκ ἔπιεν; Πῶς μετὰ τὴν νηστείαν τῶν τεσσαράκοντα ἡμερῶν πεινάσας, οὐκ ἔφαγεν; Ἀλλ' οὐδὲ ὑπνώσαντα αὐτὸν, εἰ μὴ ἅπαξ ἐν τῷ πλοίῳ ἀκηκόαμεν, οὐδὲ πιόντα, ὡς ἔτυχε, δείκνυσι τὸ Εὐαγγέλιον. Ἅπερ ἅπαντα ἀπόδειξίς εἰσιν, ὅτι θεία γέγονε καὶ ἡ σὰρξ, καὶ οὐκ ἦν ἐν τοῖς ἀνθρωπίνοις ἰδιώμασι. Καὶ διὰ τοῦτο μία φύσις ὁ Χριστός.

Ἀπόκρισις ὀρθοδόξου. Εὔκαιρον ἡμῖν νῦν πρὸς ὑμᾶς εἰπεῖν τὸ, « Ὦ ἀνόητοι, καὶ βραδεῖς τῇ καρδίᾳ, τοῦ πιστεύειν οἷς ἐλάλησαν περὶ Χριστοῦ ἀπόστολοι, καὶ προφῆται. » Βουλόμενοι γὰρ, ὡς νομίζετε, θεότητα δεῖξαι ὅλον τὸν Χριστόν· αὐτῇ τῇ θεότητι αὐτοῦ καθάπερ Μανιχαῖοι καὶ Ἀρειανοὶ προσκρούετε, παθητὴν αὐτὴν καὶ τρεπτὴν ὡς τὰ κτίσματα δεικνύντες. Ἀμέλει γοῦν ὁ θεῖος καὶ πάνσοφος ἐν διδασκάλοις Μελίτων, ἐν τῷ περὶ σαρκώσεως Χριστοῦ λόγῳ τρίτῳ, λίαν ἐπιμέμφεται ἐξηγητὴν τὸν βουλόμενον ἐκ τῶν μετὰ τὸ βάπτισμα ὑπὸ Χριστοῦ πραχθέντων παραστῆσαι, ἢ πιστώσασθαι τὸ ἀληθὲς τῆς ψυχῆς, ἢ τοῦ σώματος αὐτοῦ, ἢ τῶν φυσικῶν καὶ ἀναμαρτήτων αὐτοῦ πραγμάτων, λέγω δὴ πείνης, δίψης, ὕπνου, δακρύου, πτύσματος, ἱδρῶτος, ἐκκρίσεως τῆς διὰ ῥινὸς, καὶ ἐκκρίσεως, καὶ ἀποβολῆς τῆς φθειρομένης καὶ πεττομένης βρώσεως καὶ πόσεως φυσικῶς. Οὐ μόνον δὲ, ἀλλὰ καὶ τῶν κατὰ ψυχὴν ὁμοίως ἀδιαβλήτων καὶ φυσικῶν ἡμῖν ὄντων,

[53] Joan. IX, 6. [54] Joan. XI, 33 seqq. [55] Joan, IV, 7 seqq. [56] Matth. IV, 1 seqq. [57] Matth. VIII, 23-27; Marc. IV, 36-39.

τοῦτ' ἔστι τῆς λύπης, καὶ ἀγωνίας, καὶ ἀθυμίας. Φησὶ γὰρ κατὰ Μαρκίωνος συντάττων ὁ θεόσοφος Μελίτων. Ἀπηρνεῖτο γὰρ καὶ ὁ Μαρκίων, καθάπερ Σευῆρός τε καὶ Γαΐανός, τὴν ἔνσαρκον Χριστοῦ οἰκονομίαν, τὰς αὐτὰς προτάσεις καὶ χρήσεις εὐαγγελικὰς, ἅσπερ καὶ νῦν οὗτοι πρὸς ἡμᾶς οἱ Μαρκίωνος τοῦ Ποντικοῦ μαθηταί. Πρὸς ὃν λίαν ἐχεφρόνως ὁ Μελίτων ἀπεκρίνατο φάσκων· « Ὡς οὐδὲ μία ἀνάγκη τοῖς νοῦν ἔχουσιν, ἐξ ὧν μετὰ τὸ βάπτισμα ὁ Χριστὸς ἔπραξε, παριστᾷν τὸ ἀληθὲς καὶ ἀφάνταστον τῆς ψυχῆς αὐτοῦ καὶ τοῦ σώματος τῆς καθ' ἡμᾶς ἀνθρωπίνης φύσεως. Τὰ γὰρ μετὰ τὸ βάπτισμα, φησὶν, ὑπὸ Χριστοῦ πραχθέντα, καὶ μάλιστα τὰ σημεῖα, τὴν αὐτοῦ κεκρυμμένην ἐν σαρκὶ θεότητα ἐδήλουν καὶ ἐπιστοῦντο τῷ κόσμῳ. Θεὸς γὰρ ὢν ὁμοῦ τε καὶ ἄνθρωπος τέλειος ὁ αὐτὸς, τὰς δύο αὐτοῦ οὐσίας ἐπιστώσατο ἡμῖν· τὴν μὲν θεότητα αὐτοῦ, διὰ τῶν σημείων ἐν τῇ τριετίᾳ τῇ μετὰ τὸ βάπτισμα· τὴν δὲ ἀνθρωπότητα αὐτοῦ, ἐν τοῖς τριάκοντα χρόνοις τοῖς πρὸ τοῦ βαπτίσματος. Ἐν οἷς διὰ τὸ ἀτελὲς, τὸ κατὰ σάρκα ἀπέκρυβε τὰ σημεῖα τῆς αὐτοῦ θεότητος, καίπερ Θεὸς ἀληθὴς προαιώνιος ὑπάρχων.

Σχόλιον. Σημειωτέον, ὅτι ψευδῆ εἰσι καὶ ἀπόβλητα τὰ λεγόμενα παιδικὰ θαύματα τοῦ Χριστοῦ. Καὶ οὐ πεποίηκε σημεῖον προφανῶς ἐν ἀνθρώποις ἐπὶ γῆς, ὡς φησι τὸ Εὐαγγέλιον πρὸ τοῦ σημείου τοῦ οἴνου τοῦ ἐν Κανᾷ τῆς Γαλιλαίας ἐν τῷ γάμῳ μετὰ τὸ αὐτοῦ βάπτισμα. Ἀλλὰ πᾶσαν ὅλην τὴν τριακονταετηρίδα, καθ' ὁμοιότητα ἡμῶν κατὰ πάντα τρόπον ἐδίωσε, καὶ διῆξε δίχα μόνης τῆς ἁμαρτίας, καθ' ἃ Παῦλος μαρτυρεῖ, καίπερ Θεὸς ὢν ἀληθὴς, καὶ πρὸ σαρκὸς, καὶ μετὰ σάρκωσιν.

Εἰ οὖν πεπείραται ὁ Χριστὸς, πάντων τῶν ἡμετέρων κατὰ πάντα τρόπον ἐπὶ τριάκοντα χρόνους, ὡς φησιν ὁ Παῦλος, μανθανέτωσαν οἱ αἱρετικοὶ, ὅτι τεχθεὶς ὁ Θεὸς ἐκ τῆς ἁγίας Παρθένου ἑκουσίως, φωνῇ μετὰ κλαυθμοῦ νηπιοπρεπῶς ἐδάκρυσεν ὡς ἄνθρωπος. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ διὰ παντὸς αὐτοῦ τοῦ ἐνιαυσιαίου, καὶ διετοῦς, καὶ τριετοῦς νηπιάζοντος χρόνου, Ἰησοῦς ὁ πεπειραμένος κατὰ πάντα τρόπον, καθ' ὁμοιότητα ἡμῶν, μυριάκις ἔκλαυσε τὸν φυσικὸν καὶ νηπιώδη κλαυθμόν. Μυριάκις ἐπείνασε, καὶ ἐδίψησε, καὶ ἔφαγε, καὶ ἔπιεν. Ἑκουσίως κατὰ τὴν τῆς φύσεως τῶν παίδων πεῖναν, καὶ δίψαν, ἐσθίων, καὶ πίνων. Μυριάκις ὕπνωσε κατὰ τὸν ὕπνον φυσικὸν καὶ ἀναμάρτητον. Μυριάκις ἔπτυσε, καὶ τὸ ῥευστὸν τοῦ σώματος ἔδειξε, καὶ διὰ ῥινῶν, καὶ διὰ στόματος. Μυριάκις ἐκοπίασεν ὑποτασσόμενος ἑκουσίως, καὶ δουλεύων ἐν τῇ τοῦ δούλου μορφῇ τοῖς ἑαυτοῦ γονεῦσιν, ὡς φησιν ὁ Λουκᾶς. Μυριάκις ἠγωνίασε καὶ ἐλυπήθη ὡς νήπιος χωρὶς πάθους καὶ ἁμαρτίας. Σῶμα γὰρ εἶχεν ὁ Χριστὸς ἁμαρτίας ἐλεύθερον, οὐ μὴν τῶν σωματικῶν ἀναγκῶν ἀπηλλαγμένον, καθ' ἃ διδάσκει ὁ Χρυσόστομος Ἰωάννης ἐν τῇ εἰς τὸ κατὰ Ματθαῖον ἑρμηνείᾳ. Εἰ γὰρ ἀπηρνήσατο τὰς φυσικὰς καὶ ἀδιαβλήτους

nem disputans sic ait cœlesti cognitione excellens Melito : negabat enim etiam Marcion, sicut Severus et Gajanus, divinam Christi incarnationem, iisdem testimoniis Evangelii adversus Melitonem usus, quibus nunc isti Marcionis Pontici discipuli adversus nos utuntur. Cui valde scite et opportune respondit Melito in hunc modum. « Non esse necessarium his, quos ratio non fugit, ex actionibus Christi post baptismum astruere, et demonstrare animæ et corporis ejus, et humanæ naturæ nobiscum convenientis veritatem, et ab omni fictione remotionem. Nam quæ post baptismum a Christo gesta sunt, inquit Melito, maxime miracula, latentem ejus divinitatem potissimum mundo comprobabant et confirmabant : cum enim idem Deus simul et homo perfectus esset, duas naturas suas nobis patefecit; divinitatem quidem per miracula triennio illo post baptismum patrata : humanitatem vero suam triginta illis annis baptismum antegressis, quibus carnis vilitas tegebat et abscondebat divinitatis signa, tametsi revera Deus esset sempiternus. »

Scholium. Observa, falsa et supposititia esse, quæ vocantur puerilia Christi miracula ; neque enim aperte, luce palam miraculum edidit in terra, ut dicit Evangelium, ante miraculum illud in Cana Galilææ, ubi aquam in vinum mutavit [58] : sed totos illos triginta annos, exemplo et more nostro transmisit, excepto solo peccato, ut testatur Paulus [59]; quanquam **116** verus Deus esset, et ante, et post assumptam carnem.

Si igitur Christus probavit omnia, et tentatus est per omnia, quæ nobis accidunt, triginta illis annis; noverint hæretici, eum ex sanctissima Virgine, quasi Deum sponte sua natum, simul tamen ut hominem, infantium instar, flebili voce illacrymasse; neque hoc tantum tempore ; sed toto illo infantiæ anno, biennio et triennio, Jesum tentatum per omnia ad similitudinem nostram, infinities flevisse, naturalemque et infantilem ploratum edidisse ; infinities esurivisse et sitivisse, comedisse et bibisse, sponte sua more infantium esurientium, sitientium, manducantium et bibentium : infinities somnum naturalem, et ab omni reprehensione alienum cepisse, infinities exspuisse, perque nares, et os excrevisse, ut corporis naturam fluxilem demonstraret. Infinities fatigatum esse, quippe qui voluntarie subjectus fuerit, et in servi forma propriis parentibus servierit, ut Lucas dicit [60]; infinities molestias pertulisse, et tristatum esse, ut infantem, absque tamen turbidis motibus et peccato : nam Christi corpus a peccato immune erat; non tamen a corporeis necessitatibus, quemadmodum docet Joannes Chrysostomus in expositione super Matthæum. Si enim naturales et *indetractabiles* naturæ nostræ imbecil-

[58] Joan. II, 1 seqq. [59] Hebr. IV, 15. [60] Luc. II, 52.

litates et indigentias repudiasset, et assumere renuisset; ut idem Chrysostomus docet : neque vero doctrinæ hujus quasi domi suæ natæ primus auctor Pater iste fuit; sed tanquam discipulus a Paulo accepit; quem in Epistola ad Hebræos hæc dicentem audiverat.

« Quia ergo pueri communicaverunt carni et sanguini, et ipse similiter Christus participavit eisdem passionibus et affectionibus [61]. » Dicat hæreticus quænam sint istæ infantium in carne passiones, et affectiones naturales et indetrectabiles, quarum Christus particeps esse voluit, nisi fames, sitis, somnus, labor, et alia, quæ paulo ante commemoravimus? Statim namque subdidit Apostolus de Christo : « Non enim angelos apprehendit; sed semen Abrahæ apprehendit. Unde debuit per omnia fratribus similari, ut misericors fieret [62]. » Et paulo post addit : « Non enim habemus Pontificem, qui non possit compati infirmitatibus nostris, tentatum vero per omnia pro similitudine absque peccato [63]. » Et quorumnam Pontifex iste experimenta cepit? Manifestum arbitror, quod imbecillitatum et infirmitatum, quæ nobis a natura insitæ sunt, quæque calumnia vacant; quas, ut in se susciperet, volens libensque humanam naturam induit. Quando igitur audieris Paulum **117** testificantem Christum experientiam cepisse omnis imbecillitatis, quæ in natura nostra inest, excepto solo peccato, non est, quod posthac succenseas nobis affirmantibus, Christum omnibus infantium proprietatibus et inculpatis affectionibus subjacuisse. Eo enim fine prædicta testimonia adduxi, ne quæreres, unde constet Christum omnia quæ natura nobis insevit, quæque omni culpa et reprehensione carent, expertum esse, absque semine et peccato, humana natura indutum.

Considera igitur ipsam etiam Deiparentem [64] Mariam, quæ ex Spiritu sancto absque semine concepit [65], et peperit; ipsum Christum Deum, filium suum semper ac ubique nominasse usque ad ascensionem in cœlum [66], quanquam videret miracula divinitus ab illo patrari, mortuosque excitari. Sed cum non ignoraret eum tricennali illo temporis spatio ante baptismum, expertum esse omnia, more ac exemplo nostro, ea de causa *filium* appellavit, tametsi verus Deus esset. Quod si hæc tibi dura, gravia, et supra fidem videntur, cedo, precor, quamobrem mulieres unguenta ad sepulcrum attulerint [67]. Nam divinitas, fons omnis fragrantiæ et immortalis, nullis eget unguentis, sed id quod ex materia compingitur, et corruptioni, ac interitui subjacet; cujus gratia ipse etiam Nicodemus humanum quiddam cogitans, aloe et myrrha divinum

A ἀσθενείας καὶ ἐνδείας τῆς ἡμετέρας φύσεως, ἆρα ἂν αὐτὴν τὴν φύσιν προαπηρνήσατο, καθ' ἃ πάλιν καὶ τοῦτο ὁ αὐτὸς Χρυσόστομος ἡμῖν ὑπηγόρευσεν. Οὐκ οἰκοθεν δὲ ταῦτα ὁ θεόστοφος Πατὴρ ὑπηγόρευσεν, ἀλλὰ Παύλῳ μαθητεύσας καὶ ἑπόμενος. Ἀκήκοε γὰρ αὐτοῦ ἐν τῇ πρὸς Ἑβραίους περὶ Χριστοῦ λέγοντος·

« Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς, ἤγουν ὁ Χριστὸς, μετέσχε παραπλησίως τῶν αὐτῶν παθημάτων. » Λεγέτω μοι λοιπὸν ὁ αἱρετικὸς, ποῖά εἰσι τὰ παθήματα τῆς σαρκὸς τῶν νηπίων, τὰ φυσικὰ καὶ ἀδιάβλητα, ὧν ὁ Χριστὸς μετέσχεν, εἰ μὴ πεῖνα, καὶ δίψα, καὶ ὕπνος, καὶ κόπος, καὶ ὅσα ἄλλα πρὸ βραχέως ὁ λόγος ἠριθμησεν; Ἐπήγαγε γὰρ εὐθέως ὁ Ἀπόστολος λέγων B περὶ Χριστοῦ· « Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται. » Καὶ πάλιν μετὰ βραχέα φησίν· « Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν· πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. » Πεπειραμένον δὲ τίνος; πρόδηλον, ὅτι τῶν φυσικῶν ἡμῶν ἀδιαβλήτων ἀσθενειῶν, δι' ἃς ἑκουσίως ἐνηνθρώπησεν. Ὅτ' ἂν οὖν ἀκούσῃς Παύλου μαρτυροῦντος, ὅτι πεπείραται ὁ Χριστὸς τῶν τῆς φύσεως ἡμῶν ἀσθενειῶν κατὰ πάντα, χωρὶς μόνης τῆς ἁμαρτίας, μηκέτι λοιπὸν καθ' ἡμῶν ἀγαγακτήσῃς λεγόντων, ὅτι πεῖραν ἔσχεν ὁ Χριστὸς γεννηθεὶς πάντων τῶν C νηπιακῶν καὶ φυσικῶν ἡμῶν τοῦ σώματος ἰδιωμάτων καὶ ἀμέμπτων παθημάτων. Διὰ γὰρ τοῦτο τὰς προκειμένας ἤγαγον μαρτυρίας, ἵνα μή μοι εἴπῃς, ὅτι Καὶ πόθεν δῆλον, ὅτι πεῖραν ἔσχεν ὁ Χριστὸς πάντων τῶν φυσικῶν ἡμῶν, καὶ καθαρῶν, καὶ ἀδιαβλήτων πραγμάτων, ἄνευ σπορᾶς καὶ ἁμαρτίας γενόμενος ἄνθρωπος;

Ὅρα γοῦν ὅτι καὶ αὐτὴ ἡ Θεομήτωρ, καὶ Θεοτόκος Μαρία, ἡ ἐκ Πνεύματος ἁγίου συλλαβοῦσα καὶ τεκοῦσα ἀσπόρως αὐτὸν Χριστὸν τὸν Θεὸν, Υἱὸν αὐτῆς, καὶ τέκνον αὐτῆς ὠνόμαζε πάντοτε αὐτὸν, ἕως τῆς αὐτοῦ ἀπὸ γῆς ἀναλήψεως, καίπερ ὁρῶσα αὐτὸν θεοσημεῖας ποιοῦντα, καὶ νεκροὺς ἀνιστάντα, ἀλλ' ἐπειδὴ ἐν τῇ νηπιότητι αὐτοῦ καὶ πάσῃ τῇ τριακονταετηρίδι πρὸ τοῦ βαπτίσματος πεπειραμένον D πάντων καθ' ὁμοιότητα ἡμῶν εἶδεν αὐτὸν, τούτου χάριν *υἱὸν* αὐτῆς ὠνόμαζεν αὐτὸν, καίπερ Θεὸν ὄντα ἀληθινόν. Εἰ δὲ σκληρά σοι, καὶ βαρέα, καὶ ἄπιστα τὰ λεγόμενα φαίνεται, εἰπέ μοι, τί δήποτε μῦρα ἤγαγον ἐν τῷ τάφῳ Χριστοῦ αἱ γυναῖκες; Θεότης γὰρ ἡ εὐώδης καὶ ἄβρωτος (53) οὐ χρῄζει μύρων· ἀλλὰ τὸ ὑλικὸν καὶ φθορᾶς καὶ ἀποφορᾶς δεκτικὸν, δι' ἣν καὶ Νικόδημος ἀνθρώπινόν τι λογισάμενος, μετὰ ἀλόης ἐσμύρνισε τὸ ἔνθεον Χριστοῦ σῶμα. Τοιγαρ-

[61] Hebr. II, 14. [62] ibid. 16, 17. [63] Hebr. IV, 15. [64] Luc. I, 35. [65] Luc. II, 7. [66] Act. I, 9. [67] Luc. XXIV, 1.

NOTÆ.

(53) C. A. mendose ἄβρομος.

οὖν ἔχοντες συνηγόρους ἡμῶν, καὶ μάρτυρας ἀψευδεῖς, τοὺς αὐτόπτας, καὶ ὑπηρέτας, καὶ συγχρόνους τοῦ Χριστοῦ κατὰ σάρκα γενομένους, τούτοις μᾶλλον, καὶ οὐκ ἄλλοις πειθαρχήσομεν. Οὗτοι γὰρ ἡμῖν καταγγέλλουσι τὴν ὁπομάζιον τοῦ Ἰησοῦ γέννησιν, τὴν γαλούχησιν, τὴν ἐπὶ τῆς φάτνης ἀνάκλισιν, τοῦ μικροφυοῦς τοῦ μεγάλου Θεοῦ παλαιστημαίου μεγέθους τοῦ σώματος, τὸ δάκρυον, τὸ νηπιῶδες, τὸν ὕπνον, τὴν ἀφθεγξίαν τοῦ στόματος, « πρὸ τοῦ γινώσκειν τὸ παιδίον καλεῖν πατέρα, ἢ μητέρα, » ὡς Ἡσαΐας φησί· τὴν κατὰ πρόσδασιν τῶν τριχῶν, καὶ ὀνύχων, καὶ τῶν μελῶν αὔξησιν· τὴν καθ' ἡμέραν τῆς τοῦ σώματος μορφῆς τρανοτέραν μόρφωσιν· τὴν κατὰ πρόσδασιν ἐξ ἀδυναμίας παιδικῆς τῶν νεύρων, καὶ ὀστῶν, καὶ χειρῶν, καὶ ποδῶν στερέωσιν· τὴν μετὰ χρόνον τῶν ὀδόντων κατὰ φύσιν βλάστησιν· τὴν μετὰ τὸ γάλα στερεωτέρας βρώσεως μετάληψιν· τὴν χειρακρατουμένην διδαχὴν τοῦ περιπάτου.

Εἰ δὲ ἐπὶ τοῖς λεγομένοις, ὁ αἱρετικὸς, ἀγανακτεῖς, καὶ φρίττεις, τί λοιπὸν δράσεις, εἰ ἀκούσῃς σαρκὸς, καὶ αἵματος ὀκτωημέρου περιτομῆς ἐκκοπὴν, καὶ ἀποβολὴν ἀπὸ Χριστοῦ γενομένην; Ἢ πάλιν, τριχῶν καὶ ὀνύχων αὐτῶν οὐσιωμένων διάφορον κουράν, καὶ ἀπόῤῥιψιν; Νόμος γὰρ Θεοῦ διατάττεται Ἰουδαίοις, κείρεσθαι, καὶ μὴ τρέφεσθαι πλοκάμους. Ἐκὼν δέ σοι πάρειμι σιγήσων, τὴν τῶν θρόμβων τοῦ αἵματος, καὶ τῆς πλευρᾶς εἰς γῆν ἐξ Ἰησοῦ κατάῤῥυσίν τε, καὶ ἐξ ἐνυποστάτου σαρκὸς Θεοῦ ἀφαίρεσιν. Ἴσως δέ σε μηδὲ τοῖς Εὐαγγελίοις πιστεύειν μαρτυροῦσιν, ὅτι « προέκοπτεν ὁ Ἰησοῦς σοφίᾳ, » καὶ ἡλίκιᾳ τὴν νηπιώδη καταλιπὼν, καὶ πρὸς τὴν παιδιώδη, καὶ μειρακιώδη, καὶ πρὸς ἐφηβῶν, καὶ ἔννομον, καὶ τελείαν, μεθιστάμενος ἡλικίαν. Εἰ γὰρ μὴ κατὰ νόμον τὸν φυσικὸν κατεδέξατο ἑκουσίως τὰ τῆς φύσεως τοῦ σώματος, ἀδιάβλητα μάλιστα πρὸ τοῦ βαπτίσματος, διὰ τί, Θεὸς ὢν παντοδύναμος, μὴ εὐθέως, ἡνίκα ἐτέχθη, ἐπὶ τῆς φάτνης ἐλάλησε; Διὰ τί εὐθέως τεχθεὶς οὐκ ἐπεριπάτησε; Τίνος χάριν μὴ εὐθέως πατέρα καὶ μητέρα ἐκάλεσε; διὰ τί εὐθέως μὴ ὀδόντας, καὶ τρίχας, καὶ τὰ λοιπὰ μέλη τὰ τοῦ σώματος, πεπληρωμένα ἐτέχθη ἔχων; διὰ τί δὲ μὴ, καὶ μορφήν τινα κρείττω, καὶ λαμπροτέραν τῆς ἀνθρωπίνης μορφῆς ἠμφιέσατο; Εἰ γὰρ ταῦτα πεποίηκεν εὐθέως ἂν ἐγίνωσκον, καὶ οἱ γονεῖς, καὶ ὁ κόσμος, ὅτι Θεός ἐστι, καὶ οὐκ ἄνθρωπος. Καὶ εἰ τοῦτο ἔγνων, οὐκ ἂν αὐτὸν υἱὸν ἴδιον ἐκάλουν· οὐκ ἂν αὐτὸν ὑποτάσσεσθαι αὐτοῖς, καὶ δουλεύειν κατεδέξαντο· μᾶλλον δὲ, ὡς φησιν ὁ Βατανεώτης ὁ Νεαρὸς, εἰ ὑπὲρ ἄνθρωπον ἄνθρωπος πιστευθῆναι ἠβούλετο ὁ Ἰησοῦς, διὰ τί μὴ μᾶλλον συνήγαγεν ἐκ πάντων τῶν ἐθνῶν ἐν τῇ Σιὼν Ἰουδαίους, καὶ Ἕλληνας, ὥσπερ ἐπὶ τῇ Πεντηκοστῇ πεποίηκε; Καὶ οὕτως ὀρώντων πάντων κατῆλθεν ἐξ οὐρανοῦ ἄνθρωπος, ὥσπερ μέλλει κατέρχεσθαι τῇ δευτέρᾳ παρουσίᾳ αὐτοῦ· καὶ ὥσπερ ὤφθησαν πᾶσιν αἱ γλῶσσαι

A Christi corpus inunxit [68]. Quocirca cum patroni et testes veracissimi nobis illi ipsi suppetant qui viderunt, et sermonis ministri fuerunt [69], et simul cum Christo incarnato vitam egerunt; his potius, quam aliis obtemperemus oportet. Isti enim annuntiant nobis Jesu ubera sugentis nativitatem, lactisque pastum, et in præsepio palmum vix excedentis corporis, magni Dei reclinationem, qui pusillus nasci dignatus est, lacrymas insuper infantiles, somnum, loquendique impotentiam, « priusquam puer vocare nosset patrem vel matrem, ut Isaias ait [70]; » item pilorum, unguium et membrorum incrementum; quotidianam corporeæ figuræ expressionem formationem; nervorum, ossium, manuum et pedum ex imbecillitate infantili ad validiores firmioresque vires progressum et profectum; B dentium, qui temporis successione fieri assolet, exortum; post lactis usum solidioris cibi esum; denique institutionem illam, qua manuductus incedere, pedibusque niti didicit.

Si autem, o hæretice, hæc audiens indignaris, quid ages, si audias circumcisionem octavo die a natali peractam [71], qua carnis suæ parte privatus est? aut capillorum **118** vel unguium ex ipso enatorum diversam abscissionem ac resectionem? Judæis enim capillos tondere præceptum erat, non nutrire. Cæterum silentio libens involvam guttas sanguinis, ex latere Jesu in terram delabentes, et ex carne in Deo subsistente ablationem. Forsan C neque fidem habes Evangeliis testantibus Jesum « profecisse sapientia et ætate [72], » relicto statu infantili, et ad puerilem et juvenilem, ephebisque competentem secundum præfinitas naturæ leges gradu facto. Si enim non ex præscripto naturalis legis omnia quæ in corpore nostro a natura insita sunt, voluntarie ante baptisma assumpsit, maxime illa quæ respui nequeunt, qua de causa, cum Deus esset, non derepente simul atque in lucem exstitit, in præsepi locutus est? cur non statim ab ortu suo ambulavit? Qua de causa confestim patrem ac matrem non compellavit? Cur non absque mora dentes, et pilos, et reliqua corporis membra perfecta habuit? Cur non speciem quamdam humana augustiorem et splendidiorem induit? Nam si hæc D fecisset, statim cognovissent parentes et mundus ipsum Deum esse et non hominem. Et si hoc cognovissent, filium non nominassent. Neque passi fuissent, ut ipsis subderetur ac serviret. Imo si, ut Bataneotes Junior dicit, Christus videri voluit homo supra hominem, cur non in Sion ex omnibus nationibus Judæos et Græcos congregavit, ut in Pentecoste ab illo factum est [73], ipsisque inspectantibus, homo ex cœlo descendit, eo modo quo in secundo adventu venturus est; et quo linguæ ignitæ cunctis apparuerunt, et quo ipse in specie ignis supra montem Sinai visus est [74], universo Israel præsente et credente.

[68] Joan. XIX, 38. [69] Luc. I, 2; I Joan. I, 2. [70] Isa. VIII, 4. [71] Luc. II, 21. [72] Luc. II, 52. [73] Act. I, 1 seqq. [74] Exod. XIX, 18.

Ταῦτα δὲ νῦν οὐ στοχαστικῶς ἐκτιθέμεθα, ἀλλὰ δι' αὐτῆς τῆς πείρας, ἐν Ἀλεξανδρείᾳ καὶ ἐν ἄλλοις τόποις, ἐξ αἱρετικῶν στομάτων αὐτὰ ἀκηκοὼς, καὶ μάλιστα Γαϊανιτῶν, οἵτινες, ὥσπερ τινὰ ἀκάθαρτον, καὶ μιαρὸν οὖσαν τὴν τοῦ σώματος ἡμῶν φύσιν, βδελυττόμενοι καὶ κακίζοντες αὐτὴν, οὐ κατεδέχοντο ὁμοούσιον, ἢ ὁμοιοπαθὲς ἡμῶν σῶμα ὁμολογεῖν ἐν Χριστῷ, προφέροντες καὶ αὐτοὶ τὰς ἀσθενείας τὰς φυσικὰς τῆς σαρκὸς, ἃς διὰ τῆς παρατροπῆς, τῆς παρακοῆς ἐσχήκαμεν· λέγω δὴ τὰς τῆς βρώσεως καὶ πόσεως φθαρτὰς καὶ δυσώδεις ἐκ κοιλίας ἐκκρίσεις, καὶ τὰς ἱδρώτων ἀποφορὰς, καὶ τοὺς τῶν ὀδόντων βρόμους, καὶ τοὺς τῶν τραυμάτων ἰχῶρας, καὶ σήψεις, καὶ ὀσμὰς, καὶ δυσωδίας, καὶ σκώληκας· καὶ ἀνάξιον λέγοντες εἶναι φύσιν τοιούτου σώματος, ὅλως κἂν προ[σ]ψαῦσαι Θεῷ· ἀγνοοῦντες, οἱ παράφρονες, ὅτιπερ οὐ δι' ἕτερόν τινα τρόπον ἐνηνθρώπησεν ὁ Θεὸς Λόγος, τὸ οὐράνιον πῦρ, τὸ καταναλίσκον, εἰ μὴ διὰ τὰ τοιαῦτα ἡμῶν πάθη, ὅπως ἑνώσας ταῦτα, τῇ ἰδίᾳ τοῦ νοεροῦ πυρὸς φύσει τῆς θεότητος, ὥσπερ ἐν χωνευτηρίῳ ἀποκαθάρῃ τὸν ἄνθρωπον, καὶ ἀποκατασταθῇ εἰς τὸ ἀπ' ἀρχῆς τῆς ἀφθαρσίας, καὶ ἀπαθείας, καὶ ἀρευσίας [ἀῤῥευσίας], καὶ ἀθανασίας, καὶ ἀβρομίας [*leg.* ἀβρωσίας], καὶ εὐωδίας ἀξίωμα. Ὅθεν διὰ τὰς τοιαύτας ἀσθενείας, καὶ ῥύπους τῆς γηγενοῦς ἡμῶν σαρκὸς, ἔλεγεν ὁ Χριστὸς, ὅτι « Πῦρ ἦλθον βαλεῖν ἐπὶ γῆν, » τοῦτ' ἔστι θεότητα ἑνῶσαι τῇ γεώδει ἡμῶν φύσει. Οὐκοῦν προφανῶς ἐλέγχονται

A xat et existimatione, non natura, et reipsa corpus esse id, quod in Christo conspicitur. Quapropter carnem nostram creaturam Dei esse negavit, sed creaturam diaboli asseruit; hujusque gratia, sic a conditore suo dæmone inflammari et oppugnari: « Non enim, inquit, in carne nostra habitat bonum [85]. — Quocirca caro concupiscit adversus spiritum, spiritus vero adversus carnem [86]. » Et: « Sapientia carnis est inimicitia apud Deum [87]. » Et: « Quis me liberabit de corpore mortis hujus [88]? — Quia caro et sanguis regnum Dei non possidebunt [89]. » Et: « Qui in carne sunt, Deo placere non possunt [90]. » Hæc et id genus alia cum impius Manes collegisset, et perperam exposuisset, post plures annos exorti Eutychius [Eutyches] B archimandrita, Dioscorus, Timotheus, Severus, et maxime Julianus Halicarnasseus, **129** librisque Manetis, Valentis [Valentini], et aliorum quasi deliniti captique, et carnis stimulis ac titillationibus impuris instigati ac incensi, pravisque cupiditatibus mentem eorum suffocantibus pleni, negarunt, Manichæorum more, ad hunc usque diem, sanctissimi corporis Christi naturam, et ea, quæ naturæ sunt propria; eaque propter aiunt, ipsum sola divinitate constare, rati, si Christo naturam carnis tribuant, fore, ut impurum quiddam, sordidum, Deoque indignum tribuant.

Et hæc litteris mandavimus, non conjecturis ducti, sed ab ipsis hæreticis Alexandriæ, et alibi locorum edocti, maxime a Gaianitis, qui, quasi C impuram et detestandam, carnis nostræ substantiam aversati, nullo modo adduci queunt, ut confiteantur Christum habuisse ejusdem substantiæ nobiscum corpus, iisdemque molestiis obnoxium; proferentes et ipsi naturales carnis imbecillitates, in quas ex transgressione incurrimus. Intelligo autem cibi potusque corruptas olidasque ex ventre excretiones, sudoris defluxum, stridorem dentium, vulnerumque saniem, putredines, fetores, graveolentias, et vermes; dicentes, indignam esse ejusmodi corporis naturam, quæ vel Deum tangat: nec attendunt insipientissimi, aliam ob causam, divinum Verbum, ignem illum cœlestem et consumentem, humanam naturam non assumpsisse, nisi propter D hujusmodi affectiones, ut illis sibi unitis, in propria intellectualis ignis, divinitatis videlicet natura, tanquam inconflatorio [91], hominem expurgaret ac restitueret in eum, quo sub primum ortum præditus fuerat, incorruptionis, impassibilitatis, soliditatis, immortalitatis, et suavissimæ fragrantiæ et suaveolentiæ cibique ac potus minime indigentem statum. Unde propter hujusmodi terrenæ carnis nostræ imbecillitates et sordes, aiebat Christus: « Ignem veni mittere in terram [92], » hoc est, divinitatem jungere terrestri nostræ naturæ. Manifeste igitur redarguuntur,

[85] Rom. VII, 17. [86] Galat. V, 17. [87] Rom. VIII, 7. [88] Rom. VII, 24. [89] I Cor. XV, 50. [90] Rom. VIII, 8. [91] Prov. XXVII, 21. [92] Luc. XII, 49.

NOTÆ.

(56) M. S. Οὐάλεντος, mendose.

qui naturam secundum imaginem et similitudinem Dei nostri formatam exsecrantur, probrisque ac contumeliis onerant corpus, quod manibus Dei effictum ac effigiatum, et divino spiraculo animatum est. Itaque in ipsum Conditorem injuriosi sunt, qui hominem, opus et similitudinem imaginis ejus, calumniantur tanquam immundum, ex Manichæorum sententia. Si igitur invisibilis Dei imago immunda est, quomodo omnia, quæ fecit Deus, erant valde pulchra ac bona? Sed in hæc talia incidunt hæretici, ut supra dicebam, propter carnis suæ immunditiam, naturæ prorsus repugnantem, et quia dæmonis **130** imperio sese et anima et corpore subdiderunt. Nullus enim ex illorum numero, tanquam mundus corde, Deum in se habitare vidit, juxta sermonem Christi [93]. Nullus illorum cognovit aut vidit intra se cœlorum regnum. Nullus illorum habet thesaurum spiritus in testaceo vase fictilis corporis [94]. Nullus illorum tulit imaginem supercœlestis Dei in suo pectore [95]. Nullus illorum factus est conformis gloriæ Filii Dei [96]. Si enim cognovissent, quod qui adhæret Domino, unus spiritus ipse et Dominus efficiatur, ut dicit Apostolus [97]; si novissent, deos et filios Excelsi [98] posse fieri eos, qui hoc honore digni sunt; si credidissent Christum et Patrem venturos, et mansionem apud hominem facturos [99]; si didicissent, quomodo homo fit templum Dei, et Spiritus Dei in illo habitet [1]; et ut paucis comprehendam, si Christum induissent secundum illud: « Quotquot in Christum baptizati estis, Christum induistis [2]; » ipse Christus habitans in illis, docuisset illos, quomodo habitet et circumeat in carne nostra Deus. Et quomodo luteum hoc corpus nostrum per ignem spiritus posthac configuretur gloriæ imaginis Christi; et quomodo a cunctis sordibus expurgetur, et secundum imaginem ac similitudinem Dei efformetur; prout initio erat, per unionem et communionem divinitatis. Ubi enim habitat divinitas, maxime secundum substantiam, ibi omnia casta sunt, omnia sancta; omnia munda; omnia Deo digna. Nihil ibi rejiciendum: nihil sordidum; nihil Deo contrarium, non corpus, non anima, non mens, non voluntas, non operatio. Verum, ut antea dixi, quia hæretici carnem a pravis cupiditatibus et inquinamentis liberam non habent, neque naturæ puritatem adepti sunt; ideo sibi persuadent, omnem aliam carnem cœno voluptatum maculatam ac infectam esse, eaque de causa confiteri abnuunt humanam in Christo naturam, et ea quæ ex natura consequuntur. Quid igitur, inquit hæreticus Nestorius, ejusque sectatores, qui confitentur in Christo naturam omnesque naturæ proprietates, Spiritus sancti participes censeri debent? Apage hanc tantam absurditatem: potissima enim causa fuit, cur Christi divinitatem negarent, et sanctissimam Virginem Deiparam appellare detrectarent, quia et ipsi divinitatis exsortes erant.

οἱ τὴν κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ ἡμῶν φύσιν βδελυττόμενοι, καὶ κακίζοντες, καὶ ἐνυβρίζοντες ἡμῶν τὸ σῶμα τὸ ὑπὸ χειρῶν Θεοῦ διαπλασθὲν, καὶ μορφωθὲν, καὶ θείῳ ἐμφυσήματι ψυχωθέν. Ὅτιπερ αὐτῷ τῷ Ποιητῇ προσκρούουσι, τὸ ποίημα καὶ ὁμοίωμα τῆς εἰκόνος αὐτοῦ καθυβρίζοντες· τὸν ἄνθρωπον, ὡς ἀκάθαρτον, κατὰ τὴν Μανιχαίων δόξαν. Εἰ οὖν ἀκάθαρτος ἡ τοῦ Θεοῦ τοῦ ὁράτου εἰκὼν, πῶς ἰδοὺ πάντα, ὅσα ἐποίησεν ὁ Θεὸς, καλὰ λίαν; Ἀλλὰ τοῦτο πάσχουσιν οἱ αἱρετικοὶ, ὡς καὶ ἀνωτέρω προεῖπον, διὰ τὴν παροῦσαν τῇ σαρκὶ αὐτῶν παρὰ φύσιν ἀκαθαρσίαν, καὶ τὸ ἔχειν ἐν ἑαυτοῖς κατακρατοῦσαν τῆς ψυχῆς καὶ τοῦ σώματος τὴν ἐνέργειαν τοῦ διαβόλου. Οὐδεὶς γὰρ παρ' αὐτοῖς, ὡς καθαρὸς τῇ καρδίᾳ ἐν ἑαυτῷ τὸν Θεὸν οἰκοῦντα ἐθεάσατο, κατὰ τὸν λόγον τοῦ Χριστοῦ. Οὐδεὶς αὐτῶν ἔγνω, οὔτε ἐθεάσατο τὴν βασιλείαν τῶν οὐρανῶν ἐντὸς αὐτοῦ. Οὐδεὶς ἐκείνων ἔχει τὸν θησαυρὸν τοῦ πνεύματος ἐν τῷ ὀστρακίνῳ σκεύει τοῦ πηλίνου σώματος. Οὐδεὶς αὐτῶν ἐφόρεσε τὴν εἰκόνα τοῦ ἐπουρανίου Θεοῦ ἐν τῇ καρδίᾳ. Οὐδεὶς ἐν ἐκείνοις γέγονε σύμμορφος τῆς δόξης τοῦ Υἱοῦ τοῦ Θεοῦ. Εἰ γὰρ ἔγνωσαν ὅτι ὁ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμα αὐτός, καὶ ὁ Κύριος γίνεται, ὥς φησιν ὁ Ἀπόστολος, εἰ ἔγνωσαν ὅτι θεοὶ καὶ υἱοὶ Ὑψίστου οἱ ἄξιοι γίνονται· εἰ ἐπίστευσαν τὸ, ὅτι ἐλεύσεται ὁ Χριστὸς, καὶ ὁ Πατὴρ, καὶ μονὴν παρὰ ἀνθρώπῳ ποιήσουσιν· εἰ ἔμαθον, πῶς ναὸς Θεοῦ γίνεται ὁ ἄνθρωπος, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν αὐτῷ, καὶ ἵνα συντόμως εἴπω, εἰ ἐνεδύσαντο τὸν Χριστὸν, κατὰ τὸ εἰρημένον, ὅτι « Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε Χριστὸν ἐνεδύσασθε, » αὐτὸς ὁ Χριστὸς ὁ οἰκῶν ἐν αὐτοῖς, ἐδίδασκεν αὐτοὺς, πῶς ἐνοικεῖ ἐν τῇ σαρκὶ ἡμῶν ὁ Θεὸς, καὶ ἐμπεριπατεῖ· καὶ πῶς τὸ πήλινον ἡμῶν τοῦτο σῶμα, διὰ τοῦ πυρὸς τοῦ πνεύματος ἀπεντεῦθεν ἤδη σύμμορφον γίνεται τῆς δόξης τῆς εἰκόνος τοῦ Χριστοῦ, καὶ πῶς ἀνακαθαίρεται παντὸς ῥύπου, καὶ γίνεται κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ, ὡς ἦν ἀπ' ἀρχῆς, διὰ τῆς ἑνώσεως καὶ κοινωνίας τῆς θεότητος. Ἔνθα γὰρ θεότης οἰκεῖ, καὶ μάλιστα κατ' οὐσίαν, ἐκεῖ πάντα ἁγνὰ, πάντα ἅγια, πάντα καθαρὰ, πάντα Θεοῦ ἄξια. Οὐδὲν ἐκεῖ ἀπόβλητον, οὐδὲν ῥυπαρὸν, οὐδὲν Θεῷ ἐναντίον· οὐ σῶμα, οὐ ψυχὴ, οὐ νοῦς, οὐ φύσις, οὐ θέλημα, οὐκ ἐνέργεια. Ἀλλ', ὡς προείρηται, διὰ τὸ μὴ κτήσασθαι αὐτοὺς τὴν ἀπάθειαν τῆς σαρκὸς, καὶ τὴν καθαρότητα τῆς φύσεως, νομίσαντες οἱ αἱρετικοὶ, ὅτι πᾶσα σὰρξ, καθ' ὁμοιότητα αὐτῶν ὑπὸ τοῦ βορβόρου τῶν ἡδονῶν ἐνεργεῖται, παρῃτήσαντο ὁμολογεῖν, ἀνθρωπίνην φύσιν, καὶ τὰ τῆς φύσεως ἐν τῷ Χριστῷ. Τί οὖν φησι Νεστόριος, καὶ οἱ σὺν αὐτῷ ὁμολογοῦντες φύσιν, καὶ πάντα τὰ τῆς φύσεως ἡμῶν ἐν Χριστῷ Πνεύματος ἁγίου οἱ τοιοῦτοι μετέχουσιν; Ἄπαγε τῆς ἀτοπίας! μάλιστα μὲν γὰρ καὶ αὐτοὶ, διὰ τὸ μὴ οἰκεῖν εἰς αὐτοὺς τὴν θεότητα, τούτου χάριν ἠρνήσαντο ὁμολογεῖν Θεὸν ἀληθῶς τὸν Χριστὸν, καὶ Θεοτόκον κυρίως τὴν Μαρίαν ἁγίαν.

[93] Matth. v, 8. [94] II Cor. iv, 7. [95] I Cor. xv, 49. [96] Rom. viii, 29. [97] I Cor. vi, 17. [98] Psal. lxxxi, 6; Joan. x, 35. [99] Joan. xiv, 23. [1] I Cor. iii, 16. [2] Galat. iii, 27.

ΚΕΦΑΛ. ΙΕ'

Περὶ τῆς ἑορταστικῆς, μᾶλλον δὲ θρηνητικῆς ἕκτης ἐπιστολῆς τοῦ νῦν ἐπισκόπου τῶν Θεοδοσιανῶν ἐν Ἀλεξανδρείᾳ τῆς πεμφθείσης ἐν Βαβυλῶνι.

Ἀλλὰ τί πάλιν ἡμῖν, οἱ τὴν μίαν φύσιν ἐπὶ Χριστοῦ λέγοντες δογματίζουσι; φάσκουσι γάρ, ὅτι « Ἐὰν εἴπωμεν δύο φύσεις ἐπ' αὐτοῦ, ἀνάγκη πᾶσα ἡμᾶς δύο λέγειν φύσεις ἐπὶ τῆς ἁγίας Τριάδος. Ὅσα γὰρ ἐὰν προστεθῇ τῷ ἑνὶ τῆς ἁγίας Τριάδος Χριστῷ, ταῦτα τῇ πάσῃ Τριάδι λογίζεται. » Εὖγε, ὡς ἀληθῶς τῆς πολλῆς τῶν ἀσόφων σοφίας! ὑπέρευγε τῶν νέων τοῦ Μάνεντος μαθητῶν νομοθεσίας! « Διὰ τοῦτο, φησίν, οὐ φάσκομεν, ἐν τῷ Χριστῷ δύο ἡνωμένας φύσεις, οὔτε μὴν θελήσεις, οὐδ' αὖ ἐνεργείας, » ἐπειδὴ πάντα, ὅσα ἂν ἑνὶ τῆς ἁγίας Τριάδος Χριστῷ ὁμολογήσωμεν, ταῦτα πάντα καὶ ἐπὶ πάσης τῆς ἁγίας Τριάδος λέξομεν.

Σχόλιον. Ἰωάννης ὁ ἐπίσκοπος τῶν Θεοδοσιανῶν πρὸ πέντε χρόνων εἰς τὰς δύο ἑορταστικὰς αὐτοῦ ἐξέθετο τὴν φωνὴν, τὴν λέγουσαν, ὅτι « Πάντα τὰ ἐν τῷ Χριστῷ λεγόμενα, ταῦτα καὶ ἐπὶ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος λέγονται. » Ἐπιλαβομένων ἡμῶν τῆς πρώτης, πάλιν τῷ ἑξῆς χρόνῳ τὰ αὐτὰ ἐξέθετο· προφανῶς οἱ δυστυχεῖς ῥήτορες τῷ Θεολόγῳ Γρηγορίῳ ἀντιστρατευόμενοι. Ἐκεῖνος γὰρ ἐν τῷ περὶ Υἱοῦ Λόγῳ φησὶν, ὅτι « Ὅσα ἐπὶ τῆς Τριάδος πληθυντικῶς, [ὅσα ἐπὶ τῆς Τριάδος ἑνικῶς λέγεται, ἐπὶ τῆς σαρκώσεως ἐναντίως ἔχει, καὶ πάλιν,] ταῦτα ἐπὶ τῆς οἰκονομίας μοναδικῶς· » οἷόν τι, μίαν οὐσίαν ἐπὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος ἐδιδάχθημεν ὁμολογεῖν, μίαν θέλησιν, μίαν ἐνέργειαν· ἐπὶ δὲ τῆς σαρκώσεως τοῦ ἑνὸς τῆς αὐτῆς Τριάδος, δύο φύσεις καθ' ὑπόστασιν ἡνωμένας, θελητικάς τε καὶ ἐνεργητικὰς οὔσας. Ὅθεν ἑπόμενοι τῷ θείῳ Γρηγορίῳ οἱ εὔφρονες, φάσκομεν διαφόρους ἐνεργείας καὶ θελήσεις ἐν τῷ Χριστῷ. « Ὅσα γὰρ, φησὶν, ἐπὶ τῆς Τριάδος ἑνικῶς λέγεται, ἐπὶ τῆς σαρκώσεως ἐναντίως ἔχει. » Ἐπὶ μὲν γὰρ τῆς Τριάδος ἄλλος καὶ ἄλλος, ἐπὶ δὲ τοῦ Χριστοῦ οὐκ ἄλλος καὶ ἄλλος, ἀλλὰ, ἄλλο καὶ ἄλλο· ἐπὶ δὲ τῆς Τριάδος, οὐκ ἄλλο καὶ ἄλλο. Ἀλλὰ ταῦτα οἱ Αἰγυπτιάζοντες τὸν νοῦν, οὐκ ἔγνωσαν, οὐδὲ σύνῆκαν· ἐν σκότει διαπορεύονται, φάσκοντες, ὅτιπερ πάντα, ὅσα ἐὰν προστεθῇ καὶ ῥηθῇ ἐν τῷ Χριστῷ, ταῦτα τῇ πάσῃ ἁγίᾳ Τριάδι ἁρμόζει.

Λοιπὸν δεῦτε δὴ κατὰ τοῦτον τῆς τραγῳδίας τὸν μῦθον, δύο, ὥσπερ θυμελικῶν ἑταιρίδων ὀρχήστρας συστησάμενοι, ἀνεπιφθόγγως ἀλλήλαις θυμελικῶς ὀρχήσασθε τὰς περὶ Χριστοῦ φωνάς· οἱ μὲν λέγοντες, οἱ δὲ τῇ Τριάδι αὐτὰς ἀνταποκρινόμενοι προσάψατε. Εἰ δὲ δεῖ κἀμὲ συμπαίξαι καὶ ἐμπαίξαι ὑμῖν, ἤδη τῆς τραγῳδίας ἀπάρξομαι. Λέγω· « Ὁ Λόγος σὰρξ ἐγένετο. » Ἀποκρίνονται Σευῆροι· « Ἡ Τριὰς σὰρξ ἐγένετο. Πάντα γὰρ τὰ Χριστοῦ τῇ Τριάδι ἁρμόζουσιν. » Ἐγὼ λέγω· « Μαρία μήτηρ Χριστοῦ. » Ἡ ὀρχήστρα Σευήρου λέγει· « Μαρία μήτηρ Τριάδος. » Ἡμεῖς λέγομεν Ἰησοῦ γέννησιν ἐν Βηθλεὲμ ἐν τῇ

Joan. I, 14.

A

131 CAP. XV.

De sexta heortastica seu festiva, vel potius flebili epistola ejus, qui nunc est Theodosianorum Alexandriæ episcopus, Babylonem missa.

Quid præterea asserunt illi, qui unam in Christo naturam tradunt? Aiunt: « Si duas in Christo naturas confiteamur, necessario debere nos duas sanctissimæ Trinitatis naturas profiteri. Nam quæ quis tribuit Christo, uni ex sanctissima Trinitate; hæc toti Trinitati ascribenda esse. » Euge, quanta insipientium istorum est sapientia! Quanta nevorum Manetis discipulorum sanciendi ac edicendi auctoritas! « Eam ob causam, inquiunt, non agnoscimus duas in Christo naturas unitas, neque B voluntates, neque operationes; » quia quidquid Christo, uni ex sacrosancta Trinitate tribuerimus, id in totam sacrosanctam Trinitatem redundabit.

Scholium. Joannes episcopus Theodosianorum ante quinquennium in duabus heortasticis, seu festis epistolis effudit hanc vocem: « Omnia quæ de Christo dicuntur, dici etiam de Patre et Spiritu sancto. » Et accepta jam a nobis prima epistola, idem denuo asseruit, ubi miseri isti rhetores manifeste Gregorio Theologo adversantur; ille enim in Oratione de Filio dicit: « Ea, quæ de Trinitate singulariter dicuntur, in incarnatione Christi contrario modo sese habere: rursus ea, quæ numero multitudinis enuntiantur de Trinitate, enuntiari de incarnatione numero singulari. » Exempli gratia; C unam naturam in sanctissima et consubstantiali Trinitate profiteri edocti sumus; unam voluntatem, unam operationem: in incarnatione vero unius ex sanctissima Trinitate duas naturas hypostatice unitas volendique, et agendi, facultate præditas. Unde divinum Gregorium nos qui recte sentimus, secuti, diversas operationes, et voluntates in Christo statuimus. Ait enim: « Quæ in Trinitate dicuntur singulariter, in Christo sese contrario modo habent. » Nam in Trinitate est alius et alius; in Christo vero non est alius et alius, sed aliud et aliud; in Trinitate autem non aliud et aliud. Verum enimvero ista, qui mente sunt Ægyptii, minime assequuntur, neque intelligunt, ambulantes in tenebris, dicentesque, omnia quæ Christo adjunguntur, in D totam Trinitatem cadere.

Quapropter ex tragicæ hujus fabulæ præscripto, agedum adsint, duæ quasi **132** thymeliearum meretricum orchestræ, et thymelicorum in morem dicta de Christo alternatim vobis mutuo occinite; et illi quidem dicta hæc pronuntient; alii responsantes Trinitati accommodent. Si autem me etiam vultis vobis colludere et illudere, en jam tragœdiam auspicabor. Dico: « Verbum caro factum est; » respondent Severiani: « Trinitas caro facta; omnia enim Christi, Trinitati competunt. » Dico: « Maria mater Christi; » scena Severi recinit: « Maria mater Trinitatis. » Nos cele-

bramus Jesu nativitatem in Bethleem in præsepio; thymelici aiunt : « Ipsam Trinitatem infantem in præsepio jacuisse. » Tibiis vobis iterum cano, et saltastis. Lugeo vos, et vos planxistis. Dico ego : « Christus carne tentatus est ; » vos saltantes respondetis : « Trinitas carne tentata est. » Ego, carnis Christi circumcisionem profiteor ; Severiani, « circumcisionem Trinitatis occinunt. » Ego dico : « Christus colaphis cæditur [4] ; » scena Severi occlamat : « Trinitas colaphis cæditur. » Ego dico : « Christus factus est maledictum [5] ; » respondent Severiani : Trinitas maledictum facta est. » Ecclesia dicit : « Christus proditur ; » Severiani aiunt : « Trinitas prodita est. » Nos dicimus « Christum in carne lacrymas fudisse, et molestias laboresque subiisse ; » Severiani dicunt : « Trinitas flevit, et labores tulit. » Ego dico : « Christus carne passus est [6] ; » Severiani dicunt : « Trinitas passa est. » Ecclesia dicit : « Christus mortuus est ; » Severiani oggerunt : « Trinitas mortua est ; » quia omnia quæ dicuntur de Christo in Trinitatem redundant. Ego vero hæc talia vel in litteras referens, vereor ne tantæ blasphemiæ participem me efficiam.

φάτνῃ. Ἡ θυμέλη λέγει, ὅτι « Ἡ Τριὰς νήπιος ἀνέκειτο ἐν τῇ φάτνῃ. » Αὐλῶ ὑμῖν πάλιν, καὶ ὀρχήσασθε, καὶ θρηνῶ ὑμᾶς, καὶ ὑμεῖς κόψασθε. Λέγει ἐγώ· « Χριστὸς ἐπειράσθη σαρκί. » Ὑμεῖς ὀρχούμενοι λέγετε· « Ἡ Τριὰς ἐπειράσθη ἐν τῇ σαρκί. Ἐγὼ φάσκω Χριστοῦ σαρκικὴν περιτομήν. Σευῆροι αὐλοῦσιν Τριάδος περιτομήν. Ἐγὼ λέγω· « Χριστὸς ῥαπίζεται. » Ἡ ὀρχήστρα βοᾷ, ὅτι « Ἡ Τριὰς ῥαπίζεται. » Ἐγὼ φάσκω· « Χριστὸς κατάρα γέγονεν. » Ἀποκρίνονται Σευῆροι· » Ἡ Τριὰς κατάρα γέγονεν. » Ἡ Ἐκκλησία λέγει· « Χριστὸς προδίδοται. » Σευῆροι λέγουσιν· « Ἡ Τριὰς προεδόθη. » Ἡμεῖς λέγομεν, ὅτι « Ἐδάκρυσεν ὁ Ἰησοῦς σαρκὶ, καὶ ἐκοπίασε. » Σευῆροι λέγουσιν· « Ἡ Τριὰς ἐδάκρυσεν, καὶ ἐκοπίασεν. » Ἐγὼ λέγω· « Χριστὸς σαρκὶ ἔπαθε. » Σευῆροι φάσκουσιν· « Ἡ Τριὰς πέπονθεν. » Ἡ Ἐκκλησία λέγει· « Χριστὸς τέθνηκε. » Σευῆροι φάσκουσιν· « Ἡ Τριὰς τέθνηκεν· » ὅτι πάντα τὰ ἐπὶ Χριστοῦ λεγόμενα εἰς αὐτὴν ἀνατρέχει. Ἐγὼ δὲ καὶ συντάττων ταῦτα, δέδοικα, μὴ ὑποβρύχιος γένωμαι τῷ μεγέθει τῆς βλασφημίας.

Forte Acephalus caput quassans respondebit ad hæc : solum illa quæ de Christo essentialiter dicuntur, toti Trinitati attribuenda esse. Sed in promptu est regerere ; nihilominus dogma vestrum impietate et improbitate non vacare. Quomodo enim poteritis dicere : « Unam Trinitatis personam incarnatam esse ? » Quomodo Trinitas est una hypostasis in duabus naturis ? Quomodo duæ generationes in Trinitate ? Quomodo duæ naturæ et proprietates ? Quomodo Trinitas visibilis est et invisibilis, sicut Christus ? Si vero omnia, quæ in Christo insunt, insunt etiam in Patre et Spiritu sancto, sequitur omnia etiam, quæ in illis insunt, inesse et in Christo. Ex quo constit Christum esse unam naturam in tribus hypostasibus sive personis subsistentem ; ita ut ipse Christus sit simul, et genitus, et procedens; genitor, et quod genitum, ut impius ac scelestus volebat Sabellius : in cujus impietatem necessario incurrunt, qui asserunt unum idemque esse naturam et hypostasin. Perinde enim illis est dicere : **133** naturam Trinitatis incarnatam esse ; si unum idemque sunt natura et hypostasis. Sed, ut videtur, hæretici nihil pensi habent, etiamsi in infinita præcipitia sese dejiciant, dummodo orthodoxam fidem calumniis incessere ac lancinare queant. Illa vero immota ac inconcussa super orthodoxæ petræ firmamento consistit : in quam portæ inferorum, hoc est hæreticorum linguæ, impressionem quidem faciunt; ei tamen nequaquam prævalent, gratia illius qui eam fundavit, Jesu Christi, cui gloria in sæcula sæculorum. Amen.

Ἀλλ' ἴσως ἀνανεύων πρὸς ταῦτα ὁ Ἀκέφαλος φάσκει, ὅτι μόνα τὰ οὐσιωδῶς ἐν Χριστῷ λεγόμενα, ἐπιγράφομεν ὁμοίως τῇ πάσῃ Τριάδι. Ἀλλὰ καὶ πρὸς τοῦτο ἀνθυπαντήσας ἐρῶ, ὅτι δυσσεβὲς ἡμῖν τὸ δόγμα καὶ παράνομον. Πῶς γὰρ δυνηθείητε φάσκειν μίαν Τριάδος φύσιν σεσαρκωμένην; Πῶς ἐκ δύο φύσεων μία ὑπόστασις ἡ Τριάς; Πῶς δύο γεννήσεις ἐπὶ τῆς Τριάδος; Πῶς δύο φύσεις καὶ ἰδιότητες; Πῶς ὁρατὴ καὶ ἀόρατος ἡ Τριὰς ὥσπερ Χριστός; Εἰ δὲ πάντα τὰ ἐν τῷ Χριστῷ ὁρῶνται, καὶ ἐπὶ Πατρὸς, καὶ τοῦ Πνεύματος, πρόδηλον, ὅτι καὶ πάντα τὰ ἐν ἐκείνοις νοοῦνται, καὶ ἐν τῷ Χριστῷ. Καὶ λοιπὸν ἔσεται μία φύσις ὁ Χριστὸς, ἐν τρισὶν ὑποστάσεσι καὶ προσώποις ὑπάρχων. Ὁ αὐτὸς καὶ γεννητὸς, καὶ ἐκπορευτός. Καὶ γεννήτωρ, καὶ γέννημα, κατὰ τὴν Σαβελλίου τοῦ μιαροῦ δυσσέβειαν· εἰς ἣν ἐκ παντὸς τρόπου περιπίπτουσιν οἱ ταυτὸν λέγοντες εἶναι τὴν φύσιν καὶ τὴν ὑπόστασιν. Ὅμοιον γὰρ αὐτοῖς ἐστι τὸ εἰπεῖν, ὅτι ἡ φύσις τῆς Τριάδος ἐσαρκώθη, εἴπερ ταυτὸν φύσις καὶ ὑπόστασις. Ἀλλ', ὡς ἔοικεν, ἠρετίσαντο, ὡς οἴονται, οἱ αἱρετικοὶ μυρίοις κρημνοῖς ἑαυτοὺς καταποντῶσαι, καὶ μόνον Μῶμόν τινα κατὰ τῆς ὀρθοδόξου ἡμῶν πίστεως φλυαρῆσαι. Ἡ δὲ ἵστηκε παγία καὶ ἀκράδαντος ἐπὶ τῷ θεμελίῳ τῆς ὀρθοδόξου πέτρας, πρὸς ἣν αἱ πύλαι τοῦ ᾅδου, τοῦτ' ἔστιν, αἱ τῶν αἱρέσεων γλῶσσαι προσκρούουσι μὲν, οὐκ ἰσχύουσι δὲ αὐτῆς τῇ χάριτι τοῦ θελήσαντος (57) αὐτὴν Χριστοῦ τοῦ Υἱοῦ, τοῦ Θεοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[4] Matth. xxvi, 67. [5] Galat. iii, 13. [6] I Petr. iv, 1.

NOTÆ.

(57) Lego, θεμελιώσαντος.

ΚΕΦΑΛ. ΙϚ'. A CAP. XVI.

Σευηριανοῦ ἐπισκόπου Γαβαλῶν εἰς τὸ ἀποστολικὸν λόγιον, τὸ περὶ Χριστοῦ φάσκον, ὅτι « Ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. »

Καὶ μὴν εἰ ἀπερίγραπτος τυγχάνει ἡ θεότης καὶ ἄποσος, οὐδὲ πλήρωμα δυνατὸν λέγεσθαι ἐπ' αὐτῆς οὐδὲ *πᾶν*. Καὶ γὰρ τὸ πληρούμενον, καὶ πλήρωμα ἔχον, πρόδηλον, ὅτι καὶ ποσότητα ἔχει, καὶ περιγραφὴν, καὶ στάσιν· ὡς ὅτ' ἂν λέγῃ, *Πλήρωμα νόμου* Χριστὸς, τοῦτ' ἔστι, τέλος τοῦ νόμου Χριστός. Καὶ πάλιν τὸ πλήρωμα τοῦ χρόνου, καὶ τὸ *πλήρωμα τῶν ἐθνῶν* τῆς γῆς· οὐ δύναται εἶναι ὑπὲρ τὸ *πᾶν*. Τὸ γὰρ πᾶν, ποσότητός ἐστι σημαντικόν· οἷόν ἐστι *τὸ πᾶν τοῦ χρόνου*, καὶ *τὸ πᾶν τοῦ κόσμου*, καὶ *τὸ πᾶν τοῦ οὐρανοῦ*, καὶ *τὸ πᾶν ὕδωρ*· ἡ θεότης B ὑπὲρ τὸ πᾶν, καὶ ἔστι, καὶ λέγεται, οὐ πλήρωμα ἔχουσα (58).

Πῶς οὖν νοήσωμεν τὸ πᾶν πλήρωμα τῆς θεότητος ἐν Χριστῷ; Καὶ γὰρ καὶ αὐτὸς εἴρηκεν, ὅτι « Οὐκ εἰμὶ μόνος, ἀλλ' ὁ Πατήρ μου μετ' ἐμοῦ ἐστι. » Καί· « Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με. » Καί· τί ἐροῦμεν λοιπόν; Ἆρα τὸ πλήρωμα τῶν τριῶν ὑποστάσεων προσωπικῶς σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν; Οὐδαμῶς. Ὁ Λόγος γὰρ σὰρξ γενόμενος ἐπεφάνη ἐπὶ τῆς γῆς. Ἀλλ' ἐπειδὴ εὐδοκίᾳ, καὶ ἀποστολῇ τοῦ Πατρὸς, καὶ συνεργίᾳ, καὶ ἐπισκιάσει τοῦ παναγίου Πνεύματος, τὸ μυστήριον τῆς σαρκώσεως τοῦ Υἱοῦ γέγονε· τούτου δὴ χάριν ἐν αὐτῷ λέγεται εἶναι πᾶν τὸ πλήρωμα τῆς θεότητος, ταῖς φυσικαῖς πάσαις ἰδιότησι τῆς Τριαδικῆς θεότητος, οὐ ταῖς C ὑποστατικαῖς· οὐ γὰρ τὸ ἀγέννητον πρόσωπον τοῦ Πατρὸς ἐσαρκώθη· οὔτε μὴν ἡ ἐκπορευτικὴ τοῦ ἁγίου Πνεύματος ὑπόστασις· ἀλλὰ τὸ ἀχώριστον τῆς Τριάδος μυστήριον (59). Οὕτω καὶ ὁ ἅγιος Διονύσιος εἶπεν κατὰ τὴν κοινὴν θέλησιν εἶναι ἐν Χριστῷ τὸν Πατέρα, καὶ τὸ ἅγιον Πνεῦμα, ἤτοι κατὰ τὴν εὐδοκίαν, καὶ συναίνεσιν· οὐχ ὥσπερ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ· οὕτω καὶ ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα τοπικὰς περιγραφὰς, καὶ διαιρέσεις, καὶ τρεῖς οἴκους, καὶ χωρισμοὺς ἔχουσιν, ἀλλ' ἀλληλοφυῶς, καὶ συμφυῶς, καὶ φεραλλήλως τὸ μυστήριον τῆς Τριάδος καθέστηκεν. Ἀλλ' ἐπειδὴ ἐν τῇ ἐπιδημίᾳ, καὶ ἐπιφανείᾳ τοῦ Λόγου, Χριστὸς μὲν γέγονεν αὐτὸς ὁ Υἱὸς, καὶ Λόγος, χρίστης δὲ τούτου D ὑπάρχει ὁ Πατὴρ, χρίσμα δὲ αὐτοῦ τὸ Πνεῦμα τὸ ἅγιον· τούτου χάριν λέγεται, ἐν αὐτῷ κατοικεῖν *πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς*. Καὶ γὰρ ἐν ἑκάστῳ γενομένῳ χριστῷ, τριῶν τινων συνεργία καὶ σύνοδος γίνεται, τοῦτ' ἔστι, τοῦ χρίοντος, καὶ τοῦ χριομένου, καὶ τοῦ χρίσματος· ἅτινα εἰ καὶ μὴ ὑποστατικῶς ἑνοῦνται, ἀλλὰ τῇ συνεργίᾳ ὁμαδικῶς

Severiani episcopi Gabalorum in illud Apostoli: « Quoniam in ipso inhabitat omnis plenitudo divinitatis corporaliter [7]. »

Si divinitas est incircumscripta, et quantitatis expers, fieri non potest ut plenitudo de illa dicatur, aut vox *omnis*. Etenim id quod plenum est, et plenitudinem habet, habet etiam quantitatem, et circumscriptionem, et statum; ut cum appellatur Christus *plenitudo legis* [8], hoc est finis legis. Sic plenitudo temporis [9], et plenitudo gentium terræ [10], non potest esse supra omne; *omne* enim quantitatem significat: ut, *omne tempus*, *omnis mundus*, *omne cœlum*, *omnis aqua*. At divinitas et est, et dicitur supra omne, nullam habens plenitudinem, B sed omnem plenitudinem exsuperans.

Quomodo igitur accipiemus omnem in Christo plenitudinem? Etenim ipse etiam dixit: « Quia solus non sum, sed Pater meus mecum est [11]: » et « Spiritus Domini super me, propter quod e unxit me [12]. » Quid ergo dicemus? Num plenitudo trium hypostaseon caro personaliter facta est, et habitavit in nobis? Nam Verbum caro factum apparuit in terra. Sed cum voluntate missuque Patris et Spiritus sancti operatione et obumbratione mysterium Incarnationis peractum sit, eapropter in ipso dicitur esse omnis plenitudo divinitatis cum omnibus naturalibus proprietatibus non personalibus, sed divinæ Trinitatis naturæ communibus. C Neque enim ingenita Patris persona incarnata est: neque Spiritus sancti procedens hypostasis, sed inseparabile Trinitatis mysterium. Sic et sanctus (59) Dionysius dixit, in Christo esse Patrem et Filium secundum communem voluntatem, vel secundum beneplacitum et approbationem: neque sicut Abraham, **134** et Isaac, et Jacob, ita et Pater, et Filius, et Spiritus sanctus locali circumscriptione et divisione tanquam tribus sedibus separantur et sejunguntur, quia Trinitatis mysterium a se mutuo indivisum est, indiscretum, ac prorsus indivulsum. Sed cum in adventu et apparitione Verbi Filius, qui et Verbum, factus sit Christus; hoc est, unctus; is autem, qui eum unxit, fuerit Pater; chrisma vero seu unguen, ipse Spiritus sanctus; idcirco dicitur in D illo *omnis plenitudo divinitatis inhabitare corporaliter*. Etenim in quovis, qui efficitur christus, hoc est, *unctus*, trium actio et concursus requiritur; nimirum ungentis, uncti et unguenti, quæ licet hypostatice simul non uniantur, mutua tamen operatione conjunguntur. Quamobrem Patrum quidam

[7] Coloss. II, 9. [8] Rom. XIII, 10. [9] Rom. XI, 25. [10] Galat. IV, 4. [11] Joan. VIII, 29. [12] Luc. IV, 18.

NOTÆ.

(58) In marg. C. A. notantur ista: Ἄλλως, ὑπερπλήρης ὑπάρχουσα.

(59) Intellige, *in Filio* seu *per Filium*.

ait, ideo nec Patrem, nec Spiritum sanctum incarnatum esse, sed Filium, ne confusio personalium proprietatum in sanctissima Trinitate exsisteret. Nam si Pater in terris natus fuisset, jam Pater simul et Filius esset. Quare convenienter is, qui in cœlis est Filius, nascitur etiam Filius in terris : ut et post partum servetur in Trinitate ingenitum Patris, et processio sancti Spiritus.

A γνωρίζονται. Διὸ καί φησί τις τῶν ἁγίων Πατέρων · ὅτι τούτου χάριν οὐκ ἐσαρκώθη ὁ Πατήρ, ἢ τὸ ἅγιον Πνεῦμα, ἀλλ' ὁ Υἱός, ἵνα μὴ σύγχυσις τῶν ὑποστατικῶν ἰδιοτήτων γένηται ἐπὶ τῆς ἁγίας Τριάδος. Εἰ γὰρ ἐτέχθη ἐπὶ γῆς ὁ Πατήρ, υἱοπάτωρ εὑρίσκετο. Διὸ θεοπρεπῶς ὁ ἄνω Υἱὸς γεννητός, καὶ κάτω υἱὸς γεννητός, ἵνα καὶ μετὰ τόκον σώζηται ἐπὶ τῆς Τριάδος τὸ ἀγέννητον τοῦ Πατρὸς, καὶ τὸ ἐκπορευτὸν τοῦ παναγίου Πνεύματος.

CAP. XVII

Objectio, vel potius inscitia, Severiani contra catholicam Ecclesiam.

« Si est una sanctissimæ Trinitatis natura; ipsa autem natura in hypostasi Filii perfecta et indeficiens subsistit, Filius vero incarnatus est; an non B hinc aperte conficietur, totam divinitatis plenitudinem incarnatam esse, secundum illud : *Quia in ipso inhabitat omnis plenitudo divinitatis corporaliter* [13] ? »

Responsio. Non est tota (61) entitas Trinitatis in propria hypostasi Verbi, ut Sabellius omnia confundens existimat; nam Verbum non habet innascibilitatem Patris, neque generandi potentiam, neque principio caret; neque ad dexteram ejus consi- detur, neque aliquem fert in sinu, neque habet (62) processionem Spiritus, neque alias hypostaticas Patris et Spiritus sancti proprietates. Non sicut Pater ingenitus est, ita et Filius; nec, ut Pater, principio caret : neque procedit (63), neque Spiritum mittit, sicut a Patre missus est. C **135** Quapropter incarnata Filii hypostasis non simul *incarnavit* seu carne vestivit innascibilitatem Patris, neque procedentem hypostasin Spiritus sancti; sed cum omnia naturalia et communia Trinitatis attributa, hoc est, æternum, incircumscriptum, immutabile, perpetuum, bonum, vivificum, et cætera talia invariabiliter, æqualiter, et similiter sint in Filio, sicut in Patre et Spiritu sancto; ideo dictum est, omnem divinitatis plenitudinem in ipso habitare [14] : et secundum hoc, dicitur Christus perfectus in divinitate. Quemadmodum igitur, quantumvis humanitate perfectus esset, non assumpsit in incarnatione omnes hominum personalitates: neque enim habet innascibilitatem Adami; neque illud Evæ, quod est ex costa formatum esse; neque magnitudinem gigantum, neque speciem Æthiopum. Hæc enim sunt hypostaticæ proprietates.

[13] Coloss. II, 9. [14] Coloss. II, 9.

ΚΕΦΑΛ. ΙΖ'.

Ἀπορία, μᾶλλον δὲ ἀπορία (60) *Σευηριανοῦ πρὸς τὴν καθολικὴν Ἐκκλησίαν.*

« Εἰ μία φύσις ἐστὶ τῆς ἁγίας Τριάδος, ὁρᾶται δὲ αὐτὴ ἡ φύσις τελεία, καὶ ἀνελλιπὴς ἐν τῇ ὑποστάσει τοῦ Υἱοῦ. Ἐσαρκώθη δὲ ὁ Υἱὸς, ἆρα ἂν εὑρεθήσεται πάντως ὅλον τὸ πλήρωμα τῆς θεότητος σαρκωθὲν, κατὰ τὸ εἰρημένον, *Ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς;* »

Ἀπόκρισις. Οὐχ ὁρᾶται τὸ ὁλικὸν (61) τῆς Τριαδικῆς ὀντότητος ἐν τῇ ἰδικῇ ὑποστάσει τοῦ Λόγου, ὡς ἡ Σαβελλίου σύγχυσις νομοθετεῖ · οὐ γὰρ ἔχει τὸ ἀγέννητον τοῦ Πατρὸς ὁ Λόγος, οὔτε τὸ γεννητικὸν, οὔτε τὸ ἀναίτιον, οὐδὲ τὸ ἀμφιδέξιον τῆς καθέδρας, οὐδὲ τὸ ἔγκολπον, οὔτε νῦν τὸ τοῦ Πνεύματος ἐκπορευτόν · οὐδέ τι ἕτερον τῶν ὑποστατικῶν ἰδιοτήτων τοῦ Πατρὸς, καὶ τοῦ ἁγίου Πνεύματος. Οὐχ ὥσπερ ἀγέννητος ὁ Πατὴρ, οὕτω καὶ ὁ Υἱός · οὔτε δὲ πάλιν ἀναίτιος ὁ Υἱὸς, οὔτε ἐκπορευτὸς (62), οὔτε ἀποστέλλων τὸν Πατέρα, καθ' ἃ ἀπεστάλη ὑπὸ τοῦ Πατρός. Διόπερ, σαρκωθεῖσα ἡ τοῦ Υἱοῦ ὑπόστασις, οὐ *συνεσάρκωσεν* ἑαυτῇ τὴν ἀγεννησίαν τοῦ Πατρὸς, οὐδὲ τὴν ἐκπορευτικὴν ὑπόστασιν τοῦ ἁγίου Πνεύματος. Ἀλλ' ἐπειδὴ πάντα τὰ φυσικὰ τῆς Τριάδος ἰδιώματα, τοῦτ' ἔστι τὸ ἄναρχον, τὸ ἄκτιστον, τὸ ἀπερίγραπτον, τὸ ἀναλλοίωτον, τὸ ἀδιάδοχον, τὸ ἀγαθὸν, τὸ ζωοποιὸν, καὶ πάντα τὰ τοιαῦτα ἀπαραλλάκτως, καὶ ἰσοφυῶς, καὶ ὁμοφυῶς ὁρᾶται ἐν τῷ Υἱῷ, ὥσπερ καὶ ἐν τῷ Πατρὶ, καὶ ἐν τῷ ἁγίῳ Πνεύματι, τούτου χάριν εἴρηται, *κατοικεῖν ἐν αὐτῷ πᾶν τὸ πλήρωμα τῆς θεότητος*, καὶ κατὰ τοῦτο εἴρηται τέλειος ὁ Χριστὸς ἐν θεότητι. Ὥσπερ οὖν καὶ τέλειος ἐν ἀνθρωπότητι λεγόμενος, οὐ συνέλαβεν ἐν τῇ σαρκώσει πάσας τῶν ἀνθρώπων τὰς ὑποστατικὰς ἰδιότητας · οὐ γὰρ εἶχε τὸ ἀγέννητον τοῦ Ἀδάμ · οὐδὲ τὸ πλευρογέννητον τῆς Εὔας · οὐδὲ τὸ μέγεθος τῶν γιγάντων · οὔτε τὸ εἶδος τῶν Αἰθιόπων. Αὗται γὰρ ὑποστατικαί

NOTÆ.

(60) Videtur leg. *ἀπειρία*.

(61) Nimirum formaliter, prout Filius realiter distinguitur a Patre et Spiritu sancto, iisque relative opponitur.

(62) Id est, non procedit sicut sanctus Spiritus; quia generatur.

(63) Non sequitur hoc loco Anastasius errorem recentiorum Græcorum de processione Spiritus sancti ex solo Patre; nam si verba hæc referre velimus ad missionem originis, seu ad ipsam Spiritus sancti processionem ad intra, tum non mittit Filius Spiritum sanctum sicut Pater, quia Pater mittit et producit illum, ut principium sine principio, utque fons sine fonte; at Filius mittit eumdem ut principium a principio; et fons a fonte. Quo pacto respondent etiam theologi ad simile dictum, quod Græci ex D. Dionysio Areopag. proferunt. Vide Bellarm. lib. XI *De Christo*, cap. 27. Et eadem responsio accommodari potest Anastasii verbis, siquis velit ea intelligi debere de missione Spiritus sancti ad extra, qualis illa Act. 2; nam quod alioqui hoc etiam modo Christus Spiritum sanctum mittat, inlubitatum est ex cap. XIV, XV et XVI Joannis.

εἰσιν ἰδιότητες. Ἀλλ' ἐπειδὴ πάντα τὰ κοινὰ, καὶ φυσικὰ τοῦ ἀνθρώπου ἐκουσίως κατεδέξατο, τοῦτ' ἔστι, τὸ κτιστὸν, τὸ ὁρατὸν τὸ φθαρτὸν, τὸ θνητὸν, καὶ ὅσα ἄλλα ἐν ἡμῖν ἀδιάβλητα, καθὰ Παῦλος βοᾷ, τούτου χάριν αὐτὸν τέλειον καὶ ἐν ἀνθρωπότητι γινώσκομεν. Ταῖς οὖν φυσικαῖς ἰδιότησι πᾶν τὸ πλήρωμα τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος ὁρᾶται ἐν τῷ Χριστῷ· οὔτε γὰρ ἐὰν τὸν ἴδιον ὄνυχά τις πορφυροβαφήσῃ, ἤδη καὶ τὴν σάρκα, καὶ τὸ ὀστοῦν τοῦ δακτύλου συνεπορφυροβάφησε, καίπερ ἀδιαιρέτων τῶν τριῶν ὑπαρχόντων. Οὐκοῦν οὐδὲ ὁ Πατὴρ, καὶ τὸ ἅγιον Πνεῦμα καθ' ὑπόστασιν συνεβάφη, καὶ συναιματώθη τῷ Υἱῷ. Πλὴν ὡς ἐνώπιον Θεοῦ εὐαγγελίζομαι ἀρὰν μεγάλην παντὶ λέγοντι τὴν φύσιν, ὑπόστασιν· ὅτι καὶ Σαβελλίου, καὶ Ἀρείου, καὶ Νεστορίου δυσσεβείαις περιπίπτει· οὔτε γὰρ ἐὰν εἷς ἐωσφόρος ἀμφιέσηται νεφέλην, δυνάμεθα εἰπεῖν, ὅτι πάντες οἱ ἀστέρες συνημφιέσθησαν τοῦτο κατὰ τὰς ἰδίας ὑποστάσεις, ἀλλ' ἢ μόνον κατὰ τὴν κοινὴν τῆς φύσεως τοῦ φωτὸς ἰδιότητα.

A Sed quia omnia quæ hominibus sunt communia et naturalia assumpsit, hoc est, creatum, aspectabile, corruptibile, mortale, et similia nulli reprehensioni in nobis obnoxia, sicut docet Paulus, idcirco ipsum in humanitate etiam perfectum confitemur. Omnis igitur plenitudo divinitatis et humanitatis in Christo inest, quod ad naturales proprietates attinet: neque enim si quis purpureo colore proprium unguem tingat, propterea carnem quoque et ossa digiti purpureo colore inficit, quamvis hæc tria inseparabiliter sibi mutuo cohærescant. Igitur neque Pater neque Spiritus sanctus secundum hypostasin simul cum Filio quasi carne tincti et corpore vestiti sunt. Verumenimvero tanquam in conspectu Dei anathema universasque diras denun-
B tio omni illi, qui naturam asserit esse hypostasin: quod cum Sabellii, Arii et Nestorii impietate colludit; neque enim si verus Lucifer nebula circumdetur, dicere potes omnes stellas secundum proprias hypostases nebula circumdatas esse, sed solum secundum communem naturæ luminis proprietatem.

Σχόλιον. Εἰς τὸ ἔσχατον τετράδιον κεῖται τὰ ἀκόλουθα.

Scholium. Reliqua invenientur in ultimo tetradio seu quaternione.

Ταύταις ταῖς δυσσεβείαις περιπίπτουσιν οἱ αἱρετικοὶ, ἐκ τοῦ Ἀριστοτελικῶς (64) αὐτοὺς νοεῖν τὴν φύσιν καὶ τὴν ὑπόστασιν· ἐκεῖνος γὰρ εἶπεν, ἰδικὰς φύσεις εἶναι τὰς ὑποστάσεις. Οἱ μὲν οὖν μακάριοι Πατέρες εἰς εἰκόνα τυπικὴν λαμβάνουσι τὸν ἄνθρωπον ἐπὶ τοῦ Χριστοῦ, βουλόμενοι ὡς ἔν τινι σκιαγραφίᾳ δεῖξαι τὸ
C ὁρατὸν αὐτοῦ, καὶ τὸ φόρατον, καὶ τὸ θνητὸν, καὶ ἀθάνατον, καὶ τὸ ψηλαφητὸν, καὶ ἀψηλάφητον. Οἱ δὲ κακόφρονες τῶν μονοφυσιτῶν παῖδες, λαβόντες τὴν ἀφορμὴν ἐκ τῶν ἁγίων Πατέρων κατ' αὐτὴν εἰς εἰκόνα τινὰ τυπικὴν, ἀλλ' ἰσότητα φυσικὴν ἐπὶ Χριστοῦ κέχρηνται τῷ τοῦ ἀνθρώπου παραδείγματι.

Tanquam igitur in figura quadam et umbratili delineatione, demonstrarent in Christo tam id quod est aspectabile; quam id quod inaspectabile; tam mortale, quam immortale; tam quod sub tactum cadit, quam quod tactum effugit. At vero improbi Monophysitarum sectatores, arrepta **136** ex sanctis Patribus occasione, non utuntur amplius hoc exemplo hominis, tanquam imagine quadam ad rem utcunque declarandam allata, sed naturalem æqualitatem inde evincere contendunt.

ΚΕΦΑΛ. ΙΗ'.

Κεφάλαιον περὶ τοῦ ὑποδείγματος τῆς τοῦ ἀνθρώπου κατασκευῆς, καὶ συνθέσεως, καὶ ὅτι κακῶς αὐτὸ νοοῦσι οἱ Σευήρου σύμφρονες, βουλόμενοι ἐκ δύο μερικῶν καὶ ἀτελῶν φύσεων μίαν φύσιν εἶναι τῆς θεότητος καὶ τῆς
D *ἀνθρωπότητος τοῦ Χριστοῦ κατὰ τὸ ἀνθρώπου παράδειγμα.*

CAP. XVIII.

Caput de exemplo ex constitutione et compositione hominis petito: quodque illi Severi asseclæ perperam accipiant et interpretentur, docentes ex duabus partialibus, et imperfectis naturis unam naturam divinitatis et humanitatis in Christo constitutam esse secundum allatum de homine exemplum.

Σευήρου γὰρ ἤκουσαν λέγοντος, ὅτι « Ὥσπερ ἐπὶ τῆς μιᾶς τοῦ ἀνθρώπου φύσεως μέρος μὲν ταύτης ἐστὶν ἡ ψυχὴ, μέρος δὲ τὸ σῶμα, οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ, καὶ τῆς μιᾶς αὐτοῦ φύσεως, μέρους τάξιν ἐπέχει ἡ θεότης, καὶ μέρους τὸ σῶμα. » Τοῦτο δὲ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ τὸ ὁμολογεῖν ἐκ δύο ἀτελῶν πραγμάτων εἶναι τὸν Χριστὸν, ἐξ ἀτελοῦς θεότητος, καὶ ἐξ ἐλλειποῦς ἀνθρωπότητος, καὶ μὴ εἶναι αὐτὸν τέλειον ἐν θεότητι, ἀλλ' ἡμίθεον Θεὸν, καὶ ἡμιμερῆ

Audiverunt enim Severum asserentem: « Quemadmodum unius in homine naturæ alia pars est anima, alia corpus; sic et in Christo, ejusque una natura, unam partem esse divinitatem; alteram corpus. » Hoc vero nihil est aliud, quam ex duabus rebus imperfectis, constitutum esse Christum, ex imperfecta nimirum divinitate, et ex imperfecta humanitate: neque divinitate perfectum esse sed semi-deum quemdam et semi-hominem. Nos vero

NOTÆ.

(64) Non male Aristoteles; sed male hæretici, qui Aristotelem non intellexerunt.

hanc tantam eorum absurditatem hunc in modum refellimus. Et primum quidem illud respondemus exempla non esse, quoad omnia, rebus similia, nam in Scriptura etiam *vermiculus* figuram Christi gerit, et leo, et ovis, et agnus, et palma, et pomum, et lilium [13], quorum nihil secundum naturalem suam substantiam Christo simile censeri potest. Secundo respondemus : Si exemplum, quod nobis de Christo objicitis, aliud quiddam esset, et aliud, quod in adventu ad nos suo Christus assumpsit, potuissetis fortassis aliquid hic afferre, quod a ratione non prorsus alienum foret. At vero cum Christus ipsum exemplum, nempe humanam naturam, hoc est, duas nostras partiales naturas, ut dicitis, sibi hypostatice univerit, fit, ut duas in Christo naturas constituatis ; unam quidem perfectam divini Verbi : alias vero dimidiatas, animæ nimirum nostræ et corporis.

Aliis etiam modis difficile non fuerit deprehendere dissimilitudinem exempli ex hominis compositione adducti. Nam homo constat ex duabus rebus creatis, ex anima, inquam, et corpore : at Christus ex increata divinitate, et creata humanitate. Homo ex duobus circumscriptis **137** compositus est ; Christus ex circumscripto corpore, et ex incircumscripta divinitate. Homo ex materiali et intellectuali parte coagmentatus est, at Christus ex Verbo divino, et humanitate rationis participe ; et secundum exsistentiam rationali. Neque corpus exstitit ante animam, neque anima ante corpus. At Verbum divinum ante omnia sæcula, ante animas et corpora exstitit. Alia innumera hujus generis reperies in divinitate, quæ neque animæ, neque corpori competant. Quod si conetur Severus probare per omnia esse æqualitatem in compositione hominis, et in inenarrabili unione Christi, noverit imperitus eum qui hominis constitutionem accuratius perpendere ac introspicere velit, comperturum eum non modo ex duabus, sed et ex pluribus naturis constare. Nam corpus conflatum est ex quatuor simplicibus naturis sive elementis ; distincta vero ab his natura est anima ; diversa item natura Dei Verbi. Itaque exemplum hominis de Christo accipi debet, ut exemplum, non ut æqualitatis argumentum.

CAP. XIX.

Oppositio improbi Paulianistæ adversus Severianum, contendentem æqualem prorsus esse rationem Christi, quæ est in compositione hominis.

PAULIANISTA. Severus demonstrare conatus Christum esse partialem Deum et partialem hominem ; unamque naturam ex duabus imperfectis naturis conflatam, perpetuo nobis ingerit, et occinit exemplum de homine ; cum neque Mosaica, neque prophetica, neque evangelica Scriptura usquam testificetur animam et corpus hominis esse formam et exemplar compositionis Christi. Nimirum, cum

[13] Psal. xxi, 7 ; III Reg. xiii. 24 ; Apoc. v, 2 seqq. ; Isa. liii, 1 seqq. ; Cant. vii, 2 seqq. ; Cant. iv, passim ; Cant. ii, v, vii.

ἄνθρωπον. Ἡμεῖς δὲ τὴν αὐτῶν ἀτοπίαν ἀνατρέποντες, οὕτω πρὸς αὐτοὺς παραταξώμεθα. Καὶ πρῶτον ἐκεῖνο ἐροῦμεν, ὅτι οὐκ ἐξομοιοῦνται τοῖς παραδείγμασι τὰ πράγματα, ἐπεὶ καὶ *σκώληξ* εἴρηται ἐν τῇ Γραφῇ τύπος τοῦ Χριστοῦ εἶναι, καὶ λέων, καὶ πρόβατον, καὶ ἀρνίον, καὶ φοίνιξ, καὶ μῆλον, καὶ κρῖνον. Ἀλλὰ μὴν οὐδὲν τούτων κατ' οὐσίαν ἐξομοιοῦται φυσικῶς. Δεύτερον ἐκεῖνο πάλιν λέξομεν αὐτοῖς, ὅτι εἰ μὲν ἕτερόν τι ἦν τὸ ὑπόδειγμα, ὃ προφέρετε ἡμῖν ἐπὶ Χριστοῦ, καὶ ἕτερόν τι ὅπερ ἐπιδημήσας ἀνέλαβε, τάχα ἂν ἠδύνασθέ τι λέγειν εὔλογον ἔχειν ἐπὶ τούτῳ. Ἐπειδὴ δὲ αὐτὸ τὸ παράδειγμα, λέγω δὴ τὸν ἄνθρωπον, ἥνωσεν ἑαυτῷ καθ' ὑπόστασιν, τοῦτ' ἔστιν τὰς δύο ἡμῶν μερικὰς οὐσίας, ὡς λέγετε, καὶ οὕτω ; ἀπεκδέχεσθε δύο ἐπ' αὐτοῦ ὁμολογοῦντες τὰς φύσεις· μίαν μὲν τελείαν τὴν τοῦ Θεοῦ Λόγου· ἑτέρας δὲ ἡμισείας τῆς ἡμετέρας ψυχῆς καὶ τοῦ σώματος.

Καὶ καθ' ἑτέρους δὲ πλείονας τρόπους εὑρήσεις τὸ τοῦ ἀνθρώπου παράδειγμα ἀνόμοιον ἐπὶ τοῦ Χριστοῦ. Ὁ μὲν γὰρ ἄνθρωπος ἐκ δύο πραγμάτων κτιστῶν σύγκειται, τῆς ψυχῆς λέγω καὶ τοῦ σώματος· ὁ δὲ Χριστὸς ἐξ ἀκτίστου θεότητος, καὶ κτιστῆς ἀνθρωπότητος. Ὁ ἄνθρωπος, ἐκ δύο περιγραπτῶν· ὁ Χριστὸς, ἐκ περιγραπτοῦ σώματος, καὶ ἀπεριγράπτου θεότητος. Ὁ ἄνθρωπος, ἐξ ὑλικοῦ, καὶ νοεροῦ σύνέστη· ὁ δὲ Χριστὸς, ἐκ Θεοῦ Λόγου, καὶ λογικοῦ ἀνθρώπου, νοεροῦ εἰς ὕπαρξιν. Οὔτε γὰρ σῶμα πρὸ τῆς ψυχῆς συνέστηκεν, οὔτε ἡ ψυχὴ πρὸ τοῦ σώματος. Ὁ δὲ Θεὸς Λόγος, πρὸ πάντων τῶν αἰώνων, καὶ ψυχῶν, καὶ σωμάτων καθέστηκε. Καὶ ἄλλα δὲ μυρία τοιαῦτα εὑρήσεις ἐπὶ τῆς θεότητος, μὴ ἁρμόζοντα, μήτε ἐπὶ τῆς ψυχῆς μήτε ἐπὶ τοῦ σώματος. Εἰ δὲ φιλονεικεῖ ὁ Σεῦηρος κατ' ἰσότητα τῆς τοῦ ἀνθρώπου συνθέσεως ἀποδεῖξαι καὶ τὴν ἄῤῥητον ἕνωσιν τοῦ Χριστοῦ, μανθανέτω ὁ ἀπαίδευτος, ὅτι ὁ βουλόμενος τὴν τοῦ ἀνθρώπου κατασκευὴν ἀκριβέστερον διασκέψασθαι, οὐ μόνον ἐκ δύο φύσεων εὑρήσει τοῦτον συγκείμενον, ἀλλὰ καὶ ἐκ πλειόνων. Ἐκ τεσσάρων μὲν γὰρ ἁπλῶν οὐσιῶν, ἤτοι τῶν στοιχείων, σύγκειται τὸ σῶμα· ἑτέρα δὲ παρὰ ταῦτα οὐσία ἐστὶν ἡ ψυχή· ἑτέρα δὲ ἡ τοῦ Θεοῦ Λόγου. Ὥστε ὑποδείγματι, ἀλλ' οὐκ ἰσότητι ἐπὶ Χριστοῦ νοητέον τὸν ἄνθρωπον.

ΚΕΦΑΛ. ΙΘ'.

Ἀντίθεσις κακοτρόπου Παυλιανιστοῦ πρὸς Σευηριανὸν προφέροντα κατ' ἰσότητα τοῦ Χριστοῦ εἶναι τὴν τοῦ ἀνθρώπου σύνθεσιν.

ΠΑΥΛΙΑΝΙΣΤΗΣ. Ἀγωνιζόμενος Σεῦηρος μερικὸν Θεὸν καὶ μερικὸν ἄνθρωπον ἀποδεῖξαι τὸν Χριστὸν, ἐκ δύο ἀτελῶν φύσεων μίαν ὑπάρχοντα φύσιν, ἄνω καὶ κάτω τὸ τοῦ ἀνθρώπου ἡμῖν φέρει καὶ ἀποφέρει ὑπόδειγμα, μήτε τῆς Μωσαϊκῆς, μήτε τῆς προφητικῆς, ἢ εὐαγγελικῆς Γραφῆς που μαρτυρούσης, εἰς τύπον τῆς Χριστοῦ συνθέσεως εἶναι τὴν ψυχὴν καὶ τὸ ἀνθρώπινον σῶμα. Ἀλλ' ἀπετυφλώθη

καταλιπὼν τοὺς τῶν θείων Γραφῶν περὶ Χριστοῦ τύπους, καὶ ἰδίους ἀναπλάττεται μύθους. Τύπος μὲν γὰρ πρωτότυπος καὶ θεοχάρακτος ἐν τῇ θείᾳ Γραφῇ τυγχάνει τοῦ Χριστοῦ ὁ θεῖος Ἰσαὰκ, καὶ ὁ ἀντ' αὐτοῦ σφαγιασθεὶς κριὸς, τῶν δύο προσώπων τῶν ἑτερογενῶν αὐτοῦ σαφῶς τὴν εἰκόνα προδιαγράφοντες. Οὐ τοῦτον δὲ καὶ μόνον τὸν τύπον ὁ χορὸς τῶν ἀοιδίμων Πατέρων οἶδεν εἰς Χριστὸν ἀναφέρειν· ἀλλὰ καὶ ἑτέρους πλείονας, λέγω δὴ τὸν ἱερὸν Μωσέα, καὶ τὴν θήκην, εἰς ἣν κατακλεισθεὶς ἀπερρίφη ὑπὸ τῆς ἰδίας μητρὸς ἐν τῷ ῥείθρῳ τοῦ ποταμοῦ. Δύο πάλιν ἡμῖν τὰς Χριστοῦ ὑποστάσεις κηρύττουσα ἡ θεία Γραφὴ, διὰ τοῦ Μωσέως καὶ τῆς κιβωτοῦ, καθάπερ, καὶ ἡ ἑτέρα κιβωτὸς, ἡ ἐκ ξύλων ἀσήπτων καὶ χρυσίου συγκειμένη, τύπον ἐνεργῆ φέρει ἡμῖν τῶν ἑτερουσίων φύσεων ἡγοῦν Χριστοῦ ὑποστάσεων. Τί δὲ ἄρα δοκεῖ τῷ Σευήρῳ αἰνίττεσθαι καὶ ἡ στάμνος ἡ χρυσῆ, ἡ τὸ οὐράνιον ἔχουσα μάννα, εἰ μὴ τοὺς ἀλλοφύλους καὶ ἑτεροφυεῖς τοῦ Χριστοῦ ὑποστάσεις; Ὡσαύτως καὶ αἱ δύο τρυγόνες, ἡ θυομένη, καὶ μὴ θυομένη, δύο Χριστοῦ προσώπων εἰσὶ δηλωτικὰ σαφῶς, λέγω δὴ τῆς ἀπαθοῦς αὐτοῦ θεότητος, καὶ τῆς παθητῆς αὐτοῦ σαρκός. Ὥσπερ πάλιν καὶ οἱ δύο τράγοι, ὁ σφαζόμενος, καὶ ὁ εἰς τὴν ἔρημον ἐκπεμπόμενος, σαφῶς ἡμῖν τὸ διάφορον τῶν τοῦ Ἐμμανουὴλ λαλοῦσι χαρακτηριστικῶν ὑποστάσεων, τοῦ ἐν μορφῇ Θεοῦ, καὶ ἐν μορφῇ ἀνθρώπου ὑπάρχοντος. Εἰ δὲ δάκνεται καὶ κρεουργεῖται τούτων ἀκούων Σεῦῆρος, καὶ οἱ σὺν αὐτῷ ἀπαρνούμενοι τὴν τοῦ Σωτῆρος ἐνανθρώπησιν, πάντως λέξουσι, μὴ ἐξομοιοῦσθαι τὰ παραδείγματα αὐτοῖς τοῖς πράγμασιν. Οὐκοῦν, ὦ ἀνόητοι, μηδὲ τὸ τοῦ ἀνθρώπου ὑπόδειγμα ἐν ἀπαραλλάκτῳ ἰσότητι τῆς ἑνώσεως καὶ ἐνανθρωπήσεως τοῦ Χριστοῦ κηρύττετε, ἐπὶ φθορᾷ τῶν ἑκατέρων αὐτοῦ φύσεων.

A de Christo disserit, oblitus a sacris Litteris tradita exempla usurpare, proprias sibi comminiscitur fabellas. In divina enim Scriptura typum Christi, imo et prototypum a Deo expressum, et delineatum gerit divinus Isaac, et qui loco ejus immolatus est, aries [16], duæ scilicet personæ, diversa natura, et substantia constantes. Neque hunc solum typum retulerunt sancti Patres ad Christum, sed et alios, Moysen, inquam, et fiscellam [17], in qua abjectus est a matre in fluvium. Ubi divina Scriptura rursus duas hypostases deprædicat, per Moysen videlicet ac fiscellam seu arcam, quemadmodum et alia arca ex lignis imputribilibus, et auro **138** confecta [18], manifestum typum nobis exhibet diversarum in Christo naturarum sive hypostaseon. Et quidnam Severo insinuare videtur arca aurea, in qua cœleste manna asservabatur [19], nisi diversas et nullo cognationis vinculo inter se colligatas Christi hypostases? Similiter et duo turtures, quorum alter sacrificabatur, alter non sacrificabatur [20], manifestissimam gerunt duarum in Christo personarum figuram; impassibilis, inquam, divinitatis, et passibilis carnis illius. Quemadmodum et duo hirci, quorum unus immolabatur, alter in desertum dimittebatur [21], clare nobis repræsentant characteristicarum hypostaseon diversitatem in Emmanuele nostro tam in forma Dei, quam in forma hominis subsistente. Si vero ista Severum, omnesque illos, qui Salvatoris incarnationem inficiantur, mordent et lancinant, omnino necesse est, ut fateantur, exempla non semper omni ex parte rebus respondere. Quocirca, o stolidi, neque hominis exemplum invariabili similitudine, et æqualitate ad unionem et incarnationem Christi accommodate, idque eo fine, ut alterutram ipsius naturam evertatis.

Σχόλιον. Ἐκ δύο ἀθανάτων, λόγου, καὶ ψυχῆς, καὶ θνητοῦ σώματος σύγκειται ὁ Χριστός· καὶ πῶς λοιπὸν ἐπὶ τοσαύτης ἑτερουσίας, καὶ παραλλαγῆς ἀσυγχύτου, μία φύσις δύναται εἶναι;

Scholium. Ex duobus immortalibus Verbo nimirum et anima; et ex mortali corpore constat Christus; et quomodo ex tanta substantiæ differentia, et diversitate potest una natura constitui?

Τούτων ἐξ αἱρετικῶν πρὸς αἱρετικοὺς εἰρημένων οὐ βλάπτει ἔχειν τὴν αὐτῶν εἴδησιν, καὶ ἦλῳ τὸν ἦλον συντρίβειν τῶν κακοτρόπων.

Hæc ab hæreticis adversus hæreticos prolata, nosse, et clavum improborum clavo pellere expedit.

ΚΕΦΑΛ. Κ'.

Κεφάλαια συλλογιστικὰ κατὰ Σευηριανῶν ἀφρόνων.

CAP. XX.

Variæ quæstiones contra Acephalos.

Ἐρώτησις ΟΡΘΟΔΟΞΟΥ. Καθ' ὑπόστασιν ἀδιαίρετον καὶ ἄῤῥητον ὁμολογεῖς ἐν τῇ σαρκώσει ἑνωθέντα τὸν Θεὸν Λόγον τοῖς σπλάγχνοις, καὶ τοῖς στέρνοις τῆς παναμώμου Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, ἢ κατ' ἐνοίκησιν ψιλὴν, καθ' ὁμοιότητα τῶν λοιπῶν ἀνθρώπων, ὡς ἐν σκηνῇ τινι καὶ οἴκῳ, καθὰ λέγει Νεστόριος;

Quæstio ORTHODOXI. Num confiteris Verbum divinum secundum hypostasin indivisibilem et ineffabilem in Incarnatione unitum visceribus, et præcordiis integerrimæ Deiparæ et semper Virginis Mariæ, an secundum solam inhabitationem, ad similitudinem aliorum hominum, tanquam in tabernaculo et domo quadam, ut vult Nestorius?

Ο ΑΚΕΦΑΛΟΣ. Πρόδηλον, ὅτι καθ' ὑπόστασιν ἄῤῥητον καὶ ἀδιαίρετον ὁμολογοῦμεν ἑνωθέντα τὸν Θεὸν Λόγον τῇ οὐσίᾳ, καὶ γαστρὶ καὶ τοῖς σπλάγχνοις αὐτῆς, καθὰ καὶ οἱ ἅγιοι Πατέρες ἐκήρυξαν.

ACEPHALUS. Constat nos confiteri Verbum divinum secundum ineffabilem, et indivisam suam hypostasin substantiæ, ventri et visceribus matris unitum fuisse, ut sancti Patres tradiderunt.

[16] Gen. xxii, 12, 13. [17] Exod. ii, 3. [18] Exod. xxv, 10 seqq. [19] Hebr. ix, 4. [20] Levit. v, 7 seqq.; Num. vi, 10, 11. [21] Num. xxviii, 15 seqq.

ORTHODOXUS. Sic se habet veritas; sic **139** A credimus, sic docemus. Dic amplius, o bone, Verbo divino secundum hypostasin visceribus, carni et medullis decantatissimæ Deiparæ unito, indivisibiliter itidem et inseparabiliter incarnato, et exsistentiæ ejus immaculatæ et illibatæ quasi adnato et concreto; quando ferebat Verbum in utero sibi secundum hypostasin conjunctum, et quidem novem mensium spatio. Num una natura erat Virgo, et Verbum divinum secundum hypostasin illi unitum, an duæ naturæ? Et si matris et Verbi divini unam naturam arbitraris esse, cedo, quamnam partem hujus unius naturæ accipiens Christus in partu a matre sejunctus est? et quænam pars remansit in Virgine? Si vero Virgo et Verbum non sunt una, sed duæ naturæ post unionem hypostaticam in B utero Virginis peractam, cur ergo incassum perpetim vociferamini, fieri non posse, ut post unionem hypostaticam sint naturæ duæ?

Alia quæstio. Si transitio de loco ad locum incircumscriptæ naturæ non convenit; Verbum enim cœlum et terram implet; quomodo incarnatus, et ex sanctissima Virgine natus Christus ex eadem processit, et ab eadem sejunctus est? Nam si dicas eum in partu sola et nuda carne a matre separatum esse, jam in Nestorii errorem incurris. Si vero carne et divinitate, a matre sejunctus est, quomodo divinitas secundum hypostasin visceribus et præcordiis sanctissimæ Virginis unita, per nativitatem ab illa separari potuit? C

Alia quæstio. Quomodo existimas Spiritum sanctum, Christo in Jordane baptizato, descendentem mansisse in Christo? num hypostatice secundum substantiam et veritatem, an secundum gratiam quamdam et sanctificationem quemadmodum in prophetis, iisque qui tantum sunt nomines, manere solet, ut placet hæreticis?

ACEPHALUS. Manifestum est Spiritum sanctum substantialiter ad Christum venisse, inque eo mansisse, non autem ut in aliquo propheta.

ORTHODOXUS. Dic ergo mihi, cum, ut ais, D Spiritus sanctus in Christo hypostatice manserit, num Verbum et caro, et Spiritus sanctus una sunt natura an duæ?

Ο ΟΡΘΟΔΟΞΟΣ. (65) Οὕτως ἔχει ἡ ἀλήθεια, καὶ οὕτω πιστεύομεν, καὶ οὕτως κηρύττομεν. Εἰπέ μοι λοιπὸν, παρακαλῶ, ὦ βέλτιστε, τοῦ Θεοῦ Λόγου καθ' ὑπόστασιν ἡνωμένου τοῖς σπλάγχνοις, καὶ σαρκὶ, καὶ μυελοῖς τῆς πανυμνήτου Θεοτόκου, καὶ ἀδιαιρέτως καὶ ἀχωρίστως σαρκωθέντος, καὶ συμπλακέντος τῇ παναχράντῳ ὑπάρξει αὐτῆς, ὅτε ἔφερεν αὐτὸν ἐν γαστρὶ, καθ' ὑπόστασιν ἡνωμένον ἐν αὐτῇ τὸν ἐννεαμηναῖον χρόνον, πότερον μία φύσις ἦν ἡ Παρθένος, καὶ ὁ καθ' ὑπόστασιν ἡνωμένος τῇ σαρκὶ αὐτῆς Θεὸς Λόγος, ἢ δύο φύσεις; Καὶ εἰ μὲν μίαν φύσιν εἴπῃς τῆς γυναικὸς καὶ τοῦ Θεοῦ Λόγου, εἰπέ μοι, πόσον μέρος ταύτης τῆς μιᾶς φύσεως ἐν τῷ τόκῳ λαβὼν ὁ Χριστὸς, διέστη ἐξ αὐτῆς; καὶ πόσον ἀπέμεινεν ἐν αὐτῇ; Εἰ δὲ οὐκ ἔστι μία, ἀλλὰ δύο φύσεις, ἡ Παρθένος καὶ ὁ Θεὸς Λόγος, μετὰ τὸ γενέσθαι τὴν καθ' ὑπόστασιν ἕνωσιν ἐν τῇ κοιλίᾳ αὐτῆς, τί μάτην προφασίζεσθε φάσκοντες, ἀδύνατον εἶναι δύο φύσεις μετὰ τὴν καθ' ὑπόστασιν, ἕνωσιν;

Ἄλλος λόγος. Ἡ ἐκ τόπου εἰς τόπον ἐκπορευτικὴ μετάστασις οὐκ ἔστιν ἀπεριγράπτου φύσεως. Τὸν οὐρανὸν γὰρ καὶ τὴν γῆν πληροῖ ὁ Λόγος καὶ Θεός· σαρκωθεὶς τοίνυν, καὶ τεχθεὶς ἐκ τῆς ἁγίας Παρθένου, πῶς προῆλθε, καὶ ἐχωρίσθη ἐξ αὐτῆς ὁ Χριστός; Κἂν γὰρ κατὰ σάρκα (66) ψιλὴν εἴπῃς αὐτὸν χωρισθέντα ἐν τῷ τόκῳ, ἐκ τῆς μητρὸς, ἰδοὺ τὰ Νεστορίου φρονεῖς. Εἰ δὲ σαρκὶ καὶ θεότητι χωρισμὸν (67) ἐκ τῆς μητρὸς πεποίηκε, πῶς ἡ καθ' ὑπόστασιν ἡνωμένη θεότης τοῖς σπλάγχνοις καὶ στέρνοις τῆς ἁγίας Παρθένου ἐχωρίσθη τεχθεῖσα (68) ἀπ' αὐτῆς;

Ἄλλως περὶ αὐτοῦ ἐρωτήσεως. Πῶς φρονεῖς τὸ πανάγιον Πνεῦμα κατελθὸν ἐν τῷ Ἰορδάνῃ, καὶ μεῖναν ἐν Χριστῷ; κατ' οὐσίαν καὶ κατ' ἀλήθειαν ὑποστατικῶς, ἢ κατὰ χάριν τινὰ καὶ ἁγιασμὸν, ὡς ἐφ' ἑνὸς τῶν προφητῶν καὶ ψιλῶν ἀνθρώπων, καθά φησιν οἱ αἱρετικοί;

Ο ΑΚΕΦΑΛΟΣ. Πρόδηλον, ὅτι οὐσιωδῶς, καὶ οὐχ ὡς ἐφ' ἑνὸς τῶν προφητῶν ὁμολογοῦμεν τὸ πανάγιον Πνεῦμα ἐπιδημῆσαν, καὶ μεῖναι ἐν τῷ Χριστῷ.

Ad hæc ita respondet Andreas. « Quam præclarum judicium. Quam pia est hæc Cyrilli de dogmatibus explanatio. Ecce, Patrum, et maxime synodorum more, hypostases tradit esse personas, secutus Patres Nicæni concilii, qui aiunt : Tres esse hypostases sive personas in sacratissima et consubstantiali Trinitate. Si igitur recte asseverat hypostases esse personas, qua ratione in omnibus propemodum lucubrationibus suis appellat ipse naturas hypostases ? Nam quando naturas vocat hypostases ; hypostases vero personas : quid aliud profitetur, nisi diversas in Christo personas ? ut cum ait naturas, sive hypostases mansisse inconfusas. Cujus hypostases, o eximie Cyrille ? Clarum quod Christi ; siquidem tu ita hypostases definis. Quod si definitio hæc personas esse hypostases a te non est profecta, potuisset fortasse quis tui defendendi gratia dicere, Cyrillum nomine hypostaseon non intelligere personas, sed subsistentias quasdam rerum substantialium ; sed cum tu adversus te ipsum definitionem illam attuleris ; nullus de cætero defensionis locus tibi relinquitur. Quare quando dicis Christi naturas, sive hypostases mansisse inconfusas, nihil aliud dicis, quam mansisse inconfusas hypostases sive personas. Unde ex hac a te lata lege, nimirum, naturas esse hypostases sive personas, sequitur tres esse naturas in tribus sanctissimæ Trinitatis personis, ut Ariani contendunt ; duas vero personas in duabus unigeniti Filii naturis. Itaque cum ais tractatu De adoratione in spiritu : duarum Christi naturarum sive hypostaseon

ροντες, οὐκ ὀλίγας χρήσεις, ὡς τοῦ θεόφρονος Γρηγορίου τοῦ Νύσσης, καὶ τοῦ Θεολόγου ὑπαρχούσας, καὶ ταύτας πρὸς τὸ αὐτοῖς δοκοῦν ἑρμηνεύοντες. Ταῦτα δέ μοι οὐκ εἰκῇ οὐδὲ μάτην εἴρηται, ἀλλ' ἐκείνους αἰνίττομαι, τοῖς λεξειδίοις καὶ χρησειδίοις τῶν Πατέρων προσκόπτοντας, καὶ φῶς γνώσεως μὴ ἔχοντας, καὶ σκοτουμένους, καὶ πίπτοντας, καὶ συντάγματα φλυαριῶν συντάττοντας κατὰ τῆς καθολικῆς Ἐκκλησίας, τὴν ἐνανθρώπησιν τὴν ἐκ Παρθένου τοῦ Θεοῦ Λόγου ἀρνούμενα καὶ ἀνατρέποντα.

Προφέρουσιν οἱ Ὠριγενιασταὶ χρήσεις ἐκ τοῦ λόγου τοῦ εἰς τὰ Θεοφάνια τοῦ Θεολόγου· καὶ πάλιν, τοῦ Νύσσης [Νύσσης], ἐκ τοῦ περὶ ἀρετῆς, καὶ τοῦ εἰς τὴν Γέννην, καὶ εἰς τοὺς Μακαρισμούς, καὶ εἰς τὰ Ἄσματα, καὶ εἰς ἑτέρους λόγους. Προσθήσω δὲ τοῖς εἰρημένοις πρὸς ἐντελεστέραν ἀπόδειξιν, ὅτι χρὴ μετὰ φόβου Θεοῦ καὶ ἁπλότητος ψυχῆς τοὺς λόγους τῶν ἁγίων Πατέρων ἀκούειν καὶ ἐρευνᾶν. Προβαλλομένων ἄνω καὶ κάτω τὸν ἅγιον Κύριλλον Γαϊανιτῶν τε καὶ Θεοδοσιανῶν, καὶ Εὐτυχιανιστῶν, ὡς μίαν φύσιν λέγοντα ἐπὶ Χριστοῦ, διισχυριζόμενος ἐν τῇ ἑαυτοῦ συγγραφῇ, ὅτι μᾶλλον τῷ Νεστορίῳ συνηγορεῖ Κύριλλος, εἰ καὶ τὰ μάλιστα, φησὶ, λέληθεν ἑαυτὸν, εἰς ὃν φεύγει βρόχον, εἰς αὐτὸν ἀγρευθείς· ἐν οἷς προσήγαγεν εὐθὺς ἐκ προοιμίων τὸ τέταρτον κεφάλαιον τοῦ αὐτοῦ μακαρίου Κυρίλλου, τὸ λέγον· « Εἴ τις προσώποις δυσὶν ἤγουν ὑποστάσεσι διαιρεῖ τὸν Χριστὸν, ἀνάθεμα ἔστω. »

Καὶ πρὸς ταῦτά φησιν ὁ Ἀνδρέας· « Εὖγε ὄντως τῆς ὀρθῆς κρίσεως· καὶ ὑπερεῦγε τῆς εὐσεβοῦς τῶν δογμάτων Κυρίλλου ἐκθέσεως. Ἰδοὺ γὰρ πατρικῶς, καὶ μάλα συνοδικῶς, πρόσωπα εἶναι τὰς ὑποστάσεις ὁρίζεται, τοῖς ἐν Νικαίᾳ ἁγίοις Πατράσιν ἑπόμενος τοῖς λέγουσιν τρεῖς ὑποστάσεις, ἤτοι πρόσωπα ἐπὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος. Εἰ οὖν πρόσωπα εἶναι τὰς ὑποστάσεις καλῶς διισχυρίζεται, πῶς ἐν πᾶσιν αὐτοῦ σχεδὸν τοῖς διδάγμασι τὰς φύσεις ὑποστάσεις εἶναι ἐκήρυξε ; Λέγων γὰρ τὰς φύσεις ὑποστάσεις, τὰς δὲ ὑποστάσεις πρόσωπα, τί ἄλλο ὁμολογῶν εὑρεθήσεται, ἀλλ' ἢ διάφορα ἐν Χριστῷ πρόσωπα, ὡς ὅτ' ἂν λέγῃ, Ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, ἤγουν αἱ ὑποστάσεις. Αἱ ὑποστάσεις τίνος, ὦ γεννάδα Κύριλλε ; Πρόδηλον αἱ τοῦ Χριστοῦ. Εἰ καὶ ὅλως ὑποστάσεις ὁρίζῃ. Εἰ γὰρ μὴ σὺ τὸν τοιοῦτον ὅρον δέδωκας, τοῦτ' ἔστι, πρόσωπα τὰς ὑποστάσεις εἶναι, τάχα ἂν ἠδύνατό τις ὑπὲρ σοῦ ἀπολογούμενος λέγειν, ὅτι οὐ πρόσωπα Κύριλλος νοεῖ τὰς ὑποστάσεις, ἀλλ' ὑπάρξεις τινὰς πραγμάτων ἐνουσίων. Σοῦ δὲ καθ' ἑαυτοῦ τὸν τοιοῦτον ἐξενεγκόντος ὅρον, ἀποκέκλεισταί σοι λοιπὸν πᾶσα περὶ τούτου ἀπολογία. Οὐκοῦν ὅτε λέγεις, ἀσύγχυτοι μεμενήκασιν αἱ Χριστοῦ φύσεις, ἤγουν αἱ ὑποστάσεις, οὐδὲν ἕτερον λέγεις, ἀλλ' ἤ, ὅτι Ἀσύγχυτοι μεμενήκασιν αἱ Χριστοῦ ὑποστάσεις, ἤτοι τὰ πρόσωπα. Ὅθεν κατὰ τοῦτόν σου τὸν ὅρον καὶ νόμον, τὸν φάσκοντα, τὴν φύσιν ὑπόστασιν ἤτοι πρόσωπον εἶναι, εὑρεθήσῃ τρεῖς μὲν φύσεις λέγων Ἀρειανικῶς ἐν τοῖς τρισὶ προσώποις τῆς ἁγίας Τριάδος, δύο δὲ πρόσωπα ἐπὶ τῶν δύο, ὧν ὁμολογεῖς φύσεων Χρι-

στοῦ. Ὡς ὅταν λέγῃς ἐν τοῖς ἐν πνεύματι λατρείας, ὅτι Τύπος ἡμῖν ἔσται ἡ κιβωτὸς τῶν Χριστοῦ φύσεων, ἤγουν ὑποστάσεων· καὶ πάλιν ἐν ἑτέρῳ τόπῳ φάσκεις οὕτω ξηρᾷ τῇ φωνῇ, ἐκ δύο φύσεων, ἤγουν ὑποστάσεων, ἤτοι προσώπων πρεσβεύεις εἶναι Χριστόν. Εὔδηλον, ὅτι προϋποστὰν, καὶ προμορφωθὲν ἐν τῇ μήτρᾳ τῆς Παρθένου λέγεις τὸ σῶμα Χριστοῦ. Καὶ εἶθ' οὕτως ἑνωθὲν ἐν αὐτῷ τὸ πρόσωπον τοῦ Θεοῦ Λόγου, καθὰ πάλιν, καὶ ἐν τῷ τρίτῳ κεφαλαίῳ τῶν δώδεκα φάσκεις· Εἴ τις μετὰ τὴν ἄφραστον ἕνωσιν διαιρεῖ τὰς ὑποστάσεις, καὶ ἐν ἄλλοις δὲ μυρίοις τόποις τὰς φύσεις ὑποστάσεις προσαγορεύων· ἐν τοῖς πρὸς Ἑρμείαν ἑαυτῷ ἐναντιοῦσαι, καὶ περιπίπτεις, ἕτερον λέγων εἶναι τὴν φύσιν, καὶ ἕτερον τὴν ὑπόστασιν, ἤτοι τὸ πρόσωπον. Πῶς δὲ ἐπιλαβομένου Θεοδωρήτου τῶν δώδεκά σου κεφαλαίων, ἐν ταῖς σαῖς ἀπολογίαις οὐδὲν ἀπελογήσω περὶ τῶν τοιούτων ὑποστάσεων, ὧν ἐν Χριστῷ εἴρηκας ἐν τῷ τρίτῳ κεφαλαίῳ; Τοίνυν παλίμβολος ὢν ἑαυτῷ ἐναντιοῦσαι, καὶ περιπίπτεις· ποτὲ μὲν μίαν τὸν Χριστὸν λέγων φύσιν, ποτὲ δὲ δύο πρόσωπα. Καὶ γὰρ ἐν τοῖς γεγραμμένοις σχολίοις ἑρμηνεύων τὸν ἐν τῷ Εὐαγγελίῳ στατῆρα, ὃν εὗρεν ὁ Πέτρος ἐν τῷ στόματι τοῦ ἰχθύος, οὕτω λέγεις· Οὐκοῦν ὁ στατὴρ ὁ ἀληθινὸς ὑπάρχει Χριστός. Αὐτὸς γάρ ἐστι γράφῳ Κυρίλλῳ ὅλως καθ' οἷον δήποτε τρόπον διπλοῦς χαρακτήρ. Πολλὴ τοίνυν χάρις τῷ λογομολογοῦντι ἐν Χριστῷ χαρακτῆρας καὶ ὑποστάσεις διαφόρους. »

arcam fuisse figuram. Et alibi his ipsis verbis : Ex duabus naturis sive hypostasibus, sive personis constitui Christum : obscurum non est te fateri Christi corpus in utero Virginis prius exstitisse ac formatum esse, et postea demum cum persona Verbi divini conjunctum. Quod et in tertio capitulo affirmas hunc in modum. Si quis post ineffabilem unionem dividit hypostases ; cumque infinitis aliis locis naturas nuncupes hypostases, in libris ad Hermiam tibi ipse adversaris, et a te dissentis, asserens aliud esse naturam, et aliud hypostasin, sive personam. Et quomodo **151** cum Theodoretus duodecim capitula tua refutare aggressus esset, nunquam defendisti id, quod de hujusmodi hypostasibus in tertio capitulo asseveras ? Quamobrem inconstans tibi ipse repugnas, et tua vineta cædis ; aliquando quidem unam Christi naturam asserens, aliquando duas personas. Etenim in scholiis quoque tuis interpretans staterem, quem reperit Petrus in ore piscis, ita scribis : Igitur verus stater est Christus. Ipse enim est geminus character. Magnæ gratiæ disertissimo Cyrillo, qui ubique diversos in Christo characteres ac hypostases confitetur. »

Ἠκούσατε, ἀδελφοὶ, τοῦ πονηροῦ δράκοντος Ἀνδρέου, ὁποῖα ἠρεύξατο ἐκ τοῦ ἰοῦ τῆς Νεστορίου καρδίας, κατὰ τοῦ πανσόφου διδασκάλου Κυρίλλου· διὰ τῆς φωνῆς τῆς λεγούσης τὰς φύσεις ὑποστάσεις. Εἰ μὲν οὖν τοῦ ὁσίου Πατρός εἰσιν αἱ τοιαῦται φωναὶ, ἢ ἑτέρων τινῶν, οὐκ ἔχω λέγειν. Καὶ γὰρ ἅπας ὁ τῶν Πατέρων χορὸς, καὶ αὐτὸς ὁ μέγας Κύριλλος ἐν διαφόροις τόποις, ἕτερόν τι λέγουσιν εἶναι τὴν *φύσιν*, καὶ ἕτερον, τὴν *ὑπόστασιν*, καὶ τούτῳ τῷ κανόνι στοιχοῦσα ἡ καθολικὴ Ἐκκλησία δύο μὲν ἡνωμένας φύσεις λέγει εἶναι τὸν Χριστόν· δύο δὲ ὑποστάσεις, ἤτοι *πρόσωπα* ἐπ' αὐτοῦ λέγειν οὐκ ἀνέχεται, ἀλλ' οὔτε μὴν ἐκ δύο αὐτὸν ὑποστάσεων, ἤτοι προσώπων συντεθέντα κηρύττει· ὑπόστασις γὰρ τὸ ἰδιάζον καθ' ἑαυτὸ πρόσωπόν ἐστιν. Οὐδαμοῦ δὲ ἡμεῖς ἐγνωμεν χωρὶς τοῦ Θεοῦ Λόγου τὴν ἁγίαν σάρκα· οὐ γὰρ προϋπέστη τῇ μήτρᾳ, ἀλλ' ἅμα συνῆλθον ἡ θεότης, καὶ ἡ σὰρξ ἔμψυχος λογική. Αὕτη γάρ ἐστιν ἡ λεγομένη καθ' ὑπόστασιν ἕνωσις. Τὰς μὲν οὖν προειρημένας κατηγορίας ἐποίησεν, ὡς εἶπεν, ὁ μιαρὸς Ἀνδρέας κατὰ τοῦ θεοσόφου Πατρὸς Κυρίλλου.

Audistis, fratres, draconis nequissimi Andreæ convicia, quæ ex pectore Nestoriani veneni plenissimo adversus sapientissimum doctorem Cyrillum eructavit, eo quod dixerit naturas esse hypostases. Ego, num talia dicta sint vere sancti illius Patris, an aliorum, non habeo dicere. Universus enim sanctorum Patrum cœtus, et ipse sanctus Cyrillus non uno loco aliud esse dicunt *naturam*, et aliud *hypostasin;* et hanc regulam secuta catholica Ecclesia, docet Christum esse duas naturas unitas ; duas vero hypostases sive personas in illo profiteri, vel constituere nequaquam audet ; quin neque ex duabus hypostasibus, sive personis ipsum componi tradit ; nam hypostasis nihil est aliud, quam propria secundum seipsam persona. Nusquam vero nos sanctam carnem absque divino Verbo subsistere novimus. Non enim prius exstitit in utero, sed simul convenerunt divinitas, et caro, anima rationis participe informata. Hæc namque est, quæ dici solet, hypostatica unio. Prædictas igitur calumnias effudit contra sanctum Cyrillum exsecrandus Andreas.

Μάρων δὲ πάλιν ὁ Ἐδεσσηνὸς, καὶ αὐτὸς τὰ Νεστορίου φρονῶν, καταγράφων κατὰ Σευήρου τοιαῦτά φησιν· « Ἡμεῖς οἱ τῆς εὐσεβείας τὸ ἀνατολικὸν φέγγος ἔχοντες, οὐ τοσοῦτον ἀποστρεφόμεθα Διόσκορόν τε καὶ Σευῆρον, καὶ Θεοδόσιον ὅσον, βδελυττόμεθα ἀξίως τὴν βλάσφημον Χαλκηδόνος σύνοδον. Ἐκείνη μὲν γὰρ οὐκ εἰρηκεν ὑποστάσεις ἐν Χριστῷ, καθ' οἷον δή ποτε τρόπον. Σευῆρος δὲ, καὶ ὁ τούτου πατὴρ Κύριλλος, καὶ Διόσκορος, καὶ Θεοδόσιος διὰ πλάτους ἡμῖν ἐν Χριστῷ ὑποστάσεις ὁμο-

Maro [Maris] autem Edessenus, et ipse Nestorii sectator, scribens contra Severum, sic loquitur : « Nos, quibus lumen pietatis exortum est, non tantum aversamur Dioscorum et Theodosium, quantum jure optimo detestamur blasphemam synodum Chalcedonensem. Illa enim non dixit hypostases in Christo, sicuti Severus, et pater ejus Cyrillus, et Dioscorus, et Theodosius duas libere in Christo hypostases confitentur, eumque ex duabus hypostasibus, sive personis constare dicunt; quin et

addunt, hypostases Christi inconfusas. Ita enim scribit Ægyptius Cyrillus : Christi hypostases manserunt inconfusæ. Si vero Christi hypostases, hoc est personæ, manserunt inconfusæ, planum fit, eas etiam, ut inconfusas, cognosci ac considerari posse, et in omnem **152** æternitatem inconfusas durare. Et quomodo manserunt inconfusæ? Illud admiratione dignum duco, quod non dixerit mansisse etiam indivisas, sed solum inconfusas, hoc est, late resplendentes. Et binario numero conclusas, sed de numero tacuit; ut multitudinem hypostaseon in Christo comminiscendi licentiam haberet. Sic dum partum Virginis sibi videtur magno honore afficere, petulanter blasphemavit, quia aliquando quidem Virginis partum vocat naturalem : aliquando, ut in duodecim capitulis, dicit Virginem carnaliter peperisse Verbum carnem factum. Cui respondemus, Virginem non carnaliter, sed Deo convenienter peperisse. » Hæc impii hæretici adversus divinum Patrem blaterant. Nos vero ipsum ut lumen et columen Ecclesiæ, veneramur ac suspicimus.

A

B

Scholium. Severus et Gaianus initio concordes erant, eamdemque sententiam sequebantur, et simul in decimo octavo vico Alexandriæ degebant. Quadam igitur vice interrogavit Severus Gaianum : « Utrum corpus Christi vocandum sit corruptibile an incorruptibile. » Respondente Severo « fuisse corruptibile ante resurrectionem a mortais : » secessionem ab ipso Gaianus fecit, ratus, si quis corpus Christi corruptibile asserat, necessario duas in Christo naturas confitendas esse. Hæc est causa cur sejuncti sint.

C

CAP. XXIII.

De fide Gaianitarum.

Gaianitæ, Julianistæ, et Nagranitæ unam eamdemque fidem habent, ut et Severiani et Jacobitæ, et Theodosiani, et Dioscoritæ. Sed isti, Severiani, inquam, et Jacobitæ, licet maxime unam in Christo naturam constituant, nihilominus duas in ipso proprietates confitentur, divinam scilicet et humanam. Docent insuper corpus Christi fuisse passibile ante passionem. At Gaianitæ sentiunt corpus Christi corruptionis expers et divinum esse, ab initio unionis, unamque duntaxat proprietatem, nimirum divinam et impassibilem in eo reperiri. Noveritis autem eos non posse ullum ex probatis Patribus producere, qui doceat Christum omni modo, ab ipso unionis momento fuisse immortalem, sed ex proprio cerebro, et ex magistrorum suorum institutione hæc talia fingunt. Suffurantes ex Patrum commentariis testimonia quædam et orationum quasi frusta. Quapropter in eo, qui subjungitur, congressu demonstrationibus potius ex rebus petitis cum illis certandum arbitrati sumus.

D

ἀλογοῦσιν, ἐκ δύο ὑποστάσεων, ἤτοι προσώπων ὁμολογοῦντες αὐτόν· ἀλλὰ καὶ ἀσυγχύτους λέγουσιν εἶναι τὰς Χριστοῦ ὑποστάσεις. Οὕτω γὰρ αὐτὸς Αἰγύπτιος ἐνομοθέτησε Κύριλλος λέγων, ὅτι ἀσύγχυτοι μεμενήκασιν αἱ Χριστοῦ ὑποστάσεις. Εἰ δὲ ἀσύγχυτοι μεμενήκασιν αἱ ὑποστάσεις Χριστοῦ, τοῦτ' ἔστι τὰ πρόσωπα, πρόδηλον, ὅτι καὶ γνωρίζονται, καὶ εἰς αἰῶνα φυλάττονται. Ἐπεὶ πῶς μεμενήκασιν ἀσύγχυτοι; Τὸ δὲ παράδοξον, ὅτι οὐ προστέθεικε, ἀδιαίρετοι, ἀλλ' ἀσύγχυτοι, τοῦτ' ἔστι, τηλαυγεῖς, καὶ ἐν τῇ δυάδι τοῦ ἀριθμοῦ γνωριζόμεναι, καὶ οὐδὲ πόσαι αὐταί, προστέθεικεν, ὡς δῆθεν πλῆθος ἡμῖν ὑποστάσεων ἐν Χριστῷ εἰσαγόμενος. Οὕτω γὰρ ἀθυροστόμως καὶ τὸν τόκον τῆς Παρθένου δοκῶν τιμᾷν ἐβλασφήμησεν, ποτὲ μὲν φυσικὸν ὀνομάζων τὸν ταύτης τόκον, ποτὲ δὲ φάσκων ἐν τοῖς δώδεκα αὐτοῦ κεφαλαίοις, ὅτι γεγέννηκε σαρκικῶς σάρκα γεγονότα τὸν Λόγον. Πρὸς ὃν ἀνταποκρινόμενοι λέγομεν· Οὐ σαρκικῶς γεγέννηκεν, ὦ θεομάχε, ἀλλὰ θεοπρεπῶς. » Ταῦτα μὲν οἱ δυσσεβεῖς αἱρετικοὶ κατὰ τοῦ θεοσόφου Πατρός. Ἡμεῖς δὲ τοῦτον φωστῆρα καὶ στύλον τῆς Ἐκκλησίας ὄντα κηρύττομεν.

Σχόλιον. Σευῆρος καὶ Γαϊανὸς ὁμόφρονες τὸ πρὶν ἐτύγχανον, καὶ ἐν τῷ ἅμα ἐν τῷ ὀκτωκαιδεκάτῳ Ἀλεξανδρείας διῆγον. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἠρώτησεν ὁ Γαϊανὸς τὸν Σευῆρον· « Πῶς χρὴ ὁμολογεῖν τὸ σῶμα τοῦ Χριστοῦ, φθαρτὸν ἢ ἄφθαρτον; » Εἰπόντος δὲ τοῦ Σευήρου, « φθαρτὸν τὸ σῶμα πρὸ τῆς τριημέρου ἐκ νεκρῶν ἀναστάσεως, » ἀπέσχισεν εὐθέως ὁ Γαϊανὸς ἀπ' αὐτοῦ, λέγων, ὅτιπερ Ἐὰν φθαρτὸν λέγεις τὸ σῶμα, ἀνάγκη σε πᾶσα καὶ δύο φύσεις εἰπεῖν ἐν Χριστῷ. Αὕτη γέγονεν ἡ αἰτία τῆς διαιρέσεως αὐτῶν.

ΚΕΦΑΛ. ΚΓ'.

Περὶ πίστεως Γαϊανιτῶν.

Οἱ Γαϊανῖται, καὶ Ἰουλιανισταὶ, καὶ Ναγρανῖται, μίαν καὶ τὴν αὐτὴν πίστιν ἔχουσιν, ὥσπερ πάλιν οἱ Σευηριανοὶ, καὶ Ἰακωβῖται, καὶ Θεοδοσιανοὶ, καὶ Διοσκορῖται. Ἀλλ' οὗτοι μέν, λέγω δὴ, οἱ κατὰ Σευῆρον, καὶ Ἰάκωβον, εἰ καὶ τὰ μάλιστα μίαν φύσιν τὸν Χριστὸν λέγουσιν, ἀλλ' ὅμως ὁμολογοῦσι δύο ἰδιότητας ἐν αὐτῷ, θεῖαν καὶ ἀνθρωπίνην. Λέγουσι δὲ καὶ φθαρτὸν τὸ σῶμα αὐτοῦ πρὸ τοῦ πάθους. Οἱ δὲ Γαϊανῖται ἐξ αὐτῆς ἄκρας ἑνώσεως κατὰ πάντα τρόπον ἄφθαρτον λέγουσι τὸ σῶμα Χριστοῦ, καὶ θεῖον, καὶ μίαν ἰδιότητα ἐπ' αὐτοῦ, τοῦτ' ἔστι θεϊκὴν, καὶ ἀπαθῆ. Ἰστέον δὲ, ὅτι οὐ δύνανται δεῖξαι Πατέρα ἔγκριτον εἰπόντα τὸν Χριστὸν ἐξ αὐτῆς ἑνώσεως κατὰ πάντα τρόπον ἐν ἀφθαρσίᾳ ὄντα, ἀλλ' ἐξ οἰκείων λογισμῶν, καὶ τῶν παρ' αὐτοῖς διδασκάλων τοῦτο λέγουσι, κλέπτοντες, ὡς πολλάκις εἶπον, ῥησείδια καὶ ἀποσπάγματα λόγων. Διὸ καὶ πρὸς αὐτοὺς ἐκ πραγματικῶν ἀποδείξεων παρεταξάμεθα κατὰ τὴν ὑποτεταγμένην διήγησιν.

Διάλεξις Γαϊανίτου, καὶ ὀρθοδόξου γενομένη ἐν Ἀλεξανδρείᾳ, διὸ καὶ ὑμεῖς οὕτως ἁρμόσασθε.

Ο ΟΡΘΟΔΟΞΟΣ. Τὰ Πράγματα πιστοτεροῦσι τῶν ῥημάτων; ἢ τὰ ῥήματα βεβαιοτεροῦσι τῶν πραγμάτων;

Ο ΓΑΙΑΝΙΤΗΣ. πρόδηλον, ὅτι τὰ πράγματα ἀξιοπιστότερά εἰσι τῶν ῥημάτων.

Ο ΟΡΘΟΔΟΞΟΣ. Ὀρθῶς ἀπεκρίθης κατὰ τὸν νόμον τῆς ἀληθείας καὶ εὐσεβείας. Λοιπὸν εἰπέ μοι, παρακαλῶ, ὁ λέγων ἐξ αὐτῆς ἄκρας ἑνώσεως κατὰ πάντα τρόπον ἐναφθαρσίᾳ εἶναι, καὶ τὴν θεότητα, καὶ τὸ σῶμα τοῦ Χριστοῦ, αὐτὴ ἡ κοινωνία τοῦ παναγίου σώματος, καὶ αἵματος Χριστοῦ, ἣν προφέρεις, καὶ μεταλαμβάνεις, σῶμα, καὶ αἷμα ἀληθινόν ἐστι Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἢ ψιλὸς ἄρτος, ὡς ὁ πιπρασκόμενος κατ' οἶκον, καὶ ἀντίτυπος τοῦ σώματος Χριστοῦ, ὡς ἡ θυσία τοῦ τράγου, ἣν Ἰουδαῖοι προσάγουσιν;

Ο ΓΑΙΑΝΙΤΗΣ. Μὴ γένοιτο, ἡμᾶς εἰπεῖν ἀντίτυπον τοῦ σώματος Χριστοῦ, τὴν ἁγίαν κοινωνίαν, ἢ ψιλὸν ἄρτον· ἀλλ' αὐτὸ τὸ σῶμα καὶ αἷμα ἀληθῶς Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ μεταλαμβάνομεν, τοῦ σαρκωθέντος, καὶ γεννηθέντος ἐκ τῆς ἁγίας Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας.

Ο ΟΡΘΟΔΟΞΟΣ. Οὕτω πιστεύομεν, καὶ οὕτως ὁμολογοῦμεν κατὰ τὴν φωνὴν αὐτοῦ τοῦ Χριστοῦ, ἣν πρὸς τοὺς μαθητὰς ἐπὶ τοῦ δείπνου τοῦ μυστικοῦ μεταδιδοὺς αὐτοῖς τὸν ζωοποιὸν ἄρτον ἔλεγε· « Λάβετε, φάγετε· τοῦτό μού ἐστι τὸ σῶμα. » Ὡσαύτως καὶ τὸ ποτήριον μεταδιδοὺς αὐτοῖς φησι· « Τοῦτό μού ἐστι τὸ αἷμα. » Οὐκ εἶπεν, τοῦτό ἐστι τὸ ἀντίτυπον τοῦ σώματος καὶ τοῦ αἵματός μου. Καὶ ἐν ἑτέροις δὲ πλείοσι τόποις, φαίνεται ὁ Χριστὸς εἰπών, ὅτι « Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον. » Λοιπὸν αὐτοῦ τοῦ Χριστοῦ μαρτυροῦντος, ὅτι σῶμα αὐτοῦ ἐστιν ἀληθῶς, καὶ αἷμα, ὅπερ οἱ πιστοὶ προσάγοντες μεταλαμβάνομεν· ἄγαγε ἡμῖν ἐκ τῆς κοινωνίας τῆς ὑμετέρας Ἐκκλησίας, ὡς ὀρθοδόξου οὔσης, ὡς λέγεις, ὑπὲρ πᾶσαν ἄλλην Ἐκκλησίαν. Καὶ ἀποτιθοῦμεν ἐν πάσῃ τιμῇ τὸ τοιοῦτο ἅγιον σῶμα Χριστοῦ καὶ αἷμα εἰς σκεῦος ἐνδόξως, καὶ ἐντὸς ὀλίγων ἡμερῶν, ἐὰν μὴ φθαρῇ, ἢ τραπῇ, ἢ ἀλλοιωθῇ, πρόδηλον, ὅτι καλῶς κηρύττετε τὸν Χριστὸν, κατὰ πάντα τρόπον ὄντα ἐξ αὐτῆς ἄκρας ἑνώσεως ἐν ἀφθαρσίᾳ. Εἰ δὲ φθαρῇ, ἢ ἀλλοιωθῇ, ἀνάγκη πᾶσα ἡμᾶς ἓν ἐκ τῶν ὁποτέρων εἰπεῖν· ἢ, ὅτι οὐκ ἔστιν, μεταλαμβάνετε, σῶμα ἀληθινὸν Χριστοῦ, ἀλλ' ἀντίτυπον, καὶ ψιλὸν, ἢ, ὅτι διὰ τὴν κακοπιστίαν ἡμῶν, οὐκ ἐπεφοίτησε εἰς αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον· ἢ ὅτι φθαρτόν ἐστι τὸ σῶμα Χριστοῦ πρὸ τῆς ἀναστάσεως, ὡς θυόμενον, καὶ νεκρούμενον, καὶ τιτρωσκόμενον, καὶ μελιζόμενον, καὶ ἐσθιόμενον. Ἄφθαρτος γὰρ φύσις, οὔτε τέμνεται, οὔτε τιτρώσκεται πλευράν, καὶ χεῖρας, οὔτε μελίζεται, οὔτε νεκροῦται, οὔτε ἐσθίεται, οὔτε ὅλως κρατεῖται, ἢ ψηλαφᾶται· οἷα ἐστὶν ἡ ἄφθαρτος τῶν ἀγγέλων καὶ τῶν ψυχῶν φύσις.

A **153** *Disceptatio Gaianitæ et orthodoxi habita Alexandriæ : cujus formam vos etiam imitamini.*

ORTHODOXUS. Num res fide digniores sunt, quam verba? an verba firmiora rebus?

GAIANITA. Manifestum, arbitror, res fide digniores esse verbis.

ORTHODOXUS. Recte respondisti, ex præscripto nimirum veritatis et pietatis. Sed dic mihi, obsecro, si, ut divinitas, ita et corpus Christi ab ipso unionis exordio immortalitatem habet, num communio sacratissimi corporis et sanguinis Christi, quam offers et participas, vere est verum corpus et sanguis Christi Filii Dei, vel nudus panis, qualis ostiatim venditur; vel vicem duntaxat et figuram B gerit corporis Christi, ut sacrificium hirci, quod Judæi offerunt?

GAIANITA. Abeit, ut dicamus sacram communionem figuram esse tantum corporis Christi, aut nudum panem; sed ipsum corpus et sanguinem Christi Filii Dei incarnati et ex sanctissima Dei-para et semper Virgine Maria nati vere accipimus.

ORTHODOXUS. Sic credimus, et sic confitemur juxta dictum Christi ad discipulos in cœna mystica dantis illis vivificum panem : « Accipite, comedite, hoc est corpus meum [70]. » Similiter et calicem dedit illis dicens : « Hic est sanguis meus [71]. » Non C dixit : Hoc est figura, seu, quid vices gerens corporis et sanguinis mei. Et pluribus aliis locis ait Christus : « Qui manducat meam carnem et bibit meum sanguinem, habet vitam æternam [72]. » Cum igitur ipse Christus fateatur vere esse corpus suum et sanguinem, quem nos fideles sumimus : agedum affer nobis aliquid ex communione vestræ Ecclesiæ, tanquam supra omnes illas Ecclesias orthodoxæ, et in vase cum omni honore et reverentia reponemus hoc sanctum corpus Christi et sanguinem. Et si intra paucos dies non corrumpatur aut immutetur, aut alteretur, planum fiet vos recte asserere corpus Christi penitus ab ipso incarnationis exordio corruptionis expers esse : si vero corrumpatur D aut immutetur, necessarium erit ut unum e duobus fateamini; aut id quod sumitis, non esse verum corpus Christi, sed solam figuram, et quasi vicarium quiddam : aut propter perversam fidem vestram, Spiritum sanctum in illud non descendisse : aut corpus Christi ante resurrectionem corruptioni subjectum esse : utpote immolatum, morti traditum, vulneratum, divisum et manducatum. Nam immortalis natura neque scinditur, neque latere et manibus vulneratur, neque in partes dividitur, nec morti datur, neque manducatur, neque teneri potest, neque tangi; ut patet exemplo incorruptibilium naturarum angeli et animæ.

[70] Matth. xxvi, 26. [71] ibid. 28. [72] Joan. vi, 55.

154 GAIANITA. Et quomodo multi ex sanctis Patribus affirmant corpus Christi esse incorruptibile?

Ο ΓΑΙΑΝΙΤΗΣ. Καὶ πῶς εὑρίσκομεν πολλοὺς ἁγίων Πατέρων λέγοντας ἄφθαρτον τὸ σῶμα Χριστοῦ;

ORTHODOXUS. Incorruptibile et corruptibile bifariam in divinis Litteris usurpantur, sicut jam antea in definitionibus dictum est. Interdum secundum corpus; interdum secundum animam. Unde in Genesi dicitur: « Vidit Deus, et ecce omnis caro corrupta erat [73]; » hoc est, omnes homines sceleribus addicti erant: de quibus canit David: « Corrupti et abominabiles facti sunt in iniquitatibus et studiis suis [74]. » Respectu igitur hujus corruptionis, incorruptibile, hoc est, peccati expers, profitemur sacratissimum et integerrimum corpus Christi. At vero corpus Christi omni penitus alio modo incorruptibile esse, nullus sanctorum Patrum unquam asseruit. Unde beatissimus Athanasius hæc ad verbum scribit: « Corruptibile erat corpus, quia et Maria erat creata. » Qua vero ratione affirmare licebit, corpus Christi esse ejusdem substantiæ nobiscum, aut Christum cum pueris carnis et sanguinis participem effectum [75]; aut semen Abrahæ assumpsisse [76], aut ad similitudinem nostram per omnia tentatum ac probatum esse [77], si a primo unionis momento incorruptibile erat, ut vos contenditis?

Ο ΟΡΘΟΔΟΞΟΣ. Τὸ ἄφθαρτον, καὶ ἡ φθορὰ, καθὼς καὶ ἐν τοῖς ὅροις εἰρήκαμεν, κατὰ δύο τρόπους ἐν ταῖς θείαις Γραφαῖς εἴρηται, ποτὲ μὲν σωματικῶς, ποτὲ δὲ καὶ ψυχικῶς. Ὅθεν φησὶν ἡ Γένεσις, ὅτι « Εἶδεν ὁ Θεὸς, καὶ ἰδοὺ πᾶσα ἡ γῆ κατεφθαρμένη· » τοῦτ' ἔστι, πάντες οἱ ἄνθρωποι παράνομοι, περὶ ὧν καὶ ὁ Δαυὶδ φησιν, ὅτι « Διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις, καὶ ἐν ἐπιτηδεύμασι. » Πρὸς ταύτην οὖν τὴν φθορὰν τῆς ἁμαρτίας, ἄφθαρτον, τοῦτ' ἔστιν, ἀναμάρτητον λέγομεν τὸ πανάγιον καὶ πανάμωμον σῶμα τοῦ Χριστοῦ. Ἐπεὶ κατὰ πάντα τρόπον ἐν ἀφθαρσίᾳ, ὡς ὑμεῖς λέγετε, οὐδεὶς τῶν ἐξ αἰῶνος ἁγίων Πατέρων εἴρηκεν. Ὅθεν καὶ ὁ τρισμακάριος Ἀθανάσιος οὕτως ἐπὶ λέξεως περὶ τοῦ Κυριακοῦ σώματός φησι· « Φθαρτὸν ἦν τὸ σῶμα, ὅτι καὶ ἡ Μαρία κτιστὴ ἦν. » Πῶς δὲ δυνατὸν εἰπεῖν τὸ σῶμα Χριστοῦ ὁμοούσιον ἡμῶν, ἢ ὅτι πρὸς τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος; ἢ ὅτι σπέρματος Ἀβραὰμ ἐπελάβετο; ἢ, ὅτι πεπείραται κατὰ πάντα τρόπον καθ' ὁμοιότητα ἡμῶν, εἴπερ ἄρα ἄφθαρτος ἦν ἐξ αὐτῆς ἄκρας ἑνώσεως, ὡς ὑμεῖς κηρύττετε;

Et ex his liquet, sacratissimum Christi corpus ante passionem corruptioni obnoxium fuisse: post resurrectionem vero, incorruptibile, quia ante passionem variis quasi defluxionibus subjiciebatur, sanguinis, inquam, sudoris, sputi et lacrymarum. At post resurrectionem a mortuis, tametsi per dispensationem manducavit, ut discipulorum fidem confirmaret: attamen ab omni egestione ac secretione immune erat: neque enim expuisse, lacrymasse, sudasse, aut sanguinem fudisse legitur; neque etiam cum peccatoribus amplius vitam egisse; nec somnum cepisse; nec sitiisse, nec famuisse: sed sic post resurrectionem comedisse, sicut ignis absumit ceram: et sicut angeli Abrahamo hospitio excepti manducarunt. Quamobrem ante passionem non apparuit Christus diversis formis indutus, et varia vultus specie, quemadmodum post resurrectionem, alia specie sese obtulit Magdalenæ; et alia Cleophæ cum socio: et alia ad mare Tiberiadis. Rursus ante passionem nunquam visus est in diversis locis, tametsi poterat: ne inane spectrum ac phantasma censeretur: sed communi corporum more de loco ad locum movebatur. At post resuscitationem ex mortuis, corpore jam agilitate, tenuitate et incorruptione prædito, absque ullo obstaculo potuit et clauso sepulcro egredi, et per clausas januas ingredi: et eadem hora illius diei, quo surrexit, **155** cum jam sero esset, Hierosolymæ, et discipulis euntibus in Emmaus apparuit. Si autem ab

Κἀντεῦθεν δὲ μανθάνομεν, ὅτι πρὸ μὲν τοῦ πάθους, φθαρτὸν ἦν τὸ τοῦ Χριστοῦ πανάγιον σῶμα· μετὰ δὲ τὴν τριήμερον ἔγερσιν, ἄφθαρτον, λέγω δὴ, ὅτι πρὸ μὲν τοῦ πάθους, διαφόρους ῥύσεις, ὡς ῥευστὸν, ἐποιήσατο, τοῦτ' ἔστιν, αἵματος, ἱδρῶτος, πτύσματος, καὶ δακρύου. Μετὰ δὲ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν, εἰ καὶ ἔφαγεν οἰκονομικῶς πρὸς πίστωσιν τῶν μαθητῶν· ἀλλ' ὅμως οὐδὲ μίαν ὅλως ἔκκρισιν, ἢ ῥύσιν, ἢ ἀποβολὴν εὑρίσκομεν αὐτὸν πεποιηκότα, οὐ πτύσαντα, οὐ δακρύσαντα, οὐχ ἱδρώσαντα, οὐχ αἱμορροήσαντα· ἀλλ' οὐδὲ ἁμαρτωλοῖς τοῦ λοιποῦ συναναστραφέντα, οὐχ ὑπνώσαντα, οὐ διψήσαντα, ἀλλ' οὔτε πεινάσαντα· ἀλλ' οὕτω μετὰ τὴν ἀνάστασιν φαγόντα ὥσπερ ἐσθίει τὸ πῦρ τὸν κηρόν· καὶ ὥσπερ ἔφαγον ἐπὶ τοῦ Ἀβραὰμ οἱ ἄγγελοι. Ὅθεν πρὸ μὲν τοῦ πάθους οὔτε ὤφθη ὁ Χριστὸς ἐν διαφόροις μορφαῖς, καὶ σχήμασι προσώπου παρηλλαγμένοις, ὥσπερ μετὰ τὴν ἀνάστασιν, ἐνὶ ἑτέρᾳ μορφῇ ἐφάνη τῇ Μαγδαληνῇ, καὶ ἐν ἑτέρῳ σχήματι τοῖς περὶ Κλεόπαν, καὶ πάλιν ἄλλως ἐπὶ τῆς θαλάττης τῆς Τιβεριάδος. Πάλιν τε πρὸ τοῦ πάθους, καίπερ δυνάμενος, οὐχ ὡράθη κατ' αὐτὴν τὴν ὥραν ἐν διαφόροις τόποις· ἵνα μὴ πάλιν φαντασία νομισθῇ, ἀλλὰ κατὰ τὴν κοινὴν τῶν σωμάτων φύσιν ἐποιεῖτο τὰς τοπικὰς μεταστάσεις. Μετὰ δὲ τὴν ἐκ νεκρῶν ἔγερσιν, κούφου λοιπὸν, καὶ πνευματικοῦ, καὶ λεπτοτάτου, καὶ ἀφθάρτου ἀναστάντος, καὶ ἀποτελεσθέντος τοῦ παναγίου αὐτοῦ σώματος, ἀκωλύτως λοιπὸν, καὶ τάφου ἐσφραγισμένου ἐξῆλθε, καὶ θυρῶν κεκλεισμένων εἰσῆλθεν, καὶ ἐν μιᾷ ὥρᾳ οὔσης ὄψιας τῇ ἡμέρᾳ ἐν ᾗ ἀνέστη,

[73] Gen. VI, 12. [74] Psal. LII, 2. [75] Hebr. II, 14. [76] ibid. 16. [77] ibid. 17, 18.

καὶ εἰς τὴν Ἰερουσαλὴμ, καὶ εἰς τὴν Ἐμμαοῦν ὤφθη τοῖς μαθηταῖς. Εἰ δὲ ἐξ αὐτῆς ἄκρας ἑνώσεως κατὰ πάντα τρόπον, ὁμοίως ἦν ἄφθαρτον, τί δή ποτε, μὴ καὶ πρὸ τοῦ πάθους, παντὶ [πάσῃ] ἐν μιᾷ ὥρᾳ σαρκὶ ἐφαίνετο ὁ Χριστὸς ἐν διαφόροις τόποις, καὶ ἰδέαις, καὶ σχήμασι προσώπου; τί δή ποτε μὴ καὶ μετὰ τὴν αὐτοῦ ἀνάστασιν καὶ ἔπτυσε, καὶ ἔκλαυσεν; Ὅθεν ἐκ πάντων τούτων δῆλόν ἐστι, φθαρτὸν μὲν εἶναι τὸ ἅγιον Χριστοῦ σῶμα πρὸ τοῦ πάθους· μετὰ δὲ τὴν ἀνάστασιν αὐτοῦ, ἄφθαρτον.

Ο ΓΑΙΑΝΙΤΗΣ. Εἰ καὶ ἐδάκρυσεν ὁ Χριστὸς τὸν Λάζαρον, ἀλλ' ὅρα, ὅτι ὡς ἄφθαρτον τὸ δάκρυον αὐτοῦ, καὶ θεῖον, τὸν νεκρὸν ἤγειρεν. Εἰ καὶ ἔπτυσεν, ἀλλὰ τὸ πτύσμα αὐτοῦ τὸν τυφλὸν ἀνέβλεψεν. Εἰ καὶ ἐξήγαγεν αἷμα ἐκ τῆς πλευρᾶς, ἀλλὰ δι' αὐτοῦ τὸν κόσμον ἔσωσεν. Εἰ καὶ ἐσταυρώθη, ἀλλ' ὡς Θεὸς τὸν ἥλιον ἐσκότισεν.

Ο ΟΡΘΟΔΟΞΟΣ. Ὅτι μὲν τῇ πρὸς τὸν Θεὸν Λόγον ἑνώσει, ἅγιον, καὶ θεῖον, καὶ παντοδύναμον, καὶ δημιουργὸν, τὸ πανάμωμον σῶμα αὐτοῦ τυγχάνει, οὐ δεῖ ἀμφιβάλλειν. Πλὴν ἀκούομεν τοῦ μεγάλου Γρηγορίου τοῦ Νυσσαέως λέγοντος, ὅτι οὔτε ζωοποιεῖ τὸν Λάζαρον ἡ ἀνθρωπεία Χριστοῦ φύσις, οὔτε κλαίει τὸν κείμενον ἡ ἀπαθὴς ἐξουσία· ἀλλ' ἴδιον μὲν τοῦ ἀνθρώπου τὸ δάκρυον, ἡ δὲ ζωὴ τῆς ὄντως ζωῆς. Εἰ δὲ, καθὼς ὑμεῖς δογματίζετε, οὐ τῆς θεότητος, ἀλλὰ τοῦ σώματος Χριστοῦ αἱ θαυματουργίαι ὑπῆρχον ἔδει αὐτὸν εὐθέως ἐκ σπαργάνων τὰ θαύματα ἐνδείξασθαι. Καὶ γὰρ μυριάκις νηπιοπρεπῶς ἔκλαυσεν, μυριάκις ὡς ἄνθρωπος γενόμενος ἔπτυσεν· πεπείρασται γὰρ τῶν καθ' ἡμᾶς πάντων, ὥς φησιν ὁ Παῦλος, δίχα μόνης τῆς ἁμαρτίας. Ἰδοὺ γοῦν περιτομὴν καταδεξάμενος οὐδὲν θαῦμα διὰ τῆς αἱμορρόϊας ἐκείνης τῆς θεοσάρκου ποιῆσαι ἠθέλησε. Περὶ δὲ τοῦ προφέρειν ὑμᾶς τὸ, « Οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν, » διαφθορά ἐστι παντελὴς οὐσίας ἀφανισμός· ὄντινα οὐχ ὑπέστησεν τῷ τάφῳ τὸ σῶμα τὸ Δεσποτικὸν, ὑπὸ τῆς ἐν αὐτῷ θεότητος φυλαχθὲν, καὶ μεταποιηθὲν εἰς ἀφθαρσίαν, καὶ ἀποκατασταθὲν τοιοῦτο, οἷον ἦν τὸ σῶμα τοῦ Ἀδὰμ πρὸ τῆς παραβάσεως.

Ἱππολύτου ἐπισκόπου Ῥώμης (73) ἐκ τοῦ περὶ ἀναστάσεως καὶ ἀφθαρσίας λόγου.

« Ἔσονται, φησὶν, ἐν τῇ ἀναστάσει οἱ ἄνθρωποι, ὡς οἱ ἄγγελοι τοῦ Θεοῦ, ἐν ἀφθαρσίᾳ δηλονότι, καὶ ἀθανασίᾳ, καὶ ἀρευσίᾳ. Ἄφθαρτος γὰρ οὐσία οὐ γεννᾷ, οὐ γεννᾶται, οὐκ αὔξει, οὐχ ὑπνοῖ, οὐ διψᾷ, οὐ κοπιᾷ, οὐ πάσχει, οὐ θνήσκει, οὐ τιτρᾶται ὑπὸ ἥλων καὶ λόγχης, οὐχ ἱδροῖ, οὐχ αἱμορρόϊ. Τοιαῦται οὐσίαι εἰσὶν, ἥ τε τῶν ἀγγέλων, ἥ τε τῶν ψυχῶν, τῶν ἐκ σωμάτων ἀπηλλαγμένων. Ἐπειδὴ καὶ ἀμφότεραι ἑτερογενεῖς εἰσι, καὶ ἀλλότριαι τῆς ὁρωμένης ταύτης τοῦ κόσμου κτίσεως. » Ο ΑΙΡΕΤΙΚΟΣ. Ἀλλ' ἀντιλέγει ὁ δι' ἐναντίας φάσκων, ὅτι

A ipso unionis exordio prorsus erat incorruptibilis, cur non etiam ante passionem omni carni eadem hora, in diversis locis, formis ac figuris conspiciendum sese exhibuit? Cur non post resurrectionem quoque exspuit et flevit? Quocirca ex omnibus istis planum relinquitur, sacratissimum corpus Christi ante passionem fuisse corruptioni obnoxium; post resurrectionem vero corruptionis expers.

GAIANITA. Etiamsi Christus Lazarum defleverit, attamen lacrymæ illius, tanquam incorruptibiles ac divinæ mortuum excitarunt. Et quamvis exspuerit; at sputum ejus cæco lumen restituit. B Et quamvis sanguinem profuderit; attamen illo mundum redemit. Et quamvis crucifixus sit, attamen, ut Deus soli tenebras induxit.

ORTHODOXUS. Illibatum corpus Christi per unionem cum Verbo evasisse sanctum et divinum, et omnipotens, et ad mira patranda aptum, nemo ambigit. At audiamus Gregorium Nyssenum, qui asserit, neque humanam naturam Christi vivificasse Lazarum; neque impatibilem potentiam flevisse exanimem: sed lacrymas hominis proprias esse; vitam vero veræ vitæ. Si autem, ut vobis placet, miracula non fuerunt divinitatis, sed corporis Christi, necesse erat ut statim ab incunabulis miracula patraret. Atqui infinities, infantium instar, flevit; infinities, ut homo, exspuit. Tentatus enim et probatus est per omnia nostra, ut C dicit Paulus [78], excepto solo peccato. Vide igitur, circumcisus nullum miraculum per sanguinem illum a divina carne effusum, operatus est. Quod vero profertis illud: « Non dabis sanctum tuum videre corruptionem [79]; » noveritis corruptionem esse totius substantiæ abolitionem; quæ in corpus Domini in sepulcro a divinitate custoditum cadere non poterat: sed immortalitate donatum est ac ejusmodi effectum, quale erat corpus Adami ante transgressionem.

Hippolyti episcopi Romani, ex sermone de resurrectione et incorruptione.

« Erunt, inquit, homines in resurrectione, sicut angeli Dei, nimirum corruptionis expertes, immortales, nihil defluxu aliquo deperdere soliti. Nam D immortalis natura non generat, non generatur, non augetur, non dormit, non esurit, non sitit, non fatigatur, non patitur, non moritur, neque a clavis et lancea perforatur, non sudat, non fundit sanguinem. Ejusmodi naturis constant angeli, et **156** animæ corporeis vinculis exsolutæ. Ambæ enim istæ naturæ sunt alterius generis, et diversæ a creaturis hujus mundi, quæ sub aspectum ca-

[78] Hebr. IV, 15. [79] Psal. XV, 10.

NOTÆ.

(73) Non fuit episcopus Romanus. Aliqui Portuensem vocant.

dunt, et corruptioni subjiciuntur. » Cæterum hic occurrit adversarius, aitque : « Christum sponte, et ex certa sententia passionem et cruciatus subiisse ; ea autem, quæ sponte et ex libera potestate fiunt, ad leges naturæ nequaquam pertinere. »

ORTHODOXI *responsio.* Igitur cum Christus sponte sua de cœlo descenderit, descensus ejus nequaquam verus erit. Et cum sponte incarnatus sit, non poterit corpus ejus dici *natura* ; neque partus, partus ejus ; neque tempus, tempus ejus ; neque genus, genus ejus ; neque passio, passio ejus ; neque mors, mors ejus ; neque resurrectio, resurrectio ejus ; neque ascensio, ascensio ejus ; omnia enim hæc vel subiit, vel suscepit sponte et propria voluntate ; nullaque prorsus necessitate adactus hominem induit. Hæc autem evasio a Manichæis excogitata est.

Contra Severianos alia explicatio et solutio dicti illius : « Unam divini Verbi naturam esse incarnatam. »

Quemadmodum, si in firmamento cœli tria luminaria ejusdem substantiæ et incircumscripta lucerent, nemo, qui saperet, ea tres naturas appellaret, sed tres lucis consubstantialis hypostases, eamdem cognatam, ejusdemque generis, modi ac rationis, indivisamque lucem habentes : sic et in Trinitatis mysterio, Verbum divinum non appellatur *natura*, sed *hypostasis*, quemadmodum Pater quoque et Spiritus sanctus. Et quemadmodum, si quod ex tribus illis luminaribus uniretur nebulæ, eamque incircumscripte assumeret ; vocaretur de cætero ipsum luminare etiam hypostasis, tanquam una ex tribus lucis hypostasibus ; vocaretur præterea natura, comparatione ad unitam sibi alterius generis et rationis nebulam : sic et tu sapientissimi Cyrilli dictum accipe ; quando dicit in unione carnis unam naturam Verbi divini incarnatam esse. Quod si dictum hoc inconsiderate arripias, contendasque ipsam Verbi hypostasin nominari naturam, necessario cogeris etiam divini Verbi Patrem appellare naturam propriam ; et similiter ipse Spiritus sanctus alia propria natura erit. Quod cum Severus asseruisset et docuisset, in Arianismi de tribus diis impiam voraginem præcipitatus est. Homo etiam nudus merusque hypostasis appellatur, et una quidem omnium ; si vero vestem induat, poterit et natura dici propter vestem **157** diversi generis, et alterius a se rationis, quam induit. Et Gabriel, qui est una ex angelicis hypostasibus, si carnem assumeret, posset quoque natura vocari, propter unionem cum carne, quæ est diversæ a Gabriele substantiæ. Et anima rationis particeps, Pauli, v. gr., præcise secundum seipsam spectata, et a carnis concretione libera, appellatur una quædam communis naturæ humanarum animarum hypostasis, et non natura ; si vero ante resurrectionem corpori uniatur, poterit propter diversitatem et terream molem carnis, pio

« Ἑκουσίως καὶ γνωμικῶς τὰ πάθη κατεδέξατο ὁ Χριστός. Τὰ δὲ ἑκουσίως γινόμενα καὶ γνωμικῶς, εἰς νόμον οὐκ ἀναφέρονται φύσεως. »

Ὁ ΟΡΘΟΔΟΞΟΣ *πρὸς ταῦτα.* Οὐκοῦν ἐπειδὴ ἑκουσίως κατῆλθεν ὁ Θεὸς Λόγος ἐξ οὐρανοῦ, μὴ λεγέσθω ἀληθὴς ἡ κατάβασις αὐτοῦ. Ἐπειδὴ ἑκουσίως ἐσαρκώθη, μὴ λεγέσθω *φύσις* τὸ σῶμα αὐτοῦ, μηδὲ τόκος ὁ τόκος αὐτοῦ, μηδὲ χρόνος, ὁ χρόνος αὐτοῦ, μήτε γένος τὸ γένος αὐτοῦ, μήτε πάθος, τὸ πάθος αὐτοῦ, μήτε θάνατος, ὁ θάνατος αὐτοῦ, μήτε ἀνάστασις, ἡ ἀνάστασις αὐτοῦ, μήτε ἀνάληψις, ἡ ἀνάληψις αὐτοῦ. Πάντα γὰρ ταῦτα ἑκουσίως, καὶ οἰκείᾳ γνώμῃ, ἀλλ' οὐκ ἐξ ἀνάγκης τινὸς ὑπέμεινεν, καὶ κατεδέξατο, ἐνανθρωπῆσαι ἐπὶ τῆς γῆς. Αὕτη δὲ ἡ ἐφεύρεσις Μανιχαίων καθέστηκεν.

Ἑτέρα τις ἀπολογία, καὶ ἐπίλυσις σαφὴς ὑπὲρ τῆς φωνῆς τῆς λεγούσης, « Μίαν τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην, πρὸς τοὺς τὰ Σευήρου φρονοῦντας. »

Ὥσπερ τριῶν τινων ὁμοουσίων, καὶ ἀπεριγράπτων ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ φωστήρων ὄντων, οὐδεὶς τῶν εὐφρονούντων τρεῖς φωτὸς αὐτοὺς φύσεις προσαγορεύει, ἀλλὰ τρεῖς φωτὸς ὁμοουσίου ὑποστάσεις, συμφυὲς, καὶ ὁμοφυὲς, καὶ ὁμογενὲς, καὶ συγγενὲς ἀδιαίρετον φῶς ἐχούσας · οὕτω δὴ ἐπὶ τοῦ Τριαδικοῦ λόγου *ὑπόστασις*, ἀλλ' οὐ *φύσις* προσαγορεύεται ὁ Θεὸς Λόγος, καθὰ καὶ ὁ Πατὴρ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὥσπερ δὲ πάλιν εἰ δόξει τὸν ἕνα τῶν τοιούτων φωστήρων ἑνωθῆναι τῇ νεφέλῃ, καὶ ταύτην ἀμφιάσασθαι ἀπεριγράπτως · λέγεται λοιπὸν ὁ ἐν αὐτῇ φωστὴρ, καὶ ὑπόστασις, ὡς εἷς ὑπάρχων τῶν τριῶν τοῦ φωτὸς ὑποστάσεων. Λέγεται δὲ καὶ φύσις, ὡς πρὸς σύγκρισιν τῆς ἑνωθείσης αὐτῷ ἑτερογενοῦς καὶ ἑτεροουσίου νεφέλης. Οὕτω δὴ νόησον τὴν τοῦ Θεοσόφου Κυρίλλου φωνὴν, ἡνίκα ἐν τῇ ἑνώσει τῆς σαρκὸς λέγει, μίαν τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην. Εἰ δὲ ἀπερισκέπτως κατατρέχεις τῇ φωνῇ ἀγωνιζόμενος, φύσιν ὀνομάζειν τὴν ὑπόστασιν τοῦ Λόγου, ἀνάγκη σε πᾶσαν φύσιν ὁμοίως προσαγορεύειν ἰδικὴν, καὶ τὸν Πατέρα τοῦ Θεοῦ Λόγου · ὁμοίως καὶ ἄλλην ἑτέραν φύσιν ἰδιάζουσαν, τὸ πανάγιον Πνεῦμα. Οὕτω γὰρ δογματίσας καὶ νοήσας ὁ Σευῆρος, εἰς τὸ Ἀρειανὸν τῆς τριθεΐας βάραθρον ἐξεκυλίσθη. Καὶ ἄνθρωπος δὲ γυμνὸς ὢν ὑπόστασις λέγεται μία τῶν πάντων · ἐὰν δὲ ἐνδύσηται ἐσθῆτα, δύναται καὶ φύσις λέγεσθαι διὰ τὸ ἑτεροφυὲς τῆς ἐσθῆτος τῆς ἑτερογενοῦς, ἧς ἠμφιάσατο. Καὶ ὁ Γαβριὴλ δὲ, φέρε εἰπεῖν, μία τῶν ἀγγελικῶν ὑποστάσεων ὑπάρχων, εἰ ἐνεδύσατο σάρκα, ἠδύνατο καὶ φύσις προσαγορεύεσθαι, διὰ τὴν ἕνωσιν τῆς ἑτερογενοῦς αὐτοῦ σαρκός. Καὶ ἡ ψυχὴ δὲ ἡ λογικὴ, οἷον τοῦ Παύλου, γυμνὴ καθ' ἑαυτὴν καὶ ἄσαρκος οὖν ὑπάρχουσα, μία ὑπόστασις τῆς κοινῆς οὐσίας τῶν ἀνθρωπίνων ψυχῶν λέγεται, καὶ οὐ φύσις. Εἰ δὲ νῦν ἡνώθη τῷ ἑαυτῆς σώματι πρὸ ἀναστάσεως, δύναται διὰ τὸ ἑτεροφυὲς, καὶ γηγενὲς τῆς σαρκὸς τρόπῳ τινὶ εὐσεβεῖ, καὶ φύσις προσαγορεύεσθαι. Διὸ καὶ ἐκ δύο φύσεων τὸν ἄνθρωπον

συγκεῖσθαι οἱονεί πως οἱ μακάριοι Πατέρες εἰρήκασιν.

Ἀλλὰ κατατρέχει ἡμῶν καὶ ἐν τούτῳ ὁ Ἀκέφαλος λέγων, ὅτι « Εἰ ἐκ δύο φύσεων ὁ ἄνθρωπος σύγκειται, προσελάβετο δὲ τοῦτον ὁ Θεὸς Λόγος, εὑρεθήσεσθε τρεῖς λοιπὸν φύσεις ὁμολογοῦντες ἐν τῷ Χριστῷ. » Πρὸς οὓς λεκτέον, ὅτι Ἐντεῦθεν ἐλέγχεσθε ἀρνούμενοι τὸν τῆς σαρκώσεως Λόγον, καὶ οὔτε σῶμα, οὔτε ψυχὴν ὁμολογοῦντες ἐν ἀληθείᾳ ἀναλαβεῖν τὸν Θεὸν Λόγον. Εἰ δὲ ὅλως λέγετε αὐτὸν τέλειον ὄντα ἐν ἀνθρωπότητι, ὥσπερ καὶ ἐν θεότητι, εὑρίσκεσθε καὶ ὑμεῖς ἐκ τριῶν φύσεων λέγοντες εἶναι τὸν Χριστόν. Πλὴν ὥσπερ τὸ δένδρον, πλείστας ποιότητος διαφορὰς ἔχον, λέγω δὴ, ῥίζης, κλάδων, φύλλων, ἄνθους, καρποῦ, μία φύσις λέγεται· οὕτω καὶ ἄνθρωπος ὅλος, καθά φησιν ὁ θεάδελφος Ἰάκωβος, πᾶσαν φύσιν ζώων, καὶ πετεινῶν, καὶ ἐναλίων δαμάζεσθαι ὑπὸ τῆς ἀνθρωπίνης φύσεως.

quodam modo etiam natura nominari. Qua de causa etiam ex duabus naturis hominem compositum esse, aliquando sancti Patres pronuntiarunt.

Verum hic quoque in nos incursant Acephali. « Si homo ex duabus naturis constat, hunc vero Verbum divinum assumpsit; tres utique naturas in Christo constituitis. » Quibus respondere oportet : Vel hinc manifestum fieri eos incarnationis mysterium tollere et abnegare, Verbumque divinum, ex eorum sententia, neque corpus, neque animam vere assumpsisse. Quod si omnino asseritis Christum perfectum esse in humanitate, sicut et in divinitate, sequitur, etiam vestro judicio, Christum ex tribus naturis constare. Cæterum sicuti arbor una et est et appellatur natura, quamvis ex differentium qualitatum partibus compacta, ut ex radice, ramis, foliis, flore, fructu : ita et totus homo una est natura, juxta illud Jacobi fratris Domini : « Omnis natura bestiarum, et volucrum, et aquatilium domatur a natura humana [80]. »

Ἔπιλυσις, ἤτοι ἀνατροπὴ τῆς τῶν Μονοφυσιτῶν προτάσεως τῆς λεγούσης, ὅτι « Εἰ τελεία θεότης ἐστὶν ἡ σαρκωθεῖσα τοῦ Θεοῦ Λόγου ὑπόστασις, καὶ ἐν αὐτῇ ὁρᾶται πᾶν τὸ πλήρωμα τῆς ἁγίας Τριάδος, εὑρίσκονται πάντα, τὰ ἐν τῷ Υἱῷ ὁμολογούμενα ἐν τῇ οἰκονομίᾳ, ταῦτα τῇ πάσῃ Τριάδι προσαπτόμενα. εἴτε δύο φύσεις, εἴτε θελήσεις, εἴτε ἐνέργειαι. Οἱ δὲ μὴ οὕτω φρονοῦντες εὑρίσκονται, φησὶ, διδόντες τῇ ἁγίᾳ Τριάδι τρεῖς μὲν φύσεις ἰδικὰς, μίαν δὲ κοινήν. » Εἴρηται μὲν οὖν ἡμῖν πρὸ βραχέως βραχέα περὶ τούτου· ὅπως δὲ μὴ καὶ ἡμεῖς, ὡς οἱ αἱρετικοὶ, ἰδίους μύθους ἀναπλάττοντες τῇ θείᾳ κατάρᾳ ὑποπέσωμεν τῇ λεγούσῃ, « Οὐαὶ τοῖς ἐξ οἰκείας καρδίας προφητεύουσι, καὶ οὐκ ἐκ Θεοῦ· » φέρε ὥσπερ ὁ Δαυὶδ ἐνὶ λίθῳ Γολιαθίτῃ πᾶσαν τὴν παρεμβολὴν τῶν ἀλλοφύλων πατάξωμεν, ἀποφράττοντες αὐτῶν τὰ στόματα, τὰ φάσκοντα, ὅτι ὅσα ἂν προστεθῇ τῷ ἑνὶ τῆς ἁγίας Τριάδος Χριστῷ, ταῦτα καὶ τῇ πάσῃ Τριάδι λογίζονται.

Solutio et refutatio propositionis Monophysitarum, quæ affirmat « Perfectam divinitatem nihil aliud esse, quam incarnatam Verbi divini hypostasin ; et in ea omnem sanctissimæ Trinitatis plenitudinem inesse ; et omnia, quæ in Christo propter incarnationis œconomiam confitemur, toti Trinitati competere, sive duas naturas, sive voluntates, sive operationes; et qui non ita sentit (inquiunt isti), is in Trinitate tres proprias naturas unamque communem constituit. » De quo paulo antea pauca quidem diximus ; ne vero nos etiam, hæreticorum more, videamur propria commenta excogitare, et in divinam illam maledictionem incidere : « Væ his, qui prophetant ex corde suo [81], » non ex Deo ; agedum, ut David uno lapide, in Goliathis fronte infixo, universum alienigenarum exercitum percutiamus, obturantes ora eorum, qui aiunt omnia quæ uni ex sanctissima Trinitate, nimirum Christo, tribuuntur, toti Trinitati tribuit.

ΚΕΦΑΛ. ΚΔ'.

Τοῦ ἁγίου ἀποστολικοῦ διδασκάλου Διονυσίου, τοῦ Ἀρεοπαγίτου ἐκ τοῦ κεφαλαίου τοῦ περὶ ἡνωμένης καὶ διακεκριμένης θεολογίας.

« Καθάπερ φῶτα λαμπτήρων, ἵνα αἰσθητοῖς καὶ ἰδίοις χρήσωμαι παραδείγμασιν, ὄντα ἐν οἴκῳ τινὶ, ὅλα ἐν ἀλλήλοις ἐστὶ, καὶ ἀκριβῆ τὴν ἀπ' ἀλλήλων ἰδικῶς ὑφισταμένην ἔχει διάκρισιν, ἡνωμένα τῇ διακρίσει, καὶ διακεκριμένα τῇ ἑνώσει. Καὶ γοῦν ὁρῶμεν ἐν οἴκῳ πολλῶν ὄντων τῶν λαμπτήρων, πρὸς ἕν τι φῶς ἑνούμενα τὰ πάντα φῶτα, καὶ μίαν αἴγλην ἀδιάκριτον ἐλλάμποντα, καὶ οὐκ ἂν τις, ὡς οἶμαι, δύναται τὸ τοῦδε τοῦ λαμπτῆρος τὸ φῶς ἀπὸ τῶν ἄλλων ἐκ τοῦ πάντα περιέχοντος ἀέρος διακρῖναι, καὶ ἰδεῖν ἄνευ θατέρου θάτερον, ὅλων ἐν ὅλοις ἀμιγῶς συγκεκραμένων. » Ταῦτα Διονυσίου.

158 CAP. XXIV.

Sancti et apostolici doctoris Dionysii [82] Areopagitæ ex capite de conjuncta et discreta theologia.

« Quemadmodum lumina lucernarum, ut sensibilibus et familiaribus utar exemplis, in domo una cum sint, tota in se mutuo sunt, et exacte a se mutuo secundum propriam subsistendi rationem secernuntur, unita discretione, et discreta unione. Denique cernimus in domo pluribus lucernis illustri, omnia lumina in unum lumen coalescere, et unum indiscretum fulgorem emittere ; neque ulli, ut arbitror, proclive fuerit, hujus vel illius lucernæ lumen in aere omnia lumina continente, ab alterius lucernæ lumine discernere, et intueri, cum tota in totis impermiste permista sint. » Hæc Dionysius.

[80] Jac. III, 7. [81] Ezech. XIII, 3 sec. LXX. [82] S. Dionys. *De divin. nomin.* cap. 1.

Scholium. Unitam et discretam vocat sanctissimam Trinitatem, propter communem naturam et hypostaseon distinctionem.

Nunc ad solutionem dictorum accedamus. Sensus Patris ejusmodi est. In mysterio Trinitatis explicando usus est exemplo trium cereorum vel lucernarum in aliquo templo vel domo accensarum quæ hypostasibus quidem secernuntur, et a se mutuo separantur. Alia enim et alia lucerna est secundum individuam rationem : luce autem conjunctam habent, et inseparabilem naturæ, et operationis communionem ; neque ullus potest in circumfuso acre discernere ac dicere : Quodnam lumen sit hujus lucernæ, et quod illius. Hæc doctor ille. Postea transit a sermone de Trinitatis mysterio ad incarnationis rationem ; et ad processionem in Deo (processionem vero cum audis, ne localem existimes, sed illam, de qua hæc ipsemet Christus : « Ego a Patre exivi, et ad Patrem vado [83]. ») Dionysius : « Si quis ex domo aliquam lucernam efferat, simul exibit totum, quod ab illa manat, lumen, nihil de aliis luminibus secum extrahens ; aut aliquod sui aliis relinquens. » Egressus, inquit, Filius a Patre, neque Patrem, neque Spiritum sanctum secum traxit ; neque quidquam ex propriis is, qui egressus est, aliis reliquit ; sed secundum solam hypostasin suam exivit. Deinde explicans quæ dixerat, ita scribit : « Discretum est autem a divinis operibus in nos benigne manantibus, quod secundum nos atque ex nobis integre ac vere substantiam sumpsit supersubstantiale Verbum. » *Explicatio.* Discretum est, hoc est, sejunctum est **159** a Trinitatis theologico mysterio, per hoc, quod naturam nostram totam per incarnationem assumpsit (hæc enim est incarnationis et assumptionis humanæ naturæ ratio) : quodque agit, et patitur quæcunque humanæ naturæ cum divina conjunctæ sunt consentanea et consona. Consentanea, inquam, et consona ; hoc est, pura seu munda, et non digna rejici ab humana natura : cujusmodi sunt partus, infantia, incrementum, fames, sitis, labor, tristitia, lacrymæ, sputa, sudores, sanguis, transfixio, corruptio, dissolutio, vitæ amissio, loquendi seque movendi impotentia. Quibus adjungit Dionysius : « Horum enim nulla ratione Pater et Spiritus sanctus participes effecti sunt. »

Erubescat Severus. Erubescat Dioscorus, Timotheus et Eutyches. Erubescat Theodosius, et Jacobus. Erubescat *decicornis* illa Antichristi cohors, quæ dicit omnia, « quæ de Christo dicuntur, convenire in totam Trinitatem. » Ecce apostolicum illud universi orbis lumen Dionysius diserte profitetur, eorum quæ Christus in carne et per carnem gessit, vel assumpsit, Deum Patrem et Spiritum sanctum nullo pacto participem factum esse : « Nisi forte quis asserat, inquit, benignitate, clementia et communione voluntatis. » Solo, inquit,

[83] Joan. XIII, 5.

A *Σχόλιον.* Ἡνωμένην, καὶ διακεκριμένην λέγει τὴν ἁγίαν Τριάδα, διὰ τὸ κοινὸν τῆς οὐσίας, διαιρετὸν δὲ τῶν ὑποστάσεων.

Ἐπὶ δὲ τὴν λύσιν τῶν εἰρημένων χωρήσωμεν. Ὅλος ὁ νοῦς τοῦ Πατρὸς, τοῦτον ἔχει τὸν τρόπον· Ὑπόδειγμα εἶπεν ἐπὶ τῆς ἁγίας Τριάδος τριῶν τινων λύχνων, ἢ κηρῶν ἀπτόντων, ἔν τινι ναῷ, ἢ οἴκῳ, ταῖς μὲν ὑποστάσεσι διακεκριμένων, ἡγουν κεχωρισμένων ἐξ ἀλλήλων. Ἄλλος γὰρ, καὶ ἄλλος λύχνος ἐστὶν ἰδικῶς ὁ καθ' εἷς, τῷ δὲ φωτὶ, ἡνωμένην ἔχουσι καὶ ἀχώριστον τὴν κοινωνίαν τῆς φύσεως, καὶ τῆς ἐνεργείας· καὶ οὐδεὶς δύναται ἐν τῷ ἀέρι τοῦ οἴκου διακρῖναι, καὶ εἰπεῖν, ποῖον μὲν φῶς ἐστι τοῦδε τοῦ λύχνου, ποῖον δὲ τοῦ ἑτέρου. Ταῦτα ὁ διδάσκαλος εἶπεν. Μετέρχεται λοιπὸν ἐκ τοῦ Τριαδικοῦ, εἰς τὸν B τῆς οἰκονομίας λόγον (ἔξοδον ἐπὶ Θεοῦ μηκέτι τοπικὴν νοήσῃς), καὶ τὴν ἔξοδον τοῦ Θεοῦ Λόγου τὴν τοῦ Πατρὸς κατὰ τὴν αὐτοῦ φωνὴν τὴν φάσκουσαν, ὅτι « Ἐγὼ ἐκ τοῦ Πατρός μου ἐξῆλθον, καὶ πρὸς τὸν Πατέρα μου ὑπάγω. » Διονυσίου· « Ἀλλὰ καὶ εἴ τὸν ἕνα τις τῶν πυρσῶν ὑπεξαγάγοι τοῦ δωματίου, συνεξελάσεται, καὶ τὸ οἰκεῖον ἅπαν φῶς, οὐδέν τι τῶν ἑτέρων φωτῶν ἐν ἑαυτῷ συνεπισπώμενον, ἢ τοῦ ἑαυτοῦ τοῖς ἑτέροις καταλιπών. » Ἐξελθὼν, φησὶν, ὁ Υἱὸς ἐκ Πατρὸς, καὶ ἐπιδημήσας ἐν τῷ κόσμῳ, οὔτε τὸν Πατέρα καὶ τὸ Πνεῦμα συνεξήγαγε σὺν ἑαυτῷ, οὔτε μὴν τῶν οἰκείων τι ὁ ἐξελθὼν ἐκείνοις κατέλιπεν· ἀλλ' ἰδιαίτερον τῆς ἑαυτοῦ μόνης ὑποστάσεως ἐποιήσατο ἔξοδον. Εἶτα ἐν τοῖς ἑξῆς τρανοῖ τὰ εἰρημένα λέγων· « Διακέκριται δὲ τῆς ἀγαθοπρεποῦς εἰς C ἡμᾶς θεουργίας τὸ καθ' ἡμᾶς ἐξ ἡμῶν ὁλικῶς καὶ ἀληθῶς οὐσιωθῆναι τὸν ὑπερούσιον Λόγον. » *Ἑρμηνεία.* Διακέκριται, τοῦτ' ἔστι κεχώρισται τοῦ Τριαδικοῦ καὶ θεολογικοῦ λόγου, τῷ καθ' ἡμᾶς ἐξ ἡμῶν ὁλικῶς καὶ ἀληθῶς σαρκωθῆναι (τοῦτ' ἔστιν, ὁ τῆς ἐνανθρωπήσεως καὶ σαρκώσεως Χριστοῦ λόγος), καὶ δρᾶσαι, καὶ παθεῖν, ὅσα τῆς ἀνθρωπικῆς αὐτοῦ θεουργίας ἐστὶν ἔγκριτα καὶ ἐξαίρετα. Ἔγκριτα, φησὶ, καὶ ἐξαίρετα, τοῦτ' ἔστι, καθαρὰ καὶ ἀδιάβλητα τῆς ἀνθρωπίνης αὐτοῦ φύσεως· ἅτινα εἰσὶ, τόκος, νηπιότης, αὔξησις, πεῖνα, δίψα, κόπος, λύπη, δάκρυα, πτυελοὶ, ἱδρῶτες, τρῆσις, φθορὰ, λύσις, θνῆσις, νέκρωσις, ἀφθεγξία, ἀκινησία. Ἐπιφέρει γὰρ ἀκολούθως λέγων· « Τούτοις γὰρ ὁ Πατὴρ, D καὶ τὸ Πνεῦμα κατ' οὐδένα κεκοινώνηκε λόγον. »

Αἰσχυνέσθω Σευῆρος. Αἰσχυνέσθω Διόσκορος, καὶ Τιμόθεος, καὶ Εὐτυχής. Αἰσχυνέσθω Θεοδόσιος, καὶ Ἰάκωβος. Αἰσχυνέσθω τὸ *δεκακέρατον* τοῦ Ἀντιχρίστου, τὸ λέγον, ὅτι « Πάντα, τὰ ἐν τῷ Χριστῷ λεγόμενα, ταῦτα καὶ τῇ πάσῃ Τριάδι ἁρμόζουσιν. » Ἰδοὺ γὰρ σαφῶς ὁ ἀποστολικὸς φωστὴρ τῆς οἰκουμένης φησὶν, ὅτι τῆς ἐν σαρκὶ, ἢ διὰ σαρκὸς Χριστῷ πεπραγμένοις, ἢ προσειλημμένοις, ὁ Θεὸς, καὶ Πατὴρ, ἢ τὸ Πνεῦμα τὸ ἅγιον κατ' οὐδένα κεκοινώνηκαν τρόπον· « Εἰ μή πού τις φαίη, φησὶ, κατὰ τὴν ἀγαθοειδῆ καὶ φιλάνθρωπον βούλησιν. » Μόνῃ, φησὶ,

τῇ βουλῇ καὶ εὐδοκίᾳ, καὶ συναινέσει κεκοινώνηκεν ὁ Πατὴρ, καὶ τὸ ἅγιον Πνεῦμα τῷ τῆς σαρκώσεως Χριστοῦ λόγῳ, καὶ τρόπῳ. Ἀκοινώνητοι καὶ ἀλλότριοι κατὰ τὰς ἰδίας ὑποστάσεις μείναντες πάντων ὅσων ἐκ τῆς Παρθένου προσελάβετο ὁ Θεὸς Λόγος σαρκωθείς. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A consilio, beneplacito et approbatione Pater et Spiritus sanctus communicarunt de ratione et modo incarnationis Christi. Secundum proprias vero hypostases nihil omnino participarunt de illis, quæ Verbum incarnatum ex Virgine assumpsit. Ipsi gloria in sæcula sæculorum. Amen.

Συγγνώμην αἰτοῦμαι παρὰ τῶν φιλοπόνων· ἐκ μέρους γὰρ γινώσκομεν, ὡς ὁ Παῦλος βοᾷ, καὶ ἐκ μέρους νοοῦμεν, καὶ ἐκ μέρους λαμβάνομεν, καὶ ἐκ μέρους δογματίζομεν· ὅσον γὰρ ἐρευνᾶται τὸ Θεῖον, τοσοῦτον ἐπὶ πλέον ἀγνοεῖται. Οὔτε γὰρ αὐτοὶ οἱ ἅγιοι ἄγγελοι τελείως τὰ περὶ Θεοῦ ἐπίστανται.

Veniam peto a studiosis ; ex parte enim cognoscimus, ut Paulus clamat [84], et ex parte intelligimus, et ex parte rem assequimur, et ex parte dogmatizamus ; quanto enim magis investigatur Deus, tanto magis ignoratur ; neque enim ipsi angeli res divinas perfecte intelligunt.

Προσθήσω δὲ ὥσπερ τινὰ στεφάνην ἐπινίκιον νυμφικὴν τῇ βίβλῳ, καὶ τάδε· Νόμος θεῖος παλαιός τε καὶ νέος διακελεύεται, « ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων ἱστασθαι πᾶν ῥῆμα. Ἐν τοίνυν τῇ ἁγίᾳ συνόδῳ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων Πατέρων τῶν ἐν Νικαίᾳ, ἐῤῥέθη, μὴ ταυτὸν εἶναι τὴν φύσιν, καὶ τὴν ὑπόστασιν, ὡς ἐν τοῖς ἔμπροσθεν παρεστήσαμεν. Ὁμοίως καὶ ἡ ἁγία σύνοδος ἡ ἐν Ἐφέσῳ τὸ πρότερον, τῶν διακοσίων ἁγίων Πατέρων, διὰ τοῦ πανσόφου Κυρίλλου, δημοσίως ὥρισεν, ἕτερον εἶναι καὶ τὴν φύσιν, παρὰ τὴν ὑπόστασιν, ἤτοι τὸ πρόσωπον. Ἀρκοῦσι τοίνυν τῇ ἁγίᾳ ἡμῶν καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ οἱ πεντακόσιοι δέκα ὀκτὼ Πατέρες εἰς συνηγορίαν καὶ ὑπερμαχίαν κατὰ τῶν Ἀκεφάλων· οὔτε γὰρ ἄνθρωπος, οὔτε πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν ἰσχύουσί ποτε ἃ ὥρισαν, καὶ ἐθέσπισαν οἱ τῶν τοιούτων ἁγίων συνόδων Πατέρες λῦσαι ἢ ἀνατρέψαι. Λοιπὸν ἡνίκα ἡμῖν οἱ Ἀκέφαλοι προβάλλονται, ἐν πολλάκις ῥῆμα, ἢ δύο λέγοντα τὴν φύσιν πρόσωπον, προβαλλώμεθα αὐτοῖς τὸν τῶν πεντακοσίων δέκα καὶ ὀκτὼ ἁγίων Πατέρων χορόν. Τῶν πλειόνων γὰρ ἰσχύει ἡ ψῆφος ἐπὶ παντὶ πράγματι, καθὼς οἱ κανόνες τῶν ἁγίων ἀποστόλων Χριστοῦ διετάξαντο· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Adjungam et ista libro huic tanquam coronam triumphalem et victricem, sponsæ impositam. Lex divina vetus et nova præcipit, « ut in ore duorum vel trium testium stet omne verbum [85]. » Itaque in sancta synodo Nicæna trecentorum decem et octo Patrum dictum est, naturam et hypostasin non esse unum et idem, quemadmodum antea demonstravimus. Similiter et synodus Ephesina ducentis Patribus constans, per sapientissimum Cyrillum publice statuit : naturam ab hypostasi seu persona distingui. Sufficiunt igitur sanctæ, catholicæ et apostolicæ Ecclesiæ quingenti decem et octo Patres **160** pro defensione et subsidio adversus Acephalos ; neque enim ullus homo, neque ipsæ cœlorum virtutes universæ poterunt aliquando solvere aut evertere ea, quæ tales ac tanti Patres decreverunt. De cætero, quando Acephali sæpius nobis unum vel alterum dictum objectant quod naturam nominet personam ; objiciamus nos quingentorum decem et octo Patrum chorum. Suffragium enim plurium omni in negotio valet : sicut sanctorum apostolorum canones decreverunt. Deo gloria et imperium in sæcula sæculorum. Amen.

ΤΕΛΟΣ.

Laus Deo Virginique Matri.

[84] I Cor. XIII, 12. [85] Deut. XIX, 15; Matth. XVIII, 16.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΑΝΑΣΤΑΣΙΟΥ ΣΙΝΑΙΤΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΑΝΤΙΟΧΕΙΑΣ

ΕΡΩΤΗΣΕΙΣ ΚΑΙ ΑΠΟΚΡΙΣΕΙΣ

ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ ΚΕΦΑΛΑΙΩΝ ΕΚ ΔΙΑΦΟΡΩΝ ΠΡΟΣΩΠΩΝ.

Τὰς λύσεις οὐκ ἐξ ἑαυτοῦ, ἀλλ' ἐκ πείρας, καὶ ἀναγνώσεως τῶν θείων Γραφῶν ἐποιήσατο.

—

S. ANASTASII SINAITÆ

EPISCOPI ANTIOCHENI

INTERROGATIONES ET RESPONSIONES

DE DIVERSIS CAPITIBUS A DIVERSIS PROPOSITÆ.

Solutiones non ex seipso, sed ex experientia, et ex sacris Litteris desumpsit.

—

CATALOGUS SCRIPTORUM

Ex quibus quæstiones istæ contextæ sunt.

Vis cognoscere improbi simulacri proprias notas? Invidia, odium, calumnia, superbia, avaritia, vitiosa cupiditas, insani gloriæ studii morbus. Hæc, et ejusmodi, sunt quibus forma adversarii insignitur, atque notatur. Cujus igitur animus ejusmodi maculis et notis infectus et inustus est, si Patrem invocaverit : uter ei Pater auscultabit? nimirum is qui cognatus est invocanti : is autem non ille cœlestis, sed subterraneus est. Cujus enim signa proximæ cognationis gerit, ille suam omnino cognationem agnoscet. **178** Quo circa improbi ac scelesti hominis oratio, quandiu in improbitate fuerit, diaboli invocatio est (1). At ejus qui destiterit ab improbitate, et vivit in bonitate, bonum Patrem vox invocabit.

A Βούλει γνῶναι τοῦ πονηροῦ χαρακτῆρος τὰ ἰδιώματα; Ὁ φθόνος, τὸ μῖσος, ἡ διαβολή, ὁ τύφος, ἡ πλεονεξία, ἡ ἐμπαθὴς ἐπιθυμία, τὸ κατὰ τὴν δοξομανίαν[e] ἀῤῥώστημα. Ταῦτά ἐστι καὶ τὰ τοιαῦτα, οἷς ἡ μορφὴ τοῦ ἐναντίου χαρακτηρίζεται. Ὁ οὖν ταῖς τοιαύταις κηλίσι τὴν ψυχὴν ἐκκεκυλισμένος[f], ἐὰν Πατέρα καλέσῃ, ποῖος αὐτοῦ ἀκούσεται; Δηλαδὴ ὁ συγγενῶς πρὸς τὸν κεκληκότα ἔχων. Οὗτός ἐστιν οὐχ ὁ οὐράνιος, ἀλλ' ὁ καταχθόνιος· οὗ γὰρ τὰ σημεῖα φέρει τῆς ἀγχιστείας, ἐκεῖνος τῆς ἰδίας συγγενείας ἀντιποιήσεται. Οὐκοῦν[g] ἡ τοῦ πονηροῦ ἀνδρὸς προσευχὴ[h] ἕως ἂν τῇ πονηρίᾳ ᾖ τοῦ διαβόλου ἐπίκλησις γίνεται. Τοῦ δὲ ἀφεστῶτος τῆς πονηρίας, καὶ ἐν ἀγνότητι[i] ζῶντος, τὸν ἀγαθὸν Πατέρα ἡ φωνὴ προσκαλέσεται.

Ejusdem, ad Lybbium (2) *monachum.*

Si quis ergo subit nomen Christi : et vita non ostendit quæcunque simul cum hoc nomine considerantur, is nomen ementitur. Neque enim potest fieri, ut Dominus non sit justitia et puritas, et justitia, et ab omni malo remotio, neque ut Christianus non illorum nominum in se ostendat participationem.

B *Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Λύββιον*[k] *ἀσκητήν.*

Εἰ τοίνυν τις τὸ ὄνομα τοῦ Χριστοῦ ὑποδύεται, ὅσα δὲ τῷ ὀνόματι τούτῳ συνθεωρεῖται μὴ δεικνύει τῷ βίῳ, καταψεύδεται τοῦ ὀνόματος ὁ τοιοῦτος. Οὔτε γὰρ τὸν Κύριον ἔστι μὴ δικαιοσύνην εἶναι καὶ καθαρότητα, καὶ ἀλήθειαν, καὶ κακοῦ παντὸς ἀλλοτρίωσιν· οὔτε ἀληθῶς Χριστιανὸν ἔστιν εἶναι, μὴ κἀκείνων τῶν ὀνομάτων ἐν ἑαυτῷ τὴν κοινωνίαν δεικνύοντα.

Cyrilli Hierosolymitani, ex ipsius Catechetico.

Nihil nobis proderit, Christianorum appellari nomine, ni etiam ipsa subsequantur opera. Etenim scriptum est : « Si filii Abraham essetis, opera Abraham faceretis [28]. »

Κυρίλλου Ἱεροσολύμων, ἐκ τοῦ κατηχητικοῦ.

[l] Οὐδὲν ἡμῖν ὄφελος, τὴν τῶν Χριστιανῶν κεκλῆσθαι προσηγορίαν, μὴ καὶ τῶν ἔργων ἐπακολουθούντων. Γέγραπται γάρ· « Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν. »

C

Ex Chrysostomo in Evangelium secundum Matthæum [29].

Qui enim Deum Patrem appellavit, et veniam peccatorum, et pœnarum interitum, et justificationem, et sanctificationem, et liberationem, et filiorum adoptionem, et cum unigenito Filio cognationem, et Spiritus sancti largissima dona uno verbulo confessus est ; impossibile est enim, ut is Deum vocet Patrem, qui non omnium bonorum particeps et filius Dei factus est : « Quicunque enim, inquit, spiritu Dei aguntur, hi filii Dei sunt [30]. » Qui igitur Deum Patrem nominat, eum oportet vitam ad eum modum instituere, ne tali cognatione indignus appareat. « Nemo enim, inquit, potest duobus Dominis servire, Deo et mammonæ [31]. »

Noli igitur ex superfluo argumentari : semel siquidem pronuntiavit Deus, impossibile esse dicens, utrumque hoc simul esse servitium. Ne ergo tu dixeris, hoc esse possibile. Quando enim te unus

Τοῦ Χρυσοστόμου ἐκ τοῦ[m] *κατὰ Ματθαῖον.*

Ὁ γὰρ Πατέρα εἰπὼν Θεὸν[n] ἁμαρτημάτων ἄφεσιν, καὶ κολάσεως ἀναίρεσιν[o], δικαιοσύνην, καὶ ἁγιασμὸν, καὶ ἀπολύτρωσιν, καὶ υἱοθεσίαν, καὶ πρὸς τὸν[p] Μονογενῆ οἰκειότητα, καὶ Πνεύματος χορηγίαν, διὰ τῆς μικρᾶς[q] ταύτης λέξεως ὡμολόγησεν. Οὐδὲ γὰρ δυνατὸν, Πατέρα καλέσαι τὸν Θεὸν, μὴ πάντων[r] ἐπιτυχόντα τῶν ἀγαθῶν καὶ γενόμενον υἱὸν Θεοῦ. « Ὅσοι γάρ, φησὶ, πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν[s] υἱοὶ Θεοῦ. » Οὐκοῦν ὁ Πατέρα καλέσας τὸν Θεὸν, δίκαιον ἂν εἴη τοιαύτην ἐπιδείκνυσθαι πολιτείαν, ὡς μὴ τῆς συγγενείας[t] ταύτης ἀνάξιον φανῆναι. « Οὐδεὶς γάρ, φησὶ, δύναται δυσὶ κυρίοις δουλεύειν, καὶ Θεῷ καὶ μαμμωνᾷ. »

D

Μὴ τοίνυν περιττὰ φιλοσόφει· καὶ γὰρ ἅπαξ ἐφθέγξατο ὁ Θεὸς ἅπαξ, καὶ εἶπεν, ἀδύνατον εἶναι ταύτην κἀκείνην συμβῆναι τὴν δουλείαν· μὴ τοίνυν λέγε σὺ, ὅτι δυνατόν. Ὅταν γὰρ ὁ μὲν ἁρπάζειν κελεύῃ, ὁ

[28] Joan. VIII, 39. [29] Hom. 20 et 22. [30] Rom. VIII, 14. [31] Matth. VI, 24.

VARIÆ LECTIONES.

[e] κενοδοξίαν. [f] ἐγκεκυλισμένος. [g] πάντως. [h] εὐχή. [i] ἀγαθότητι · In nostro exemplari subjungitur hoc testimonium sequenti sub nomine Cyrilli. [k] ὀλύμπιον. [l] Herveti editio hoc testim. jungit primi sub nomine Greg. Nyss. Cod. Vatic. separ. [m] ἐκ τῆς ἑρμηνείας. [n] καί. [o] καί. [p] τήν. [q] τῆς μιᾶς. [r] ἐκείνων. [s] οἱ. [t] εὐγενείας.

NOTÆ.

(1) Caute lege ; videtur enim hyperbolice loqui, quod peccatori oratio non prosit ad meritum.
(2) *Olympium* Hervetus habet : Recte.

δὲ τὰ ὄντα ἀποδύνεσθαι· ὁ μὲν σωφρονεῖν, ὁ δὲ πορνεύειν· ὁ μὲν τρυφᾷν καὶ μεθύειν, ὁ δὲ νηστεύειν καὶ ἐγκρατεύεσθαι· ὁ μὲν αἰσχρολογεῖν· ὁ μὲν ὑπερορᾷν τῶν ὄντων, ὁ δὲ προσηλῶσθαι τοῖς παροῦσιν· ὁ μὲν θαυμάζειν μάρμαρα καὶ τοίχους, καὶ ὀρόφους· ὁ δὲ ταῦτα μὲν ἀτιμάζειν, τιμᾷν δὲ φιλοσοφίαν· πῶς δυνατὸν ταῦτα κυρίῳ [a] συμβῆναι; Κύριον δὲ ἐνταῦθα τὸν μαμμωνᾶν ἐκάλεσεν· οὐ διὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ διὰ τὴν τῶν ὑποκλινομένων αὐτῷ ταλαιπωρίαν. Οὕτω γὰρ καὶ τὴν κοιλίαν ὁ Ἀπόστολος Θεὸν ἐκάλεσεν· οὐκ ἀπὸ τοῦ τῆς δεσποίνης ἀξιώματος, ἀλλὰ ἀπὸ τῆς τῶν δουλευόντων ἀθλιότητος.

A Dominus propriis quoque exui jubet, alter vero etiam aliena diripere; quando ille tibi imperat castitatem, iste luxuriam; quando hic tibi castigationem ventris indicit, ille ebrietatem atque delicias; quando te alter omnia ista jubet despicere, alter vero inhærere, atque inhiare præsentibus; cum hic quidem præcipit lecta marmora, parietes pictos, et laquearia deaurata mirari, ille vero, horrere hujusmodi omnia, et veræ philosophiæ pulchritudinem, ac morum ornamenta **179** suspicere: quomodo possibile est, tam contraria hæc paria convenire? Dominum hic autem mammonam, id est, pecuniam nuncupavit, non ob propriam ipsius utique naturam, sed ob eorum miseriam, qui se ad illius inclinavere servitium. Sic etiam ventrem Apostolus appellat Deum [31], non utique a dignitate dominantis, sed ab infelicitate famulantium.

Τοῦ ἁγίου Βασιλείου ἐκ τῶν Ἀσκητικῶν [r].

Εἰ πιστεύομεν τῷ Κυρίῳ λέγοντι, « Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας· » καὶ πάλιν, « Ὑμεῖς ἐκ τοῦ πατρὸς διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν· » οἴδαμεν, ὅτι οὐχὶ κοινωνός ἐστιν ἁπλῶς, ἀλλὰ δοῦλος. Καὶ κύριον αὐτοῦ, καὶ πατέρα ἐπιγράφεται ἐκεῖνον οὗ τὸ ἔργον τις ποιεῖ. Καὶ μαρτυρεῖ ὁ Ἀπόστολος λέγων· « Οὐκ οἴδατε, ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοὴν, δοῦλοί ἐστε, ᾧ ὑπακούετε· ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην; » Καὶ οὐ νεκρὰν εἶναι δεῖ τὴν πίστιν· ἐπειδὴ, φησὶν, ὥσπερ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστι· καὶ πάλιν· « Σὺ πιστεύεις, ὅτι Θεὸς εἷς ἐστι, καλῶς ποιεῖς, καὶ τὰ δαιμόνια πιστεύουσι, καὶ φρίττουσι. » Λέγει δὲ ὁ Κύριος· Τί με λέγετε, Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω; Δεῖ γὰρ ἡμᾶς καὶ τῷ ἔργῳ Κύριον ὁμολογεῖν, ὑπ' αὐτοῦ κυριευομένους, μὴ βασιλευούσης, καὶ κυριευούσης ἐν ἡμῖν τῆς ἁμαρτίας· ἵνα μὴ καὶ ἐφ' ἡμῶν λέγηται· ὅτι « Ἠγάπησαν αὐτὸν ἐκ στόματος αὐτῶν ἡ δὲ καρδία αὐτῶν, οὐκ εὐθεῖα μετ' αὐτοῦ. » Ἀκούσωμεν δὲ τοῦ Ἀποστόλου λέγοντος· « Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὐ μέθυσοι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ κληρονομήσουσι. » Καὶ πάλιν· « Πᾶς πόρνος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, ἢ ἀκάθαρτος, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις· διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας· μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν. » Ἐὰν οὖν ἐν τούτοις ὦμεν καὶ ἡμεῖς οἱ λέγοντες πιστεύειν, καὶ προσδοκῶντες τὴν βασιλείαν, οὐ τοῦ βασιλέως ἐσμὲν μέτοχοι, ἀλλὰ τῶν ἐχθρῶν τοῦ βασιλέως συμμέτοχοι· εἰ γὰρ τὸν Χριστὸν ἐμάθομεν, ἀλήθειαν ἐμάθομεν. Εἰ δὲ ἀλήθειαν γινώσκομεν, ἐν ἀληθείᾳ

Sancti Basilii ex Asceticis.

Si credimus Domino dicenti: « Omnis, qui facit peccatum, servus est peccati [32]; » et iterum: « Vos ex patre diabolo estis, et voluntatem patris vestri vultis facere [33]; » nosse oportet, talem non solum participem, sed et servum esse. Nam et Dominum et Patrem appellat ejus, cujus quis opus facit. Et astipulatur Apostolus his verbis: « Nescitis, quoniam cui exhibetis vos servos ad obediendum, servi estis ei, cui obeditis, sive peccati ad mortem, sive obeditionis ad justitiam [34]. » Nec fidem mortuam esse oportet, sicuti corpus sine spiritu mortuum est. Iterum: « Tu credis, quia Deus unus est; bene facis, et dæmones credunt, et contremiscunt [35]. » C Dominus vero dicit: Quid me vocatis, Domine, Domine, et non facitis, quæ dico? Oportet enim nos ipso etiam opere Dominum confiteri, utpote qui ab ipso gubernemur, non regnante et dominante in nobis peccato; ne et de nobis dicatur: « Dilexerunt eum ore suo, cor autem eorum non erat rectum cum eo [37]. » Audiamus et Apostolum dicentem: « Neque fornicarii, neque idolis servientes, neque adulterii, neque molles, neque masculorum concubitores, neque ebriosi, neque rapaces, regnum Dei possidebunt [38]. » Iterum: « Omnis fornicator aut immundus aut avarus, quod est idolorum servitus, non habet hæreditatem in regno Christi Dei nostri; nemo vos seducat inanibus verbis; propter hæc enim venit ira Dei in filios diffidentiæ. Nolite ergo effici D participes eorum [39]. » Si igitur in his simus et nos, qui dicimus nos credere et exspectare regnum, non Regis sumus participes, sed inimicorum Regis socii erimus. Si enim Christum didicimus, veritatem didicimus. Si vero veritatem cognoscimus, in veritate etiam operum vivemus; alioqui veniens ad judicium cum infidelibus partem nostram ponet, di-

[31] Philipp. III, 19. [32] Joan. VIII, 34. [34] ibid. 44. [33] Rom. VI, 16. [36] Jac. II, 19. [37] Psal. LXXVII, 36. [38] I Cor. VI, 9, 10. [39] Ephes. V, 5-7.

VARIÆ LECTIONES.

[a] κἀκείνῳ. [r] Ex Codd. Vat.

cens : « Nunquam novi vos [60]. — Discedite a me, qui operamini iniquitatem [61]; » nec quidquam nobis proderit ingeminare illud : Domine, Domine ; nam et dæmones solam et nudam fidem habent.

A καὶ ζήσομεν τῶν ἔργων. Ἐπεὶ τὸ μέρος ἡμῶν μετὰ τῶν ἀπίστων θήσει παραγινόμενος, λέγων· « Οὐδέποτε ἔγνων ὑμᾶς· πορεύεσθε ἀπ' ἐμοῦ, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· » καὶ οὐδὲν ὠφελήσομεν λέγοντες, Κύριε, Κύριε· τὸ γὰρ ψιλῶς πιστεύειν, καὶ τὰ δαιμόνια πιστεύουσιν.

D. Chrysostomi, de Jejunio.

Dirigatur, *inquit*, oratio mea sicut incensum in conspectu tuo, elevatio manuum **180** mearum. Circumspice manus, et vide, quales sunt. Et, si in se nullam habeant rapacitatem, aut sordes, aut avaritiam, tunc dic confidenter : Dirigatur oratio mea sicut incensum. Sed, si quid rapuisti, aut fecisti aliquid prohibitum ; ne clamaveris, neque manus sustuleris, donec a malo cessaris. Nam etsi, Deo permittente, potueris in altum extollere, oratio tua (ut quæ sit polluta) nullo modo ascendit in cœlum. Quin etiam tu audi eum dicentem : « Quando manus tuas ad me extenderis, avertam oculos meos a te : Et si multiplicaveris preces, non te exaudiam, dicit Dominus [62]. »

Ejusdem in Evangelium secundum Matthæum [63].

Discamus ergo, quænam sint, quæ inquinant hominem. Discamus, et fugiamus. In Ecclesia enim apud multos videmus hanc vigere consuetudinem, ut studeant mundis ingredi vestimentis, et curam gerant, ut manus et os lavent : sed ut Deo mundam exhibeant animam, nullam habent rationem. Hæc autem dicens non veto lavare manus, nec os ; sed volens ita lavare, ut convenit ; non, aqua sola, sed pro aqua, virtutibus. Nam manuum quidem sordes sunt, rapina, malorum facinorum perpetratio, earumque in proximum immissio : oris autem, maledictum, turpis sermo, scurrilitas, risus, contumelia.

Si ergo sis tibi conscius, quod nihil ejusmodi feceris, nec dixeris, nec ejusmodi sordibus sis inquinatus, accede confidenter. Sin autem ejusmodi innumerabiles suscepisti maculas, cur frustra laboras ; aqua quidem linguam et manus abluens ; noxas autem (et eas exitiosas) in eis circumferens? Dic enim mihi : Si stercus et cœnum haberes in manibus, auderesne precari ? minime : Et tamen hoc nullam affert noxam : illa autem, exitium et perniciem afferunt. Quomodo ergo in iis, quæ, an agas, nihil refert, caves ac vereris ; in iis autem, quæ sunt prohibita, negligis? Quid igitur? An non oportet orare? Oportet quidem, sed non sordibus inquinatum, neque tanto cœno fœdatum. Quid ergo, inquis, si in eo fuero deprehensus? Purga te ipsum. Quomodo ; et quanam ratione? Lacrymare, ingemisce, da eleemosynam, confitere, reconciliare ei, quem affecisti contumelia, et ab ea absterge linguam, ne Deum magis irrites.

Τοῦ Χρυσοστόμου Περὶ νηστείας.

Κατευθυνθήτω, φησὶν, ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου, ἔπαρσις τῶν χειρῶν μου [x]. Περίβαψέ [y] σου τὰς χεῖρας, κατάμαθε ταύτας. Καὶ ἐὰν μηδὲν κέκτηνται ἁρπακτικὸν, ἢ ῥυπαρὸν, τότε λέγε μετὰ θάρσους· Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα. Ἐὰν δὲ ἥρπασας, ἢ ἐμπραξάς τι τῶν ἀπηγορευμένων, μὴ βοήσῃς, μηδὲ τὰς χεῖρας ὑψώσῃς, ἕως ἂν τοῦ κακοῦ παύσῃ. Ἐπεὶ ἐὰν καὶ δυνηθῇς B ὑψῶσαι ταύτας, κατὰ συγχώρησιν Θεοῦ, ἡ προσευχή σου ὡς μεμωμένη [z], οὐδόλως ἀνέρχεται εἰς τὸν οὐρανόν. Ἀλλὰ καὶ σὺ ἀκούσεις· « Ὅταν τὰς χεῖρας ἐκτείνῃς πρός με, ἀπυστρέψω τὸ πρόσωπόν μου ἀπὸ σοῦ· καὶ ἐὰν πληθύνῃς τὴν δέησιν, οὐκ εἰσακούσομαί σου, λέγει Κύριος. »

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ Ματθαῖον.

Μάθωμεν τοίνυν, τίνα ἐστὶ τὰ κοινοῦντα τὸν ἄνθρωπον· μάθωμεν, καὶ φύγωμεν. Καὶ γὰρ ἐν τῇ Ἐκκλησίᾳ τοιοῦτον ὁρῶμεν ἔθος κρατεῖν παρὰ τοῖς πολλοῖς· καὶ ὅπως μὲν καθαροῖς εἰσέλθοιεν ἱματίοις σπουδάζοντας, καὶ ὅπως τὰς χεῖρας, καὶ τοὺς πόδας νίψαι· ὅπως δὲ ψυχὴν καθαρὰν παραστῆσαι τῷ Θεῷ, οὐδὲν ποιουμένους λόγον. Καὶ ταῦτα λέγων, οὐ κω- C λύω νίπτειν χεῖρας, οὐδὲ στόμα, ἀλλὰ βουλόμενος οὕτω νίπτειν, ὡς προσήκει· οὐχ ὕδατι μόνῳ, ἀλλ' ἀντὶ τοῦ ὕδατος ταῖς ἀρεταῖς. Ῥύπος μὲν γὰρ χειρῶν, ἁρπαγὴ, κακοεργία, ἐπαφὴ κατὰ τοῦ πλησίον, στόματος δὲ βλασφημία, λοιδορία, αἰσχρολογία, εὐτραπελία, γέλως, ὕβρις.

Εἰ τοίνυν σύνοιδας σαυτὸν, μηδὲν τούτων πράττοντα, ἢ φθεγγόμενον, μηδὲ ῥυπῶντα τὸν ῥύπον τοῦτον, πρόσελθε θαῤῥῶν. Εἰ δὲ μυριάκις ταύτας ἐδέξω τὰς κηλίδας, τί ματαιοπονεῖς; ὕδατι μὲν περικλύζων τὰς χεῖρας καὶ τὴν γλῶτταν, τὸν δὲ ὀλέθριον καὶ βλαβερὸν περιφέρων ἐν αὐτοῖς ῥύπον ; Εἰπὲ γάρ μοι, εἰ κόπρον ἐν ταῖς χερσὶν εἶχες, καὶ βόρβορον, ἆρα ἐτόλμησας εὔξασθαι ; Οὔμενουν· καὶ μὴν τούτων οὐδεμία βλάβη· ἐκεῖ δὲ ὅλεθρος καὶ ἀπώλεια. Πῶς οὖν ἐν μὲν D τοῖς ἀδιαφόροις εὐλαβεῖς, ἐν δὲ τοῖς κεκωλυμένοις καταφρονεῖς ; Τί οὖν, φησὶ, οὐ δεῖ προσεύχεσθαι ; Δεῖ μὲν, ἀλλ' οὐχὶ ῥυπῶντας, οὐδὲ τοσοῦτον ἔχοντας βόρβορον. Τί οὖν, φησὶ, ἐὰν προσληφθῶ ; Κάθαρον σαυτόν. Πῶς, καὶ τίνι τρόπῳ; Κλαῦσον, στέναξον, δὸς ἐλεημοσύνην, ἐξομολόγησαι, ἀπολόγησαι τῷ ὑβρισμένῳ, διαλλάγηθι. Διὰ τούτων ἀπόσμιξον τὴν γλῶτταν, ἵνα μὴ μειζόνως παροξύνῃς τὸν Θεόν.

[60] Matth. xxv, 12. [61] Matth. vii, 23. [62] Isa. i, 15, 16. [63] Hom. 52.

VARIÆ LECTIONES.

[x] Deest in codd. Vat. [x'] Fort. addendum. θυσία ἑσπερινή. [y] Fort. περίβλεψε. [z] μεμιασμένη.

Si quis enim manus habens plenas stercore, sic supplex tuos prehensaret pedes; non solum eum non exaudires, sed etiam calce pedis repelleres. Quemadmodum ergo audes tu sic ad Deum accedere? Lingua **181** enim est manus peccantium; et per eam Dei genua prehensamus. Ne eam ergo polluas, ne tibi dicat : Si autem multiplicaveris preces, non te exaudiam. In manu enim linguæ, est vita et mors [46]. Et : Ex sermone tuo justificaberis, et ex sermone tuo condemnaberis. Et tu quidem, post consuetudinem cum tua uxore, non audes sic orare : post maledicta autem, convicia, contumelias, et alia mala; priusquam rite fueris expurgatus, extendis manus. Et quemadmodum, dic mihi, non horres, vocare nomen illud formidabile et terribile? Non audisti Paulum dicentem? « Volo ergo orare viros in omni loco, tollentes puras manus, absque ira et disceptatione; similiter et mulieres [46]. »

A

B

Ex eodem, in Evangelium sancti Joannis.

Quod enim nihil prosit fides, si vita sit prava, ac corrupta, dicit Dominus. « Non omnis qui dicit mihi, Domine, Domine, intrabit in regnum cœlorum, sed, qui facit voluntatem Patris mei, qui est in cœlis. Multi enim dicent in illa die : Domine, in nomine tuo prophetavimus; et dicam eis, Nescio vos [46]. » Quid enim prodest fides, quando Dominus nos non novit? Quando ergo Dei voluntatem non facimus, sumus sub laqueo diaboli. Et quomodo passer, etiamsi non toto teneatur corpore, sed uno solo pede, est in potestate ejus qui ipsum illaqueavit; ita nos quoque, etsi non omnino teneamur; sed, aut ex fide, aut ex vita, sumus in potestate diaboli. « A quo enim quis superatus est, hujus et servus est [47]. »

C

Ex Joanne Climaco.

Qui rectam quidem se dicit habere fidem, eam autem peccatis contaminat, similis est personæ, quæ non habet oculos. Qui autem fidem non habet, aliqua autem bona forte facit, est similis ei, qui haurit aquam, et eam infundit in dolium perforatum.

Ex Marco monacho.

Quidam non facientes mandata, existimant se recte credere; quidam autem facientes, regnum exspectant tanquam, quæ debetur, mercedem. Ambo autem a regno excidunt.

D

Ex Maximo monacho in capitibus monasticis.

In his tribus philosophatur Christianus : In mandatis, in dogmatibus, et in fide. Et mandata qui-

Εἰ γάρ τις, κόπρου τὰς χεῖρας πλήρωσας, οὗτός σου κατεῖχε τοὺς πόδας ἱκετεύων, οὐ μόνον οὐκ ἂν ἤκουσας, ἀλλὰ καὶ τῷ ποδὶ ἐλάκτισας. Πῶς οὖν σὺ τολμᾷς οὕτω τῷ Θεῷ προσιέναι; καὶ γὰρ χεὶρ ἐστιν ἡ γλῶσσα τῶν εὐχομένων, καὶ δι' αὐτῆς κατέχομεν τὰ γόνατα τοῦ Θεοῦ. Μὴ τοίνυν πληθύνῃς αὐτὴν, ἵνα μὴ καὶ πρὸς σὲ εἴπῃ · Ἐὰν πληθύνῃς τὴν δέησιν, οὐκ εἰσακούσομαί σου. Καὶ γὰρ ἐν χειρὶ γλώσσης, ζωὴ καὶ θάνατος. Καὶ · Ἀπὸ τῶν λόγων σου δικαιωθήσῃ, καὶ κατακριθήσῃ. Καὶ σὺ μὲν, ἀπὸ συνουσίας ὧν τῆς γυναικός σου, οὐ τολμᾷς οὕτω προσεύξασθαι, ἀπὸ δὲ λοιδορίας ὧν, καὶ ὕβρεως, καὶ ἑτέρων κακῶν, πρὶν ἢ καθαρθῆναι καλῶς, ἀνατείνεις τὰς χεῖρας. Καὶ πῶς οὐ φρίττεις, εἰπέ μοι, καλῶν ἐκεῖνο τὸ φοβερὸν καὶ φρικτὸν ὄνομα; οὐκ ἤκουσας τοῦ Παύλου λέγοντος, « Βούλομαι τοὺς ἄνδρας προσεύχεσθαι ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίας χεῖρας, χωρὶς ὀργῆς καὶ διαλογισμοῦ · ὡσαύτως καὶ τὰς γυναῖκας; »

Τοῦ αὐτοῦ, ἐκ τοῦ κατὰ Ἰωάννην.

Ὅτι οὐδὲν ἡμῖν ὄφελος πίστις, τοῦ βίου ὄντος διεστραμμένου, φησὶν ὁ Κύριος. « Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου ἐν οὐρανοῖς. Καὶ γὰρ πολλοί ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ · Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν; Καὶ ἐρῶ αὐτοῖς · Οὐκ οἶδα ὑμᾶς. » Τί γὰρ τὸ κέρδος τῆς πίστεως, ὅταν ἡμᾶς ἀγνοῇ ὁ Δεσπότης; Ὅταν οὖν μὴ ποιοῦμεν τὸ θέλημα τοῦ Θεοῦ, ὑπὸ τὴν παγίδα ἐσμὲν τοῦ διαβόλου · καὶ ὥσπερ ὁ στρουθὸς, κἂν μὴ ἐξ ὅλου τοῦ μέρους κατέχηται, ἀλλ' ἐξ ἑνὸς τοῦ ποδὸς, ὑπὸ τὴν ἐξουσίαν ἐστὶ τοῦ παγιδεύσαντος, οὕτω καὶ ἡμεῖς · κἂν μὴ ἐξ ὅλου κατεχώμεθα, ἀλλ' ἢ ἐκ πίστεως, ἢ ἐκ βίου, ὑπὸ τὴν ἐξουσίαν ἐσμὲν τοῦ διαβόλου · « ὯΙ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. »

Ἰωάννου τοῦ τῆς κλίμακος.

Ὁ πίστιν μὲν ὀρθὴν κεκτῆσθαι λέγων, ἁμαρτίας δὲ διαπραττόμενος, ὁμοιός ἐστι προσώπῳ ὀφθαλμοὺς μὴ ἔχοντι · ὁ δὲ πίστιν μὲν μὴ ἔχων, καλὰ δὲ ἴσως [a] ἐργαζόμενος, ὁμοιός ἐστι τὸ [b] ὕδωρ ἀντλοῦντι, καὶ εἰς πίθον τετρημένον [c] βάλλοντι.

Μαξίμου μοναχοῦ, ἐκ τῶν ἀσκητικῶν κεφαλαίων.

Ἐν τοῖς τρισὶ τούτοις ὁ Χριστιανὸς φιλοσοφεῖ · ἐν ταῖς ἐντολαῖς, ἐν τοῖς δόγμασι, καὶ ἐν τῇ πίστει.

[46] Prov. xviii, 21. [46] I Tim. ii, 9. [46] Matth. vii, 21-23. [47] II Pet. ii, 19.

VARIÆ LECTIONES.

[a] τινὰ. [b] τῷ. [c] συντετρημένον. [d] Μάρκου.

dem mentem abducunt a 182 vitiis, et animi perturbationibus. Dogmata autem inducunt ad eorum, quæ sunt, cognitionem. Fides autem ad contemplationem divinæ Trinitatis : quam decet gloria, honor, et adoratio, Deum Patrem, et Filium, et Spiritum sanctum, nunc, et semper, et in sæcula sæculorum (3).

A Καὶ αἱ μὲν ἐντολαὶ τῶν παθῶν τὸν νοῦν χωρίζουσι. Τὰ δὲ δόγματα εἰς τὴν γνῶσιν τῶν ὄντων εἰσάγουσιν. Ἡ δὲ πίστις, εἰς τὴν θεωρίαν τῆς ἁγίας Τριάδος · ᾗ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, * τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

VARIÆ LECTIONES.

* τῷ Θεῷ.

NOTÆ.

(3) In Herveto desunt.

ΕΡΩΤΗΣΙΣ Β.

Τίνες εἰσὶν οἱ ἀληθινοὶ προσκυνηταὶ, οἱ ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνοῦντες τῷ Πατρί;

QUÆSTIO II.

Quinam sunt veri adoratores, qui Deum adorant, in spiritu et veritate adorantes Patrem?

RESPONSIO.

Ex disceptatione cujusdam viri, utcunque dilucidum reddam id, quod dictum est. Nam cum accessisset quidam ad *Quiescentem*, et in silentio degentem quemdam anachoretam, dixit : Miror, Pater, quod tam constanter pergas esse separatus a sancta Ecclesia, et abstinere a sancta synaxi. Ille autem dicit : Omnes synaxes, et publicæ, quæ celebrantur liturgiæ seu missæ et festa ideo fiunt, o homo, ut expurgetur homo a suis peccatis, et Deus in eo habitet, ut scriptum est : « Inhabitabo in eis, et inambulabo [48] ; » Et : « Ego et Pater ad eum veniemus, et mansionem apud eum faciemus [49]. » Postquam ergo homo factus fuerit templum Dei animatum, recedit, Deum gestans anima, ab omni desiderio Ecclesiarum et synaxeon, et festorum humanorum : intus enim in se habet Patrem, et Filium pontificem, et Spiritum, verum ignem : intus, verum Deo sacrificium, spiritum contritum : intus, altare, et propitiatorium peccatorum, spiritales lacrymas', intus, regnum cœlorum : « Regnum enim cœlorum intra vos est [50], » et de cætero, tanquam spiritalis, spiritalibus oculis spiritalia offert sacrificia. « Deus enim est spiritus; et qui ipsum

ΑΠΟΚΡΙΣΙΣ.

Ἐκ διαλέξεως ἀνδρός τινος ἱεροῦ, ἀμυδρῶς πως σαφῶς [f] τὸ εἰρημένον ποιήσομαι. Παραγενόμενος γάρ τίς ποτε πρὸς ἄνδρα ἀναχωρητὴν *ἡσυχάζοντα* (4), φησὶ πρὸς αὐτόν · Θαυμάζω, Πάτερ, πῶς οὕτω διακαρτερεῖς [g] κεχωρισμένος τῆς ἁγίας Ἐκκλησίας καὶ ἀπεχόμενος τῶν ἁγίων συνάξεων. Πρὸς ὃν ἀπεκρίθη ὁ δοῦλος τοῦ Θεοῦ, καὶ εἶπε· Πᾶσαι αἱ συνάξεις, καὶ λειτουργίαι, καὶ ἑορταὶ διὰ τοῦτο γίνονται, ὦ ἄνθρωπε, ὅπως καθαρθῇ ὁ ἄνθρωπος τῶν ἁμαρτιῶν αὐτοῦ, καὶ οἰκήσῃ ἐν αὐτῷ ὁ Θεὸς, ὡς γέγραπται · ὅτι « Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω· » καὶ ὅτι « Ἐλευσόμεθα, ἐγὼ καὶ ὁ Πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. » Ἐπ' ἂν οὖν ὁ C ἄνθρωπος ναὸς ἔμψυχος γενήσεται [h] τοῦ Θεοῦ, ἀφίσταται ἡ θεοφόρος ψυχὴ ἀπὸ παντὸς πόθου Ἐκκλησιῶν αἰσθητῶν, καὶ συνάξεων, καὶ ἑορτῶν ἀνθρωπίνων · ἔνδον γὰρ ἔχει ἐν ἑαυτῷ τὸν Πατέρα, καὶ τὸν Υἱὸν ἀρχιερέα, καὶ τὸ Πνεῦμα τὸ ἀληθινὸν πῦρ, ἔνδον τὴν ἀληθῆ θυσίαν τῷ Θεῷ, πνεῦμα συντετριμμένον, ἔνδον τὸ θυσιαστήριον, καὶ τὸ ἱλαστήριον ἁμαρτιῶν τὸ πνευματικὸν δάκρυον · ἔνδον τὴν ἄνω βασιλείαν, καὶ Ἱερουσαλήμ · « Ἡ βασιλεία γάρ, φησὶ, τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστι. » Καὶ λοιπὸν, ὡς

[48] Levit. xxvi, 12; II Cor. vi, 16. [49] Joan. xiv, 23. [50] Luc. xvii, 21.

VARIÆ LECTIONES.

[f] σαφές. [g] εἶναι. [h] γένηται.

NOTÆ.

(4) *Ἡσυχάζοντα.* Eremitarum alii ἀναχωρηταὶ, alii ἐγκλεισταὶ, alii ἡσυχάζοντες, vel ἡσυχασταί. Quando Photius conjungit μονάζοντα, καὶ ἡσυχαστὴν, ut hic Anastasius ἀναχωρητὴν ἡσυχάζοντα, eum indicat, qui non e sæculo, sed e monasterio arctioris vitæ studio ad solitudinis quietem et otia transivit. (ALEMANN.)

(5) Hæc et sequentia caute lege; nam gratia Dei non abjicit desiderium Ecclesiarum, sacrorum cœtuum et festorum, cum hæc optima sint et Deo chara, præsertim missæ sacrificium.

πνευματικὸς τοῖς ὀφθαλμοῖς πνευματικὰς θυσίας προσ- A adorant, eos in spiritu et veritate oportet adorare [51]. » Omnia enim, quæ videntur[1], temporalia sunt, inquit Paulus, sive sacrificia, sive oblationes. Quæ autem non videntur, sunt æterna; « Quæ oculus non vidit, et auris non audivit, et in cor hominis non ascenderunt [52], » qui iis non paret. Talia sunt, quæ nobis Deus præparavit, et revelavit per suum spiritum, qui habitat in nobis. Nos enim non spiritum mundi accepimus, sed eum, qui est a Deo: ut videamus ea, quæ a Deo sunt nobis donata, quæ etiam loquimur. Quæ quidem, qui dignus est habitus, ut possideret, tanquam deificatus Dei in ipso habitatione, is de cætero Deum in se adorat, et liturgiam, seu missam ei celebrat, videns templum sui corporis Dei esse altare, in quo videt habitantem Trinitatis plenitudinem.

άγει. « Πνεῦμα γὰρ ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· » πάντα γὰρ τὰ ὁρώμενα πρόσκαιρά εἰσιν, ὥς φησιν ὁ Παῦλος, εἴτε θυσίαι, εἴτε προσφοραὶ, τὰ δὲ μὴ βλεπόμενα, αἰώνια, ἅτινά ἐστι, τὰ ἐν πνεύματι καὶ ἀληθείᾳ ἐν καρδίᾳ τοῦ θεοφόρου, « Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, » τοῦ μὴ πειθαρχεύοντος· τὰ τοιαῦτα, ἃ ἡτοίμασεν καὶ ἀπεκάλυψεν ἡμῖν ὁ Θεὸς διὰ τοῦ Πνεύματος αὐτοῦ, τοῦ ἐνοικοῦντος ἐν ἡμῖν· ἡμεῖς γὰρ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ ἐκ Θεοῦ· ἵνα ἴδωμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν, ἃ καὶ λαλοῦμεν, ἅπερ ὁ ἀξιωθεὶς κτήσασθαι, καὶ θεωθεὶς τῇ οἰκήσει τοῦ Θεοῦ τῇ ἐν αὐτῷ ἐντὸς [i] λοιπὸν τὸν Θεὸν ἐν ἑαυτῷ προσκυνεῖ, καὶ λειτουργεῖ, ὁρῶν αὐτοῦ τὸν ναὸν, τὸν τοῦ σώματος θυσιαστήριον Θεοῦ ὑπάρχοντα, ἐν ᾧ ὁρᾷ τὸ πλήρωμα τῆς Τριάδος κατοικοῦν. B

Οὕτω τοίνυν πασῶν τῶν ἀρετῶν ἡ ἡσυχία μεγίστη καθέστηκεν, ὡς θεογνωσίας αἰτία, κατὰ τὸν λέγοντα· « Σχολάσατε, καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός. » Διὸ δὴ καὶ αὐτὸς ὁ Κύριος πάλιν τὸν τῆς ἡσυχίας τρόπον ἐκπαιδεύων, καὶ τὸν ἐξ αὐτῆς καρπὸν, τῷ ταύτῃ ἐραστῇ [ὑπεκφαίνων [k]] λέγει· « Σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ Πατρί σου, τῷ ἐν τῷ κρυπτῷ, καὶ ὁ Πατήρ σου, ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ· » ὅθεν καὶ διὰ Ἡσαΐου φησίν· « Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν, καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους; » C

183 Sic ergo virtutum omnium maxima est quies ac silentium, ut, quæ sunt causa Dei cognitionis, convenienter ei, qui dicit: « Vacate, et videte quoniam ego sum Deus [53]. » Quamobrem ipse Dominus rursus docens modum quietis et silentii, et ejus amatori indicans, quisnam sit illius fructus, dicit: « Tu autem cum oraveris, intra in cubiculum tuum, et clauso ostio, ora Patrem tuum in abscondito; et Pater tuus, qui videt in abscondito, reddet tibi in aperto [54]. » Unde etiam Isaias dicit: « Super quem respiciam, nisi super humilem, et quietum, et trementem sermones meos [55]?

Ἐκ τοῦ Λαυσαϊκοῦ παραδείγματος.

Οὐάλης τις γέγονε, τῷ μὲν γένει Παλαιστινὸς, τῇ δὲ γνώμῃ Κορίνθιος, πεφυσιωμένος τῷ φρονήματι· καὶ γὰρ ὁ Ἀπόστολος, Κορινθίοις γράφων, λέγει· « Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ. » Οὐάλης τοίνυν πεφυσιωθεὶς ὄγκῳ κενῷ, καὶ αὐτῶν καταπεφρόνηκε τῶν μυστηρίων τοῦ Χριστοῦ. Ὁ γὰρ δαίμων τῆς ὑψηλοφροσύνης παρεσχημάτισεν ἑαυτὸν εἰς τὸν Σωτῆρα. Ὁ δὲ Οὐάλης, ἰδὼν αὐτὸν προσεκύνησεν αὐτὸν, καὶ φρενοβλαβήσας, ἦλθεν εἰς τὴν ἐκκλησίαν· καὶ συνηγμένης πάσης τῆς ἐν Χριστῷ ἀδελφότητος, εἶπεν· Ἐγὼ κοινωνίας χρείαν οὐκ ἔχω· τὸν γὰρ Χριστὸν ἑώρακα σήμερον. Τότε δήσαντες αὐτὸν οἱ ἅγιοι Πατέρες, καὶ σιδηρώσαντες ἐπὶ ἔτος ἕν, ἀπελευθέρωσαν, εὐχαῖς καὶ ποικίλῃ ἀδιαφορίᾳ καὶ ἀπραγοτέρῳ τὸ οἴημα αὐτοῦ καθελόντες. D

Ex historia Lausiaca Palladii.

Fuit quidam Valens, genere quidem Palæstinus, mente autem Corinthius animo inflatus. Corinthiis enim scribens Apostolus, dicit: « Et vos inflati estis [56]. » Valens igitur inani tumore inflatus, etiam ipsum sacræ Eucharistiæ contempsit communionem. Superbiæ enim diabolus, in Salvatorem se transformavit. Valens vero, ipso viso, eum adoravit, insaniaque percitus, venit in concionem. Collecta vero in Christo fraternitate, dixit: Ego non opus habeo dehinc communione. Etenim Christum hodie conspexi. Tum sancti Patres, eo capto et vinculis constricto ac coercito ad annum dehinc liberarunt, orationibus, et varia contemptione, vitaque austeriore opinionem, atque existimationem sui, illi adimentes.

Τοῦ ἁγίου Βασιλείου ἐκ τῶν εἰς τὸν Ἡσαΐαν.

Ἀφάτῳ τινὶ δυνάμει φαντασιούμενοι τὸν νοῦν, οἱ ἀπερίσπαστον αὐτὸν καὶ καθαρὸν ἔχοντες, οἱονεὶ ἐνηχοῦντα αὐτοῖς ἔχουσι τὸν Λόγον τοῦ Θεοῦ.

Ex sancto Basilio, in Isaiam.

Qui virtute quadam ineffabili, visione apprehendunt puram, et, quæ avelli non potest, intelligentiam in ipsis resonantem, habent Verbum Dei.

[51] Joan. IV, 24. [52] I Cor. II, 9. [53] Psal. XLV, 11. [54] Matth. VI, 6. [55] Isa. LXVI, 2. [56] I Cor. V, 2.

VARIÆ LECTIONES.

[i] αὐτὸς. [k] ὑπεμφέρων.

Diadochi, ex asceticis capitibus.

Nullus autem omnino venerit ad Dei timorem, nisi fuerit remotus ab omnibus de hac vita sollicitudinibus. Quando enim mens fuerit in quiete, et semota ab omni sollicitudine; tunc Dei metus facessit negotium, in multo sensu eam expurgans a terrena crassitudine.

Isidori, ex asceticis.

Vita solitaria mihi mediocrem peperit scientiam. Etenim qui in mediis tumultibus versatur, nosse tamen vult cœlestia, non meminit illud, quod in spinis seminatum **184** est, ab iisdem suffocari. Et, qui quiete non perfruitur, Deum nosse non posse.

Cyrilli contra Julianum.

Nos mentalem, et spiritalem adimplentes adorationem, offerre jubemur in odorem suavitatis; omnem æquitatis actum, fidem, spem, charitatem, justitiam, continentiam, laudesque incessabiles. Incorporeum enim hoc sacrificium incorporeum et purum decet Deum, et intelligibilis ornatus anathema, veræ beatæque vitæ sunt mores. In summa, Christianus, internæ quietis est domesticus.

Ex Chrysostomo, de gradibus ascensionum.

Ita etiam fieri potest, ut medias urbes in tumultibus inhabitantes, soli simus: quando prava et corrupta fugimus conventicula, et quiescimus. Nam, qui potest quidem etiam alios corrigere, cum iis habeat consuetudinem, qui sunt accepturi medicinam, et eos reddat meliores. Qui autem imbecillior est, fugiat improbos, ne ab illis accipiat exitium. Non est inter pusilla, et negligenda recte facta numerandum, fugere hypocritas et dolosos, et odio habere superbos et arrogantes, eosque aversari et abominari, et orare in silentio.

Ejusdem ex sermone in Chananæam.

Sciendum est, quod ad orationem non quæritur locus, sed modus (6). Jeremias erat in cœno, et Deum attraxit[87], Daniel erat in lacu leonum, et Deum sibi reddidit propitium[88]; tres pueri erant in fornace, et Deum placaverunt[89]. Job in sterquilinio, et Deum vidit[90]; Moyses in mari, et Deus dixit illi: « quid clamas ad me[91]? » Latro in cruce, et aperuit paradisum[92]. Ergo tu quoque, ubicunque fueris, ora in pura conscientia, et Deus te exaudiet. Ipsius enim est terra, et plenitudo ejus[93]; et in omni loco est ejus dominatus. Et Judæi qui-

A *Διαδόχου ἐκ τῶν ἀσκητικῶν κεφαλαίων.*

Οὐκ ἂν δέ τις εἰς φόβον ἔλθοι τοῦ Θεοῦ, εἰ μὴ πασῶν τῶν βιωτικῶν ἔξω γένηται φροντίδων· ὅταν γὰρ ἐν ἡσυχίᾳ καὶ ἀμεριμνίᾳ πολλῇ γένηται ὁ νοῦς, τοὺ τότε αὐτῷ ἐνοχλεῖ ὁ φόβος τοῦ Θεοῦ, καθαρίζων αὐτὸν ἐν αἰσθήσει πολλῇ ἀπὸ παντὸς γεώδους προσπαθείας [1].

Ἰσιδώρου ἐκ τῶν ἀσκητικῶν κεφαλαίων.

Ἐμοὶ τὴν μετρίαν εἴδησιν ἡ κατὰ μόνας προσέθηκεν ἀναχώρησις. Ὁ γὰρ ἐν μέσῳ θορύβων στρεφόμενος, καὶ γνῶναι τὰ οὐράνια βουλόμενος, λέληθεν· ὅτι τὸ ἐν ἀκάνθαις σπειρόμενον ὑπ' ἐκείνων συμπνίγεται. Καὶ ὁ μὴ σχολάσας, Θεὸν γνῶναι οὐ δύναται.

B *Κυρίλλου ἐκ τοῦ Ἰουλιανοῦ.*

Ἡμεῖς νοητὴν, καὶ πνευματικὴν ἀποπληροῦντες λατρείαν, προστετάγμεθα προσκομίζειν, εἰς ὀσμὴν εὐωδίας πάντα τρόπον ἐπιεικείας, πίστιν, ἐλπίδα, ἀγάπην, δικαιοσύνην, ἐγκράτειαν, ἀκαταπαύστους δοξολογίας· ἄϋλος γὰρ αὕτη θυσία, τῷ ἀΰλῳ καὶ καθαρῷ πρέπουσα Θεῷ, καὶ νοητῆς εὐκοσμίας ἀνάθημα, τῆς ἀληθοῦς εὐζωΐας οἱ τρόποι· καθόλου γὰρ ὁ Χριστιανὸς ἠρεμίας καὶ ἡσυχίας οἰκεῖός ἐστι.

Τοῦ Χρυσοστόμου εἰς τὸν ἀναβαθμόν.

Οὕτω καὶ πόλεις μέσας οἰκοῦντες, καὶ θορύβους, δυνατὸν κατὰ μόνας εἶναι, ὅταν τοὺς διεφθαρμένους φεύγωμεν [m] συλλόγους, καὶ ἡσυχάζωμεν [n]. Ὁ μὲν γὰρ δυνάμενος καὶ ἑτέρους διορθῶσαι, μιγνύσθω τοῖς μέλλουσι δέχεσθαι τὴν θεραπείαν, καὶ ποιείτω βελτίους· ὁ δὲ ἀτονώτερος ὤν, φευγέτω τοὺς πονηροὺς, ἵνα μὴ τὴν ἐκείνων δέξηται λύμην· οὐ μικρὸν γὰρ κατόρθωμα, τὸ φεύγειν ὑποκριτὰς, καὶ δολίους, τὸ μισεῖν τοὺς ἀλαζόνας, καὶ ἀποστρέφεσθαι, καὶ βδελύττεσθαι, καὶ ἐν ἡσυχίᾳ προσεύχεσθαι.

C

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὴν Χαναναίαν.

Ἰστέον δὲ, ὅτι οὐ ζητεῖται τόπος προσευχῆς, ἀλλὰ τρόπος· ὁ Ἱερεμίας ἐν βορβόρῳ ἦν, καὶ τὸν Θεὸν ἐπεσπάσατο. Ὁ Δανιὴλ ἐν τῷ λάκκῳ τῶν λεόντων, καὶ τὸν Θεὸν ἐξευμενίσατο· οἱ τρεῖς παῖδες ἐν τῇ καμίνῳ ἦσαν, καὶ τὸν Θεὸν ἐδυσώπησαν· Ὁ Ἰὼβ ἐν τῇ κοπρίᾳ, καὶ τὸν Θεὸν ἑώρακεν. ὁ Μωϋσῆς ἐπὶ τῆς θαλάσσης, καὶ ἔλεγεν αὐτῷ ὁ Θεός· « Τί βοᾷς πρός με; » Ὁ λῃστὴς ἐν τῷ σταυρῷ, καὶ τὸν παράδεισον ἤνοιξεν. Οὐκοῦν καὶ σὺ ὅπου δ' ἂν ᾖς, εὔχου ἐν καθαρῷ συνειδότι, καὶ ὁ Θεὸς εἰσακούει· αὐτοῦ γὰρ ἐστιν ἡ γῆ [o] καὶ τὸ πλήρωμα αὐτῆς· καὶ

D

[87] Jerem. XXXVIII, 6-11. [88] Dam. XIV 29-42. [89] Dan. III, 19 seqq. [90] Job. I XLII. [91] Exod. XIV, 15. [92] Luc. XXII, 42, 43. [93] Psal. XXIII, 1.

VARIÆ LECTIONES

[1] ἀπὸ πάσης γεώδους παχύτητος. [m] φεύγομεν. [n] ἡσυχάζομεν. [o] ἡ οἰκουμένη.

NOTÆ.

(6) Exstat Tom. Savilliano p. 188. Caute lege; nam salubriter ex apostolica et divina traditione præscripta sunt precationibus sacra loca, quamvis privatim orare in quovis loco quivis possit.

ἐν παντὶ τόπῳ ἡ δεσποτεία αὐτοῦ. Καὶ Ἰουδαῖοι μὲν τότε ἐν Ἱερουσαλὴμ ἐκάλουν τὸν Θεὸν, καὶ γνωτὸς ἦν ἐν τῇ Ἰουδαίᾳ ὁ Θεὸς μόνῃ· ἡμεῖς δὲ ἐν παντὶ τόπῳ, ἐπλήσθη γὰρ ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας. Οὐδὲν τοίνυν ἀπὸ τοῦ τόπου κωλύεται τὰ τῆς εὐχῆς, μόνον ἐὰν τρόπος ᾖ ὁ τῇ εὐχῇ συμβαίνων. Φησὶ γὰρ ὁ Δαυΐδ· « Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει, καὶ ἀρέσει τῷ Θεῷ. »

A dem aliquando Deum invocabant in Jerusalem. Et notus erat in Judæa Deus [64]; nos autem in omni loco. Impleta est enim universa terra cognitione Domini, sicut multa aqua tegit mare. A loco ergo non vetatur oratio, si modo sit modus conveniens orationi. Dicit enim David: « Laudabo nomen Dei mei cum cantico; magnificabo eum in laude, et placebit Deo [65]. »

Ὁ μέντοι ἁμαρτίαις ἐνεχόμενος καὶ παροργισμοῖς, καὶ τολμῶν ἀναιδῶς ἐκτείνεσθαι πρὸς γνῶσιν θειοτέραν, καὶ ἀΰλου κατεπεμβαίνων προσευχῆς, οὗτος δεχέσθω τὸ ἀποστολικὸν ἐπιτίμιον, ὡς οὐκ ἔστιν ἀκίνδυνον αὐτῷ, τῷ γυμνῇ καὶ ἀκαταλύπτῳ τῇ κεφαλῇ προσεύχεσθαι· ὀφείλει γὰρ, φησὶ, ἡ τοιαύτη ψυχὴ κατὰ κεφαλῆς ἔχειν ἐξουσίαν, διὰ τοὺς ἐφεστῶτας ἀγγέλους, αἰδοῖ καὶ ταπεινοφροσύνῃ περιβεβλημένη. Ὥσπερ γὰρ ὀφθαλμιῶντα οὐκ ὀνήσει ἡ σταθηρὰ μεσημβρία, καὶ σφοδροτάτη φρυκτωρία, ἀκαταλύπτῳ καὶ ἐπιτεταμένῃ τῇ τοῦ ἡλίου θέᾳ, οὕτως οὐδὲ ἐμπαθῆ καὶ ἀκάθαρτον νοῦν, ἡ τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ φοβερᾶς καὶ ὑπερφυοῦς προσευχῆς ἀνατύπωσις παντελῶς ὀνήσειεν. Ἀλλὰ τοὐναντίον πρὸς ἀγανάκτησιν ἐγείρει καθ' ἑαυτοῦ τὸ Θεῖον· οὐδὲ γὰρ πτωχοτρόφου διανοίας ἐκτὸς τοῦ Θεοῦ, τὰ τοῦ Θεοῦ φιλοσοφῆσαι.

Qui (7) ergo peccatis implicatus, et iracundiæ deditus audet impudenter ad divinam **185** cognitionem aspirare, et ad spiritualem orationem ascendere, hic audiat apostolicam illam reprehensionem, nempe, tutum non esse, nudo et aperto B capite orare. Debet enim, inquit, hujusmodi anima in capite habere potestatem seu velamen propter circumstantes angelos, verecundia et humilitate circumdata. Quemadmodum enim oculorum morbo laborantem neque fervens meridies, neque ingens ignis moles, aperta et contenta solis contemplatione juvat; ita neque animo pravis affectionibus infecto, et immundo, tremenda et supernaturalis oratio prodesse potest: imo Deum magis ad iracundiam provocat; neque enim egenæ menti ea vis est, ut extra Deum de rebus divinis philosophetur.

Νείλου μοναχοῦ, ἐκ τοῦ P *πρὸς Ἀγάθιον μοναχόν.*

Ex Nilo monacho, ad Agathium monachum.

Διὰ τοῦτο ἐν παντὶ τόπῳ προσεύχεσθαι κελεύει ὁ Ἀπόστολος, « ἐπαίροντα; ὁσίας χεῖρας. » Διότι πᾶς τόπος εἰς προσευχὴν ἐπιτήδειος. Τί γὰρ ὤνησεν τὸ ἁγνὸν τοῦ ἱεροῦ κατάστημα βεβήλοις χερσὶν ἐρχομένους ἐπὶ τὴν προσευχὴν, καὶ τὸ καθαρὸν τέμενος πράξεσι κοινωνοῦντας μιαραῖς; Ὡς γὰρ τοὺς οὕτω προσευχομένους, κἂν εἰς αὐτὰ τὰ ἄδυτα προσεύχωνται, περιπτυσσόμενοι σπουδαίως τὸ ἱλαστήριον, καὶ ταῖς πτέρυξι τῶν Χερουβὶμ τὰς χεῖρας ἐμπλέκοντες, ἀποστρέφεται βδελυττόμενος ὡς ἐναγεῖς ὁ Θεὸς λέγων· « Ἐὰν ἐκτείνητε τὰς χεῖρας ὑμῶν πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν. Καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. Αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις· » οὕτω τοὺς καρδίᾳ καθαρᾷ, καὶ πράξεσιν ὁσίαις ἐπικαλουμένους αὐτὸν, προσίεται καὶ ἐκ παντὸς τόπου τὴν δέησιν αὐτῶν ἐνωτίζεται διαθέσει προσευχῶν q, κἂν τὸ χωρίον ᾖ κατὰ τὸ δοκοῦν διάφορον r. Οὕτως τῷ Κορνηλίῳ προσευχομένῳ ἐν οἰκίᾳ ἐπιφοιτήσας ἄγγελος ἔλεγεν· « Αἱ προσευχαί σου, καὶ αἱ ἐλεημοσύ-

C Propterea in omni loco orare jubet Apostolus: « Extollentes manus sanctas [66], » quoniam omnis locus est aptus orationi. Quid enim profuit (Judæis) casta templi constructio, cum profanis manibus venirent ad orationem, et purum templum inquinarent fœdis actionibus? Ut enim eos, qui sic precantur, etiamsi in ipsis adytis precarentur, magno studio amplectentes propitiatorium, et ad alas Cherubim manus admoventes, Deus aversatur abominans, tanquam impios, dicens: « Si extendatis manus vestras ad me, avertam oculos meos a vobis. Et, si multiplicetis preces, non exaudiam vos; manus enim vestræ plenæ sunt sanguine [67]. » Ita eos admittit, qui corde puro invocant, et sanctis actionibus. Et ex omni loco exaudit eorum orationem, attendens affectioni, et non loco, etiamsi D videatur aliquid interesse. Ita cum in ædibus suis oraret Cornelius, adveniens ei dixit angelus: « Orationes et eleemosynæ tuæ ascenderunt coram Deo [68]. » Quid ergo Cornelio obfuit facta ejus in

[64] Psal. LXXV, 1. [65] Psal. LXVIII, 31, 32 [66] I Tim. II, 8. [67] Isa. I, 15. [68] Act. X, 4.

VARIÆ LECTIONES

p ἐκ τῆς. q προσέχων. r ἀδιάφορον.

NOTÆ.

(7) Seq. non hab. in serm. cit. nec in cod, Vat.

ædibus oratio? Quid autem Pharisæo profuit[69] superbus suus in templum accessus, plenusque fastu et arrogantia?

Nicephori episcopi Constantinopolitani, ex iis, quæ scripsit contra Iconomachos.

« Apparebit Dominus super eos, inquit Sophonias, et disperdet omnes deos gentium terræ, et adorabunt eum singuli de loco suo[70]. » Et Malachias ex persona Dei ait : « In omni loco offertur incensum nomini meo, et sacrificium mundum[71]. » Jam enim veritate et gratia in omni loco refulgescente, non circumscribitur amplius adoratio certis locorum terminis aut umbratili **186** illo veteris legis mandato. Sed quemadmodum ipsa Evangelii prædicatio per totum orbem diffusa resonat : ita et ipse glorificationis et adorationis modus quaquaversus extenditur, quia in omni loco dominatio ejus viget ; quem decet honor et imperium, nunc et semper et in sæcula sæculorum. Amen.

A ναι σου ἀνέβησαν ἐνώπιον [s] τοῦ Θεοῦ· » τί τοίνυν τῷ Κορνηλίῳ [t] ἔβλαψεν ἡ ἐν τῷ οἴκῳ προσευχή ; τί δὲ τὸν Φαρισαῖον ὠφέλησεν ἡ τοῦ ἱεροῦ παράστασις τύφου καὶ ἀλαζονίας ἐμπεπλησμένη ;

Νικηφόρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως (8) *ἐκ τοῦ κατὰ εἰκονομάχων.*

« Ἐπιφανήσεται Κύριος ἐπ' αὐτοὺς, φησὶ Σοφονίας, καὶ ἐξολοθρεύσει τοὺς θεοὺς [u] τῶν ἐθνῶν τῆς γῆς· καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ. » Καὶ Μαλαχίας ἐκ προσώπου τοῦ Θεοῦ φησι· « Ἐν παντὶ τόπῳ θυμίαμα [x] προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά· » πανταχοῦ γὰρ ἐπιλαμπούσης τῆς ἀληθείας καὶ τῆς χάριτος, οὐκ ἔτι χώραν ἔχει ἐν τόπῳ περιορίζεσθαι ἡ προσκύνησις, οὐδὲ ἵστασθαι, κατὰ τὸ παλαιὸν ἐκεῖνο καὶ σκιῶδες διάταγμα. Ἀλλ' ὥσπερ τοῦ Εὐαγγελίου ὁ λόγος ἀνὰ πᾶσαν τὴν γῆν ἐκχυθεὶς ἐξηχεῖται [y] · οὕτω καὶ τῆς δοξολογίας καὶ προσκυνήσεως ὁ τρόπος ἐκταθεὶς ὑπερήπλωται· διότι ἐν παντὶ τόπῳ ἡ δεσποτεία αὐτοῦ. Αὐτῷ γὰρ πρέπει τιμὴ καὶ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[69] Luc. xviii, 10-14. [70] Soph. ii, 2, 3. [71] Malach. i, 11.

VARIÆ LECTIONES.

[s] ἔμπροσθεν. [t] Κορνήλιον. [u] πάντας. [x] θυμιάματα. [y] ἐξηγεῖται.

NOTÆ.

(8) *Νικηφόρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.* Floruit Nicephorus Iconomachorum ætate] ; Anastasius vero Gregorio M. fuit adæqualis, ad quem exstant eiusdem Gregorii litteræ. Utrinque patet ὁ ὑπερχρονισμὸς et μεταχρονισμὸς, qui tamen non potest reperi ψευδεπιγραφίας notam inurere, ut vir eruditissimus Franciscus Turrianus animadvertit. (ALEMANN.)

ΕΡΩΤΗΣΙΣ Γ'.

Ἐάν τις ἁμαρτήσας μετενόησε, καὶ πάλιν εἰς τὴν ἁμαρτίαν ἔπεσεν, εἰ τὴν μετάνοιαν, καὶ τοὺς κόπους ἐκείνους ἀπώλεσε ; καὶ μάλιστα εἰ μετὰ τὴν ἁμαρτίαν ἀπέθανεν [z] ;

QUÆSTIO III.

Si quis, cum peccasset, pœnitentiam egit, et rursus ceciderit in peccatum ; num pœnitentiam amisit et labores, maxime si sit mortuus post peccatum?

RESPONSIO.

De his dicit divinus Ezechiel : « Cum averterit se justus a justitia sua, et fecerit injustitiam, secundum omnes iniquitates, quas fecit iniquus, omnes justitiæ ejus, quas fecit, non erunt in memoria : in delicto suo, quod deliquit, et in peccatis suis, quæ peccavit, in ipsis morietur[72]. » Et rur-

C ΑΠΟΚΡΙΣΙΣ.

Περὶ τῶν τοιούτων φησὶν ὁ θεῖος Ἰεζεκιήλ· « Ἐν τῷ ἀποστρέφεσθαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ, τοῦ ποιῆσαι ἀνομίαν, κατὰ πάσας τὰς ἀνομίας, ἃς ἐποίησεν ὁ ἄνομος, πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ, ἃς ἐποίησεν, οὐ μὴ μνησθῶσιν, ἀλλ' ἐν τῷ παραπτώματι αὐτοῦ, ᾧ παρέπεσε, καὶ ἐν ταῖς ἁμαρτίαις αὐ-

[72] Ezech. xviii, 24.

VARIÆ LECTIONES.

[z] In Græco exemplari perperam jungitur titulus quartæ quæstionis cum isto.

τοῦ, αἷς ἥμαρτεν, ἐν αὐταῖς ἀποθανεῖται. » Καὶ πάλιν· « Δικαιοσύνη δικαίου οὐ μὴ ἐξελεῖται αὐτὸν, ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ. Καὶ ἀνομία ἀσεβοῦς οὐ μὴ κακώσει αὐτόν. Ἐν ᾗ ἂν ἡμέρᾳ ἀποστραφῇ ἀπὸ τῆς ἀνομίας αὐτοῦ· ἕκαστον ἐν ταῖς ὁδοῖς ὑμῶν, κρινῶ ὑμᾶς, οἶκος Ἰσραήλ. »

Καὶ ὁ Δαβίδ· « Ὁ Θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρὸς καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν· ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει. » Καὶ πάλιν· « Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν. » Καὶ ὁ Κύριος· « Οὐδεὶς βαλὼν [a] τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Τῶν τοιούτων οὖν τὴν μετάνοιαν [b], καὶ τὸν ἀνόνητον κόπον στηλιτεύων ὁ Ἀπόστολός [c] φησι· « Οὕτως ἀνόητοί ἐστε, ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε; τοσαῦτα ἐπάθετε εἰκῇ, εἴγε καὶ εἰκῇ; » [d] « Τίς μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος; ἢ τίς συμφώνησις Χριστῷ πρὸς βελίαλ; »

A sum: « Justitia justi non liberabit eum, in quacunque die deliquerit. Et justitia impii non nocebit ei, in quacunque die ab iniquitate sua fuerit aversus. Unumquemque secundum viam suam; judicabo vos domus Israel. [75]. »

Et David: « Deus Judex justus, et fortis, et longanimis, non iram adducens per singulos dies Nisi conversi fueritis, gladium suum vibrabit [76]. » Et rursum: « Declinantes autem in obligationes, abducet Dominus cum operantibus iniquitatem [77]. » Et Dominus: « Nemo mittens manum ad aratrum, et respiciens retro, aptus est regno Dei [78]. » Eorum igitur ignorantiam et stultum laborem insectans etiam divinus Apostolus, dicit: « Adeo stulti estis, ut cum spiritu cœperitis, nunc carne consumamini? Tanta passi estis sine causa; si tamen sine causa [77]? » Et rursum: « Quæ participatio justitiæ cum iniquitate? aut quæ societas luci ad tenebras? quæ autem conventio Christi ad Belial [78]? »

Ἡσαΐου.

« Οὐαὶ τῷ ἀνόμῳ· πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ. »

Isaiæ.

« Væ iniquo: mala secundum opera manuum ejus accident ei [79]. »

Σολομῶντος.

« Ἑπτάκις πεσεῖται ὁ δίκαιος, καὶ ἀναστήσεται. Οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν κακοῖς· καὶ ἀνὴρ ἐν πόνοις πονεῖ αὐτῷ, καὶ ἐκβιάζεται τὴν ἑαυτοῦ ἀπώλειαν. » Καί· « Ὃς φυλάσσει ἐντολὰς, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν· ὁ δὲ καταφρονῶν τῶν ἑαυτοῦ ὁδῶν, ἀπολεῖται. » Καί· « Ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ· ἐπέρχεται δὲ αὐτῷ ἀτιμία καὶ ὄνειδος. » Καί· « Ὦ οἱ ἐγκαταλιπόντες ὁδοὺς εὐθείας, τοῦ πορευθῆναι ἐν ὁδοῖς σκότους, οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς, καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ. » Καί· « Ὥσπερ κύων ἐπέλθῃ [e] ἐπὶ τὸν ἑαυτοῦ ἔμετον, καὶ μισητὸς γένηται, οὕτως ἄφρων τῇ ἑαυτοῦ κακίᾳ ἀναστρέψας ἐπὶ τὴν ἑαυτοῦ ἁμαρτίαν. »

Salomonis.

« Septies cadet justus, et resurget: impii autem infirmabuntur in malis [80]. Vir in laboribus, laborat sibi, et vim facit in interitum suum [81]. » Et: « qui custodit mandata, servat suam animam: qui autem negligit suas **187** vias, peribit [82]. — Cum venerit impius in profundum malorum, contemnit; supervenit autem ei inhonoratio, et opprobrium [83]. — O qui dereliquistis vias rectas, abeundo in vias tenebrarum, qui lætamini in malis, et gaudetis in conversatione mala [84]. — Sicut canis, cum redierit ad suum vomitum, et odibilis efficitur, sic imprudens, sua malitia revertens ad peccatum suum [85]. »

Τοῦ Σειράχ.

« Βαπτιζόμενος ἀπὸ νεκροῦ, καὶ πάλιν ἁπτόμενος αὐτοῦ, τί ὠφέλησεν ἐν λουτρῷ αὐτοῦ; οὕτως ἄνθρωπος νηστεύων ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ, καὶ πάλιν πορευόμενος, καὶ τὰ αὐτὰ ποιῶν, τῆς προσευχῆς αὐτοῦ τίς εἰσακούσεται; καὶ τί ὠφέλησεν ἐν τῷ ταπεινοῦσθαι αὐτόν; καὶ ἐπαναγαγὼν ἀπὸ δικαιοσύνης ἐπὶ ἁμαρτίαν, ὁ Κύριος ἑτοιμάσει εἰς ῥομφαίαν αὐτόν. Καὶ, Κατὰ τὸ πολὺ ἔλεος τοῦ Θεοῦ, οὕτω καὶ πολὺς ὁ ἔλεγχος αὐτοῦ, ἄνδρα κατὰ τὰ ἔργα αὐτοῦ κρινεῖ. Καὶ, Ἕκαστος κατὰ τὰ ἔργα αὐτοῦ εὑρήσει. Καὶ, Μακάριος ὅστις ἠδύνατο παραβῆναι καὶ οὐ

Ex Ecclesiastico.

« Qui baptizatur a mortuo, et iterum tangit eum; quid profecit lavatione sua? sic homo, qui jejunat in peccatis suis, et iterum vadit, et facit eadem; orationem illius quis exaudiet, et quid profecit humiliando se [86-87]? Et, Quid profuit, dum ipse fuit humiliatus; et regrediens a justitia ad peccatum, Dominus parabit eum ad rhomphæam [88]. Et, Secundum multam suam misericordiam judicabit virum secundum opera sua [89]. Et, Beatus qui potuit transgredi, et non est transgressus; et facere malum, et non fecit [90]. Et, Væ cordibus timidis, et manibus

[75] Ezech. XXIII, 12. [76] Psal. VII, 12, 13. [77] Psal. CXXIV, 5. [78] Luc. IX, 62. [77] Galat. III, 3 4. [78] II Cor. VI, 15. [79] Isa. III, 11. [80] Prov. XXIV, 16. [81] Prov. XVI, 26. [82] Prov. XIX, 16. [83] Prov. XVIII, 3 [84] Prov. II, 13, 14. [85] Prov. XXVI, 11; II Petr. II, 22. [86-87] Eccli. XXXIV, 30, 31. [88] Eccli. XXVI, 27. [89] Eccli. XVI, 13. [90] Eccli. XXXI, 10.

VARIÆ LECTIONES.

[a] φησὶν, ἐπιβαλὼν. [b] ἄνοιαν. [c] καὶ ὁ θεῖος. [d] καὶ πάλιν. [e] ὅταν ἔλθῃ.

dissolutis : et peccatori, qui ingreditur duabus semitis [91]. »

Ex Evangelio.

« Cum immundus spiritus exierit de homine, ambulat per loca inaquosa, quærens requiem, et non inveniens, dicit : Revertar in domum meam, unde exivi. Et cum venerit, invenit eam scopis mundatam et ornatam. Tunc vadit, et assumit septem alios spiritus secum nequiores se, et ingressi habitant ibi. Et fiunt novissima hominis illius pejora prioribus [92]. »

Petri apostoli.

« Si enim refugientes coinquinationes mundi, in cognitione Domini nostri et Salvatoris Jesu Christi, his rursus implicati superantur; facta sunt eis posteriora deteriora prioribus. Melius enim erat illis non cognoscere viam justitiæ, quam post agnitionem, retrorsum converti ab eo, quod illis traditum est, sancto mandato. Contigit enim eis illud veri proverbii : Canis reversus ad suum vomitum, et sus lota in volutabro luti [93] »

Cyrilli Hierosolymitani ex Catecheticis capitibus.

Fuge igitur mala opera. Si enim his succumbas postquam Satanæ renuntiasti, et ad Deum te aggregasti, duriorem tyrannum senties forte, qui te tanquam suum olim tractavit, et ex acerba servitute nonnihil remisit. At cum vehementer admodum a te sit irritatus, et Christo privaberis, et illius crudelitatem experieris. **188** An non audivisti, quomodo Lot cum filiabus servatus, uxorque ejus in statuam salis conversa fuerit [94], idque propter pravam voluntatis mutationem seu reversionem? Attende igitur tibi, nec revertere, manu semel ad aratrum missa, ad pravas vitæ hujus actiones.

Sancti Basilii, ex Oratione contra ebrios.

Nam qui fuerit in profectu bonorum operum, deinde ad veterem rediit consuetudinem, non solum privatus est mercede quæ propter illa datur, sed etiam dignus graviori censetur condemnatione; propterea quod, cum gustarit bonum Dei verbum, et dignus sit habitus cognitione mysteriorum, omnia prodidit, brevi inescatus voluptate.

Sancti Joannis Chrysostomi, in Matthæum.

Sciendum est quod, etsi graves daturi sumus pœnas pro prioribus peccatis, attamen si deinde in eadem rursus inciderimus, patiemur rursus graviora : idque merito. Qui enim ne supplicio quidem factus melior, tanquam nullo sensu præditus contemptor ad majora ducitur supplicia.

A παρέβη, καὶ ποιῆσαι κακὸν, καὶ οὐκ ἐποίησε. Καὶ, Οὐαὶ καρδίαις δειλαῖς, καὶ χερσὶν παρειμέναις, καὶ ἁμαρτωλῷ ἐπιβαίνοντι ἐπὶ δύο τρίβους. »

Τοῦ Εὐαγγελίου.

« Ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἐκ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων, αἰτοῦν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει, καὶ λέγει· Ἐπιστρέψω εἰς τὸν οἶκόν μου, ὅθεν ἐξῆλθον· καὶ ἐλθὸν, εὑρίσκει σχολάζοντα, καὶ σεσαρωμένον. Τότε πορεύεται, καὶ παραλαμβάνει μεθ' ἑαυτοῦ καὶ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ· καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων. »

Πέτρου τοῦ ἀποστόλου.

B « Οἱ ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσμου τούτου ἐν ἐπιγνώσει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τούτοις πάλιν ἐμπλακέντες ἡττῶνται· γέγονεν αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων. Κρεῖσσον γὰρ ἦν αὐτοῖς, μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπιστρέψαι ἐκ τῆς παραδοθείσης αὐτοῖς [f] ἐντολῆς· συμβέβηκε γὰρ αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας· Κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα· καὶ ὗς λουσαμένη εἰς κύλισμα βορβόρου. »

Κυρίλλου Ἱεροσολύμων, ἐκ τῶν Ἀσκητικῶν (κεφαλαίων 6).

C Φεῦγε [h] τὰ πονηρὰ ἔργα· ἡ γὰρ τούτοις ὑπόπτευσις [i], μετὰ τὴν ἀπόταξιν τοῦ Σατανᾶ, καὶ τὴν πρὸς τὸν Χριστὸν σύνταξιν, πικροτέρου πειραθῇ τοῦ τυράννου· ἴσως, ὡς οἰκεῖον περιέποντος πάλαι· καὶ τῆς πικρᾶς ἀνιέντος (σε) δουλείας· νῦν δὲ, σφόδρα παρὰ σοῦ καταπικρανθέντος, καὶ τοῦ Χριστοῦ στερηθήσῃ, κἀκείνου πειρασθήσῃ· οὐκ ἤκουσας πῶς ὁ Λὼτ μὲν σέσωσται μετὰ τῶν θυγατέρων· ἡ δὲ [k] γυνὴ γέγονε στήλη ἁλὸς, διὰ τὴν τῆς πονηρᾶς προαιρέσεως ὑποστροφήν; πρόσεχε τοίνυν σεαυτῷ, καὶ μὴ στρέφου πάλιν, βαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον, καὶ στρεφόμενος εἰς τὴν πονηρὰν πρᾶξιν.

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ κατὰ μεθυόντων.

D Ὁ γὰρ ἐν προκοπῇ γενόμενος ἀγαθῶν ἔργων, εἶτα πάλιν δρομήσας [l] πρὸς τὴν ἀρχαίαν συνήθειαν, οὐ μόνον τὴν ἐν τοῖς πεπονημένοις [m] μισθὸν ἐζημιώθη, ἀλλὰ καὶ βαρυτέρας ἀξιοῦται τῆς κατακρίσεως· διότι γευσάμενος καλὸν Θεοῦ ῥῆμα, καὶ γνώσεως μυστηρίων ἀξιωθείς, πάντα προέδωκε ἡδονῇ βραχείᾳ δελεασθείς.

Τοῦ Χρυσοστόμου, ἐκ τοῦ κατὰ Ματθαῖον.

Ἰστέον, ὅτι, κἂν χαλεπὴν δώσομεν ὑπὲρ τῶν (προτέρων) ἁμαρτημάτων δίκην· εἶτα τοῖς αὐτοῖς πάλιν περιπέσωμεν, χαλεπώτερα πολλῷ πεισόμεθα πάλιν· καὶ μάλα εἰκότως· ὁ γὰρ μηδὲ τῇ τιμωρίᾳ γενόμενος βελτίων, ὡς ἀναίσθητος [n] λοιπὸν, καταφρονητὴς ἐπὶ μείζονα ἄγεται κολαστήρια.

[91] Eccli. II, 14. [92] Luc. XI, 24-26. [93] II Petr. II, 20-22. [94] Gen. XIX, 16 sqq.

VARIÆ LECTIONES

[f] ἁγίας. [g] κατηχήσεων ἐκ κατηχητικῶν. [h] οὖν. [i] εἰ γὰρ τούτοις ὑποπέσῃς. [k] τούτου. [l] παλινδρομήσας. [m] τὸν ἐν τούτοις. [n] φησί.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἑβραίους Ἐπιστολῆς. A *Ejusdem ex commentario in Epistolam ad Hebræos.*

Εἰπὲ γάρ μοι, ἐὰν ὑγιάνας ἀπὸ νόσου μακρᾶς, πάλιν ἑαυτὸν τοῖς αὐτοῖς ἐκδῷς ἐκείνοις τοῖς νοσοποιοῖς, οὐχὶ καὶ τὸν πρῶτον [o] κόπον ἀπώλεσας, καὶ ἑαυτὸν μειζόνως ἔβλαψας; Εἰ γὰρ τὰ φυσικὰ μεθίσταται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως.

Nam dic mihi: si enim a longo morbo convaluisses, et rursus te dederis cibis illis qui morbum afferunt, nonne et priorem laborem perdidisses, et teipsum magis læsisses? Nam si mutantur res naturales, multo magis quæ a libero arbitrio procedunt.

Μαξίμου ἐκ τῶν Ἀσκητικῶν [p].

Ἐὰν πρὸς ὀλίγον τῶν παθῶν τὰς αἰτίας [q] ἐκκόψαντες τοῖς πνευματικοῖς ἐνασχολισθῶμεν [r] θεωρήμασι, μὴ ἐν αὐτοῖς δὲ (ἀεὶ) διατρίψωμεν, αὐτὸ τοῦτο ἔχοντες ἔργον, εὐχερῶς πάλιν ἐπὶ τὰ τῆς σαρκὸς πάθη περιτρεπόμεθα, μηδὲν ἄλλο ἐκεῖθεν καρπωσάμενοι, ἢ σκότωσιν παντελῆ τοῦ νοῦ, καὶ ἐπὶ τὰ ὑλικὰ ἐκτροπήν. Καὶ ἐν τοῖς τῆς σαρκὸς πάθεσιν δίκην B χοίρων [s], βορβόρῳ κυλινδουμένων [t]. Πρὸς ὀλίγον γὰρ ἐξ ἐπιμελείας καθαρθέντες, καὶ τῆς γνώσεως ἐπιτυχόντες, ὕστερον ἀμελήσαντες, ὡμοιώθησαν τῷ Σαοὺλ· ὃς βασιλείας καταξιωθείς, καὶ ἀναξίως πολιτευσάμενος, μετ' ὀργῆς φοβερᾶς ἐξ αὐτῆς ἀπεβλήθη.

Ex sancti Maximi Asceticis.

Si modico tempore pravas affectiones resecantes spiritualibus contemplationibus vacaverimus, neque omne tempus in illis posuerimus, in iis solis occupati, facile iterum ad ea quæ carnis sunt relabemur, nullo alio emolumento inde reportato, quam perfecta mentis obscuratione, et ad res ex materia concretas conversione; in carnis desideriis, instar porcorum in cœno volutati. Nam qui ad exiguum tempus expurgati, et cognitionem (cœlestium) consecuti, postea desidiæ sese dedunt, ii similes sunt Sauli, qui ad regnum evectus, cum illud indigne administrasset, inde terribili ira Dei dejectus est.

Νείλου ἐκ [u] *τοῦ πρὸς Εὐκάρπιον μοναχόν.*

Οὐκοῦν μάταιος μὲν ὁ πόνος τοῦ δικαίου [v]· ἀνέγκλητος δὲ τοῦ ἁμαρτωλοῦ ὁ τρόπος, τῆς ἐν ἀμφοτέροις γενομένης ἐναλλαγῆς. Οἷον γὰρ εὕρω σε, τοιοῦτόν σε κρινῶ, φησὶν ὁ Κύριος. Ποῦ γὰρ οἱ τοσοῦτοι κόποι τοῦ μεγάλου Μωϋσέως; ἡττεῖς [x] ἐν στιγμῇ τῆς ἀντιλογίας παραγραψαμένης τὴν εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἴσοδον; Ποῦ δὲ ἡ σύνεσις [y] καὶ σοφία Σολομῶντος; καὶ τίς ἡ ὠφέλεια τῆς πολλῆς φρονήσεως C ἐκείνης; καὶ ἡ προσλαβοῦσα [a] εὔνοια εἰς Θεὸν, ὕστερον ἐκ γυναικομανίας, εἰς εἰδωλομανίαν ἐκπεπτωκότος; Ποῦ δὲ καὶ ἡ τοῦ Γιεζῆ συναναστροφὴ πρὸς τὸν Ἐλισσαῖον, φιλοχρηματίσας λέπραν [b] ἑαυτῷ ἐπισπασαμένου; τί δὲ καὶ τὸν Ἰούδαν ὤνησεν ἡ τοσαύτη τοῦ Χριστοῦ πρὸς αὐτὸν διδασκαλία, καὶ θαυματουργία, ὕστερον δι' ἀγχόνης τὸν βίον καταστρέψαντος; Ὅθεν, οὐχ ὁ καλῶς ἀρχόμενος, καὶ κακῶς μετερχόμενος, οὗτος τέλειος· ἀλλ' ὁ καλῶς ὑποτιθέμενος [c], οὗτος δίκαιος παρὰ τῷ Θεῷ.

Nili ex iis quæ scripsit ad Eucarpium monachum. **189**

Non est ergo labor justi vanus: nec reprehendendi sunt mores peccatoris, cum in utrisque facta fuerit mutatio. Qualem enim te invenero, talem te judicabo, inquit Deus. Ubi enim sunt magni Mosis tot labores devicti in puncto contradictionis, quæ ei introitum in terram promissionis occlusit [98]? Ubi est etiam ingenium et sapientia Salomonis? et quæ est utilitas magnæ illius prudentiæ? Quid profuit ea quæ præcessit in Deum pia affectio; cum ex insano amore mulierum postea ceciderit in insanum cultum idolorum [99]? Ubi est etiam Giezi conversatio cum Eliseo, qui propter avaritiam ad se attraxit lepram [97]? Quid Judæ quoque profuit tanta Christi doctrina, et tam multa, quæ fecit Christus miracula, cum laqueo postea vitam finierit [98]? Quamobrem, non is qui recte incipit, et male prosequitur, est perfectus; sed qui recte finit, is est justus apud Deum.

ΕΡΩΤΗΣΙΣ Δ.

Ἐάν τις παύσηται τῆς ἁμαρτίας, ἀρκεῖ τοῦτο [d] *πρὸς μετάνοιαν, ἢ οὔ;* D

ΑΠΟΚΡΙΣΙΣ.

Τῆς θείας Γραφῆς λεγούσης· « Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν, » εὔδηλον ὅτι χρὴ μετὰ τὸ παύσασθαι τῆς ἁμαρτίας, καὶ τοὺς καρποὺς μετανοίας ἀξίους ἐπιδείκνυσθαι. Φησὶ γὰρ ὁ Ἀπόστολος· « Ὥσπερ παρεστήσατε τὰ μέλη ὑμῶν ὅπλα [e]

QUÆSTIO IV.

Num sufficit ad pœnitentiam, si quis a peccato desistat?

RESPONSIO.

Cum dicat Scriptura: « Declina a malo, et fac bonum [99], » est evidens quod oportet, postquam cessatum est a peccato, ostendere etiam fructus dignos pœnitentiæ. Dicit enim Apostolus: « Sicut exhibuistis membra vestra servire immunditiæ et

[95] Num. xx; Deut. xxxii. [97] III Reg. xi. [97] IV, Reg. v, 27. [98] Matth. xxvii, 7; Act. i, 18. [99] Psal. xxxvi, 27.

VARIÆ LECTIONES.

[o] πρότερον. [p] κεφαλαίων. [q] ἀτιμίας. [r] ἀσχολισθῶμεν, ἀσχοληθῶμεν. [s] χοίρου. [t] κυλινδούμενοι. [u] Ita Codex manuscriptus. Num est Νείλου πρώτου; Primi Nili; quia plures hoc nomine? [v] ἀδίκου. [x] Ita Cod. Vat. Lege ἠττηθέντος. [y] καὶ ἡ σύνοδος. [a] προλαβοῦσα. [b] χάριν. [c] ἀποτιθέμενος. [d] τοῦτο. [e] δοῦλα.

iniquitati ad iniquitatem; ita nunc exhibete membra vestra servire justitiæ in sanctificationem [1]. » Et rursus: « Odientes malum, adhærentes bono [2]. » Deinde ostendens etiam fructus pœnitentiæ, subjungit: « Charitate fraternitatis invicem diligentes; honore invicem prævenientes, sollicitudine non pigri, spiritu ferventes, Domino servientes, spe gaudentes, in tribulatione patientes, orationi instantes, necessitatibus sanctorum communicantes, hospitalitatem sectantes [3]. »

A τῇ ἀκαθαρσίᾳ, καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν· οὕτω τοίνυν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμα. » Καὶ πάλιν· « Ἀποστυγοῦντες τῷ πονηρῷ [f], κολλώμενοι τῷ ἀγαθῷ. » Εἶτα καὶ τοὺς καρποὺς τῆς μετανοίας ἐπιδεικνύων, ἐπάγει· « Τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι, τῇ σπουδῇ μὴ ὀκνηροὶ, τῷ πνεύματι ζέοντες, τῷ Κυρίῳ δουλεύοντες, τῇ ἐλπίδι χαίροντες, τῇ θλίψει ὑπομένοντες, τῇ προσευχῇ προσκαρτεροῦντες, ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες, τὴν φιλοξενίαν διώκοντες. »

Sancti Basilii, ex Oratione in illud: « Attende tibi ipsi. »

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸ, « Πρόσεχε σεαυτῷ. »

Attende tibi, ut pro ratione et proportione peccati a medicina accipias auxilium. Magnum et grave est peccatum: multum tibi opus est confessione, amaris lacrymis, extensis vigiliis, assiduo B jejunio. Leve et tolerabile est delictum: exæquetur etiam pœnitentia; tantum attende tibi ipsi, ut animæ et firmitatem et infirmitatem cognoscas; multi enim propter **190** nimiam attendendi negligentiam, maximis et incurabilibus morbis laborantes, nesciunt quidem se ægrotare.

Πρόσεχε σεαυτῷ, ἵνα κατὰ ἀναλογίαν τοῦ πλημμελήματος, καὶ τὴν ἐκ τῆς θεραπείας βοήθειαν καταδέχῃ· μέγα καὶ χαλεπὸν τὸ ἁμάρτημα· πολλή σοι χρεία τῆς ἐξομολογήσεως [g], δακρύων πικρῶν, συντόνου ἀγρυπνίας, ἀδιαλείπτου τῆς νηστείας. Κοῦφον καὶ φορητὸν τὸ παράπτωμα. Ἐξισαζέσθω καὶ ἡ μετάνοια· μόνον πρόσεχε σεαυτῷ, ἵνα γνωρίσῃς ψυχῆς εὐρωστίαν, καὶ νόσον· πολλοὶ γὰρ ἐκ τῆς ἄγαν ἀπροσεξίας, μεγάλα, καὶ ἀνίατα νοσοῦντες, οὐδὲ αὐτὸ τοῦτο ἴσασιν, ὅτι νοσοῦσιν.

Chrysostomi, ex Commentario in Matthæum.

Τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Ματθαῖον.

« Facite fructus dignos pœnitentiæ [4]: » hoc est, Rapuisti aliena? de cætero, da etiam tua. Scortatus es? castitatem exerce, et continentiam. Contumelia affecisti, et verberasti aliquem? benedic deinceps iis qui te verberant. In deliciis vitam egisti, et te inebriasti? sis sobrius et bibe aquam. Vidisti impudicis oculis alienam pulchritudinem? C « averte oculos tuos, ne videant vanitatem [5]; » ne rursus ascendat mors per fenestras, ut scriptum est [6]. Non enim satis est ad sanitatem telum solummodo eximere, sed etiam vulneri adhibendum est medicamentum.

« Ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας, » τουτέστιν, Ἥρπασας τὰ ἀλλότρια; δὸς λοιπὸν καὶ τὰ σά. Ἐπόρνευσας; ἁγνείαν ἄσκει, καὶ ἐγκράτειαν. Ὕβρισας, καὶ ἔτυψας; εὐλόγει λοιπὸν τὸν ὑβρίζοντα, καὶ εὐεργέτει τοὺς τύπτοντας. Ἐτρύφησας, καὶ ἐμέθυσας; νήστευε, καὶ ὑδροπότει. Εἶδες ἀκολάστοις ὀφθαλμοῖς κάλλος ἀλλότριον; ἀπόστρεψον τοὺς ὀφθαλμούς σου τοῦ μὴ ἰδεῖν ματαιότητα, ἵνα μὴ πάλιν ἀναβῇ θάνατος διὰ τῶν θυρίδων σου, ὡς γέγραπται. Οὐκ ἀρκεῖ [h] εἰς ὑγείαν ἡμῶν τὸ βέλος ἐξελεῖν μόνον, ἀλλὰ καὶ τῷ τραύματι ἐπιθεῖναι φάρμακον.

Sancti Gregorii Theologi, in novam Dominicam.

Τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, εἰς τὴν νέαν Κυριακήν.

Odoratus te effeminavit? fuge bonos odores. Tactu es emollitus? renuntia delicatis et mollibus. Auditus aliquid perperam tibi suasit? pone ostium fraudulentis verbis et curiosis. *Et paulo post:* Heri versatus es in theatris, et te oblectasti spectaculis? hodie ostende te deditum contemplationi. Heri fuisti maledicus et impudens? hodie bonis D verbis prosequere, sisque mitis et placidus. Heri fuisti comessator? hodie sobrius esto. Heri fuisti potor vini? hodie sis potor aquæ. Heri molliter ac delicate cubabas in lectis eburneis, et primis ac præstantissimis ungebaris unguentis? cras cuba humi et vigila. Pro eo qui ad risum excitat, sis cogitabundus: pro eo qui ornatur splendide, indue te pannosa ac vili veste. Pro insolente ac glorioso, exhibe te modestum. Pro eo qui sublime collum erigit, deorsum te inclina.

Ἡ ὄσφρησις ἐθήλυνέ σε; φεῦγε τὰς εὐωδίας. Τῇ ἁφῇ κατεμαλακίσθης; ἀπόταξον ταῖς λειότησι (καὶ ταῖς ἁπαλότησιν)· ἡ ἀκοὴ παρέπεισέ σε; θὲς θύραν τοῖς ἀπατηλοῖς [i] λογισμοῖς [k]. *Καὶ μετ' ὀλίγον·* Χθὲς ἦσθα θεατρικός; σήμερον φάνηθι θεωρικός· χθὲς λοίδορος ἰταμός; σήμερον εὔφημος ἥμερος· χθὲς κωμαστής; σήμερον σωφρονιστής· χθὲς οἰνοπότης; σήμερον ὑδροπότης. Σήμερον κατασπαταλῶν ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ τὰ πρόσωπα [l] μυροχριόμενος; αὔριον χαμευνὴς, καὶ ἄγρυπνος. Ἀντὶ γελοιαστοῦ, σύννους· ἀντὶ καλλωπιστοῦ, δυσείμων· ἀντὶ γαύρου καὶ ἀλαζόνος, εὐτελὴς τὸ φαινόμενον· κάτω νεύων, ἀντὶ ὑψαύχενος.

Maximi, ex Capitibus asceticis.

Μαξίμου, ἐκ τῶν Κεφαλαίων.

Declina, inquit, a malo, et fac bonum [7], » hoc « Ἔκκλινον, φησὶν, ἀπὸ κακοῦ, καὶ ποίησον ἀγα-

[1] Rom. VI 19. [2] Rom. XII, 9. [3] ibid. 10-12. [4] Luc. III, 8. [5] Psal. CXVIII, 37. [6] Jerem. IX, 21

VARIÆ LECTIONES.

[f] τὸ πονηρόν. [g] δοξολογήσεως. [h] οὐ γὰρ ἀρκεῖ. [i] περιέργοις. [k] λόγοις. [l] πρῶτα.

θόν· » τουτέστιν, πολέμησον τοὺς ἐχθροὺς, ἵνα μειώσῃς τὰ πάθη· ἔπειτα δὲ νῆφε, ἵνα μὴ αὐξήσωσι (πάλιν). Πολέμησον, ἵνα κτήσῃ τὰς ἀρετάς. Καὶ μετέπειτα νῆφε, ἵνα αὐτὰς φυλάξῃς. Καὶ τοῦτο ἂν εἴη τὸ ἐργάζεσθαι καὶ φυλάττειν. Οὐ γὰρ ἡ τῶν πράξεων ἀποχὴ δικαιοῖ, ἀλλ' ἡ τῶν ἐντολῶν τήρησις μετὰ προσθήκης, κατὰ τὸν λέγοντα· « Καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου· » ὅθεν καὶ Ἱερεμίας φησίν· « Ὥσπερ ἐγένετο ἡ διάνοια ὑμῶν εἰς τὸ πλανηθῆναι ὑμᾶς ἀπὸ τοῦ Θεοῦ, δεκαπλασιάσαντες, ἐπιστρεψάτε ζητήσατε αὐτόν. » Λέγει δὲ καὶ ὁ Σοφός· « Τέκνον, ἥμαρτες· μὴ προσθείῃς ἔτι, καὶ περὶ τῶν προτέρων σου δεήθητι. Ὡς ἀπὸ προσώπου ὄφεως φεῦγε ἀπὸ ἁμαρτίας. » Τοιοῦτόν ἐστι τὸ, « Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω [m]· » καὶ, « Μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου. » Σπουδάσωμεν τοίνυν εὐαρεστῆσαι τῷ Θεῷ ὅπως τῆς αὐτοῦ βασιλείας ἀξιωθῶμεν· ὅτι αὐτῷ πρέπει δόξα, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A est, pugna adversus hostes, ut minuas pravas affectiones; postea sobrius esto, ne iterum augeantur. Pugnes ut virtutes adipiscaris, et deinde sobrius esto, ut easdem conserves. Et hoc simul et operari et conservare fuerit; non enim abstinentia a pravis operibus justificat, sed mandatorum (divinorum) observatio cum additamento, juxta illum qui dicit: « Adjiciam super omnem laudem tuam [8]. » Unde et Jeremias ait: « Quemadmodum fuit cogitatio vestra ad aberrandum a Deo, ita nunc reversi decies magis quærite illum. » Quin et Sapiens monet: « Fili, peccasti; ne adjicias amplius; et pro prioribus tuis deprecare. Tanquam a facie colubri, fuge peccatum [9]. » **191** Hujus generis est et illud: « Quoniam iniquitatem meam ego cognosco [10]; » et: « Sollicitus B ero de peccato meo [11]. » Studeamus igitur Deo placere, ut rei ejus consortes efficiamur, quia ipsum decet gloria; nunc et semper, et in sæcula sæculorum. Amen.

ΕΡΩΤΗΣΙΣ Ε'.

Ἐάν τίς ἐστι γέρων, ἢ ἀδύνατος καὶ ὀλιγόψυχος (9), καὶ οὐ δύναται μονάσαι, ἢ τὰ τοῦ μοναχοῦ ποιῆσαι, πῶς οὗτος δυνήσεται μετανοῆσαι, καὶ σωθῆναι;

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Κυρίου λέγοντος ὅτι « Ὁ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν, » εὔδηλον, ὅτι καὶ ὁ γέρων, καὶ ὁ ἀδύνατος δύναται φυλάξαι τὸν νόμον αὐτοῦ· γέγραπται γὰρ, ὅτι « Εὐθεῖαι ὁδοὶ Κυρίου, καὶ δίκαιοι πορεύσονται ἐν αὐταῖς· » καί· « Πάντα τὰ ἐνώπιον [n] τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν· » καὶ ὅτι, « Εὐθὺς ὁ λόγος τοῦ Κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει. » Οὔτε γὰρ ἀγαμίαν ἡμῖν ὥρισεν, οὔτε τῶν πάντων, τῶν ἐν τῷ κόσμῳ ἀναχώρησιν· ἀλλὰ, ἀγαπᾷν τὸν Θεὸν, καὶ τὸν πλησίον ταπεινοφρονεῖν, συμπαθεῖν, προσεύχεσθαι, ὑπομένειν τὰς θλίψεις, πρᾶον εἶναι, εἰρηνικὸν, μὴ μνησικακεῖν, μὴ κατακρίνειν [o], μὴ ψεύδεσθαι. Φησὶ γὰρ ὁ Ἀπόστολος· « Ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ· ὅτι ἐσμὲν ἀλλήλων μέλη. Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. Μὴ δὲ δίδοτε τόπον τῷ διαβόλῳ· ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος τὸ ἀγαθὸν ταῖς ἰδίαις χερσὶν, ἵνα ἔχῃ μεταδιδόναι [p] τῷ χρείαν ἔχοντι. Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέτω· ἀλλ' εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας, ἵνa δῷ χάριν τοῖς ἀκούουσι. « Μὴ

C

D

QUÆSTIO V.

Si sit senex, aut imbecillus, et pusilli animi, nec possit esse monachus, aut facere quæ sunt monachi, quomodo poterit pœnitentiam agere et salvus esse?

RESPONSIO.

Cum dicat Dominus: « Jugum meum suave est, et onus meum leve [12]; » liquet quod qui est et senex et impotens, potest ejus legem servare; scriptum est enim: « Rectæ viæ Domini, et justi ambulabunt in eis [13]; » et: « Omnia sunt in conspectu eorum qui intelligunt, et recta iis qui inveniunt cognitionem; » et: « Rectum est verbum Domini, et omnia opera ejus in fide [14]. » Neque enim cœlibatum nobis mandavit; neque rursus ut recedamus ab omnibus quæ sunt in mundo; sed constituit ut Deum diligamus et proximum; ut simus humiles et misericordes; ut oremus, ut toleremus afflictiones, simus mites et pacifici; ut injuriæ acceptæ non simus memores, nec condemnemus aliquem, neque mentiamur. Dicit enim Apostolus: « Propter quod deponentes mendacium, loquimini veritatem unusquisque cum proximo suo; quoniam sumus invicem membra. Irascimini, et nolite peccare; sol non occidat super iracundiam vestram. Nolite locum dare diabolo. Qui furabatur, jam non furetur, magis autem laboret, operando manibus suis, ut habeat unde tribuat necessitatem patienti. Omnis sermo malus ex ore vestro non procedat; sed si

[8] Psal. LXX, 14. [9] Eccli. XXI, 1, 2. [10] Psal. L, 5. [11] Psal. XXXVII, 19. [12] Matth. XI, 29. [13] Osc. XIV, 10. [14] Psal. XXXII, 4.

VARIÆ LECTIONES.

[m] ἀναγγελῶ. [n] ἐνώπια. [o] καταφρονεῖν. [p] μεταδοῦναι.

NOTÆ.

(9) Ὀλιγόψυχος. Vulgo *imbecillis*. Ibid. μονάσαι, ἢ τὰ τοῦ μοναχοῦ ποιῆσαι, vel nomine religioni dare, vel domi, ut solent Græci, τὰς τῶν μοναχῶν σκληραγωγίας, καὶ τὸν αὐστηρὸν βίον μετελθεῖν. (ALEMANN.)

quis bonus ad ædificationem fidei, ut det gratiam audientibus [16]. » Et : « Nolite contristare Spiritum sanctum Dei, in quo signati estis in diem redemptionis. Omnis amaritudo, et ira, et indignatio, et clamor, et blasphemia tollatur a vobis, cum omni malitia. Estote autem invicem benigni, misericordes, donantes invicem, sicut et Deus in Christo donavit vobis. Estote ergo imitatores Christi, sicut filii charissimi, et ambulate in dilectione, sicut et Christus dilexit nos, et tradidit semetipsum pro nobis oblationem et hostiam Deo in odorem suavitatis. Fornicatio autem et omnis immunditia, et avaritia, nec nominetur in vobis, sicut decet sanctos, aut turpitudo, aut stultiloquium, aut scurrilitas, **192** quæ ad rem non pertinent, sed magis gratiarum actio [16]. « Et rursum : « Nulli malum pro malo reddentes, providentes bona non solum coram Deo, sed etiam coram omnibus hominibus. Si fieri potest, quod ex vobis est, cum omnibus hominibus pacem habentes [17]. » Vides nihil constitutum esse quod sit grave, et quod a nobis non possit fieri. Merito ergo dicebat Dominus : « Jugum meum suave est, et onus meum leve [18]. »

A λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. Πᾶσα πικρία, καὶ θυμὸς, καὶ ὀργὴ, καὶ κραυγὴ, καὶ βλασφημία, ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ· γίνεσθε εἰς ἀλλήλους χρηστοὶ, εὔσπλαγχνοι χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν. Γίνεσθε οὖν μιμηταὶ τοῦ Χριστοῦ, ὡς τέκνα ἀγαπητὰ, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν, καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας. Πορνεία δὲ πᾶσα, καὶ πᾶσα ἀκαθαρσία, ἢ πλεονεξία, μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις, καὶ αἰσχρότης, καὶ μωρολογία, καὶ εὐτραπελία, τὰ οὐκ ἀνήκοντα [q]· ἀλλὰ μᾶλλον εὐχαριστία. » Καὶ πάλιν· « Μηδενὶ κακὸν ἀντὶ B κακοῦ ἀποδιδόντες προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων, εἰ δυνατὸν ἐξ ὑμῶν, μετὰ πάντων εἰρηνεύοντες. » Ὁρᾷς, ὡς οὐδὲν φορτικὸν, ἢ ἀδύνατον ἡμῖν ἐνομοθέτηται ; εἰκότως οὖν ἔλεγεν ὁ Κύριος· « Ὁ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν. »

Ex Michæa.

« Si annuntiatum est tibi, homo, quid bonum, aut quid Dominus quærat a te? ut facias judicium, et diligas misericordiam; et paratus sis ambulare cum Domino Deo tuo [19]. »

Zachariæ.

« Hæc dicit Dominus omnipotens : Judicium justum judicate, et misericordiam et miserationem facite unusquisque ad fratrem suum; et viduam et pupillum et advenam ne opprimatis. Et malitiæ unusquisque fratris sui nolite meminisse in cordibus vestris [20]. Confidite. Isti sermones sunt quos facietis. Loquimini veritatem unusquisque ad proximum suum; veritatem et judicium pacificum judicate, et unusquisque malum proximi sui non cogitate in cordibus vestris; et juramentum mendax ne diligatis, quia hæc omnia odi, dicit Dominus [21]. »

Μιχαίου.

« Εἰ ἀνηγγέλη σοι, ἄνθρωπε, τί καλόν; ἢ [τί] ζητεῖ Κύριος ὁ Θεὸς παρὰ σοῦ, ἀλλ' ἢ τὸ ποιεῖν κρίμα, καὶ δικαιοσύνην, καὶ ἀγαπᾷν ἔλεος, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ Κυρίου τοῦ Θεοῦ σου ; »

Ζαχαρίου.

« Τάδε λέγει Κύριος παντοκράτωρ· Κρῖμα δίκαιον κρίνατε, καὶ ἔλεος καὶ οἰκτιρμὸν ποιήσατε ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· καὶ χήραν, καὶ ὀρφανὸν, καὶ προσήλυτον μὴ καταδυναστεύσητε. Καὶ κακίαν ἕκαστος τοῦ ἀδελφοῦ αὐτοῦ μὴ μνησικακεῖτε ἐν ταῖς καρδίαις ὑμῶν· καὶ θαρσεῖτε. Οὗτοι οἱ λόγοι, οὓς ποιήσετε· λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ κρῖμα εἰρηνικὸν κρίνατε· καὶ ἕκαστος τὴν κακίαν τοῦ πλησίον αὐτοῦ μὴ λογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν, καὶ ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε, διότι, ταῦτα πάντα ἐμίσησα, λέγει Κύριος. »

C

Isaiæ.

« Quærite Dominum, et in inveniendo eum, invocate. Et postquam vobis appropinquaverit, relinquat impius vias suas, et vir iniquus cogitationes suas, et convertatur ad Dominum, et misericordiam consequetur [22]. »

Ἡσαΐου.

Ζητήσατε τὸν Θεὸν, καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν ἐπικαλέσασθε. Ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν, ἀπολιπέτω D ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ, καὶ ἀνὴρ ἄνομος τὰς βουλὰς αὐτοῦ. Καὶ ἐπιστραφήτω πρὸς Κύριον, καὶ ἐλεηθήσεται [r].

Ex Sirach.

« Respicite antiquas nationes, et videte : Quis confidit in Domino, et confusus est? aut quis permansit in timore ejus, et derelictus est? aut quis invocavit illum, et despexit eum? quoniam pius et misericors est [23]. »

Τοῦ Σειράχ.

« Ἐμβλέψατε εἰς τὰς ἀρχαίας γενεὰς, καὶ ἴδετε, Τίς ἐπίστευσε τῷ Κυρίῳ, καὶ κατησχύνθη; ἢ τίς [s] ἐνέμεινε τῷ φόβῳ αὐτοῦ, καὶ ἐγκατελήφθη· ἢ, τίς ἐπεκαλέσατο αὐτὸν, καὶ ὑπερεῖδεν αὐτόν; διότι οἰκτίρμων καὶ ἐλεήμων ἐστίν. »

[16] Ephes. IV, 25-29. [16] ibid. 30-32, et V, 1-4. [17] Rom. XII, 17, 18. [18] Matth. XI, 29. [19] Mich. VI, 8. [20] Zachar. VII, 9, 10. [21] Zachar. VIII, 15-17. [22] Isa. LV, 6, 7. [23] Eccli. XI, 13.

VARIÆ LECTIONES.

[q] ἀνήκοντα. [r] Cod. Græcus ἐπιστράφητε et ἐλεηθήσεσθε. [s] ποτέ.

Τοῦ ἁγίου Εὐαγγελίου.

« Εἶπεν ὁ Κύριος· Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν. Ζητεῖτε, καὶ εὑρήσετε. Κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν, λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει [t], καὶ τῷ κρούοντι ἀνοιγήσεται. »

Ἰσιδώρου.

Εἰ γὰρ καὶ μὴ ἀκτημοσύνην, καὶ παρθενίαν ἡμῖν ὥρισεν ὁ Χριστὸς, ἀλλ' ἐν τῇ ἐξουσίᾳ ἡμῶν τέθεικε πάντα· λέγει γάρ, « Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς. » Καί· « Ὁ χωρῶν χωρείτω. » Πάντα οὖν ἀνύεσθαι βούλεται παρ' ἡμῶν· ὅθεν φησὶ, « Σπουδάσατε διελθεῖν διὰ τῆς στενῆς πύλης· » καὶ, « Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν, » καὶ τὰ ἑξῆς.

Μαξίμου ἐκ τῶν Κεφαλαίων.

Τῶν ὑφ' ἡμῶν πραττομένων κατὰ Θεὸν, τὰ μὲν κατ' ἐντολὴν πράττεται· τὰ δὲ, οὐ κατ' ἐντολήν· ἀλλ', ὡς ἂν τις εἴπῃ, κατεκούσιον [u] προ[σ]φοράν. Οἷον, κατ' ἐντολὴν μὲν, τὸ, ἀγαπᾷν τὸν Θεὸν, καὶ τὸν πλησίον· τὸ, ἀγαπᾷν τοὺς ἐχθρούς· τὸ, μὴ μοιχεύειν, καὶ τὰ λοιπά· ἅτινα καὶ παραβαίνοντες, κρινόμεθα. Οὐ κατ' ἐντολὴν δὲ, τὸ παρθενεύειν, ἡ ἀγαμία, ἡ ἀκτημοσύνη, ἡ ἀναχώρησις, καὶ τὰ ὅμοια· ταῦτα γὰρ δώρων λόγον ἐπέχουσιν· ἵνα ἐάν τινας τῶν ἐντολῶν κατορθῶσαι ἐξ ἀσθενείας οὐ δυνηθῶμεν διὰ τῶν δώρων τῶν ἀγαθῶν ἡμῶν, ἐξιλεωσώμεθα τὸν Δεσπότην· Καὶ τὰ τῶν κοσμικῶν κατορθωμάτων, πτώματά εἰσι τῶν κοσμικῶν [x], καὶ τὰ τῶν μοναχῶν κατορθώματα, πτώματά εἰσι τῶν κοσμικῶν. Οἷον, τὰ μὲν τῶν κοσμικῶν κατορθώματα, πλοῦτός ἐστι, καὶ δόξα, καὶ δυναστεία, καὶ τρυφὴ καὶ εὐσαρκία, καὶ εὐτεκνία, καὶ τὰ ὅμοια· εἰς ἅπερ ἐλθὼν ὁ μοναχὸς, ἀπώλετο. Τὰ δὲ τοῦ μοναχοῦ κατορθώματα, ἀκτημοσύνη, ἀδοξία, ἀδυναμία, ἐγκράτεια, κακοπάθεια, καὶ τὰ ὅμοια· εἰς ἅπερ ἐλθὼν ὁ φιλόκοσμος παρὰ πρόθεσιν, πτῶμα γίνεται μέγα, καὶ κινδυνεύει πολλάκις, καὶ ἀγχόνῃ χρήσασθαι· τινὲς δὲ καὶ ἐχρήσαντο. Καὶ πάντες οἱ λόγοι τοῦ Κυρίου τὰ τέσσαρα ταῦτα περιέχουσι· τὰς ἐντολὰς, τὰ δόγματα, τὰς ἀπειλὰς, τὰς ἐπαγγελίας, καὶ πᾶσαν σκληραγωγίαν διὰ ταῦτα ὑπομένομεν· οἷον, νηστείαν, ἀγρυπνίαν, χαμευνίας, κόπους, καὶ μόχθους ἐν διακονίαις, ὕβρεις, ἀτιμίας, στρεβλώσεις, θανάτους, καὶ τὰ ὅμοια. « Διὰ γὰρ τοὺς λόγους τῶν χειλέων σου, φησὶν ὁ μακάριος Δαβὶδ, ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς. »

Τοῦ Χρυσοστόμου, ἐκ τοῦ εἰς τὴν παραβολὴν τῆς συκῆς.

« Συκῆν εἶχέ τις ἐν τῷ ἀμπελῶνι αὐτοῦ, καὶ ἦλθε ζητῶν ἐν αὐτῇ καρπὸν, καὶ οὐχ εὗρε. » Συκῆν δὲ ἔθος τῇ Γραφῇ λέγειν, τὴν ἐν ἁμαρτίαις ψυχήν· ἀμπελῶνα, τὴν τῶν πιστῶν Ἐκκλησίαν· ἀμπελουργοὺς, τοὺς ἀγγέλους. Ἐπεὶ οὖν ἐν τῇ Ἐκκλησίᾳ

Ex sancto Evangelio.

« Dixit Dominus: Petite, et dabitur vobis. Quærite, et invenietis. Pulsate, et aperietur vobis. Omnis enim qui petit, accipit; et qui quærit, invenit; et pulsanti aperietur [24]. »

Isidori.

Christus paupertatem et virginitatem nobis non præcepit, sed in cujusvis arbitrio cuncta posuit. Dicit enim: « Si vis **193** perfectus esse, vende omnia, quæ habes, et da pauperibus [25]; » et: « Qui potest capere, capiat [26]. » Omnia igitur libere nobis peragi vult; unde et ait: « Contendite intrare per angustam portam [27]; » et: « Nisi justitia vestra abundaverit plusquam Pharisæorum, [28] » etc.

Maximi, ex Capitibus asceticis.

Ex iis quæ a nobis secundum Deum fiunt, alia fiunt ex præcepto, alia non fiunt ex præcepto, sed, ut quis ita appellaverit, voluntaria oblatione. Exempli causa, ex præcepto est diligere Deum et proximum, et diligere inimicos, non mœchari, et similia; quæ dum transgredimur, pœnas damus. Non ex præcepto est virginitatem et cælibatum colere, paupertatem et vitam solitariam sectari, et hujus generis alia: hæc enim donorum rationem continent; ut si quædam præcepta ex infirmitate minus implere possumus, hisce gratis donis Dominum propitiemus. Quæ autem præclara facta sæcularium censentur, ea sunt monachis ruina; et quæ monachorum præclara facta judicantur, ea sæculares præcipitant. Ut exemplo res declaretur, præclare facta sæcularium sunt divitiæ, gloria, potentia, deliciæ, bona corporis constitutio, prolis copia, et id genus alia; in quæ si monachus incidat, periit. Monachi vero præclara facta sunt paupertas, ignobilitas, impotentia, continentia, malorum perpessio, et cætera hujus sortis; in quæ si mundi amator præter voluntatem suam delabatur, ingenti casu corruit; et sæpe periculum est ne ad laqueum confugiat; quemadmodum etiam a nonnullis factum. Et omnes Domini sermones hæc quatuor continent: præcepta, dogmata, minas et promissiones; omnemque vitæ asperitatem propter hæc sustinemus, ut jejunium, vigiliam, humicubationem, labores et molestias in ministeriis, injurias, ignominias, torturas, mortes, et similia; nam « propter verba labiorum tuorum, ego custodivi vias duras, » inquit beatus David [29].

Ex Chrysostomo, in parabolam ficus.

« Arborem fici habebat quidam plantatam in vinea sua, et venit quærens fructum in illa, et non invenit [30]. » Solet Scriptura vocare ficum animam quæ tenetur in peccatis; et vineam, fidelium Ecclesiam; vinitores, angelos. Quoniam ergo in Ec-

[24] Luc. XI, 9, 10. [25] Matth. XIX, 21. [26] ibid. 12. [27] Matth. VII, 13; Luc. XIII, 24. [28] Matth. V, 20. [29] Psal. XVI, 4. [30] Luc. XIII, 6.

VARIÆ LECTIONES.

[t] εὑρήσει. [u] Lego καθ' ἑκούσιον. [x] μοναχῶν.

clesia multi viventes non pro dignitate fidei, non vitis appellantur, sed ficus, ut qui ab ineunte ætate, rite alioqui per baptismum in ipsa plantati **194** mores non mutaverint, merito lenis ac patiens Deus dicit vinitori, seu angelo Ecclesiæ: « Ecce anni tres sunt ex quo venio quærens fructum in ficulnea hac, et non invenio; succide ergo illam: utquid etiam terram occupat? At ille respondens dicit illi : Domine, dimitte illam et hoc anno, usquedum fodiam circa illam ; et mittam stercora [31], » et quæ sequuntur. Tres igitur anni in quibus venit Dominus quærens fructum, sunt tres ætates hominis, pueri, et juvenis, et senis; sicut etiam dicit alibi : « Et si venerit Dominus in prima vigilia, et in secunda, et si in tertia vigilia venerit, et ita invenerit facientem, beatus servus ejusmodi [32]. » — « Dimitte illam, domine, et hoc anno. » Hoc significat, Dei multam lenitatem usque ad extremam senectutem, in peccatores se extendere. Multi enim in ipsa senectute compuncti, stercore accepto per tentationes, probra et contumelias, produxerunt fructum virtutis.

A πολλοὶ ἀναξίως τῆς πίστεως βιοῦντες, οὐκ ἄμπελος, ἀλλὰ συκῆ προσαγορεύονται, ἐκ νέας μὲν ἡλικίας, ὡς εἰκὸς γ φυτευθέντες ἐν αὐτῇ βιὰ τοῦ βαπτίσματος, μέχρι δὲ γήρως τὸν τρόπον μὴ μεταβαλλόμενοι, εἰκότως; οὖν ὁ μακρόθυμος Θεὸς λέγει τῷ ἀμπελουργῷ· « Ἰδοὺ τρία ἔτη ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ εὑρίσκω· ἔκκοψον αὐτήν· ἵνα τί καὶ τὴν γῆν καταργεῖ; Ὁ δέ φησιν· Κύριε, ἄφες ταύτην καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω αὐτὴν, καὶ βάλλω κόπρια, » καὶ τὰ ἑξῆς. Τρία μὲν οὖν ἔτη, ἐν οἷς ἔρχεται ζητῶν καρπὸν ὁ Θεὸς αἱ τρεῖς μεθηλικιώσεις τοῦ ἀνθρώπου εἰσὶ, παιδὸς, νεωτέρου, καὶ πρεσβυτέρου· ὡς καὶ ἐτέρωθί [α-α] φησιν· « Ἐὰν ἔλθῃ ὁ Κύριος ἐν τῇ πρώτῃ φυλακῇ, καὶ δευτέρᾳ, καὶ τρίτῃ, καὶ εὕρῃ οὕτως ποιοῦντα, μακάριος ὁ δοῦλος τοιοῦτος. » — « Ἄφες αὐτὴν, κύριε, καὶ τοῦτο τὸ ἔτος, » τὴν ἐπὶ πολὺ τοῦ αὐτοῦ μακροθυμίαν παρατεινομένην μέχρι ἐσχάτου γήρως σημαίνει τοῦ ἁμαρτάνοντος. Πολλοὶ γὰρ ἐν αὐτῷ τῷ γήρᾳ κατανυγέντες, διὰ θλίψεών τε σκαφέντες, καὶ πειρασμάτων, δεξάμενοι κόπρια, τὴν ἀρετὴν ἐκαρποφόρησαν.

B

Ejusdem, in VI *psalmum.*

O vir Dei amantissime, sit tibi Scenopegia, id est festum Tabernaculorum, id quod apparet mundi tabernaculum ; quod citius contrahitur quam quodvis expansum velum, quævis sindon et quodvis peripetasma. Quoniam ergo mundus est Scenopegia, dies festos septem in Scenopegia celebra. Quosnam septem dies? Septem tuas ætates, per quas ad vivendum ingrederis, ut pervenias ad diem octavum cultus expertem ; qui est futurus, quando non amplius sacrificium, aut latriæ cultus Deo offeretur pro peccatis. Sed dicis : Quid si non pervenero ad diem septimum senectutis? Sed eum posside discendo, et faciendo, et propositi accipies mercedem constitutam iis qui sunt vocati secundum propositum, ut dicit Apostolus [33].

Τοῦ αὐτοῦ εἰς τὸν ἑξάψαλμον.

Θεοφιλέστατε ἄνθρωπε, Σκηνοπηγίας ἔστω ἡ φαινομένη τοῦ κόσμου σκηνή· ἡ παντὸς ἁπλώματος, καὶ σινδόνος, καὶ καταπετάσματος συστελλομένη ταχύτερον. Ἐπεὶ οὖν Σκηνοπηγία ὁ κόσμος, ἑπτὰ ἡμέρας ἑόρταζε ἐν τῇ Σκηνοπηγίᾳ. Ποίας ἑπτὰ ἡμέρας; Τὰς ἑπτά σου ἡλικίας, δι' ὧν ὁδεύεις εἰς τὴν ζωὴν [b], ἵνα τὴν ὀγδόην ἡμέραν τὴν ἀλάτρευτον φθάσῃ[ς] τὴν μέλλουσαν, ὅτε οὐκέτι θυσία ἢ λατρεία ὑπὲρ ἁμαρτιῶν προσφέρεται τῷ Θεῷ. Ἀλλὰ λέγεις· Τί οὖν, ἐὰν μὴ φθάσω τὴν ἑβδόμην τοῦ γήρως [c]; Ἀλλὰ κτῆσαι τὸ μαθεῖν, καὶ ποιεῖν, καὶ τῆς προθέσεως λαμβάνεις μισθὸν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν, ὥς φησιν Ἀπόστολος.

C

Septem hominis ætates.

I. Primum diem creationis mundi reputa ætatem infantiæ, ut baptismo statim illumineris; nam primo die creata est lux.

II. Secundum diem existima esse pueritiam, ut divinis sermonibus confirmeris ; firmamentum enim secundo die conditum est.

III. Tertium diem arbitrare esse adolescentiam, ut pravarum affectionum humiditatem castitate exsicces ; nam tertia die Deus aridam ab humida natura sejunxit.

IV. Quartum diem habeto pro juventute, ut quatuor virtutes velut astra circumferas, **195** et ut luminare in mundo luceas ; nam quarto die luminaria creata sunt.

V. Quintum diem pro media ætate ducito, quo

Αἱ ἑπτὰ ἡλικίαι τοῦ ἀνθρώπου.

Α'. Πρώτην ἡμέραν, τὴν τοῦ βρέφους, ἵνα εὐθὺς φωτισθῇς τῷ βαπτίσματι· καὶ γὰρ τὸ φῶς, τῇ πρώτῃ ἐγένετο.

Β'. Τὴν δὲ δευτέραν ἡμέραν, τὴν τοῦ παιδίου ἡλικίαν, ἵνα στερεωθῇς τοῖς οὐρανίοις λόγοις· καὶ γὰρ τὸ στερέωμα, τῇ δευτέρᾳ ἐγένετο.

D

Γ'. Τὴν τρίτην, τοῦ μείρακος, ἵνα τῇ ἁγνείᾳ ξηραίνῃς τὴν ὑγρότητα τῶν παθῶν· καὶ γὰρ τῇ τρίτῃ ὁ Θεὸς τὴν ξηρὰν ἀπὸ τῆς ὑγρᾶς διέκρινε.

Δ'. Τὴν δὲ τετάρτην, τοῦ νεανίσκου τὰς τέσσαρας ἀρετὰς ἀστροφορῶν, καὶ ὡς φωστὴρ ἐν κόσμῳ φαινόμενος· καὶ γὰρ οἱ φωστῆρες τῇ τετάρτῃ ἐγένοντο.

Ε'. Τὴν πέμπτην ἡλικίαν, τὴν τοῦ μεσήλικος, τὰ

[31] Luc XIII, 7 sqq. [32] Luc. XII, 38. [33] Rom. VIII, 28.

VARIÆ LECTIONES.

γ οὕτως. [α-α] ἐν ἑτέρῳ. [b] εἰς τὸ ζῆν. [c] ἐὰν φθάσω εἰς τὴν ἑβδόμην τοῦ γήρως.

πέντε σου ζῶα τῶν αἰσθήσεων χαλιναγωγῶν, ἵνα μὴ εἰς ἁμαρτίαν σκιρτήσωσι· καὶ γὰρ τὰ ζῶα τῇ πέμπτῃ ἐγένοντο.

ς'. Τὴν ἕκτην τοῦ πρεσβύτου, τὴν ἐξ ἀρχῆς σου κίνησιν, λόγῳ, ὡς ἄνθρωπος ἀσφαλιζόμενος, καὶ τὸν πηλὸν τοῦ σώματος πλάττων, καὶ ῥυθμίζων ταῖς ἀρεταῖς· καὶ γὰρ τῇ ἕκτῃ ἄνθρωπος γέγονε.

Ζ'. Τὴν ἑβδόμην, τὴν τοῦ γέροντος πεπολιωμένην πολιτείαν, εὐσεβείᾳ ἀναπαύων ἐν τῇ γῇ· ὅτε ὡς λευκοφόρος ἄσταχυς, καὶ ὡς σῖτος ὥριμος ἀπελεύσῃ ἐν τῷ τάφῳ, κατὰ καιρὸν συγκομιζόμενος, καὶ ὡς ἐν ἑβδόμῃ ἀναπαυόμενος. Καὶ γὰρ τῇ ἑβδόμῃ ὁ Κύριος ἀπὸ τῶν ἔργων αὐτοῦ τῶν εὐαγγελικῶν κατέπαυσεν ἐν τῷ τάφῳ.

Κατὰ τὴν ὀγδόην λοιπὸν περίμενε τὴν ἀπὸ τῆς σκηνῆς ἔξοδον [d], καὶ τὴν ἀπὸ τοῦ τάφου ἀναχώρησιν [e]. Καὶ γὰρ τῇ ὀγδόῃ ἐκ νεκρῶν ἀνέστη Κύριος· Τῇ ὀγδόῃ, φησὶ, ἡμέρᾳ ἐξόδιος, « Πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ. » Καὶ διὰ τί ἐν τῇ ὀγδόῃ λατρείας, καὶ θυσίας προσφέρειν ἐκώλυσεν; Ἐπειδὴ ἡ ὀγδόη τὴν ἀνάστασιν τῶν νεκρῶν ἐσάλπισεν· ἐν δὲ τῇ ἀναστάσει τῶν νεκρῶν οὐκέτι λοιπὸν θυσίαι, ἢ λατρεῖαι, ἢ προσφοραὶ ὑπὲρ ἁμαρτιῶν ἀφέσεως· « Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου. Ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; » Διὰ τοῦτο τὰς ἑπτὰ ἡμέρας τῆς Σκηνοπηγίας, θυσίας προσφέρειν ἐκέλευσεν· ἵνα, ἐν ᾧ ζῇς, καὶ διάγεις, ὡς ἐν σκηνῇ τῇ σαρκὶ θυσίας προσφέρῃς κατὰ τὸ γεγραμμένον· « Τέκνον, ἕως ζῇς ἀξίως, πρόσφερε προσφορὰς Κυρίῳ τῷ Θεῷ σου· » Μνήσθητι, ὅτι ὁ θάνατος οὐ χρονιεῖ· καὶ διαθήκη ᾅδου οὐχ ὑπεδείχθη σοι. » Ἐν γὰρ τῇ ὀγδόῃ λοιπὸν, ἐν τῇ ἀναστάσει τῶν νεκρῶν, ὅτε ἡ ἔξοδος τῆς σκηνῆς, ὅτε, ὡς ἀπὸ καλύβης, καὶ σκηνῆς τῆς σοροῦ καὶ τοῦ τάφου ἐξερχόμεθα, οὐκέτι λοιπὸν περὶ ἁμαρτίας ὑπολείπεται θυσία, ὥς φησιν ὁ Ἀπόστολος· φοβερά τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος κατεσθίειν μέλλων [f] τοὺς ἁμαρτήσαντας. Ὅτε « Ἐξελεύσονται ὁ τὰ ἀγαθὰ πονήσαντες, εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως. » Δοξάσωμεν οὖν τὸ πανάγιον ὄνομα τοῦ φιλανθρώπου, καὶ Σωτῆρος Θεοῦ ἡμῶν, καὶ εὐξώμεθα τυχεῖν τῶν αἰωνίων ἀγαθῶν· ὅτι αὐτῷ πρέπει δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

tempore oportet ut sensuum tuorum animalia freno coerceas, ne in peccatum ruant; nam animalia quinto die producta sunt.

VI. Sextum diem senectuti deputa, quo statu necesse est ut insitam ab initio motionem, ratione, ceu homo, munias, lutum corporis tui, refingas, variisque virtutibus exornes; nam sexta die conditus est homo.

VII. Septimum diem habe pro ætate jam cana et nivea, quando pie in terra requiescens, ceu albicans arista, frumentumque maturum, quod opportuno tempore colligitur, sepulcrum ingredieris, ut ibi, tanquam die septimo quietem capias. Dominus enim die septimo ab operibus evangelicis in sepulcro conquievit.

Octavo die præstolare exitum ex tabernaculo, et ex sepulcro liberationem, et resurrectionem ex mortuis. Die enim octavo resurrexit Dominus. Die octavo, inquit, est exeundum : « Omne opus servile non facietis in eo [34]. » Cur autem prohibuit Deus die octava sacrificia, et latriæ cultum offerre? quippe quod octava die e mortuis resurrectio proclamata est. In resurrectione autem non sunt de cætero sacrificia, aut cultus latriæ, aut oblationes pro remissione peccatorum. « Quoniam non est in morte, qui memor sit tui : in inferno autem quis confitebitur tibi [35]? » Propterea jussit offerre septem diebus Scenopegiæ : ut, quandiu vitam degis in carne, tanquam in tabernaculo, offeras sacrificium et hostias, sicut scriptum est. « Fili, quandiu vivis, Domino Deo tuo offer oblationes. Recordare quod mors non tardabit, et testamentum inferni non est tibi exhibitum [36]. » Porro die octava, in resurrectione mortuorum, quando e tabernaculo, ex loculo et sepulcro, tanquam ex tugurio et habitaculo egrediemur, nullus amplius locus erit sacrificiis pro peccatis, ut dicit Apostolus [37]; terribilis autem quædam exspectatio judicii remanet, et ignis tormentum devoraturum eos qui peccaverunt. Et, « qui bona egerunt, egredientur ad resurrectionem vitæ; qui autem mala fecerunt, ad resurrectionem judicii [38]. » Glorificemus igitur nomen sanctissimum Servatoris, Dei nostri, hominum amatoris, et æternorum bonorum optemus sortem; quoniam ipsum decet gloria, in æterna sæcula. Amen

ΕΡΩΤΗΣΙΣ Ε'.

Καλόν ἐστιν ἄρα τὸ ἐξομολογεῖσθαι τὰ ἁμαρτήματα ἡμῶν πνευματικοῖς ἀνδράσιν (10).

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦτο καλόν ἐστι λίαν, καὶ πάνυ ὠφέλιμον· ἀλλὰ μὴ τοῖς ἀπείρως, καὶ ἰδιωτικῶς περὶ τὰ τοιαῦτα

196 QUÆSTIO VI.

Situe bonum confiteri peccata nostra viris spiritualibus?

RESPONSIO.

Est bonum, et valde utile; sed non iis qui earum rerum sunt imperiti et rudes : ne, per ra-

[34] Levit. XXIII, 7. [35] Psal. VI, 6. [36] Eccli. XIV, 11. [37] Hebr. X, 26. [38] Joan. V, 29.

VARIÆ LECTIONES.

[d] ἐξόδιον. [e] ἐκ νεκρῶν ἔγερσιν. [f] καὶ πυρὸς γεέννης κατεσθίειν μέλλοντος.

NOTÆ.

(10) Πνευματικοῖς ἀνδράσι. Confessariis. Sic Græci vocant sacerdotes a sacris confessionibus, εἰ κατ' ἐξοχὴν, πνευματικοὺς, ἐξαγορευτὰς, et ἐξομολογητάς, licet ἐξαγορεῦσαι, εἰ ἐξομολογήσασθαι non audire sit, sed aperire peccata. Unde ἐξομολόγησις et ἐξαγόρευσις (quæ hic sunt obviæ) Græcis est confessio quam appellamus sacramentalem. (ALEMANN.)

tionis expertem commiserationem, ac dispensationem, per importunam et a scientia alienam pœnarum seu pœnitentiarum injunctionem, te reddant aut contemptorem stupidum, aut socordem et remissum. Si ergo inveneris hominem spiritualem qui possit tibi mederi, citra pudorem, et cum fide, confitere ei peccata, tanquam Domino, et non homini. Etenim ait Sapiens : « Pro anima tua ne confundaris : est enim confusio adducens peccatum, et est confusio gloria, et gratia. Ne accipias faciem adversus animam tuam, et ne reverearis in casum tuum [39]. » Et Joannes : « Si confiteamur peccata nostra, fidelis est et justus Deus, ut dimittat nobis peccata, et mundet nos ab omni iniquitate [40]. »

διακειμένους, ἵνα μὴ διὰ τῆς ἀλόγου συμπαθείας, καὶ οἰκονομίας, ἢ διὰ τῆς ἀκαίρου, καὶ ἀνεπιστήμονος παραστάσεως τῶν ἐπιτιμίων καταφρονητὴν οἰκονομίας [g] ἀνάλγητον, ἢ ῥᾴθυμον, καὶ παρειμένον σε ἀπειργάσηται. Ἐὰν οὖν εὕρῃς ἄνδρα πνευματικὸν, ἔμπειρον, δυνάμενόν σε ἰατρεῦσαι, ἀνεπαισχύντως, καὶ μετὰ πίστεως ἐξομολόγησαι αὐτῷ, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώπῳ. Φησὶ γὰρ ὁ Σοφός· « Περὶ τῆς ψυχῆς σου μὴ αἰσχυνθῇς. Ἔστι γὰρ αἰσχύνη, ἡ ἐπάγει ἁμαρτίαν· καὶ ἔστιν αἰσχύνη, δόξα καὶ χάρις. Καὶ μὴ λάβῃς πρόσωπον κατὰ τῆς ψυχῆς σου, καὶ μὴ ἐντραπῇς εἰς πτῶσίν σου. Καὶ μὴ αἰσχυνθῇς ὁμολογῆσαι ἐφ' ἁμαρτίαις σου. » Καὶ Ἰωάννης· « Ἐὰν γάρ, φησὶν, ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι, καὶ δίκαιος ὁ Θεὸς, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. »

Sed multi ex simplicioribus, pudoris et tenebrarum facientes opera, non solum ipsi ea faciunt, et in tenebris ambulant, sed et eis qui agunt facile assentiuntur, eosque probant, et mali argumenti fiunt magistri; et nec ipsi veniunt ad lucem, neque illos sinunt venire. De iis ergo merito dicebat Dominus : « Væ vobis, Scribæ et Pharisæi hypocritæ, qui clauditis regnum cœlorum ante homines; vos autem non intratis, nec alios sinitis intrare. Væ vobis, Scribæ et Pharisæi hypocritæ, qui circuitis mare et aridam, ut unum faciatis proselytum, et quando factus fuerit, facitis ipsum filium gehennæ duplo magis quam vos. Væ vobis, duces cæci [41]. » Nihil enim ita ad supplicium adducit inevitabile, ut prohibere ac procul amandare eorum salutem qui volunt esse salvi, et facere multos æmulatores suorum vitiorum. Eorum enim qui obedierunt, et eos imitati sunt, interitus fit accessio supplicii ei qui docuerit.

Ἀλλὰ πολλοὶ τῶν ἀφελεστέρων ἀνθρώπων τὰ τῆς αἰσχύνης τοῦ κόσμου ἔργα πραττόμενοι, οὐ μόνον αὐτὰ ποιοῦσι, καὶ ἐν σκότει διαπορεύονται, ἀλλὰ συνευδοκοῦσι τοῖς πράττουσι, καὶ πονηρᾶς ὑποθέσεως διδάσκαλοι γίνονται· καὶ οὔτε αὐτοὶ ἔρχονται πρὸς τὸ φῶς, οὔτε ἐκείνοις εἰσέρχεσθαι παραχωροῦσιν. Εἰκότως ἂν ἔλεγεν ὁ Κύριος περὶ τῶν τοιούτων· « Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους [h] ἀφίετε εἰσελθεῖν. Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι περιάγετε τὴν θάλασσαν, καὶ τὴν ξηρὰν, ποιῆσαι ἕνα προσήλυτον· καὶ ὅταν γένηται, ποιεῖτε [αὐτὸν] υἱὸν γεέννης διπλότερον ὑμῶν. Οὐαὶ ὑμῖν ὁδηγοὶ τυφλοί. » Οὐδὲν γὰρ οὕτως εἰς κόλασιν ἀπαραίτητον [ἄγει], ὡς τὸ κωλύειν, καὶ ἐμποδίζειν τὴν τῶν σώζεσθαι βουλομένων σωτηρίαν, καὶ πολλοὺς ζηλωτὰς τῶν ἰδίων ποιεῖσθαι κακῶν. Γίνεται γὰρ ἡ τῶν ὑπακουσάντων, καὶ μιμησαμένων ἀπώλεια, προσθήκη τιμωρίας τῷ διδάξαντι.

Quod autem, cum suis peccatis, habeant etiam post mortem peccatum consequens animarum quæ læduntur et pereunt ex mala eorum doctrina, audi quid dicat Apostolus : « Quorumdam hominum peccata manifesta sunt, præcedentia ad judicium; aliquos autem etiam sequuntur [42]. » Quocirca sine suorum scelerum **197** manifestatione immedicabiliter ex socordia, indolentia et timoris divini privatione ægrotant. Ea de causa non veniunt ad lucem confessionis, ne arguantur eorum opera, ut dicit rursus Dominus : « Omnis qui male agit, odit lucem, ne manifestentur ejus opera [43]. » Similiter etiam divinus Apostolus : « Nolite communicare operibus infructuosis tenebrarum, magis autem redarguite. Quæ enim in occulto fiunt ab ipsis, turpe est et dicere. Omnia autem quæ arguuntur, a lumine manifestantur : omne enim quod

Ὅτι δὲ μετὰ τῶν οἰκείων ἁμαρτημάτων ἐπακολουθοῦσαν [i] ἔχουσι μετὰ θάνατον καὶ τὴν ἁμαρτίαν τῶν βλαπτομένων, καὶ ἀπολλυμένων ψυχῶν, ἐκ τῆς πονηρᾶς αὐτῶν διδαχῆς [k] οἱ τοιοῦτοι, ἄκουσον, τί φησιν ὁ Ἀπόστολος· « Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι προάγουσιν εἰς κρίσιν [l], τισὶ δὲ καὶ ἐπακολουθοῦσι. » Τοιγαροῦν ἀνεξαγόρευτα, καὶ ἀνίατα, ἐκ τῆς ῥᾳθυμίας, καὶ ἀναλγησίας, καὶ ἀφοβίας Θεοῦ νοσοῦσι· καὶ διὰ τοῦτο οὐκ ἔρχονται πρὸς τὸ φῶς τῆς ἐξαγορεύσεως, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτῶν, ὡς φησι παλιν ὁ Κύριος· « Πᾶς ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ φανερωθῇ τὰ ἔργα αὐτοῦ. » Ὡσαύτως δὲ καὶ ὁ θεῖος Ἀπόστολος, « Μὴ συγκοινωνεῖτε, φησὶ, τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους· μᾶλλον δὲ καὶ ἐλέγχετε. Τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν ὑπὸ τοῦ φωτὸς φανεροῦται [m]· πᾶν γὰρ τὸ φανερούμενον, φῶς ἐστι.

[39] Eccli. IV, 24, 25. [40] I Joan. I, 9. [41] Matth. XXIII, 13, 15, 24. [42] I Tim. V, 24. [43] Joan. III, 20.

VARIÆ LECTIONES.

[g] κοινωνίας. [h] βουλομένους. [i] ἐπακολουθήσασαν. [k] διδασκαλίας. [l] αἱ ἁμαρτίαι πρόδηλοί εἰσιν προσάγουσαι εἰς κρίσιν. [m] τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν αἰσχρόν ἐστι καὶ λέγειν. Τὰ δὲ πάντα, ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται.

Διὸ λέγει· Ἔγειραι, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. »

Οἱ δὲ ἀνοήτως, μᾶλλον δὲ ἀσεβῶς λέγοντες, μηδὲν ὠφελεῖσθαι ἀπὸ τῆς πρὸς ἀνθρώπους ἐξομολογήσεως, διὰ τὸ ὁμοιοπαθές· μόνος γὰρ ὁ Θεὸς δύναται ἀφαιρεῖν ἁμαρτίας· ἴστωσαν ὅτι ταῦτα φάσκοντες, πρῶτον μὲν ὡς προκάλυμμα τῆς ἑαυτῶν βδελυρίας, καὶ ἀλογίας προΐσχονται. Ἐπειδὴ παραγράφονται αὐτοῦ τοῦ Κυρίου λέγοντος πρὸς ἑαυτοῦ μαθητάς· « Ὅσα δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. » Καὶ πάλιν· « Ἂν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἂν τινων κρατεῖτε, κεκράτηνται. » Καὶ, ὅτι « Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου, καὶ τὸ ἅλας τῆς γῆς. » Ἔτι μὴν καὶ τὸν κατὰ σάρκα ἀδελφὸν αὐτοῦ φάσκοντα· « Ἐξομολογεῖσθε ἀλλήλοις τὰ παραπτώματα, καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε. Πολλὰ [a] γοῦν ἰσχύει δέησις δικαίου ἐνεργουμένου. » Λέγει γὰρ ὁ Ἀπόστολος· « Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ. »

Καὶ πρὸς τούτοις, ἀθετήσουσι πάντως καὶ τὸ βάπτισμα, καὶ πᾶσαν θείαν ἱερουργίαν, διὰ τὸ, ὑπὸ ἀνθρώπων μὲν ἱερουργεῖσθαι, ὑπὸ Θεοῦ δὲ, ἁγιάζεσθαι· εἴωθε γὰρ ὁ Θεὸς τὴν σωτηρίαν τῶν ἀνθρώπων, οὐ μόνον δι' ἀγγέλων ἐνεργεῖν, ἀλλὰ καὶ δι' ἀνθρώπων ἁγίων. Καὶ πάλαι μὲν διὰ προφητῶν, ἐπ' ἐσχάτων δὲ, δι' αὐτοῦ [b], καὶ τῶν θείων ἀποστόλων, καὶ καθεξῆς μέχρι τῆς συντελείας πρὸς τοὺς ἑαυτοῦ κατὰ γενεὰν θεράποντας φάσκει· « Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται, καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ, καὶ, ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. » Οὐκοῦν εἰ καὶ ἄνθρωπός ἐστιν ὁ τὴν ἐξομολόγησιν ἀκούων, ἀλλ' ὁ Θεὸς δι' αὐτοῦ ἐπιστρέφει, καὶ ἐκπαιδεύει, καὶ συγχωρεῖ, καθάπερ καὶ τὸν Δαυῒδ διὰ τοῦ Νάθαν· διὸ ἔλεγεν· « Εἶπα· Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ. » [Κυρίῳ], γὰρ ἦν ἡ ἐξαγόρευσις αὐτοῦ, καὶ ἡ διὰ τοῦ Νάθαν ἐπιστροφή. Ὅθεν πάλιν φησί· « Ἐπιστρεψάτωσάν με [οἱ φοβούμενοί σε], καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου. » Καὶ, « Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με. » Οἱ γὰρ ἅγιοι ὑπηρέται τοῦ Θεοῦ εἰσι καὶ συνεργοὶ, καὶ οἰκονόμοι εἰς τὴν τῶν σώζεσθαι βουλομένων σωτηρίαν.

Καὶ τοῦτο δηλῶν ὁ Ἀπόστολος ἔλεγεν· « Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωποι [p] ὡς ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους μυστηρίων Θεοῦ. » Καὶ πάλιν· « Θεοῦ γάρ ἐσμεν συνεργοί, Θεοῦ οἰκοδομή ἐστε. » Ἄνθρωπος μὲν γὰρ ἀνθρώπῳ συνεργεῖ εἰς μετάνοιαν, ὡς ἔφην, καὶ ὑπηρετεῖ καὶ παιδεύει καὶ ἐλέγχει τὰ πρὸς σωτηρίαν κατὰ τὸν προφήτην· ὁ δὲ Θεὸς ἐξαλείφει τὰς ἁμαρτίας τῶν ἐξομολογουμένων, λέγων· « Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου ἕνεκεν

manifestatur, lumen est. Propter quod dicit: Surge, qui dormis, et exsurge a mortuis, et illuminabit te Christus [44]. »

Qui autem stulte, vel potius impie dicunt nihil prodesse eam, quæ fit hominibus, confessionem, propterea quod sint similiter vitiis obnoxii et animi perturbationibus; solum enim Deum posse tollere peccata; sciant, qui hæc dicunt, primum quidem quod suæ nequitiæ et amentiæ prætextum obtendunt. Deinde dicta ipsius Domini circumscribunt, qui dicit suis discipulis: « Quæcunque ligaveritis super terram, erunt ligata et in cœlo, et quæcunque solveritis super terram, erunt soluta et in cœlis [45]. » Et rursus: « Quorum remiseritis peccata, remittuntur eis, et quorum retinueritis, retenta sunt [46]; » et: « Vos estis lux mundi, et sal terræ [47]; » deinde ipsius quoque fratris Domini secundum carnem, qui dicit: « Confitemini alterutrum peccata vestra, et orate pro invicem, ut salvemini. Multum enim valet oratio justi assidua [48]. » Dicit enim Apostolus: « Alter alterius onera portate, et sic adimplebitis legem Christi [49]. »

His accedit quod baptismum quoque omnino abrogabunt, et omnem divinam sacrificii operationem, propterea quod homines quidem sacrificant, Deus autem sanctificat. Solet enim Deus hominum operari salutem, non solum per angelos, sed etiam per homines sanctos. Et olim quidem per prophetas, in novissimis autem temporibus per se et per divinos apostolos, et deinceps usque ad consummationem sæculi, dicit suis in hac generatione ministris: « Qui vos recipit, me recipit, et qui vos spernit, me spernit, et qui audit vos, me audit [50]. » Etsi ergo sit homo qui audit confessionem, Deus est tamen qui per se convertit (et instituit) et condonat, sicut Davidi per Nathan; quamobrem dicebat. « Dixi. Confitebor adversum me injustitiam meam Domino [51]. » Domini enim erat ejus confessio, et per Nathan facta conversio. Unde etiam rursus dicit: « Convertant me qui timent te, et **198** qui cognoscunt testimonia tua [52]. » Et: « Corripiet me justus in misericordia, et increpabit me [53]. » Sancti enim ministri, Dei sunt cooperatores et dispensatores ad eorum, qui salvi esse volunt, salutem.

Hoc significans, dicebat Apostolus: « Sic nos existimet homo, tanquam ministros Christi et dispensatores mysteriorum Dei [54]. » Et rursus: « Dei enim sumus cooperatores; Dei ædificatio estis [55]. » Homo quidem cooperatur homini ad pœnitentiam, sicut dixi; et ministrat, et ædificat, et castigat, et arguit in iis quæ pertinent ad salutem, congruenter iis quæ dicit propheta; Deus autem delet peccata ejus qui confitetur,

[44] Ephes. v, 11-14. [45] Matth. xvi, 19. [46] Joan. xx, 23. [47] Matth. v, 13, 14. [48] Jac. v, 16. [49] Galat. vi, 2. [50] Luc. x, 16; Matth. x, 40. [51] Psal. xxxi, 5. [52] Psal. cxviii, 79. [53] Psal. cxl, 5. [54] I Cor. iv, 1. [55] I Cor. iii, 9.

VARIÆ LECTIONES.

[a] πολύ. [b] ἑαυτοῦ. [p] ἄνθρωπος.

dicens : « Ego sum qui deleo iniquitates tuas propter me, et peccata tua. et non recordabor. Tu autem memento, et judicemur : dic tu prior peccata tua, ut justificeris [56]. »

Ex libro Numerorum.

« Et locutus est Dominus ad Moysen, dicens : Loquere filiis Israel dicens : Vir aut mulier, quicunque fecerit ex omnibus peccatis humanis, et despiciens despexerit, et deliquerit anima illa, annuntiabit peccatum quod fecit, et reddet delictum [57]. »

Ex libro Job.

« Si cogitaverit corde reverti ad Dominum : annuntiaverit autem homini suum ipsius crimen, et suam iniquitatem ostenderit ; deprecatus autem ad Dominum, et accepta ei erunt : intrabit facie hilari cum professione; reddet autem hominibus justitiam. Deinde : Tunc accusabit homo se ipse dicens : Qualia consummabam ? et non digne in me inquisivit pro iis quæ peccavi. Et si cum peccassem voluntarie, peccatum meum occultavi ; non enim reveritus sum turbam multitudinis, quominus in conspectu ejus peccata mea confiterer [58]. »

Ex Proverbiis Salomonis.

« Revelat peccata sua bene notus in consessibus. Qui operit impietatem suam, non prosperabitur : qui autem narrat redargutiones, diligetur [59]. »

E sancti Basilii Asceticis.

Peccatorum confessio eamdem habet rationem quam ostensio morborum corporis. Quomodo ergo morbi corporis non aperiuntur omnibus hominibus, neque quibuslibet, sed iis qui eorum curandorum sunt periti ; ita peccatorum confessio debet fieri apud eos qui possunt **199** curare, sicut scriptum est : Vos, qui potestis, (infirma cum fragilibus) portate, hoc est, tollite per curationem. Necesse est ergo confiteri peccata iis quibus credita fuit dispensatio ; scriptum est enim in Evangelio quidem, quod qui baptizabantur baptismo Joannis, confitebantur peccata sua [60]. In Actibus autem apostolorum, qui baptizabantur, annuntiabant actus suos [61]. Memores autem Dei sententiæ, qui dixit per prophetam : « Væ, qui sunt arguti in semetipsis, et coram semetipsis scientes [62] ; » et Apostoli, qui dicit : « Desidero enim videre vos, ut aliquid impertiar vobis gratiæ spiritualis ad confirmandos vos : id est, consolari in vobis per eam quæ invicem est, fidem vestram atque meam [63] ; » existimemus esse necessarium nos dicare iis qui sunt unanimes, et dederunt certam probationem

A ἐμοῦ, καὶ τὰς ἁμαρτίας σου, καὶ οὐ μὴ μνησθῶ. Σὺ δὲ μνήσθητι, καὶ κριθῶμεν· λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς. »

Ἐκ τῶν Ἀριθμῶν.

« Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, λέγων· Ἀνὴρ ἢ γυνή, ὅστις ἂν ποιήσῃ ἀπὸ τῶν ἁμαρτιῶν τῶν ἀνθρώπων, καὶ παριδὼν παρίδῃ, καὶ πλημμελήσῃ ἡ ψυχὴ ἐκείνη, ἐξαγορεύσει τὴν ἁμαρτίαν, ἣν ἐποίησε, καὶ ἀποδώσει τὴν πλημμέλειαν [q] τῷ κεφαλαίῳ. »

Τοῦ Ἰώβ.

« Ἐὰν νοήσῃ ἄνθρωπος τῇ καρδίᾳ ἐπιστραφῆναι πρὸς Κύριον· ἀναγγελεῖ δὲ ἀνθρώπῳ τὴν ἑαυτοῦ μέμψιν, τὴν δὲ ἀνομίαν αὐτοῦ δείξῃ, εὐξάμενος πρὸς Κύριον, δεκτὸς [r] αὐτῷ ἔσται· εἰσελεύσεται προσώπῳ καθαρῷ σὺν ἐξηγορίᾳ· ἀποδώσει δὲ ἀνθρώποις δικαιοσύνην. Εἶτα. Τότε ἀπομέμψεται αὐτὸς ἑαυτῷ λέγων· οἷα συνετέλουν, καὶ οὐκ ἄξια ἤτασέ με ὁ Θεὸς, ὧν ἥμαρτον [ἑκουσίως]. [s] Καὶ εἰ ἁμαρτῶν, ἑκουσίως ἔκρυψα τὴν ἁμαρτίαν μου· οὐ γὰρ διετράπην πολυοχλίαν πλήθους τοῦ μὴ ἐξαγορεῦσαι ἐνώπιον αὐτῶν. »

Σολομῶντος.

« Ἐκκαλύπτων τὰς ἑαυτοῦ ἁμαρτίας, εὔγνωστος ἐν συνεδρίῳ. Καὶ ὁ ἐπικαλύπτων ἀσέβειαν αὐτοῦ, οὐκ εὐοδοθήσεται· ὁ δὲ ἐξηγούμενος, καὶ ἐλέγχων, ἀγαπηθήσεται. »

Τοῦ ἁγίου Βασιλείου ἐκ τῶν Ἀσκητικῶν.

Ἡσαΐου.

« Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν, ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας αὐτῶν. »

Ἱερεμίου.

« Υἱοὶ ἄφρονές εἰσι, καὶ οὐ συνετοί, σοφοί εἰσι τοῦ κακοποιῆσαι, τὸ δὲ καλὸν [i] ποιῆσαι οὐκ ἔγνωσαν. Καὶ, εἰ ἀλλάξει Αἰθίοψ τὸ δέρμα αὐτοῦ καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς, καὶ ὑμεῖς δυνήσεσθε εὐποιῆσαι μεμαθηκότες τὰ κακά. »

Τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ εἰς τὸν α' ψαλμόν.

Εὐχῆς μὲν οὖν ἄξιον μὴ προσάψασθαι τοῦ κακοῦ · δεύτερος δὲ πλοῦς εὐθὺς μετὰ τὴν πεῖραν, ὥσπερ ἰοβόλου πληγὴν ἀποφεύγειν, κατὰ τὸ γεγραμμένον παρὰ τοῦ Σολομῶντος περὶ τῆς φαύλης γυναικός · « Μὴ ἐπιστήσῃς σὸν ὄμμα πρὸς αὐτὴν, ἀλλὰ ἀποπήδησον, μὴ χρονίσῃς. » Νῦν δὲ οἶδά τινας ἐν νεότητι πρὸς τὰ τῆς σαρκὸς πάθη κατολισθήσαντας · καὶ μέχρι πολιᾶς αὐτῆς διὰ συνήθειαν τοῦ κακοῦ τῆς ἁμαρτίας [k] παραμείναντας. Ὥσπερ γὰρ οἱ ἐν βορβόρῳ κυλινδούμενοι χοῖροι, ἀεὶ πλάττουσιν ἑαυτοῖς τὸν πηλὸν, οὕτω καὶ οὗτοι, τὸ ἐκ τῆς ἡδονῆς αἴσχος [l], καθ' ἑκάστην ἡμέραν προσαναμάσσονται. Μακάριον μὲν οὖν τὸ μὴ διανοηθῆναι τὸ πονηρόν · εἰ δὲ κατὰ συναρπαγὴν τοῦ ἐχθροῦ ἐδέξω τῇ ψυχῇ βουλεύματα ἀσεβείας, μὴ στῇς ἐπὶ τῆς ἁμαρτίας. Εἰ δὲ καὶ τοῦτο πέπονθας, μὴ ἐνιδρυνθῇς τῷ κακῷ. Διότι τὸ φιλοπόνως προσδιατρίβειν ταῖς ἁμαρτίαις, ἕξιν τινὰ δυσκίνητον ταῖς ψυχαῖς ἐμποιεῖ · παλαιωθὲν γὰρ πάθος ψυχῆς, καὶ κακοῦ μελέτη χρόνῳ βεβαιωθεῖσα, δυσίατός ἐστιν, ἢ ἀνίατος παντελῶς εἰς φύσιν ὡς τὰ πολλὰ τοῦ ἔθους μεθισταμένου.

Ἰσιδώρου ἐκ τῶν Ἐπιστολῶν.

Ἐν γὰρ τοῖς πταίσμασιν, οὐ τὸ εἶδος μόνον ζητεῖται τοῦ ζητήματος, ἀλλὰ καὶ ἡ γνώμη τοῦ ἁμαρτάνοντος, καὶ τὸ ἀξίωμα, καὶ ὁ καιρός · καὶ ὁ τρό-

[98] I Cor. III, 16, 17. [99] Galat. VI, 6, 7. [1] I Cor. VI, 9, 10. [2] II Cor. V, 10. [3] I Cor. III, 13 [4] Isai. V, 18. [5] Jerem. IV, 22; XIII, 23. [6] Eccli. IX, 5, 12.

VARIÆ LECTIONES.

[h] Κυρίου. [i] καλῶς. [k] ταῖς ἁμαρτίαις. [l] αἰσχρόν.

πος [m], καὶ ἡ ῥίζα, καὶ μετὰ τὴν ἁμαρτίαν εἰ ἤσθη, εἰ ἐλυπήθη· εἰ ἀναλγήτως διετέθη, εἰ ἐνέμεινεν, εἰ μετέγνω, εἰ ἐκ περιστάσεως, εἰ κατὰ ἀπάτην, εἰ κατὰ μελέτην, εἰ κατὰ ἕξιν κακὴν, καὶ συνήθειαν· καὶ πολλὰ ἕτερά εἰσι, δι' ὧν ἡ βάσανος αὕτη χωρεῖ. Καὶ καιροῦ διαφορὰ ἐξετάζεται. Καὶ πολιτείας ἐξέτασις καταστάσεως [n]· ὁ γὰρ πρὸ νόμου, καὶ μετὰ νόμον, καὶ μετὰ τὴν χάριν τὴν αὐτὴν ἁμαρτίαν ἁμαρτὼν οὐ τὴν αὐτὴν δίκην ὑφέξεται· ἀλλ' ὁ μὲν ἡμερωτέραν· ὁ δὲ ἀκριβεστέραν· ὁ δὲ, ἀπαραίτητον. Πάντα γὰρ ταῦτα διαῤῥήδην ἐν ταῖς ἱεραῖς Γραφαῖς κεκήρυκται.

A an dolore affectus, an nullum senserit dolorem, an perseveraverit, an eum pœnituerit, an fortuito factum sit, an dolo, an ex præmeditatione, an ex habitu malo et consuetudine. Multaque sunt alia per quæ hæc procedit quæstio, et occasionis examinatur differentia, et vitæ actæ status : non enim qui ante legem, et qui post legem et gratiam idem peccatum admisit, idem luet supplicium; sed ille quidem mitius, hic vero gravius, alius autem inevitabile. Quæ omnia in sacris Litteris dilucide tradita sunt.

Θεοδωρήτου ἐκ τῆς Θεραπευτικῆς.

Οὐδὲ γὰρ ἐξ ἴσου ὑπό τινος ὀργῆς καὶ θυμοῦ τινὰ παροξυνόμενον πατάξαι τὸν πέλας, καὶ παραπέμψαι τῷ θανάτῳ, οὕτω [o] τὸν προβουλευσάμενον· οὐδὲ ἐπὶ τούτῳ γε παίοντα, καὶ τὸ παίσαντα ἐξ ἐπιβουλῆς καὶ λόγου [p], καὶ προνοίας τυρεῦσαι τὸν θάνατον· τὸ μὲν γὰρ ἦν ἀκρασίας κάμινος θυμοῦ [q]· τὸ δὲ πονηρίας ἰσχάτης. Καὶ τὸ μὲν οὐχ ὅλον· τὸ δὲ ὅλον τῆς γνώμης. Οὕτω καὶ ταῖς τῆς ἡδυπαθείας οὐχ ἅπαντες ὁμοίως ἄνθρωποι περιπίπτουσιν ἁμαρτίαις. Ἀλλ' οἱ μὲν ἥκιστα περιεργαζόμενοι τὰ εὐπρεπῆ τῶν σωμάτων περιπείρονται· ἔσθ' ὅπη [r] δὲ [καὶ ὁρῶσιν ἐξαίφνης [s], καὶ καταδουλοῦνται τῷ πάθει τοῦ λογισμοῦ τῆς ἡγεμονίας ἐξισταμένου· οἱ δὲ βίον ἔχουσι, τὸ τοιαύτῃ θεωρίᾳ τοὺς ὀφθαλμοὺς ἐστιᾷν. Καὶ οἱ μὲν οὐδὲ σίτων καὶ ποτῶν ἀπολαύουσιν ἀδεῶς· ἡττῶνται δ' ὅμως παλαίοντες, ἐπειδὴ παλαίειν ἐπιστημόνως οὐ βούλονται. Οἱ δὲ ὑπερμαζῶσι καὶ τρυφῶσι καὶ πᾶν εἶδος ἐπινοοῦσι χλιδῆς καὶ τρυφῆς καὶ τὰς ἄλλας ὀρέξεις ἐρεθίζουσι παντοδαπαῖς ἐπινοίαις· καὶ μέντοι καὶ σβεννυμένων ἀσχάλλουσι. Τοσαύτη τοίνυν παρανομούντων διαφορὰ, οὐ χρεὼν [t] ἅπασι χαλεπαίνειν ὁμοίως· ἀλλὰ τοὺς μὲν προδήλως τὸν εὐόλισθον [u] βίον ἀσπαζομένους μυσάττεσθαι· τοῖς δ' ἄλλοις καὶ συμβουλεύειν, καὶ παραινεῖν, καὶ χεῖρα ὀρέγειν, καὶ θεραπεύειν ἐπιμελῶς, καὶ προσφέρειν τῆς ὑγείας τὰ φάρμακα· ἐκείνους δὲ ἐὰν ἐπιμείνωσι θηριωδῶς βιωτεύοντες, καὶ περιόντας θρηνήσωμεν, κἀὶ ἀποθανοῦσι, τὸ Σαρδαναπάλου ἐπίγραμμα προσενέγκωμεν· τῷ γὰρ δὴ ἐκείνου ἐπιγέγραπται τάφῳ·

Neque enim par esse peccatum dicas, si quis ira B *incitatus proximum percusserit, aut etiam neci dederit, nihil ante id facinus meditatus, neque mortem verberibus intendens; ac si quis alter præparatis ante insidiis, certo animo cui necem intulerit; illud enim factum fuit intemperantis iræ ardor : hoc autem supremæ cujusdam malitiæ. Idque non totum fuit voluntatis, hoc vero totum penitus fuit. Ita et non omnes homines procumbunt in voluntatis peccata. Nam alii quidem amorem secuti, neque circa venustas facies occupati, statim formæ elegantis aculeis transfiguntur : nonnunquam enim simul ac viderint, perturbationi cupidinique succumbunt; ratione statim a* 211 *dominatu suo decussa. Alii vero in eo vitam consumunt, ut sollicitos oculos pascant formarum spectaculo. Sunt autem* C *qui primo quidem non sine quodam metu ac pudore poculentis esculentisque manus admoliantur; interno autem desiderio agitati paulatim succumbant, quia scilicet reluctari fortiter neglexerunt. Nonnulli vero intemperantius sese gerunt; aggestis namque epulis se infarciunt, omnemque luxus speciem comminiscuntur; omni denique artificio appetitus alios voluptatum irritant; quin etiam si elanguescere illos ac restingui sentiant, graviter admodum perturbantur. Quando igitur tanta est peccantium differentia, non decet parem erga omnes indignationem concipi, sed eos quidem abominari qui ex professo porcorum vitam sectantur; alios vero et consulendo, et hortando, et manum porrigendo, curare diligenter oportet, eisque salutaria pharmaca exhibere. Rursusque illos qui ventri se addixerunt, si pergant brutarum animantium vitam degere; vivos quidem luctu commiscremur, defunctorum vero sepulcris epigramma Sardanapali inscribamus : ita enim illius tumulo inscriptum fuit :*

Τόσσ' ἔχω, ὅσσ' ἔφαγον, καὶ ἐφύβρισα, καὶ μετ' ἔρωτος D *Hæc habeo, quæ edi, quæque exsaturata libido*
Τέρπν' ἔπαθον, τὰ δὲ πολλὰ καὶ ὄλβια πάντα λέλειπται. *Hausit, multa quidem, et felicia cuncta reliqui.*
Καὶ γὰρ ἐγὼ παῖς [x] εἰμι, Νίνου μεγάλης βασιλεύσας. *Nam cinis ecce ego sum, magnæ qui celsa tenebam Regna Nini.*

Ἀλλὰ γὰρ καὶ τοῦτο ψεῦδος [y] οἱ γεγραφότες ἐπ- *Sed enim egregie mentiti sunt qui sic inscripse-*

VARIÆ LECTIONES.

[m] τόπος. [n] V. πολιτείας κατάστασις. [o] οὐ τοῦτο. [p] λόχου. [q] ἀκρασία θυμοῦ. [r] ὅτε. [s] ἐξαπίνης. [t] οὐ χρὴ οὖν. [u] συώδη. [x] σποδός. [y] ψευδῶς.

runt. Neque enim qui vita functus est, habet amplius quæ comedit olim ac bibit, sed ea omnia in putrem corruptionem abierunt. Habet autem solum iniquitatis suæ fetorem, qui animam scelerum sibi consciam, eaque in memoriæ sinu perpetuo retinentem continuo dolore discruciat.

Septem sunt modi peccandi (12). 1. Ignorantia, ut in Laban. 2. Deceptio (13), ut in Eva. 3. Obreptio, ut in Petro. 4. Oblivio, ut in Moyse, qui Deum ad petram non sanctificavit. 5. Tyrannis, ut in Dario, qui tradidit Danielem. 6. Incredulitas, ut in uxore Lot. 7. Contemptus, ut in Giezi famulo Elisei. 8. Mala affectio, ut in Pharisæis, qui celabant resurrectionem Domini.

Ex Capitulis sancti Maximi.

Non est una ratio eorum qui actione peccant, sed diversæ : ut, aliud est peccare ex habitu, et aliud ex obreptione. Hic enim neque ante peccatum habuit desiderium, neque post peccatum : sed valde in facto affligitur. Contra autem ille qui peccat ex habitu. Nam primum, et cogitatione non cessat peccare ; et, postquam fecit, est eadem ejus affectio. Homo enim peccat quatuor modis, nempe **212** ex obreptione, deceptione, ignoratione et affectione. Et tres quidem primi facile veniunt ad agnitionem et pœnitentiam. Qui autem peccat ex affectione, et non tentatione ; neque tempore venit ad pœnitentiam, et morbo laborat immedicabili. Et animæ quidem concupiscendi facultas crebrius irritata, immittit animæ motu difficilem habitum libidinis. Animus autem continenter turbatus, eum reddit timidum et ignavum. Medentur autem illi quidem exercitatio constitutis jejuniis, vigiliis et precationibus ; huic autem, benignitas, charitas, et humanitas, et misericordia. Ex animæ autem subjectis affectionibus accipiunt dæmones occasiones movendi in nobis turbulentas et affectibus agitatas cogitationes ; deinde, per eas adversus mentem bellum gerentes, ei vim afferunt, ut assentiatur peccato. Ea autem superata, ducunt ipsam ad peccatum, quod est ex cogitatione ; eoque perfecto, de cætero eam ducunt captivam, ad actionem. Omnes ergo turbulentæ et affectibus exagitatæ cogitationes, aut irritant, quæ in concupiscendo versatur, animæ facultatem, aut conturbant vim irascendi, aut tenebras offundunt rationi. Ex eo autem evenit ut mens caliget ad spiritualem contemplationem, et precationis studium.

Ex Climaco.

In his tribus modis maxime generalibus in nobis consistit omne bellum dæmoniacum : nempe, aut ex negligentia, aut ex superbia, aut ex invidia

A ἐγραψαν. Οὐ γὰρ ἔχει ὁ τελευτήσας ὅπερ ἔφαγε, καὶ ἔπιεν, ἀλλ' εἰς τὴν δυσώδη φθορὰν ἐκεῖνα κεχώρηκεν. Ἔχει δὲ μόνου τοῦ παρανόμου βίου τὴν δυσωδίαν, ἣ τὴν ψυχὴν διηνεκῶς ἀλγύνει, καὶ ἀνιᾷ ξυνειδυῖα αὐτῇ τὰ κάκιστα, καὶ μεμνημένη ὧν παρανόμως εἰργάσατο.

α'. Ἄγνοια [x], ὡς ὁ Λάβαν. β'. Ἀπάτη, ὡς ἡ Εὔα. γ'. Συναρπαγῇ, ὡς ὁ Πέτρος. δ'. Λήθῃ, ὡς ὁ Μωϋσῆς, μὴ ἁγιάσας τὸν Θεὸν ἐν τῇ πέτρᾳ. ε'. Τυραννίς, ὡς ὁ Δαρεῖος, ἐκδοὺς τὸν Δανιήλ. ς'. Ἀπιστία, ὡς ἡ γυνὴ τοῦ Λώτ. ζ'. Καταφρόνησις, ὡς Γιεζὶ, τοῦ Ἐλισσαίου. η'. Ἡ πονηρὰ διάθεσις, ὡς οἱ Φαρισαῖοι κρύπτοντες τὴν ἀνάστασιν.

Μαξίμου ἐκ τῶν Κεφαλαίων.

B Οὐχ εἷς λόγος τῶν τὴν αὐτὴν ἁμαρτίαν, κατ' ἐνέργειαν ἁμαρτανόντων ἐστὶν, ἀλλὰ διάφοροι. Οἷον, ἄλλο ἐστὶ, τὸ ἀπὸ ἕξεως ἁμαρτάνειν, καὶ ἄλλο τὸ κατὰ συναρπαγήν. Ὃς οὔτε πρὸ τῆς ἁμαρτίας εἶχε τὴν ἐνθύμησιν, οὔτε μετὰ τὴν ἁμαρτίαν, ἀλλὰ σφόδρα ἐπὶ τῷ γεγονότι ὀδυνᾶται. Ὁ δὲ ἀπὸ ἕξεως, ἐκ τοῦ ἐναντίου. Καὶ πρῶτον γὰρ καὶ κατὰ διάνοιαν οὐκ ἐπαύσατο ἁμαρτάνων, καὶ μετὰ τὸ πρᾶξαι, τῆς αὐτῆς ἐστι διαθέσεως. Καὶ γὰρ τέσσαρας τρόπους ἁμαρτάνει ὁ ἄνθρωπος · κατὰ συναρπαγὴν, κατὰ ἀπάτην, κατὰ ἄγνοιαν, κατὰ διάθεσιν. Καὶ αἱ μὲν πρῶται τρεῖς, εὐχερῶς εἰς ἐπίγνωσιν καὶ μετάνοιαν ἔρχονται. Ὁ δὲ ἐκ διαθέσεως ἁμαρτάνων, καὶ μήτε πειρασμῷ, μήτε τῷ χρόνῳ εἰς μετάνοιαν ἐρC χόμενος, ἀνίατον ἔχει τὴν νόσον · καὶ τὸ μὲν ἐπιθυμητικὸν τῆς ψυχῆς πυκνότερον ἐρεθιζόμενον, ἕξιν φιληδονίας δυσίατον τῇ ψυχῇ ἐντίθησιν · ὁ δὲ θυμὸς συνεχῶς ταρασσόμενος, δειλὸν καὶ ἀνανδρον αὐτὸν ἀπεργάζεται. Ἴωνται δὲ, τὸν μὲν ἄσκησις ἐπιτεταμένη νηστείας, καὶ ἀγρυπνίας, καὶ προσευχῆς · τὸν δὲ χρηστότης, καὶ ἀγάπη, καὶ φιλανθρωπία, καὶ ἔλεος. Καὶ ἐκ τῶν ὑποκειμένων τῇ ψυχῇ παθῶν λαμβάνουσιν οἱ δαίμονες τὰς ἀφορμὰς τοῦ κινεῖν ἐν ἡμῖν τοὺς ἐμπαθεῖς λογισμούς · εἶτα, διὰ τούτων πολεμοῦντες τὸν νοῦν, ἐκβιάζονται αὐτὸν εἰς συγκατάθεσιν ἐλθεῖν τῆς ἁμαρτίας. Ἡττηθέντος δὲ αὐτοῦ, ἄγουσιν αὐτὸν εἰς τὴν κατὰ διάνοιαν ἁμαρτίαν · καὶ ταύτης ἀποτελεσθείσης, φέρουσιν αὐτὸν λοιπὸν αἰχμάλωτον εἰς τὴν πρᾶξιν. Πάντες οὖν οἱ ἐμπαθεῖς λοD γισμοὶ, ἢ τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς ἐρεθίζουσι · ἢ τὸ θυμικὸν ἐκταράττουσιν, ἢ τὸ λογικὸν [a] ἐπισκοτίζουσι. Καὶ ἐκ τούτων συμβαίνει τὸν νοῦν ὀφθαλμιάσαι πρὸς τὴν πνευματικὴν θεωρίαν, καὶ τὴν τῆς προσευχῆς ἐνδημίαν.

Ἐκ τοῦ τῆς Κλίμακος.

Ἐν τρισὶ τούτοις γενικωτάτοις τρόποις, πᾶς πόλεμος δαιμονιώδης ἐν ἡμῖν συνίσταται · ἢ ἐξ ἀμελείας, ἢ ἐξ ὑπερηφανίας, ἢ ἐκ φθόνου δαιμόνων · καὶ ἔστι παρὰ

VARIÆ LECTIONES.

[x] ἄνοια. [a] λογιστικόν.

NOTÆ.

(12) Hæc sunt in nostro Græco codice. In Vaticanis non comparent. Hervetus, ex Athanasio in Quæstionibus.

(13) Hervet. *amentia.*

τοῖς πνευματικοῖς πολλάκις τινὰ εὐτελέστατα πάθη, ἐκ Θεοῦ οἰκονομικῶς καταλιμπανόμενα, ἵνα δι' εὐτελῶν τινων ἁμαρτημάτων, ἑαυτοὺς λίαν καταμεμφόμενοι, πλοῦτον ἄσυλον ταπεινοφροσύνης κτησώμεθα.

A dæmonum. Relinquuntur autem, singulari Dei permissu, apud spirituales minutissimæ nonnullæ passiones, ut per vilia et abjecta quædam peccata nos ipsos valde reprehendentes, acquiramus divitias humilitatis, quæ non possunt eripi.

Τοῦ ἁγίου Ἀθανασίου ἐκ τῶν Ἀποκρίσεων [b].

Ἀγνεύουσί τινες ἢ ὑπὸ Θεοῦ σκεπόμενοι, ἢ ψυχρᾶς τινος ὑπάρχοντες κράσεως, ἢ ἐξ ἀσκήσεως ἑαυτοὺς βιαζόμενοι· καί τινα μὴ κρίνοντες [c], ἢ φιλαργυρίαν, ἢ ὑπερηφανίαν ἀνέχοντες, καὶ ὑπὸ τοῦ Σατανᾶ καταφρονηθέντες, ὡς ἱκανῆς οὔσης τῆς οἰήσεως, καὶ τῆς φιλαργυρίας ὑπὲρ ὅλα τὰ πάθη ἐνόχους αὐτοὺς ποιῆσαι τῆς αἰωνίου κολάσεως.

Sancti Athanasii ex Responsis

Aliqui castam vitam ducunt, aut quia a Deo specialiter proteguntur, aut quia frigida corporis complexione prædiți sunt, aut quia piis exercitationibus sibi quasi vim inferunt, neminem damnantes vel judicantes, aut quia superbia vel avaritia laborant, quos Satanas nullis tentationibus exagitat, sed despicit, ratus grandem de se existimationem et avaritiam præ omnibus vitiis ad concilianda æterna supplicia valere.

B

Τοῦ Χρυσοστόμου ἐκ τοῦ ἕκτου ψαλμοῦ.

Ἐπειδή, ὦ Χριστιανέ, τὸν Χριστὸν ἐνεδύσω διὰ τοῦ βαπτίσματος, ἀσφαλίζου μὴ τὴν βασιλικὴν πορφύραν σήψῃς, μὴ τὸν ἄσπιλον χιτῶνα σπιλώσῃς, μὴ πορνείᾳ τὸ ἱμάτιον ἀσβολώσῃς, μὴ μοιχείᾳ τὸ ἔνδυμα βορβορώσῃς, μὴ ἐπιορκίᾳ φθείρῃς, μὴ βλασφημίᾳ μιάνῃς, μὴ αἱρετικῇ κακοδοξίᾳ στολίσῃς [d], μὴ Νοβατιανῇ ἀπανθρωπίᾳ τραχύνῃς, μὴ Εὐνομιανῇ ἀνομοιότητι βάψῃς, μὴ Ἀρειανικῇ ἑτερουσιότητι παράσχαλον ποιήσῃς, μὴ Μακεδονικῇ πνευματομαχίᾳ [e] φορίσῃς, μὴ ἀθεΐᾳ Ἑλλήνων ἀπολέσῃς· μὴ Ἰουδαϊκῆς ἀπιστίας βρόμον ὀζέσαι ποιήσῃς. Ἀσφαλίζου τὸ τῆς ψυχῆς σου κιβώτιον τὸ σῶμα, καὶ καλῶς τήρει τὸ τοῦ βαπτίσματος ἱμάτιον, μύρισον αὐτό, θυμίασον, βαλὲ πολλὰ προσευχῶν θυμιάματα. Λέγε Θεῷ· « Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου. » Συνεχῶς τὸ ἱμάτιον τοῦ βαπτίσματος ταῖς προσευχαῖς, καὶ ταῖς γονυκλισίαις τίνασσε, ἵνα μὴ σῆτες τῶν φαύλων λογισμῶν τοῦτο διαφθείρωσιν.

Sancti Chrysostomi in VI *psalmum.*

Quoniam, o Christiane, Christum induisti per baptismum, cave ne regiam purpuram putrefacias, ne fornicatione macules tunicam immaculatam, ne adulterio inquines indumentum, ne corrumpas perjurio, ne polluas blasphemia, ne hæreticarum **213** opinionum fœdes perversitate, ne Novatiana exasperes inhumanitate, ne Eunomiana tingas inæqualitate, ne Ariana substantiæ diversitate labefactes, ne simul gestes Macedonianam pugnam contra sanctum Spiritum, et ne gentilium eam perdas impietate; nec facias eam redolere Judaicam avenam incredulitatis. Muni animæ tuæ arcam, nempe corpus; et recte serva vestem baptismatis, eam unguentis perfunde, et in eam jace multos C suffitus orationum. Die Deo: « Dirigatur oratio mea sicut incensum in conspectu tuo [f]. » Vestem baptismatis continenter excute deprecationibus et genuflexionibus, ne eam corrumpant tineæ malarum cogitationum.

Οἴδασιν οἱ παραθέμενοι ἄγγελοι, ὁποῖόν σοι τὸν χιτῶνα παρέθεντο, καὶ οἱ εἰς τὰ ἄνω βασιλικὰ βραβεῖα ἔγραψαν, ὁποῖον ἐδόθη ἱμάτιον. Αὐτοὶ ἔρχονται ἀπαιτῆσαι αὐτὸ τῆς ψυχῆς σου. Ἐὰν μὴ εὕρωσιν ἄσπιλον, τί ποιήσῃς; Οὐκέτι κολυμβήθραν εὑρήσεις, οὐχ ἱερέα. Ἐκεῖ ποταμὸς πυρός ἐστιν, Ἰορδάνης οὐκ ἔστιν. Ἐρωτήσατε τοὺς ὧδε τοῦ βασιλέως ἱματιοφύλακας, καὶ παρ' ἐκείνων μάθετε, πῶς ἀναγράφονται τοὺς τὰ βασιλικὰ καὶ διάλιθα ἱμάτια λαμβάνοντας· πῶς τοὺς ἐπικειμένους μαργαρίτας ἀριθμῷ παραδιδόασι, καὶ παραλαμβάνουσι· πῶς τοιαῦτα ἀπαντοῦσιν [g], οἷα καὶ παρέδωκαν [h]. Εἰ δὲ καί που εἷς μαργαρίτης ἐκπεσὼν ἀπολεῖται, μετὰ πόσης ζημίας, καὶ θλίψεως τὸ ἀπολλύμενον ἀντικαθίσταται! Εἰ δὲ διὰ φθαρτὸν μαργαρίτην, τοσαύτη ἀσφάλεια, τὸν οὐράνιον μαργαρίτην πόσῳ δεῖ πλέον ἀσφαλίζεσθαι;

D

Τίνες οἱ τοῦ χιτῶνος μαργαρῖται; Αἱ ἀρεταί. Ἄκουσον τοῦ καλοῦ ἱματοφύλακος Παύλου λέγοντος·

Sciunt, qui deposuerunt angeli, cujusmodi vestem apud te deposuerint, et in regiis, quæ sunt apud superos scriniis, scripserunt, qualis sit tibi data vestis. Ipsi veniunt ad eam repetendam a tua anima. Si non invenerint immaculatam, quid facies? Non amplius invenies piscinam, non amplius sacerdotem. Illic est fluvius ignis, non est Jordanis. Interrogate eos qui hic sunt, vestium regis custodes et ab illis discite quemadmodum eos D describant qui vestes accipiunt regias et gemmatas; quemadmodum margaritarum quæ vestibus sunt insertæ, numerum tradunt et accipiunt, et quomodo curent ut omnia talia recipiant, qualia dederant. Quod si unam ex margaritis perire contigerit, cum quanto damno et afflictione restituitur quæ periit! Quod si propter margaritam, in quam cadit interitus, tanta adhibetur cautio, propter cœlestem margaritam quomodo non est major adhibenda?

Quæ sunt autem illius tunicæ margaritæ? Virtutes. Audi præclarum vestium custodem Paulum

[f] Psal. CXL, 2.

VARIÆ LECTIONES.

[b] ἐρωτήσεων. [c] κατακρίνοντες. [d] ἀπολέσῃς. [e] πνευματομαχίαν. [f] ἀπαιτοῦσι. [g] δέδωκαν.

dicentem : « Induite vos ergo, sicut electi Dei, sancti et dilecti, viscera misericordiæ, benignitatem, humilitatem [a], » etc. « Sana me, Domine, quoniam conturbata sunt ossa mea [b]. » Conturbationem dicit, quæ nascitur ex peccato. Quomodo, quando venti vehementes in mare irruerint, ii conturbant omnia, et quæ est in profundo sursum mittitur arena, et qui navigant, sunt in periculo : ita etiam in nobis conturbatur anima, movetur corpus, et tumultu plena est nobis scapha, et multæ sunt tenebræ, et loco suo relicto, pereunt omnia, et magna est confusio. Hoc maxime solet contingere in cupiditatibus et libidinibus; hoc etiam accidit in ira et calamitatibus. Hæc enim omnia conturbant et ossa et animam, et pupillæ invertuntur, et nec oculi quidem suo ordine aspiciunt. Sed quomodo, si perturbatus fuerit auriga, **214** insolentes et nullo ordine feruntur equi : ita, si fuerit ratio perturbata, confunduntur, et invertuntur omnia, et suam viam amittunt.

Et quomodo fit hæc perturbatio? Non enim, sicut in mari, ex ventorum emissione, ita etiam in anima ex inopinato aliquo casu; sed ex nostra accidit socordia, cum inflammata cupiditate, in nostra sit potestate fiatne an non. Nisi enim tu flammam accenderis, non erit fornax, nisi materiæ præbueris alimentum; nisi pulchris vultibus contemplandis supervacaneam dederis operam, nisi in pulchritudine aliena sis curiosus, nisi ascendas ad theatra nequitiæ, nisi carnem pinguefacias, nisi vino obruas rationem : non excitatur, non accenditur fornax, non nascitur bellua teterrima, non dissecatur tanquam a ventis immanibus, mentis puritas.

Sufficiunt ergo hæc? inquit. Non sufficiunt; sed sunt etiam alia addenda : preces continuæ, cum sanctis consuetudo, moderatum jejunium, tenuis victus, necessaria negotia et occupationes; ante alia omnia, metus Dei, futurum judicium, cruciatus intolerabiles, honorum promissiones. Per hæc omnia potes frenare rapidam cupiditatem, et sedare mare fluctibus agitatum

Serini (13').

Quando diuturna exercitatione et meditatione ad spiritualium bonorum habitum pervenerit quispiam, et didicerit quamnam materiam suæ memoriæ debeat præparare, tunc poterit hostis insidias facile propulsare. Non oportet ergo nostri cordis elationem, aut humanæ naturæ, aut ejus creatori Deo ascribere, sed nostri liberi arbitrii socordiæ ac negligentiæ.

Josephi de Machabæis.

Quærimus ergo an ratio imperet animi perturba-

« Ἐνδύσασθε ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ, ἅγιοι, καὶ ἀγαπητοὶ, σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, ταπεινοφροσύνην, » καὶ τὰ ἑξῆς. « Ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου. » Ταραχὴν λέγει, τὴν ἐκ τῆς ἁμαρτίας γινομένην. Καθάπερ γὰρ, ὅταν πνεύματα ῥαγδαῖα εἰς πέλαγος ἐμπνεύσῃ [h], πάντα ταράττει, καὶ ἡ βυθία [i] ἄνω φέρεται [k] ψάμμος, καὶ οἱ πλέοντες, ἐν κινδύνῳ· οὕτω δὴ καὶ ἐφ' ἡμῶν. Ταράττεται ἡ ψυχὴ, κινεῖται τὸ σῶμα, πάντα πληροῦται τοῦ χειμῶνος, μεστὸν ἡμῖν τὸ σκάφος ταραχῆς, καὶ σκότος πολὺ, καὶ πάντα οἴχεται ἀπολιμπάνοντα τὸν οἰκεῖον τόπον, καὶ πολλὴ ἡ σύγχυσις. Τοῦτο μάλιστα καὶ ἐν ἐπιθυμίαις, καὶ ἀσελγείαις συμβαίνειν εἰωθε· τοῦτο, καὶ ἐν θυμῷ, καὶ ἐν συμφοραῖς. Πάντα γὰρ ταῦτα ταράττει καὶ ψυχὴν, καὶ ὀστᾶ, καὶ αἱ κόραι διαστρέφονται, καὶ οὐδὲ οἱ ὀφθαλμοὶ κατὰ τάξιν βλέπουσιν. Ἀλλ' ὥσπερ ἡνιόχου θορυβηθέντος, ἀτάκτως οἱ ἵπποι φέρονται, οὕτω καὶ τοῦ λογισμοῦ διαταραχθέντος, πάντα συγχεῖται, καὶ διαστρέφεται, καὶ τὴν οἰκείαν ὁδὸν ἀπόλλυσι.

Καὶ πῶς αὕτη γίνεται ἡ ταραχή; Οὐ γὰρ ὥσπερ ἐν θαλάσσῃ, παρὰ τὴν τῶν πνευμάτων ἐμβολὴν [l], οὕτω καὶ ἐν τῇ ψυχῇ παρά τινα ἀδόκητον περίστασιν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ῥαθυμίαν συμβαίνει· τοῦ γὰρ γίνεσθαι, καὶ μὴ γίνεσθαι ὑμεῖς κύριοι τῆς ἐπιθυμίας ἀναπτομένης. Ἂν γὰρ σὺ μὴ τὴν φλόγα ἀνάψῃς, οὐ καίεται ἡ κάμινος, ἂν μὴ τροφὴν παράσχῃς τῇ ὕλῃ, ἂν μὴ τὰς εὐμόρφας ὄψεις περιεργάσῃ, ἂν μὴ τὰ ἄλλα κάλλη πολυπραγμονήσῃς, ἂν μὴ εἰς θέατρα παρανομίας ἀναβαίνῃς, ἂν μὴ πιαίνῃς τροφῇ τὴν σάρκα, ἂν μὴ καταποντίσῃς οἶνῳ τὸν λογισμὸν, οὐχ αἴρεται ἡ φλὸξ, οὐκ ἀνάπτεται ἡ κάμινος, οὐ γίνεται χαλεπώτερον τὸ θηρίον, οὐ διατέμνεται καθάπερ ὑπὸ κυμάτων [m] ἀγρίων τῆς διανοίας τὸ καθαρόν.

Ἀρκεῖ οὖν ταῦτα, φησί; Οὐκ ἀρκεῖ ταῦτα· ἀλλὰ καὶ ἕτερα δεῖ προστιθέναι· εὐχὰς διηνεκεῖς, ἁγίων συνουσίαν, νηστείαν σύμμετρον, δίαιταν λιτὴν, ἀσχολίαν ἀναγκαίαν, πρὸ τῶν ἄλλων ἁπάντων, τὸν φόβον τοῦ Θεοῦ, τὴν μέλλουσαν κρίσιν, τὰς ἀφορήτους κολάσεις, τὰς ἐπαγγελίας τῶν ἀγαθῶν· διὰ τούτων ἁπάντων δύναται χαλινῶσαι τὴν λυτσῶσαν ἐπιθυμίαν, καὶ στῆσαι τὴν κυμαινομένην θάλασσαν.

Σερίνου.

Ὅταν γὰρ πολυχρονίῳ ἀσκήσει, καὶ μελέτῃ τῶν πνευματικῶν ἐν ἕξει γένηταί τις τῶν καλῶν, καὶ μάθῃ ποίᾳ [n] τῇ ἰδίᾳ μνήμῃ ἡμᾶς [o] ὀφείλει παρασκευάζειν, τότε ἰσχύσει τοῦ πολεμίου τὰς προσβολὰς, εὐκόλως ἀποκρούσασθαι. Οὐ χρὴ τοίνυν τῆς ἡμετέρας καρδίας τὸν μετεωρισμὸν, ἢ τῇ ἀνθρωπίνῃ φύσει, ἢ τῷ ταύτης κτίστῃ Θεῷ ἀπογράφειν, ἀλλὰ τῇ τῆς προαιρέσεως ῥαθυμίᾳ.

Ἰωσήππου ἐκ τῶν Μακκαβαίων.

Ζητοῦμεν τοίνυν εἰ αὐτοκράτωρ ἐστὶ τῶν παθῶν

[a] Coloss. III, 12. [b] Psal. VI, 3.

VARIÆ LECTIONES.

[h] ἐμπέσῃ. [i] ἐν βυθίᾳ. [k] πέμπεται. [l] ἐκβολήν. [m] πνευμάτων. [n] Leg. ποῖα [o] Dele ἡμᾶς.

NOTÆ.

(13') Sereni monachi, Hervet.

ὁ λογισμός. Διακρίνομεν δὲ, τί ποτέ ἐστιν λογισμὸς καὶ πάθος, καὶ πόσαι παθῶν ἰδέαι, καὶ εἰ πάντα ἐπικρατεῖ τούτων. Καὶ λογισμὸς μέν ἐστι νοῦς ὀρθοῦ λόγου προτιμῶν τὸν τῆς σοφίας βίον. Σοφία δέ ἐστι γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων, καὶ τῶν τούτων αἰτιῶν. Αὕτη δὲ τοίνυν ἐστὶν ἡ τοῦ νόμου παιδεία, δι' ἧς τὰ θεῖα σεμνῶς, καὶ τὰ ἀνθρώπινα συμφερόντως μανθάνομεν. Τῆς δὲ σοφίας ἰδέαι καθεστήκασι τέσσαρες· φρόνησις, δικαιοσύνη, σωφροσύνη, ἀνδρεία· κυριωτάτη δὲ πάντων ἐστὶν ἡ φρόνησις· ἐξῆς δὲ τῶν παθῶν ὁ λογισμὸς κρατεῖ. Παθῶν δὲ φύσεις εἰσὶ περιεκτικώτεραι δύο, ἡδονὴ καὶ πόνος. Τούτων δὲ ἑκάτεραι, καὶ περὶ τὴν ψυχὴν πέφυκε. Πολλαὶ δὲ καὶ περὶ τὴν ἡδονὴν χαραὶ, καὶ πρὸ μὲν τοῦ πόνου ἐστὶν φόβος· μετὰ δὲ τοῦ πόνου λύπη. Θυμὸς δὲ κοινὸν πάθος ἐστὶν ἡδονῆς, καὶ πόνου. Ἐν τῇ ἡδονῇ δέ ἐστι καὶ κακοήθης διάθεσις πολυτροπωτάτη πάντων οὖσα τῶν παθῶν· κατὰ μὲν τὴν ψυχὴν, ἀλαζονεία καὶ βλασφημία, καὶ φιλαργυρία, καὶ φιλοδοξία καὶ φιλονεικία, καὶ βασκανία, κατὰ δὲ τὸ σῶμα, παντοφαγία, καὶ λαιμαργία, καὶ μονοφαγία. Καθάπερ οὖν δύο τοῦ σώματος, καὶ τῆς ψυχῆς φυτῶν ὄντων ἡδονῆς τε, καὶ πόνου· πολλαὶ δὲ τούτων εἰσὶ τῶν φυτῶν παραφυάδες, ὧν ἑκάστην ὁ πανγεωργὸς λογισμὸς περικαθαίρων, καὶ ἀποκνίζων, καὶ περιπλέκων, καὶ ἐπάρδων, καὶ πάντα τρόπον μεταχέων, ἐξημεροῖ τὰς τῶν παθῶν ὕλας. Ὁ γὰρ λογισμὸς, τῶν μὲν ἀρετῶν ἐστιν ἡγεμὼν, τῶν δὲ παθῶν αὐτοκράτωρ.

Σωφροσύνη δὲ τοίνυν ἐστὶν ἐπικράτεια τῶν ἐπιθυμιῶν. Τῶν δὲ ἐπιθυμιῶν, αἱ μέν εἰσι ψυχικαὶ, αἱ δὲ σωματικαί· ἀμφοτέρων δὲ τούτων ἐπικρατεῖν φαίνεται ὁ λογισμός. Ἐπεὶ πόθεν κινοῦμεν ἐπὶ τὰς ἀπειρημένας τροφὰς, ἀποστρεφόμεθα τὰς ἐξ αὐτῶν ἡδονάς; Οὐχ ὅτι δύναται τῶν ὀρέξεων κρατεῖν ὁ λογισμός; ἐγὼ μὲν οἶμαι. Ἀνέχεται γὰρ τὰ τῶν ὀρέξεων πάθη ὑπὸ τοῦ σώφρονος λογισμοῦ, καὶ φιμοῦνται πάντα τοῦ σώματος κινήματα ὑπὸ τοῦ λογισμοῦ. Οὕτω γὰρ καὶ ὁ σώφρων Ἰωσὴφ ἐπαινεῖται· ὅτι νέος ὤν, καὶ ἀκμάζων πρὸς συνουσιασμὸν ἠκύρωσε τῷ λογισμῷ τὸν τῶν παθῶν οἶστρον. Οὐ μόνον δὲ τὴν ἐπὶ τῆς ἡδυπαθείας οἰστρηλασίαν ὁ λογισμὸς ἐπικρατεῖν φαίνεται, ἀλλὰ καὶ πάσης ἡδυπαθείας καὶ ἐπιθυμίας.

Λέγει δ' οὖν ὁ νόμος· « Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὐδὲ ὅσα τῷ πλησίον σού ἐστιν. » Ἐπεὶ, τίνα τρόπον, εἰ μονοφάγος τις ὢν τὸ ἦθος, καὶ γαστρίμαργος, καὶ μέθυσος παροδεύεται P; Δηλονότι κύριός ἐστι τῶν παθῶν ὁ λογισμός. Πάλιν δὲ, καὶ διὰ τῶν βιαιοτέρων παθῶν κρατεῖν ὁ λογισμὸς φαίνεται· φιλαργυρίας, καὶ κενοδοξίας, καὶ ἀλαζονείας καὶ βασκανίας· πάντα γὰρ ταῦτα [τὰ] κακοήθη πάθη ὁ σώφρων νοῦς ἀπωθεῖσθαι q διάζεται,

tioni. Dijudicemus autem, quidnam sit ratio, et animi perturbatio. Et quot sint species animi perturbationum, et an in eas omnes obtineat dominatum. Et ratio quidem mens est cum recta ratione vitam sapientiæ præferens. Sapientia autem est cognitio rerum divinarum et humanarum, et causarum earum. Ipsa autem est disciplina legis, per quam divina honeste ac præclare, et humana conducibiliter discimus. Sapientiæ autem hæ sunt quatuor virtutes, prudentia, justitia, temperantia, **215** magni et excelsi animi virtus. Omnium autem facile princeps est prudentia, ex qua animi perturbationibus dominatur ratio. Quæ autem animi perturbationes continent maxime, duo sunt: voluptas et labor: eorum autem utrumque innatum est in anima. Multa vero et circa voluptatem sunt gaudia, et laborem præcedit metus, eumdemque sequitur tristitia. Ira est communis affectio voluptati et dolori. In voluptate autem est etiam maligna affectio, omnium affectionum maxime varia et multiplex. In anima quidem arrogantia et maledicentia, et avaritia et gloriæ cupiditas, contentio et invidia. In corpore autem, ingluvies, liguritio, et solum omnia vorandi aviditas. Sicut ergo duæ sunt, corporis et animæ plantæ, et voluptas, et labor; ita etiam multæ earum plantarum sunt propagines, quarum unamquamque expurgans veluti agricola, omnium cultrix ratio, amputans, complicans, et irrigans, et omnibus modis curans, morum et affectionum materiam mitigat. Nam ratio dux quidam est virtutum; imperatrix autem affectionum, et animi perturbationum.

Temperantia autem est dominatio in cupiditates. Atque ex cupiditatibus quidem aliæ sunt animæ; aliæ vero corporis, et in ambas dominatum obtinere cernitur ratio. Undenam enim moti ad prohibita alimenta, aversamur quæ ex eis oriuntur voluptates? An non quia ratio dominari potest appetitionibus? Ego quidem certe existimo. Nam a temperante ratione inhibentur harum appetitionum affectiones, omnesque corporis motiones ab ea refrenantur. Sic enim temperans quoque Joseph laudatur, quod cum esset juvenis et florens ætate ac vigens ad coitum, ratione fregit œstrum harum animi perturbationum. Non solum autem cernitur ratio superare impulsionem ad libidinem, sed etiam omnem mollitiem seu voluptatis dulcem titillationem, et cupiditatem omnem aliam.

Lex quidem certe dicit: « Non concupisces uxorem proximi tui, neque quæ sunt proximi tui ullo modo [10]. » Si quis solus vescatur, et si moribus lurco, et ebriosus, eruditur. Est scilicet ratio domina affectuum et animi perturbationum. Rursus autem violentioribus quoque animi perturbationibus dominari cernitur ratio, avaritiæ, vanæ gloriæ, arrogantiæ et invidiæ: omnia enim hæc maligna vitia mens moderata et temperans cogit repellêre, sicut et iram, cui et ipsi

[10] Deut. v, 21.

VARIÆ LECTIONES.

P μεταπαιδεύεται. q ἀποθέσθαι.

dominatur. Moyses quidem certe justa indignatione commotus nihil fecit iracunde adversus Dathan et Abiron, sed ratione moderatus est animum. Potest enim, ut dixi, mens moderata **216** et temperans se fortiter gerere adversus affectiones ac perturbationes; et ex iis alias quidem transferre, alias autem frangere. Nam cur Jacob arguit Simonem et Levi, propterea quod Sichimitas repentine interfecerunt, dicens: « Maledicta est ira eorum [11]? » Nam quando Deus hominem condidit, mores ei inseruit, et in omnibus sacram ducem mentem per sensus collocavit, et ei legem dedit, secundum quam vitam instituens regnum habeat temperans, justum et forte.

A ὅπερ καὶ τὸν θυμὸν, καὶ τούτου δεσπόζει. Θυμούμενός γέ τοι Μωϋσῆς κατὰ Δαθὰν, καὶ Ἀβειρὼν, οὐ θυμοῦ τι κατ' αὐτῶν ἐποίησεν ἀλλὰ λογισμῷ, τὸν θυμὸν διήτησε. Δυνατὸς γὰρ, ὡς ἔφην, ὁ σώφρων νοῦς κατὰ πῶν παθῶν ἀριστεῦσαι, καὶ τὰ μὲν αὐτῶν μεταθεῖναι, τὰ δὲ ἀκυρῶσαι. Ἐπεὶ διατί Ἰακὼβ τοὺς περὶ Συμεὼν καὶ Λευῒ αἰτιᾶται διὰ τὸ τοὺς Σαμίτας [r] αἰφνιδὸν [s] ἀποκτεῖναι, λέγων· « Ἐπικατάρατος ὁ θυμὸς αὐτῶν; » Ὑπηνίκα γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον κατεσκεύασε, τοὺς τρόπους αὐτῷ, καὶ τὰ ἤθη περιεφύτευσε· καὶ δὴ ἐπὶ πάντων, τὸν ἱερὸν ἡγεμόνα νοῦν διὰ τῶν αἰσθητηρίων ἐνεθρόνισε· καὶ τούτῳ νόμον ἔδωκε, καθ' ὃν πολιτευόμενος, βασιλεύσει βασιλείαν σώφρονά τε, καὶ δικαίαν, καὶ ἀνδρείαν.

Quomodo ergo (dixerit quispiam), si affectionum et perturbationum domina est ratio, non dominatur oblivioni et ignorantiæ? Dicitur autem hoc valde ridicule. Non enim ut in suas affectiones dominatum obtineat ratio, est ei a natura ingeneratum; sed ut in affectiones corporis: ut, cupiditatem non potest quispiam exscindere; sed ne serviat cupiditati, præbere potest ratio. Iram non potest quispiam exscindere nostræ animæ; sed fieri potest ut ratione medeatur iræ. Malignitatem nostram non potest quispiam exscindere; sed, ne malignitate inflectatur, potest ratio dare auxilium. Non enim affectuum et perturbationum eradicatrix est ratio, sed adversaria. Potest enim mens temperans vincere affectionum et perturbationum necessitates, et œstrorum exstinguere ardores, et corporum exsuperantes prosternere dolores, et repellere omnes affectuum dominationes. Sed dixerit fortasse quispiam: Non omnes superant affectus et perturbationes. Quoniam nec omnes prudentem habent rationem; sed qui ex toto corde curam gerunt Providentiæ, ii soli possunt superare carnis affectiones.

B Πῶς οὖν, εἴποι τις, εἰ τῶν παθῶν δεσπότης ἐστὶν ὁ λογισμὸς, λήθης καὶ ἀνοίας οὐ δεσπόζει; Καὶ ἔστι κομιδῇ γελοῖος ὁ λόγος. Οὐ γὰρ τῶν ἑαυτοῦ παθῶν κρατεῖν ὁ λογισμὸς φαίνεται [t]· ἀλλὰ τῶν σωματικῶν, οἷον ἐπιθυμίαν, τις οὐ δύναται ἐκκόψαι ἡμῶν· ἀλλὰ μὴ δουλωθῆναι τῇ ἐπιθυμίᾳ δύναται ὁ λογισμὸς παρασχέσθαι· θυμόν τις οὐ δύναται ἐκκόψαι τῆς ψυχῆς· ἀλλὰ τῷ θυμῷ δυνατὸν τῷ λογισμῷ βοηθῆσαι. Κακοήθειάν τις ἡμῶν οὐ δύναται ἐκκόψαι· ἀλλὰ εἰς τὸ μὴ καμφθῆναι τῇ κακοηθείᾳ δύναιτ' ἂν ὁ λογισμὸς συμμαχῆσαι· οὐ γὰρ ἐκριζωτής ἐστι τῶν παθῶν ὁ λογισμὸς, ἀλλ' ἀνταγωνιστής. Δυνατὸς γάρ ἐστιν ὁ σώφρων νοῦς νικῆσαι τὰς τῶν παθῶν ἀνάγκας, καὶ σβέσαι τὰς τῶν οἴστρων φλεγμονὰς, καὶ τὰς τῶν σωμάτων ἀλγηδόνας καθ' ὑπερβολὴν οὔσας C κατα παλαῖσαι, καὶ ἀποπτῦσαι πάσας τὰς τῶν παθῶν ἐπικρατείας. Ἀλλ' ἴσως εἴποι τις· Οὐ πάντες περικρατοῦσι τῶν παθῶν. Ὅτι οὐδὲ πάντες φρόνιμον ἔχουσι τὸν λογισμὸν, ἀλλ' ὅσοι τῆς εὐσεβείας προνοοῦσιν ἐξ ὅλης τῆς καρδίας, οὗτοι μόνοι δύνανται κρατεῖν τῶν τῆς σαρκὸς παθῶν.

Virtutes in nobis naturales sunt, et qualiter in omnibus hominibus, inæqualitas autem nascitur ex eo quod quæ naturæ sunt, non æqualiter excolimus et elaboramus; nam si omnes pari studio, ad quod et nati sumus, quæ ex natura sunt operaremur, una utique in omnibus, uti natura, sic et virtus conspiceretur, neque plus, neque minus suscipiens. Si naturalia nobis, inquit, non ex exercitatione, sed ex creatione proveniunt, virtusque naturalis est, quomodo exercitatione et labore virtutes comparamus! Exercitatio, et qui eam sequuntur, labores, ad depellendam duntaxat fallaciam quæ per sensus est animæ admista, ab iis qui studio virtutis tenentur excogitati sunt, non autem **217** ad inducendas extrinsecus recenter virtutes; insunt enim nobis ex creatione, ut dictum est; unde simul atque perfecte dirimitur fallacia, continuo virtutis,

Maximi ex disputatione cum Pyrrho.

Μαξίμου ἐκ τοῦ πρὸς Πύρρον.

Αἱ μὲν γὰρ ἀρεταὶ, φησὶν, ἐν ἡμῖν φυσικαὶ ὑπάρχουσι, καὶ ἐπίσης ἐν πᾶσιν ἀνθρώποις· ἡ δὲ ἀνισότης, ἐκ τοῦ μὴ ἐπίσης ἐνεργεῖν τὰ τῆς φύσεως γίνεται, ὡς εἴπερ πάντες ἴσως ἐφ' ᾧ καὶ γεγόναμεν, ἐνεργοῦμεν τὰ φυσικὰ, μία ἄρα ἐνεδείκνυτο ἐν πᾶσιν, ὥσπερ φύσις, οὕτω καὶ ἀρετὴ τὸ μᾶλλον, καὶ ἧττον D οὐκ ἐπιδεχομένη. Καὶ εἰ οὐκ ἐξ ἀσκήσεως, φησὶν, ἡ ἀρετὴ, ἀλλ' ἐκ δημιουργίας, πῶς καὶ ἀσκήσει, καὶ πόνῳ τὰς ἀρετὰς κτώμεθα; Ἀλλ' ἡ ἄσκησις, καὶ οἱ ταύτῃ ἐπόμενοι πόνοι, πρὸς τὸ μόνον διαχωρίσαι τὴν ἐμφυρεῖσαν δι' αἰσθήσεως ἀπάτην τῇ ψυχῇ ἐπενοήθησαν τοῖς φιλαρέτοις, οὐ πρὸς τὸ ἔξωθεν προσφάτως ἐπεισάγειν [u] τὰς ἀρετάς· ἔγκεινται γὰρ ἡμῖν ἐκ δημιουργίας, ὡς εἴρηται. Ὅθεν καὶ ἅμα τελείως διακριθῇ ἡ ἀπάτη, ἅμα καὶ τὴν τῆς ψυχῆς καὶ κατὰ φύσιν ἀρετῆς λαμπρότητα ἐπιδείκνυται ἡ ψυχή. Εἰ γὰρ ὁ μὴ ἄφρων, φρόνιμος· πάντως, καὶ ὁ

[11] Genes. XLIX, 7.

VARIÆ LECTIONES.

[r] Σικιμήτας. [s] αἰφνίδιον. [t] πέφυκε. [u] εἰσαγαγεῖν.

μὴ δειλὸς, ἢ θρασὺς, ἀνδρεῖος, καὶ ὁ μὴ ἀκόλαστος, σώφρων καὶ ὁ μὴ ἀδικῶν δίκαιος. Ἄρα τῇ ἀφαιρέσει τῶν παρὰ φύσιν, καὶ μόνον διαφέρεσθαι εἴωθεν [x], ὥσπερ καὶ τῇ τοῦ ἰοῦ ἀποβολῇ, ἡ τοῦ σιδήρου κατὰ φύσιν αὐγὴ, καὶ λαμπρότης.

A quæ ex natura est, splendorem anima profert. Si enim, qui non est imprudens, prudens est, et qui non timidus vel audax, fortis est, et qui non est impudicus pudicus est, et qui non facit injuriam, justus: igitur usu venit ut, ablatis, quæ præter naturam sunt, quæ secundum naturam sunt vel sola appareant, sicuti rubigine abrasa et extrita ferri fulgor et splendor, qui natura inerat, apparet.

Ἀντίκεινται μὲν [y], τῇ μὲν φρονήσει, ἡ πονηρία, καὶ ἡ εὐήθεια· τῇ δὲ δικαιοσύνῃ ἡ πλεονεξία καὶ ἡ μειονεξία· τῇ δὲ σωφροσύνῃ πορνεία, καὶ ἠλιθιότης· τῇ δὲ ἀνδρείᾳ ἡ θρασύτης καὶ ἡ δειλία· καὶ οὔτε τῇ σαρκὶ καταρχὰς [z] συνεκτίσθη ἡδονὴ καὶ ὀδύνη, οὔτε τῇ ψυχῇ λήθη καὶ ἄγνοια· οὔτε τῷ νῷ τὸ τυποῦσθαι καὶ μετεντυποῦσθαι τοῖς εἴδεσι τῶν γεγονότων· τούτων γὰρ ἡ παράβασις ἐφεῦρε τὴν γένεσιν. Ὁ τοίνυν τῆς σαρκὸς ἐξελὼν τὴν ἡδονὴν, καὶ τὴν ὀδύνην τὴν πρακτικὴν, κατώρθωσεν ἀρετήν. Ὁ δὲ τῆς ψυχῆς ἐξαφανίσας τὴν λήθην, καὶ τὴν ἄγνοιαν, τὴν ψυχικὴν [a] διήνυσεν εὐπρεπῶς θεωρίαν. Ὁ δὲ τὸν νοῦν τῶν πολλῶν ἀπολύσας τύπων, θεολογικὴν ἐκτήσατο μυσταγωγίαν, μόνῳ τῷ κατὰ φύσιν, καὶ ὄντως φωτὶ τῆς θεότητος καταλαμπόμενος, καὶ τὴν φύσιν [b] πρὸς ἑαυτὴν ἀποκατέστησεν ἄρτον. Σαρκὸς γὰρ καὶ ψυχῆς καὶ νοῦ ταῦτα τυγχάνει πρῶτά τε καὶ καθολικώτερα πάθη· ὁ δὲ τὰ πάντα ἐν σοφίᾳ ποιήσας, ἀξιώσοι ἡμᾶς μετασχεῖν τῆς αὐτοῦ βασιλείας, καὶ τυχεῖν τῶν αἰωνίων αὐτοῦ ἀγαθῶν· αὐτῷ γὰρ πρέπει τιμὴ καὶ κράτος νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας.

Opponuntur prudentiæ quidem malitia et simplicitas, justitiæ major et minor habendi cupiditas. Temperantiæ fornicatio et stupiditas; fortitudini audacia et timiditas; neque carni a primo ortu indita sunt voluptas et dolor; neque animæ oblivio et ignorantia; neque menti ut variarum rerum imaginibus informetur; horum enim omnium transgressio causa est. Qui igitur ex carne voluptatem et dolorem eximit, ille virtutem in actione positam probe exercuit. Qui vero ex animo oblivionem et ignorantiam exterminat, is pulchre ea quæ sunt naturalis contemplationis præstitit. At qui mentem a variis formis et speciebus liberavit, is ad theologicæ mystagogiæ possessionem ascendit, jamque solo illo, quod secundum naturam est, et vero lumine divinitatis collustratur, quippe qui naturam ad seipsam, et quasi ad prima incunabula reduxerit. Istæ enim sunt carnis animæ et mentis primæ et generaliores affectiones. Porro is qui omnia in sapientia condidit, dignetur nos participes reddere regni sui, ejusque sempiterna bona consequi; ipsi honor et potentia nunc et in sæculum

B

C

ΕΡΩΤΗΣΙΣ Θ΄

Πόσοι τρόποι ἐγκαταλείψεώς εἰσιν, εἴτε εἰς ὀλιψεις, ἢ καὶ εἰς ἀσθενείας; ἢ καὶ εἰς ἁμαρτίας· καὶ πῶς γνώσομεν τὴν ἐκ τοῦ Θεοῦ παιδείαν, ἢ τὸν ἐκ διαβόλου πειρασμόν;

ΑΠΟΚΡΙΣΙΣ.

Πολλοὶ μὲν καὶ διάφοροί εἰσιν ἐγκαταλείψεως τρόποι. Κατὰ δύο δὲ σκοποὺς τοῦ Θεοῦ, πᾶσαι αἱ ἐγκαταλείψεις γίνονται· ἢ πρὸς ἐπιστροφὴν κατὰ [c] σωφρονισμὸν, ὡς πατὴρ πρὸς υἱὸν, ἢ κατὰ ἀποστροφὴν, ὡς βασιλεὺς πρὸς ἐχθρόν· οἷα ἦν τοῦ Ἰούδα ὑπὸ Χριστοῦ ὕστερον ἐγκατάλειψις. Ἐγκατελείφθη Λάζαρος, καὶ ὁ παραλυτικὸς εἰς ἄφεσιν ἁμαρτιῶν. Φησὶ γάρ· « Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε. » Ἐπαιδεύθη ὁ Παῦλος δι' ὄγκον κατορθωμάτων, ἵνα μὴ ὑπεραίρωμεν [d], φησί. Ἐπαιδεύθη Ἰὼβ, ἵνα δικαιότερος γένηται, ὡς φησιν ὁ Θεὸς πρὸς αὐτόν· « Μὴ ἀποποιοῦ μου τὸ κρῖμα, μὴ δὲ οἷου [e] με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς [f] δίκαιος. » Παρεδόθησαν καὶ οἱ προφῆται εἰς αἰχμαλωσίαν πρὸς τύπον, καὶ ὠφέλειαν λαοῦ.

Χρὴ τοίνυν τὸν ἐγκαταλιμπανόμενον ἐρευνᾷν εἰς ἑαυτὸν τὴν αἰτίαν τῆς ἐγκαταλείψεως, καὶ διορθοῦσθαι ταύτην, δι' ἣν ἢ ὑπὸ ἐχθρῶν καταδυναστεύε-

QUÆSTIO IX.

Quot sunt modi derelictionis seu in afflictionibus, seu in infirmitatibus, seu in peccatis? et quemadmodum cognoscemus quæ a Deo proficiscitur, disciplinam ac castigationem, et quæ a diabolo procedit, tentationem?

RESPONSIO.

Sunt quidem multi et diversi modi derelictionis. Sunt autem duo scopi Dei, in quibus quis derelinquitur · nempe aut ad conversionem et castigationem, ut pater erga filium; aut ex aversione, ut rex adversus inimicum : cujusmodi fuit Judæ a Christo postea derelictio. Derelictus fuit Lazarus, et paralyticus ad remissionem peccatorum. Dicit enim : **218** Ecce sanus factus es, noli amplius peccare [12]. » Castigatus fuit Paulus, propter rerum gestarum magnitudinem : « ne nimis extollatur [13], » inquit. Castigatus fuit Job, ut fieret justior, sicut Deus ei dicit : « Putas autem, me aliter tibi respondisse, quam ut appareas justus [14]. » Traditi sunt etiam prophetæ in captivitatem ad exemplum et utilitatem populi.

D

Oportet igitur eum qui derelinquitur in se scrutari causam derelictionis, et ipsam corrigere, per quam aut inimici in eum obtinent dominatum,

[12] Joan. v, 14. [13] II Cor. xii, 7. [14] Job xl, 2.

VARIÆ LECTIONES.

[x] διαφαίνεσθαι εἴωθεν. [y] ἀντίκεινται δέ, etc. [z] κατ' ἀρχάς. [a] φυσικήν. [b] φυτικήν. [c] καί. [d] ὑπεραίρωμαι. [e] οἶσι. [f] φανῇς.

aut amici ei insidiantur, aut ipse a minoribus et obscurioribus nihili penditur et contemnitur; aut traditur in passiones ignominiæ, et afflictiones et infirmitates, et [*forte*, per] justam Dei condemnationem. Sæpe enim aut ex superbia et gloriosa jactantia, aut ex eo quod alios judicemus, aut acceptæ injuriæ recordemur, aut quia nos ipsos non reprehendimus et condemnamus, aut quoniam ex præcedentibus peccatis tradimur in passiones animales et corporales. « Quod si nosmetipsos dijudicaremus, non utique judicaremur. Dum judicamur autem, a Domino corripimur, ne cum hoc mundo damnemur [16]. » Sæpe enim eum qui peccat, et non ducitur pœnitentia, Deus injicit in tentationem et afflictiones, et per tentationes venit ad agnitionem; quomodo accidit Nabuchodonosor et Manasse. « In camo, inquit, et freno maxillas eorum constringe, qui non approximant ad te [16]. » Et Dei quidem castigatio et tentatio, accedentes ad id quod est homini conducibile, bonam spem nunquam exscindunt ex anima, cujusmodi erat Job, qui dicebat Deo : « Sustinebo, donec rursus fiam; et constituas mihi tempus, in quo memoriam mei facias [17]. » Et rursus : « Beatus autem homo quem arguit Dominus; monitionem vero omnipotentis ne renuas Ipse enim dolere facit, et rursus restituit; percussit, et manus ejus sanaverunt : sexies de necessitatibus te eruet, et in septimo non te tanget malum. [18]. »

Quæ autem a diabolo (Deo permittente) advenit tentatio, animi ægritudine, et ira, et desperatione replet animam. Sed et ex propria discernendi egestate et arrogantia incidimus in calamitates, et tentationes, et imbecillitates; quod accidit iis qui cum reipsa videant brumale tempus, navem nihilominus educunt e portu, et in multa pericula tentationesque manifestas se conjiciunt.

Ex Exodo.

« Ibi posuit ei (Moysi) justificationes et judicia; et ibi eum tentavit, et dixit : Si **219** auditu audieris vocem Domini Dei tui, et quæ placent coram illo feceris, et auribus perceperis mandata ejus, et custodieris omnes justificationes ejus; omnem infirmitatem, quam intuli Ægyptiis, non inducam super te. Ego enim sum Dominus Deus tuus, sanans te [19]. »

Ex Deuteronomio.

« Et recordaberis omnem viam qua duxit te Dominus Deus tuus in deserto, ut affligeret te, et tentaret te, et cognita fierent quæ in corde tuo sunt, si observabis mandata ejus, an non. Et afflixit te, et esurire te fecit. Et cognosces corde tuo, quia, sicut si quis homo erudiat filium suum,

τται, ἢ ὑπὸ φίλων ἐπιβουλεύεται, ἢ ὑπὸ ἐλαττόνων, καὶ ἀγενεστέρων ἐξουθενεῖται, καὶ ἀτιμάζεται· ἢ εἰς πάθη ἀτιμίας, καὶ θλίψεις καὶ ἀῤῥωστίας παραδίδοται κατὰ κρῖμα δίκαιον Θεοῦ. Πολλάκις γὰρ, ἢ ἐξ ὑπερηφανείας, καὶ μεγαλαυχίας, ἢ ἐκ τοῦ κρίνειν ἄλλους, ἢ μνησικακεῖν, ἢ ἐκ τοῦ μὴ μέμφεσθαι ἑαυτοὺς καὶ κατακρίνειν, ἢ ἐκ προλαβόντων ἁμαρτημάτων παραδιδόμενα[s] εἰς ψυχικὰ καὶ σωματικὰ πάθη. « Εἰ γὰρ ἑαυτοὺς, φησὶν, ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν· πολλάκις γὰρ τὸν ἁμαρτάνοντα, καὶ μὴ μετανοοῦντα, περιβάλλει ὁ Θεὸς εἰς πειρασμοὺς, καὶ θλίψεις, καὶ διὰ τῶν πειρασμῶν ἔρχεται εἰς ἐπίγνωσιν, ὥσπερ ἔπαθεν ὁ Ναβουχοδονόσορ καὶ ὁ Μανασσῆς. « Ἐν κημῷ, φησὶ, καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις τῶν μὴ ἐγγιζόντων πρὸς σέ. » Καὶ ἡ μὲν ἐκ Θεοῦ παιδεία, καὶ ὁ πειρασμὸς, πρὸς τὸ συμφέρον ἐπερχόμενοι τῷ ἀνθρώπῳ, οὐδέποτε τὴν ἀγαθὴν ἐλπίδα ἀποκόπτουσιν ἐκ τῆς ψυχῆς, οἷος ἦν ὁ Ἰὼβ, λέγων τῷ Θεῷ· « Ὑπομένω[h] σε, ἕως ἂν πάλιν γένωμαι καὶ τάξεις μοι χρόνον, ἐν ᾧ μνείαν ποιήσει μου. » Καὶ πάλιν· « Μακάριος ἄνθρωπος, ὃν ἤλεγξεν ὁ Κύριος, νουθέτημα δὲ παντοκράτορος μὴ ἀπαναίνου. Αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησιν· ἔπαισε, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο· ἐξάκις ἐξ ἀναγκῶν ἐξελεῖταί σε, ἐν δὲ τῷ ἑβδόμῳ οὐ μὴ ἅψηταί σου κακόν. »

Ὁ δὲ ἐκ τοῦ διαβόλου, κατὰ συγχώρησιν Θεοῦ, ἐπερχόμενος πειρασμὸς ἀθυμίας, καὶ ὀργῆς, καὶ ἀνελπιστίας πληροῖ τὴν ψυχήν. Οὐ μὴν δὲ, ἀλλὰ καὶ ἐξ ἰδίας πολλάκις ἀδιακρισίας, καὶ ἀῤῥαθείας, συμφοραῖς καὶ πειρασμοῖς, καὶ ἀσθενείαις περιπίπτομεν, οἷον πάσχουσιν οἱ θεωροῦντες χειμερινὴν ἀέρος τροπὴν, καὶ τοῦ λιμένος τὴν ναῦν ὑπεξάγοντες, καὶ ἄλλοις κινδύνοις καὶ πειρασμοῖς προδήλως ἑαυτοὺς ὑπορῥίπτοντες[i].

Τῆς Ἐξόδου.

« Ἐκεῖ ἔθετο ὁ Θεὸς τῷ Μωϋσεῖ δικαιώματα, καὶ κρίσεις, καὶ ἐκεῖ αὐτὸν ἐπείραζε, καὶ εἶπεν· Ἐὰν ἀκοῇ ἀκούσῃς τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιήσῃς, καὶ φυλάξῃς πάντα δικαιώματα αὐτοῦ, πᾶσαν νόσον ἣν ἐπήγαγον τοῖς Αἰγυπτίοις, οὐκ ἐπάξω ἐπὶ σέ. Ἐγώ εἰμι Κύριος, ὁ ἰώμενός σε. »

Ἐκ τοῦ Δευτερονομίου.

« Καὶ μνησθήσῃ πᾶσαν τὴν ὁδὸν, ἣν ἤγαγέ σε Κύριος ὁ Θεός σου ἐν τῇ ἐρήμῳ, ὅπως ἂν κακώσῃ σε, καὶ διαγνωρισθῇ τὰ ἐν τῇ καρδίᾳ σου, εἰ φυλάξῃ τὰς ἐντολὰς αὐτοῦ, ἢ οὔ. Καὶ ἐκάκωσέ σε, καὶ ἐλιμαγχόνησέ σε, καὶ γνώσει τὴν καρδίαν σου[k], ὅτι ὡς εἴ τις ἄνθρωπος παιδεύσῃ τὸν υἱὸν αὐτοῦ, οὕτως

[16] I Cor. xi, 31, 32. [16] Psal. xxxi, 9. [17] Job xiv, 13. [18] Job v, 17. [19] Exod. xv, 25, 26.

VARIÆ LECTIONES.

[s] παραδιδόμεθα. [h] ὑπομενῶ. [i] περιπίπτουσι. [k] καὶ γνώσῃ τῇ καρδίᾳ σου, ut est in Bibliis Græcis.

καὶ Κύριος ὁ Θεὸς παιδεύσει σε, καὶ εὖ σε ποιήσει ἐπ' ἐσχάτων σου. »

A ita Dominus Deus tuus erudiet te; et bene tibi faciet in novissimis diebus tuis [14] (14). »

Τῶν Κριτῶν.

Καὶ ἀφῆκε Κύριος τὰ ἔθνη ταῦτα τοῦ μὴ ἐξᾶραι αὐτὰ τὸ τάχος, καὶ οὐ παρέδωκεν αὐτὰ ἐν χειρὶ Ἰησοῦ, ὥστε πειράσαι ἐν αὐτοῖς τὸν Ἰσραὴλ, εἰ φυλάξονται τὴν ὁδὸν Κυρίου, πορεύεσθαι ἐν αὐτῇ, ὃν τρόπον ἐφύλαξαν οἱ πατέρες αὐτῶν, ἢ οὔ.

Ex libro Judicum.

« Et dimisit Dominus gentes has, ut non auferret illas celeriter; et non tradidit eas in manu Jesu; ad tentandum in eis Israel, si observarent viam Domini, ire in ea, quemadmodum custodierunt patres eorum, an non [21]. »

Τοῦ Δαβίδ.

« Δοκίμασόν με, καὶ πείρασόν με. » Καί· « Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος. » Καί· « Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς, Κύριε. » Καί· « Δράξασθε παιδείαν, μή ποτε ὀργισθῇ Κύριος. »

Ex Davide.

« Proba me, et tenta me [22]. » Et : « Castigans castigavit me Dominus [23]. » Et : « Beatus homo quem tu erudieris, Domine [24]. » Et : « Apprehendite disciplinam, nequando irascatur Dominus [25]. »

Τοῦ Σολομῶντος.

« Ὀλίγα παιδευθέντες οἱ ἅγιοι, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν. » Καί, « Διὸ τοὺς παραπίπτοντας, κατ' ὀλίγον ἐλέγχεις, καὶ ἐν οἷς ἁμαρτάνουσιν ὑπομιμνήσκων νουθετεῖς, ἵνα ἀπαλλαγέντες τῆς κακίας πιστεύσωσι ἐπὶ σὲ, Κύριε. »

B *Ex Salomone.*

« In paucis vexati sancti, in multis bene disponentur; quoniam Deus tentavit eos, et invenit eos dignos se; tanquam aurum in fornace probavit illos, quasi holocausti hostiam accepit eos, et in tempore respectus illorum fulgebunt [26]. » Et : « Ideo hos, qui exerrant, partibus corripis, et de quibus peccant, admonens alloqueris, ut relicta malitia, credant in te, Domine [27]. »

Ἰουδίθ.

« Εὐχαριστήσωμεν Κυρίῳ τῷ Θεῷ ἡμῶν, ὃς πειράζει ἡμᾶς, καθάπερ τοὺς πατέρας ἡμῶν. Μνήσθητε, (13) ὅσα ἐπείρασε τὸν Ἀβραὰμ, καὶ τὸν Ἰσαὰκ, καὶ τὸν Ἰακώβ· καὶ ἐπύρωσεν εἰς ἑτασμὸν τὰς καρδίας αὐτῶν. Ὅτι εἰς νουθεσίαν μαστιγοῖ Κύριος πάντας τοὺς ἐγγίζοντας αὐτῷ. »

Ex libro Judith.

« Gratias agamus Domino Deo nostro, qui tentat nos, sicut et patres nostros. Recordamini quæcunque fecit cum Abraham, Isaac et Jacob. Et examinavit in examen cordis eorum. Quoniam ad monitionem flagellat Dominus omnes appropinquantes sibi [28]. »

C

Σειράχ.

« Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι, καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται ὁ χρυσὸς, καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Πίστευσον αὐτῷ, καὶ ἀντιλήψεταί σου· καὶ ἕως καιροῦ ἀνθέξεται μακροθύμως, καὶ ὕστερον ἀναδώσει αὐτῷ εὐφροσύνην, καὶ χείλη πιστῶν ἐκδιηγήσονται σύνεσιν αὐτοῦ. » Καί· « Ἐν ἀῤῥωστήματί σου, μὴ παράβλεπε, ἀλλ' εὔξαι Κυρίῳ, καὶ αὐτὸς ἰάσεταί σε. Ἀπόστησον πλημμέλειαν, καὶ εὔθυνον χεῖρας, καὶ ἀπὸ πάσης ἁμαρτίας καθάρισον καρδίαν. »

Ex libro Sirach.

« Omne quod tibi applicitum fuerit, accipe; et in humilitate tua patientiam habe : **220** quoniam in igne probatur aurum, homines vero receptibiles in camino humiliationis. Crede ei, et recuperabit te [29]. » Et : « Usque in tempus sustinebit patiens, et postea reddetur ei jucunditas : labia fidelium enarrabunt sensum ejus [30]. » Et : « In infirmitate tua non despicias, sed ora Dominum, et ipse curabit te. Amove delictum, et dirige manus, et ab omni peccato munda cor [31]. »

Ὡσηέ.

« Ἵνα τί παρεσιωπήσατε ἀσέβειαν, καὶ τὸν καρπὸν αὐτῆς ἐτρυγήσατε; »

D *Ex Osee.*

« Ut quid impietatem dissimulastis, fructumque ejus vindemiastis [32]? »

Μιχαίου.

« Ὀργὴν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ, ἕως τοῦ δικαιῶσαι αὐτὸν τὴν δίκην μου. Καὶ ποιήσει τὸ κρῖμά μου, καὶ ἐξάξει με ὡς φῶς, καὶ ὄψεται τὴν δικαιοσύνην αὐτοῦ, »

Micheæ.

« Iram Domini sustinebo, quia peccavi ei; donec ipse justificet causam meam. Et faciet judicium meum, et educet me in lucem, et videbit [LXX videbô] justitiam ejus [33]. »

[20] Deut. VIII, 2, 5. [21] Judic. II, 22, 23. [22] Psal. XXV, 2. [23] Psal. CXVII, 18. [24] Psal. XCIII, 12. [25] Psal. II, 12. [26] Sap. III, 5, 6. [27] Sap. XII, 2. [28] Judith. VIII, 22 seqq. [29] Eccli. II, 4 6. [30] Eccli. I, 29, 30. [31] Eccli. XXXVIII, 9, 10. [32] Osee X, 13. [33] Mich. VII, 9.

NOTÆ.

(14) Testimonium hoc mutilate profertur. Vid. locum citatum Deuteronomii.
(14*) Locus iste truncate profertur. Vide ipsa Biblia.

Nahum.

« Suavis Dominus exspectantibus eum, in die tribulationis, et cognoscens timentes se [34]. »

Isaiæ.

« Gemam, et consolabor meipsum : propter hoc impletus est lumbus meus dissolutione; et dolores apprehenderunt me, sicut parturientem : injuste egi non audiendo; studiose egi, ne viderem. Cor meum errat, iniquitas me demergit : anima mea incubuit in timorem [35]. Et (15) : « Quando ira furoris mei fuerit, dicit Deus, rursum sanabo. Tempore modico reliqui te; et cum misericordia magna miserebor tui. In furore parvo averti faciem meam a te, et in misericordia sempiterna miserebor tui; dixit, qui eruit te Dominus. Non in æternum ulciscar in vos, dicit Dominus; neque semper irascar vobis [36]. Spiritus enim a me egredietur, et flatum omnem ego feci. Propter peccatum ad modicum quid contristavi eum, et percussi eum, et averti faciem meam ab eo. Et contristatus est, et ambulavit tristis in viis suis. Vias ejus vidi; et sanavi eum, et consolatus sum illum, et dedi ei consolationem veram [37]. »

Jeremiæ.

« Filii, patienter sustinete supervenientem vobis a Deo iram; persecutus est te inimicus tuus, et videbis ipsius perditionem cito; et super cervices eorum ascendes [38]. »—« Confidite, filii, et clamate ad Deum : erit enim vestri memoria ab eo qui induxit. Sicut enim fuit sensus vester ut erraretis a Deo, decies tantum conversi, quæretis eum. Qui enim induxit **221** vobis mala, inducet vobis sempiternam jucunditatem cum salute vestra [39]. »

Ex Evangelio.

Dixit Dominus : « Quia plorabitis et flebitis vos, mundus autem gaudebit; vos autem contristabimini; sed tristitia vestra vertetur in gaudium [40]. » Et : « Trademini a parentibus et fratribus, et cognatis, et amicis, et morte afficient ex vobis. Et eritis odio omnibus, propter nomen meum. In patientia vestra possidebitis animas vestras [41]. »

Jacobi fratris Domini.

« Beatus vir qui suffert tentationem : quoniam, cum probatus fuerit, accipiet coronam vitæ, quam repromisit Deus diligentibus se [42]. »

Petri apostoli.

« Hæc est enim gratia, si propter Dei conscientiam sustinet quis tristitias, patiens injuste. Quæ enim est gloria, si peccantes et colaphizati sufferis ? Si exprobramini in nomine Christi, beati eritis : quoniam, quod est honoris, gloriæ et vir-

Naoúμ.

« Χριστὸς Κύριος τοῖς ὑπομένουσιν αὐτὸν ἐν ἡμέρᾳ θλίψεως, καὶ γινώσκων τοὺς εὐλαβουμένους αὐτόν. »

Ἡσαΐου.

« Στεναξω, καὶ παρακαλέσω ἐμαυτόν · διότι ἀνεπλήσθη ἡ ὀσφύς μου ἐκλύσεως καὶ ὠδῖνες ἔλαβόν με ὡς τὴν τεκοῦσαν· ἠδίκησα τοῦ μὴ ἀκοῦσαι, ἐσπούδασα τοῦ μὴ βλέπειν. Ἡ καρδία μου πλανᾶται, ἡ ἀνομία με βαπτίζει· ἡ ψυχή μου ἐφέστηκεν εἰς φόβον. Καὶ ὅταν ἡ ὀργὴ τοῦ θυμοῦ μου γένηται, φησὶν ὁ Θεὸς, πάλιν ἰάσομαι. Καὶ χρόνον μικρὸν ἐγκατέλιπόν σε καὶ κατὰ ἐλέους μεγάλου ἐλεήσω σε. Ἐν θυμῷ μικρῷ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπὸ σοῦ, καὶ ἐν ἐλέει αἰωνίῳ ἠλέησά σε, εἶπεν, ὁ ῥυόμενός σε Κύριος. Καὶ οὐκ εἰς τὸν αἰῶνα ἐκδικήσω ὑμᾶς, λέγει Κύριος, οὐδὲ διὰ παντὸς ὀργισθήσομαι ὑμῖν. Πνεῦμα γὰρ ἐξελεύσεται, καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα. Δι' ἁμαρτίαν βραχύ τι ἐλύπησα αὐτὸν, καὶ ἐπάταξα αὐτὸν, καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτοῦ. Καὶ ἐλυπήθη, καὶ ἐπορεύθη στυγνὸς ἐν ταῖς ὁδοῖς αὐτοῦ· καὶ ἑώρακα τὰς ὁδοὺς αὐτοῦ, καὶ ἰασάμην αὐτὸν, καὶ παρεκάλεσα αὐτὸν, καὶ ἔδωκα αὐτῷ παράκλησιν ἀληθινήν. »

Ἱερεμίου.

« Τέκνα μακροθυμήσατε τὴν παρὰ τοῦ Θεοῦ ἐπελθοῦσαν ὑμῖν ὀργήν· κατεδίωξε γάρ σε ὁ ἐχθρός σου, καὶ ὄψει αὐτοῦ τὴν ἀπώλειαν ἐν τάχει, καὶ ἐπὶ τραχήλους αὐτῶν ἐπιβήσῃ · θαρσεῖτε, τέκνα, καὶ βοήσατε πρὸς τὸν Θεόν · ἔσται γὰρ ὑμῶν ὑπὸ τοῦ ἐπαγαγόντος μνεία· ὡς γὰρ ἐγένετο ἡ διάνοια ὑμῶν εἰς τὸ πλανηθῆναι ὑμᾶς ἀπὸ τοῦ Θεοῦ, δεκαπλασιάσατε ἐπιστραφέντες ζητῆσαι αὐτόν. Ὁ γὰρ ἐπαγαγὼν ὑμῖν τὰ κακὰ, ἐπάξει ὑμῖν τὴν αἰώνιον εὐφροσύνην μετὰ τῆς σωτηρίας. »

Ἐκ τοῦ Εὐαγγελίου.

Εἶπεν ὁ Κύριος, ὅτι « Κλαύσετε, καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται, ὑμεῖς δὲ λυπηθήσεσθε· ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. » Καὶ, « Παραδοθήσεσθε ὑπὸ γονέων, καὶ ἀδελφῶν, καὶ συγγενῶν, καὶ φίλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων, διὰ τὸ ὄνομά μου. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσεσθε τὰς ψυχὰς ὑμῶν. »

Ἰακώβου τοῦ ἀδελφοθέου.

« Μακάριος ἀνὴρ, ὃς ὑπομένει πειρασμὸν, ὅτι δόκιμος γενόμενος, λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο Κύριος τοῖς ἀγαπῶσιν αὐτόν. »

Πέτρου τοῦ ἀποστόλου.

« Τοῦτο γάρ ἐστι χάρις, εἰ διὰ συνείδησιν Θεοῦ ὑποφέρει τις λύπας, πάσχων ἀδίκως. Ποῖον κλέος, εἰ ἁμαρτάνοντες, καὶ κολαφιζόμενοι, ὑπομενεῖτε ; Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοι · ὅτι τὸ τῆς δόξης, καὶ τὸ τοῦ Θεοῦ Πνεῦμα ἐφ' ὑμᾶς ἀναπέ-

[34] Nahum, I, 7. [35] Isa. XXI, 3. [36] Isa. LIV, 7, 8. [37] Isa. LVII, 16-18. [38] Baruch IV, 25. [39] ibid. 27, 29. [40] Joan. XVI, 20. [41] Luc. XXI, 16-19. [42] Jac. I, 12.

NOTÆ.

(15) Non comparet in LXX.

πσυται. Μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φονεὺς, ἢ κλέπτης, ἢ κακοποιὸς, ἢ ὡς ἀλλοτριοεπίσκοπος· εἰ δὲ ὡς Χριστιανὸς, μὴ αἰσχυνέσθω. »

A tutis Dei, et qui est ejus spiritus, super vos requiescit. Nemo autem vestrum patiatur ut homicida, aut fur, aut maleficus, aut alienorum appetitor: si autem ut Christianus, non erubescat [48]. »

Παύλου ἀποστόλου.

« Λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα, ἕως ἄρτι. » Καί· « Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες· ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. » Καί· « Οὔπω μέχρι αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. » Καί· « Ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν, ὡς υἱοῖς διαλέγεται· Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται. Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός. Τίς γάρ ἐστιν υἱὸς, ὃν οὐ παιδεύει πατήρ; » καὶ τὰ ἑξῆς. « Πᾶσα δὲ παιδεία, πρὸς μὲν τὸ παρὸν, οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης. Ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσιν εἰς σωτηρίαν [m]. »

Pauli apostoli.

« Maledicimur, et benedicimus; persecutionem patimur, et sustinemus: blasphemamur, et obsecramus: tanquam purgamenta hujus mundi facti sumus, omnium peripsema usque adhuc [49]. » Et: « Non solum autem, sed gloriamur in tribulationibus; scientes quod tribulatio patientiam operatur, patientia autem probationem, probatio vero spem; spes autem non confundit [50]. » Et: « Nondum usque ad sanguinem restitistis, adversus peccatum repugnantes; et obliti estis consolationis, B quæ vobis tanquam filiis loquitur, dicens: Fili mi, noli negligere disciplinam Domini; neque fatigeris, dum ab eo argueris. Quem enim diligit Dominus castigat, flagellat autem omnem filium, quem recipit. In disciplina perseverate. Tanquam filiis vobis offert se Deus. Quis enim filius quem non corripit pater [51]? etc. » Omnis autem disciplina, in præsenti quidem non videtur esse gaudii, sed mœroris: postea autem pacatissimum fructum exercitatis per eam reddet justitiæ [52]. »

Τοῦ ἁγίου Βασιλείου εἰς τὴν ἀρχὴν τῶν Παροιμιῶν.

Ταύτην οὖν τὴν παιδείαν γνῶναι, οὐ τῆς τυχούσης ἐστὶ διανοίας. Διὸ πολλοὶ πρὸς τὸ τῶν γινομένων ἐπίπονον ἀπαγορεύσαντες, τὸ τῆς ἐκβάσεως ὠφέλημα ὑπὸ ἀμαθίας οὐκ ἀναμένουσιν, ἀλλὰ δυσανασχετοῦντες πρὸς τὸ τῆς ἐπιμελείας αὐστηρὸν, τοῖς τῆς ἀθυμίας [n] ἀῤῥωστήμασιν ἐναπομένουσι [o]. Διὰ τοῦτο θαύματος ἄξιαι τῶν δικαίων αἱ φωναὶ, τῶν λεγόντων· « Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με· » οὐ γὰρ παιδείαν παραιτοῦνται, ἀλλὰ τὴν ὀργήν. Τούτῳ παραπλήσιόν ἐστι καὶ τό· « Παίδευσον ἡμᾶς, Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ. » Καὶ τό· « Ἡ παιδεία σου [p] ἀνοίγει μου ὦτα· » αὕτη γὰρ ἡ παιδεία πολλῶν χρημάτων ἐστὶ τιμιωτέρα. Διό φησιν ὁ Σολομών· « Λάβετε παιδείαν, καὶ μὴ ἀργύριον. »—« Ἵνα ἐν καιρῷ περιστάσεως, ἢ τοῦ σώματος κάμνοντος, ἢ τῶν κατὰ τὸν οἶκον πεπονηκότων, μήτε πονηρὰν ἔννοιαν λάβῃς [q] περὶ Θεοῦ, ἀλλ' ἐν ὑπομονῇ δέχῃ αὐτοῦ τὰς πληγὰς, παιδευόμενος ἐν οἷς [r] ἥμαρτες. » Καὶ λέγεις καὶ σύ· « Τὴν ὀργὴν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ· » καί· « Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με· » οἷος ἦν Παῦλος λέγων· « Παιδευόμενοι ὑπὸ Κυρίου, καὶ μὴ θανατούμενοι. »

Ex eodem in Asceticis.

Ita etiam veteres spem in Deum per multos labores docebantur. Laboribus enim afflictus Joseph,

Τοῦ αὐτοῦ ἐκ τῶν Ἀσκητικῶν.

Οὕτω καὶ παλαιοὶ τὴν εἰς Θεὸν προσδοκίαν, πίστει, ἐλπίδι, διὰ πόνων πολλῶν [s] ἐδιδάσκοντο. Καταπο-

[48] I Petr. II, 19, 20; IV, 14-16. [49] I Cor. IV, 12, 13. [50] Rom. V, 3-5. [51] Hebr. XII, 4-8. [52] ibid. 11. [53] Psal. VI, 1. [54] Jerem. XXX, 11. [55] Prov. VIII, 10. [56] Mich. VII, 9. [57] Psal. CXVIII, 71. [58] II Cor. VI, 9.

VARIÆ LECTIONES.

[m] δικαιοσύνης. [n] ἀμαθείας. [o] ἐναπέμειναν. [p] Κυρίου. [q] λάβῃ. [r] ἐφ' οἷς. [s] ἐλπίδα διὰ πόνων πολλῶν.

tredecim annis hoc facere didicit calumniis, vinculis, post prælara illa, et magna Dei promissa ei facta in somnis; sed postea præter spem fit dominus Ægypti. David autem non solum promissis, sed etiam regni accepta unctione, in periculo versabatur; fugiebat, abscondebatur, ad alienigenas transibat; expulsus invidia ejus qui tunc regnabat; sed postea et ejus qui ipsum persequebatur, vidit ruinam, et regnum accepit. Multæ enim sunt, quæ justis evenlunt tentationes, et spei exercitationes, cum tanto tempore non impleantur, sed cuncta etiam contraria accidant.

A νούμενος γὰρ ὁ Ἰωσὴφ ἐπὶ δέκα καὶ τρισὶν ἔτεσι, πράσει, συκοφαντίαις, δεσμωτηρίοις, μετὰ τὰς λαμπρὰς ἐκείνας, καὶ μεγάλας ὑποσχέσεις τοῦ Θεοῦ, τὰς διὰ τῶν ἐνυπνίων, ἀλλ' ὕστερον, παρ' ἐλπίδα, κύριος Αἰγύπτου καθίσταται. Δαβὶδ δὲ, οὐ μόνον ὑπόσχεσιν, ἀλλὰ καὶ χρίσμα βασιλέων λαβὼν, ἐκινδύνευεν, [ἀλλ'] ἔφευγεν, ἐκρύπτετο [t], πρὸς ἀλλοφύλους ἀπεδίδρασκε, φθόνῳ τοῦ τότε βασιλεύοντος λαμβανόμενος [u]· ἀλλ' ὕστερον καὶ τοῦ καταδιώκοντος τὴν πτῶσιν ἑώρακε, καὶ τὴν βασιλείαν ἀπέλαβε. Πολλὰ γὰρ τὰ συμβαίνοντα τοῖς ἁγίοις πειρατήρια, καὶ γυμνάσματα τῆς ἐλπίδος, τοσοῦτον χρόνον μὴ πληρουμένης τῶν ἐλπιζομένων, ἀλλὰ τῶν ἐναντίων ἁπάντων.

Quid enim consentaneum erat existimare, Joseph, qui erat venumdatus? Quo evasuram putabat adorationem, quam pollicebantur somnia? Quid vero David, qui unctus erat ut rex, affligebatur autem tanquam captivus, et profugus erat tanquam sceleratus? Quid cogitare poterat de unctione? Sed non desperabant promissa bonorum, propter mala quæ accidebant: propterea manebant pii ac religiosi: cum nihil amplius haberent, quam spem in Deum. Quid vero dixeris de Abrahamo, qui jussus in sacrificium offerre suum filium, de quo datum fuerat responsum: « In Isaac tibi vocabitur semen [84]; » quomodo non dubitavit, aut dixit: O Domine, Isaacum sacrificabo, **223** et quomodo implebitur promissio? sed nihil simile aut cogitavit, aut locutus est; quamobrem ei quoque reputatum fuit ad justitiam [85]. Revera enim, præter spem in Deum, spes omnis est vana et inanis: sive quispiam sperat in divitiis: « Divites egueruntet esurierunt, inquirentes autem Dominum, non deficient omni bono [86]; » sive quis confidit in homine: « Maledictus homo qui spem habet in homine, et ponit carnem brachium suum, et a Domino recessit cor ejus [87]. » Et: « Benedictus homo, qui confidit in Domino, et erit Dominus spes ejus [88]. » Et: « Bonum est confidere in Domino, quam sperare in principibus [89].» Non salvatur autem neque rex per multam virtutem, et gigas non salvabitur in multitudine virtutis suæ: fallax equus ad salutem: in multitudine autem virtutis suæ non salvabitur. Ecce oculi Domini super timentes eum, et in eis qui sperant super misericordia ejus, ut eruat a morte animas eorum, et alat eos in fame [90]. »

B Τί γὰρ προσδοκᾷν ἦν εἰκὸς τὸν Ἰωσὴφ πιπρασκόμενον; ποῦ τὴν προσκύνησιν κεχωρηκέναι νομίζειν, ἣν ἐπηγγείλατο τὰ ἐνύπνια; Τί δὲ ὁ Δαβὶδ, ὁ κεχρισμένος βασιλεὺς, καὶ κακοπαθῶν ὡς αἰχμάλωτος, καὶ φυγὰς ὡς κακοποιός; τί δὲ περὶ τοῦ χρίσματος εἶχε λογίσασθαι; Οὐκ ἀπήλπιζον τὰς τῶν ἀγαθῶν ὑποσχέσεις, διὰ τὰς τῶν κακῶν περιπτώσεις· διὰ τοῦτο ἔμενον εὐλαβεῖς, οὐδὲν πλέον τῆς εἰς Θεὸν ἐλπίδος ζητοῦντες· διὸ καὶ ἐπέτυχον τῆς ἐλπίδος. Τί δ' ἂν εἴποις περὶ τοῦ Ἀβραάμ; ὃς εἰς θυσίαν προσφέρειν κελευόμενος τὸν υἱὸν, περὶ οὗ ἐχρηματίζετο, ὅτι « Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα.» Πῶς οὐκ ἐδίστασεν, ἢ εἶπεν· Ὦ Δέσποτα, τὸν Ἰσαὰκ προσοίσω; καὶ πῶς τὰ τῆς ἐπαγγελίας πληρωθήσεται; Ἀλλ' οὐδὲν τοιοῦτον ἐνενόησεν, ἢ ἐλάλησε· διὸ καὶ C ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Ὄντος [v.x] γὰρ ματαίας ἐλπὶς ἅπασα, πλὴν τῆς εἰς Θεόν· εἴτε πλούτῳ τις ἐλπίζει, « Πλούσιοι ἐπτώχευσαν, καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ· » εἴτε ἐπ' ἀνθρώπῳ τις πέποιθεν· « Ἐπικατάρατος ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, καὶ στηρίζει σάρκα βραχίονος αὐτοῦ ἐπ' αὐτὸν, καὶ ἀπὸ Κυρίου ἀποστῇ ἡ καρδία αὐτοῦ. » Καί· « Εὐλογούμενος ἄνθρωπος, ὃς πέποιθεν ἐπὶ τῷ Κυρίῳ, καὶ ἔσται Κύριος ἐλπὶς αὐτοῦ. » Καὶ, « Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄρχουσι.» Καὶ, « Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν· καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ· ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυ- D ρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ, ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ. »

Ex capitulis sancti Maximi.

Omnis quidem homo est diligendus ex animo; in Deo autem solum est spes ponenda, et totis viribus est colendus. Quandiu enim nos ipse conservat, et amici omnes observant, et inimici omnes adversus nos nihil possunt. Postquam autem ipse

Μαξίμου ἐκ τῶν Κεφαλαίων.

Πάντα μὲν ἄνθρωπον, ἐκ ψυχῆς ἀγαπητέον· ἐπὶ τῷ Θεῷ δὲ μόνῳ τὴν ἐλπίδα θετέον, καὶ ἐξ ὅλης ἰσχύος αὐτὸν θεραπευτέον. Ἐφ' ὅσον γὰρ ἡμᾶς αὐτὸς συντηρεῖ, οἵ τε φίλοι πάντες ἡμᾶς περιέπουσι, καὶ οἱ ἐχθροὶ πάντες πρὸς ἡμᾶς ἀδυνατοῦσι· ἐπ' ἂν δὲ

[84] Genes. xxi, 12. [85] Rom. iv, 3. [86] Psal. xxxiii, 11 [87] Jerem. xvii, 5. [88] Ibid. 7. [89] Psal. cxvii, 9. [90] Psal. xxxii, 16-19.

VARIÆ LECTIONES.

[t] κατεκρύπτετο. [u] ἐλαυνόμενος. [v.x] ὄντως.

αὐτὸς ἡμᾶς ἐγκαταλείπῃ, οἱ δὲ φίλοι πάντες ἡμᾶς ἀποστρέφωνται, καὶ οἱ ἐχθροὶ πάντες καθ' ἡμῶν ἐνισχύουσι. Καὶ ὅταν σοι ἐπέλθοι ἐξ ἀπροσδοκήτου πειρασμὸς, μὴ τὸν, δι' οὗ αἰτιῶ, ἀλλὰ τὸ διατί ζήτει, καὶ εὑρίσκεις διόρθωσιν· ἐπεὶ, εἴτε δι' ἐκείνου, εἴτε δι' ἄλλου πιεῖν εἶχες πάντων τοῦ Θεοῦ κριμάτων τὸ ἀψίνθιον. Καὶ ἢ δι' ἑαυτῶν οἱ δαίμονες, ἐκπειράζουσιν, ἢ τοὺς μὴ φοβουμένους τὸν Κύριον καθ' ἡμῶν ὁπλίζουσι· καὶ δι' ἑαυτῶν μὲν, ὅταν ἐκ τῶν ἀνθρωπίνων ἰδιάσωμεν, ὥσπερ καὶ τὸν Κύριον ἐν τῇ ἐρήμῳ· δι' ἀνθρώπων δὲ, ὅταν μετ' αὐτῶν συνδιατρίβωμεν, ὥσπερ καὶ τὸν Κύριον διὰ τῶν Φαρισαίων. Ἀλλ' ἡμεῖς εἰς τὸν Θεὸν, τὸν ποιητὴν ἡμῶν [y] ἀποβλεπόμενοι, καὶ ἀμφοτέρωθεν αὐτοὺς ἀποκρουσόμεθα.

A nos dereliquit, et amici omnes nos aversantur, et inimici omnes sunt adversus nos, potentes. Et quando ex inopinato in te ingruerit tentatio, ne confer culpam in eum, per quem id factum est; sed quære propter quid, et invenies correctionem; quandoquidem sive per ipsum, sive per alium omnium divinorum judiciorum absinthium ebibere debuisti, et vel per se nos tentant dæmones; aut eos qui Dominum non metuunt, in nos armant. Et per se quidem, quando separati sumus ab hominibus; sicut Dominum in solitudine: per homines autem, quando versamur cum hominibus; quomodo etiam Dominum per Pharisæos. Sed nos in Christi Dei nostri figuram aspicientes, utrinque eos propulsabimus.

Τοῦ Χρυσοστόμου [z] ἐκ τῆς πρὸς Κορινθίους α' Ἐπιστολῆς.

Οὐδὲν ὄφελος ἡμῖν ἐστι, κἂν παρὰ πᾶσιν εὐδοκιμῶμεν, τῷ Θεῷ δὲ προσκρούωμεν· καὶ οὐδεὶς κίνδυνος, κἂν πάντες ἡμᾶς ἀποστρέφωνται, καὶ μισῶσιν· ὁ Θεὸς δὲ ἀποδέχεται, καὶ φιλεῖ. Ἡ γὰρ ὄντως εἰρήνη, ἡ ὄντως χάρις, παρὰ τοῦ Θεοῦ. Ἄστατον γὰρ τὸ ἀνθρώπων γένος, καὶ οὐ φίλοι μόνον [a] καὶ ἀδελφοὶ, ἀλλ' ἤδη καὶ πατέρες μεταβαλλόμενοι, πολλάκις ἀπὸ μικρᾶς αἰτίας, τοῦτον, ὃν ἐγέννησαν, καὶ ἀνέθρεψαν, ὡς πολέμιον ἤλασαν, καὶ παῖδες πατέρας ἐξέβαλον. Σκόπει δέ· Εἶχε χάριν ὁ Δαβὶδ παρὰ Θεῷ· εἶχε χάριν ὁ Ἀβεσσαλὼμ παρὰ ἀνθρώποις· οἷον τέλος ἑκάτερος ἔσχε; καὶ τίς μᾶλλον εὐδόκιμός ἐστι; εἶχε χάριν ὁ Ἀβραὰμ παρὰ τῷ Θεῷ· ὁ δὲ Φαραὼ παρὰ ἀνθρώποις· χαριζόμενοι γὰρ αὐτῷ, τὴν γυναῖκα τοῦ δικαίου παρέδωκαν· τίς οὖν λαμπρότερος γέγονε, παντί που δῆλον. Καὶ τί λέγω περὶ δικαίων; εἶχον χάριν οἱ Ἰσραηλῖται παρὰ τῷ Θεῷ, ἐμισοῦντο δὲ παρὰ τῶν Αἰγυπτίων, ἀλλ' ὅμως τῶν μισούντων περιεγένοντο, ἐκράτησαν, καὶ κατέβαλον. Τοῦτο τοίνυν σπουδάσωμεν ἅπαντες, κἂν δοῦλος ᾖ τις, κἂν ἐλεύθερος, εὐχέσθω παρὰ τῷ Θεῷ χάριν εὑρεῖν, καὶ οὕτω παρὰ ἀνθρώποις ἐπέραστος εἶναι, καὶ εὐαπόδεκτος.

B *Ex Chrysostomo in Epistolam I ad Corinthios.*

Nihil prodest si apud omnes in bona simus existimatione, Deum autem offendamus; et nullum est periculum si nos aversentur omnes et oderint, Deus autem nos probet et diligat. Nam quæ vere est gratia et quæ vere est pax, a Deo est. Instabile autem est genus hominum. Neque amici solum et fratres, sed et patres mutati sæpe parva de causa, eum quem genuerunt et aluerunt, tanquam **224** hostem expulerunt, et filii patres ejecerunt. Considera autem: David gratiam habuit apud Deum, Absalom gratiam habuit apud homines; quisnam fuerit utriusque finis, et quis in melliore fuerit existimatione, scitis. Abraham gratiam habuit apud Deum, Pharao autem apud homines; gratificantes enim ei homines, uxorem justi ei tradiderunt [61]; quis autem fuerit clarior, cuivis est perspicuum. Et quid dico de justis? Israelitæ gratiam habebant apud Deum, odio autem habebantur ab hominibus Ægyptiis; sed tamen eos qui odio habebant superarunt, vicerunt et prostraverunt. Hoc ergo sit omnibus studium, seu servus sit quispiam, seu liber oret, ut apud Deum gratiam inveniat, et sic hominibus erit gratus et acceptus.

C

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὸν ψαλμὸν ς'.

Πολλοὶ τοίνυν ἐν τοῖς οἴκοις πολέμους ἔχουσι· καὶ ὁ μὲν ὑπὸ γυναικὸς πολεμεῖται, ὁ δὲ ὑπὸ τέκνων πολιορκεῖται· ἄλλος ὑπὸ ἀδελφοῦ, καὶ ἕτερος ὑπὸ οἰκείου [b] δαμάζεται· καὶ ἕκαστος ἀκηδιᾷ καὶ δυσχεραίνει καὶ μάχεται, καὶ πολεμεῖ καὶ πολεμεῖται· καὶ οὐδὲ ἑαυτὸν λογοθετεῖ, ἐννοῶν, ὅτι, εἰ μὴ ἁμαρτίας ἔσπειρεν, οὐκ ἂν ἐν τῷ οἴκῳ αὐτοῦ ἄκανθαι, καὶ τρίβολοι ἀνέβησαν· εἰ μὴ σπινθῆρας ἁμαρτιῶν ἔκρυψεν, οὐκ ἂν ὁ οἶκος αὐτοῦ ἐνεπυρίζετο· ὅτι γὰρ ἁμαρτιῶν εἰσι καρποὶ τὰ οἰκεῖα κακὰ, καὶ δημίους ἐμφυλίους κατὰ τοῦ ἁμαρτάνοντος χειροτονεῖ ὁ Θεός· μάρτυς ἡ θεία Γραφή. Πολεμῆσαι [c] ἡ γυνὴ εἰσελθόντι ὡς θηρίον ἅπαντᾷ, τὴν γλῶσσαν, ὡς

D *Ex eodem in psalmum* VI.

Multi ergo bella habent in ædibus: et ille quidem bello appetitur ab uxore, hic vero obsidetur a filio, alius a fratre, et alius domatur a servo, et unusquisque angitur, et afflictatur, et pugnat, bellum gerit, et bello vexatur; et nemo subducta ratione apud se cogitat quod, nisi peccata seminasset, in domo sua spinæ et tribuli non succrevissent; nisi peccatorum scintillas occultasset, domus non conflagraret. Quod enim peccatorum fructus sint mala propria, et domesticos lictores Deus adversus peccatorem eligat, testis est Scriptura. Uxor tecum bellum gerit, ingresso tanquam fera occurrit, linguam tanquam gladium acuit. Res

[61] Gen. XVIII.

VARIÆ LECTIONES.

[y] τύπον ἡμῶν. [z] Ἰωάννου μοναχοῦ Κλίμακος. [a] μόνοι. [b] οἰκέτου. [c] πολεμοῦσα.

quidem valde molesta ac difficilis, quod auxiliatrix adversaria facta est : teipsum tamen examina, nunquid in juventute in mulierem juveniliter quid attentaris, et quod mulieri a te inflictum est vulnus, curetur per mulierem ; et alieno ulceri propria uxor (chirurgi officio fungens) medicinam adhibeat ; et quamvis quæ secat ignoret, novit tamen Deus medicus. Deus enim ipsa, tanquam ferro adversus te usus est ; et quemadmodum ferrum nescit quid agat, futuram autem per ferrum medelam novit medicus, ita etiam, licet ignoret uxor quæ ferit, et maritus qui feritur, causam ictus, Deus tamen, sicut medicus, novit quid conferat.

Quod autem mulier mala sit peccatorum purgatio, testis est sacra Scriptura dicens : Mulier mala peccatori dabitur. Et dabitur tanquam antidotum amarum, quod peccatorum malos humores consumat. Quod vero obsideri a filiis sit peccatorum supplicium, testis est David, qui propter nefarium conjugium a filio Absalom bello impetitur [61]. Quod autem etiam fratres **225** adversus fratres propter peccata bellum gesserint, testis est liber Judicum. Quando enim in viatoris concubinam qui tribus erant Benjamin, sunt fornicati, illa autem immensam non passa contumeliam est mortua [62], undecim tribus adversus unam bellum gesserunt, et hi et illi a Deo sunt exterminati [63], sicut scriptum est : « Exterminati sunt omnes qui fornicantur a te [64]. » Fratres ergo adversus fratres propter peccata, bella gesserunt. Si ergo a fratribus oppugnaris, ne adversus illos ingemiscas ; sed apud teipsum rationem ineas, et inquiras, propter quænam peccata fratres tui sint hostes. Non quod omnes propter peccata a fratribus oppugnentur : Joseph enim oppugnabatur a fratribus, non propter peccata ; et Job uxor insidiabatur, non certe propter peccata, sed quod plerique mortalium propter peccata hostes habent domesticos. Sæpe etiam amici, propter peccata convertuntur in inimicos : et qui olim amabant, oderunt et aversantur, Deo tale odium immittente propter eas, quas novit rationes. Ita enim scriptum est de Ægyptiis : « Convertit cor eorum, ut odirent populum ejus [65]. » Non datum autem esset a Deo odium, nisi prius male amassent. Quibus enim amicitia comparabat exitium, iis odium erat occasio virtutis.

Et quid dico de malis domesticis, quando ipsum quoque nostrum corpus, quod est nobis omnibus familiarius et charius, nos peccantes sæpe oppugnat ulcisceus per febres, morbos et dolores ; et corpus servum, dominam animam propter peccatum sæpe flagellat. Testis est Christus, qui dixit ei quem sanaverat : « Ecce sanus factus es, noli amplius peccare, ne quid deterius tibi contingat [66]. » Et nunc nobis peccantibus, Deus adversus nos excitat hostes. Sed dum bello appetimur, ne adversus eos bellum geramus ; sed magis nobis-

μάχαιραν ἀκονᾷ · λυπηρὸν μὲν τὸ πρᾶγμα, ὅτι ἡ βοηθὸς, ἀντίπαλος γέγονεν. Ὅμως ἑαυτὸν ἐρεύνησον, μή πως ἐν νεότητι εἰς γυναῖκας νεωτερίσας [ἐνεώρασας], καὶ τὸ γυναικεῖον τραῦμα διὰ γυναικὸς θεραπεύεται, καὶ τὴν ἀλλοτρίαν σηπεδόνα διαχειρουργεῖ, κἂν ἀγνοῇ ἡ τέμνουσα, ἀλλ' οἶδεν ὁ ἰατρὸς Θεός · αὐτὸς γὰρ αὐτῇ, ὡς σιδήρῳ κατὰ σοῦ ἐχρήσατο · ὥσπερ οὖν ὁ σίδηρος οὐκ οἶδεν ὃ ἐνεργεῖ, τὴν δὲ διὰ τοῦ σιδήρου θεραπείαν οἶδεν ὁ ἰατρός · οὕτως κἂν ἀγνοῇ ἡ γυνὴ ἡ πλήττουσα, καὶ ὁ ἀνὴρ ὁ πληττόμενος, τὴν αἰτίαν τῆς πληγῆς, ἀλλ' ὁ Θεός, ὡς ἰατρὸς οἶδεν, τί συμφέρει σοι.

Ὅτι δὲ πονηρὰ γυνὴ ἁμαρτιῶν ἐστι κόνδυλος, μάρτυς ἡ θεία Γραφὴ λέγουσα · Γυνὴ ἁμαρτωλῷ ἀνδρὶ δοθήσεται · ὡς πικρὰ ἀντίδοτος αὐτῷ δοθήσεται, τοὺς χυμοὺς τῶν ἁμαρτιῶν ἁλίσκουσα. Ὅτι καὶ ὑπὸ τέκνων πολιορκεῖσθαι ἁμαρτίας ἐστὶ βάσανος · μάρτυς ὁ Δαυὶδ τὴν παράνομον κοίτην ὑπὸ τοῦ υἱοῦ Ἀβεσσαλὼμ πολεμούμενος · ὅτι καὶ ἀδελφοὶ ἀδελφοὺς διὰ ἁμαρτίας ἐπολέμησαν, μάρτυς ἡ βίβλος τῶν Κριτῶν. Ὅτε γὰρ παλλακίδα τοῦ ὁδοιπόρου οἱ τῆς φυλῆς Βενιαμὶν ἐξεπόρνευσαν, ἡ δὲ τὴν ἄμετρον ὕβριν μὴ ἐνεγκοῦσα ἀπέθανεν · αἱ δὲ ἕνδεκα φυλαὶ ἐνεκότησαν, καὶ ἐξολοθρεύθησαν, ὡς γέγραπται · « Ἐξωλόθρευσας πάντα τὸν πορνεύσαντα ἀπὸ σοῦ. » Ὑπὸ ἀδελφῶν οὖν πολεμούμενος, μὴ κατ' ἐκείνων στέναζε, ἀλλ' ἑαυτοῦ λογοθέτει, καὶ ἀνεξέταζε διὰ ποίας ἁμαρτίας οἱ ἀδελφοὶ πολέμιοι · οὐχ ὅτι πάντες δι' ἁμαρτίας, ὑπὸ ἀδελφῶν πολεμοῦνται · καὶ γὰρ Ἰωσὴφ ὑπὸ τῶν ἀδελφῶν ἐπολεμεῖτο, καὶ οὐ πάντως δι' ἁμάρτημα · καὶ ὁ Ἰὼβ ὑπὸ γυναικὸς ἐπεβουλεύετο, καὶ οὐ πάντως δι' ἁμάρτημα, ἀλλ' ὅτι οἱ πλείονες τῶν ἀνθρώπων δι' ἁμαρτίας οἰκείους πολεμίους ἔχομεν. Πολλάκις δὲ καὶ φίλοι εἰς ἐχθροὺς δι' ἁμαρτίας μετατρέπονται, καὶ οἱ πάλαι ἀγαπῶντες μισοῦσιν καὶ ἀποστρέφονται, τοῦ Θεοῦ τὸ τοιοῦτον μῖσος, δι' οὓς οἶδεν λόγους, ἐμβάλλοντος. Οὕτως γὰρ περὶ τῶν Αἰγυπτίων γέγραπται · ὅτι « Μετέστρεψε τὴν καρδίαν αὐτοῦ τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ. » Οὐκ ἂν δὲ τὸ μῖσος ἀπὸ Θεοῦ ἐδόθη, εἰ μὴ πρότερον κακῶς ἐφιλίαζον. Οἷς γὰρ ἡ φιλία ἀπωλείας πρόξενος, τούτοις τὸ μῖσος ἀρετῆς ὑπόθεσις.

Καὶ τί λέγω οἰκιακῶν κακῶν ; ὅπουγε καὶ αὐτὸ ἡμῶν τὸ σῶμα, τὸ πάντων ἡμῶν οἰκειότερον, καὶ προσφιλέστερον, ἔστιν ὅτε καὶ αὐτὸ ἁμαρτάνοντας ἡμᾶς πολεμεῖ διὰ πυρετῶν, καὶ νόσων, καὶ ἀλγηδόνων ἀμυνόμενον, καὶ τὸ δοῦλον σῶμα τὴν δέσποιναν ψυχὴν μαστίζει ἁμαρτήσασαν. Καὶ ὁ μάρτυς, ὁ Χριστὸς τῷ ἰαθέντι λέγων · « Ἴδε ὑγιὴς γέγονας, μὴ ἔτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν σοι γένηται. » Καὶ νῦν ἁμαρτανόντων ἡμῶν, ὁ Θεὸς ἡμῖν ἐπεγείρει τοὺς ἐχθρούς. Ἀλλὰ πολεμούμενοι, μὴ ἀντιπολεμήσωμεν αὐτοῖς, ἀλλὰ μᾶλλον ἑαυτοὺς λογοθετήσωμεν·

[61] II Reg. XVI. [62] Judic. XIX. [63] Judic. XXI. [64] Psal. LXXII, 27. [65] Psal. CIV, 25. [66] Joan. V, 14.

καὶ εἴ τι ἡμάρτομεν, διορθωσώμεθα· καὶ ὀψόμεθα τοὺς ἐχθροὺς πίπτοντας πρὸ τῶν ὀφθαλμῶν ἡμῶν. Διὰ τοῦτο γὰρ καὶ παρηγγέλθημεν, μὴ ἀμύνασθαι τοὺς ἐχθροὺς ἡμῶν, ἐπειδὴ δι' ἁμαρτίας αὐτοὺς πολλάκις ὁ Θεὸς ἐπήγειρεν καθ' ἡμῶν, καὶ οὐδὲν ἀνύσομεν πολεμοῦντες ἐκείνους, οὓς ὁ Θεὸς ἤγειρε καθ' ἡμῶν. Θέλεις ἰδεῖν τὰ πτώματα τῶν πολεμούντων σε; Μετανόησον, ἐφ' οἷς ἡμαρτες, καὶ οἱ ἐχθροὶ πίπτουσι.

Τοῦ αὐτοῦ ἐκ τῶν Ἀναβαθμῶν.

Διὰ τοῦτο πειρασμοὶ, καὶ θλίψεις, καὶ σῶμα θνητὸν, καὶ πολλαὶ τῶν πραγμάτων περιστάσεις, καὶ πάθη, καὶ νοσήματα, ἵνα μυρίοι χαλινοὶ περίκεινται τῇ ψυχῇ ῥᾳδίως ἐπαιρομένῃ, καὶ πρὸς ὄγκον ὑψουμένῃ. Μὴ τοίνυν θορυβοῦ πειραζόμενος, ἀλλὰ πρὸς φάρμακα δέχου τὴν συμφοράν, καὶ δυνήσῃ πλείονος τυχεῖν ἀνέσεως.

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Σταγείριον.

Εἰ δὲ βλέπεις τινὰς βιωτικοῖς ἐντρεφομένους πράγμασιν, καὶ ἐν ἀνέσει διάγοντας, μὴ θαυμάσῃς· καὶ γὰρ τοῦτο προεῖπεν ὁ Χριστός· ὅτι « Κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται. » Καὶ ἐπὶ τῶν προτέρων δὲ γενε[τ]ῶν, Βαβυλώνιοι μὲν, οἱ μηδὲ τὰ Θεοῦ εἰδότες, ἐν πλούτῳ, καὶ δυναστείᾳ, καὶ τιμῇ ἦσαν· Ἰουδαῖοι δὲ ἐν αἰχμαλωσίᾳ ἦσαν, καὶ δουλείᾳ, καὶ τοῖς ἐσχάτοις κακοῖς. Λάζαρος μὲν ὁ τῶν οὐρανῶν ἄξιος, ἑλκούμενος, ταῖς τῶν κυνῶν προέκειτο γλώσσαις, λιμομαχούμενος διηνεκῆ· ὁ δὲ πλούσιος ἐν τιμῇ, καὶ ὑγιείᾳ, καὶ ἀνέσει, καὶ τρυφῇ. Ἀλλ' ὅμως οὔτε ἐκεῖνος ἀπὸ τοῦ λιμοῦ καὶ τῶν τραυμάτων ἐβλάβη· οὔτε οὗτος ἀπὸ τῆς εὐημερίας ἐκέρδανεν. Διὰ τοῦτό φησιν ὁ Σοφός· « Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμὸν, καὶ καρτέρησον, καὶ μὴ πέσῃς ἐν καιρῷ ἐπαγωγῆς· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς, καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. » Ὅθεν φησὶν ὁ Δαβίδ· « Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με. » Ὁ γὰρ τὸ χρυσίον εἰς τὴν κάμινον ἐμβαλὼν, οἶδεν, καὶ μέχρι τίνος αὐτὸ πυρωθῆναι δεῖ, καὶ πότε ἀνασπασθῆναι. Οὐ μία τοίνυν παρὰ τῷ Θεῷ γυμνασίας ἰδέα, οὐδὲ τῶν αὐτῶν ἅπαντες δέονται, κἂν νῦν ἐν τοῖς αὐτοῖς ὦσιν· καὶ νοσοῦντες πολλοὶ τὰς αὐτὰς νόσους, οὐ τῶν αὐτῶν ἐδεήθησαν φαρμάκων, ἀλλ' ἑτέρων μὲν οὗτοι, ἑτέρων δὲ ἐκεῖνοι. Διὰ τοῦτο ποικίλοι καὶ διάφοροι τῶν μαστίγων οἱ τρόποι· καὶ ὁ μὲν νόσῳ δοκιμάζεται μακρᾷ, ὁ δὲ βαρυτάτῃ πενίᾳ· ἄλλος τὸ βιάζεσθαι καὶ ἀδικεῖσθαι, ἕτερος τὸ παράπαν ἀπορρίπτεσθαι, καὶ λοιδορεῖσθαι, καὶ διαβάλλεσθαι, ἐφ' οἷς ἑαυτῷ [d] σύνοιδε, καὶ πονηρᾶς δόξης ἀνέχεσθαι βάρους, ἄλλος τοὺς συνεχεῖς καὶ ἐπαλλήλους θανάτους παίδων, καὶ τῶν αὐτῶν προσηκόντων ἰδεῖν.

cum ineamus rationem, et quid peccavimus corrigamus, et videbimus inimicos nostros ante oculos cadentes. Propterea enim nobis datum est præceptum ne ulciscamur inimicos, quoniam propter peccata Deus eos in nos sæpe excitat; neque quidquam proficimus adversus eos belligerantes quos Deus in nos excitavit. Vis videre ruinam eorum qui te oppugnant? Te tuorum peccatorum pœniteat, et corruent inimici.

Ex eodem in psalmos Graduum.

Propterea tentationes, et afflictiones, et corpus mortale, et multi rerum casus, et affectiones, et morbi, ut frena innumerabilia **226** circumponuntur animæ, quæ facile extollitur in superbiam. Noli ergo perturbari, dum tentaris, sed tanquam medicamenta suscipe calamitatem, et poteris consequi majorem remissionem.

Ex eodem ad Stagirium.

Si videas aliquos versantes in iis quæ ad hujus sæculi vitam pertinent, et degentes in otio, ne mireris. Hoc enim dixit Christus: « Flebitis et lugebitis vos, mundus autem gaudebit [68]. » Porro in prioribus quoque generationibus, Babylonii, qui ne Deum quidem noverant, divitiis abundabant, potentesque erant, et in honore; Judæi autem erant in captivitate, servitute, et extremis malis. Et Lazarus quidem, qui cœlis erat dignus, jacebat scatens ulceribus, quæ lingebant linguæ canum, cum fame perpetuo depugnans; dives autem erat in honore, et sanitate, et otio, et divitiis. Sed tamen ille neque a fame, neque ab ulceribus quidquam est læsus; neque hic a rebus secundis quidquam lucri fecit. Propterea dicit Sapiens: « Fili, si accedas ad serviendum Domino, para animam tuam ad tentationem. Dirige cor tuum, et sis fortis, et ne festines in tempore obductionis, quoniam in igne probatur aurum, et homines accepti in fornace humiliationis [69]. » Unde dicit David: « Proba me, Domine, et tenta me [70]. » Qui enim aurum injecit in fornacem, scit quousque oporteat ipsum accendi, et quando desinere. Non est ergo apud Deum una species exercitationis, neque eisdem omnes indigent, etsi sint iidem. Multi enim ægrotantes iisdem morbis, non iisdem opus habuere medicamentis; sed hi quidem aliis, aliis vero illi. Propterea et varii et diversi sunt modi flagellorum, et alius quidem domatur longo morbo probatus, alius autem gravissima pressus inopia, alius quod ei vis afferatur et injuria, alius quod ab omnibus abjiciatur, maledictisque et calumniis appetatur in iis quorum sibi nihil est conscius, et malæ existimationis pondus sustineat; alius quod videat crebras et densas mortes filiorum, et eorum qui proxime ad se attinent.

[68] Joan. xvi, 20. [69] Eccli. ii, 1, 2, 5. [70] Psal. xxv, 2.

[d] Interpres recte reddidit sensum negativum. Quare particulam οὐδέν, vel similem suo in codice reperisse videtur.

Ex Athanasii Quæstionibus.

Fidelium infantes sæpe moriuntur ad castigationem parentum. Dicit enim Deus per Jeremiam ad duro corde Israelem : « Frustra percussi filios vestros, disciplinam non suscepistis, gladius devoravit prophetas vestros tanquam leo exterminans [71], » et non timuistis. Et idem propheta de iisdem ait : « Flagellasti eos, Domine, et laboraverunt, **227** consummasti eos, et noluerunt suscipere disciplinam, induraverunt vultus suos supra petram, et noluerunt converti [72]. » Duo ergo bona in eo, Deo procurante : unum quidem, ut cum mundi excesserint, illic salutem consequantur : fortasse enim quia sceleratam vitam erant acturi, consulto eos Deus præripuit; secundum autem, ut eorum parentes effecti modestiores, quæ liberis in testamento dandæ erant, pecunias de cætero pauperibus distribuant pro sua salute. Et illi quidem decedentes nullo sunt detrimento affecti, et isti, si volunt, maximam acceperunt utilitatem, effecti modestiores.

Ex Capitulis sancti Maximi.

Qui in hac vita a divina providentia exercentur ad pietatem, tribus tentationibus probantur : aut concessione eorum quæ jucunditatem afferunt, ut est sanitas, numerosa proles, pecunia, gloria, et id genus alia; aut iis quæ corpori molestiam afferunt, ut sunt morbi, tormenta, et similia; aut iis quæ animæ eveniunt, ut sunt impuræ cogitationes peccati effectrices, et falsa dogmata. Et primis quidem dicit Dominus : « Si quis non renuntiat omnibus quæ possidet, non potest meus esse discipulus [73]; » secundis autem et tertiis : « In patientia vestra possidebitis animas vestras [74]. »

Ex Diadochi asceticis sermonibus.

Disciplina, quæ est renuntiatio, fert quidem animæ magnam tristitiam et humiliationem, et desperationem moderatam, ut ejus pars gloriæ cupida et elata (ut decet) veniat ad humilitatem, statim autem inducit metum Dei, et lacrymam confessionis, et multi silentii magnum desiderium. Quæ fit autem per aversionem a Deo, concedit, ut impleatur anima desperatione simul et incredulitate, et ira, et arrogantia.

Ex Eusebio Pamphili ad Marinum.

Nathan enim per dictam ab eo ad David paraholam, docet [75] Davidem magna tentatione concitatum in peccatum incidisse. Simulque ostenditur eum, non præsente alio, neque coram universo populo regem reprehendisse; ingressus enim, inquit, ad ipsum. David autem non solum suis suum enuntiat delictum, sed etiam posteris

A

Τοῦ Ἀθανασίου ἐκ τῶν Ἐρωτήσεων.

Τὰ τῶν πιστῶν νήπια πρὸς σωφρονισμὸν τῶν γονέων πολλάκις τελευτῶσι· καὶ γὰρ ὁ Θεὸς διὰ Ἱερεμίου [τοῦ προφήτου] πρὸς τὸν σκληροτράχηλον Ἰσραὴλ οὕτω φησί· « Μάτην ἐπάταξα τὰ τέκνα ὑμῶν, μάχαιρα κατέφαγε τοὺς προφήτας ὑμῶν, ὡς λέων ὀλοθρεύων, » καὶ οὐκ ἐφοβήθητε. Καὶ ὁ αὐτὸς προφήτης περὶ τῶν αὐτῶν φησιν· « Ἐμαστίγωσας αὐτούς, Κύριε, καὶ οὐκ ἐπόνεσαν· συνετέλεσας αὐτούς, καὶ οὐκ ἠθέλησαν δέξασθαι παιδείαν· ἐστερέωσαν τὰ πρόσωπα αὐτῶν ὑπὲρ πέτραν, καὶ οὐκ ἠθέλησαν ἐπιστραφῆναι. » Δύο, ὡς οἶμαι, ἀγαθὰ ἐν τούτῳ τοῦ Θεοῦ πραγματευομένου· ἓν μὲν, ὅπως καθαρὰ ἀπελθόντα, σωτηρίας τύχωσιν· ἴσως γὰρ, ὅτι πάνυ πονηρὸν [τὸν] βίον ζῆσαι μέλλοντα, οἰκο-
B νομικῶς ὁ Θεὸς προήρπασε· δεύτερον δὲ, ὅπως καὶ οἱ τούτων γονεῖς σωφρονέστεροι γενόμενοι, τὰ τοῖς τέκνοις μέλλοντα κατὰ διαθήκας δοθῆναι χρήματα, εἰς πτωχοὺς λοιπὸν διανέμωσιν ὑπὲρ σωτηρίας ἑαυτῶν. Κἀκεῖνα μὲν οὐδὲν παρεβλάβησαν τελευτήσαντα· καὶ οὗτοι δὲ, εἴγε βούλονται [e], τὰ μέγιστα ὠφελήθησαν, σωφρονέστεροι γενόμενοι.

Μαξίμου ἐκ τῶν Κεφαλαίων.

Οἱ κατὰ τὸν βίον τοῦτον ὑπὸ τῆς θείας προνοίας
C εἰς εὐσέβειαν ἐγγυμναζόμενοι, διὰ τῶν τριῶν τούτων πειρασμῶν δοκιμάζονται· οἷον, ἢ διὰ τῆς τῶν ἡδέων ὡς ἐπὶ ὑγείας, καὶ εὐτεκνίας, καὶ χρημάτων, καὶ δόξης, καὶ τῶν ὁμοίων· ἢ διὰ τῶν ὀδύνην ἐμποιούντων τῷ σώματι, οἷον, νοσημάτων καὶ βασάνων, καὶ τῶν ὁμοίων· ἢ διὰ τῶν τῇ ψυχῇ προσγινομένων λογισμῶν ἀκαθάρτων ἁμαρτίας γεννώντων, καὶ δόγματα ψευδῆ. Καὶ πρὸς μὲν τοὺς πρώτους λέγει Κύριος· « Εἴ τις οὐκ ἀποτάσσεται πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ, οὐ δύναταί μου εἶναι μαθητής· » πρὸς
D δὲ τοὺς δευτέρους, καὶ τοὺς τρίτους· « Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν. »

Ἐκ Διαδόχου ῥητῶν ἀσκητικῶν.

Ἡ παιδευτικὴ παραχώρησις φέρει μὲν λύπην πολλὴν, καὶ ταπείνωσιν, καὶ ἀπελπισμὸν σύμμετρον τῇ ψυχῇ, ἵνα τὸ φιλόδοξον αὐτῆς καὶ εὐπτόητον μέρος πρεπόντως εἰς ταπείνωσιν ἔρχηται· εὐθέως δὲ καὶ φόβον Θεοῦ, καὶ δάκρυα [f] ἐξομολογήσεως ἐπάγει τῇ καρδίᾳ καὶ τῆς καλλίστης σιωπῆς πολλὴν ἐπιθυμίαν. Ἡ δὲ κατὰ ἀποστροφὴν τοῦ Θεοῦ γενομένη, ἀπελπισμοῦ [ὁμοῦ] καὶ ἀπιστίας, καὶ ὀργῆς, καὶ τύφου τὴν ψυχὴν πληρωθῆναι παραχωρεῖ.

Εὐσεβίου Παμφίλου ἐκ τῶν πρὸς Μαρῖνον.

Ὁ γὰρ Νάθαν διὰ τῆς εἰρημένης αὐτῷ πρὸς τὸν Δαβὶδ παραβολῆς, διδάσκει, ὅτι κατὰ τὸν μέγαν πειρασμὸν συνέβη τῷ Δαβὶδ τὸ ἁμάρτημα. Παρίστησι δὲ ὁ λόγος, ὅτι μὴ εἰς πρόσωπον ἑτέρου, μηδὲ ἐνώπιον παντὸς τοῦ λαοῦ διελέχθη αὐτῷ, ἀλλ' εἰσελθὼν, φησὶν, πρὸς αὐτόν. Ὁ Δαβὶδ οὐ μόνον τοῖς καθ' ἑαυτὸν ἐξαγορεύει τὸ πλημμεληθὲν, ἀλλὰ καὶ εἰς

[71] Jerem. II, 30. [72] Jerem. V, 3. [73] Luc. XIV, 33. [74] Luc. XXI, 19. [75] II Reg. VII, 1 sqq.

VARIÆ LECTIONES.

[e] βούλοιντο. [f] δακρύων.

τοὺς μετ' ἔπειτα ἀνθρώπους τὸν ψαλμὸν ἐπιγράψας, εἰρῆσθαι αὐτὸ [g], ἡνίκα ἦλθεν πρὸς Βηρσαβεὲ, καὶ ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν ὁ προφήτης [h]. Οἶμαι δὲ, ὅτι [i] τῷ πονηρῷ πνεύματι ἐκδεδόσθαι αὐτὸν, διὰ μίαν φωνὴν ἐκείνην, ἣν ἔφη· « Ἐγὼ εἶπα ἐν τῇ εὐθηνίᾳ μου· Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. » Τοῦτο γὰρ μεγαφρονῆσαι, τοιοῦτον προσίεσθαι τὸ ῥῆμα, ὅτι οὐκ ἂν σαλευθῆναι, μένειν δὲ ἄτρεπτος, καὶ ἀπαθὴς ἐν τῇ εὐθηνίᾳ αὐτοῦ, ὑπέρογκον ἦν, καὶ ὑπερήφανον, καὶ οὐχ ὅμοιον τῷ, « Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἰκοδομοῦντες, » καὶ τὰ ἑξῆς. Ἀλλ' ὅγε ἱερὸς Ἀπόστολος ταῦτα εἰδὼς οὐκ ἐτόλμησε φάναι· Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα· ἐπεφρόντικει δὲ λέγων· « Μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι· » καὶ παραινεῖ λέγων· « Μηδεὶς καυχάσθω ἐν ἀνθρώποις· ὁ δὲ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω. » Καί· « Ὁ δοκῶν ἑστάναι, βλεπέτω, μὴ πέσῃ· οὐ γὰρ ἑαυτὸν συνιστῶν, ἐκεῖνός ἐστιν δόκιμος, ἀλλ' ὃν ὁ Κύριος συνίστησιν. » Καὶ πάλιν ἡ προφητεία· « Μὴ καυχᾶσθε, καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπεροχὴν, μηδὲ ἐξελθέτω μεγαλορρημοσύνη ἐκ τοῦ στόματος ὑμῶν. » Ἀλλὰ καὶ ὁ Σολομῶν φησι· « Μὴ καυχάσθω εἰς αὔριον· οὐ γὰρ οἶδας, τί τέξεται ἡ ἐπιοῦσα. » Ὁ δέ γε Δαβὶδ ἐν ἀγαθῶν εὐθηνίᾳ τῶν παρὰ Θεῷ δεδομένος, καὶ μέγα προκόψας ἀρετῆς, ἐτόλμησε φάναι· « Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα· » διὸ καὶ παραχρῆμα καταλέλειπται ὑπὸ τοῦ συνεργοῦντος αὐτῷ τἀγαθὰ Κυρίου καὶ συμπλέκεται πνεύματι πονηρῷ. Ὅθεν φησίν· « Ἐγὼ εἶπα ἐν τῇ εὐθηνίᾳ μου· Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα· ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος, » διδάσκων, ὅτι πρότερον εἶπὼν, « Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα, » μετὰ ταῦτα ἀποστρέφοντος τοῦ Θεοῦ τὸ πρόσωπον αὐτοῦ διὰ τὴν μεγαλορρήμονα φωνὴν, ὁμολογεῖ τεταράχθαι. Εἶτα ὠφεληθεὶς ἐπὶ τούτοις, τὰ πάλαι κατορθώματα αὐτοῦ, οὐκέτι ἑαυτῷ, ἀλλὰ τῷ Θεῷ ἐπιγράφει λέγων· « Κύριε, ἐν τῷ θελήματί σου παράσχου τῷ κάλλει μου δύναμιν. » Ὅτε γὰρ ἀπέστρεψας τὸ πρόσωπόν σου καὶ ἐγενήθην τεταραγμένος, τότε λέγων [k], ὅτι καὶ πάλαι τῷ σῷ θελήματι, καὶ ἐκ τῆς σῆς χάριτος καὶ δωρεᾶς ὑπῆρχεν περὶ τὴν ἐμὴν ψυχὴν τὸ κάλλος. Διό φησι· « Ὑψωθεὶς δὲ ἐταπεινώθην, καὶ ἐξηπορήθην. » Ἀλλ' « Ἀγαθόν μοι, καὶ [l] ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. » Καί· « Ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἐν ἀληθείᾳ ἐταπείνωσάς με. »

A hominibus, ut qui inscripserit, **228** dictum fuisse psalmum quando intravit ad Bersabee, venissetque ad eum Nathan propheta [78]. Existimo autem eum huic maligno spiritui fuisse traditum, propter unam illam vocem, quam dixit : « Ego dixi in abundantia mea : Non movebor in æternum [79]; » tam elati enim fuisse animi, ut ejusmodi proferret verbum quod nunquam moveretur, maneret autem in sua abundantia immutabilis et impatibilis, erat nimis superbum et insolens, et non simile isti : « Nisi Dominus ædificaverit domum, in vanum laboraverunt, qui ædificant eam [77]. » etc. Sed sanctus quidem Apostolus cum hæc sciret, non ausus est dicere : Non movebor in æternum; sed cogitabat dicens : « Ne forte cum aliis prædicavero, B ipse reprobus efficiar [78]; » et admonet dicens : « Nemo glorietur in hominibus; qui autem gloriatur, in Domino glorietur [79]. » Et : « Qui videtur stare, videat ne cadat [80]; Non enim qui seipsum commendat, ille probatus est, sed quem Deus commendat [81]. » Et rursus prophetia : « Ne gloriemini, et ne loquamini alta nimis, neque exeant magnifica verba ex ore vestro. » Sed Salomon quoque dicit : « Ne glorieris in crastinum; nescis enim quid pariat dies sequens [82]. » David vero cum res secundæ evenissent a Domino, et ad magnam provectus esset virtutem, ausus est dicere : « Non movebor in æternum [83]; » quamobrem statim relinquitur a Domino, qui bona ei suppeditabat, et conjungitur C spiritui malo. Unde dicit : « Ego autem dixi in abundantia mea : Non movebor in æternum; avertisti faciem tuam a me, et factus sum conturbatus [84], » docens quod, cum prius dixisset : « Non movebor in æternum, » postea avertente Deo faciem suam propter vocem magnificam, conturbatus fuerit. Deinde ex his accepta utilitate, non sibi amplius, sed Deo præclare facta ascribit, dicens : « Domine, in voluntate tua præstitisti decori meo virtutem [85]. » Quando enim avertisti faciem tuam, et fui conturbatus, tunc cognovi, quod et olim tua voluntate, et ex tua gratia et dono, fuerit in mea anima pulchritudo. Quamobrem dicit : « Exaltatus autem humiliatus sum et conturbatus [86]. » Sed, « Bonum mihi quia humiliasti me, ut discam D justificationes tuas [87]; » et : « Cognovi, quod judicia tua sint æquitas, et in veritate humiliasti me [88]. »

Τοῦ ἁγίου Βασιλείου ἐκ τῶν Ἀσκητικῶν.

Τὰ ἐλαττώματα τῶν εὐλαβῶν γίνεται πολλάκις κατ' οἰκονομίαν πρὸς τὸ συμφέρον, τοῦ Θεοῦ συγχωροῦντος, ἵνιστε ὀλισθῆσαι πρὸς θεραπείαν ἐπ' ἄρσεως [m] προλαβομένης, οἷόν ἐστι τὸ ὑπὸ Πέτρου εἰρημένον, καὶ ἐπ' αὐτῷ γεγενημένον. Μὴ γένοιτο δὲ ἡμᾶς καυχᾶσθαι εἰ μὴ ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ

Ex sancti Basilii Asceticis.

Ex piorum lapsibus sæpe, singulari providentia, utilitas redundat, Deo permittente ut quis cadat, quo elatio qua laborat, **229** curetur, cujus exemplum in Petro apostolo videre licet [89]. Absit autem ut gloriemur nisi in nomine Domini nostri Jesu Christi magni Dei et Salvatoris animarum nostra-

[78] Psal. L. [79] Psal. XXIX, 7. [77] Psal. CXXVI, 1. [78] I Cor. IX, 27. [79] II Cor. X, 17; I Cor. I, 31. [80] I Cor. X, 12. [81] ibid. 18. [82] Prov. XXVII, 1. [83] Psal. XXIX, 7. [84] ibid. 8. [85] ibid. [86] Psal. LXXXVII, 16. [87] Psal. CXVIII, 71. [88] ibid. 75. [89] Matth. XXVI, 69 sqq.

VARIÆ LECTIONES.

[g] αὐτῷ. [h] τὸν προφήτην. [i] ὅτι redundat. [k] Ἔλεγον. [l] ὅτι. [m] ἐπάρσεως.

rum, quem decet gloria nunc et semper, et in sæcula sæculorum!

τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν· ὅτι αὐτῷ πρέπει δόξα, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

QUÆSTIO X.

Qua de causa fit ut aliqui fideles in corporales prolapsiones incidant, a Deo autem beneficiis afficiantur, et a periculis liberentur?

RESPONSIO.

Dei judicia sunt incomprehensibilia et inexplicabilia, et propterea non oportet hominem condemnare usque ad illum diem. Dicit itaque Ecclesiastes: « Est justus periens in justo suo; et est impius, manens in malitia sua [90]. » Et: « Sunt justi, quia venit super eos quasi factum impiorum; et sunt impii, quia venit ad eos quasi factum justorum [91]. » Quidam enim fortasse cernuntur habere aliqua delicta; sed in occulto multa præclaraque recte facta elegerunt facere et faciunt. Si apud nos quidem reputantur esse peccatores; apud Deum autem sunt justi. Aliqui autem ex majorum suorum precibus, ut Salomon per David, digni censentur clementia ac venia: Deus enim ei dicit: « Pro eo quod facta sunt hæc tecum, et non custodisti mandata mea, et præcepta mea, quæ mandavi tibi, discindam regnum tuum de manu tua, et dabo illud servo tuo. Verumtamen in diebus tuis non faciam ea, propter David patrem tuum [92]. »

Alii rursus, qui nunc quidem sunt mali, postea autem vere ac sincere acturi sunt pœnitentiam, jam nunc apud Deum reputantur tanquam justi, ut apostolus Paulus. Alii propter pœnitentiam et conversionem, Dei fruuntur benignitate, quæ iis qui non intelligunt, et sunt indurati, exsistit viaticum illius quod illic passuri sunt, supplicii, ut dives ille, qui in Lazarum fuit immisericors [93]. » Dicit enim Apostolus: « Ignoras quoniam benignitas Dei ad pœnitentiam te adducit? Secundum autem duritiam tuam, et impœnitens cor thesaurizas tibi iram in die iræ, et revelationis justi judicii Dei, qui reddet unicuique secundum opera ejus [94]. » Ideo divinus David recte monet dicens: « Noli æmulari in eo qui prosperatur in via sua, in homine faciente injustitias [95]. » Et: « Quia peccatores peribunt; inimici vero Domini statim, ut honorificati fuerint, **230** et exaltati deficientes, quemadmodum fumus defecerunt [96]. » Et: « Cum exorti fuerint peccatores, sicut fenum, et apparuerint omnes, qui operantur iniquitatem, ut intereant in sæculum sæculi [97]. » Idcirco: « Ne timueris, cum dives factus fuerit homo, et multiplicata fuerit gloria domus ejus [98]. » Quoniam, « tanquam fenum velociter arescent [99]. » Et: « Quæres locum illius, et non invenies [1]. » Et dices: « Quomodo

ΕΡΩΤΗΣΙΣ Ι'.

Πόθεν ὁρῶμέν τινας πιστοὺς, σωματικὰ πταίσματα ποιοῦντας, ὑπὸ Θεοῦ δὲ εὐεργετουμένους, καὶ κινδύνων διασωζομένους;

ΑΠΟΚΡΙΣΙΣ.

Τὰ τοῦ Κυρίου κρίματα ἀκατάληπτά εἰσιν, καὶ ἀνερεύνητα [n]· καὶ διὰ τοῦτο οὐ χρὴ κατακρίνειν ἄνθρωπον, ἕως τῆς ἡμέρας ἐκείνης. Λέγει γοῦν ὁ Ἐκκλησιαστής· « Ἔστι δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ, καὶ ἔστιν ἀσεβὴς, μένων ἐν κακίᾳ αὐτοῦ. » Καί· « Εἰσὶ δίκαιοι, ὅτι φθάνει [πρὸς] αὐτοὺς ὡς ποίημα τῶν ἀσεβῶν· καὶ εἰσὶν ἀσεβεῖς, ὅτι φθάνει πρὸς αὐτοὺς ὡς ποίημα τῶν δικαίων. » Τινὲς μὲν γὰρ θεωροῦνται ἴσως ἐλαττώματά τινα ἔχοντες, κρυπτῶς μεγάλα κατορθώματα πρὸς Θεὸν ἐργαζόμενοι· καὶ παρ' ἡμῖν μὲν ἁμαρτωλοὶ εἶναι νομίζονται, παρὰ δὲ Θεῷ δίκαιοι τυγχάνουσι. Τινὲς δὲ ἐξ εὐχῶν προγονικῶν, ὡς Σολομὼν διὰ τοῦ Δαβὶδ, φιλανθρωπίας ἀξιοῦνται. Φησὶ γὰρ ὁ Θεὸς πρὸς αὐτόν· « Ἀνθ' ὧν οὐκ ἐφύλαξας τὰς ἐντολάς μου, καὶ τὰ προστάγματά μου, ἃ ἐνετειλάμην σοι, διαρρήσσων διαρρήξω τὴν βασιλείαν ἐκ χειρός σου, καὶ δώσω αὐτὴν τῷ δούλῳ σου. Πλὴν ἐν ταῖς ἡμέραις σου οὐ ποιήσω τοῦτο, διὰ Δαβὶδ πατέρα σου. »

Ἄλλοι πάλιν, νῦν μὲν πονηροὶ ὄντες, μετανοῆσαι δὲ γνησίως ἐν ὑστέροις μέλλοντες, ἤδη ἀπὸ τοῦ νῦν ὡς δίκαιοι παρὰ τῷ Θεῷ προνοοῦνται, ὡς ὁ ἀπόστολος Παῦλος· ἕτεροι δὲ, μετανοίας ἕνεκα καὶ ἐπιστροφῆς, χρηστότητος Θεοῦ ἀπολαύουσιν, ἧτις τοῖς μὴ συνιοῦσι καὶ σκληρυνομένοις ἐφόδιον γίνεται τῆς ἐκεῖ τιμωρίας, ὡς ὁ κατὰ τὸν Λάζαρον πλούσιος. Φησὶ γὰρ ὁ Ἀπόστολος· « Ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; Κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύψεως, καὶ δικαιοκρισίας Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. » Καὶ τοῦτο εἰδὼς ὁ θεῖος Δαβὶδ, παραινεῖ λέγων· « Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ, ἐν τῇ ὁδῷ αὐτοῦ, ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίαν. » Καί· « Ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται, καὶ οἱ ἐχθροὶ τοῦ Κυρίου, ἅμα τῷ δοξασθῆναι αὐτοὺς, καὶ ὑψωθῆναι, ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον. » Καί· « Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς, ὡσεὶ χόρτος διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. » Διὸ, « Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, καὶ πληθυνθῇ ἡ δόξα αὐτοῦ. » Ὅτι « ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται. » Καί· « Ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ μὴ εὑρίσκων αὐτὸν » ἐρεῖς, « Πῶς ἐγένετο εἰς ἐρήμωσιν; ἐξάπινα ἐξέλιπεν, ἀπώλετο διὰ τὴν ἀνομίαν

[90] Eccle. VII, 16. [91] Eccle. VIII, 14. [92] III Reg. XI, 11, 12. [93] Luc. XVI. [94] Rom. II, 4, 5. [95] Psal. XXXVI, 7. [96] ibid. 20. [97] Psal. XCI, 8. [98] Psal. XLVIII, 17. [99] Psal. XXXVI, 2. [1] ibid. 10.

VARIÆ LECTIONES.

[n] ἀνερμήνευτα.

αὐτοῦ, ὡσεὶ ἐνύπνιον καταλείψας ἀλλοτρίοις τὸν πλοῦτον ἑαυτοῦ. » Καὶ πᾶς ὁ ταλαίπωρος τοῦ ταλαιπώρου πλοῦτος ἐκεῖνος, καὶ ἡ ματαία καὶ ψυχοφθόρος ἐκείνη πρόπκαιρος δόξα, καθάπερ ἐνύπνιον ἀπηλέγχθη. Εἰκότως οὖν ἔλεγεν ὁ Σοφός· « Μὴ ζηλώσῃς δόξαν ἁμαρτωλοῦ· οὐ γὰρ οἶδας, τί ἔσται ἡ καταστροφὴ αὐτοῦ· καὶ μὴ εὐδοκήσῃς ἐν εὐδοκίαις ἁμαρτωλῶν, ἀλλὰ μνήσθητι, ὅτι ἕως ᾅδου οὐ μὴ δικαιωθῶσι. » Καί· « Ὁδὸς ἁμαρτωλῶν, ὡμαλισμένη ἐκ λίθων, καὶ ἐπ' ἐσχάτων αὐτῆς βόθρος ᾅδου. »

A facti sunt in desolationem, subito defecerunt, perierunt propter iniquitatem suam, velut somnium [a]; relinquet alienis divitias suas [b]. » Et universæ illius miseri miseræ divitiæ, inanisque illa animæque interitum afferens caduca ac temporalis gloria recessit tanquam somnium. Merito igitur dicebat Sapiens : « Non zeles gloriam peccatoris ; non enim scis, quæ sit illius subversio. Non bene sentias de beneplacito impiorum; memento quoniam usque ad inferos justificabuntur [c], » Et : « Via peccantium complanata lapidibus; et in fine illius, fovea inferni [d]. »

Τοῦ Χρυσοστόμου ἐκ τῆς πρὸς Κορινθίους.

Τίνος ἕνεκεν Ἀβραὰμ ἐπλούτει, ὁ δὲ Ἰακὼβ ἄρτου ἐδεῖτο; Οὐχὶ δίκαιος ἦν καὶ οὗτος; Διατί τοίνυν ὁ μὲν ἐπλούτει, ὁ δὲ ἐθεράπευεν; [ἐπὶ μισθῷ ἐδούλευε;] μᾶλλον δὲ, ὁ μὲν Ἡσαῦ ἐπλούτει βέβηλος ὤν· ὁ δὲ Ἰακὼβ ἐν δουλείᾳ ἦν τοσαύτῃ [e]; Διατί δὲ πάλιν ὁ μὲν Ἰσαὰκ μετὰ ἀδείας ἔζησε τὸν ἅπαντα χρόνον τῆς ζωῆς αὐτοῦ, ὁ δὲ Ἰακὼβ ἐν μόχθοις καὶ ταλαιπωρίαις; διὸ ἔλεγεν· « Αἱ ἡμέραι τῆς ζωῆς μου μικραὶ καὶ πονηραί. » Διατί ὁ μὲν Δαβὶδ, προφήτης ὤν, τὸν ἅπαντα χρόνον αὐτοῦ ἐν κινδύνοις καὶ πόνοις ἔζησεν, ὁ δὲ υἱὸς αὐτοῦ Σολομὼν, τεσσαράκοντα ἔτη, πάντων ἀνθρώπων ἀδεέστερος διῆγεν εἰρήνης ἀπολαύων βαθείας, δόξης, τιμῆς, καὶ τρυφῆς ἅπαν εἶδος ἐπινοῶν [f]; Τί δήποτε καὶ ἐν τοῖς προφήταις, ὁ μὲν μειζόνως, ὁ δὲ ἐλαττόν [g] θλίβεται; Πάντως, ὅτι ἑκάστου τὸ συμφέρον οὕτως ἦν· διὸ καὶ ἐπιλέγειν χρὴ ἐφ' ἑκάστῳ· « Τὰ κρίματα Κυρίου ἄβυσσος πολλή. »

B Quamobrem dives erat Abraham, Jacob autem egebat pane? Non erat hic quoque justus? Cur erat ille quidem dives, hic vero mercenarius? Imo vero, cur Esau quidem erat dives, cum esset profanus; Jacob autem tandiu fuit in servitute? Cur rursus Isaac toto suo tempore vixit secure, Jacob autem in laboribus et ærumnis? Et ideo dicebat : « Dies vitæ meæ pauci et mali [e]. » Cur David, cum esset propheta, totum tempus vitæ suæ vixit in periculis et laboribus; filius autem ejus Salomon quadraginta annos securius transegit quam omnes homines, divina pace fruens, gloriaque et honore, et per omne genus deliciarum permeans? Cur etiam in prophetis alius magis, alius vero minus fuit afflictus? Omnino propterea C quod hoc unicuique erat conducibile. Et ideo in unoquoque oportet acclamare : « Judicia Domini abyssus multa [f]. »

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου.

Μὴ ἀπατώμεθα, μηδὲ παραζηλώμεθα [r], μηδὲ ἐκ παντὸς τρόπου τὸν ἄνετον ἐπιζητῶμεν βίον. « Ὃν γὰρ, φησὶ, ἀγαπᾷ Κύριος, παιδεύει. » Ὥστε ὅταν εὐημερίας ἀπολαύωμεν [s] ἐν πονηρίᾳ ζῶντες, τότε μάλιστα ἀλγῶμεν. Δεῖ γὰρ ἁμαρτάνοντας δεδοικέναι καὶ ἀλγεῖν, μάλιστα δὲ, ὅταν μηδὲν πάσχωμεν δεινόν. Ὅταν μὲν γὰρ κατὰ μέρος ἀπαιτεῖ τὰς τιμωρίας ὁ Θεὸς, κούφην ποιεῖται τὴν ὑπὲρ τῶν τοιούτων ἐκτισιν· ὅταν δὲ ἐφ' ἑκάστῳ τῶν πλημμεληθέντων μακροθυμεῖ, εἰς μεγάλην ἡμᾶς τοῖς αὐτοῖς ἐπιμένοντας ταμιεύεται δίκην. Εἰ γὰρ τοῖς κατορθοῦσιν ἀναγκαία D ἡ θλῖψις, πολλῷ μᾶλλον τοῖς ἁμαρτάνουσιν. Ὅρα γοῦν, πόσης μακροθυμίας ἀπολαύσας ὁ Φαραὼ, τὴν ἐσχάτην ὕστερος ὑπὲρ ἁπάντων ἔδωκε δίκην. Πόσα Ναβουχοδονόσορ πλημμελήσας, πρὸς τῷ τέλει τὸ πᾶν ἐζήτησε [t], καὶ ὁ πλούσιος, ἐπεὶ μηδὲν ἐνταῦθα ἔπαθε δεινὸν, διὰ τοῦτο μάλιστα γέγονεν ἄθλιος, ὅτι τρυφήσας ἐν τῷ παρόντι βίῳ, ἀπῆλθεν, ἐκεῖ πάντων τούτων δώσων δίκην, καὶ παραμυθίαν οὐχ εὗρεν ἐκεῖ τοῦ κακοῦ. Ἀλλ' ὅμως εἰσί τινες οὕτω ψυχροὶ καὶ

Chrysostomi ex Commentario in Epistolam ad Corinthios.

Ex eodem in Matthæum.

Ne fallamur, neque nos circumveniamus, neque omnibus modis quæramus vitam remissam et ab omni molestia vacuam. « Quem enim, inquit, diligit Dominus, castigat [g]. » Quamobrem, quando rebus fruemur secundis, degentes in scelere, tunc maxime doleamus. Oportet enim peccantes timere et dolere, maxime autem quando nihil grave patimur. Nam quando ex parte quidem a nobis pœnas Deus exigit, efficit ut sit nobis levis pro **231** his solutio. Quando autem in unoquoque eorum in quibus delinquimus, est lenis ac patiens, nos in iisdem perseverantes reservat ad majus supplicium. Si enim iis qui recte se gerunt necessaria est afflictio, multo magis iis qui peccant. Vide ergo quantum Dei lenitate et patientia abusus Pharao, pro omnibus postea, ultimum luit supplicium [h]; quanta Nabuchodonosor cum admisisset scelera, tandem exsolvit universum [i]. Et dives, quoniam hic nihil grave passus est, propterea fuit miserrimus [j]. Quoniam excessit, cum in vita præsenti se omnibus

[a] Psal. LXXIII, 19, 20. [b] Psal. XLVIII, 11. [c] Eccli. IX, 16, 17. [d] Eccli. XXI, 11. [e] Genes. XLVII, 9. [f] Psal. XXXV, 7. [g] Hebr. XII, 6. [h] Exod. XIV, 23 qq. [i] Dan. IV, 16 sqq. [j] Luc. XVI, 22 qq.

VARIÆ LECTIONES.

[e] τοσοῦτο. [f] ἐπιών. [g] ἐλαττόνως. [r] παραλογιζώμεθα. [s] ἀπολαύσωμεν. [t] ἔτισε vel ἐξέτισε.

explesset voluptatibus, illic pro his omnibus dedit pœnas, nec ex malo ullum invenit solatium. Et tamen sunt nonnulli adeo frigidi et amentes, ut quærant ea solum' quæ hic sunt, et verba illa dicant ridicula : Fruar interim præsentibus, et tunc considerabo de iis quæ sunt incerta : da mihi diem hodiernum, et accipe crastinum. Qui hæc dicunt, quidnam differunt ab hircis aut porcis?

Ex eodem in Acta apostolorum.

Qui in multis offendunt, et non puniuntur, multum debent timere et tremere. Eis enim augetur Dei lenitas et patientia. Nam quo majoribus affecti fuerimus beneficiis, eo gravius puniemur, quando cernemur indigni beneficio.

A ἀνόητοι, ὡς τὰ ἐνταῦθα ἐπιζητεῖν μόνον, καὶ τὰ καταγέλαστα ἐκεῖνα λέγειν ῥήματα· Ἀπολαύσω τῶν παρόντων τέως, καὶ τότε σκέψομαι περὶ τῶν ἀδήλων· δίδου μοι τὴν σήμερον, καὶ λάμβανε [u] τὴν αὔριον. Καὶ τί τράγων, ἢ χοίρων οἱ ταῦτα λέγοντες διαφέρουσιν;

Τοῦ αὐτοῦ ἐκ τῶν [ἑρμηνειῶν] τῶν Πράξεων.

Οἱ πολλὰ πταίοντες, καὶ μὴ κολαζόμενοι, φοβεῖσθαι πολλὰ καὶ τρέμειν ὀφείλουσιν. Αὔξεται γὰρ αὐτοῖς τὰ τῆς τιμωρίας [διὰ τῆς ἀτιμωρήσεως] καὶ μακροθυμίας τοῦ Θεοῦ. Καὶ γὰρ ὅσῳ ἂν ὦμεν εὐεργετημένοι μεγάλα, τοσοῦτο μᾶλλον κολασθησόμεθα μειζόνως, ὅταν ἀνάξιοι τῆς εὐεργεσίας φανῶμεν.

B

QUÆSTIO XI.

Cum Deus dicat per prophetam Aggæum : « Meum est argentum, et meum est aurum [12]. » Et : « Cui voluero, dabo ipsi (17) : » nunquid, quicunque evasit dives, ditatus est a Deo?

RESPONSIO.

Dictum quidem est : « Meum est argentum, et meum est aurum; » sed illud · « Cui voluero, dabo ipsi, » non est scriptum. Hoc enim fuit additum ab insipientibus et avaris hominibus. Sed nullus qui ex hostibus, cædibus, furtis, perjuriis et rapinis, munerumque corruptelis et injuriis opes collegit, potest dicere se per Deum esse ditatum, sed per malignum et peccatum. Ii autem soli qui ex justis laboribus, et qui sine peccato suscipiuntur, collegerunt, possunt cum Job dicere : « Dominus dedit, Dominus abstulit [13]. » Porro Deo temere videntur gratias agere qui injuste parant divitias.

C

232 *Ex Job.*

« Divitiæ inique congregatæ evomentur [14]. »

Ex Salomone.

(18) « Colliguntur justis divitiæ impiorum. Est languor, quem vidi sub sole, divitias custoditas ei in malum ejus [15]. »

Ex Sirach.

« Qui colligit ab anima sua, colligit aliis, et in bonis ejus alii deliciabuntur [16]. » Et : « Bonæ sunt divitiæ a quibus abest peccatum [17]. » Et : « Mala paupertas in ore impii [18]. » Et : « Qui aurum diligit, non justificabitur : multi enim dati sunt in casum propter aurum, et facta est perditio ipsorum ad faciem ipsorum [19]. »

D

ΕΡΩΤΗΣΙΣ ΙΑ'.

Τοῦ Θεοῦ λέγοντος διὰ τοῦ προφήτου Ἀγγαίου· « Ἐμόν ἐστι τὸ ἀργύριον, καὶ τὸ χρυσίον· » καὶ, « ὯΙ ἐὰν θέλω, δώσω αὐτῷ· » ἆρα λοιπὸν πᾶς ἄνθρωπος πλουτήσας, ἐκ τοῦ Θεοῦ ἐπλούτησεν;

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ μὲν, « Ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, » εἴρηται· τὸ δὲ, « ὯΙ ἐὰν θέλω, δώσω αὐτῷ, » οὐ γέγραπται. Τῆς γὰρ τῶν ἀφρόνων καὶ φιλαργύρων ἀνθρώπων προσθήκης ἐστὶ τοῦτο. Πλὴν οὐδεὶς ἀπὸ πολεμίων καὶ αἱχμαλώτων [x], καὶ κλοπῶν, καὶ ἐπιορκιῶν, καὶ ἁρπαγῶν, καὶ δωροδοκιῶν, καὶ ἀδικιῶν συνάξας πλοῦτον, δύναται εἰπεῖν, διὰ τοῦ Θεοῦ ἐπλούτησεν [y]· ἀλλὰ, διὰ τοῦ πονηροῦ καὶ τῆς ἁμαρτίας. Μόνοι δὲ οἱ ἀπὸ δικαίων καὶ ἀναμαρτήτων πόνων συνάξαντες δύνανται μετὰ Ἰὼβ εἰπεῖν, ὅτι « Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφεῖλατο. » Λοιπὸν μάτην τῷ Θεῷ δοκοῦσιν εὐχαριστεῖν, οἱ ἀδίκως πλοῦτον συνάγοντες.

Τοῦ Ἰώβ.

« Πλοῦτος ἀδίκως συναγόμενος, ἐξεμεθήσεται. »

Τοῦ Σολομῶντος.

« Θησαυρίζεται δικαίοις πλοῦτος ἀσεβῶν, καὶ εἶδον ἀῤῥωστίαν δεινὴν, πλοῦτον φυλασσόμενον τῷ παρ' αὐτοῦ, εἰς κακίαν αὐτοῦ. »

Τοῦ Σειράχ.

« Ὁ συνάγων ἀπὸ τῆς ψυχῆς αὐτοῦ συνάγει ἄλλοις, καὶ ἐν τοῖς ἀγαθοῖς αὐτοῦ τρυφήσουσιν ἕτεροι. » Καὶ, « Ἀγαθὸς ὁ πλοῦτος, ᾧ μὴ ἐστιν ἁμαρτία. » Καὶ, « Πονηρὰ ἡ πτωχεία ἐν στόματι ἀσεβοῦς. » Καὶ, « Ὁ ἀγαπῶν χρυσὸν, οὐ δικαιωθήσεται· πολλοὶ γὰρ ἐδόθησαν εἰς πτῶμα χάριν χρυσίου, καὶ ἀπώλεια αὐτῶν κατὰ πρόσωπον αὐτῶν. »

[12] Agg. II, 9. [13] Job I, 21. [14] Job XX, 15. [15] Eccle. V, 12. [16] Eccli. XIV, 4. [17] Eccli. XLII, 30. [18] ibid. [19] Eccli. XXXI, 5, 6.

VARIÆ LECTIONES.

[u] λαβέ. [x] αἱμάτων. [y] ἐπλούτησα.

NOTÆ.

(17) Hoc non est in LXX, ut Anastasius recte notat.

(18) Hæc periodus non comparet in LXX.

Τοῦ Δαυΐδ.

« Ὄψονται δίκαιοι, καὶ φοβηθήσονται, καὶ ἐπ' αὐτὸν γελάσονται, καὶ ἐροῦσιν· Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτοῦ, καὶ ἐδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ. »

Ἡσαΐου.

« Ἐγώ εἰμι ὁ ἀγαπῶν δικαιοσύνην, καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας, καὶ δώσω τὸν μόχθον αὐτῶν δικαίοις, λέγει Κύριος. »

Γρηγορίου Νύσσης ἐκ τοῦ εἰς τὸ, « Πάτερ ἡμῶν. »

Εἰ γὰρ ὁ Θεὸς δικαιοσύνη ἐστὶν, οὐκ ἔχει παρὰ Θεοῦ τὸν ἄρτον, ὁ ἐκ πλεονεξίας τὴν τροφὴν ἔχων. Εἰ μὴ ἐξ ἀλλοτρίων ἡ εὐπορία, εἰ μὴ ἐκ δακρύων ἡ πρόσοδος, εἰ οὐδεὶς ἐπὶ τῷ σῷ κόρῳ ἐπείνασεν, εἰ οὐδεὶς ἐπὶ τῇ πλησμονῇ σου ἐστέναξε, Θεοῦ ἄρτος ἐστὶν ὁ τοιοῦτος, δικαιοσύνης ὁ καρπὸς, εἰρήνης ὁ στάχυς. Εἰ δὲ γεωργῶν τὰ ἀλλότρια, καὶ ἐν ὀφθαλμοῖς ἔχων τὴν ἀδικίαν, λέγεις· Τὸν ἄρτον δός· ἄλλος ὁ ἀκούων τῆς φωνῆς ταύτης ἐστὶ, καὶ οὐχ ὁ Θεός. Τὸν γὰρ ἐξ ἀδικίας καρπὸν ἡ ἀντικειμένη καρποφορεῖ φύσις· καὶ ὁ τὴν ἀδικίαν γεωργῶν, παρὰ τοῦ εὐεργέτου τῆς ἀδικίας σιτίζεται.

Τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ πρὸς τοὺς πλουτοῦντας.

Ὅρα δὴ οὖν, μὴ μετὰ μυρίων πόνων πλοῦτον ἀθροίσας, ὕλην ἁμαρτημάτων ἑτέροις κατασκευάσῃς, ἔπειτα εὑρεθῇς διπλᾶ [x] τιμωρούμενος, ὧν τε σαυτὸν [a] ἠδίκησας, καὶ ὧν ἑτέροις ἐφοδίασας [b].

Νείλου μοναχοῦ, ἐκ τοῦ πρὸς Ἀγάθωνα [c].

Καὶ πολλάκις μὲν ὁ προγονικὴν διαδεξάμενος ὕπαρξιν, καλῶς οἰκονομήσας ταύτην τοῖς δεομένοις, ἔστηκε παρὰ τοῦ κριτοῦ [d], ἐφ' οἷς εὖ ἐποίησεν εὐφημούμενος, καὶ ἱλαρῷ τῷ προσώπῳ τὰς ἐπαγγελίας ὑποδεχόμενος· ὁ δὲ καταλιπὼν ταύτην, ἐπὶ τὰς κολάσεις ὠθούμενος ἕλκεται· ἐπεὶ μὴ ἐξ αὐτῶν εἰς τοὺς δεομένους χρηστὸν ἐπεδείξατο, ἄλλοις σωτηρίας ἀφορμὴν τοὺς οἰκείους πόνους καταλιπὼν, καὶ αὐτὸς ἑαυτὸν [ἐκ] τῶν ἰδίων ὠφελήσας ὁ τάλας οὐδέν. Καλῶς φησι ὁ Σολομῶν, ὅτι « Ὁ συνάγων τὸν πλοῦτον αὐτοῦ μετὰ τόκων καὶ πλεονασμῶν, τῷ ἐλεοῦντι πτωχοὺς συνάγει αὐτὸν, » ἑαυτῷ κολάσεις [e] τῆς πλεονεξίας καὶ ἑτέρων ἀμοιβῶν τῆς εὐποιΐας ἀγαθῶν γενόμενος αἴτιος.

Γρηγορίου τοῦ Θεολόγου, ἐκ τοῦ εἰς τὸν Ἐξισωτήν.

Μὴ μίξωμεν τὸν ἡμέτερον πλοῦτον ἀλλοτρίοις δάκρυσιν, ὑφ' ὧν, ὥσπερ ὑπὸ ἰοῦ καὶ σητὸς, δαπανηθήσεται, ἢ, τὸ τῆς Γραφῆς εἰπεῖν, ἐξεμεθήσεται.

Βασιλείου ἐκ τῆς Ἑξαημέρου.

Ὁ μὲν πλεονέκτης ἔχει τὰ τοῦ πένητος· σὺ δὲ ταῦτα λαβὼν, καὶ μέρος ποιησάμενος τῆς σῆς περιουσίας, ἀδίκου ἀδικώτερος ἐφάνης, καὶ πλεονέκτου πλεονεκτικώτερος.

Ex Davide.

« Videbunt justi, et timebunt, et super eum ridebunt, et dicent : Ecce homo qui non posuit Deum adjutorem suum, sed speravit in multitudine divitiarum suarum, et prævaluit in vanitate sua [20]. »

Isaiæ.

« Ego (Dominus) qui diligo justitiam, et odi rapinas ex iniquitate, et dabo laborem eorum justis, dicit Dominus [21]. »

Ex Gregorio Nysseno, in Orationem Dominicam.

Si enim Deus est justitia, non habet a Deo panem, qui ex avaritia et plura habendi desiderio habet alimentum. Si non ex alienis tibi suppetunt facultates, si proventus non est ex lacrymis, si nemo esuriit propter tuam satietatem, si nemo ingemuit propter tuam repletionem, is est Dei panis, fructus justitiæ, spica pacis. Si autem aliena colens prædia, et in oculis habens iniquitatem, dicis : Da panem; alius est qui audit vocem hanc, et non Deus. Nam fructum qui nascitur ex injustitia, adversaria producit natura. Et qui colit injustitiam pascitur a benefactore injustitiæ.

Sancti Basilii, ex sermone in divites.

Vide ne, quando infinitis laboribus divitias collegeris, peccatorum materias aliis compares, deinde inveniaris duplici affectus supplicio, nempe et propter ea **233** quæ fecisti injuste, et propter facultatem, quam dedisti aliis.

Ex Nili monachi libro ad Agathonem.

Sæpe contingit ut qui opes a majoribus acceptas egentibus distribuit, etiam a contemptissimo quovis ob beneficentiam laudetur, vultu hilari repromissiones suscipiens. Qui vero opes reservat, neglecta beneficentia, is ad supplicium rapitur; quoniam ex eis nihil boni fecit egentibus; ut, qui occasionem salutis, aliis suos labores reliquerit, ipse miser rebus suis nihil sibi profuerit. Pulchre dicit Salomon : « Qui multiplicat divitias suas cum usuris et excrescentiis, ei qui miseratur inopum congregat eas [22]; » ut qui sibi propter avaritiam fuerit causa supplicium, et aliis ob beneficentiam causa sit remunerationum.

Gregorii Theologi, in Exæquatorem.

Ne misceamus nostras divitias cum alienis lacrymis, a quibus tanquam a rubigine et tinea consumentur; aut, ut dicam cum Scriptura, evomentur.

Basilii in Hexaemero.

Avarus quidem habet ea quæ sunt pauperis; tu autem, cum ea acceperis et tuarum facultatum partem feceris, te injusto ostendisti iniquiorem, et avaro avariorem.

[20] Psal. LI, 8, 9. [21] Isa. LXI, 8. [22] Prov. XXVIII, 8.

VARIÆ LECTIONES.

[x] πολλά. [a] αὐτός. [b] ἐφωδίασας. [c] Ἀγάθιον. [d] μικροῦ. [e] κολάσεως.

Chrysostomi ex Commentario in Epistolam I ad Corinthios.

« Itaque festum, inquit, agamus non in fermento veteri, neque in fermento vitii et malitiæ [22]. » Avaritia enim est fermentum vetus vitii et improbitatis, et quocunque fuerit ingressa, reddit immundum. Etiamsi pauca lucrifeceris ex iniquitate, tanquam parum fermenti, totam massam fermentat, quæ domum tuam fermentavit et polluit. Propterea sæpe pauca quædam male illata, multa recte condita ejecerunt et dissiparunt. Quid vero, inquies? Annon sunt multi avari qui hæc non patiantur? Maxime vero patientur, etsi non statim passi sint. Sin autem nunc effugerint, tunc magis time, quoniam reservantur ad majus supplicium. Etiamsi ipsi effugerint, hæredes tamen eorum non effugient. Et quomodo est, inquis, hoc justum? Et valde quidem est justum. Nam qui scelere acquisitæ successit hæreditati, etsi ipse non rapuit, habet tamen **234** quod raptum est. Ille colligavit, at tu tenes. Ille fecit injuriam, sed tu frueris : « Peccata thesaurizavit et iram in die iræ [24]. » Et tu peccatorum et iræ hæres, et de iis omnino ratio a te exigetur. Hæc autem sciunt quoque leges externæ; eos enim dimittentes qui subripuerunt et sustulerunt, jubent ab illis repetere omnia apud quos ea invenerint. Si nosti quidem eos qui sunt affecti injuria, redde; et fac quod fecit Zacchæus cum magna accessione. Sin autem ignoras, distribue omnia egentibus; et tu quidem habebis mercedem, ille autem supplicium.

Ejusdem ex Comment. in sanctum Evangelium secundum Joannem.

Lugete vos, qui injuria affecti estis, non vos ipsos, sed eos qui vos affecerunt injuria. Non vos enim injuria affecerunt, sed seipsos perdiderunt. Et vos pro injuria accepta habetis regnum cœlorum, illi autem pro lucro habent gehennam. Quamobrem eos lugeamus, non a vulgo sumpta lamentatione; sed ex sacris Litteris, qua etiam prophetæ lamentati sunt dicentes : « Væ qui domum domui conjungitis, et agrum agro appropinquatis, ut a proximo aliquid auferatis [25]. » — « Væ qui ædificat domum suam in altum, non cum justitia [26]. » Et Dominus : « Væ qui divites estis, quoniam esurietis; quoniam recipietis mercedem vestram et consolationem [27]. »

Ejusdem Chrysostomi ex Homilia de resurrectione.

Quod si malorum res prosperæ turbant aliquos, in hoc quoque illud considerent, quod sicut latrones et sepulcrorum effossores, et parricidæ, et malefici, priusquam veniant ad judicium, multis fruuntur deliciis et voluptatibus, ex alienis calamitatibus suas parantes copias, et injustas acquirentes

Τοῦ Χρυσοστόμου ἐκ τῆς πρὸς Κορινθίους α' Ἐπιστολῆς.

« Ὥστε ἑορτάζωμεν, φησὶ, μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας. » Καὶ γὰρ ἡ πλεονεξία ζύμη παλαιὰ κακίας καὶ πονηρίας ἐστὶ, καὶ ὅπουπερ ἐὰν εἰσέλθῃ, ἀκάθαρτα ἐργάζεται. Κἂν ὀλίγα ἐξ ἀδικίας κερδάνῃς, ὡς μικρὰ ζύμη ὅλον τὸ φύραμα τὸν οἶκόν σου ἐζύμωσε καὶ ἐμόλυνε. Διὰ τοῦτο πολλάκις τὰ εἰσενεχθέντα ὀλίγα κακῶς, τὰ καλῶς κείμενα ἐξέβαλε καὶ ἐξεφύσησε. Τί οὖν, φησὶ, ὅτι πολλοὶ πλεονεκτοῦντες, οὐ ταῦτα πάσχουσι; Μάλιστα μὲν πείσονται, κἂν μὴ παρὰ ταῦτα [f] πάθωσιν. Ἂν δὲ νῦν ἐκφύγωσι, τότε φοβήθητι μᾶλλον, ὅτι ἐπὶ μείζονι κολάσει τηροῦνται· κἂν αὐτοὶ διαφύγωσιν, ἄλλοι κληρονομήσαντες τὰ αὐτῶν, οὐ διαφεύξονται. Καὶ τοῦτο δίκαιον, φησί; Καὶ σφόδρα δίκαιον. Ὁ γὰρ διαδεξάμενος κλῆρον ἐξ ἀδικίας γενόμενον [g], εἰ καὶ αὐτὸς μὴ ἥρπασεν, ἀλλ' ὅμως τὴν ἁρπαγὴν ἔχει. Ἐκεῖνος ἀπέδυσεν, ἀλλὰ σὺ κατέχεις· ἐκεῖνος ἠδίκησε, καὶ σὺ ἀπολαύεις. Ἐκεῖνος « ἁμαρτίας ἐθησαύρισε, καὶ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς. » Καὶ σὺ τὰς ἁμαρτίας καὶ τὴν ὀργὴν ἐκληρονόμησας, καὶ ἀπαιτηθήσῃ περὶ αὐτῶν πάντως [τὸν λόγον]. Ταῦτα δὲ καὶ οἱ τῶν ἔξωθεν ἴσασι νόμοι· τοὺς γὰρ ἁρπάσαντας καὶ ἀφελομένους [h], ἐκείνους κελεύουσιν ἀπαιτεῖν παρ' οἷς ἂν εὕρωσι τις τὰ αὐτοῦ κείμενα ἅπαντα. Εἰ μὲν οἶδας τοὺς ἠδικημένους, ἀπόδος, καὶ ποίησον ἅπερ ἐποίησεν ὁ Ζακχαῖος μετὰ πολλῆς τῆς προσθήκης. Εἰ δὲ ἀγνοεῖς, τοῖς πτωχοῖς διάνεμε [i] ταῦτα πάντα· καὶ σὺ μὲν τὸν μισθὸν ἕξεις, ἐκεῖνοι δὲ τὴν κόλασιν.

Τοῦ αὐτοῦ, ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου.

Θρηνήσατε, οἱ ἠδικημένοι, μὴ ἑαυτοὺς, ἀλλὰ τοὺς ἀδικήσαντας ὑμᾶς· οὐ γὰρ ὑμᾶς ἠδίκησαν, ἀλλ' ἑαυτούς [k]. Καὶ ὑμεῖς μὲν ἔχετε τὴν βασιλείαν τῶν οὐρανῶν ἀντὶ τῆς ἀδικίας, ἐκεῖνοι δὲ τὴν γέενναν ἀντὶ τοῦ κέρδους. Διὸ θρηνήσωμεν αὐτοὺς θρῆνον, μὴ τὸν κοινὸν, ἀλλὰ τὸν ἀπὸ τῶν θείων Γραφῶν, δ[ν] καὶ οἱ προφῆται ἐθρήνησαν λέγοντες· « Οὐαὶ, οἱ συνάπτοντες οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι. » — « Οὐαὶ, ὁ οἰκοδομῶν τὴν οἰκίαν αὐτοῦ εἰς ὕψος [l], οὐ μετὰ δικαιοσύνης. » Καὶ ὁ Κύριος· « Οὐαὶ, οἱ πλουτοῦντες, ὅτι πεινάσετε· ὅτι ἀπέχετε τὸν μισθὸν ὑμῶν καὶ τὴν παράκλησιν. »

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ ἀναστάσεως.

Εἰ δὲ τῶν πονηρῶν εὐημερίαι θορυβοῦσί τινας, καὶ ἐπὶ τούτῳ ἐκεῖνο λογιζέσθωσαν, ὅτι, καθάπερ λῃσταὶ, καὶ τυμβωρύχοι, καὶ ἀνδροφόνοι, καὶ κακοῦργοι, πρὶν μὲν εἰς τὸ δικαστήριον ἐλθεῖν, πολλῆς ἀπολαύουσι τρυφῆς, οἰκείαν εὐπορίαν τὰς ἀλλοτρίας συμφορὰς ποιούμενοι, καὶ τὸν ἄδικον κτώμενοι πλοῦ-

[22] I Cor. v, 8. [24] Rom. II, 5. [25] Isa. v, 8. [26] Prov. XVII, 16. [27] Luc. VI, 24, 25.

VARIÆ LECTIONES.

[f] παρ' αὐτά vel παραυτά. quod est παραυτίκα, *statim*. [g] ἀδικίας γέμοντα. [h] ὀφελομένους. [i] δεομένοις διάνεμε. [k] ἀπώλεσαν. [l] πρὸς ὕψος.

τον, καὶ καθ' ἑκάστην λατρεύονται τὴν ἡμέραν, ἐπειδὰν δὲ ὑπὸ τῆς τοῦ δικαστοῦ γένωνται ψήφου, πάντων ἐκείνων διδόασι δίκην· οὕτω καὶ οὗτοι, οἱ πόρνας ἀγοράζοντες, καὶ τὰς Συβαριτικὰς παρατιθέμενοι τραπέζας, καὶ τὰς ὀφρεῖς[m] κατασπῶντες, καὶ σοβοῦντες ἐπὶ τῆς ἀγορᾶς, καὶ τοὺς πένητας σπαράττοντες, ὅταν ὁ Χριστὸς παραγένηται μετὰ τῶν ἀγγέλων αὐτοῦ, καὶ ἐπὶ τοῦ βήματος ἐκείνου καθίσῃ, καὶ τὴν οἰκουμένην εἰς μέσον παρ[αγ]άγῃ, γυμνοὶ καὶ πάσης ἔρημοι τῆς φαντασίας εἰσενεχθέντες, καὶ οὐδένα συνήγορον οὐδὲ προστάτην ἔχοντες, χωρὶς συγγνώμης εἰς τοὺς τοῦ πυρὸς ἀπενεχθήσονται τόπους[n].

A divitias, insidias et latrocinia exercentes singulis diebus. Postquam autem subierint sententiam judicis, dant pœnas illorum omnium : ita et hi qui emunt meretrices, et mensas apponunt Sybariticas, et supercilia contrahunt, et in foro superbe et magnifice incedunt, et pauperes discerpunt; quando Christus advenerit cum suis angelis, et sederit in illo tribunali[28], et orbem terrarum in medium adduxerit; adducti nudi, et ab omni apparenti specie ac pompa destituti, neque ullum habentes patronum ac defensorem, deferentur absque venia in fluvios ignis.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Κορινθίους α' Ἐπιστολῆς.

235 *Ejusdem ex Comment. in Epistolam I ad Corinthios.*

Πόθεν οὖν οἱ πλουτοῦντες, φησὶ, [πλουτοῦσι]; καὶ γὰρ εἴρηται· Πλοῦτος καὶ πενία παρὰ Κυρίου. Ἐρώμεθα οὖν τοὺς ταῦτα ἡμῖν ἀνθυποφέροντας· Ἆρα πᾶς πλοῦτος καὶ πᾶσα πενία παρὰ Θεοῦ; Καὶ τίς ἂν τοῦτο εἴποι; Καὶ γὰρ ὁρῶμεν καὶ ἐξ ἁρπαγῆς, καὶ ἀπὸ τυμβωρυχίας, καὶ ἀπὸ γοητείας, καὶ ἐξ ἑτέρων τοιούτων προφάσεων, συναγόμενον πλοῦτον, καὶ τοὺς ἔχοντας οὐδὲ ζῆν ἀξίους ὄντας. Τί οὖν; εἰπέ μοι· τοῦτον παρὰ Θεοῦ τὸν πλοῦτόν φαμεν; Ἄπαγε. Ἀλλὰ πόθεν; Ἐξ ἁμαρτίας. Καὶ γὰρ ἡ πόρνη τὸ σῶμα ἐνυβρίσασα, πλουτεῖ, καὶ εὔμορφος νέος πολλάκις πορνεύων, ἐπλούτησεν. Οὐκοῦν πλοῦτος μέν ἐστιν ἐκ Θεοῦ, οἷος ἦν καὶ τοῦ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ τοῦ Ἰώβ. Διὸ καὶ ἔλεγεν· « Εἰ τὰ ἀγαθὰ ἐκ χειρὸς Κυρίου ἐδεξάμεθα, τὰ κακὰ οὐχ ὑποίσομεν; » Καὶ ὁ μετὰ ταῦτα διπλασιασμὸς τοῦ πλούτου αὐτοῦ δῶρόν ἐστι· πενία δὲ πάλιν παρὰ Θεοῦ, οἷαν προξενεῖ τότε τῷ πλουσίῳ, λέγων· « Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς. » Καὶ τοῖς μαθηταῖς πάλιν νομοθετῶν, ὅτι « Μὴ κτήσασθε χρυσὸν, μηδὲ ἄργυρον. »

B Unde igitur divites divitias suas habent? Dictum est enim : Divitiæ et paupertas a Domino. Interrogemus ergo qui hæc nobis objiciunt: Omnesne divitiæ et omnis paupertas a Deo? Quis hoc dixerit? Videmus enim cogi divitias, et ex rapina, et ex sepulcrorum effossione, et ex præstigiis, et ex aliis hujusmodi causis; et qui eas habent, ne dignos quidem esse qui vivant. Quid ergo? Dic mihi. Hasne divitias dicemus esse a Deo? Absit! Sed unde? Ex peccato. Nam et meretrix ditescit, contumelia et probro affecto corpore; et formosus juvenis ex scortatione sæpe fuit ditatus. Tales ergo divitiæ ex Deo sunt, quales Abrahami, Isaac, Jacob et Job. Quamobrem dicebat : « Si bona accepimus de manu Domini, mala cur non feramus[29]? » Et quæ postea facta est multiplicatio divitiarum, Dei donum erat. Rursus illa paupertas est a Deo, qualem suadebat ei, qui tunc erat dives, dicens : « Si vis perfectus esse, vade et vende omnia quæ habes, et da pauperibus[30]. » Et discipulis leges statuens : « Nolite possidere aurum, neque argentum[31]. »

C

Βούλει καὶ τοὺς οὐ παρὰ Θεοῦ γενομένους πλουσίους ἰδεῖν; Ὅρα τὸν ἐπὶ Λαζάρου, τὸν Ἀχαὰβ, τὸν Γιεζῆ, καὶ τοὺς τοιούτους. Οἱ μὲν γὰρ δικαίως κεκτημένοι, ἅτε παρὰ Θεοῦ λαβόντες, εἰς τὰ τοῦ Θεοῦ προστάγματα ἀναλίσκουσιν· οἱ δὲ ἐν τῷ κτᾶσθαι προσκρούοντες τῷ Θεῷ, καὶ ἐν τῷ δαπανᾷν τὸ αὐτὸ ποιοῦσιν, ἢ εἰς πόρνας καὶ παρασίτους ἀναλίσκοντες, ἢ κατορύττοντες, εἰς πτωχοὺς δὲ οὐδὲν δαπανῶντες. Ὧν γὰρ ἡ συλλογὴ, ὡς ἔφην, εἰς λύπην τοῦ Θεοῦ γέγονε, τούτων καὶ ἡ διανομή. Μάθε τοίνυν καὶ πενίαν οὐκ ἀπὸ Θεοῦ γενομένην. Ὅταν γάρ τις ἄσωτος νέος εἰς πόρνας ἀναλώσῃ τὸν πλοῦτον, ἢ εἰς γόητας, ἢ εἰς ἑτέρους τινὰς τοιαύτας ἐπιθυμίας, καὶ γένηται πένης, οὐκ εὔδηλον, ὅτι ἀπὸ Θεοῦ οὐ γέγονε τοῦτο, ἀλλὰ ἀπὸ τῆς οἰκείας ἀσωτίας; Πάλιν, εἴ τις ἀπὸ ἀργίας ἢ ἀνοίας γένηται πένης, οὐκ εὔδηλον, ὅτι αὐτός ἐστιν αἴτιος τῆς αὐτοῦ πενίας; Μὴ τοίνυν λέγε, ὅτι πάντα πλοῦτον καὶ πᾶσαν πενίαν ὁ Θεὸς δίδωσι.

D Vis etiam videre eos qui non a Deo facti sunt divites? Vide eum qui tempore Lazari fuit dives, et Achab, et Giezi, et qui sunt ejusmodi. Nam isti juste quidem possidentes, ut qui a Deo acceperunt, in Dei præcepta consumunt; hi vero etiam possidendo, Deum offendunt, et impendendo idem faciunt, in meretrices consumentes, et in parasitos, aut infodientes, in pauperes autem nihil impendentes. Quorum enim, ut dixi, facta est cum Dei offensa collectio, eorum similis est distributio. Disce etiam paupertatem a Deo non factam. Quando enim adolescens, cum sit prodigus, in meretrices consumit divitias, aut in præstigiatores, aut in quædam hujusmodi desideria, et pauper factus fuerit, annon est manifestum quod hoc non a Deo factum sit, sed ex sua profusione? Rursus si quis factus sit pauper ex otio, aut vecordia, non est perspicuum quod ipse sit causa suæ paupertatis? Noli ergo dicere: Deus dat omnes divitias, et omnem paupertatem.

[28] Matth. xxv, 31; xxvii, 19. [29] Job ii. 10. [30] Matth. xix, 21. [31] Matth. x, 21.

VARIÆ LECTIONES.

[m] ὀφρύς. [n] ἀναλίσκονται ποταμούς.

Palladii, ex Vita Chrysostomi.

Sic autem sunt undique malorum hominum inconcussæ prosperitates, Deo in eos suam ostendente lenitatem et patientiam, ut et sancti a facie eorum qui affligunt, exclament ad consolationem nostram, **236** qui nunc patimur. Et primus quidem Job dicit: « Habent meas quidem carnes dolores; cur autem vivunt impii, et consenescunt in divitiis? Satiò autem succedit eis ex animo? Filii eorum in oculis, domus eorum plenæ sunt, timor nusquam, flagellum Domini non est super eos, vacca eorum non abortiit, conservata est autem ab æstu prægnans, et non cecidit; manent autem oves tanquam æternæ. Filii eorum ludunt accipientes psalterium et citharam, oblectantur in voce psalmi, confecerunt in bonis viam suam, in requie autem inferni dormierunt. Dicit autem Domino: Discede a me, vias tuas scire nolo [33]. »

Secundus, David dicit: « Quam bonus es, Deus Israel, rectis corde! Mei autem pene moti sunt pedes, propemodum effusi sunt gressus mei, quoniam zelavi super iniquos, pacem peccatorum videns [34]. » Rursus: « Quorum os locutum est vanitatem, et dextera eorum dextera iniquitatis; quorum filii sicut novellæ olivarum, plantatæ in juventute sua, filiæ eorum compositæ, ornatæ sicut similitudo templi. Promptuaria eorum plena eructantia ex hoc in illud. Oves eorum fetosæ, abundantes in egressibus suis; boves eorum crassæ; non est ruina maceriæ, neque transitus, neque clamor in plateis eorum [35]. »

Tertius, Habacuc dicit: « Quousque, Domine, clamabo injuria affectus, et non exaudies? Vociferabo et non servabis? Cur mihi ostendisti labores et vexationes, aspicere miseriam et impietatem? Contra me factum est judicium, et judex accipit. Propterea dissipata est lex, et non perducitur ad finem judicium, quoniam impius potentia opprimit justum [36]. »

Quartus, Jeremias dicit: « Sed judicia loquar ad te, Domine: Quid est, quod via impiorum prosperatur, res secundæ sunt omnibus, qui transgrediuntur transgressionem; plantasti eos et radices egerunt et fecerunt fructum? Prope es tu ori eorum, et procul a renibus suis [36]. »

Quintus, Malachias adversus eos qui Dei providentiam reprehendunt, et sanctos vocant miseros, dicit ex persona Domini: « Ingravastis super me verba vestra, dicit Dominus. Et dixistis: In quo locuti sumus contra te? Dixistis: Vanus est, qui servit Deo, et quid amplius, quia custodivimus præcepta ejus, et quia ambulavimus supplices ante faciem Domini omnipotentis? Et nunc nos beatos dicimus **237** alienos, et ædificant omnes qui fa-

Παλλαδίου, ἐκ τοῦ Βίου τοῦ Χρυσοστόμου.

Οὕτω δὲ πάντοτέ εἰσιν αἱ τῶν κακῶν ἀνθρώπων ἄσειστοι εὐημερίαι, τοῦ Θεοῦ μακροθυμοῦντος, ὡς καὶ τοὺς ἁγίους ἐκ προσώπου τῶν θλιβομένων προαναφωνεῖν εἰς ἡμῶν πασχόντων παράκλησιν. Καὶ πρῶτος μὲν Ἰὼβ λέγει· « Ἔχουσι δέ μου τὰς σάρκας ὀδύναι· διατί δὲ ἀσεβεῖς ζῶσι, πεπαλαίωνται δὲ ἐν πλούτῳ; Ὁ σπόρος αὐτῶν κατὰ ψυχήν, τὰ δὲ τέκνα αὐτῶν [ἐν ὀφθαλμοῖς· οἱ οἶκοι αὐτῶν] εὐθηνοῦσι. Φόβος οὐδαμοῦ, μάστιξ Κυρίου οὐκ ἔστιν ἐπ' αὐτούς· ἡ βοῦς αὐτῶν οὐκ ὠμοτόκησε, διεσώθη δὲ ἀπὸ καύματος ἐν γαστρὶ ἔχουσα, καὶ οὐκ ἔσφαλε. Μένουσι δὲ ὥσπερ πρόβατα αἰώνια, τὰ δὲ παιδία αὐτῶν προσπαίζουσιν, ἀναλαβόντες ψαλτήριον, καὶ κιθάραν, εὐφραίνονται φωνῇ ψαλμοῦ, συνετέλεσαν ἐν ἀγαθοῖς τὴν ζωὴν αὐτῶν, ἐν δὲ ἀναπαύσει ᾅδου ἐκοιμήθησαν. Λέγει δὲ Κυρίῳ· Ἀπόστα ἀπ' ἐμοῦ, ὁδούς σου εἰδέναι οὐ βούλομαι. »

Δεύτερος δὲ ὁ Δαβὶδ φησιν· « Ὡς ἀγαθὸς ὁ Θεὸς τοῦ Ἰσραὴλ τοῖς εὐθέσι τῇ καρδίᾳ! ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου, ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν. » Καὶ πάλιν· « Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας· ὧν υἱοὶ αὐτῶν ὡς νεόφυτα ἐν τῇ νεότητι αὐτῶν ἱδρυμένα· αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι, ὡς ὁμοίωμα ναοῦ. Τὰ ταμιεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο. Τὰ πρόβατα αὐτῶν πολύτοκα, πληθύνονται ἐν ταῖς ἐξόδοις αὐτῶν· οἱ βόες αὐτῶν παχεῖς. Οὐκ ἔστι κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος, οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν. »

Τρίτος δὲ ὁ Ἀββακούμ φησι· « Ἕως πότε, Κύριε, κεκράξομαι πρὸς σὲ ἀδικούμενος, καὶ οὐ μὴ εἰσακούσῃς; Ἵνα τί μοι ὑπέδειξας κόπους καὶ πόνους ἐπιβλέπειν, ταλαιπωρίαν καὶ ἀσέβειαν; Ἐξ ἐναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει· διὰ τοῦτο διεσκέδασται νόμος, καὶ οὐ διεξάγεται εἰς τέλος κρῖμα, ὅτι ὁ ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον. »

Τέταρτος Ἱερεμίας φησί· « Πλὴν κρίματα λαλήσω πρὸς σέ, Κύριε. Τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; Εὐθήνησαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα. Ἐφύτευσας αὐτούς, καὶ ἐρριζώθησαν, καὶ ἐποίησαν καρπόν· ἐγγὺς εἶ σὺ τοῦ στόματος αὐτῶν, καὶ πόρρω ἀπὸ τῶν νεφρῶν° αὐτῶν. »

Πέμπτος Μαλαχίας πρὸς τοὺς πρόνοιαν τοῦ Θεοῦ μεμφομένους, καὶ τοὺς ἁγίους ταλανίζοντας, ἐκ προσώπου τοῦ Θεοῦ φησιν· « Ἐβαρύνατε ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν, λέγει Κύριος, καὶ εἴπατε· Ἐν τίνι κατελαλήσαμέν σου; Εἴπατε· Μάταιος ὁ δουλεύων Θεῷ· καὶ τί πλέον, ὅτι ἐφυλάξαμεν τὰ προστάγματα αὐτοῦ, διότι ἐπορεύθημεν ἱκέται πρὸ προσώπου Κυρίου παντοκράτορος; Καὶ νῦν ἡμεῖς μακαρίζομεν ἀλλοτρίους, καὶ ἀνοικοδομοῦνται πάντες οἱ ποιοῦνται

[33] Job XXI, 7 14. [34] Psal. LXXII, 1-3. [35] Psa.. CXLIII, 8, 14. [36] Habac. I, 2-4. [36] Jerem. XII, 1, 2.

VARIÆ LECTIONES.

° ὀφθαλμῶν.

ἄνομα, καὶ ἀνέστησαν Θεῷ, καὶ ἐσώθησαν. Ταῦτα κατελάλησαν οἱ μὴ φοβούμενοι τὸν Κύριον, ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ.» Καὶ πάλιν· «Ὦ οἱ παροξύνοντες τὸν Θεὸν ἐν τοῖς λόγοις ὑμῶν, καὶ εἴπατε, Ἐν τίνι παρωξύναμεν αὐτόν; Ἐν τῷ λέγειν ὑμᾶς· Πᾶς ποιῶν πονηρὰ, καλὸς ἐνώπιον Κυρίου, καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησε. Καὶ ποῦ ἐστιν ὁ Θεὸς τῆς δικαιοσύνης;» Λέγει δὲ καὶ ὁ θεῖος Ἀπόστολος, ὅτι «Πονηροὶ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι.» Μὴ τοίνυν μήτε τούτους μακαρίσῃς, διὰ τὴν ἐνταῦθα εὐημερίαν· ἀλλὰ δάκρυσον διὰ τὴν μέλλουσαν τιμωρίαν· μήτε τοὺς δικαίους ταλανίσῃς διὰ τὴν ἐνταῦθα πενίαν, ἀλλὰ μακάρισον διὰ τὸν μέλλοντα πλοῦτον. [Οὗ καὶ ἡμεῖς κληρονόμοι γενέσθαι σπουδάσωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ Πατρὶ, καὶ τῷ παναγίῳ Πνεύματι νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.]

A ciunt iniquæ, et restiterunt Deo, et salvi facti sunt. Hæc locuti sunt, qui non timent Dominum, unusquisque ad proximum suum [37].» Rursus: «Qui irritatis Deum in sermonibus vestris et dixistis: In quo irritamus ipsum? In eo, quod dicitis, omnis qui facit mala, bonus est, coram Domino, et in his ipse sibi complacuit et ubi est Deus justitiæ [38]?» Divinus quoque Apostolus ait: «Mali homines et seductores proficient in pejus, errantes et in errorem mittentes [39].» Noli ergo eos beatos dicere, propter res quas hic habent secundas; sed defle potius, propter futurum supplicium; neque justos miseros esse statuas propter paupertatem qua laborant, sed potius beatos propter futuras divitias.

ΕΡΩΤΗΣΙΣ ΙΒ'.

Τί ἐστιν ὁ μαμωνᾶς τῆς ἀδικίας;

ΑΠΟΚΡΙΣΙΣ.

Οὐ, καθὰ νομίζουσί τινες, τὸν ἀπὸ ἀδικίας καὶ πλεονεξίας συναγόμενον πλοῦτον τοῦτον εἶναι τὸν μαμωνᾶν, ἐξ οὗ εἶπεν ὁ Κύριος ποιεῖν πένητας φίλους· ἀλλὰ τὸν ἐκτὸς τῆς P χρείας ἡμῶν ἀποκείμενον πλοῦτον. Ὁ γὰρ εὐπορῶν θρέψαι ἢ σῶσαι τὸν ἀπὸ λιμοῦ, ἢ χρέους, ἢ αἰχμαλωσίας ἀπολλύμενον, καὶ μὴ βοηθῶν, ὄντως ὡς ἄδικος καὶ φονεὺς δικαίως κατακριθήσεται. Οὐκοῦν οὐ τὸν ἐξ ἀδικίας πλοῦτον, ἀλλὰ τὸν ὑπὲρ τὴν χρείαν ἡμῶν ἀποκείμενον, μαμωνᾶν ἀδικίας ὁ Κύριος ἀπεκάλεσεν, ὡς καὶ ἀλλαχόθι ἐπιπλήττων τοὺς ἀνελεήμονας λέγει· «Εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ἀληθινὸν q τίς ὑμῶν πιστεύσει; καὶ εἰ ἐν ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς δώσει ὑμῖν;» Ἀλλότριον δὲ λέγει τὴν τῶν χρημάτων περιουσίαν. Οὐ γὰρ γεγεννήμεθα μετὰ πλούτου, ἀλλὰ γυμνοὶ, κατὰ τὸ γεγραμμένον· «Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον, οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα.» Ἀλλότριον τοίνυν παντὸς ἀνθρώπου φυσικῶς τὸ πλουτεῖν· ἔξωθεν γὰρ προσγίνεται, καὶ ἐπισυμβαίνει τισίν r. Ὅταν οὖν ἐν τῷ ἀδίκῳ, καὶ ἐν τῷ ἀλλοτρίῳ, τουτέστιν, ἐν τοῖς ὑπὲρ τὴν χρείαν, καὶ ἐν τοῖς ἔξω προσγινομένοις, πιστοὶ οὐκ ἐγένεσθε, πῶς ἂν s λάβοιτε τὸ ἀληθινὸν καὶ ὑμέτερον; τουτέστι τὸ θεῖον χάρισμα καὶ τὸ θεόσδοτον ἀγαθὸν, ἐπεὶ t ὁ λέγων· «Ὁρᾶτε, καὶ φυλάξασθε ἀπὸ τῆς πλεονεξίας, ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτῷ·» καί· «Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν·» καὶ διὰ τοῦ προφήτου· «Ἐγώ εἰμι u, ὁ ἀγαπῶν δικαιοσύνην, καὶ μισῶν ἅρπαγμα ἐξ ἀδικίας,» οὐκ ἂν ἐδίδασκεν ἡμᾶς διὰ τοῦ ἐξ ἀδικίας καὶ πλεον-

B

QUÆSTIO XII.

Quidnam sit mammona iniquitatis?

RESPONSIO.

Mammona non sunt dicendæ, sicut nonnulli existimant divitiæ, quæ parantur ex injustitia; ex quo dixit Dominus pauperum amicitiam conciliandam esse; sed eæ quæ extra usum nostrum repositæ sunt. Is enim, cui suppeditant opes vel ad alendum, vel conservandum eum qui perit fame, aut debitis, aut captivitate; et non fert opem, is revera juste condemnabitur tanquam injustus et homicida. Non eas ergo divitias quæ partæ sunt ex iniquitate, sed eas quæ supra usum nostrum sunt repositæ, vocavit Dominus mammonam iniquitatis; C sicut etiam alibi increpans immisericordes ait: «Si ergo in iniquo mammona fideles non fuistis, quod verum est, quis credet vobis? Et si in alieno fideles non fuistis, quod vestrum est, quis dabit vobis [40]?» Alienum dicit, superfluam copiam pecuniæ. Non enim nati sumus cum divitiis, sed nudi, sicut scriptum est: «Nihil intulimus in hunc mundum; haud dubium quod nec auferre quid possumus [41].» Alienum ergo ab omni homine est naturaliter esse divitem; omnibus enim fit et accidit extrinsecus. Quando ergo in injusto et in alieno, hoc est, in iis quæ sunt supra usum, et in iis quæ advenerunt extrinsecus, fideles non fuistis, quomodo accipietis quod verum est, ac vestrum, hoc est, divinam gratiam, et bonum a Deo D datum? Nam qui dicit: «Videte et cavete ab omni avaritia: quia, non in abundantia cujusque vita ejus est, ex his, quæ possidet [42]»; «et: «Nisi abundaverit **238** justitia vestra plus quam Scribarum et Pharisæorum, non intrabitis in regnum cœlorum [43]»; » et per prophetam: «Ego sum Dominus, qui diligo justitiam, et odi rapinas ex iniquitate [44]»; » non jubet per divitias quæ parantur ex injustitia et

[37] Malach. III, 13-16. [38] Malach. II, 17. [39] II Tim. III, 13. [40] Luc. XVI, 11, 12. [41] I Tim. VI, 7. [42] Luc. XII, 15. [43] Matth. V, 20. [44] Isai. LXI, 8.

VARIÆ LECTIONES.

P ἐκ τῆς. q ἐν τῳ ἀληθινῷ. r πᾶσιν. s οὖν. t εἶπε. u Κύριος.

avaritia ipsum placare. Bonus enim non docet vitium, neque benefactor, avaritiam, neque justus erudit ad injustitiam. Absit!

Loquitur ergo de divitiis quæ sunt extra usum nostrum : sicut etiam ejus frater secundum carnem Jacobus invehitur in eos qui sunt tales, dicens: « Agite nunc, divites, plorate ululantes in miseriis vestris quæ advenient vobis. Divitiæ vestræ putrefactæ sunt; et vestimenta vestra a tineis comesta sunt. Aurum et argentum vestrum æruginavit; et ærugo eorum in testimonium vobis erit; et comedet carnes vestras sicut ignis. Thesaurizastis vobis iram in novissimis diebus [46]. »

Vides quod hoc dictum sit de superfluis divitiis et non de iis quæ paratæ sunt ex injustitia. « Quæ enim, inquit Apostolus, participatio justitiæ cum iniquitate? aut quæ societas luci ad tenebras? quæ autem conventio Christi ad Belial [47]? » Et rursum : « Mortificate membra vestra, quæ sunt super terram : fornicationem, immunditiam, libidinem, concupiscentiam malam, et avaritiam, quæ est simulacrorum servitus; propter quæ venit ira Dei super filios incredulitatis [48]. » Et: « Hoc enim scitote intelligentes quod omnis fornicator, aut immundus, aut avarus, quod est idolorum servitus, non habet hæreditatem in regno Christi et Dei [49]. » Et : « Radix omnium malorum est cupiditas [50]. » Et : « Cognovit Dominus qui sunt ejus; et discedat ab iniquitate omnis, qui nominat nomen Domini [51]. »—« An nescitis quia iniqui regnum Dei non possidebunt? Nolite errare; neque avari, neque rapaces regnum Dei possidebunt [52]. »

Salomonis.

« Facere justa, et esse veracem, placita apud Deum magis quam hostiarum sanguis [53]. » Et: « Sacrificia impiorum abominatio Domino [54]. » Etenim ea inique offerunt.

Sirach.

« Offerre ex injuste acquisitis, est reprehensione digna oblatio, et qui sacrificat ex substantia pauperum similis est illi, qui in conspectu patris victimat filium [55]. »

239 *Malachiæ.*

« Vos sacerdotes, qui despicitis nomen meum; et inferebatis rapinas, et clauda, et debilia. Et si offeratis sacrificium, non suscipiam ea de manibus vestris, dicit Dominus omnipotens [56]. »

Ezechiel.

« Hæc dicit Dominus : Sacerdotes ejus contempserunt legem meam, et polluerunt sancta mea; inter sanctum et profanum non distinguebant, et inter immundum et mundum non distinguebant [57]. »

A εξίας πλούτου ἐξιλεοῦσθαι αὐτόν. Οὐ γὰρ ἀγαθὸς κακίαν διδάσκει, οὐδὲ πλεονεξίαν ὁ εὐεργέτης, οὐδὲ ἀδικίαν ὁ δίκαιος ἐκπαιδεύει. Μὴ γένοιτο!

Ὥστε οὖν περὶ τοῦ ἐκτὸς τῆς χρείας ἡμῶν πλούτου λέγει· ὡς καὶ ὁ κατὰ σάρκα ἀδελφὸς αὐτοῦ Ἰάκωβος στηλιτεύων τοὺς τοιούτους λέγει· « Ἄγε νῦν, οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῶν ταῖς ἐπερχομέναις. Ὁ πλοῦτος ὑμῶν σέσηπε,, καὶ τὰ ἱμάτια ὑμῶν σητόβρωτα γέγονε, καὶ ὁ χρυσὸς ὑμῶν καὶ ὁ ἄργυρος κατίωται, καὶ ὁ ἰὸς αὐτῶν μαρτύριον ὑμῖν ἔσται, καὶ φάγεται [x] τὰς σάρκας ὑμῶν ὡς πῦρ, ὃ ἐθησαυρίσατε ἐν ἐσχάταις ἡμέραις. »

Ὁρᾷς, ὅτι περὶ περιττεύοντος πλούτου, καὶ οὐ τοῦ ἐξ ἀδικίας εἴρηται. « Ὅτι γὰρ [y], φησὶν ὁ Ἀπόστολος, μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ ; τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαλ; » Καὶ πάλιν · « Νεκρώσατε τὰ μέλη ὑμῶν, τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία· δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. » Καὶ, « Τοῦτο γὰρ ἴστε γινώσκοντες, ὅτι πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ. » Καὶ, « Ῥίζα πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία. » Καὶ, « Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ, καὶ ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὀνομάζων τὸ ὄνομα Κυρίου. » Καὶ, « Οὐκ οἴδατε, ὅτι ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι; Μὴ πλανᾶσθε, ὅτι οὔτε πλεονέκται, οὔτε ἅρπαγες βασιλείαν Θεοῦ κληρονομήσουσι. »

Σολομῶντος.

« Ποιεῖν δίκαια [z], καὶ ἀληθεύειν, ἀρεστὰ Κυρίῳ μᾶλλον, ἢ θυσίαι. » Καὶ, « Θυσία [a] ἀσεβῶν βδέλυγμα Κυρίῳ · » καὶ γὰρ παρανόμως φέρουσιν [b] αὐτάς.

Σειράχ.

« Θυσιάζων ἐξ ἀδίκων, θυμίαμα μεμωμημένον [c]· καὶ ὡς θύων υἱὸν ἐναντι πατρὸς αὐτοῦ, οὕτως ὁ προσάγων θυσίαν ἐκ χρημάτων πενήτων. »

Μαλαχίου.

« Ὑμεῖς οἱ ἱερεῖς, οἱ φαυλίζοντες τὸ ὄνομά μου· καὶ εἰσφέρετε ἅρπαγμα, καὶ χωλὰ [d], καὶ τὰ ἐνοχλούμενα. Καὶ ἐὰν προσφέρηται αὐτὰ εἰς θυσίαν, οὐ προσδέξομαι αὐτὰ ἐκ τῶν χειρῶν, λέγει Κύριος. »

Ἰεζεκιήλ.

« Τάδε λέγει Κύριος· Οἱ ἱερεῖς ἠθέτησαν νόμον μου, καὶ ἐβεβήλουν τὰ ἁγιά μου, ἀνὰ μέσον ἁγίου μου καὶ βεβήλου οὐ διέστελλον, καὶ ἀνὰ μέσον ἀκαθάρτου καὶ καθαροῦ οὐ διέστελλον. »

[46] Jac. v, 1-3. [47] II Cor. vi, 14, 15. [48] Coloss. iii, 5-6. [49] Ephes. v, 5. [50] I Tim. vi, 10. [51] II Tim. ii, 19. [52] I Cor. vi, 10. [53] Prov. xxi, 3. [54] Prov. xv, 8. [55] Eccli. xxxi, secund. LXX. Ed. vulg. xxxiv, 21, 24. [56] Malach. i, 6-8. [57] Ezech. xxii, 26.

VARIÆ LECTIONES.

[x] φάγετε. [y] τίς γάρ. [z] δικαίωμα. [a] θυσίαι. [b] προσφέρουσιν. [c] θυσία μεμωμημένη. [d] ἁρπάγματα, καὶ τὰ χωλά.

Ἐκ τῶν ἀποστολικῶν Διαταγμάτων [e].

Χρὴ τὸν ἐπίσκοπον εἰδέναι, τίνων ὀφείλει δέχεσθαι καρποφορίαν, καὶ τίνων οὐκ ὀφείλει. Φυλακτέοι γὰρ αὐτῷ πρὸς δόσιν, κάπηλοι. « Οὐ δικαιωθήσεται γὰρ κάπηλος ἀπὸ ἁμαρτίας. » Περὶ αὐτῶν γάρ που καὶ Ἡσαΐας φησί· « Οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι. » Φευκτέοι δὲ αὐτῷ καὶ οἱ πόρνοι· « Οὐ προσοίσεις γὰρ, φησὶ, τῷ Κυρίῳ μίσθωμα πόρνης. » Καὶ ἁρπαγες, καὶ τῶν ἀλλοτρίων ἐπιθυμηταί, καὶ μοιχοί. Βδελυκταὶ γὰρ αἱ τούτων θυσίαι τῷ Θεῷ. Ἀλλὰ καὶ οἱ θλίβοντες χήραν, καὶ ὀρφανὸν καταδυναστεύοντες, καὶ τὰς φυλακὰς πληροῦντες ἀναιτίων, ἢ καὶ τοῖς ἑαυτῶν οἰκέταις πονηρῶς χρώμενοι, πληγαῖς φημι, καὶ λιμῷ καὶ κακοδουλείᾳ, ἢ [πολλοὺς λυμαινόμενοι] φευκτέοι ἑστωσάν σοι, ὦ ἐπίσκοπε, καὶ αἱ τούτων προσφοραί. Παραιτοῦ δὲ καὶ ῥᾳδιουργοὺς καὶ κλέπτας, καὶ τελώνας ἀδίκους, καὶ ζυγοκρούστας, καὶ δολομέτρας, καὶ στρατιώτην συκοφάντην, μὴ ἀρκούμενον τοῖς ὀψωνίοις, ἀλλὰ καὶ τοὺς πένητας διασείοντα. Φονέα δὲ καὶ δήμιον, καὶ δικαστὴν παρανόμως, πραγμάτων ἀνατροπέα, ἄνθρωπον ἐπίβουλον, μιαρὸν ἐργάτην, μέθυσον, βλάσφημον, τοκογλύφον, καὶ παντὸς ἑτέρου πονηροῦ, καὶ τῇ γνώμῃ τοῦ Θεοῦ διαμαχομένου [f]. Ὅτι λέγει ἡ Γραφή, βδελυκτοὺς εἶναι παρὰ Θεῷ πάντας τοὺς τοιούτους. Οἱ γὰρ παρὰ τοιούτων δεχόμενοί [τι] καὶ τρέφοντες χήρας καὶ ὀρφανοὺς, ὑπεύθυνοι τῷ τοῦ Κυρίου κριτηρίῳ γενήσονται. Εἰ δὲ καὶ ἐκ τούτων φαγοῦσα χήρα, προσεύξηται ὑπὲρ αὐτῶν, οὐκ εἰσακουσθήσεται· ὅτι ὁ καρδιογνώστης Θεὸς μετὰ κρίσεως ἀπεφήνατο περὶ τῶν ἀσεβῶν, λέγων· « Ἐὰν στῇ Μωϋσῆς καὶ Σαμουὴλ πρὸ προσώπου μου ὑπὲρ αὐτῶν, οὐκ εἰσακούσομαι αὐτῶν. »—« Καὶ σὺ, μὴ προσεύχου ὑπὲρ τοῦ λαοῦ τούτου, μηδὲ ἄξιου ἐλεηθῆναι αὐτοὺς, καὶ μὴ προσέλθῃς μοι περὶ αὐτῶν, ὅτι οὐκ εἰσακούσομαί σου. »

Οὐ μὴν δὲ, ἀλλὰ καὶ οἱ ἐν ἁμαρτίαις γενόμενοι, καὶ μὴ μετανοήσαντες, οὐ μόνον οὐκ εἰσακουσθήσονται προσευχόμενοι, ἀλλὰ καὶ τὸν Θεὸν παροξύνουσιν ὑπομιμνήσκοντες αὐτὸν τῆς ἑαυτῶν μοχθηρίας. Περιίστασθε οὖν τὰς τοιαύτας διακονίας, ὡς ὅλαγμα [g] κυνὸς, καὶ μίσθωμα πόρνης. Ἑκάτερα γὰρ τοῖς νόμοις ἀπηγόρευται. Οὔτε γὰρ ὁ Ἐλισσαῖος τὰ παρὰ Ἀζαὴλ προ[σ]κομισθέντα ἐδέξατο, οὔτε Ἀχίας τὰ παρὰ τοῦ Ἱεροβοάμ. Εἰ δὲ οἱ τοῦ Θεοῦ προφῆται τὰ παρὰ τῶν ἀσεβῶν οὐ προσήκαντο ξένια, δέον οὐδὲ ὑμᾶς, ὦ ἐπίσκοποι. Φεῦγε σὺ οὖν, ὦ ἐπίσκοπε, τὰς δυσσυνειδήτους εἰς τὸ θυσιαστήριον τοῦ Θεοῦ εἰσφοράς. « Ἀπέχου γὰρ, φησὶν, ἀπὸ ἀδίκου, καὶ οὐ φοβηθήσῃ, καὶ τρόμος οὐκ ἐγγιεῖ σοι. » Λεγέτω δὲ καὶ τῷ ὑπὸ σὲ λαῷ Σολομὼν, « Τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων. καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης. »

Ἐκ τοῦ δικαίου τοίνυν κόπου τὸν πιστὸν τρέφετε,

Ex apostolicis Constitutionibus [57].

Oportet episcopum scire quorumnam habeat suscipere oblationes, et quorum non debeat. Ab eo enim sunt cavendi, quod ad dandum attinet, caupones. « Non justificabitur enim caupo a peccato [58]. » De iis enim utique dicit Isaias : « Caupones tui miscent vinum aqua [59]. » Ei quoque fugiendi fornicatores. « Etenim, inquit, non offeres mercedem meretricis [60]. » Raptores quoque, et qui aliena bona concupiscunt, et adulteri. Sunt enim eorum sacrificia Deo abominanda. Sed et qui viduam affligunt, et qui in orphanos dominatum exercent, et custodias implent culpa vacantibus [qui innocentes in carcere detinent]; qui etiam improbe utuntur suis servis, et plagis, fame et servitute eos vexant, et qui multos damnis afficiunt. Horum ergo, o episcope, fuge oblationes. Recusa autem et versutos impostores, et fures, et injustos publicanos, et eos qui decipiunt in trutinis, et dolosis utuntur mensuris, et militem calumniatorem, et qui non est contentus suis stipendiis, sed concutit pauperes. Occisorem, lictoremque, et judicem, qui inique causas evertit; hominem insidiatorem, improbum operarium, ebriosum, blasphemum, feneratorem, et omnes hujusmodi sceleratos, et cum voluntate divina pugnantes. Quoniam dicit Scriptura, omnes, qui sunt ejusmodi, Deo esse abominabiles. Qui enim ab iis suscipiunt (aliquid), et viduas orphanosque alunt, judicio Dei erunt obnoxii. Quod si etiam vidua quæ ex his comedit, oret pro ipsis, non exaudietur : quia Deus, qui est cognitor cordium, cum judicio de impiis pronuntiavit, dicens : « Si steterit Moyses et Samuel ante faciem meam, non est anima mea ad eos [61]. »—« Et tu, noli orare pro populo isto, neque postules, ut miserear illorum, et ne accedas ad me pro his; quia non exaudiam [62]. »

240 Neque vero hoc satis est, sed et qui fuerunt in peccatis, et non egerunt pœnitentiam, non solum non exaudientur orantes, sed etiam Deum irritant, in memoriam ei suam revocantes malitiam. Vitate ergo hujusmodi ministeria, tanquam latratum [pretium] canis, et mercedem meretricis. Utraque enim sunt prohibita legibus [63]. Neque enim accepit Elisæus ea quæ sibi allata fuerant ab Hazaele [64]; neque Achias ea quæ ab Jeroboam [65]. Si autem Dei prophetæ non acceperunt munera ab impiis, ne vos quidem oportet, o episcopi. Fuge igitur, o episcope, quæ non sunt ad Dei altare admittendæ oblationes. « Discede ab iniquo, et non timebis, et tremor non propinquabit tibi [66]. » Dicat Salomon quoque populo tibi subjecto : « Honora Dominum de justis tuis laboribus, et primitias da ei, de tuis fructibus justitiæ [67]. »

Ex justo ergo (*Ejusdem libri cap.* 8) labore fide-

[57] Lib. IV, 6. [58] Eccli. XXVI, 28. [59] Isai I, 22. [60] Deut. XXIII, 18. [61] Jerem. XV, 1. [62] Jerem. VII, 16. [63] Deut. XXIII, 18. [64] IV Reg. VIII. [65] III Reg. XI. [66] Eccli. VII, 2. [67] Prov. III, 9.

VARIÆ LECTIONES.

[e] διατάξεων. [f] διαμαχομένους. [g] ἄλλαγμα.

lium, nutrite et induite eos qui sunt egeni, et quæ ex illis colliguntur pecunias ordinate, dispensantes ad redemptionem pauperum, liberantes servos, captivos, vinctos, probris ac contumeliis affectos, qui ex condemnatione propter nomen Christi a tyrannis mittuntur ad metalla, ad monomachiam et ad mortem. Dicit enim Scriptura : « Libera eos qui ducuntur ad mortem, et redime eos qui interficiuntur; ne parcas [67*] » Si autem (*Ejusd. lib. cap.* 10) aliquando necesse fuerit vel invitos accipere pecuniam ab impio, eam consumite in ligna et carbones; ne, si ex eis acceperit vidua vel orphanus, necesse habeat emere ex his cibum et potum, secus atque decet. Æquum est enim ea igne absumi (neutiquam vero esse piorum pabula). Nam hæc quoque lex statuit, jubens ut sub vesperam factum sacrificium pro peccatis igne consumatur [68]. Qui enim aliquid ab hominibus qui perseverant in malis, et non agunt pœnitentiam, accipit, in precatione cum eis communicat, et Deum molestia afficit, qui aversatur injustos, et eos ædificat per indignam communicationem, et simul cum eis polluitur, non sinens eos venire ad pœnitentiam.

A καὶ ἀμφιέννυτε τοὺς ὑστερημένους, καὶ τὰ ἐξ αὐτῶν ἀθροιζόμενα κτήματά τε καὶ χρήματα, διατάσσετε διακονοῦντας [h] εἰς τοὺς ἀγορασμοὺς τῶν πενήτων, ῥυόμενοι δούλους, αἰχμαλώτους, δεσμίους, ἐπηρεαζομένους, ἥκοντας ἐκ καταδίκης διὰ τὸ ὄνομα τοῦ Χριστοῦ ὑπὸ τυράννων εἰς μονομαχίαν καὶ θάνατον. Λέγει γὰρ ἡ Γραφή · « Ῥῦσαι ἀγομένους εἰς θάνατον, καὶ ἐκπρίου κτεινομένους, μὴ φείσῃ. » Ἐὰν δέ ποτ' ἀνάγκη γένηται παρά τινος ἀνοσίου [ἄκοντας] δέξασθαι ἀργύριον, εἰς ξύλα, καὶ ἄνθρακας, αὐτὰ δαπανήσετε [i] · ἵνα μὴ λαβοῦσα χήρα ἐξ αὐτῶν, ἢ ὀρφανὸς, ἀναγκασθῇ ὠνήσασθαι τροφὴν ἐξ αὐτῶν, καὶ πόμα, παρὰ τὸ μὴ πρoσῆκον. Δίκαιον γὰρ, τὰ τοιαῦτα πυρὸς εἶναι καταναλώματα, [καὶ μὴ εὐσεβῶν βρώματα]. Ταῦτα γὰρ καὶ ὁ νόμος φησὶ, θυσίαν ἀφισθεῖσαν ἀπὸ κακῶν, πυρὶ ταύτην ἀναλίσκεσθαι κελεύων. Ὁ γὰρ ἀπὸ τοιούτων δεχόμενος ἐμμενόντων τοῖς κακοῖς, καὶ μὴ μετανοούντων, κοινωνεῖ τούτοις τῇ προσευχῇ, καὶ λυπεῖ Θεὸν τὸν τοὺς ἀδίκους ἀποστρεφόμενον, καὶ οἰκοδομεῖ αὐτοὺς, διὰ τῆς ἀναξίου δόσεως, καὶ συμμολύνεται αὐτοῖς, μὴ ἀφιὼν αὐτοὺς εἰς μετάνοιαν ἐλθεῖν.

B

Gregorii Theologi adversus Julianum.

Deus, cum sit omnium bonorum plenus, nullo indiget ex iis quæ sunt humana et parva, ut lætetur iis quæ indigne offeruntur; iniqui sacrificium (etsi sit vitulus) tanquam canem, et thus, tanquam blasphemiam; et pretium meretricis ex sacro exterminans et excutiens; solum autem honorans sacrificium, quod mundissimo mundæ manus, mensque excelsa et casta offerunt.

Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ κατ' Ἰουλιανοῦ.

Ὡς μὴ γὰρ δεῖσθαι, πλήρης ὢν ὁ Θεὸς, μηδενὸς τῶν ἀνθρωπίνων τε καὶ μικρῶν, ἵνα χαίρῃ τοῖς ἀναξίως προσφερομένοις, τήν τε τοῦ ἀνόμου θυσίαν, κἂν ᾖ μόσχος, ὡς κύνα βδελυττόμενος, καὶ ὡς βλασφημίαν, τὸν λίβανον, καὶ ἀντάλλαγμα πόρνης ἐξορίζων τοῦ ἱεροῦ, καὶ ἀποσειόμενος · μόνην δὲ θυσίαν τιμῶν, ἣν καθαραὶ τῷ καθαρωτάτῳ προσφέρουσι χεῖρες, καὶ νοῦς ὑψηλὸς, καὶ ἡγνισμένος.

C

241 *Sancti Basilii ex Regulis diffusius explicatis.*

Neque enim ex injustis lucris beneficia egeno facta, sunt Deo accepta; neque qui ab injustis abstinet, si ex suis nulli impertiat. Et de iis quidem qui injuriam faciunt, et Deo dona offerre aggrediuntur, scriptum est : « Sacrificia iniquorum Deo sunt abominatio [69]. » De iis autem qui non miserentur : « Is qui obturat aures suas, ut non exaudiat pauperem, ipse quoque invocabit, et non erit qui exaudiat [70]. » Propterea consulit Salomon in Proverbiis, « honorare Dominum ex propriis iisque justis laboribus, et primitias ei offerre ex propriis actibus justitiæ [71]. » Nam longe melius est nihil penitus offerre, quam offerre ex bonis per rapinam et injuriam acquisitis. Oblaturis melius est talem non habere possessionem, neque ex ea offerre. Rursus, si possidens ex justis laboribus, non offers Deo oblationes ex quibus alantur pauperes, rapina tibi reputabitur, sicut dicit Deus per prophetam : « Rapinæ et decimæ vobiscum sunt, et erit rapina in domibus vestris [72]. »

Τοῦ ἁγίου Βασιλείου ἐκ τῶν διὰ πλάτους Ἀσκητικῶν.

Οὔτε γὰρ ἐξ ἀδίκων κερδῶν εὐεργεσίαι πρὸς τὸν δεόμενον δέκται παρὰ Θεῷ · οὔτε ὁ τῶν ἀδίκων ἀπεχόμενος, εἰ μηδενὶ μεταδοίη τῶν ἑαυτοῦ. Καὶ περὶ μὲν τῶν ἀδικούντων, καὶ δῶρα Θεῷ προσφέρειν ἐπιχειρούντων γέγραπται · « Θυσίαι ἀνόμων βδέλυγμα Κυρίῳ. » Περὶ δὲ τῶν μὴ ἐλεούντων · « Ὁ φράσσων τὰ ὦτα αὐτοῦ, μὴ εἰσακούειν πένητος, καὶ αὐτὸς ἐπικαλέσεται, καὶ οὐκ ἔσται ὁ εἰσακούων αὐτοῦ. » Διὰ τοῦτο ἡ Παροιμία συμβουλεύει, « τιμᾶν τὸν Κύριον ἀπὸ τῶν δικαίων πόνων, καὶ ἀπάρχεσθαι αὐτῷ ἀπὸ τῶν καρπῶν δικαιοσύνης. » Εἰ γὰρ ἐξ ἀδικίας καὶ ἁρπαγῆς μέλλεις προσφέρειν Θεῷ, κάλλιον μὴ κτήσασθαι τὴν τοιαύτην κτῆσιν, μήτε προσφέρειν ἐξ αὐτῆς. Πάλιν, εἰ κτώμενος ἐκ δικαίων πόνων, μὴ προσφέρεις Θεῷ προσφοράς, ἀφ' ὧν τρέφονται πένητες, ἁρπαγὴ λογισθήσεταί σοι, καθά φησιν ὁ Θεὸς διὰ τοῦ προφήτου, ὅτι « Αἱ ἁρπαγαὶ, καὶ τὰ ἐπιδέκ[α]τα μεθ' ὑμῶν εἰσιν, καὶ ἔσται ἡ ἁρπαγὴ ἐν τοῖς οἴκοις ὑμῶν. »

D

Oportet ergo ut misericordia cum judicio tempe-

Δεῖ τοίνυν ἔλεον, καὶ κρίσιν συγκεράσαντας ἡμᾶς,

[67*] Prov. xxiv, 11. [68] Levit. vi, 23. [69] Prov. xv, 8. [70] Prov. xxi, 13. [71] Prov. iii, 9. [72] Isa. iii, 14.

VARIÆ LECTIONES.

[h] διακονοῦντες. [i] δαπανήματα.

κτᾶσθαι μὲν μετὰ κρίσεώς, ἀναλίσκειν δὲ εἰς ἔλεον, κατὰ τὸ γεγραμμένον· « Ἔλεον καὶ κρίσιν φυλάσσου, καὶ ἔγγιζε πρὸς τὸν Θεόν σου διαπαντός· » ἐλεημοσύνην καὶ κρίσιν ἀγαπᾷ ὁ Θεός. Λοιπὸν, ἐνταῦθα ἐξεταζέτω τις ἑαυτὸν, σκοπείτω τοὺς ἰδίους πόνους ὁ πλούσιος, ἐξ ὧν ἀναφέρει δῶρα Θεῷ, μὴ τὸν πένητα κατεδυνάστευσε· μὴ τὸν ἀσθενέστερον κατεβιάσατο· μὴ τὸν ὑποκείμενον αὐτῷ πεπλεονέκτηκε. Μὴ γὰρ, ὅτι κρατεῖς, βιάζου, μηδὲ, ὅτι δύνασαι, πλεονέκτει, ἀλλ' ὅτι παρέστη [k] σοι τὸ τῆς ἐξουσίας, δεῖξον τὰ τῆς δικαιοσύνης. Οὐ γὰρ ἐν ᾧ μὴ δύνασαι, ἀλλ' ἐν ᾧ παραβῆναι δυνάμενος οὐ παραβαίνεις, τὴν ἀπόδειξιν τῆς πρὸς Θεὸν ὑπακοῆς, καὶ τοῦ φόβου παρέχεις. Εἰ δὲ ἀφελόμενος τὰ τῶν πενήτων πένησι δίδως, καίριον εἶσθα, ὡς εἴρηται, μήτε ἁρπάζων, μήτε διδούς. Τί μολύνεις τὸν σεαυτοῦ νοῦν, ἐπεισάγων ἑαυτοῦ προσφορὰν ἐξ ἀδικίας προσφέρειν ἐπιχειρῶν [l]; Ἐν ᾧ μέλλεις ἕτερον πτωχὸν ἐλεεῖν, ἐκεῖνον ἐλέησον, ὃν ἀδικεῖς, εἰς τοῦτον κατάχρησαι [m] τὴν φιλανθρωπίαν, τούτῳ χάρισαι, καὶ πληρώσεις ἔλεον μετὰ κρίσεως. Οὐ γὰρ κοινωνήσει πλεονεξίᾳ ὁ Θεὸς, οὐδὲ λῃστῶν καὶ ἁρπαγῶν κοινωνὸς ὁ Κύριος. Οὐ γὰρ ὡς ἀδύνατος τρέφειν τοὺς πένητας κατέλιπεν αὐτούς· ἀλλὰ τὴν δικαίαν καὶ φιλάνθρωπον καρποφορίαν παρ' ἡμῶν ζητῶν εἰς ἡμετέραν εὐεργεσίαν. Ἐλεημοσύνη γὰρ ἐξ ἀδικίας οὐ γίνεται, οὐδὲ ἀπὸ κατάρας εὐλογία. Λέγει γὰρ ὁ Θεὸς, ὅτι « Ἃ ἐμίσουν [ἐποιεῖτε], καὶ ἐκαλύπτετε δάκρυσι τὸ θυσιαστήριόν μου. » Οὐ δέχεται γὰρ ὁ Θεὸς τὰ δῶρά σου, ἐὰν λυπήσῃς τὸν ἀδελφόν σου. Διό φησι· « Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. » Μέμνησο καὶ τὸ τοῦ Ζακχαίου, ὃς προθέμενος δοῦναι τετραπλασίονα, εἴ τι ἐσυκοφάντησεν, οὕτω τῶν ὑπολελειμμένων χρημάτων τὰ ἡμίση πτωχοῖς ἀπεμέτρησεν. Ἤδει γὰρ ὅτι ὁ Χριστὸς οὐ δέχεται τὰ ἐξ ἀδικίας, εἰ μὴ λυθῆναι αἱ κατὰ τῶν ἀδικηθέντων πλεονεξίαι· καὶ ταῦτα μὲν πρὸς τοὺς ἐξ ἀδικίας τὰς ἐλεημοσύνας ποιοῦντας.

A rata facultatibus comparandis cum judicio vacemus, easque misericorditer expendamus; sicut scriptum est: « Misericordiam et judicium custodi, et appropinqua Domino Deo tuo semper [73], » misericordiam enim et judicium diligit Deus. Hic de cætero examinet quispiam seipsum, consideret suos proventus dives, ex quibus Deo dona est oblaturus; num pauperem potentia oppresserit, num imbecilliori vim attulerit; num eum qui est sibi subjectus, fraudaverit et damno affecerit. Noli enim vim afferre, quod sis potentior, neque fraudem ac damnum afferre, quoniam potes; sed quia facultas suppetit, ostende justitiam. Non enim in eo in quo non potes, sed in eo in quo potes transgredi, et non transgrederis, tuam erga Deum obedientiam et B metum demonstras. Sin autem quæ a pauperibus abstuleris das pauperibus, melius esset, ut dictum est, si neque raperes, neque dares. Quid tuam polluis mentem, et injustitiæ notam tibi inuris, offerre aggrediens id quod inique adeptus es? Quam misericordiam exhibiturus es alteri pauperi, eam confer in illum quem injuria afficis; in eum tua utere benignitate, eique gratificare, et implebis misericordiam cum judicio. Neque enim societatem habebit Deus cum avaritia, et plura habendi cupiditate, neque socius est latronum et raptorum. Non enim tanquam qui non possit alere pauperes, eos nobis reliquit; sed ut nobis ad 242 nostram utilitatem bene de eis merendi occasionem suppediteret. Non fit enim eleemosyna ex iniquitate; neque ex maledictione benedictio; [neque ex lacrymis beneficium [n]]. Dicit enim Deus: « Quæ oderam faciebatis, et lacrymis tegebatis altare meum [74]. » Non accepta habet Deus dona tua, si fratrem tuum molestia afficias. Quamobrem dicit: « Si offeras munus tuum ad altare, et recordaris quod frater tuus habet aliquid contra te, dimitte munus tuum ante altare, et vade primum reconciliari fratri tuo, et tunc offer munus tuum [75]. » Memento etiam Zachæi qui, cum reddidisset quadruplum, si quem circumvenerat, pecuniarum quæ C restabant dimidium distribuit pauperibus [76]. Sciebat enim quod Deus non habet accepta quæ parta sunt ex iniquitate, nisi soluta fuerint detrimenta quæ allata sunt iis qui injuria fuerunt affecti. Atque hæc quidem ad eos qui ex iniquitate faciunt eleemosynas.

Πρὸς δὲ τὸν ἀδικεῖν μὲν φυλαττόμενον, ἐλεεῖν δὲ ἀμελοῦντα, λέγομεν, ὅτι « Δένδρον ἄκαρπον ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. » Καὶ οὐδέπω τὸ τοιοῦτον δένδρον ἀρέσει τῷ οὐρανίῳ γεωργῷ τῷ λέγοντι, ὅτι ἦλθε ζητῶν καρπὸν ἐν τῇ συκῇ, καὶ οὐχ εὗρε, καὶ κελεύοντι αὐτὴν ἐκκόπτεσθαι, ἵνα μὴ τὸν τόπον καταργῇ. Ὁ γὰρ πλοῦτος τῆς μὲν οἰκονομίας ἕνεκεν δίδοται παρὰ τοῦ Θεοῦ, ὡς τῷ Ἀβραὰμ, καὶ τῷ D Ad eum vero qui ab injuria abstinet, negligit autem, benefacere dicimus: « Arbor infructuosa exscinditur et in ignem mittitur [77]. » Neque ea arbor unquam placebit cœlesti agricolæ, qui dicit quod venit quærens fructum in ficu, et non invenit, et jubet eam exscindi, ne locum teneat inaniter [78]. Divitiæ enim aliis quidem dantur a Deo causa dispensationis, ut Abrahamo, Job, et similibus:

[73] Osee XII, 6. [74] Malach. II, 13. [75] Matth. V, 23, 24. [76] Luc. XIX, 8. [77] Matth. VII, 19. [78] Matth. XXI, 49.

VARIÆ LECTIONES.

[k] πάρεστι. [l] Locus iste valde corruptus in Græco exemplari, sic restituendus videtur. καίριον ἦν, ὡς εἴρηται, μηδὲ ἁρπάζειν, μηδὲ διδόναι. Τί μολύνεις τὸν σεαυτοῦ νοῦν ἐπεισάγων σεαυτῷ ἀδικίαν, προσφορὰν ἐξ ἀδικίας προσφέρειν ἐπιχειρῶν; [m] Cod. Græc. κατάχρισαι. [n] Inclusa desunt in Græco.

deterioribus autem, ut sint provocatio ad hoc ut evadant meliores. Nam qui postquam a Deo tot beneficiis cumulatus est, permanet in iniquitate, is citra ullam controversiam se reddit obnoxium condemnationi.

A Ἰακὼβ καὶ τοῖς τοιούτοις· τοῖς δὲ φαυλοτέροις πρόκλησις βελτιωθῆναι κατὰ τὸν τρόπον, ὡς ὅτε μετὰ τοσαύτην παρὰ Θεοῦ δεξίωσιν ἐπιμένων τῇ ἀδικίᾳ, ἀναντιῤῥήτως ἑαυτὸν ὑπόδικον τῇ κατακρίσει καθίστησιν.

Ex eodem, in Evangelium secundum Lucam.

Avaritiæ genus est gravissimum, ne de iis quidem quæ pereunt, impertiri egenis. Quænam, inquit, injuste teneo, dum mea teneo? Quænam, dic, quæso, tua? undenam ea accepisti? Quid in hoc sæculum intulisti? Quis est ergo avarus? Is qui sua sorte non est contentus. Quis est fraudator et prædo? is qui aufert ea quæ sunt uniuscujusque. Tu autem non es avarus, non es fraudator ac prædo, qui quæ accepisti ad dispensandum, ea tibi vindicas? An is quidem qui indutum veste exuit, expilator nominabitur, qui autem nudum non vestit, cum possit hoc facere, meretur aliter appellari? Esurientis est panis, quem tu tenes; nudi est vestis, quam tu custodis in penu; ejus qui caret calceis, calceus, qui apud te putrescit. Egentis est pecunia, quam defossam habes; quamobrem eos injuria afficis, quibuscunque potes largiri.

Τοῦ αὐτοῦ, ἐκ τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου.

Πλεονεξίας εἶδος τὸ χαλεπώτατον, μηδὲ τῶν φθειρομένων διδόναι [m*] τοῖς ἐνδεέσι. Τίνα, φησὶν, ἀδικῶ συνέχων τὰ ἐμαυτοῦ; Ποῖα, εἰπέ μοι, σαυτοῦ; Πόθεν λαβὼν εἰς τὸν βίον εἰσήνεγκας; Τίς ἐστι πλεονέκτης; Ὁ μὴ ἐμμένων τῇ αὐταρκείᾳ. Τίς δὲ ὁ ἀποστερητής; Ὁ ἀφαιρούμενος τὰ ἑκάστου. Σὺ δὲ οὐ πλεονέκτης; οὐκ ἀποστερητὴς, ἃ πρὸς οἰκονομίαν [o] ἐδέξω, ταῦτα ἴδια σαυτοῦ ποιούμενος; Ἆρα εἰ ὁ μὲν ἐνδεδυμένον ἀπογυμνῶν, λωποδύτης ὀνομασθήσεται, ὁ δὲ τὸν γυμνὸν μὴ ἐνδύων, δυνάμενος τοῦτο ποιῆσαι [p], ἄλλης τινὸς προσηγορίας ἐστὶν ἄξιος; Τοῦ πεινῶντός ἐστιν ὁ ἄρτος, ὃν σὺ κατέχεις· τοῦ γυμνητεύοντος τὸ ἱμάτιον, ὃ σὺ φυλάττεις ἐν ἀποθήκαις· τοῦ ἀνυποδέτου τὸ ὑπόδημα, ὃ παρὰ σοὶ κατασήπεται. Τοῦ χρῄζοντος τὸ ἀργύριον, ὃ κατορύξας ἔχεις, ὥστε τοσούτους ἀδικεῖς, ὅσοις παρέχειν ἐδύνασο.

B

243 *Ex eodem ad divites.*

Malum consilium: Vivens quidem fruar, inquit, voluptatibus; mortuus autem faciam, quæ sunt mandata. Dicet etiam tibi Abraham: « Accepisti bona in vita tua, » [79] etc. Morti agendæ sunt gratiæ, non tibi. Nam si esses immortalis, non memi-nisses mandatorum. « Ne erretis: Deus non irridetur [80]. » Ad altare mortuus non infertur. Viventem offer hostiam tuam: qui ex eo quod superabundat offert, non est acceptus. Tu vero, quæ post omnem vitam superabundarunt, ea offers benefactori. Num audes ex reliquiis mensæ tuæ viros claros excipere? Quomodo ergo audes Deum placare ex facultatum tuarum reliquiis

C

Τοῦ αὐτοῦ πρὸς τοὺς πλουτοῦντας.

Πονηρὰ βουλή· Ζῶν μὲν, φησὶν, ἀπολαύσω τῶν ἡδονῶν· ἀποθανὼν δὲ πράξω τὰ διατεταγμένα. Ἐρεῖ καὶ σοὶ Ἀβραάμ· « Ἀπέλαβες τὰ ἀγαθά σου ἐν ζωῇ σου, » καὶ τὰ ἐξῆς. Τῷ θανάτῳ χάρις, οὐ σοί. Εἰ γὰρ ἦς ἀθάνατος, οὐκ ἂν ἐμνήσθης τῶν ἐντολῶν. « Μὴ πλανᾶσθε· Θεὸς οὐ μυκτηρίζεται. » Νεκρὸς εἰς θυσιαστήριον οὐκ ἀνάγεται. Ζῶσαν προσένεγκε τὴν θυσίαν σου. Ὁ ἐκ τοῦ περισσεύματος προσφέρων, ἀπρόσδεκτος. Σὺ δὲ, ἃ μετὰ πᾶσάν σοι τὴν ζωὴν ἐπερίσσευσε, ταῦτα προσφέρεις τῷ εὐεργέτῃ. Τολμᾷς ἐκ τῶν λειψάνων τῆς τραπέζης σου δεξιώσασθαι τοὺς ἐνδόξους; Πῶς οὖν τολμᾷς Θεὸν ἐξιλεώσασθαι;

Ex Chrysostomo, in Epistolam ad Romanos.

Atque melius quidem est, et quod magnam præbet fiduciam, viventem, remedium afferre paupertati: quod si nolis illud, hoc fac vel mortuus; non est quidem hoc magnæ in Christum charitatis; est tamen alicujus charitatis.

Τοῦ Χρυσοστόμου ἐκ τῆς πρὸς Ῥωμαίους Ἐπιστολῆς.

Τὸ μὲν οὖν ἄμεινον, καὶ πολλὴν παῤῥησίαν παρέχον, ζῶντα διορθοῦν πενίαν. Εἰ δὲ ἐκεῖνο μὴ βουληθεὶς [q], κἂν τελευτῶν· οὐ πολλῆς μὲν γάρ ἐστιν ἀγάπης τοῦτο τῆς πρὸς Χριστὸν, ἀγάπης δ' οὖν ὅμως.

D

Ex eodem in Epistolam ad Ephesios.

Hoc non est quidem eleemosyna seu misericordia, si moriens, quando non es amplius dominus, præbeas. Non enim de cætero das ex tuis, sed ex ipsa necessitate. Morti gratia debetur, non tibi. Hoc non est dilectionis, sed illusionis. Cæterum, sic quoque fiat. Et vel tunc inhumanitatis vitio te exsolve.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἐφεσίους Ἐπιστολῆς.

Τοῦτο οὐκ ἔστιν ἐλεημοσύνη, τό τε τελευτῶντα, καὶ οὐκ ὄντα κύριον παρέχειν. Οὐ γὰρ ἐκ τῶν σῶν δίδως λοιπὸν, ἀλλ' ἐξ αὐτῆς τῆς ἀνάγκης. Τῷ θανάτῳ χάρις, οὐ σοί. Τοῦτο οὐκ ἔστι φιλοστοργίας, ἀλλ' ἐπηρείας. Πλὴν κἂν οὕτω γινέσθω [r], κἂν τότε λῦσον τὸ πάθος τῆς ἀπανθρωπίας.

Ex eodem in Evangelium secundum Joannem.

Eleemosynis, inquit, et fide expurgantur peccata.

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ Ἰωάννην.

Ἐλεημοσύναις γὰρ, καὶ πίστεσι, φησὶν, ἀποκα-

[79] Luc. xvi, 25. [80] Galat. vi, 7.

VARIÆ LECTIONES.

[m*] ἀφαιρουμένων μεταδιδόναι. [o] οἰκονομεῖν. [p] ποιεῖν. [q] βουληθῇς. [r] γενέσθω.

θαίρονται ἁμαρτίαι. Ἐλεημοσύνην δὲ οὐ τὴν ἐξ ἀδικίας λέγω· τοῦτο γὰρ οὐκ ἔστιν ἐλεημοσύνη, ἀλλ' ὠμότης καὶ ἀπανθρωπία· τί γὰρ ὄφελος ἐκδῦσαι ἕτερον, καὶ ἕτερον ἐνδῦσαι; Κἂν γὰρ πάντα τὰ παρ' ἑτέρων δῶμεν, οὐδὲν κέρδος ἡμῖν· καὶ δείκνυσιν ὁ Ζακχαῖος, ὃς τότε ἔφησεν ἐξιλεοῦσθαι τὸν Θεὸν, δοὺς τῶν ἁφαιρεθέντων τετραπλασίονα· ἡμεῖς δὲ μυρία ἁρπάζοντες, καὶ ὀλίγα διδόντες νομίζομεν πλεῖον ποιεῖν τὸν Θεὸν, καίτοιγε μᾶλλον παροξύνομεν αὐτόν. Εἰπὲ γάρ μοι, εἴγε ὄνον νεκρὸν, καὶ σεσηπότα, ἀπὸ τῆς τριόδου ἑλκύσας, ἐπὶ τὸ θυσιαστήριον ἤνεγκας, ἆρα οὐκ ἂν ἅπαντές σου κατέγνωσαν, ὡς μυσαρόν; Τί οὖν ἐὰν ἐλέγξω, ὅτι ἡ ἐξ ἁρπαγῆς μυσαρωτέρας [a] τούτου; ποίας τευξόμεθα [b] ἀπολογίας; Θῶμεν γάρ τι κειμήλιον γεγενῆσθαι ἐξ ἁρπαγῆς, οὐχὶ ὄνου τεθνηκότος μᾶλλον ὄδωδε; Καὶ σὺ μὲν διὰ χρημάτων [c] ἀξιοῖς τὸν Θεὸν ἐπιλαθέσθαι ὧν ποιεῖς κακῶν, διὰ δὲ πραγμάτων, ὧν ποιεῖς, ἁρπάζων, παρασκευάζεις μεμνῆσθαι διηνεκῶς ἐπιτιθεὶς σου τὴν θυσίαν εἰς [x] τὸ θυσιαστήριον. Νῦν δὲ, οὐ μόνον τοῦτό ἐστι τὸ ἁμάρτημα, ἀλλὰ καὶ τοσούτῳ χαλεπώτερον, ὅτι καὶ τὰς τῶν ἁγίων μολύνεις ψυχάς. Ἐκεῖναι γὰρ διαπαντὸς φέρουσι [y] τὸν Χριστὸν, καὶ τολμᾷς ἐκεῖ πέμπειν [z] ἀπὸ τοιαύτης ἀκαθαρσίας; Οὐχὶ, φησὶν, οὐκ αὐτὰ τὰ χρήματα, ἀλλ' ἕτερα. Γέλως ταῦτα, καὶ λῆρος. Οὐκ οἶδας ὅτι, κἂν εἰς πολὺ πλῆθος χρημάτων τι τῆς ἀδικίας ἐμπέσῃ, πάντα μολύνει; Καὶ καθάπερ εἰς πηγὴν καθαρὰν, κόπρον τις ἐμβαλὼν, πᾶσαν αὐτὴν ἀκάθαρτον εἰργάσατο, οὕτως ἐν πλούτῳ, πλεονεξία εἰσελθοῦσα πάντα ἀποπνεῖ τῆς ἐκεῖθεν δυσωδίας· τὸ γὰρ οὐκ ἐλεεῖν, τοῦ οὕτως ἐλεεῖν κρεῖττον. Ἐπεὶ καὶ Κάϊν βέλτιον ἦν, μηδὲ ὅλως προσενεγκεῖν [a]. Εἰ δ' ὁ τὰ ἐλάττω κομίσας, τὸν Θεὸν παρώξυνεν, ὁ τὰ ἀλλότρια διδοὺς, πῶς οὐ παροξυνεῖ; Ἀλλ' ἐμά ἐστι, φησίν. Οὐκ ἔστι σὰ μετὰ τὴν ἁρπαγὴν, ἀλλ' ἐκείνου, καὶ αὐτός ἐστι κύριος αὐτῶν, κἂν μυριάκις αὐτὰ καταχέῃς [b]. Ἐγώ σοι εἶπον, φησὶ, μὴ ἁρπάζειν, καὶ σὺ ἐξ αὐτῶν με τιμᾷς; Οὐκοῦν ἐρεῖ πρὸς σέ· « Ὑπέλαβες, ἄνομε, ὅτι ἔσομαί σοι ὅμοιος· ἐλέγξω σε, καὶ παραστήσω ἐνώπιόν σου τὰς ἁμαρτίας σου. »

A Eleemosynam autem dicit, non quæ est ex iniquitate; hoc enim non est eleemosyna, sed crudelitas et inhumanitas: quid enim juvat exuere alterum, et alterum induere? Nam etsi omnia quæ sunt aliena, dederimus, nullum inde redit lucrum; idque ostendit Zachæus qui dixit tunc Deum placari, cum quis ablatorum dederit quadruplum [81]. Nos autem rapientes innumerabilia, cum pauca dederimus, existimamus Deum facere propitium; quanquam ipsum magis irritamus. Dic enim mihi, si asinum mortuum et fetentem ex trivio raptum, ferres ad altare, annon omnes te tanquam abominabilem exsecrarentur? Quid si probavero sacrificium, quod ex rapina est, longe detestabilius esse, tum quamnam habebimus excusationem? Intueamur pretiosum et 244 rarum quiddam, ut monile, torquem Deo ex rapina dedicari, annon pejus olet quam asinus mortuus? Et tu quidem verbis dum rogas, ut obliviscatur eorum quæ facis rapiens, efficis certe ut perpetuo meminerit, quando altari imponis sacrificium. Nunc autem non hoc solum est peccatum, sed hoc quoque est gravius, quod sanctorum polluis animas. Illæ enim perpetuo Christum ferunt, et audes illuc mittere ex hujusmodi immunditia? Nequaquam, inquit; non sunt eædem pecuniæ, sed aliæ. Hæc ludibrium sunt, et nugæ. An nescis quod, etiamsi in magnam divitiarum multitudinem iniquitatis aliquid inciderit, id omnia inquinat et polluit? Quemadmodum si in fontem purum quispiam fimum injecerit, eum totum reddit immundum; ita si in divitias ingressa sit iniquitas, quæ illic sunt, tetrum odorem efflant. Non misereri enim melius est quam sic misereri. Nam et melius fuisset si Cain omnino non obtulisset. Si autem qui minus obtulit, Deum irritavit, quomodo non irritat is qui dat aliena? Sed sunt, inquit, mea. Non sunt tua post rapinam, sed illius cui rapuisti, et ipse est eorum dominus, etiamsi ea millies prodigas. Ego, inquit, edixi tibi ne raperes, et tu ex eis me honoras? Tibi ergo dicet: « Existimasti inique quod ero tibi similis; arguam te, et statuam contra faciem tuam peccata tua [82]. »

B

C

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ Ματθαῖον.

Ἔοικε, εἰ [οἱ] μηδὲν ἀδικήσαντες κολάζονται, ὅτι οὐ μετέδωκαν· πολλῷ μᾶλλον οἱ τὰ ἑτέρων ἁρπάζοντες. Μὴ τοίνυν τοῦτο εἴπῃς, ὅτι ἄλλος ἠδίκηται, καὶ ἄλλος ἠλέηται· τὸ γὰρ δεινὸν τοῦτό ἐστιν. Ἔδει γὰρ τὸν ἀδικούμενον αὐτὸν εἶναι καὶ τὸν ἐλεούμενον. Νυνὶ δὲ ἑτέρους· τραυματίζων, ὃν οὐκ ἐτραυμάτισας θεραπεύεις. [c] Μᾶλλον δὲ μὴ τραυματίζειν. Ὁ γὰρ φιλάνθρωπος οὐχ ὁ πλήττων, καὶ θεραπεύων, ἀλλ' ὁ τοὺς παρ' ἑτέρων πληγέντας ἰώμενος. Οὐ γὰρ δυνατὸν, τῷ αὐτῷ μέτρῳ τῆς ἐλεημοσύνης θεραπεῦσαί τι ἀπὸ τῆς πλεονεξίας κακόν·

Ex eodem in Evangelium secundum Matthæum.

Si qui nihil injuste fecerunt, puniuntur quod D non distribuerunt, multo magis qui bona aliorum rapiunt. Ne ergo hoc dixeris, quod alius affectus est injuria, et alterius es misertus; hoc enim est grave, et non ferendum. Oportet enim eumdem esse qui injuriaafficitur, et cujus miserearis. Nunc autem alios vulnerans, curas eum quem non vulnerasti, cum oporteret illos curare, imo vero non vulnerare. Benignus est et clemens, non qui percutit et curat, sed qui medetur iis qui sunt percussi ab aliis. Non enim potest fieri ut eadem mise-

[81] Luc. XIX, 8. [82] Psal. XCIV, 21.

VARIÆ LECTIONES.

[a] ἐξαρπασθεῖσα θυσία μυσαρωτέρα. [b] τεύξομαι. [c] ῥημάτων. [x] ἐπί. [y] φοροῦσι. [z] ἐκπέμπειν. [a] προσενεγκών. [b] κατέχεις. [c] Videtur hic aliquid deesse.

ricordiæ mensura cures malum inflictum ab avaritia; nam si obolo aliquem fraudaris, non obolo tibi rursus opus est ad eleemosynam, ut tollas vulnus quod factum est avaritia, sed talento. Propter furtum fur deprehensus solvit quadruplum; raptor autem est fure deterior. Quod si illum propter ea quæ furatus est oportet dare quadruplum, raptorem multo magis oportet dare quadruplum, si sic etiam possit expiare injustitiam. Eleemosynæ enim, ne tunc quidem fructum accipiet. Propterea Zachæus: « Si quem, inquit, defraudavi, 245 reddam quadruplum, et dimidium bonorum meorum dabo pauperibus [88]. » Si autem in lege dare oportet quadruplum, multo magis in gratia. Quamobrem, etiamsi centuplum dederis, nondum dedisti totum. Si autem hoc faciens malo vix affers remedium, quando ordinem inverteris, et integras quidem facultates rapueris, pauca autem præbeas, et ne illis quidem qui sunt affecti injuria, sed aliis pro illis: quamnam habebis excusationem, quamnam veniam, quamnam spem salutis? Vis scire quantum malum facias sic miserens? Audi Scripturam: « Sicut qui occidit filium coram patre suo, sic qui offert sacrificium ex pecuniis pauperum [89]. »

A ἂν γὰρ πλεονεκτήσῃς ὀβολὸν, οὐκ ὀβολοῦ σοι δεῖ[ται] πάλιν εἰς ἐλεημοσύνην, ἵνα ἀνέλῃ τὸ τῆς πλεονεξίας ἕλκος, ἀλλὰ ταλάντου. Διὰ τοῦτο ὁ κλέπτης ἁλοὺς, τετραπλασίονα καταβάλλει· τοῦ δὲ κλέπτοντος ὁ ἁρπάζων χείρων. Εἰ δὲ ἐκεῖνον τετραπλασίονα, πολλῷ πλέον εἶγε κἂν οὕτω δυνηθείη τὴν ἁμαρτίαν ἐξιλεώσασθαι. Ἐλεημοσύνης γὰρ οὐδὲ τότε λήψεται καρπόν. Διὰ τοῦτο ὁ Ζακχαῖος, « Ἀποτίσω, φησὶ, ὧν ἐσυκοφάντησα τετραπλοῦν, καὶ τὰ ἡμίση τῶν ὑπαρχόντων μου δώσω πτωχοῖς. » Εἰ δὲ ἐν τῷ νόμῳ τετραπλασίονα δίδοται, πολλῷ μᾶλλον τῇ χάριτι. Ὥστε, κἂν ἑκατονταπλασίονα δῷς, οὐδέπω τὸ πᾶν ἔδωκας. Εἰ δὲ τοῦτο ποιῶν μόλις θεραπεύεις τὸ κακὸν, ὅταν ἀντιστρέψῃς τὴν τάξιν, καὶ ἁρπάσῃς οὐσίας ὁλοκλήρους, ὀλίγα δὲ παράσχῃς· καὶ μηδὲ B ἐκεῖνα τοῖς ἀδικηθεῖσι, ἀλλ' ἑτέροις ἀντ' ἐκείνων, ποίαν ἕξεις ἀπολογίαν; τίνα συγγνώμην; ποίαν σωτηρίας ἐλπίδα; Βούλει μαθεῖν, ὅσον ἐργάζῃ κακὸν οὕτως ἐλεῶν; Ἄκουσον τῆς Γραφῆς λεγούσης· « Ὡς ὁ ἀποκτείνων υἱὸν ἔμπροσθεν τοῦ πατρὸς αὐτοῦ, οὕτως ὁ προσάγων θυσίαν ἐκ χρημάτων πενήτων. »

Isidori epistola ad Eusebium episcopum.

Exstruis, ut aiunt, in Pelusio ecclesiam, ædificiis quidem et molitionibus præclaram, malam autem studiis, injuriisque et contumeliis, pauperumque oppressionibus et sumptibus; quod quidem nihil est aliud quam ædificare Sion in sanguinibus, et Jerusalem in iniquitatibus [90]. Non opus habet Deus sacrificio ex alienis, sed id abominatur tanquam canem qui sacrificatur. Cessa ergo exstruere, et injuriam facere, ne illa domus inveniatur apud Deum ad tui reprehensionem; et quæ stet quidem excelsa et sublimis, perpetuo autem et assidue adversus te clamet, cum Jeremia: « Væ, qui ædificat domum suam in altum, non cum justitia, et cœnacula sua non cum judicio; apud proximum suum operatur gratis, et mercedem ejus non reddet ei [91]. » Et ex qualibus malis est exstructa? ut quæ et fraudatas mercedes exigat, et eorum qui damno sunt affecti quærat ultionem. Qui vero reddit unicuique secundum opera sua, ipse miserabitur animarum nostrarum, quem decet gloria, honor et imperium in sæcula sæculorum.

Ἰσιδώρου ἐπιστολὴ πρὸς Εὐσέβιον ἐπίσκοπον.

Κτίζεις, ὥς φασιν, ἐν Πηλουσίῳ λαμπρὰν μὲν τοῖς μηχανήμασι, πονηρὰν δὲ τοῖς ἐπιτηδεύμασι, καὶ ἀδικίαις, καὶ ὕβρεσι, καὶ πενήτων ἐκπιασμοῖς, καὶ πτωχοῖς [d] δαπανήμασιν. Ὅπερ οὐδέν ἐστιν ἕτερον, ἢ κτίζειν Σιὼν ἐν αἵμασιν, καὶ Ἱερουσαλὴμ C ἐν ἀδικίαις. Οὐ γὰρ χρῄζει ὁ Θεὸς ἐξ ἀλλοτρίων θυσίας, ἀλλὰ ταύτην, ὡς θυόμενον κύνα μυσάττεται. Παῦσαι τοίνυν κτίζων καὶ ἀδικῶν, ἵνα μὴ ὁ οἶκος ἐκεῖνος εἰς ἔλεγχόν σου ἐπὶ Θεοῦ [e] εὑρεθείη· μετέωρος μὲν, καὶ ὑψηλὸς ἱστάμενος, καταβοᾷ δέ σου αἰώνια καὶ ἀσίγητα μετὰ Ἱερεμίου· « Οὐαὶ ὁ οἰκοδομῶν τὴν οἰκίαν αὐτοῦ εἰς ὕψος, οὐ μετὰ δικαιοσύνης, καὶ τὰ ὑπερῷα αὐτοῦ, οὐκ ἐν κρίματι! παρὰ τῷ πλησίον αὐτοῦ ἐργάζεται δωρεὰν, καὶ τὸν μισθὸν αὐτοῦ οὐ μὴ ἀποδώσῃ. » Καὶ ἐξ οἵων κακῶν ἐκτίσθη; καὶ τοὺς ἐστερημένους μισθοὺς ἀπαιτῶν, καὶ τὴν ἄμυναν τῶν βλαβέντων ζητῶν. Ὁ δὲ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ ἀποδιδοὺς Θεὸς, αὐτὸς ἐλεήσει τὰς ψυχὰς πάντων ἡμῶν, ὅτι αὐτῷ πρέπει δόξα, τιμὴ, κράτος, εἰς τοὺς αἰῶνας D τῶν αἰώνων.

QUÆSTIO XIII.

Quantam bonorum suorum mensuram debet quispiam Deo offerre?

RESPONSIO.

Cum Græci, et qui lege carebant, suos filios et filias diis sacrificarint, quid afferre possumus ad nostram defensionem? Quando enim etiam ipsam carnem nostram Deo obtulerimus, nihil fe-

ΕΡΩΤΗΣΙΣ ΙΓ'.

Πόσον μέτρον τῶν ἰδίων χρημάτων ὀφείλει τις προσφέρειν τῷ Θεῷ;

ΑΠΟΚΡΙΣΙΣ.

Τῶν Ἑλλήνων καὶ ἀνόμων τοὺς ἰδίους υἱοὺς, καὶ τὰς θυγατέρας αὐτῶν, τοῖς θεοῖς αὐτῶν θυσάντων [μᾶλλον δὲ τοῖς δαιμονίοις], ποίαν λοιπὸν ἡμεῖς εὐεργεσίαν [f] ἔχομεν; Ὅταν γὰρ καὶ αὐτὴν ἡμῶν τὴν

[88] Luc. XIX, 8. [89] Eccli. XXXIV, 24. [90] Mich. III, 10. [91] Jerem. XXII, 13.

VARIÆ LECTIONES.

[d] πτωχῶν. [e] μετὰ Θεόν. [f] ἀπολογίαν.

σάρκα προσενέγκωμεν τῷ Θεῷ, οὐδὲν ἄξιον τῶν δωρεῶν, ὧν ἐχαρίσατο ἡμῖν, πεποιήκαμεν.

Τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Ματθαῖον.

Ὅσον γὰρ ἄν τις μείζονα εὐεργετῆται, τοσοῦτο μᾶλλόν ἐστιν ὑπεύθυνος τῇ κολάσει, ἀγνωμονῶν, καὶ μὴ θελήσας τῇ τιμῇ γενέσθαι βελτίων. Διὰ δὴ τοῦτο οἱ πλουτοῦντες, [τῶν πενομένων] μᾶλλον κολάζονται ὄντες κακοί· ὅτι, μηδὲ ἐν εὐθηνίαις γεγόνασιν ἥμεροι. Μὴ γάρ μοι λέγε, ὅτι δέδωκεν[g] ἐλεημοσύνην. Εἰ γὰρ μὴ κατ' ἀξίαν ἔδωκαν, οὐδὲ οὕτω διαφεύξονται τὴν κόλασιν. Οὐ γὰρ τῷ μέτρῳ τῶν διδομένων ἡ ἐλεημοσύνη κρίνεται, ἀλλὰ τῇ δαψιλείᾳ τῆς γνώμης. Εἰ δὲ οἱ ἐκ μέρους παρέχοντες δίκην διδόασι, μὴ κατ' ἀξίαν διδόντες, πολλῷ μᾶλλον οἱ φιλαργυρίᾳ νοσοῦντες. Προσέταξε γὰρ ὁ Χριστὸς περισσεῦσαι τὴν δικαιοσύνην ἡμῖν πλεῖον[h] τῶν Γραμματέων καὶ Φαρισαίων. Ὥστε, κἂν ἐλεημοσύνην δῷς, μὴ πλείονα δὲ ἐκείνων, οὐκ εἰσελεύσῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· καὶ πόσην ἐκεῖνοι παρεῖχον ἐλεημοσύνην; Τῶν ὄντων ἁπάντων δεκάτην, καὶ πάλιν ἑτέραν δεκάτην, καὶ μετὰ ταῦτα[i] τρίτην, ὥστε παρ' οὐδὲν τὸ τρίτον οὐσίας παρεῖχον. Τρεῖς γὰρ δεκάται συντιθέμεναι τοῦτο ποιοῦσι. Καὶ μετὰ τούτων, καὶ ἀπαρχάς, καὶ τὰ πρωτότοκα, καὶ ἕτερα πλείονα, οἷον, τὰ ὑπὲρ ἁμαρτημάτων, τὰ ὑπὲρ καθαρισμάτων, τὰ ἐν ἑορταῖς, τὰ ἐν τῷ Ἰωβηλαίῳ, τὰ ἐν ταῖς τῶν χρεῶν ἀποκοπαῖς, καὶ ταῖς τῶν οἰκετῶν ἀφέσεσι, καὶ δανεισμασι τῶν τόκων ἀπηλλαγμένοις. Εἰ δὲ ὁ τὸ τρίτον δοὺς, μᾶλλον δὲ τῶν ὄντων τὸ ἥμισυ (μετὰ γὰρ τούτων ἐκεῖνα συντιθέμενα, τὸ ἥμισύ ἐστιν), εἰ τοίνυν ὁ τὸ ἥμισυ διδοὺς, οὐδὲν ἐργάζεται, ὁ μηδὲ τὸν δέκατον τόκον παρέχων, τίνος ἄξιός ἐστι; Τί γὰρ ὄφελος, ὅταν πλοῦτον πολὺν ἔχων, τοσοῦτον παρέχῃς, ὅσον ἄν τις ἀπὸ πελάγους κύαθον δώσῃ, καὶ μηδὲ χήρας γυναικὸς μεγαλοψυχίαν ζηλώσας; Πῶς δὲ ἐρεῖς, « Ἐλέησόν με, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου· αὐτὸς οὐ κατὰ τὸ μέγα ἔλεος ἐλεῶν, τάχα δὲ οὐ[δὲ κατὰ] τὸ μικρόν; Εἰκότως ἔλεγεν ὁ Κύριος, ὅτι « Ὀλίγοι, οἱ σωζόμενοι. »

cimus quod sit dignum donis quæ nobis est largitus.

246 *Ex Chrysostomo in Matthæum.*

Quando quispiam majora acceperit beneficia, tanto magis est obnoxius supplicio, ingratus, qui nec honore melior effici velit. Propterea etiam qui sunt divites magis puniuntur quam pauperes, cum sunt mali : quod nec rebus secundis quidem moderatiores et mitiores evaserint. Ne dicas enim mihi quia dederunt eleemosynam. Si non, ut par est, dederunt, ne sic quidem effugient supplicium. Non enim ex mensura eorum quæ dantur dijudicatur eleemosyna, sed ex animi liberalitate. Si autem qui ex parte præbent dant pœnas, ut qui non dant, ut par est; multo magis qui laborant avaritia. Jussit enim Christus justitiam nostram plus abundare quam justitiam Scribarum et Pharisæorum [87]. Quamobrem, etiamsi des eleemosynam, non des autem plus quam illi, non intrabis in regnum cœlorum. Quantam autem præbebant illi eleemosynam? Decimam omnium quæ habebant, et aliam rursus decimam, et partem tertiam. Quamobrem nihil aberat quin darent tertiam partem suarum facultatum. Tres enim decimæ si simul ponantur, hoc efficiunt. Et post hæc primitias, et primogenita, et alia plurima, utpote ea quæ dabantur pro peccatis, et quæ pro expiationibus, quæ in festis, quæ in jubilæo, quæ in æris alieni rescissionibus, et servorum dimissionibus, et iis qui liberati erant a fœnore. Si autem qui dabat tertiam partem, vel potius dimidium bonorum (illa enim cum iis conjuncta, sunt dimidium) : si ergo is qui dat dimidium nihil operatur, quanti erit is qui ne decimam quidem præbet? Quid enim prodest, quando multas habens divitias, tantum præbes, quantum si quisquam ex mari dederit cyathum, et ne mulieris quidem viduæ imitaris animi magnitudinem [88]? Quomodo autem dicis : « Miserere mei, Deus, secundum magnam misericordiam tuam; et secundum multitudinem miserationum tuarum dele iniquitatem meam [89]; » cum ipse misereare non secundum magnam, forte autem nec secundum parvam? Merito dicebat Dominus : « Pauci sunt qui salvantur [90]. »

Τοῦ Ἀποστόλου.

« Ὁ σπείρων φειδομένως, φειδομένως θερισει. Καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει. Ἕκαστος, καθὼς προαιρεῖται τῇ καρδίᾳ· μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός. Δυνατὸς δὲ ὁ Θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς, ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν· καθὼς γέγραπται· Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. »

Apostoli.

« Qui parce seminat, parce et metet. » Et qui seminat in benedictionibus, de benedictionibus et metet. Unusquisque prout destinavit in corde suo, non ex tristitia, aut ex necessitate : hilarem enim datorem diligit Deus. Potens est autem Deus omnem gratiam abundare facere in vobis, ut in omnibus omnem semper **247** sufficientiam habentes, abundetis in omne opus bonum, sicut scriptum est : Dispersit, dedit pauperibus, justitia ejus manet in sæculum sæculi [91]. »

[87] Matth. v, 20. [88] Luc. xxi. [89] Psal. l, 1. [90] Luc. xiii, 23. [91] II Cor. ix, 6, 9; Psal. cxi, 9.

VARIÆ LECTIONES.

[g] δεδώκασιν. [h] πλείονα. [i] ταύτης.

QUÆSTIO XIV.

Quidnam utilius, offerre pecuniam ecclesiæ, an pauperibus?

RESPONSIO.

Dominus laudans eos qui sunt a dextris, et dicens : « Venite, benedicti Patris mei [95], » nullius alterius rei meminit quam eleemosynæ in pauperes, et hospites, et nudos, et in eos qui sunt in carcere. Sed sunt etiam ecclesiæ quibus desunt aliqua utensilia necessaria, quibus sunt offerenda ea quæ desunt. Qui enim, cum vasa non desint, offert opulentis ecclesiis, nescit quidnam postea fiat iis quæ illic congeruntur. Multæ enim ecclesiæ cum inexplebiliter congessissent, et ea postea non recte administrassent, vel per negligentiam neglectui habita perierunt, vel a furibus et barbaris ablata sunt.

Ex Chrysostomo in Matthæum.

Nam pro eo quidem quod ecclesias non ornarit, nemo unquam fuit accusatus; pro eo autem quod pauperum non sit misertus, gehennæ et ignis inextinguibilis minæ sunt intentatæ, et cruciatus cum dæmonibus. Domum ergo ornans, ne despicias fratrem qui affligitur. Is enim est magis proprie templum quam illud. Et hæc quidem vasa pretiosa ac splendida quæ reconduntur, poterunt accipere et reges infideles, et tyranni, et prædones. Quæ autem feceris fratri esurienti, et peregrino, et nudo, ne diabolus quidem poterit eripere, sed sita erunt in thesauro quem nemo poterit subripere.

Ex eodem in Herodiadem.

Potest quidem Deus omnes sanctos qui sunt in mundo per se alere; sed munificentiam cohibet, ut corda (sua sponte ad dandum propensa) in tempore hospitalitatis discernat ex fructibus. Quando autem non fuerint aliqui qui eos velint excipere, tunc aut per aves nutrit, ut Eliam in monte [96], aut per prophetam, ut Danielem in lacu [97]; aut per animal marinum, ut Jonam in mari [98], aut ipse per se cibum pluit, ut patribus in deserto [99]. Nam cum non essent qui possent eos excipere, e cœlo pluit manna, et ex petra aquam fecit emanare [100], et ex aere coturnicem ad eos detulit [101]. Cum autem sancti versantur **248** in mundo cum hominibus, retrahit manum suam, et videns eos affligi, dimittit, ut det gratiam per eam quæ in eos exercetur beneficentiam.

Ex eodem in Epistolam ad Philippenses.

Non est parum, sed magnum bonum, cogi ut quis sanctis benefaciat. Facit enim ut efficiamur participes mercedis et bonorum illorum quæ illos exspectant. Dicit namque Apostolus : « Communicant nobiscum

ΕΡΩΤΗΣΙΣ ΙΔ΄.

Ποῦ συμφέρει προσφέρειν τὰ χρήματα, ἐν ἐκκλησίαις, ἢ εἰς πένητας;

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ Κύριος ἐπαινῶν τοὺς ἐκ δεξιῶν, καὶ λέγων, « Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, » οὐδενὸς ἄλλου ἐμνημόνευσεν, εἰ μὴ τῆς εἰς τοὺς πτωχοὺς, καὶ ξένους, καὶ γυμνοὺς, καὶ ἐν φυλακῇ ἐλεημοσύνης. Πλὴν εἰσὶ καὶ ἐκκλησίαι λειπόμεναι σκευῶν τινων ἀναγκαίων, αἷς δεῖ προσφέρειν. Ἐπεὶ ὁ εἰς εὐπόρους ἐκκλησίας προσάγων, οὐκ οἶδε τί μετὰ ταῦτα γίνονται τὰ ἐκεῖσε συναγόμενα. Πολλαὶ γὰρ ἐκκλησίαι ἁπλήστως συνάξασαι, καὶ μὴ καλῶς αὐτὰ διοικήσασαι ὕστερον, ἢ διεφθάρησαν ἀμεληθέντα, ἢ ὑπὸ κλεπτῶν, ἢ βαρβάρων ἁφῃρέθησαν.

Τοῦ Χρυσοστόμου, ἐκ τοῦ κατὰ Ματθαῖον.

Ὑπὲρ μὲν γὰρ τοῦ μὴ ἐκκλησίας καλλωπίσαι, οὐδεὶς ἐνεκλήθη ποτέ· ὑπὲρ δὲ τοῦ πένητας μὴ ἐλεῆσαι καὶ γέενναι ἠπείληται, καὶ πῦρ ἄσβεστον, καὶ ἡ μετὰ δαιμόνων τιμωρία. Μὴ τοίνυν τὸν οἶκον κοσμῶν, τὸν ἀδελφὸν θλιβόμενον περιόρα. Οὗτος γὰρ ἐκείνου ὁ ναὸς κυριώτερος. Καὶ ταῦτα μὲν καὶ βασιλεῖς ἄπιστοι, καὶ τύραννοι, καὶ λῃσταὶ δυνήσονται λαβεῖν τὰ κειμήλια· ὅταν δὲ, ὅσα καὶ πρὸς τὸν ἀδελφὸν πεινῶντα ποιήσῃς, καὶ ξένον ὄντα καὶ γυμνὸν, οὐδὲ ὁ διάβολος συλῆσαι δυνήσεται, ἀλλ' ἐν ἀσύλῳ κείσεται θησαυρῷ.

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὴν Ἡρωδιάδα.

Καὶ ὁ μὲν Θεὸς δυνάμενος πάντας τοὺς ἁγίους τοὺς ὄντας ἐν τῷ κόσμῳ δι' ἑαυτοῦ θρέψαι, ἐπέχει τὴν δόσιν, ἵνα τὰς εὐπροαιρέτους καρδίας, ἐν τῷ φιλοξενίας καιρῷ, ἀπὸ τῶν καρπῶν διακρίνῃ. Ἐπειδὰν δὲ μὴ ὦσί τινες, οἱ ὀφείλοντες αὐτοὺς ὑποδέξασθαι, ἢ δι' ὀρνέου τρέφει, ὡς τὸν Ἠλίαν ἐν τῷ ὄρει, ἢ διὰ προφήτου, ὡς τὸν Δανιὴλ ἐν τῷ λάκκῳ, ἢ διὰ θαλασσίου ζώου, ὡς τὸν Ἰωνᾶν ἐν τῇ θαλάσσῃ, ἢ αὐτὸς δι' ἑαυτοῦ τὴν τροφὴν ἐπομβρεῖ, ὡς τοὺς πατράσιν ἐν τῇ ἐρήμῳ· οὐκ ὄντων γὰρ τῶν ὀφειλόντων αὐτοὺς ὑποδέξασθαι, οὐρανόθεν τὸ μάννα ἐπομβρίζει [k], καὶ τὸ ὕδωρ ἐκ πέτρας ἐπήγαγε, καὶ ἐκ τοῦ ἀέρος ὀρτυγομήτραν αὐτοῖς ἐκόμιζεν. Ὅταν δὲ ὦσιν ἐν τῷ κόσμῳ οἱ ἅγιοι, συναναστρεφόμενοι τοῖς ἀνθρώποις, ἀναστέλλει τὴν χεῖρα αὐτοῦ· χάριν διὰ τῆς εἰς αὐτοὺς εὐποιίας, πολλοῖς καὶ ὁρῶν αὐτοὺς θλιβομένους, ἀφίησιν, ἵνα δῷ τῶν βουλομένων τὴν σωτηρίαν καρπώσασθαι.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Φιλιππησίους Ἐπιστολῆς.

Οὐ γὰρ μικρὸν ἀγαθόν ἐστι τὸ βιάζεσθαι θεραπεύειν ἁγίους, ἀλλὰ καὶ μέγα. Κοινωνοὺς γὰρ ἡμᾶς ποιεῖ τῶν ἐκείνοις ἀποκειμένων ἀγαθῶν καὶ μισθῶν. Φησὶ γὰρ ὁ Ἀπόστολος· « Κοινωνοῦσιν ἡμῖν

[95] Matth. xxv, 34. [96] III Reg. xvii, 6. [97] Dan. xiv, 36. [98] Jon. ii. [99] Exod. xvi. [100] Exod. xvii. [101] Num. xi, 31.

VARIÆ LECTIONES

[k] ἐπομβρεῖ.

ἐν τοῖς σωματικοῖς, κοινωνοῦμεν αὐτοῖς ἐν πνευματικοῖς· ἂν γὰρ μετὰ προθυμίας καὶ πίστεως διακονῶμεν τοῖς ἁγίοις, » μεριστὰι τῶν μισθῶν αὐτῶν ἐσόμεθα. Διὰ τοῦτο ὁ Χριστός φησι· « Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα, ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς· » ἅγιοι δέ εἰσι πάντες ὅσοι πίστιν ὀρθὴν μετὰ βίου ἔχουσι· κἂν γὰρ σημεῖα μὴ ἐργάζωνται, καὶ δαίμονας μὴ ἐκβάλλωσι. Καὶ γὰρ Ἰωάννης, ὁ μείζων πάντων ἐν γεννητοῖς γυναικῶν, οὐ φαίνεται σημεῖόν τι πεποιηκώς.

Τοῦ ἁγίου Βασιλείου ἐκ τῶν Ἀσκητικῶν.

Δυνατὸς γὰρ ἐστι, καὶ ἄνευ ἡμῶν, τρέφειν ὁ Θεὸς τοὺς ἑαυτοῦ θεράποντας, ἀλλ' ἡμῖν ἔδωκε χώραν καρποφορεῖν[l] εἰς ὑπόθεσιν σωτηρίας. Ἐδεξιώσω τὸν ἅγιον, ἐδεξιώσω τὸν Χριστόν. Ἐτίμησας τὸν ὑπὸ τοῦ Κυρίου τετιμημένον, εἰς τὸν Κύριον ἡ τιμὴ διαβαίνειm. Λαβὲ τοὺς ἁγίους κοινωνοὺς ἐν τῷ αἰῶνι τούτῳ, ἵνα αὐτοί σε κοινωνὸν ἐν ἐκείνῳ τῷ αἰῶνι δέξωνται. « Ποιήσατε γάρ, φησὶν, ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. » Ἡ γὰρ τούτων ἔνδεια καὶ πτωχεία ἀληθινοῦ σοι πλούτου πρόφασις, ὦ πλούσιε. Διὰ γὰρ τούτων εὑρίσκεις Θεοῦ συνεργὸς στρατιώτας τρέφων Χριστοῦ, καὶ Χριστὸν, τὸν λέγοντα· « Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. »

Κλήμεντος ἐκ τῶν Στρωμάτων.

Ἐλεημοσύνας δεῖ ποιεῖν, ὁ λόγος φησὶ, ἀλλὰ μετὰ κρίσεως, καὶ τοῖς ἀξίοις. Ὥσπερ γὰρ ὁ γεωργὸς σπείρει οὐκ εἰς ἁπλῶς γῆν ἀλλ' εἰς τὴν ἀγαθὴν, ἵνα αὐτῷ καρποφορήσῃ· οὕτω δεῖ σπείρειν τὴν εὐποιΐαν εἰς εὐλαβεῖς καὶ πνευματικοὺς, ἵνα τῆς ἀπ' αὐτῶν εὐκαρπίας διὰ τῶν εὐχῶν ἐπιτύχῃς. Γέγραπται γάρ· « Εὐποίησον εὐσεβεῖ[n] καὶ εὑρήσεις ἀντιπόδομα, καὶ εἰ μὴ ὑπ' αὐτοῦ[o], ἀλλὰ παρὰ τῷ Ὑψίστῳ.

Θεοδωρήτου ἐκ τῶν Ἀπόρων.

Θεασάμενος δέ ποτε[p] τὸν περὶ τῆς ἁμαρτίας προσενεχθέντα Μωϋσῆς χίμαρον ὁλοκαυτωθέντα παρὰ τὸν θεῖον νεὼν, ὠργίσθη τῷ Ἐλεάζαρ, καὶ τῷ Ἰθάμαρ λέγων· « Διατί οὐκ ἐφάγετε τὰ περὶ τῆς ἁμαρτίας ἐν τόπῳ ἁγίῳ; Ὅτι Ἅγια τῶν ἁγίων εἰσὶ, τοῦτο ἔδωκεν ὑμῖν Κύριος φαγεῖν, ἵνα ἀφέλῃ[q] τὴν ἁμαρτίαν τῆς συναγωγῆς, ὡς ἐξιλάσησθε περὶ αὐτῶν ἐναντι Κυρίου. » Τοῦτο δὲ καὶ διὰ τοῦ προφήτου Ὡσηὲ δηλῶν ὁ Θεός φησιν· « Ἁμαρτίας λαοῦ μου φάγονται. » Διὸ καὶ ὁ Ἀπόστολος λέγει· « [Κοινωνοῦσιν ἡμῖν ἐν τοῖς σωματικοῖς·] κοινωνοῦμεν αὐτοῖς ἐν τοῖς πνευματικοῖς. » Διδασκόμεθα τοίνυν ἐντεῦθεν, ὡς τὰ παρὰ τοῦ λαοῦ προσφερόμενα ἐσθίοντες, καὶ μὴ σπουδαίως τὰς ὑπὲρ αὐτῶν προσφέροντες εὐχὰς, δίκας ὑπέχομεν τῷ Θεῷ.

A in corporalibus, communicamus eum ipsis in spiritualibus : si enim cum animi alacritate et fide sanctis serviamus [99], » mercedis illius partem habebimus. Propterea dicit Christus : « Facite vobis amicos de mammona iniquitatis; ut, cum defeceritis, recipiant vos in æterna tabernacula [1]. » Sancti autem sunt omnes, quotquot fidem rectam habent cum vita : etiamsi signa non faciant, etiamsi dæmones non ejiciant. Joannes enim, qui major est inter natos mulierum [2], non videtur ullum fecisse signum.

Ex sancti Basilii Asceticis.

Potest enim Deus, etiam absque nobis, alere suos famulos; sed dedit nobis occasionem bene merendi, et argumentum salutis. Excepisti sanctum, excepisti Christum; honorasti eum qui fuit honoratus a Christo : honor enim ascendit ad Dominum. Accipe sanctos pro sociis in hoc sæculo, ut ipsi in illo sæculo accipiant te socium. « Facite enim, inquit, vobis amicos de mammona iniquitatis, ut recipiant vos in æterna tabernacula [3]. » Eorum enim egestas et mendicitas est tibi occasio verarum divitiarum, o dives. Per eos namque inveniris Dei cooperator, nutriens milites Christi, et Christum, qui dicit : « Quandiu fecistis uni de his fratribus meis minimis, mihi fecistis [4]. »

Ex Clementis Alexandrini Stromatibus.

Eleemosynas oportet facere, inquit ratio, sed cum judicio et dignis. Quomodo enim seminat agricola, non absolute in terram, sed in terram bonam, ut ipsi fructus ferat; ita est seminanda beneficentia in pios homines et spirituales, ut eorum fructum per preces assequaris. Scriptum est enim : « Benefac pio, et invenies retributionem; et si non ab ipso, certe ab Altissimo [5]. »

249 *Ex Theodoreti Quæstionibus.*

Cum vidisset aliquando Moyses hircum pro peccato oblatum extra Dei templum, indignatus est Moyses in Eleazar, et Ithamar, filios Aaron, dicens : « Quare non comedistis illud, quod fuit pro peccato, in loco sancto? Quoniam enim Sancta sanctorum sunt; hoc dedit vobis edere, ut auferatis peccatum synagogæ, et exoretis pro eis ante Dominum [6]. » Hoc per Osee prophetam significans Dominus, dicit : « Peccata populi mei comedent [7]. » Quapropter dicit etiam Apostolus : « Impertiunt nobis corporalia, eis autem impertimus spiritualia [8]. » Hinc ergo docemur quod vescentes iis quæ offeruntur a populo, et pro eis preces diligenter non offerentes, Deo pœnas dabimus.

[99] Rom. xv, 27; xii, 13. [1] Luc. xvi, 9. [2] Matth. xi, 11. [3] Luc. xvi, 9. [4] Matth. xxv, 40. [5] Eccli. xii, 2. [6] Levit. x, 17. [7] Osee. iv, 8. [8] Rom. xv, 27.

VARIÆ LECTIONES.

[l] καρποφορίας. [m] ἀναβαίνει. [n] εὐσεβεῖ [o] παρ' αὐτῷ. [p] γάρ ποτε. [q] ἀφέληται.

Ex apostolicis Constitutionibus.

Etenim vere est beatus qui potest sibi opem ferre, et non tenet locum orphani, aut viduæ, aut advenæ. Nam ipse quóque Dominus dicit esse beatiorem illum qui dat, quam qui accipit [9]. Væ iis qui habent, et accipiunt in hypocrisi, aut qui possunt sibi opem ferre, et volunt ab aliis accipere : uterque enim reddet rationem Domino Deo in die judicii. Nam qui accipit propter ætatem, aut orbitatem, aut senium, aut debilitatem, aut offensam valetudinem, aut filiorum quos alit multitudinem, is non solum non reprehendetur, sed etiam laudabitur. Altare enim Dei reputatus a Deo honorabitur, qui gnaviter pro iis qui sibi dant assidue, precatur, non in otio sumens, sed ejus quod sibi datur, pro viribus dans mercedem per orationem. Is ergo, ut dictum est, a Deo beabitur; qui autem habet, et per simulationem otium agens accipit, condemnabitur a Christo Domino nostro.

QUÆSTIO XV.

Si quis habeat uxorem, filios, divitias, rebusque sæcularibus implicatus sit, quomodo potest is Deo placere, et servare Dei præcepta?

RESPONSIO.

Si non in unaquaque generatione Deo placuissent viri hujusmodi, qui in mundo, inquam, erant, in divitiis, et matrimoniis, et potestate, copiisque et **250** deliciis, aliquid fortasse haberent quo se defenderent, qui in suis peccatis tales afferunt prætextus. Nunc autem videmus in divinis Scripturis omnes fere qui Deo erant grati, Deo placuisse in mundo, et divitiis et liberis. Dico autem Abraham, et Job, et David, et similes. Bonæ enim, inquit, divitiæ illi, cui non est peccatum. Audiant ergo Apostolum de his ad Timotheum scribentem : « Divitibus hujus sæculi præcipe, non sublime sapere, neque sperare in incerto divitiarum, sed, in Deo uno (qui præstat nobis omnia abunde ad fruendum), bene agere, divites fieri in bonis operibus, facile tribuere, communicare, thesaurizare sibi fundamentum bonum in futurum, ut apprehendant veram vitam [10]. » Et rursus alibi : « Hoc itaque dico, fratres : Tempus breve est : reliquum est, ut et qui habent uxores, tanquam non habentes sint; et qui flent, tanquam non flentes; et qui gaudent, tanquam non gaudentes; et qui emunt, tanquam non possidentes; et qui utuntur hoc mundo, tanquam non utantur : præterit enim figura hujus mundi [11]. »

Ex sancti Basilii Asceticis.

Propterea Deus benignus et clemens, curam

A *Ἐκ τῶν ἀποστολικῶν Διαταγμάτων.*

Καὶ γὰρ ἀληθῶς μακάριός ἐστιν ὁ δυνάμενος βοηθεῖν ἑαυτῷ, καὶ μὴ θλίβειν τόπον ὀρφανοῦ, ἢ χήρας, ἢ ξένου, ἐπεὶ καὶ ὁ Κύριος μακάριον εἶπεν εἶναι τὸν διδόντα, ὑπὲρ τὸν λαμβάνοντα. Οὐαὶ γὰρ τοῖς ἔχουσι, καὶ ἐν ὑποκρίσει λαμβάνουσι, ἢ δυναμένοις βοηθεῖν ἑαυτοῖς, καὶ λαμβάνειν παρ' ἑτέροις βουλομένοις· ἑκάτερος γὰρ ἀποδώσει λόγον Κυρίῳ τῷ Θεῷ ἐν ἡμέρᾳ κρίσεως. Ὁ μὲν γὰρ δι' ἡλικίας, ὀρφανίας, ἢ γήρως, ἢ ἀδυναμίας, ἢ νόσου, πρὸς πτῶσιν, ἢ τέκνων πολυτροφίαν λαμβάνων, ὁ τοιοῦτος οὐ μόνον οὐ μεμφθήσεται, ἀλλὰ καὶ ἐπαινεθήσεται. Θυσιαστήριον γὰρ τῷ Θεῷ λελογισμένος ὑπὸ τοῦ Θεοῦ τιμηθήσεται, ἀόκνως θυσιαστήριον ὑπὲρ τῶν διδόντων αὐτῷ, διηνεκῶς προσευχόμενος, οὐκ ἀργῶς λαμβάνων, ἀλλὰ B τῆς δόσεως αὐτοῦ, ὅση δύναμις, τὸν μισθὸν διδοὺς διὰ τῆς προσευχῆς. Ὁ τοιοῦτος οὖν, ὡς εἴρηται, ὑπὸ τοῦ Θεοῦ μακαρισθήσεται· ὁ δὲ ἔχων, καὶ δι' ὑπόκρισιν, ἢ ἀργίαν λαμβάνων, κατακριθήσεται ὑπὸ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

ΕΡΩΤΗΣΙΣ ΙΕ'.

Ἐάν τις γυναῖκα ἔχων, καὶ τέκνα, καὶ βιωτικῶν πραγμάτων φροντίζων, πῶς οὗτος δύναται εὐαρεστῆσαι τῷ Θεῷ καὶ φυλάξαι τὰς ἐντολάς;

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ μὲν μὴ εὑηρέστησαν τῷ Θεῷ καθ' ἑκάστην γενεὰν τοιοῦτοι ἄνδρες, λέγω δὴ, ἐν κόσμῳ καὶ πλούτῳ, καὶ γάμῳ, καὶ ἐξουσίᾳ, καὶ ἀπολαύσει ὑπάρχοντες, τάχα ἂν εἶχον ἀπολογίαν τινὰ οἱ τὰς C τοιαύτας προφάσεις προφασιζόμενοι ἐν ταῖς ἁμαρτίαις αὐτῶν. Νῦν δὲ ὁρῶμεν ἐν ταῖς θείαις Γραφαῖς, πάντας σχεδὸν τοὺς τῷ Θεῷ προσφιλεῖς ἐν κόσμῳ, καὶ πλούτῳ, καὶ τέκνοις τῷ Θεῷ εὐαρεστήσαντας. Φημὶ δὲ τοὺς περὶ τὸν Ἀβραὰμ, καὶ Ἰὼβ, καὶ Δαυΐδ, καὶ τοὺς ὁμοίους. Ἀγαθὸς γὰρ, φησὶ, ὁ πλοῦτος, ᾧ μή ἐστιν ἁμαρτία. Ἀκουέτωσαν τοίνυν τοῦ Ἀποστόλου πρὸς Τιμόθεον γράφοντος περὶ τῶν τοιούτων, καὶ λέγοντος· « Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγειλε [z] μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐν τῷ Θεῷ τῷ ζῶντι, καὶ παρέχοντι ἡμῖν πάντα πλουσίως εἰς ἀπόλαυσιν, ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικοὺς, θησαυρίζοντας D ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς. « Καὶ ἄλλως πάλιν· « Τοῦτο δέ φημι, ἀδελφοί, ὁ καιρὸς συνεσταλμένος τὸ λοιπόν ἐστιν· ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι· καὶ οἱ κλαίοντες, ὡς μὴ κλαίοντες, καὶ οἱ χαίροντες ὡς μὴ χαίροντες, καὶ οἱ ἀγοράζοντες ὡς μὴ κατέχοντες, καὶ οἱ χρώμενοι κόσμῳ, ὡς μὴ καταχρώμενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. »

Τοῦ ἁγίου Βασιλείου ἐκ τῶν Ἀσκητικῶν.

Διὰ γὰρ τοῦτο καὶ φιλάνθρωπος Θεὸς, κηδόμενος

[9] Actor. xx, 35. [10] I Tim. vi, 17-19. [11] I Cor. vii, 29-31.

VARIÆ LECTIONES.

[z] παράγγελλε.

τῆς ἡμῶν σωτηρίας, εἰς δύο διεῖλε βίους τὰ [a] τῶν ἀνθρώπων, συζυγίαν καὶ παρθενίαν· ἵνα, ὁ μὴ δυνάμενος ὑπενεγκεῖν τὸ τῆς παρθενίας ἆθλον, ἔλθῃ ἐπὶ συνοίκησιν γυναικὸς, ἐκεῖνο εἰδὼς, ὡς ἀπαιτηθήσεται λόγον σωφροσύνης, καὶ ἁγιασμοῦ, καὶ τὴν πρὸς τοὺς ἐν συζυγίαις καὶ τεκνοτροφίαις ἁγίους ὁμοίωσιν· οἷος ἦν ἐν μὲν τῇ Παλαιᾷ Διαθήκῃ Ἀβραὰμ, ὃς τῇ τοῦ Θεοῦ προτιμήσει, τὸν μονογενῆ θυσιάζων, ἐμεγαλαύχει, καὶ τὰς τῆς σκηνῆς αὐτοῦ θύρας διαπετασμένας εἶχε, πρὸς ὑποδοχὴν τῶν ἐπιξενοῦσθαι μελλόντων ἑτοιμαζόμενος. Οὐκ ἤκουσαν· « Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς· καὶ τὰ μείζονα τούτων ἐπεδείξαντο Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ Σαμουὴλ, καὶ Δαυὶδ, καὶ ἕτεροι πλεῖστοι. Ἐν δὲ τῇ Νέᾳ Διαθήκῃ, οἷος ἦν Πέτρος, καὶ οἱ λοιποὶ τῶν ἀποστόλων; ἀπαιτηθήσεται γὰρ πᾶς τοὺς καρποὺς τῆς πρὸς Θεὸν ἀγάπης, καὶ τοῦ πλησίον, καὶ τῆς παρατροπῆς τῶν ἐντολῶν τούτων, καὶ πασῶν, ὧν τις ἠδίκησε. Φησὶ γὰρ ὁ Κύριος· « Ὁ ἀγαπῶν πατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. » Καὶ, « Ὃς οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν, οὐ δύναταί μου εἶναι μαθητής. »

Ἆρά σοι οὐ δοκεῖ καὶ ὑπογυναίοις τεθεῖσθαι τὰ Εὐαγγέλια; Ἰδοὺ σεσαφήνισταί σοι, ὡς πάντες ἄνθρωποι ἀπαιτηθησόμεθα τὴν πρὸς τὸ Εὐαγγέλιον ὑπακοὴν μοναχοί τε, καὶ οἱ ἐν συζυγίαις. Ἀρκέσει γὰρ τῷ ἐπὶ γάμον [b] ἐλθόντι, ἡ συγγνώμη τῆς συζυγίας [c], καὶ τῆς πρὸς τὸ θῆλυ ἐπιθυμίας τε καὶ συνουσίας· τὰ δὲ λοιπὰ τῶν ἐντολῶν, πᾶσιν ὁμοίως νενομοθετημένα, οὐκ ἀκίνδυνα τοῖς παραβαίνουσι. Καὶ γὰρ εὐαγγελιζόμενος ὁ Χριστὸς τὰ τοῦ Πατρὸς ἐντάλματα, τοῖς ἐν τῷ κόσμῳ διελέγετο. Εἰ δέ τι [d] συνέβη αὐτὸν κατ' ἰδίαν ἐπερωτηθέντα αὐτῷ ἀποκρίνεσθαι, τοῖς ἑαυτοῦ μαθηταῖς διεμαρτύρατο λέγων· « Ὃ δὲ λέγω ὑμῖν, πᾶσι λέγω. » Μὴ τοίνυν ἀναπέσῃς, ὦ οὗτος, ὁ πρὸς κοινωνίαν γυναικὸς ῥηγμένος, ὡς ἐπ' ἐξουσίας ἔχων τὸν κόσμον περιβάλλεσθαι. Πλειόνων γάρ σοι πόνων καὶ φυλακῆς χρεία πρὸς τὴν τῆς σωτηρίας ἐπιτυχίαν· ὡς δήγε δεῖ, καὶ ἐν μέσῳ τῶν παγίδων, καὶ τοῦ κράτους τῶν ἀποστατικῶν δυνάμεων οὐκ ἦν [e] ἐκλεξαμένῳ, καὶ τοὺς ἐρεθισμοὺς τῶν ἁμαρτιῶν ἐν ὄψεσιν ἔχοντι, καὶ πρὸς τὴν αὐτῶν ἐπιθυμίαν νύκτωρ τε καὶ μεθ' ἡμέραν ἐκμοχλευομένῳ πάσας σου τὰς αἰσθήσεις. Γίνωσκε τοίνυν, ὡς οὐκ ἀποδράσεις τὴν πρὸς τὸν ἀποστάτην παλαίστραν, οὐδὲ τῆς τούτου νίκης καθάψῃ ἄνευ πόνων πολλῶν τῶν ἐπὶ φυλακῇ τῶν εὐαγγελικῶν δογμάτων.

gerens nostræ salutis, in duo vitæ genera divisit res hominum, nempe in conjugium et virginitatem; ut, qui non potest ferre præmium virginitatis, veniat ad cohabitationem mulieris, illud sciens a se exactum iri rationem temperantiæ et sanctitatis, et similitudinem cum sanctis, qui in matrimonio et liberorum procreatione vixerunt; hujusmodi erat in veteri testamento Abraham, qui reverentia erga Deum unicum filium sacrificans adhuc gloriabatur, et sui tabernaculi portas habebat apertas, paratus ad accipiendos, qui veniebant, hospites. Non audierant isti: « Vende quæ habes, et da pauperibus [19]; » et his majora fecerunt Abraham, Isaac, Jacob, Samuel, David, et alii plurimi. In novo autem testamento, qualis erat Petrus, et reliqui apostoli? Exigentur enim a quolibet fructus dilectionis in Deum et in proximum, et declinationis ab his mandatis, et ab omnibus, in quibus se inique gessit. Dicit enim Dominus: « Qui amat patrem aut matrem plus quam me, non est me dignus [18]. » Et: « Qui non odit patrem suum et matrem, et uxorem, et filios, adhuc autem et animam suam, non potest meus esse discipulus [14]. »

251 An non tibi videntur proposita esse Evangelia iis etiam qui juncti sunt uxoribus? Ecce tibi declaratum est quod ab omnibus hominibus exigatur obedientia Evangelii, tam monachis quam conjugatis. Sufficiet enim ei qui est junctus matrimonio, venia intemperantiæ, quod liceat ei uti copula et consuetudine cum uxore sua. Reliqua autem mandata, ex æquo omnibus posita, haud nullum periculum afferunt iis qui illa transgrediuntur; Christus enim Patris mandata annuntians, disserebat cum iis qui sunt in mundo. Quod siquibi contigisset eum seorsim interrogatum respondere, suis discipulis aiebat: « Quod vobis dico, omnibus dico [15]. » Ne ergo fallaris tu qui elegisti conjunctionem cum muliere, tanquam qui possis mundum libere amplecti. Pluribus enim tibi laboribus et custodia opus est ad assequendam salutem; ut qui in medio laqueorum, et sub potestate apostaticarum virtutum habitare elegeris, et in conspectu habeas irritamenta peccatorum, quique noctu ac interdiu omnibus tuis sensibus ad pravas cupiditates inciteris. Scias ergo quod adversarii non effugies palæstram, nec ad ejus pertinges victoriam, absque multis laboribus, ad observationem evangelicorum dogmatum necessariis.

Ἰωάννου τῆς Κλίμακος.

Ἤκουσα γάρ τινων ἐν κόσμῳ ἀμελῶς διακειμένων, εἰρηκότων πρός με· Πῶς δυνάμεθα ὁμοζύγῳ συζῶντες, καὶ δημοσίαις φροντίσιν ὑποκείμενοι, τὸν μοναδικὸν βίον μετελθεῖν; Πρὸς οὓς ἀπεκρίθην [z]·

Ex Joanne Climaco.

Audivi aliquos in mundo ignavos ac negligentes, mihi dicentes: Cum vitam agamus cum conjuge, et simus obnoxii publicis sollicitudinibus, quomodo possumus persequi vitam monasticam? Quibus

[19] Matth. XIX, 21. [18] Matth. X, 37. [14] Luc. XIV, 26. [15] Marc. XIII, 37.

VARIÆ LECTIONES.

[a] τὰς. [b] γάμου. [c] ἀκρασίας. [d] που. [e] ζῆν. [z] ἀπεκριθημεν.

respondimus : Quæcunque bona potestis facere, facite. A mendaciis vobis temperate; nemini suffuremini, neminem contumelia afficite, nemini vos anteponite, neminem odio habete, fugite fornicationem, a synaxi ne separemini, eorum qui egent miseremini, nemini este offendiculo, alienæ parti ne appropinquate, et contenti este stipendiis [uxorum] vestris. Si sic feceritis, non procul estis a regno cœlorum.

A Πάντα, ὅσα δύνασθε ποιεῖν ἀγαθά, ποιήσατε· μηδενὶ ψεύσησθε, μηδένα κλέψητε, μηδένα λοιδορήσητε, μηδενὸς κατεπαρθῆτε, μηδένα μισήσητε, τῆς πορνείας ἀπέχεσθε, τῶν συνάξεων μὴ χωρίζεσθε, τοῖς δεομένοις συμπαθήσατε, μηδένα σκανδαλίσητε, [ἀλλοτρίᾳ μερίδι μὴ προσε[νε]γγίσητε,] καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις [τῶν γυναικῶν] ὑμῶν. Ἐὰν οὕτω ποιήσητε, οὐ μακρὰν ἐστε τῆς βασιλείας τῶν οὐρανῶν.

Ex Constitutionibus apostolicis [16].

Cum Moyses legislator dixit Israelitis : « Ecce dedi ante faciem vestram viam vitæ et viam mortis; » et inferat : « Elige vitam, ut vivas [17]; » et propheta Elias dicat populo : « Quousque claudicabitis ambobus vestris poplitibus? Si Deus est Dominus, ambulate post ipsum [18]; » merito ergo dicebat Dominus : « Nemo potest duobus dominis servire; aut enim unum odio habebit, et alterum diliget : aut alterum amplectetur, et alterum despiciet [19]. » Necessario ergo nos quoque doctorem nostrum **252** Christum sequentes, dicimus duas esse vias : unam vitæ, et alteram mortis. Prima est ergo via vitæ, et ea est quam lex ostendit : « Diligere Dominum Deum ex tota anima, et ex tota mente, et proximum sicut seipsum [20]. » Et : « Quidquid non vis tibi fieri, hoc tu quoque alii ne feceris [21]. » Benedic eis qui te exsecrantur; ora pro eis qui tibi insultant, dilige inimicos tuos. « Quænam enim, inquit, est gratia, si diligatis eos qui vos diligunt? Nam et publicani hoc faciunt [22]. » Abstine a carnalibus et mundanis desideriis. « Si quis tibi dederit colaphum in maxillam, verte et aliam [23]. » — « Si retribui, inquit, retribuentibus mihi mala [24]. » — « Si quis te angariaverit unum milliare, vade cum eo duo, et ei qui vult tecum in judicio contendere, et tunicam accipere, da ei pallium, et ab eo, qui tua tollit, ne repetas [25]; » da ei, qui a te petit. « Ab eo qui vult a te mutuo accipere, ne avertaris [26]. » Atque omnibus quidem æquum est dare ex propriis laboribus; præferendi autem sunt sancti. « Non occides, non mœchaberis [27], puero vitium non offeres; exsecrandus est enim, inquit, qui dormit cum masculo concubitu feminæ [28]. Non fornicaberis. Non erit, inquit, qui fornicetur in Israel [29]. Non furaberis [30]. » Nam Achan cum furatus esset in Jericho, obrutus lapidibus excessit e vita [31], et Giezi cum esset furatus et mentitus, fuit hæres lepræ Naaman [32]. Judas furatus bona pauperum, tradidit Dominum, et pœnitentia motus se suspendit [33]. Ananias et Saphira cum sua suffurati essent, et Spiritum Domini tentassent, statim Petri coapostoli nostri sententia, morte sunt affecti [34]. Nec

Ἐκ τῶν ἀποστολικῶν Διαταγμάτων.

Τοῦ νομοθέτου Μωσέως εἰρηκότος τοῖς Ἰσραηλίταις· « Ἰδοὺ δέδωκα πρὸ προσώπου ὑμῶν τὴν ὁδὸν τῆς ζωῆς, καὶ τὴν ὁδὸν τοῦ θανάτου, » καὶ ἐπιφέροντος, « Ἔκλεξαι τὴν ζωὴν, ἵνα ζήσῃς· » καὶ τοῦ προφήτου Ἠλιοὺ λέγοντος τῷ λαῷ· « Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν; Εἰ Θεός ἐστι ὁ Κύριος, πορεύεσθε ὀπίσω αὐτοῦ· » εἰκότως οὖν ἔλεγεν ὁ Κύριος Ἰησοῦς· « Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. » Ἀναγκαίως οὖν καὶ ἡμεῖς ἑπόμενοι τῷ διδασκάλῳ Χριστῷ, φαμὲν, ὡς δύο ὁδοί εἰσι· μία τῆς ζωῆς, καὶ μία τοῦ θανάτου. Πρώτη οὖν τυγχάνει ὁδὸς τῆς ζωῆς, καὶ ἔστιν αὕτη, ἣν καὶ ὁ νόμος διαγορεύει, « Ἀγαπᾷν Κύριον τὸν Θεὸν ἐξ ὅλης ψυχῆς, καὶ ἐξ ὅλης διανοίας· καὶ τὸν πλησίον ὡς ἑαυτόν. » Καὶ, « Πᾶν ὃ μὴ θέλεις γενέσθαι σοι, καὶ σὺ τοῦτο ἄλλῳ μὴ ποιήσῃς. » Εὐλόγει τοὺς καταρωμένους σε, προσεύχου ὑπὲρ τῶν ἐπηρεαζόντων σε, ἀγάπα τοὺς ἐχθρούς. « Ποία γὰρ πέφυκεν ὑμῖν χάρις, ἐὰν ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς; καὶ οἱ τελῶναι τοῦτο ποιοῦσιν. » Ἀπέχου τῶν σαρκικῶν καὶ κοσμικῶν ἐπιθυμιῶν. « Ἐάν σοι δῷ ῥάπισμα ἐπὶ τὴν δεξιάν σου σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. »—« Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά. »—« Ἐὰν ἀγγαρεύσῃ σέ τις μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο· καὶ τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον· » καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ, μὴ ἀπαίτει. » Τῷ αἰτοῦντι δίδου, καὶ « Ἀπὸ τοῦ θέλοντος δανείσασθαι, μὴ ἀποστραφῇς. » Πᾶσι μὲν οὖν διδόναι ἐξ ἰδίων [a] πόνων. « Τίμα γὰρ, φησὶ, τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων· » προτιμητέον δὲ τοὺς ἁγίους. « Οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ παιδοφθορήσεις· ἐπικατάρατος γὰρ, φησὶν, ὁ κοιμώμενος μετὰ ἄρρενος κοίτην γυναικείαν· γυναῖκα οὐ πορνεύσεις· οὐκ ἔστι γὰρ ὁ πορνεύων ἐν υἱοῖς Ἰσραήλ. Οὐ κλέψεις. » Ἄχαν γὰρ κλέψας ἐν Ἰεριχὼ, λίθοις βληθεὶς, τὴν ζωὴν ὑπεξῆλθε, καὶ Γιεζὶ κλέψας καὶ ψευσάμενος ἐκληρονόμησε τοῦ Νεεμὰν τὴν λέπραν, καὶ Ἰούδας κλέπτων τὰ τῶν πενήτων, τὸν Κύριον παρέδωκε, καὶ μεταμεληθεὶς ἀπήγξατο. Καὶ Ἀνανίας καὶ Σαπφείρα ἡ τούτου

[16] Lib. VII, a c. 1, usque ad cap. 11, ut Hervetus numerat. [17] Deut. XXX, 19. [18] III Reg. XVIII, 21. [19] Matth. VI, 24. [20] Deut. VI, 5; XI, 13; Matth. XXII, 37; Marc. XII, 13; Luc. X, 27. [21] Matth. VII, 12. [22] Matth. V, 46. [23] ibid. V, 39; Luc. VI, 29. [24] Psal. VII, 5. [25] Matth. V, 40-42. [26] Deut. XXIII, 20; XV, 8; Luc. VI, 34. [27] Exod. XX, 14. [28] Levit. XX, 13. [29] Osee. III, 3. [30] Exod. XX, 15. [31] Jos. VII, 21, 25. [32] IV Reg. V, 23, 25, 27. [33] Matth. XXVII, 5. [34] Act. V, 2, 5, 8, 9.

VARIÆ LECTIONES.

[a] οἰκείων.

γυνὴ, κλέψαντες τὰ ἴδια, καὶ πειράσαντες τὸ Πνεῦμα Κυρίου, παραχρῆμα ἀποφάσει τοῦ Πέτρου τοῦ συναποστόλου ἡμῶν ἐθανατώθησαν. Οὐ μαγεύσεις. « Φαρμακοὺς γὰρ, φησὶ, οὐ περιδιώσετε. » Οὐκ ἐπιθυμήσεις τὰ τοῦ πλησίον σου. « Οὐκ ἐπιορκήσεις· ἐῤῥέθη γὰρ, μὴ ὀμόσαι ὅλως. » Καὶ, « Οὐ συκοφαντήσεις, ὅτι ὁ συκοφαντῶν πένητα, παροξύνει τὸν ποιήσαντα αὐτόν. Οὐ καταλαλήσεις. Μὴ ἀγάπα γὰρ, φησὶ, καταλαλεῖν, ἵνα μὴ ἐξαρθῇς. » Οὐ μνησικακήσεις· ὁδοὶ γὰρ μνησικάκων εἰς θάνατον. Μὴ γίνου γλωσσώδης· ὅτι ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται, καὶ παγὶς ἀνδρὶ τὰ ἴδια χείλη. Οὐκ ἔσται ὁ λόγος σου κενός· περὶ παντὸς γὰρ λόγου δώσεις λόγους· ἐκ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ. Οὐ ψεύσει· « Ἀπολεῖς γὰρ, φησὶ, πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. » Καὶ οὐκ ἔσῃ πλεονέκτης. Οὐαὶ γὰρ, φησὶν, ὁ πλεονεκτῶν τὸν πλησίον πλεονεξίαν κακήν.

Οὐκ ἔσῃ ὑποκριτὴς, ἵνα μὴ τὸ μέρος σου μετ' αὐτῶν θῇς. Μὴ γίνου ὑπερήφανος· ὑπερηφάνοις γὰρ Κύριος ἀντετάσσεται. Οὐ λήψῃ πρόσωπον ἐν κρίσει· ὅτι τοῦ Κυρίου ἡ κρίσις. Οὐ μισήσεις τὸν ἀδελφόν σου· « Ἐλεγμῷ γὰρ ἐλέγξεις τὸν ἀδελφόν σου· οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν. » Φεῦγε ἀπὸ παντὸς κακοῦ. Ἄπεχε γὰρ, φησὶν, ἀπὸ κακοῦ, καὶ τρόμος οὐκ ἐγγιεῖ σοι. Μὴ γίνου ὀργίλος, μηδὲ βάσκανος, μηδὲ μανικὸς, ἢ θρασὺς, ἵνα μηδὲν πάθῃς τὰ τοῦ Κάϊν, καὶ τὰ τοῦ Σαοὺλ [καὶ Ἰωάβ] · ὅτι ὁ μὲν ἀπέκτεινεν Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ, διὰ τὸ πρόκριτον αὐτοῦ εὐρεθῆναι παρὰ τῷ Θεῷ· ὁ δὲ τὸν Δαυὶδ δεδίωχε νικήσαντα τὸν Γολιὰθ, ζηλώσας ἐπὶ τῇ τῶν χορευτριῶν εὐφημίᾳ· ὁ δὲ τοὺς δύο στρατηγοὺς ἀνεῖλε, Ἀβδενὴρ καὶ Ἀμεσίαν. Οὐκ ἔσῃ ἐπᾴδων, ἢ περικαθαίρων τὸν νοῦν [b] σου. Οὐκ οἰωνισθήσῃ, οὐδὲ ὀρνεοσκοπήσεις, οὐδὲ μαθήσῃ μάθημα πονηρόν· ταῦτα γὰρ πάντα καὶ ὁ νόμος ἀπεῖπεν. Μὴ γίνου αἰσχρολόγος, μηδὲ ῥιψόφθαλμος· ἐκ γὰρ τούτων, πορνεία καὶ μοιχεία γίνονται. Μὴ γίνου φιλάργυρος· ἵνα μὴ ἀντὶ Θεοῦ δουλεύσῃς τῷ μαμωνᾷ. Μὴ γίνου ὑψηλόφρων, καὶ μετέωρος, ὡς ὁ Φαρισαῖος, « Ὅτι πᾶς, ὁ ὑψ[ηλ]ῶν ἑαυτὸν, ταπεινωθήσεται· » καὶ, « Τὸ ὑψηλὸν ἐν ἀνθρώποις, βδέλυγμα παρὰ Κυρίῳ. »

Μὴ γίνου σκληροτράχηλος, καὶ θυμώδης· ὅτι ὁδηγεῖ πρὸς βλασφημίαν· ἀλλὰ μακρόθυμος καὶ πραΰς, ὅτι ἀνὴρ θρασὺς ἐμπεσεῖται εἰς κακά. Οὐκ ἐπιτάξεις τῷ δούλῳ σου, ἢ τῇ παιδίσκῃ σου, ἐν πικρίᾳ ψυχῆς, μή ποτε στενάξωσιν ἐπὶ σοὶ, καὶ ἔσται

A magiam, nec veneficium exerçebis. « Non eris magus, non veneficus. Maleficos, inquit, non patieris vivere [35]. Non concupisces res proximi tui; non pejerabis; dictum est enim, non jurandum esse omnino [36]. Non calumniaberis; nam qui calumniatur pauperem, irritat eum qui ipsum fecit [37]. Non detrahes. Ne diligas, inquit, detrahere, né extollaris [38]. Acceptæ injuriæ ne sis memor [39]. Viæ enim eorum, qui recordantur acceptæ injuriæ, sunt ad mortem. Ne sis loquax; quoniam, vir linguax non dirigetur super terram, et laqueus sunt sua labra viro [40]. Non erit sermo tuus vanus : de omni enim sermone reddes rationem [41], et ex verbis tuis justificaberis, et ex verbis tuis condemnaberis [42]. Non mentieris : « Perdes, inquit, eos qui
B loquuntur mendacium [43]. » Non eris avarus [44] : Væ, inquit, ei qui propter malam plura habendi cupiditatem fraudat proximum.

Non eris hypocrita, ne pars tua ponatur cum hypocritis [45]. Ne sis superbus : « Deus enim superbis resistit [46]. » Non accipies personam in judicio, quoniam Dei **253** est judicium [47]. Non odio habebis fratrem tuum [48] : « Arguendo, inquit, argues fratrem tuum, et non suscipies propter ipsum peccatum [48a]. » Fuge ab omni malo, et non timebis [49]. Ne sis iracundus, neque furiosus, neque invidus, aut audax; ne patiaris ea quæ Cain [50], et quæ Saul [51], et quæ Joab [52]; quoniam Cain quidem occidit fratrem suum, quoniam is fuit prælatus a Deo;
C Saul autem persecutus est David, qui vicerat Goliath, æmulatione percitus propter laudem mulierum choros ducentium [53]; Joab autem occidit duos duces exercitus, Abner et Amasiam [54]. Non eris incantator, aut filium tuum igne purgans [55]. Non eris augur, nec auspex, neque disces malas disciplinas [56]; nam hæc omnia lex prohibuit. Ne sis turpiloquus, nec impudicos jaciens hinc inde oculos, nec ebriosus [57]; ex his enim oriuntur fornicatio et adulterium. Ne sis amans pecuniæ, ne pro Deo servias mammonæ [58]. Ne sis superbo et elato animo, ut Pharisæus [59] : « Quoniam omnis qui se exaltat humiliabitur [60]; » et : « Quod est altum inter homines, est apud Deum abominatio [61]. »

Ne sis dura cervice et animosus; quoniam id de-
D ducit ad blasphemiam, sed lenis et patiens (et multus in prudentia, nam mites possidebunt terram [62] (19). Ne sis audax; quoniam vir audax incidet in mala. Ne imperes servo, aut ancillæ tuæ

[35] Exod. XXII, 18. [36] Exod. XX, 17; Matth. V, 33, 34. [37] Prov. XIV, 31; XXII, 16. [38] Jac. IV, 11. [39] Eccli. X, 6. [40] Prov XVIII, 6; Psal. CXXXIX, 12. [41] Matth. XII, 36. [42] ibid. 37. [43] Psal. V, 7. [44] Luc. XII, 15. [45] Eccli. I, 37; Matth. XXIV, 51. [46] I Petr. V, 5. [47] Deut. I, 17; XVI, 19; Levit. XIX, 15; Prov. XXIV, 23; Eccli. XLII, 1; Jac. II, 1. [48] Levit. XIX, 18; Matth. V, 43. [48a] Levit. XIX, 17; Eccli. XIX, 13-15; Matth. XVIII, 15; Luc. XVII, 3; Jac. V, 1. [49] Isa. LIV, 14. [50] Genes. IV. [51] I Reg. XXXI. [52] III Reg. II. [53] I Reg. XVIII, 6, 8. [54] II Reg. III, 27; XX, 10. [55] Deut. XVIII, 11, 10. [56] ibid. [57] I Cor. V, 11. [58] Luc. XVI, 9, 13. [59] Luc. XVIII, 11 seqq. [60] ibid. 14, et XIV, 11; Matth. XXIII, 12. [61] Luc. XVI, 15. [62] Matth. V, 4.

VARIÆ LECTIONES.

[b] υἱόν.

NOTÆ.

(19) Hæc non comparent in Græco nostro codice.

in amaritudine animæ tuæ: ne aliquando contra te ingemiscant, et erit tibi ira a Deo. « Ne des, inquit, locum homini, ut te exsecretur; eo, te exsecrante, in amaritudine animæ exaudiet eum qui fecit ipsum [45]. » Fratres et cognatos tuos ne despicias. « Ne despexeris, inquit, necessarios tui seminis [46]. » Non accedes ad preces tuas in die afflictionis tuæ, priusquam resolveris amaritudinem tuam. Quæ tibi accidunt fer æquo animo, et casus absque molestia, sciens quod merces tibi dabitur apud Deum, sicut Job et Lazaro. Eum qui verbum Dei tibi loquitur, glorificabis; memineris autem ejus die ac nocte; honorabis autem ipsum, ut qui tibi bonam et tranquillam vitam conciliet. Ubi enim est de Deo doctrina, illic adest Deus. Exquires in dies faciem sanctorum, ut acquiescas in sermonibus eorum. Non geres cum eis inimicitias, recordatus Dathan et Abiron. Hæc est via vitæ. Via autem mortis cernitur in malis actionibus: in ea enim est Dei ignoratio, propter quam fiunt cædes, fornicationes, et cætera.

A ἐπὶ Ἰερουσαλήμ ; Καὶ εἶπε πρὸς με Ἡ ἀδικία τοῦ οἴκου Ἰσραὴλ καὶ Ἰούδα πληθύνεται σφόδρα σφόδρα, ὅτι ἐπλήσθη ἡ γῆ ἀδικίας καὶ ἀκαθαρσίας · ὅτι εἶπαν · Ἐγκαταλέλοιπε Κύριος τὴν γῆν, οὐκ ἐφορᾷ Κύριος. Καὶ διὰ τοῦτο οὐ φείσομαι, οὐδὲ ἐλεήσω αὐτούς · ἀλλὰ τὰς ὁδοὺς αὐτῶν εἰς τὰς κεφαλὰς αὐτῶν δέδωκα. »

Osee.

« Bellum super filios iniquitatis venit ad castigandum eos ; et congregabuntur ad illos multi populi, ad castigandos ipsos in injustitiis suis [22]. »

Sancti Basilii, ex illo, quod Deus non est auctor malorum.

Cædes, et civitatum expugnationes, et in servitutem abductiones, et miserabilia eorum qui capti sunt spectacula, et (ut semel dicam) quæcunque ab hostibus gravia accidunt, dico, justo fieri Dei judicio iis qui digni sunt castigatione, per hostes supplicia inferentis. Vellesne non exusta esse Sodoma post impia illa facinora? Non eversam esse Jerusalem, neque desertum templum, post horrendam illam adversus Dominum Judæorum amentiam? Hæc quomodo æquum erat aliter **265** fieri, quam per manus Romanorum, quibus tradiderunt Dominum nostrum, vitæ suæ inimici Judæi ?

Ejusdem ex regulis fusius explicatis.

Sic etiam mundus administratur iis quæ particulatim fiunt remissionibus et afflictionibus, et si quos unquam perniciosum occupat supplicium, hoc in parte fit, et non in toto genere, ad utilitatem aliorum ; non secus atque a medicis pars amputatur ad utilitatem aliarum partium corporis. Ita diluvio sunt obrutæ gigantum generationes [23]. Ita periit genus Sodomitarum, cum summis abundasset vitiis [24], et populus Ægyptiorum [25], et gens Chananæorum [26] : illud quidem igne exustum ; hic vero aquis submersus ; Chananæi vero traditi hostibus, ut de medio tollerentur. Aliæ vero gentes innumerabiles, quæ iisdem laborant vitiis, permanent impunitæ ; et partes quidem quæ patiuntur, ad reliquarum emendationem patiuntur ; aliis autem non punitis, thesaurizatur ignis et ira in die iræ et revelationis Dei [27]. Tunc enim exurentur, non ad utilitatem et pœnitentiam, sed ad vitii liquefactionem et manifestationem, sicut auro et argento commistas alienas materias discernit ignis examinans.

Gregorii Theologi ex oratione in plagam grandinis.

Et ira venit pro ratione peccatorum, quæ appellatur calix in manu Domini, [28] et poculum ruinæ, quod ebibitur ; etiamsi omnibus de merita pœna aliquid subducit, iræque motum clementia temperat, inclinatum quidem ab asperitate ad lenitatem ac remissionem iis qui metu erudiuntur, et ex longa afflictione concipiunt et parturiunt conversionem, et pariunt spiritum perfectæ salutis ; asser-

Ὡσηέ.

« Πόλεμος ἐπὶ τέκνα ἀδικίας ἦλθε παιδεῦσαι αὐτούς · καὶ συναχθήσονται ἐπ' αὐτοὺς λαοὶ πολλοί, ἐπὶ τῷ παιδεῦσαι αὐτοὺς ἐν ταῖς ἀδικίαις αὐτῶν. »

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ, ὅτι οὐκ ἔστιν ὁ Θεὸς αἴτιος τῶν κακῶν.

Σφαγὰς, καὶ πόλεων ἁλώσεις, ἀνδραποδισμοὺς, ἐπαγωγὰς, τὰ ἐλεεινὰ τῶν ἁλόντων θεάματα, καὶ ἁπλῶς, ὅσα λυπηρὰ τοῖς πολεμίοις ἀκολουθεῖ, λέγω, κρίσει δικαίᾳ γίνεσθαι τοῦ Θεοῦ τοῖς ἀξίοις κολάσεως, διὰ τῶν πολεμίων τὰς τιμωρίας ἐπάγοντος. Ἢ σὺ ἐβούλου μὴ καταπρησθῆναι τὰ Σόδομα μετὰ τὰς ἀνοσιουργίας ἐκείνας ; Ἢ μὴ καταστραφῆναι τὴν Ἱερουσαλὴμ, μηδὲ ἐξερημωθῆναι τὸν ναὸν μετὰ B τὴν [φρικτὴν] κατὰ τοῦ Κυρίου τῶν Ἰουδαίων ἀπόνοιαν ; Γενέσθαι δὲ ταῦτα πῶς ἄλλως δίκαιον ἦν, καὶ οὐχὶ διὰ τῶν Ῥωμαϊκῶν χειρῶν, αἷς παρέδωκαν τὸν Θεὸν οἱ ἐχθροὶ τῆς ζωῆς αὐτῶν Ἰουδαῖοι ;

Τοῦ αὐτοῦ διὰ πλάτους Ἀσκητικῶν.

Οὕτω καὶ ὁ κόσμος οἰκονομεῖται ταῖς ἀνὰ μέρος ἀνέσεσί τε καὶ θλίψεσι · καὶ εἴ τινας ἐπ' ὀλέθρῳ ποτὲ τιμωρία καταλαμβάνει, μερικὸν τὸ τοιοῦτον, καὶ οὐ καθολικὸν γίνεται πρὸς ὠφέλειαν τῶν ἄλλων, καθάπερ ὑπὸ τῶν ἰατρῶν ἐκτεμνομένου μέρους πρὸς ὠφέλειαν τῶν λοιπῶν τοῦ σώματος. Οὕτω γιγάντων κατακλύζεται γενεά · οὕτω Σοδομιτῶν γένος ἀπώλετο πλεονάσαν εἰς ἄκρον κακίας · καὶ τὸ Αἰγύπτιον φῦλον, καὶ τὸ Χαναναῖον ἔθνος · τὸ μὲν πυρπολη- C θὲν, [τὸ δὲ καταποντισθὲν], τὸ δὲ εἰς ἀναίρεσιν τῶν πολεμίων ἐκδοθὲν, τὰ ἄλλα [δὲ] ἔθνη [e], ἐπὶ ταῖς αὐτῶν κακίαις [h] ὑπάρχοντα, ἀτιμώρητα διαμένουσι. Καὶ τῶν μὲν πασχόντων μερῶν, εἰς τὴν τοῦ λοιποῦ διόρθωσιν μέρους εἴωθε γίνεσθαι · τῶν τε ἀτιμωρήτων θησαυρίζεται πῦρ καὶ ὀργὴ ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως Θεοῦ. Τότε γὰρ οὐκ ἐπ' ὠφελείᾳ καὶ μετανοίᾳ, ἀλλὰ εἰς τὴν τῆς κακίας ἔκτισιν [i] καὶ φανέρωσιν, καθάπερ τὰς χρυσῷ καὶ ἀργύρῳ συμμιγείσας ἀλλοτρίας ὕλας διακρίνει βασανίζον πῦρ [k].

Γρηγορίου τοῦ Θεολόγου, ἐκ τοῦ εἰς τὴν πληγὴν τῆς χαλάζης.

Καὶ ἡ ὀργὴ κατὰ λόγον τῶν ἁμαρτημάτων ἐπέρχεται, ποτήριον ἐν χειρὶ Κυρίου προσαγορευομένη, καὶ κόνδυ πόσεως ἐκπινόμενον, εἰ καὶ πᾶσιν ὑφαιρεῖταί τι τῆς ἀξίας, καὶ τὸ τῆς ὀργῆς ἄκρατον, φιλανθρωπίᾳ κίρνησι, κλινόμενον μὲν ἀπὸ τοῦ ἀποτόμου, πρὸς τὸ ἐνδόσιμον τοῖς φόβῳ παιδευομένοις, καὶ ταῖς ἐκ τῆς μακρᾶς θλίψεως συλλαμβάνουσι, καὶ ὠδῖνουσι [l] ἐπιστροφὴν, καὶ πνεῦμα σωτηρίας

[21] Ezech. IX, 1-10. [22] Osee X, 10. [23] Gen. VII. [24] Gen. XIX. [25] Exod. XIV. [26] Deut. VII. [27] Rom. II, 5. [28] Psal. LXXIV, 9.

VARIÆ LECTIONES.

[e] ἄλλα μύρια ἔθνη. [h] ἐπὶ ταῖς αὐταῖς κακίαις. [i] ἔκτηξιν. [k] βασανίζον τὸ πῦρ. [l] ὠδίνουσι.

τέλειον ἀποτίκτουσιν· ὑποτηρῶν δ' ὅμως τρυγίαν τὸ τῆς ὀργῆς ἔσχατον, ἵν' ὅλον κενώσῃ τοῖς μὴ θεραπευομένοις [ἐκ τῆς χρηστότητος, ἀλλὰ καὶ σκληρυνομένοις] κατὰ τὸν βαρυκάρδιον Φαραὼ, καὶ πικρὸν ἐργοδότην [m], εἰς δεῖγμα ταμιευθέντες τῆς τοῦ Θεοῦ κατὰ τῶν ἀσεβῶν δυνάμεως.

A vans tamen fæcem, nempe iræ extremitatem, ut totam effundat in eos qui non curantur ex benignitate et clementia; imo vero indurantur, ut duro corde Pharao [29], et acerbus operum exactor, reservatus ad ostendendam Dei in impios potentiam.

Τοῦ Χρυσοστόμου, ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἰ γὰρ πολέμων ὄντων, καὶ τοσούτων πειρασμῶν ἐπικειμένων, ἁμαρτάνομεν, τίνες ἂν εἴημεν ἐν ἀδείᾳ ζῶντες; Καὶ, εἰ βούλει, τὸν πρῶτον ἄνθρωπον σκόπει. Εἰ γὰρ ὀλίγον χρόνον, τάχα δ' οὐδ' ἡμέραν ὅλην, ἐν τῷ παραδείσῳ ζήσας, καὶ τρυφῆς ἀπολαύσας, εἰς τοσοῦτον ἦλασε κακίας, ὡς καὶ ἰσόθεὸν φαντασθῆναι, καὶ τὸν ἀπατεῶνα εὐεργέτην νομίσαι, καὶ μιᾶς μὴ κατασχεῖν ἐντολῆς, εἰ τὸν B ἑξῆς βίον ἀταλαιπώρως ἔζη, τί οὐκ ἂν εἰργάσατο;

Ejusdem in psalmos Graduales.

Si enim, cum sint bella, et tot minæ et tentationes peccamus, quinam essemus si secure viveremus? Et, si velis, considera primum hominem: si enim, cum breve tempus, forte autem ne unum quidem totum diem vixisset in paradiso, deliciis illius perfruens, eo venit sceleris ut etiam se Deo **266** fore æqualem sibi imaginaretur, et deceptorem existimaret benefactorem, et unum mandatum non observaret; si, quæ secuta est, vitam egisset sine ulla afflictione, quid non fecisset?

Τοῦ αὐτοῦ ἐκ τῶν Ἀναβαθμῶν.

Ἐπειδὴ γὰρ δεόντως ταῖς τιμαῖς οὐκ ἐχρήσαντο, τοῖς ἐναντίοις αὐτοῦ [n] ὁ Θεὸς διορθοῦται, τοῦτο πανταχοῦ ποιῶν. Οὕτω δὴ καὶ τὸν Ἀδὰμ, ἐπειδὴ τῇ οἰκήσει τοῦ παραδείσου οὐκ ἐχρήσατο πρὸς τὸ συμφέρον, τῇ ἐκβολῇ αὐτὸν διώρθωσε, καὶ τὴν γυναῖκα τῇ ὁμοτιμίᾳ φαυλοτέραν γινομένην, τῇ δουλείᾳ καὶ τῇ ὑποταγῇ βελτίω κατέστησεν. Οὕτω καὶ Ἰουδαίους, τῇ ἐλευθερίᾳ καὶ ἀδείᾳ χείρους γενομένους καὶ ἀποσκιρτήσαντας, τοῖς ἐναντίοις διορθοῦται.

Ejusdem in psalmos Graduales.

Quoniam honoribus non usi sunt ut oportuit, Deus eos emendat contrariis, solemni more suo: id videre licet in Adamo [30], quem, cum paradisi habitatione ad utilitatem non fuisset usus, ejectione correxit; et mulierem, quæ honoris æqualitate evaserat deterior, servitute et subjectione reddidit meliorem. Ita etiam Judæos, qui libertate et securitate effecti erant pejores, et exorbitaverant corrigit contrariis.

Ἰσιδώρου ἐκ τῶν ἐπιστολῶν.

Μὴ θαυμάσῃς, ἀγαπητὲ, διότι τῶν [o] ἑαυτοῦ ἀνακτόρων ὁ Θεὸς οὐ φείδεται, ὅταν φόβον τῇ γῇ ἐπαφίῃσιν. Ἔχεις γὰρ [p] ἐν ταῖς θείαις Γραφαῖς τὴν τούτων ἀκριβῆ διασάφησιν. Εἰ γὰρ τῆς ἁγίας κιβωτοῦ οὐκ ἐφείσατο, ἀλλ' ἐξέδοτο αὐτὴν ἀλλοφύλοις σὺν ἱερεῦσιν αὐτοῖς ἀνομήσασιν, καὶ πόλιν ἁγιάσματος, καὶ Χερουβὶμ δόξης, καὶ στολὴν, καὶ προφητείαν, καὶ χρίσμα, καὶ δήλωσιν εἰς καταπάτημα [p'] καὶ μιασμὸν ἀπέδοτο ἔθνεσιν, οὐδὲ τῶν ἁγίων ἐκκλησιῶν καὶ ἀχράντων φείδεται μυστηρίων, ἵνα τῶν ἑαυτοῦ αὐλῶν μὴ φειδόμενος, εἰς φόβον καὶ σωφρονισμὸν τοὺς πταίοντας κλίνῃ, ἀπηνεστέραν περιμένοντας ἐφ' οἷς πράττουσι τιμωρίαν. « Ὀλολυζέτω γὰρ, φησὶ, πίτυς, ὅτι πέπτωκε κέδρος· » τῶν ἰσχυρῶν πιπτόντων, τὰ ἀσθενέστερα παιδευέσθωσαν. Πιπτόντων γὰρ ἀσεβῶν, φησὶν ὁ Σολομὼν, δίκαιοι κατάφοβοι γίνονται.

Isidori ex epistolis [31].

Miraris, o dilecte, quemadmodum Deus non pareit suis templis et basilicis, quando terræ immittit timorem. Sed habes in divinis Scripturis accuratam ejus rei declarationem. Si enim arcæ sanctæ non pepercit, sed eam dedit alienigenis cum ejus sacerdotibus qui deliquerant, et civitatem sanctitudinis, et Cherubim gloriæ, et vestes, et prophetiam, et chrisma, et legis declarationem dedit conculcanda et polluenda gentibus; ne sanctis quidem parcit ecclesiis, et intemeratis sacramentis; ut, cum ne suis quidem aulis parcat, delinquentes inclinet ad metum et temperantiam, sæviorem propter ea quæ agunt, exspectantes cruciatum. « Ululet enim, ait, pinus, quia cecidit cedrus [32]; » fortibus cadentibus, erudiantur ac castigentur, quæ sunt imbecilliora. Dum enim cadunt impii, inquit Salomon, justi formidant.

Θεοδωρήτου ἐκ τοῦ περὶ προφητειῶν.

Πάντα μέτρῳ καὶ σταθμῷ πρυτανεύει Κύριος [q]. Καὶ γὰρ τοῖς ἐπὶ τοῦ Νῶε πέντε καὶ ἑκατὸν εἴκοσιν ἔτεσι τὴν ζωὴν περιορίσας, ἐπειδὴ τὴν ἁμαρτίαν αὐξουμένην καὶ πλημμυροῦσαν εἶδεν, οὐκ ἀνέμεινε τὴν κυρίαν, ἀλλὰ τὴν προθεσμίαν συνέτεμε, καὶ τῷ ἑκατοστῷ ἔτει πᾶσαν [r] ἐπήγαγε τὸν κατακλυσμόν. Οὕτω καὶ τῷ Ἀβραὰμ πάροικον ἔσεσθαι τὸ σπέρμα

Ex Theodoreto in prophetas.

Pondere et mensura omnia regit et administrat Dominus [33]. Nam cum iis qui vivebant tempore Noe, vitæ terminum, centum et viginti annis definiisset, postquam vidit peccatum crescere et inundare, non exspectavit præscriptum terminum, sed cum præcidit, et breviorem reddidit, et centesimo anno omnibus induxit, diluvium [34]. Ita etiam Abrahamo,

[29] Exod. XIV 4. [30] Gen. V. [31] Lib. I, epist. 73. [32] Zach. XI, 1, 2. [33] Sap. XI, 21. [34] Gen. VI.

VARIÆ LECTIONES.

[m] λογοδιώκτην. [n] αὐτος. [o] θαυμάζεις, ἀγαπητὲ, ὅπως τῶν, etc. [p] ἀλλ' ἔχεις. [p'] Rationale τὸ λόγιον. [q] ὁ Κυριος. [r] πασιν.

inquilinum futurum ejus semen prædixit, et docet causam. « Nondum enim, inquit, completæ sunt iniquitates Amorrhæorum huc usque [35]. » Nondum, inquit, ea admiserunt peccata quæ mereantur ut penitus intereant; quamobrem non patiar ut nunc vobis omnino occidendos tradam, sed iniquitatis exspecto mensuram. **267** Sub mensuram enim cadunt nostra, quæ in tempore fiunt, peccata, usque ad aliquam quantitatem; et nunc infligit pœnas justus judex noster Deus, cui gloria et imperium in sæcula sæculorum. Amen.

A αὐτοῦ προαγορεύσας, τὴν αἰτίαν διδάσκει. « Οὔπω γὰρ, φησὶν, ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορῥαίων, ἕως τοῦ νῦν. » Οὐδέπω γὰρ, φησὶ, ἄξια πανολεθρίας πεπλημμελήκασι· διόπερ οὐκ ἀνέξομαι νῦν αὐτοὺς παραδοῦναι σφαγῇ, ἀλλὰ τῆς παρανομίας τὸ μέτρον ἀναμενῶ. Μετροῦνται γὰρ ἡμῶν τὰ κατὰ καιροὺς πλημμελήματα, μέχρι ποσότητός τινος, καὶ τότε τὰς δίκας ἐπάγει ὁ δικαιοκρίτης [ἡμῶν] Θεὸς, [ᾧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.]

QUÆSTIO XVIII.

Utrum omnes qui præcipitantur, aut terra obruuntur, aut submerguntur, ex divina comminatione et jussione hoc patiantur, an ex maligni operatione? B

RESPONSIO.

Divina judicia, teste Scriptura, prorsus esse imperscrutabilia, et investigabiles vias Dei [36], perspicuum est. Cæterum non omnes qui violenta morte obeunt, hoc patiuntur propter peccatum. Filii enim Job, licet essent justi, a domo sunt obruti [37]. Et hoc nos docet Christus, dicens decem et octo illos viros, super quos cecidit turris in Siloe, non magis fuisse peccatores, quam alios, qui habitabant Hierosolymis [38]; neque rursus illos, quorum sanguinem miscuit Pilatus cum sacrificiis. Quamobrem hinc discimus justos sæpe mori morte violenta, obscuris et occultis Dei judiciis, quæ C fiunt tribus modis. Nam nonnullos sanctos sæpe permittit Deus vel a feris interimi, vel a terræmotu, vel ab aquis, aut præcipitiis, ut cæteri terreamur, dicentes: Si hic, cum esset vir talis, hoc passus est, quid passuri sumus nos peccatores? Et: « Si justus vix salvabitur, impius et peccator ubi parebunt [39]? »

Alii rursus parva forte habent delicta, quæ cum sint per illam plagam eis condonata, perfecti deinde apud Deum inveniuntur. Aliqui alii, ut principes et qui aliis præsunt, translatis in se peccatis populi, sæpe in gravissimos casus et exitus incidunt ad suam et subditorum majorem salutem. Etenim Christus vulneratus est propter iniquitates nostras, D et pro nobis mortem subiit [40]. Hoc ergo scientes, ne miremur, cum videmus Isaiam serra dissecari, Joannem capite truncari, Stephanum lapidibus obrui, Petrum in crucem agi, et multos alios, sanctitate præstantes, qui incidunt in gravia pericula, et crudelia mortis genera.

268 Similiter in sceleratis quoque tribus mo-

ΕΡΩΤΗΣΙΣ ΙΗ'.

Ἆρα ἅπαντες οἱ κρημνιζόμενοι, ἢ καταχωννύμενοι, ἢ καταποντιζόμενοι κατὰ θείαν ἀπειλὴν, καὶ πρόσταξιν πάσχουσιν, ἢ ἐξ ἐνεργείας τοῦ πονηροῦ;

ΑΠΟΚΡΙΣΙΣ.

Ὅτι μὲν, καθά φησιν ἡ Γραφὴ, ἀνεξερεύνητα τὰ κρίματα τοῦ Θεοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ, δῆλον. Πλὴν δὲ οὐ πάντες οἱ βιαίῳ θανάτῳ τελευτῶντες δι' ἁμαρτίας τοῦτο πάσχουσι· καὶ γὰρ οἱ τοῦ Ἰὼβ υἱοὶ, δίκαιοι ὄντες, ὑπὸ τῆς οἰκίας κατεχώσθησαν. Καὶ ὁ Χριστὸς δὲ ἡμᾶς διδάσκει, τοῦτο λέγων, ὅτι οὐχ ἁμαρτωλότεροι ἦσαν τῶν κατοικούντων [ἐν] Ἱερουσαλὴμ οἱ δέκα καὶ ὀκτὼ ἄνδρες, ἐφ' οὓς ἔπεσεν ὁ πύργος τοῦ Σιλωάμ· οὔτε πάλιν ἐκεῖνοι, ὧν τὸ αἷμα ἔμιξεν ὁ Πιλάτος μετὰ τῶν θυσιῶν· ὥστε ἐντεῦθεν μανθάνομεν, ὅτι καὶ δίκαιοι πολλάκις βιαίῳ θανάτῳ τελευτῶσι κατά τινα ἄδηλα καὶ κρύφια Θεοῦ κρίματα γινόμενα κατὰ τρεῖς τρόπους. Τινὰς μὲν γὰρ ὁσίους ἄνδρας πολλάκις ὁ Θεὸς συγχωρεῖ ἢ ὑπὸ θηρίων, ἢ σεισμῶν, ἢ ὑδάτων, ἢ κρημνῶν ἀναιρεθῆναι, ὅπως οἱ λοιποὶ πτοηθῶσι λέγοντες· Εἰ οὕτως ὁ τοιοῦτος ἄνθρωπος τοῦτο ὑπέστη, τί μέλλομεν πάσχειν ἡμεῖς οἱ ἁμαρτωλοί; Καί· « Εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; »

Ἕτεροι δὲ πάλιν ἴσως τινὰ μικρὰ ἐλαττώματα (26) ἔχοντες, καὶ δι' ἐκείνης τῆς ἀπειλῆς αὐτὰ συγχωρηθέντες παθεῖν, τέλειοι λοιπὸν παρὰ Θεῷ εὑρεθήσονται. Ἄλλοι δέ τινες, ὡς δυνατοὶ, ἁμαρτίαν λαοῦ ἀναδεξάμενοι πολλάκις, πειρασμοῖς, καὶ χαλεπῷ θανάτῳ ὑπὲρ τῆς ἀναδοχῆς παραδίδονται, καὶ ἑαυτοῖς καὶ τῷ λαῷ μείζονα σωτηρίαν ποιούμενοι. Καὶ γὰρ ὁ Χριστὸς διὰ τὰς ἁμαρτίας ἡμῶν ἐτραυματίσθη, καὶ τὸν ὑπὲρ ἡμῶν ἐδέξατο θάνατον. Τοῦτο οὖν εἰδότες μὴ θαμβηθῶμεν, ὁρῶντες Ἡσαΐαν πριζόμενον, καὶ Ἰωάννην ἀποκεφαλιζόμενον, καὶ Στέφανον λιθοβολούμενον, καὶ Πέτρον σταυρούμενον, καὶ ἄλλους πολλοὺς ἁγίους χαλεποῖς κινδύνοις καὶ θανάτοις περιπίπτοντας.

Ὁμοίως δὲ καὶ ἐπὶ τῶν πονηρῶν ἀνδρῶν κατὰ

[35] Gen. xv, 16. [36] Rom. xi, 33. [37] Job i, 19. [38] Luc. xiii, 4. [39] I Petr. iv, 18. [40] Isa. liii, v; I Cor. xv, 3; Philipp. ii, 8.

NOTÆ.

(26) *Μικρὰ ἐλαττώματα.* Ad verbum: *Imperfectiones, peccata venialia.* (ALEMANN.)

τρεῖς τρόπους οἱ βίαιοι θάνατοι γίνονται· ἢ ἵνα ἐκείνων τῇ ἀπειλῇ περιπιπτόντων, οἱ λοιποὶ σωφρονισθῶσιν· ἢ ἵνα καὶ αὐτοὶ οἱ θνήσκοντες μέρος ἐκεῖ ἀνέσεως εὕρωσι· πλείστην γὰρ σωτηρίαν ἐκεῖ εὑρίσκουσιν οἱ πικρῷ θανάτῳ τοῦ σώματος χωριζόμενοι· καὶ τοῦτο δηλῶν ὁ Κύριος, ἔλεγε περί τινων πόλεων, μὴ δεχομένων αὐτὸ τὸ κήρυγμα, ὅτι « Γῇ Σοδόμων καὶ Γομόρρας ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ· » ἢ πάλιν κατὰ θείαν ὀργὴν καὶ ἀπειλὴν Θεοῦ, ὡς ἐπὶ τοῦ Φαραὼ γέγονε, καὶ ἐπὶ τοῦ κατακλυσμοῦ. Οἱ μὲν γὰρ κολάζονται ὧδε μόνον, ὡς Λάζαρος· οἱ δὲ καὶ μόνον ὧδε ἐκ μέρους, καὶ πάλιν ἐκεῖ ἐκ μέρους, ὥσπερ καὶ οἱ ἐν Σοδόμοις ἐμπρησθέντες (27)· οἱ δὲ ἐκεῖ μόνον, ὡς ὁ κατὰ τὸν Λάζαρον πλούσιος.

Μὴ τοίνυν λέγε, μηδὲ περιεργάζου, ὅταν ἴδῃς τινὰ κρημνισθέντα, ἢ πνιγέντα· Διατί οὕτως τέθνηκεν; Ἆρα ἔφθασεν ἡ ὥρα αὐτοῦ; ἢ παρὰ καιρὸν ἀπέθανεν, ἢ ἐκ τοῦ πονηροῦ τοῦτο γέγονεν; ἀλλὰ γίνωσκε, ὅτι ἐξ ἰδίας πολλάκις, ἀδιακρισίας καὶ αὐθαδείας, πειρασμοῖς, καὶ συμφοραῖς, καὶ θανάτοις περιπίπτομεν· οἷον πάσχουσιν οἱ θεωροῦντες χειμερινὴν ἀέρος τροπὴν, καὶ τοῦ λιμένος τὴν ναῦν ὑπεξάγοντες, καὶ ἄλλοις κινδύνοις ἑαυτοὺς ἐπιῤῥίπτοντες, ὡς αὐτεξούσιοι, μήτε τοῦ Θεοῦ θέλοντος, μήτε μὴν τοῦ διαβόλου, ταῦτα καὶ τὰ τοιαῦτα κατ' ἐξουσίαν καὶ αὐθεντίαν ποιοῦντες. Τοῦ γὰρ Χριστοῦ λέγοντος, « Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσὶν, » εὔδηλον, [ὅτι] οὐ μόνον ἀνθρώπων, ἀλλ' οὐδὲ ἀλόγων, ἢ χοίρων ἐξουσιάζει ὁ Σατανᾶς, ὡς τὸ Εὐαγγέλιον μαρτυρεῖ.

Οὐκοῦν τὰ μὲν τῶν τοιούτων θανάτων γίνονται, ὡς εἴρηται, κατὰ ἀπειλὴν Θεοῦ πολλάκις ἐπὶ τῶν ἀμετανόητα ἁμαρτανόντων, ὡς ἐπὶ τοῦ κατακλυσμοῦ, καὶ τῶν Σοδόμων. Γέγραπται γὰρ, ὅτι Φαῦλοι ἐν θανάτῳ ἐξαισίῳ. Καὶ, « Θάνατος ἁμαρτωλῶν πονηρός. » Καὶ, « Παραπορευομένης καταιγίδος ἀφανίζεται ὁ ἀσεβής. » Καὶ, « Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ' αὐτοῦ παραδίδοται ὁ ἀσεβής. » Τὰ δὲ κατὰ παραχώρησιν, ὡς ἐπὶ τῶν τέκνων τοῦ Ἰώβ· ἕτερα δὲ κατ' εἴδησιν Θεοῦ μόνην, μήτε συνευδοκοῦντος, μήτε μὴν κωλύοντος· φησὶ γάρ· « Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν, ἄνευ τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. » Ταῦτα δὲ ἔλεγε δεικνὺς, ὅτι οὐδὲν ἀγνοοῦντος αὐτοῦ γίνεται, οὐ μὴν εἰς πάντα ἐνεργοῦντος.

Ἴσως δὲ καὶ ὑπὸ Θεοῦ βούλησίν τινες πικρῷ θανάτῳ πολλάκις τελευτῶσι πρὸς σωτηρίαν αὐτῶν, ὡς ἔφην. Δεηθεὶς γὰρ τοῦ Θεοῦ Μαυρίκιος ὁ βασιλεὺς ἐν τῷ κόσμῳ τούτῳ ἀπολαβεῖν ὑπὲρ τῶν ἁμαρτημάτων αὐτοῦ, εἶδέ τινα κατ' ὄναρ ὑπερένδοξον βασιλέα, κελεύοντα παραδοθῆναι αὐτὸν Φωκᾷ τῷ

dis mortes fiunt violentæ: ut, illis in graves cruciatus incidentibus, cæteri reddantur cautiores, et alieno malo sapere condiscant; aut ut illi etiam fato functi, inveniant illic partem quietis et relaxamenti. Illic enim plurimam inveniunt salutem, qui morte acerba separantur a corpore. Hoc significans, dicebat Christus de quibusdam civitatibus quæ non recipiebant ejus prædicationem: « Tolerabilius erit terræ Sodomorum et Gomorrhæorum in die judicii, quam illi civitati [41]. » Aut rursus ex ira divina et Dei minis, ut in Pharaone evenit et in diluvio. Nam alii quidem hic puniuntur, et solummodo, ut Lazarus [42]. Alii autem, et hic ex parte, et rursus illic ex parte, ut qui conflagrarunt Sodomis [43]. Alii autem illic solum, ut dives ille qui negligebat Lazarum [44].

Ne dicas ergo, nec curiose scruteris, cum videris aliquem præcipitatum aut suffocatum, cur sic sit mortuus. Nunquid non venit hora ejus, aut mortuus est ante tempus, aut diabolus hoc fecit? Sed noveris nos ex prudentiæ judiciique defectu et ex arrogantia sæpe incidere in tentationes, calamitates et mortem, prout illis usuvenit qui summa hieme et sub solstitio brumali ex portu navem educunt, et seipsos in alia conjiciunt pericula; ut, qui liberum habeant arbitrium, Deo non volente, sed nec diabolo, hæc, et quæ sunt hujusmodi, sua facientes potestate et auctoritate. Nam, cum dicat Christus: « Vestri capilli capitis omnes numerati sunt [45], » perspicuum fit Satanam non solum in homines, sed nec in bruta et porcos potestatem habere, ut testatur Evangelium [46].

In hujusmodi ergo genere mortis, mors quidem, ut dictum est, aliquando evenit Dei comminatione in iis qui peccant, nullam agentes pœnitentiam; ut in diluvio, et Sodomis. Scriptum est enim: Mali sunt in morte immensa. Et: « Mors peccatorum pessima [47]. » Et: « Transeunte procella aboletur impius [48]. » Et: « Justus evadit ex venatione manuum, pro eo autem traditur impius [49]. » Aliquando ex permissione, ut in filiis Job: aliquando ex sola Dei scientia, cum neque ei placeat, neque eam prohibeat. Dicit enim: « Nonne duo passeres asse veneunt, et unus ex illis non cadet in terram absque Patre meo, qui in cœlis est [50]. » Hæc dicebat, quod eo ignorante non fiant, non tamen operante in omnibus.

269 Forsan sæpe etiam Dei consilio quidam morte violenta moriuntur, ad suam, ut dixi, salutem. Nam, cum Deum rogasset Mauricius imperator ut in hoc mundo pœnas lueret pro suis peccatis, vidit in somnis quemdam illustrem regem jubentem eum tradi Phocæ militi; quod etiam

[41] Matth. x, 15. [42] Luc. xvi. [43] Gen. xix. [44] Luc. loc. cit. [45] Luc. xii, 7. [46] Matth. viii, 31. [47] Psal. xxxiii, 22. [48] Prov. x, 25. [49] Prov. xi, 8. [50] Matth. x, 29.

NOTÆ.

(27) *Οἱ δὲ καὶ ὧδε ἐκ μέρους, καὶ πάλιν ἐκεῖ ἐκ μέρους ὥσπερ καὶ οἱ ἐν Σοδόμοις ἐμπρησθέντες.* Vel quia Sodomitis et Gomorrhæis tolerabilius erit, ut paulo ante dicebat. Vel quia putat, ut alii quidam Græci, Gomorrhæos, et alios fuisse ab inferis liberatos a Christo de quo quæst. 111. (ALEMANN.)

accidit. Erat quidam alius, anachoreta, clarus signis et prodigiis, habens quemdam discipulum secum in solitudine. Contigit autem ut quodam die ejus discipulus veniret in quamdam civitatem quæ habebat principem sceleratum et impium, et inveniret eum mortuum efferri cum magna turba et honore, et unguentis [t] et suffitibus. Cum autem rediisset in desertum, invenit pium suum præceptorem ab hyæna devoratum. Cœpit itaque angi animo, et propemodum judicio cum Deo contendere, et dicere : Ubi est, o Domine, justum tuum judicium? Quomodo sceleratus iste princeps, qui te sæpe ad iram provocavit, mortuus est adeo gloriose; hic autem sanctus, qui tibi multum serviit, a fera captus, mortem obiit? Cum his ergo et hujusmodi verbis ipse cum Deo disceptaret, astitit ei angelus, et dixit : Ille princeps, cum esset omnino sceleratus, habuit unum opus bonum; et per honorem illum quem assecutus est, dum efferretur, accepit mercedem hujus unius boni operis, et illuc abiit absolute ac perfecte condemnatus. Tuus autem præceptor, cum omnia fecisset quæ Deo erant grata, habebat ipse quoque, ut homo, parvum aliquod delictum; et per hanc mortem hoc amisit, et abiit illuc plene purgatus et expiatus. Quamobrem non est condemnationis sententia in eos pronuntianda qui in mortem violentam inciderunt; nec dicendum quod propter peccata eam mortem passi sunt. Nemo enim potest aperte scire quo judicio Deus hæc administret, postquam justis quoque sæpe accidit ut ejusmodi morte morerentur, cum obscura et incerta esset ejus occasio. Dicit enim Ecclesiastes : « Est justus qui perit in justitia sua, et est impius qui manet in suo vitio, et est justus cui occurret aliquis casus, tanquam justo [51]. » Et David dicit : « Deus, venerunt gentes in hæreditatem tuam, polluerunt templum sanctum tuum : posuerunt Jerusalem tanquam pomorum custodiam, posuerunt morticinia servorum tuorum escas volucribus cœli, carnes sanctorum bestiis terræ. Effuderunt sanguinem eorum tanquam aquam in circuitu Jerusalem, et non erat qui sepeliret [52]. » Sed et multis ex justis prodest, quod vivant pauco tempore, ut olim dixit Salomon : « Placens Deo factus dilectus, et inter peccatores vivens translatus est; raptus est, ne malitia mutaret intellectum ejus, aut ne fictio deciperet **270** animam illius. Nam fascinatio nugacitatis obscurat bona, et inconstantia concupiscentiæ transvertit sensum sine malitia. Consummatus in brevi, explevit tempora multa : placita enim erat Deo anima illius, propter hoc properavit educere eum de medio iniquitatis [53]. »

στρατιώτη, ὅπερ καὶ γέγονε. Καὶ ἄλλος δέ τις ἦν ἀναχωρητὴς, σημείοις καὶ τέρασι διαλάμπων, ἔχων καί τινα σὺν αὐτῷ μαθητὴν ἐν τῇ ἐρήμῳ. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν (28) ἐγένετο τὸν αὐτοῦ μαθητὴν, ἔν τινι πόλει πονηρὸν καὶ ἄθεον [a] ἄρχοντα ἐκούσῃ παραγενέσθαι, καὶ εὑρεῖν αὐτὸν τελευτήσαντα, καὶ μετὰ πολλοῦ ὄχλου καὶ τιμῆς, καὶ κηρῶν [t], καὶ θυμιαμάτων προκομιζόμενον· ὑποστρέψαντος δὲ αὐτοῦ ἐν τῇ ἐρήμῳ, εὗρε τὸν θεοφόρον αὐτοῦ ἐπιστάτην, ὑπὸ ὑαίνης βρωθέντα. Ἤρξατο [οὖν] ἀδημονεῖν, καὶ σχεδὸν δικάζεσθαι τῷ Θεῷ, λέγων· Ποῦ ἡ δικαιοκρισία σου, Κύριε; πῶς ἐκεῖνος ὁ πονηρὸς ἄρχων, πολλά σε παροργίσας, οὕτως ἐνδόξως ἐτελεύτησεν, ὁ δὲ ἅγιος οὗτος, πολλά σοι δουλεύσας, τοιοῦτον ὑπέστη θηριάλωτον θάνατον; Ταῦτα οὖν καὶ τὰ τοιαῦτα αὐτοῦ δικαζομένου, ἐπέστη αὐτῷ ἄγγελος Κυρίου, καὶ εἶπεν· Ἐκεῖνος ὁ ἄρχων, ὅλως πονηρὸς ὢν, εἶχεν ἓν ἔργον ἀγαθόν· καὶ διὰ τῆς τιμῆς ἐκείνης, ἧς ἔτυχεν ἐν τῷ ἐξοδίῳ, ἀπέλαβε τὸν μισθὸν ἐκείνου τοῦ ἑνὸς ἀγαθοῦ, καὶ ἀπῆλθεν ἐκεῖ τελείως κατακεκριμένος. Ὁ δὲ σὸς ἐπιστάτης, πάντα τὰ τῷ Θεῷ εὐάρεστα διαπραξάμενος, εἶχε, καὶ ὡς ἄνθρωπος, μικρόν τι ἐλάττωμα, καὶ διὰ τοῦ μικροῦ τούτου θάνατος ἀπέλαβεν αὐτὸν, καὶ ἀπῆλθεν ἐκεῖ τελείως καθαρισθείς. Ὅθεν οὐ δεῖ τοῖς βιαίοις θανάτοις περιπίπτοντας κατακρίνειν ἀποφαντικῶς, καὶ λέγειν, ὅτι κατὰ τὰς ἁμαρτίας αὐτῶν τοὺς τοιούτους θανάτους ὑπέστησαν. Οὐδεὶς γὰρ ἀνθρώπων δύναται σαφῶς εἰδέναι, ποίῳ κρίματι ὁ Θεὸς διοικεῖ τὰ τοιαῦτα, ἐπειδὴ καὶ δικαίοις ἀνδράσι πολλάκις τοιοῦτοι θάνατοι ἐπῆλθον κατά τινας ἀδήλους προφάσεις. Φησὶ γὰρ ὁ Ἐκκλησιαστής· « Ἔστι δίκαιος ἀπολλύμενος ἐν τῷ δικαίῳ αὐτοῦ, καὶ ἔστιν ἀσεβὴς μένων ἐν τῇ κακίᾳ αὐτοῦ, καὶ ἔστι δίκαιος ᾧ συναντήσεται συνάντημα ὡς δικαίῳ. » Καὶ Δαυὶδ· « Ὁ Θεὸς, ἦλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου, ἔθεντο Ἰερουσαλὴμ ὡς ὀπωροφυλάκιον, ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς· ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ κύκλῳ Ἰερουσαλὴμ, καὶ οὐκ ἦν ὁ θάπτων. » Ἀλλὰ καὶ ὀλιγοχρόνιοι πολλοὶ τῶν δικαίων γίνονται συμφερόντως, ὡς πάλιν φησὶ ὁ Σολομών, ὅτι « Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη, ἵνα μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς [u] ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. »

[51] Eccle. VII, 16. [52] Psal. LXXVIII 1-3. [53] Sap. IV, 10-14.

VARIÆ LECTIONES.

[a] ἄθεον. [t] *cereis*, interpres. legit μύρων. [u] ῥέμβος.

NOTÆ.

(28) *Ἐν μιᾷ οὖν τῶν ἡμερῶν.* Vulgo, quadam die. Cæterum ineptit Meursius, ut plerumque in Gloss. Græco-Lat. Bene interpretatur M. Crusius libro primo *Turco-Græciæ*. Ibid. lege ἄθεον pro ἄθεσον. (ALEMANN.)

Καὶ ἀσθενείαις δὲ σωματικαῖς διηνεκέσιν, αἷς ἁμαρτωλοὶ [περιπείρονται, καὶ δίκαιοι πολλάκις ἄνδρες] περιπίπτουσι, τοῦ Θεοῦ συγχωροῦντος καὶ βουλομένου· καὶ ἐν πάθεσι τοιούτοις καὶ θανάτοις πονηροῖς ἐπιδεῖξαι πᾶσιν ἡμῖν τὸ δοκίμιον τῆς τῶν δικαίων πίστεως καὶ ὑπομονῆς, ὅτι καὶ τὰ ἐπίπονα καὶ θλιβερὰ πράγματα εὐχαρίστως δεξάμενοι, καὶ θανάτους χαλεποὺς ὑπομείναντες, οὐκ ἠλλοιώθησαν ἔν τινι τῆς πρὸς Θεὸν ἀγάπης, καθὼς καὶ Ἰσαὰκ[x] ἐν τῷ γήρᾳ αὐτοῦ, στερηθεὶς τοῦ προσκαίρου τούτου φωτὸς, τῆς πρὸς Θεὸν ἀγάπης οὐκ ἐξέστη[y]. Καὶ Ἰὼβ πάλιν μεγάλοις πειρασμοῖς παραδοθεὶς, ἔμεινεν ἀκίνητος. Ἔτι δὲ καὶ ὁ Ἀπόστολος, ἀσθένειαν ἔχων ἐν τῇ σαρκὶ αὐτοῦ διὰ παντὸς τῆς πρὸς Θεὸν ἀγάπης οὐκ ἔληξεν· ἤντινα ἀσθένειαν μηνύων, λέγει· « Καὶ διὰ τὴν ὑπερβολὴν τῶν ἀποκαλύψεων, ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα[z] μὴ ὑπεραίρωμαι. Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ· καὶ εἴρηκέ μοι· Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. » Καὶ πάλιν περὶ ταύτης τῆς ἀσθενείας πρὸς Γαλάτας φησί· « Καὶ τὸν πειρασμὸν τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε, οὐδὲ ἐξεπτύσατε, ἀλλ' ὡς ἄγγελον Θεοῦ ἐδέξασθέ με, ὡς Χριστὸν Ἰησοῦν. » Ἐπεὶ οὖν, ὡς δέδεικται, καὶ ἁγίοις ἀνδράσι συμβαίνουσι περιστατικά τινα πράγματα, ἀσθένειαί τε σωματικαὶ, καὶ θάνατοι χαλεποὶ, οὐ δυνάμεθα προπετῶς καὶ ἀπολύτως κατακρίνειν ὡς ἁμαρτωλοὺς τοὺς πάσχοντάς τι τοιοῦτον· ὅπως μὴ ἀποφαντικῶς διατιθέμενοι τὰ εἰρημένα πράγματα, καὶ οὐκ ἀληθῶς, ὁμοιωθῶμεν τοῖς Ἰὼβ φίλοις, οἵτινες [τὸ] μὲν φρικῶδες ἕλκος καὶ τὸν ἰσμὸν τῶν σκωλήκων ἰδόντες, καὶ τὴν οἰκονομίαν τοῦ Θεοῦ[a] ἀγνοήσαντες, καθ' ἣν συνεχώρησεν αὐτῷ τοιούτους πειρασμοὺς δέξασθαι παρὰ τοῦ διαβόλου, κατέκριναν αὐτὸν ὡς ἁμαρτωλὸν, καὶ ἤμελλον ἂν φοβερὰν ἀπώλειαν κληρονομεῖν, ὡς παρὰ τὴν ἀλήθειαν φθεγξάμενοι, εἰ μὴ θᾶττον ἡ προσευχὴ τοῦ Ἰὼβ πλεῖον αὐτοῖς ἐποιήσατο τὸν Θεόν. Ὁ δὲ φονεὺς ἀναιρεῖ μὲν τὸν ἐμπεσόντα[b] αὐτῷ ἄνθρωπον κατὰ συγχώρησιν Θεοῦ, ἀναιρεῖται δὲ οὗτος πάλιν παρὰ τῶν ἀρχόντων, κατὰ τὸν νόμον Κυρίου, ὡς ἐπιθυμητὴς καὶ πληρωτὴς πονηροῦ πράγματος[c] γενόμενος.

A Quinetiam quando infirmitatibus corporalibus et assiduis conflguntur peccatores, et viri justi sæpe in eas incidunt, Deo permittente et volente, patefacere nobis vult Deus probationem fidei et patientiæ justorum; ut qui res asperas et laboriosas grato animo subierint, mortemque crudelem sustinuerint, nulla in re a Dei dilectione abstracti; ut videre est in Isaac, qui in senectute privatus hac luce temporali, non recessit a charitate in Deum. Et Job traditus magnis tentationibus, mansit immobilis. Præterea Apostolus quoque, cum in carne sua perpetuam haberet infirmitatem, non cessavit agere Deo gratias. Quam quidem infirmitatem significans, dicit : « Et ne magnitudo revelationum extollat me, datus est mihi stimulus carnis meæ, B angelus Satanæ, ut me colaphizet, ne extollar; propter quod ter rogavi Dominum ut discederet a me, et dixit mihi : Sufficit tibi gratia mea; nam virtus in infirmitate perficitur [54]. » Et rursus de eadem infirmitate dicit ad Galatas : « Et tentationem quæ est in carne mea non sprevistis, neque respuistis, sed sicut angelum Dei accepistis me, sicut Jesum Christum [55]. » Quoniam ergo, ut ostensum est, etiam viris sanctis accidunt quidam casus, et corporales imbecillitates, et graves mortes, non possumus temere et absolute condemnare tanquam peccatores eos quibus illa accidunt; ne, si de rebus hujusmodi non vere pronuntiemus, fiamus similes amicis Job, qui cum vidissent C ulcus terribile, et examen vermium, quatenus Deus permisit ut a diabolo talem susciperet tentationem, condemnabant eum tanquam peccatorem : et horribilis exitii futuri erant hæredes, ut qui locuti essent præter veritatem, nisi statim Jobi preces eis propitium Deum effecissent. Qui autem interficit, Dei quidem permissione tollit de medio hominem qui in ipsum incidit. Is autem rursus lege Dei de medio tollitur a magistratibus, ut qui sceleratam actionem concupierit et impleverit.

Νεμεσίου ἐπισκόπου Ἐμέσης ἐκ τοῦ περὶ Προνοίας.

Πῶς οὖν, φησὶν, ἄνδρες ὅσιοι πικροῖς περιπίπτουσι θανάτοις, καὶ σφαγαῖς ἀναιτίοις; Εἰ μὲν γὰρ ἀδίκως, διατί μὴ ἐκώλυσεν ἡ δικαία Πρόνοια τὸν φόνον; εἰ δὲ δικαίως, ἀναίτιοι πάντως οἱ φονεύσαντες. Πρὸς ταῦτα ἐροῦμεν, ὅτι ὁ φονεύων, ἀδίκως φονεύει, καὶ ὁ φονευόμενος εἰ[d] δικαίως φονεύεται, ἢ συμφερόντως· δικαίως μὲν, ἔσθ' ὅτε διὰ πράξεις ἀτόπους, ἡμῖν δὲ ἀδήλους· συμφερόντως δὲ, προκαταλαμβανούσης τῆς Προνοίας τὰς μελλούσας ἔσεσθαι παρ' αὐτοῦ κακουργίας, καὶ ὅτι καλὸν αὐτῷ μέχρι τούτου στῆσαι[e] τὴν ζωήν. Ὁ δὲ φονεύσας, ἀδίκως

Ex sermone Nemesii episcopi Emeseni de Providentia.

D Quomodo ergo, inquit, viri sancti in acerbas mortes incidunt, et in cædes, cum sint insontes? Nam si injuste, cur **271** non cædem prohibuit justa Providentia? Sin autem juste, nulli culpæ sunt affines qui cædem fecerunt. Ad hæc dicemus quod qui occidit, injuste occidit; et qui occiditur, aut juste occiditur, aut utiliter. Juste quidem nonnunquam, propter male commissa, nobis ignota; utiliter, quia Providentia anticipat, vel potius amputat peccata quæ perpetraturus erat; et ideo prodest ei ut vita hoc termino finiatur. Qui autem

[54] II Cor. XII, 7-9. [55] Galat. IV, 13, 14.

VARIÆ LECTIONES.

[x] καθὰ δὲ Ἰσαάκ. [y] εὐχαριστίας οὐκ ἔληξε. [z] ὅπως [a] Κυρίου. [b] ἐκπεσόντα. [c] δράματος. [d] ἢ [e] στῆναι.

occidit, injuste occidit; occidit enim voluntarie, propter lucrum et prædam. Nam actio quidem est in nostra potestate, non autem perpessio, ut occidi. Mors vero nulla est mala, nisi quæ accidit propter peccatum, ut patet ex morte sanctorum virorum : « Pretiosa, inquit, est mors sanctorum ejus [56]. » Peccator autem, etsi in lecto, etsi repente citra dolorem moriatur, male moritur; ut qui malas exsequias (nempe peccatum) inferat. « Mors, inquit, peccatorum mala. [57]» Qui autem occidit, male occidit : nam in iis quidem qui juste occiduntur, is in lictorum locum se retulit; in iis autem qui utiliter, in locum parricidarum et exsecrabilium hominum.

A ἐφόνευσε· διὰ γὰρ κέρδος καὶ λῃστείαν ἐκουσίως. Ἐφ' ἡμῖν γὰρ ἡ πρᾶξις, τὸ δὲ πάθος οὐκ ἐφ' ἡμῖν, οἷον τὸ φονευθῆναι. Θάνατος δὲ οὐδὲ εἷς κακός, εἰ μὴ ὁ δι' ἁμαρτίας, ὡς δῆλον ἐκ τοῦ θανάτου τῶν ὁσίων ἀνδρῶν. « Τίμιος γὰρ, φησὶ, ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. » Ὁ δὲ ἁμαρτωλὸς, κἂν ἐν τῷ σκίμποδι, κἂν αἰφνιδίως ἀπόνως τελευτήσῃ, κακῶς ἀπέθανε, κακὸν ἐντάφιον ἐπαγόμενος, τὴν ἁμαρτίαν. « Θάνατος γὰρ, φησὶν, ἁμαρτωλῶν πονηρός. » Ὁ μέντοι φονεύσας, κακῶς ἐφόνευσεν· ἐπὶ μὲν γὰρ τῶν δικαίως φονευομένων εἰς τὴν τῶν δημίων αὐτὸν κατέταξεν μοῖραν· ἐπὶ δὲ τῶν συμφερόντως, εἰς τὴν τῶν μιαιφόνων καὶ ἐναγῶν.

Ex sancto Basilio, Deum non esse auctorem malorum.

Quod proprie malum est, nempe peccatum, maxime dignum mali appellatione, ex libero nostro arbitrio pendet, cum in nostra potestate sit vel a vitio abstinere, vel esse malos. Et cæteris alia quidem objiciuntur tanquam certamina, ad ostendendam animi magnitudinem; sicut Jobo et privatio liberorum, et omnium divitiarum in uno momento temporis ablatio, et per ulcus inflicta plaga. Alia autem tanquam medicina peccatorum; sicut Davidi, domesticum probrum, luenti pœnas nefariæ libidinis. Rursus animadvertimus aliud quoddam genus terribilium quæ a justo Dei judicio inferuntur, ad reddendos modestiores eos qui sunt proclives ad peccatum; ut Dathan et Abiron, qui a terra sunt absorpti, aperta sub pedibus barathri immensa voragine; qui hac pœna meliores non evaserunt, (quomodo enim, si descenderunt ad inferos?) sed exemplo cæteros effecerunt modestiores. Sic demersus fuit Pharao cum exercitu. Sic ejecti sunt qui prius habitabant Palæstinam.

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ, ὅτι οὐκ ἔστιν αἴτιος ὁ Θεὸς τῶν κακῶν.

B Τὸ μὲν οὖν κυρίως κακὸν ἡ ἁμαρτία, ὅπερ μάλιστά ἐστι τῆς τοῦ κακοῦ προσηγορίας ἄξιον, ἐκ τῆς ἡμετέρας προαιρέσεως εἴρηται [f] ἐφ' ἡμῖν ὄντως, ἢ ἀπέχεσθαι τῆς πονηρίας, ἢ μοχθηροὺς εἶναι. Τῶν δὲ λοιπῶν, τὰ μὲν εἰς ἀγωνίσματα, εἰς ἐπίδειξιν ἀνδρείας προβάλλεται, ὡς τῷ Ἰὼβ ἡ τῶν παίδων στέρησις, ὁ τοῦ πλούτου παντὸς ἐν μιᾷ καιροῦ ῥοπῇ ἀφανισμὸς, ἡ διὰ τοῦ ἕλκους πληγή. Τὰ δὲ ὡς θεραπεία τῶν ἡμαρτημένων, ὡς τῷ Δαυὶδ ἡ περὶ τὸν οἶκον αἰσχύνη, παρανόμου ἐπιθυμίας δίκας ἀποτινύντος [g]. Καὶ πάλιν, κατενοήσαμεν ἄλλο τι εἶδος τῶν φοβερῶν παρὰ τῆς δικαίας τοῦ Θεοῦ κρίσεως ἐπαγόμενον, ἐπὶ τὸ σωφρονεστέρους ποιῆσαι τοὺς πρὸς ἁμαρτίαν εὐολισθήτους, ὡς ὁ Δαθὰν καὶ Ἀβειρὼν ὑπὸ τῆς γῆς κατεπόθησαν, βαράθρων αὐτοῖς C καὶ χασμάτων ὑπορῥαγέντων. Ἐνταῦθα οὐκ αὐτοί τι τῷ τρόπῳ τῆς κολάσεως βελτίους γεγόνασι· πῶς γὰρ οἱ καταβάντες εἰς ᾅδου; ἀλλὰ τοὺς λοιποὺς σωφρονεστέρους τῷ ὑποδείγματι πεποιήκασι. Οὕτω Φαραὼ κατεποντίσθη πανστρατιᾷ. Οὕτως ἐξετρίβησαν οἱ προενοικοῦντες τὴν Παλαιστίνην.

Ex Chrysostomo in terræmotum.

Non est justus qui non habeat aliquod peccatum, et non est peccator qui non habeat aliquod bonum. Si ergo videris justum aliquem ægrotantem, aut in aliquam tentationem delapsum, ne turberis, sed **272** cogita apud te, et dic : Hic justus malum aliquod fecit omnino parvum, ut homo; et hic illud recipit, ne illic puniatur. Rursus, si videris peccatorem rapacem, avarum, et qui mille mala perpetrat, secunda fortuna uti, ne mireris, sed dic : Iste peccator, qui mille mala perpetrat, et nihil adversi patitur, omnino boni quidpiam fecit, et recipit mercedem in hac vita, ut in altera puniatur. Propterea Abraham, quoniam accidebat ut et Lazarus haberet peccata, et dives aliquid boni, dicit : « Recepisti bona tua, et Lazarus similiter mala [58]. »

Τοῦ Χρυσοστόμου ἐκ τοῦ εἰς τὸν σεισμόν.

Οὐκ ἔστιν δίκαιος ὃς οὐκ ἔχει τι ἁμάρτημα, καὶ οὐκ ἔστιν ἁμαρτωλὸς, ὃς οὐκ ἔχει τι ἀγαθόν· ἐπ' ἂν οὖν ἴδῃς δίκαιόν τινα νοσοῦντα, ἢ πειρασμῷ τινι περιπεσόντα [h], μὴ θορυβηθῇς, ἀλλ' ἐννόησον πρὸς αὐτὸν, καὶ εἰπέ· Οὗτος ὁ δίκαιος κακόν τι ἐποίησε πάντως μικρὸν, ὡς ἄνθρωπος, καὶ ἀπολαμβάνει ὧδε, ἵνα μὴ ἐκεῖ κολασθῇ. Πάλιν, ἂν ἴδῃς D ἁμαρτωλὸν, ἁρπάζοντα, πλεονεκτοῦντα, μυρία ποιοῦντα κακὰ, καὶ εὐθηνούμενον, μὴ θαυμάσῃς, ἀλλ' εἰπέ· Οὗτος ὁ μυρία κακὰ ποιῶν, καὶ μηδὲν πάσχων δεινὸν, ἀγαθόν τι ἐποίησε, πάντως καὶ ἀπολαμβάνει αὐτὸ ὧδε, ἵνα ἐκεῖ κολασθῇ. Διὰ τοῦτο ὁ Ἀβραὰμ, ἐπειδὴ συνέβαινε καὶ τὸν Λάζαρον ἔχειν ἁμαρτίαν, καὶ τὸν πλούσιον ἀγαθόν τι, ἔλεγεν· « Ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος τὰ κακά. »

Ex eodem ad Stagirium.

Cur, inquit, multi usque ad mortem ab ineunte

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Σταγείριον.

Καὶ διατί πολλοὶ, φησὶ, μέχρι τελευτῆς, ἐκ πρώ-

[56] Psal. cxv, 15. [57] Psal. xxxiii, 22. [58] Luc xvi, 25.

VARIÆ LECTIONES.

[f] ἦρτηται. [g] ἀποτινυύντι. [h] περιπίπτοντα.

τῆς ἡλικίας πολλαῖς προσεπέλασαν συμφοραῖς ; Ὅτι προηγουμένως μὲν διὰ τὴν οἰκείαν αὐτοὺς κολάζει πονηρίαν· ἔπειτα δὲ, ἵνα καὶ ἕτεροι κερδάνωσιν ἐκ τῶν τούτοις συμβαινόντων κακῶν. Εἰ δὲ μὴ ἐπὶ πάντων τοῦτο γίνεται, οὕτω [i] τῆς κρίσεως ὁ καιρός. Τί οὖν, φησὶν, ὅταν πρὶν ἐλθεῖν εἰς τὴν διάγνωσιν τῶν κακῶν, ἢ τῶν καλῶν, ὡς μεγάλα ἠδικηκότες κολάζονται ; Τοῦτο μὲν, οὐ μία τίς ἐστιν αἰτία, ἀλλὰ πολλαὶ, καὶ διάφοροι. Καὶ γὰρ καὶ παρὰ τὴν τῶν θρεψάντων ῥᾳθυμίαν, καὶ παρὰ τὴν τῶν ἀέρων ἀνωμαλίαν, καὶ παρὰ πολλὰ ἕτερα τοιαῦτα συμπτώματα, τοῦτο γένοιτ' ἄν. Πρὸς δὲ τούτοις, πολλοὺς αὐτῶν οἶδεν ὁ Θεὸς ἐσομένους πονηροὺς, εἶτα ὥσπερ τισὶ πέδαις προκατέχειν [k] ταῖς τιμωρίαις ταύταις αὐτούς.

A ætate inciderunt in multas calamitates? Ut in primis quidem, ipsi; deinde, ut etiam alii lucrum faciant ex malis quæ ipsis accidunt. Si autem non fit in omnibus, nondum est tempus judicii. Quid ergo, inquit, quod, priusquam veniant ad discretionem bonorum aut malorum, puniuntur, ut qui sint magnarum rerum sibi conscii? Sic quidem non una est causa, sed multæ et diversæ. Nam et ex parentum intemperantia, et ex eorum qui ipsos aluerunt negligentia, et ex aeris inæqualitate et intemperie, et ex multis aliis ejusmodi eventis hoc fieri potuerit. Ad hæc accidit quod multos eorum Deus novit malos futuros. Deinde his suppliciis, veluti quibusdam pedicis, eos retinet.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Τιμόθεον δευτέρας Ἐπιστολῆς.

B *Ex eodem in Epistolam secundam ad Timotheum.*

Εἰ μηδεὶς πονηρὸς ἐκολάζετο, οὐδεὶς ἂν ἐνόμιζεν ἐφεστάναι τὸν Θεὸν τοῖς ἀνθρωπίνοις πράγμασι· καὶ εἰ πάντες ἐκολάζοντο, οὐδεὶς ἂν προσεδόκησεν ἔσεσθαι ἀνάστασιν, πάντων ἐνταῦθα ἀπολαμβανόντων. [Διὰ τοῦτο κολάζει, καὶ οὐ κολάζει.] Διὰ τοῦτο ἐνταῦθα μὲν δίκαιοι θλίβονται, ὅτι πάροικοι, ὅτι ξένοι, ὅτι ἐν ἀλλοτρίᾳ εἰσὶ, καὶ δοκιμῆς ἕνεκα τοῦτο [l] ὑπομένουσιν ὡς Ἰώβ. Ἐὰν δέ ποτε καὶ ἁμαρτωλοὶ τοιοῦτόν τι [m] ὑπομείνωσι, δίκην τινυύουσι τῶν ἁμαρτιῶν. Καὶ γὰρ τῶν ἀγαθῶν εἰσί τινες φαῦλα ἔχοντες ἔργα, καὶ ἐνταῦθα αὐτὰ ἀποτίθενται, καὶ τῶν πονηρῶν, οἱ χρηστὰ ἔχοντες, καὶ ἐνταῦθα αὐτὰ ἀπολαμβάνουσιν, ἵνα ἐκεῖ τιμωρηθῶσιν.

Et quidem, inquit, non omnes sic puniuntur? Videmus enim multos ex malis corpulentos, bonæque habitudinis, alacresque **273** exsultantes, et quibus res sunt valde secundæ. Sed quod ii nihil hic passi sint, hoc est viaticum majoris illic futuri supplicii. Et hoc significans dicebat Apostolus : « Judicati autem a Domino corripimur, ne cum hoc mundo damnemur [89]. »

Τοῦ αὐτοῦ ἐκ τῆς κατὰ Ἰωάννην ἑρμηνείας.

C *Ejusdem ex interpretatione in Joannem.*

Καὶ τίνος ἕνεκεν, φησὶ, μὴ πάντες οὕτω κολάζονται ; καὶ γὰρ πολλοὺς ὁρῶμεν τῶν φαύλων εὐσωματοῦντας, καὶ σφιγγῶντας [n], καὶ πολλῆς ἀπολαύοντας εὐημερίας. Ἀλλὰ τὸ μηδὲν αὐτοὺς ἐνταῦτα παθεῖν, ἐφόδιον γίνεται μείζονος ἐκεῖ τιμωρίας. Καὶ τοῦτο δηλῶν ὁ Ἀπόστολος ἔλεγε· « Κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.

Et cur, inquit, non omnes sic puniuntur? Videmus enim multos ex malis corpulentos, bonæque habitudinis, alacresque **273** exsultantes, et quibus res sunt valde secundæ. Sed quod ii nihil hic passi sint, hoc est viaticum majoris illic futuri supplicii. Et hoc significans dicebat Apostolus : « Judicati autem a Domino corripimur, ne cum hoc mundo damnemur [89]. »

Τοῦ Θεολόγου ἐκ τοῦ περὶ φιλοπτωχίας.

Ex oratione Theologi de amore in pauperes.

Εἰ δὲ καὶ παρὰ τοῦ Θεοῦ τὸ κακοπαθεῖν, ἤτοι ἀῤῥωστεῖν, οὕπω δῆλον, ἕως ἂν καὶ παρ' ἑαυτῆς ἡ ὕλη φέρῃ τὸ ἄτακτον, ὥσπερ ἐν ῥεύματι. Καὶ τίς εἶδεν, εἰ ὁ μὲν διὰ κακίαν κολάζεται, ὁ δὲ ὡς ἐπαινούμενος αἴρεται, ἀλλὰ μὴ τούναντίον, ὁ μὲν διὰ πονηρίαν ὑψοῦται, ὁ δὲ δι' ἀρετὴν δοκιμάζεται· ὁ μὲν πλεῖον ἐπαιρόμενος, ἵνα καὶ πέσῃ χαλεπώτερον, ὅλην ἐώμενος [o] πρότερον, ὥσπερ τινὰ νόσον ἐκρῆξαι τὴν ἑαυτοῦ κακίαν, ἵνα [καὶ] κολασθῇ δικαιότερον, ὁ δὲ καὶ παρὰ δόξαν πιεζόμενος, ἵν' ὥσπερ χρυσὸς, ἐν καμίνῳ δοκιμασθεὶς, τῆς κακίας, εἴ τι μικρὸν εἶχε, τοῦτο ἐκτήξῃ ; Καθαρὸς ἀπὸ ῥύπου οὐδείς.

D Si nullus malus puniretur, nemo existimaret Deum præesse rebus humanis. Si omnes punirentur, nemo exspectaret futuram resurrectionem, cum hic omnes reciperent. Propterea punit, et non punit. Propterea hic justi quidem affliguntur, quod inquilini, quod advenæ, quod sunt in aliena terra, et probationis causa hæc sustinent, ut Job; peccatores autem, si quando quid tale sustinent, luunt pœnas peccatorum. Nam et ex bonis sunt qui mala habent opera, et hic puniuntur, et ex malis quidem bona opera habent, et hic mercedem illorum accipiunt, ut ibi supplicio afficiantur.

Et hoc significans dicebat Apostolus : « Judicati autem a Domino corripimur, ne cum hoc mundo damnemur [89]. »

An vero a Deo quoque fiat ut illi divexentur, nondum perspicuum est, quandiu terrena hæc moles perturbationem a seipsa jactationemque velut in fluctibus tulerit. Et quis scit an ille quidem punia-
D tur propter vitium, hic vero tanquam laudatus evehatur, et non e contra, ille quidem extollatur propter improbitatem, hic autem probetur propter virtutem; ille, inquam, altius sublatus, ut ruat gravius, dum ei permittitur prius omne suum vitium, tanquam aliquem morbum extrudere et propalare, ut puniatur justius; hic autem afflictus præter opinionem, ut tanquam aurum in fornace probatum, si quid vitii habeat, id eluat? A sorde enim mundus nemo est penitus.

[89] I Cor. xi 32.

VARIÆ LECTIONES.

[i] οὔπω. [k] προκατέχει c. g. mendose, παῖδες. [l] ἕνεκεν ταῦτα, etc. [m] οἱ δὲ ἁμαστωλοὶ ἐὰν καί ποτε τοιοῦτόν τι. [n] σφριγῶντας. [o] ἐσόμενος.

Sancti Basilii ex regulis monasticis.

Non omnes ægritudines, ad quas videmus nonnunquam utilem esse medicinæ artem, a natura proveniunt. Sæpe enim peccatorum flagella sunt ægritudines quæ inferuntur ad conversionem : « Quem enim, inquit, diligit Dominus, castigat [60]. » Et : « Propterea inter vos sunt multi infirmi et imbecilles, et dormiunt multi. Nam si nos ipsos dijudicaremus, non judicaremur; cum autem judicamur, a Domino corripimur, ne cum hoc mundo damnemur [61]. » Quamobrem qui ejusmodi sunt, his omissis medicorum auxiliis, invectas sibi acerbitates ferre cum silentio debent, atque illum imitari, qui dixit : « Iram Domini portabo, quoniam peccavi ei [62], » necnon prava sua studia emendare, et dignos pœnitentiæ fructus edere, et illius meminisse : « Ecce sanus factus es : jam noli amplius peccare, ne quid deterius tibi contingat [63]. »

Quin est, quando hoc diabolo ita deposcente, permittitur a Domino, cum aliquem, tanquam fortissimum adversarium (quæ est ejus benignitas), ipse cum illo in certamen committat, ac magnificam illius jactantiam summa servorum suorum tolerantia retundat; quod quidem in Job factum fuisse animadvertimus; aut mollioribus etiam in ferendis doloribus laboribusque exempla proferuntur eorum qui usque ad mortem continenter cruciatus tolerare possunt, veluti Lazarus, **274** de quo cum tot undique ulceribus urgeretur, nusquam tamen scriptum est eum unquam quidquam a divite illo petivisse, ullamve significationem dedisse, quod iniquo animo eum, in quo erat, rerum suarum statum ferret; quæ quidem causa fuit cur postea in sinu Abrahæ quietem invenerit, veluti qui mala recepisset in sua vita.

Quanquam aliam quoque morborum causam in sanctis evenire solitam reperimus, velut in Apostolo : ne enim hominis naturam egressus posset putari, aut naturaliter aliquid præ cæteris eximium habere quispiam ipsum existimaret (quemadmodum Lycaones, qui eum cum coronis et tauris adierunt [64]), quo facilius intelligi posset hominis illum natura præditum esse, in assidua erat ægrotatione. Quocirca quid est quod ejusmodi hominibus emolumenti afferre possit medicina ? aut quod non iis potius contra ab ea periculum procreari, qui relicta recta ratione curam suam in corporis curationem tantum contulerint?

Qui vero ex vitiosa, quam tenebant in victu, ratione morbum contraxerunt, hi corporis curatione uti debent, perinde uti exemplo et adumbratione quadam, quam in curando animo sequantur : nam omnium fugere commoda quæ ex medicina percipiuntur, hominis contentiosi est, omnemque in medicis spem sanitatis collocare, a ratione penitus abhorret; sed quemadmodum, licet agriculturæ usum acceperimus, frugum proventum tamen po-

A *Τοῦ ἁγίου Βασιλείου ἐκ τῶν Ἀσκητικῶν.*

Οὐ πάντα φύσεώς εἰσι τὰ ἀῤῥωστήματα, πρὸς ἅπερ ἐνίοτε ὁρῶμεν τὴν ἰατρικὴν χρησιμεύουσαν. Πολλάκις γὰρ καὶ μάστιγες ἁμαρτημάτων εἰσὶ τὰ ἀῤῥωστήματα πρὸς ἐπιστροφὴν ἐπαγόμενα. « Ὃν γὰρ, φησὶν, ἀγαπᾷ ὁ Κύριος, παιδεύει. » Καὶ, « Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς, καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα · κρινόμενοι δὲ, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. » Τοὺς οὖν τοιούτους ἡσυχάζοντας, καὶ ἀφεμένους τῶν ἰατρικῶν ἐπιτηδευμάτων ὑπομένειν χρὴ τὰ ἐπαγόμενα, κατὰ τὸν λέγοντα · « Ὀργὴν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ, » καὶ τὴν διόρθωσιν ἐπιδείκνυσθαι, διὰ τοῦτο ποιεῖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μεμνῆσθαι τοῦ Κυρίου λέγοντος · « Ἴδε ὑγιὴς γέγονας · μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. »

Γίνεται δέ ποτε καὶ κατ' ἐξαίτησιν τοῦ πονηροῦ, ὥσπερ ἀγωνιστὴν μέγαν συγκαθισθέντος αὐτῷ p εἰς τὸν ἀγῶνα τοῦ φιλανθρώπου Δεσπότου, καὶ τὴν μεγαλαυχίαν αὐτοῦ διὰ τῆς εἰς ἄκρον ὑπομονῆς τὸν δόλον ἑαυτοῦ καθαιροῦντος, ὥσπερ ἐπὶ τοῦ Ἰὼβ γενόμενον μεμαθήκαμεν, ἢ εἰς ὑπόδειγμα τοῖς ἀφερεπόνοις παράγονται ὑπὸ τοῦ Θεοῦ, οἱ δυνάμενοι μέχρι θανάτου ἐγκαρτερῆσαι τοῖς ἀλγεινοῖς, ὡς ὁ Λάζαρος, ὃς τοιούτοις ἕλκεσι συνεχόμενος, οὐδαμοῦ γέγραπται, οὔτε αἰτήσας τι τὸν πλούσιον, οὔτε δυσαρεσ[τη]θεὶς τοῖς παροῦσι. Διὸ καὶ ἔτυχε τῆς ἐν τῷ κόλπῳ τοῦ Ἀβραὰμ ἀναπαύσεως, ὡς ἀπολαβὼν τὰ κακὰ ἐν τῇ ζωῇ αὐτοῦ.

Εὕρωμεν q καὶ ἄλλην αἰτίαν ἀῤῥωστημάτων τοῖς ἁγίοις συμβαίνουσαν, ὡς ἐπὶ τοῦ Ἀποστόλου · ἵνα γὰρ μὴ δόξῃ ὑπερβαίνειν τὸν ὅρον τῆς ἀνθρωπίνης φύσεως, καὶ μή τις αὐτὸν λογίσηται φυσικῇ κατασκευῇ ἔχειν τι περισσότερον, ὅπερ ἔπαθον οἱ Λυκάονες, στέμματα καὶ ταύρους προσάγοντες, εἰς παράστασιν τῆς ἀνθρωπίνης φύσεως, τῇ ἀῤῥωστίᾳ συμβῆναι διὰ σαρκός r. Τί ἂν τοῖς τοιούτοις παρὰ τῆς ἰατρικῆς γένηται κέρδος, καὶ οὐχὶ μᾶλλον κίνδυνος, μετεωριζομένοις, ἀπὸ τοῦ ὀρθοῦ λόγου εἰς τὴν τοῦ σώματος ἐπιμέλειαν ;

Τοῖς γε μὴν ἐκ πονηρᾶς διαίτης τὴν ἀῤῥωστίαν ἑαυτοῖς συναθροίσασιν, οἷον τύπῳ τινὶ καὶ ὑπογραμμῷ χρηστέον τῇ τοῦ σώματος θεραπείᾳ, πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν. Τὸ γὰρ πάντη τὰς ἀπὸ τῆς ἰατρικῆς ὠφελείας ἀποφεύγειν, φιλόνεικον · καὶ τὸ ἐν χερσὶ τῶν ἰατρῶν τὴν ἐλπίδα ἔχειν τῆς ἑαυτῶν ὑγείας, κτηνῶδες. Ἀλλ', ὡς κεχρήμεθα μὲν τῇ γεωργικῇ, αἰτούμεθα δὲ παρὰ Θεοῦ τοὺς καρποὺς, καὶ τῷ κυβερνήτῃ μὲν τὸ πηδάλιον ἐπιτρέπομεν, τῷ

[60] Hebr. XII, 6. [61] I Cor. XI, 30-32. [62] Mich. VII, 9. [63] Joan. V, 14. [64] Act. XIV, 12.

VARIÆ LECTIONES.

p συγκαθιέντος αὐτῷ. q ηὕρομεν. r συμβεῖν διαρκῶς, sed videtur legendum, συμβαίνει vel συνέβη.

δὲ Θεῷ προσευχόμεθα ἐκ τοῦ πελάγους ἀποσωθῆναι· οὕτω καὶ ἰατρὸν εἰσάγοντες, ὅτε ὁ λόγος συγχωρεῖ, τῆς πρὸς Θεὸν ἐλπίδος οὐκ ἀφιστάμεθα.

A stulamus a Deo, et quamvis gubernatori clavum committamus, Deum tamen, ut nos ex alto incolumes conservet, oramus. Sic cum medicum adhibemus, idque ratio fieri concedit, neutiquam de Dei erga nos benignitate desperare debemus.

Μαξίμου ἐκ τῶν Κεφαλαίων.

Ὁ μὲν ἐχέφρων, φησὶ, τῶν θείων κριμάτων τὴν ἰατρείαν ἀναλογιζόμενος, εὐχαρίστως φέρει τὰς διὰ τούτων συμβαινούσας αὐτῷ συμφορὰς, μηδὲν ἄλλο τούτων αἴτιον, ἢ τὰς ἑαυτοῦ ἁμαρτίας λογιζόμενος· ὁ δὲ ἄφρων τὴν τοῦ Θεοῦ ἀγνωμονῶν σοφωτάτην πρόνοιαν, ἁμαρτάνων καὶ παιδευόμενος, ἢ τὸν Θεὸν, ἢ τοὺς ἀνθρώπους τῶν ἑαυτοῦ κακῶν αἴτιον λογίζεται. Οὐ γὰρ ἔστιν ἁμαρτήσαντά τινα ἐκφυγεῖν μέλλουσαν κρίσιν, ἄνευ ἑκουσίων ἐνταῦθα πόνων, ἢ ἀκουσίων ἐπιφορῶν.

Ex Maximi Capitulis.

Sapiens quidem, divinorum judiciorum reputans esse medicinam, grato animo fert quæ per ea ipsi accidunt calamitates, considerans earum nullam aliam esse causam quam sua peccata. Insipiens autem, Dei sapientissimam ignorans providentiam, cum peccans est castigatus, aut Deum aut homines cogitat esse causas suorum malorum. Non potest enim fieri ut qui peccavit futurum effugiat judicium absque voluntariis hic laboribus, aut involuntariis, quæ inferuntur, calamitatibus.

B

ΕΡΩΤΗΣΙΣ ΙΘ΄.

Τί ἐστι τύχη; καὶ εἰ ἔξεστι Χριστιανὸν ὁμολογεῖν τύχην.

ΑΠΟΚΡΙΣΙΣ.

Τύχη μὲν παρὰ τοῖς Ἕλλησιν ἐρρέθη, ἥτις ἐστὶν ἀπρονόητος τοῦ κόσμου διοίκησις. Ὁ δὲ Χριστιανὸς Θεὸν ὁμολογεῖ διοικοῦντα καὶ προνοούμενον ἅπαντα. Εἰ δὲ καὶ αὐτὸς ὁμολογήσει τύχην, ἐξέπεσε τοῦ τῶν Χριστιανῶν δόγματος καὶ φρονήματος, ὡς οἱ ματαιόφρονες Ἕλληνες· ἐκεῖνοι γὰρ πάντα τὰ συμβαίνοντα τοῖς ἀνθρώποις τύχῃ καὶ ἄστροις ἀνοήτως ἐπιγράφουσι, καίπερ καὶ οἱ Φαρισαῖοι γένεσιν, καὶ εἱμαρμένην ἀφρόνως δοξάζουσι. Καὶ περὶ μὲν τῶν θεραπευόντων τὴν λεγομένην τύχην ἡ θεία Γραφὴ, ἐλέγχουσα τὴν ἄνοιαν καὶ ἀσέβειαν αὐτῶν, φησίν· « Οἱ ἑτοιμάζοντες τῷ δαίμονι τράπεζαν, καὶ κεραννύντες τῇ τύχῃ [a] κέρασμα. » Περὶ δὲ τῶν ἀστρολόγων, « Στησάτωσαν, φησὶ, καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ, » καὶ ἑξῆς. « Ἰδοὺ πάντες ὡς φρύγανα ἐπὶ πυρὶ κατακαυθήσονται [b], καὶ οὐ μὴ ἐξέλωνται τὴν ψυχὴν αὐτῶν ἐκ φλογός. » Ὡσαύτως δὲ καὶ ὁ Κύριος θριαμβεύων τὴν ἀφροσύνην αὐτῶν, φησί· « Ποῦ εἰσιν οἱ ἀστρολόγοι σου; Ἀναγγειλάτωσαν τὰ ἐπερχόμενά σοι. »

C

Τοῦ ἁγίου Γρηγορίου Νύσσης, ἐκ τοῦ περὶ εἱμαρμένης.

Εἰ πρὸς ἀκρίβειαν, φησὶ, ληφθείη ἡ ὥρα τῆς τοῦ ἀποκυηθέντος γεγνήσεως, πᾶσαν δι' ἀκολούθου τὴν ζωὴν τοῦ τεχθέντος προαγορεύουσιν οἱ ἀστέρες, τὸν χρόνον, τὸν τρόπον, τὰ τῶν ἠθῶν ἰδιώματα, τὰς κινδυνώδεις περιστάσεις, γάμους, καὶ παιδοποιίας, καὶ ἀξιωμάτων ἐπιτυχίας, ἢ τὸ ἔμπαλιν ἀπαιδίας, καὶ νόσους, καὶ ἀτιμίας, καὶ βραχύτητα βίου, καὶ τὰ ἐκ πενίας κακά. Ἐγὼ δὲ τοῖς ῥηθεῖσιν ἐπιγελάσας, « Ἐλελήθεις ἡμᾶς, πρὸς αὐτοὺς [u] εἶπον, τὰ [v] Γαληνοῦ, καὶ Ἱπποκράτους, καὶ τῶν τοιούτων ἐγγόνους [x] εἶναι, τὰς εἱμαρμένας δοξάζων· ἐπεὶ κἀκεῖνοι χαίρειν τὴν τῶν ἄστρων ἀφέντες κίνησιν, ἐκ τοῦ

D

275 QUÆSTIO XIX.

Quid sit fortuna, et an liceat Christianis confiteri fortunam?

RESPONSIO.

Nescitis quemadmodum in novissimo die animam peccata circumagant et torqueant? Quomodo cor ab imo quasi fundo moveant? Quocirca multi quoque illorum terrificas visiones sibi oblatas denarrant, quarum ne aspectum quidem amplius ferre possunt. Quin lectum etiam in quo cubant magno impetu percutiunt, et terribiliter aspiciunt eos qui sunt præsentes; se intro trudente anima, et cunctante erumpere ex corpore, et non ferente aspectum angelorum qui veniunt. Si enim pertimescimus videntes homines formidabiles, quanto magis metu percellemur cum minaces angelos, et inexorabiles illas potestates aspiciemus? Quid cruciamentorum non patiemur, quando anima ex corpore extrahetur, et avelletur, ipsa multum, sed temere et frustra ejulante?

Διαδόχου ἐκ τῶν περὶ πνευματικῆς τελειότητος.

Ἐὰν οὖν μὴ πρεπόντως μετανοήσωμεν, καὶ περὶ τῶν ἁμαρτιῶν ἡμῶν πάντες ἐξομολογησώμεθα, δειλίαν τινὰ ἄδηλον ἐν τῷ καιρῷ τῆς ἐξόδου ἡμῶν εὑρήσομεν ἐν ἑαυτοῖς. Χρὴ δὲ ἡμᾶς εὔχεσθαι τοὺς

Ex Diadocho, de perfectione spirituali.

287 Si ergo non ut oportet egerimus pœnitentiam, et de omnibus peccatis nostris confessi non fuerimus, metum quemdam latentem tempore obitus nostri reperiemus. Quare opus est precari, qui Dominum

VARIÆ LECTIONES.

[y] βεβαίως. [z] ἀπορριπίσαντες.

NOTÆ.

(36) *Βιαίως*. Liego, βεβαίως. Mox ἀπορρεπίσαντες mendose, ἀπορραπίσαντες dubiuscule, ἀποῤῥιπίσαντες fortasse melius. (ALEMANN.)

diligimus, ut simus tunc extra omnem metum. Nam qui tunc in metu erit, ad Tartareos principes tendet. At anima, quæ in sua erga Deum charitate in hora mortis exsultat, supra omnes acies dæmonum ad angelos pacis cum gaudio festinat et fertur. Quamobrem in adventu Domini, qui cum hujusmodi fiducia ex hac vita excesserint, cum omnibus sanctis rapientur; qui vero tempore mortis vel paulisper formidarint, in multitudine omnium aliorum hominum relinquentur, tanquam judicium subeuntes, ut igne judicii examinati, sortes sibi debitas pro ratione factorum recipiant : « Uniuscujusque enim opus, quale sit, ignis probabit [11]. »

A ἀγαπῶντας τὸν Κύριον, ἐκτὸς πάντως εὑρίσκεσθαι τότε φόβου. Ὁ γὰρ ἐν φόβῳ εὑρισκόμενος τότε, δῆλον, ὅτι πρὸς τοὺς ταρταρίους ἄρχοντας ἀπελεύσεται· ἡ δὲ ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ ἀγαλλιωμένη ψυχή, ἐν τῇ ὥρᾳ τῆς ἀναλύσεως, ἐπάνω τῶν σκοτεινῶν πάντων πράξεων, πρὸς τοὺς ἀγγέλους τῆς εἰρήνης ἐπείγεται μετὰ χαρᾶς καὶ φέρεται. Διόπερ καὶ ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου μετὰ τῶν ἁγίων πάντων, οἱ μετὰ τοιαύτης παῤῥησίας ἐξελθόντες τοῦ βίου, ἁρπαγήσονται· οἱ δὲ κἂν ἐμβραχὺ δειλιῶντες, ἐν τῷ καιρῷ τούτῳ [τοῦ θανάτου], ἐν τῇ πάντων ἄλλων ἀνθρώπων καταλειφθήσεται πληθύϊ, ὡς ὑπὸ κρίσιν καὶ δίκην ὄντες, καὶ ἐξέτασιν, ἵνα διὰ τοῦ πυρὸς δοκιμασθέντες τῆς κρίσεως, τοὺς κεχρεωστημένους αὐτοῖς κατὰ τὰς πράξεις ἀπολάβωσι κλήρους. « Ἑκάστου γὰρ, φησὶ, τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει. »

Ex sancto Nilo ad Agathium.

Vere terribile est mortis mysterium, quando eorum qui animam repetunt formidabilis præsentia, ipso etiam habitu metuenda, pavescentem ad exitum occupat; quando etiam dæmones male commissa exprobrant, et ad se rapiunt, inque loca tristia et horrida abducunt, ita ut etiam ante supplicium incussus timor et tremor satis sit supplicii : quando conscientia ad scelera sua respiciens, cum tremore peccatis debitas pœnas exspectabit : quo tempore jacet corpus sudore madidum, indicia præbens ejus cum quo interius afflictatur angoris; nam ejus anxietatis quæ non videtur, satis certa argumenta sunt ea quæ tum sub oculos cadunt. Et quemadmodum illi qui amaras potiones bibunt, vultum ob amaritudinem mutant et contrahunt; ita et anima ex dispositione quam palam præ se fert, in ipso vultu internam suam constitutionem exprimit et patefacit.

B *Νείλου ἐκ τοῦ πρὸς Ἀγάθιον.*

Ὄντως φοβερὸν τὸ τοῦ θανάτου μυστήριον, ὅτε τῶν ἀπαιτούντων τὴν ψυχὴν ἐπιστασία φοβερὰ συνέχει, φρίττουσαν αὐτὴν πρὸς τὴν ἔξοδον, καὶ δείματι καὶ σχήματι φοβερά· ὅτε καὶ οἱ δαίμονες ὀνειδίζοντες τὴν ἁμαρτίαν, πρὸς αὐτοὺς ἕλκουσιν εἰς ἀμειδῆ καὶ σκυθρωπὰ χωρία, ὡς πρὸ τῆς βασάνου τὴν κατάπληξιν ἱκανὴν εἶναι τὴν κόλασιν· ὅτε ἡ συνείδησις ἐπιστρέφουσα πρὸς τὰ πεπλημμελημένα, τρέμει τὴν πρὸς ἀξίαν τῶν ἡμαρτημένων περιμένουσα κόλασιν. Ἔνθα γὰρ ἰδρῶτι κεῖται τὸ σῶμα διάβροχον, σημεῖα δεικνύον τοῦ ἔνδον καμάτου, καὶ τῆς ἀδήλου ταραχῆς τὰ ὁρώμενα παρέχον[ται] τεκμήρια πρόδηλα, ἐντεῦθεν καθάπερ οἱ τῶν πικρῶν γευόμενοι φαρμάκων, ἀποστύφουσι τῇ ἀηδίᾳ τὸ πρόσωπον, τῆς ψυχῆς πρὸς ἣν ἔσχεν ἐκ τῶν ὀφθέντων ἐκεῖ χαλεπῶν διάθεσιν τυπωσαμένης τὸν χαρακτῆρα τῆς ὄψεως, καὶ τῷ σχήματι τοῦ φαινομένου τὴν ἑαυτῆς φανερωσάσης κεκρυμμένην ἔννοιαν.

288 QUÆSTIO XXII.

Qualia peccata remittuntur post mortem per liturgias, missæ sacrificia, precesque et eleemosynas factas pro iis qui dormierunt?

RESPONSIO.

De his dicit magnus Dionysius, si sint levia delicta ejus qui decessit, eum accipere aliquam utilitatem ex iis quæ pro ipso peraguntur. Sin autem sint gravia, Deus eum excludit. Cæterum oportet nos curam gerere nostrarum animarum, nec spem remissionis peccatorum consequendæ ponere in alienis post mortem oblationibus.

Ex Dionysio Areopagita, ubi de sacris vasis disputat.

Equidem probe scio, scriptis divinis assentiens, unumquemque præmium accepturum pro dignitate : « Clausit enim, aiunt, Dominus adversus eum [12]. » Et : « Referet unusquisque propria corporis, prout gessit, sive bonum, sive malum [13]. » Sed tamen justorum bonorumque etiam preces in hac vita,

ΕΡΩΤΗΣΙΣ ΚΒ'.

Ποῖα ἁμαρτήματα συγχωροῦνται μετὰ θάνατον διὰ τῶν λειτουργιῶν, καὶ εὐχῶν, καὶ ἐλεημοσυνῶν τῶν γινομένων ὑπὲρ τῶν κοιμηθέντων;

ΑΠΟΚΡΙΣΙΣ.

Καὶ περὶ τούτου πάλιν ὁ μέγας Διονύσιος λέγει, ὅτι, εἰ μὲν ψιλά τινα καὶ εὐτελῆ τυγχάνουσι τὰ ἁμαρτήματα τοῦ τελευτήσαντος, προσλαμβάνεταί τινα ὠφέλειαν ἐκ τῶν ὑπ' αὐτοῦ ἐπιτελουμένων· εἰ δὲ τραχέα καὶ χαλεπά εἰσιν, ἀπέκλεισε ὁ Θεὸς κατ' αὐτοῦ. Πλὴν δεῖ ἡμᾶς φροντίζειν τῶν ἰδίων ψυχῶν, καὶ μὴ ἐλπίζειν μετὰ θάνατον δι' ἀλλοτρίων προσφορῶν συγχωρεῖσθαι.

Διονυσίου τοῦ Ἀρεοπαγίτου, ἐκ τοῦ περὶ τῶν ἱερῶν σκευῶν.

Ἐγὼ δὲ, ὅτι μὲν ἀμοιβαῖον ἕξει τὴν ἀπολύτρωσιν ἕκαστος, εὖ οἶδα, τοῖς λογίοις ἀκολουθῶν. « Ἀπέκλεισε γὰρ, φασὶ, ὁ Κύριος κατ' αὐτοῦ. » Καὶ, « Κομίσεται ἕκαστος τὰ ἴδια τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν. » Εἰσὶ δὲ καὶ τῶν δικαίων αἱ προσευχαὶ, καὶ κατὰ τὸν τῇδε βίον, μήτιγε

[11] I Cor. III, 13. [12] Psal. XXXIV, 3. [13] II Cor. V, 10.

μετὰ θάνατον, εἰς τοὺς ἀξίους ἱερῶν εὐχῶν ἐνεργοῦσι μόνον· αἱ τῶν λογίων ἡμᾶς ἐκπαιδεύουσιν ἀληθεῖς παραδόσεις. Τί γὰρ καὶ πρὸς τὸν Σαμουὴλ [καὶ] Σαοὺλ ἀπώνατο; Τί δὲ τὸν τῶν Ἑβραίων λαὸν ὠφέλησεν ἡ προφητικὴ προσευχή; Καὶ γοῦν ὁ θεῖος ἱεράρχης ἐκφαντορικός ἐστιν, ὡς τὰ λόγιά φησι, τῶν θεαρχικῶν δικαιωμάτων· ἄγγελος γὰρ Κυρίου παντοκράτορος Θεοῦ ἐστι. Μεμάθηκεν οὖν ἐκ τῶν θεοπαραδότων λογίων, ὅτι τοῖς ὁσίως βιώσασιν ἡ φανοτάτη καὶ θεία ζωὴ κατ' ἀξίαν ὑπὸ τῶν δικαιοτάτων καὶ θείων ζυγῶν ἀντιδίδοται, παρορώσης ἀγαθότητι τῆς θεαρχικῆς φιλανθρωπίας τὰς ἐγγενομένας αὐτοῖς ἐξ ἀνθρωπίνης ἀσθενείας κηλίδας, ἐπείπερ οὐδείς, ὡς τὰ Λόγιά φησι, καθαρὸς ἀπὸ ῥύπου. Ταῦτα μὲν ὁ ἱεράρχης οἶδεν ἐπηγγελμένα πρὸς τῶν ἀληθινῶν Λογίων· αἰτεῖ δὲ αὐτὰ γενέσθαι, καὶ δωρηθῆναι τοῖς ὁσίως βιώσασι τὰς ἱερὰς ἀντιδόσεις. Οὐ γὰρ ἂν ὁ ἱεράρχης, ὁ τῆς θεαρχικῆς δικαιώσεως ὑποφήτης, ἐζήτει ποτὲ τὰ μὴ τῷ Θεῷ προσφιλέστατα, καὶ πρὸς αὐτοῦ δοθήσεσθαι θειωδῶς ἐπηγγελμένα. Διὸ τοῖς ἀνιέροις οὐκ ἐπεύχεται ταῦτα κεκοιμημένοις, οὐ μόνον ὅτι τῆς ὑποφητικῆς ἐν τούτῳ παρατραπήσεται τάξεως, καίτοι τῶν ἱεραρχικῶν αὐθαδῶς τολμήσει πρὸς τοῦ τελετάρχου κεκινημένος, ἀλλ' ὅτι καὶ τῆς ἐναγοῦς εὐχῆς ἀποτεύξεται πρὸς τοῦ δικαίου Λογίου, καὶ αὐτὸς οὐκ ἀπεικότως ἀκούων· « Αἰτεῖτε, καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε. »

A nedum post mortem iis tantum prodesse qui digni sunt sanctis precibus, ea quæ prodita sunt divinarum Litterarum monumentis nos docent. Quid enim Saul a Samuele adjutus est? Aut quid Prophetæ preces populo Hebræorum profuerunt? Equidem divinus Antistes, ut sacræ Litteræ testantur, interpres est divinorum judiciorum; angelus enim Dei omnipotentis est. Didicit ergo a scriptis quæ divinitus prodita sunt, clarissimam divinamque vitam pro dignitate ac meritis justissimis lancibus tribui, negligente divina humanitate, pro benignitate sua, maculas quas in eis contraxit humana infirmitas; quandoquidem nemo, ut divina Scriptura testatur, mundus est a sorde [14]. Hæc igitur antistes scit, promissa esse a scriptis divinis quæ vera sunt. B Petit autem ut ea eveniant, et dentur iis qui sancte vixerunt, sancta præmia: neque enim unquam divinus Antistes, qui est divinæ justitiæ interpres, ea quæ Deo gratissima esse non sciret, quæque ipse divine se daturum pollicitus non esset, peteret. Itaque mortuis, qui non sunt initiati, et sunt peccatores, hæc non precatur et optat, non solum quod in hoc ab interpretis divinorum munere ac **289** loco discederet, atque aliquid eorum quæ officii sunt, temere et arroganter non ab auctore mysteriorum permotus tentaret; verum etiam quod non consequeretur id quod honeste non peteret, a justo illo sacræ Scripturæ loco auditurus: « Petitis, et non accipitis, eo quod male petatis [15]. »

Ἐκ τῶν ἀποστολικῶν Διαταξεων.

Ἐπιτελεῖσθε δὲ τρίτα τῶν κεκοιμημένων ἐν ψαλμοῖς καὶ προσευχαῖς, διὰ τὸν τριήμερον ἐγερθέντα, καὶ ἔννατα εἰς ὑπόμνησιν τῶν περιόντων καὶ τῶν κεκοιμημένων, καὶ τεσσαρακοστὰ κατὰ τὸν παλαιὸν νόμον καὶ τύπον (Μωσῆν γὰρ ὁ λαὸς οὕτως ἐπένθησε), καὶ ἐνιαύσια ὑπὲρ μνήμης αὐτοῦ διδόσθω ἐκ τῶν ὑπαρχόντων αὐτοῦ πένησιν εἰς ἀνάμνησιν αὐτοῦ. Ταῦτα μὲν περὶ εὐσεβῶν λέγομεν, περὶ δὲ ἀσεβῶν, ἐὰν τὰ τοῦ κόσμου ὅλα πένησιν, οὐδὲν ὀνήσεις αὐτόν. Ὧ γὰρ περιόντι ἐχθρὸν ἦν τὸ Θεῖον, δηλονότι καὶ μεταστάντι. Οὐ γάρ ἐστιν ἀδικία παρὰ τῷ Θεῷ· « Δίκαιος γὰρ ὁ Κύριος, καὶ δικαιοσύνας ἠγάπησε. » Καὶ, « Ἰδοὺ ἄνθρωπος, καὶ τὸ ἔργον αὐτοῦ. » Καὶ, « Σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. »

C *Ex Constitutionibus apostolicis.*

Peragite diem tertium mortuorum in psalmis et orationibus, propter eum qui tertia die resurrexit. Item nonum in commemorationem superstitum atque defunctorum; etiam quadragesimum secundum veterem formam (Moysen enim hoc modo populus luxit), nec non anniversarium pro memoria ipsius: deturque de facultatibus ejus egenis, in commemorationem ipsius. Hæc de piis dicimus; nam impios, etsi omnes mundi facultates dares pauperibus, nihil juvabis. Nam cui vivo infensus erat Deus, certe idem mortuo est iratus; non est enim injustitia apud Deum. « Justus enim est Dominus, et justitias dilexit [16]. » Et: « Ecce homo, et opus ejus. » Et: « Tu reddes unicuique juxta opera ejus [17]. »

D

Τοῦ Ἰεζεκιήλ.

« Δικαιοσύνη δικαίου ἐπ' αὐτὸν ἔσται· καὶ ἀνομία ἀνόμου ἐπ' αὐτὸν ἔσται. Ἕκαστον κατὰ τὴν ὁδὸν ὑμῶν κρινῶ ὑμᾶς, οἶκος Ἰσραὴλ, λέγει Κύριος. »

Ex Ezechiele.

« Justitia justi super ipsum erit, et iniquitas iniqui super ipsum erit. Unumquemque secundum viam vestram judicabo, domus Israel, dicit Dominus [18]. »

Τοῦ ἁγίου Ἐπιφανίου ἐκ τῶν Παναρίων.

Ὠφελεῖ δὲ καὶ ὑπὲρ τῶν κεκοιμημένων εὐσεβῶν εὐχή, κἂν τὰ μεγάλα αἰτιώματα μὴ ἀποκόπτοι, ἀλλ' οὖν γε διὰ τὸ πολλάκις ὡς ἀνθρώπους ὄντας ἡμᾶς, ἐσφάλθαι ἀκουσίως τε καὶ ἑκουσίως.

Ex sancti Epiphanii Panario.

Prosunt preces quoque pro piis defunctis. Nam etsi magna crimina non amputent, prosunt tamen, propterea quod, cum simus homines, sæpe labamur voluntarie et involuntarie.

[14] Job xv, 14. [15] Jac. iv, 3. [16] Psal. x, 8. [17] Psal. lxi, 13; Matth. xvi, 27; Rom. ii, 6; I Cor. iii, 8; Galat. vi, 5. [18] Ezech. vii, 27.

Ejusdem ex eodem.

Non est pœnitendi locus post mortem : nec enim ibi Lazarus abit ad divitem; neque dives ad Lazarum. Obsignata sunt conclavia, impletum tempus, peractum certamen, distributæ coronæ, victique in stadio ex hac vita extrusi sunt. Uno verbo, post nostrum hinc excessum omnia absolvuntur et terminantur, et qui in stadio victi sunt, ejecti sunt e vita, et omnia perfecta sunt et absoluta, postquam hinc excesserimus.

290 *Chrysostomi in Matthæum.*

Nemo, qui hic peccata non expiavit, poterit in alteram vitam translatus pœnas effugere. Sed quemadmodum qui in carceribus attinentur, vincti rapiuntur in prætorium; ita et animæ, quando hinc emigrant, variis scelerum catenis compeditæ, ad terribile tribunal Dei abducuntur.

A

B

Τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν.

Οὐκ ἔστι μετὰ θάνατον. Οὔτε γὰρ Λάζαρος πρὸς τὸν πλούσιον ἀπέρχεται ἐκεῖ, οὔτε ὁ πλούσιος πρὸς τὸν Λάζαρον· ἐσφράγισται γὰρ τὰ ταμεῖα, καὶ πεπλήρωται ὁ χρόνος· καὶ ὁ ἀγὼν ἐτελέσθη, καὶ οἱ στέφανοι ἐδόθησαν· καὶ οἱ ἡττηθέντες ἐν τῷ σκάμματι τοῦ βίου ἐξεβλήθησαν, καὶ πάντα σαφῶς τετελείωται μετὰ τὴν ἐνθένδεν ἐκδημίαν.

Τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Ματθαῖον.

Οὐδεὶς γὰρ ἐντεῦθεν μὴ διαλυσάμενος τὰ ἁμαρτήματα, ἀπελθὼν ἐκεῖ, δυνήσεται τὰς ἐπὶ τούτοις εὐθύνας διαφυγεῖν. Ἀλλ' ὥσπερ οἱ ἀπὸ τῶν δεσμωτηρίων τούτων μετὰ τῶν ἁλύσεων προσάγονται ἐπὶ τὸ δικαστήριον, οὕτω καὶ αἱ ψυχαὶ πᾶσαι, ὅταν ἀπέλθωσιν ἀπὸ τῶν ἐνταῦθα, τὰς ποικίλας περικείμεναι σειρὰς τῶν ἁμαρτημάτων ἐπὶ τὸ φοβερὸν ἄγονται βῆμα.

QUÆSTIO XXIII.

ΕΡΩΤΗΣΙΣ ΚΓ.

Num paradisus sit sensibilis, an intelligibilis? corruptioni obnoxius, an corruptionis expers?

Αἰσθητός ἐστιν ὁ παράδεισος, ἢ νοητός; φθαρτός, ἢ ἄφθαρτος;

RESPONSIO.

Sicut Scriptura statuit duas Hierosolymas, cœlestem et terrenam; ita etiam duos paradisos : unum spiritualem, alterum cœlestem, ex quo egrediuntur super terram aquæ Nili et Euphratis, in quo erant Adam, Eva, serpens et plantæ. Nam si serpentem, plantas et aquas acciperemus allogorice, omnino etiam Adam et Evam allegorice interpretaremur, et sic everteremus, vel potius abrogaremus sacram Scripturam. Quomodo Adam erat medius inter corruptionem et incorruptionem, ita etiam erat, et est paradisus.

C

ΑΠΟΚΡΙΣΙΣ

Ὥσπερ οὖν δύο Ἱερουσαλὴμ ἡ Γραφὴ λέγει, οὐράνιον καὶ ἐπίγειον, οὕτω καὶ δύο παραδείσους, ἕνα πνευματικὸν, καὶ ἕτερον αἰσθητόν· ἐξ οὗ καὶ τὰ Νειλῷα ταῦτα καὶ Εὐφρατήσια ὕδατα εἰσπορεύονται ἐπὶ γῆς, ἔνθα Ἀδὰμ, καὶ ἡ Εὔα, καὶ ὁ ὄφις, καὶ τὰ φυτά. Εἰ γὰρ τὸν ὄφιν, καὶ τὰ φυτὰ, καὶ τὰ ὕδατα ἀλληγορικῶς ἐκλάβοιμεν, πάντως που καὶ τὸν Ἀδὰμ καὶ τὴν Εὔαν ἀνατρέψομεν, μᾶλλον δὲ ἀθετήσομεν τὴν θείαν Γραφήν. Ὥσπερ οὖν ὁ Ἀδὰμ ὑπῆρχε μέσος φθορᾶς καὶ ἀφθαρσίας, τοιοῦτος ἦν καὶ ἔστιν ὁ παράδεισος.

Ex sancti Epiphanii Ancorato.

Si non est paradisus super terram, et non sunt vera quæ scripta sunt in Genesi, sed dicta per allegoriam, nihil erit verum eorum quæ sequuntur : sunt enim omnia dicta per allegoriam. « In principio, inquit, fecit Deus cœlum et terram, et omnia [19]. » Nec sunt allegorica, sed in omnium oculos incurrunt, et cum revera verum hominem Deus fecisset, posuit eum in paradiso, isque comedit ex ligno [20]. Paradisus, inquit, est in Edem ad orientem. Fons autem ascendebat ex Edem [21]. Non dixit : descendit, ne existimaremus, Edem esse in cœlo : nam si fuisset in cœlo, fuisset ei dicendum : Descendit ex alto. Sed fluvius, inquit, egreditur ex Edem, et dividitur in quatuor initia : uni nomen est Phison [22], qui apud Indos et Æthiopes appellatur Ganges. Apud Græcos vocatur Indus, et circuit universam terram Evilat, parvamque et magnam Æthiopiam, partes Evilæorum; Evilæos enim nominat intimos Indos. Transit autem magnam Æthiopiam, **291** et influit ad austrum et occasum intra tria Gadira in magnum Oceanum, qui circumdat

D

Τοῦ ἁγίου Ἐπιφανίου ἐκ τοῦ Ἀγκυρωτοῦ.

Ὅτι οὐκ ἔστιν ἐπὶ γῆς ὁ παράδεισος, καὶ ἀληθῆ τὰ ἐν τῇ Γενέσει γεγραμμένα, ἀλλ' ἀλληγορεῖται, οὐδὲν ἀληθεύει τῆς ἀκολουθίας πάντα ἀλληγορούμενα. « Ἐν ἀρχῇ γὰρ, φησὶ, ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ πάντα. » Καὶ οὐκ ἔστιν ἀλληγορούμενα, ἀλλ' ὁρώμενα, καὶ τὸν ἄνθρωπον ἐν ἀληθείᾳ ὄντα ποιήσας ὁ Θεὸς, ἔθηκεν αὐτὸν ἐν τῷ παραδείσῳ [τῆς τρυφῆς]· οὕτω τοίνυν καὶ ὁ Ἀδὰμ, τεθεὶς ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἔφαγεν ἀπὸ τοῦ ξύλου. Ὁ δὲ παράδεισος, φησὶ, ἐν Ἐδὲμ, κατὰ ἀνατολάς. Πηγὴ δὲ ἀνέβαινεν ἐξ Ἐδὲμ, καὶ οὐκ εἶπε, Κατέβαινεν, ἵνα μὴ νοήσωμεν, ἐν οὐρανῷ εἶναι τὴν Ἐδέμ. Εἰ γὰρ ἐν οὐρανῷ ἦν, ἄνωθεν εἶχεν εἰπεῖν, ὅτι κατέρχεται. Ἀλλά φησι· Ποταμὸς ἐκπορεύεται ἐξ Ἐδὲμ, καὶ ἀφορίζεται εἰς ἀρχὰς τέσσαρας. Ὄνομα δὲ ἑνὶ Φεισων, ὁ παρὰ μὲν τοῖς Ἰνδικοῖς καὶ Αἰθίοψι Γάγγης καλούμενος, παρ' Ἕλλησι δὲ Ἰνδὸς προαγορευόμενος, καὶ περικυκλοῖ πᾶσαν τὴν γῆν Εὐϊλάτ, τήν τε μικρὰν Αἰθιοπίαν [καὶ τὴν μεγάλην, τὰ μέρη τῶν Εὐϊλέων· Εὐϊλέους δέ φησι εἶναι τοὺς ἐσωτάτους Ἰνδούς· διαπερᾷ δὲ τὴν μεγάλην Αἰθιοπίαν], καὶ

[19] Gen. I. [20] Gen. II, 15; III, 6. [21] Gen. II, 10. [22] ibid. 11.

πίπτει πρὸς νότον καὶ δύσιν, ἔσωθεν [τρι]ῶν Γαδείρων, εἰς τὸν μέγαν Ὠκεανὸν τὸν κυκλοῦντα πᾶσαν τὴν γῆν. Δεύτερος δὲ Γεὼν, ὁ καὶ Νεῖλος, κατὰ τὴν Αἰθιοπίαν κατερχόμενος, καὶ διαπερῶν τὴν μικρὰν Αἰθιοπίαν, Ἀνουβίτη τε καὶ Βλεμμύαν, καὶ Ἀξονίτην· καὶ ἐπικλύζων τὰ μέρη Θηβαΐδος καὶ Αἰγύπτου, εἰς ταύτην ἐκπίπτει τὴν θάλασσαν. Εἰ δέ τις ἀπιστεῖ, ἀκουέτω Ἱερεμίου λέγοντος· « Ἵνα τί ὑμῖν καὶ τῇ γῇ Αἰγύπτου, τοῦ πιεῖν ὕδωρ Γεὼν τεθολωμένον; » Τρίτος δὲ Τίγρις, ὁ πορευόμενος κατέναντι τῶν Ἀσσυρίων, καὶ διατέμνων τὰ μέρη τῆς Ἀνατολῆς, καὶ δύνων ὑπὸ τὴν γῆν, ἀνίσχει ἀπὸ τῆς Ἀρμενίας κατὰ μέσον Καρδιαίων καὶ Ἀρμενίων, καὶ ἀναπηγάζει πάλιν, καὶ διατέμνεται εἰς τὴν τῶν Ἀσσυρίων. Τέταρτος Εὐφράτης, ὁμοίως καὶ οὗτος δύνων ὑπὸ τὴν γῆν, ἀνέρχεται ἀπὸ τῆς Ἀρμενίας, ἐπικλύζων τὴν Περσίδα. Εἰ τοίνυν οὐκ ἔστι παράδεισος αἰσθητὸς ἐπὶ τῆς γῆς, πάντως οὐδὲ πηγὴ οὐδὲ ποταμὸς, οὐ τέσσαρες ἀρχαὶ, οὐδὲ συκῆ, οὐδὲ ξύλον. [Εἰ οὐκ ἔνι ξύλον], οὐκ ἔστι Εὔα ἡ ἐξ αὐτοῦ φαγοῦσα. Εἰ οὐκ ἔνι Εὔα, οὐδὲ Ἀδάμ. Καὶ, εἰ οὐκ ἔνι Ἀδὰμ, οὐδὲ ἄνθρωποί εἰσιν, ἀλλὰ μῦθος λοιπὸν ἡ ἀλήθεια, καὶ ἀλληγορεῖται λοιπὸν πάντα, κατὰ θεήλατον Ὠριγένην.

A

B

totam terram. Secundus fluvius est Geon [23], qui et Nilus, descendens in Æthiopiam, et transit parvam Æthiopiam, Anubitimque, Blemmyam et Axonitim, inundans partes Thebaidis et Ægypti; in hoc mare delabitur. Si quis non credit, audiat Jeremiam dicentem: « Quid vobis cum terra Ægypti, ut bibamus aquam Geon turbatam [24]? » Tertius est Tigris [25], qui labitur ex adverso Assyriorum, et dividit partes Orientis, terramque subiens oritur iterum ab Armenia, per medium Cardiensium et Armeniorum, rursusque emanat, et dividitur in terra Assyriorum. Quartus Euphrates [26], similiter quoque terram subiens ascendit ab Armenia, alluens Persidem. Si non est ergo paradisus sensilis in terra, omnino neque est fons, neque fluvius, neque quatuor initia, neque ficus, neque lignum. Si non est lignum, non est Eva, quæ ex eo comedit. Si non est Eva, neque Adam. Si non est Adam, non sunt homines, sed fabula est veritas; et sunt omnia dicta allegorice, ut est sententia insani Origenis.

Διονυσίου Ἀλεξανδρείας ἐκ τῶν κατὰ Ὠριγένους.

Ἐὰν δὲ τὸν παράδεισον μὴ τοῦ κόσμου μέρος εἶναι λέγοις, μηδὲ ἐν αὐτῷ γεγονέναι, μηδὲ σὺν τοῖς ἄλλοις καὶ περὶ αὐτοῦ κατέπαυσεν [a] ὁ Θεὸς γεγράφθαι, ἀλλ' ὑπερκόσμιον χωρίον, πῶς τὸν γήϊνον ἐκεῖ πλάσας τὸν ἄνθρωπον εἰσήγαγε; Πῶς δὲ ἐκεῖ ἔπλασεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ ὅπου τὸν ἄνθρωπον, καὶ τὴν γυναῖκα, καὶ ἤγαγεν αὐτὰ πρὸς αὐτὸν, ἰδεῖν τί καλέσει αὐτά; Ποῦ ξύλον θανατηφόρον, καὶ ἀπατεὼν ὄφις ἐκεῖ; Οὐκοῦν λογιζέσθω πᾶς, ὅτι οὐκ εἰς τὸν οὐρανὸν, ἀλλ' ὄντως καὶ ἐν τῇ γῇ πεφύτευται· ἔστι γὰρ τόπος Ἀνατολῆς, καὶ χωρίον ἐκλογῆς.

Ex Dionysio Alexandrino contra Origenem.

Si paradisus non est pars hujus mundi, neque in eo conditus; et si eum Deus neque cum aliis, neque circa mundum creavit, sed supermundanum quemdam locum esse voluit, quomodo terrestrem hominem abs se formatum eo introduxit? Quomodo ibidem Deus ex terra produxit omnia animantia agri, et volucres cœli (ubi et Adamum et mulierem produxerat)? et adduxit ea ad Adamum, ut videret quid vocaret ea. Quomodo lignum mortiferum, et serpens impostor ibi erat? Quilibet igitur apud se statuat paradisum non in cœlo, sed in terra factum esse. Est enim locus in Oriente, et regio electa

C

ΕΡΩΤΗΣΙΣ ΚΔ'.

Θεοδωρήτου ἐπισκόπου Κύρου ἐρώτησις, τί ἐστι τὸ, « Κατ' εἰκόνα καὶ ὁμοίωσιν; »

ΑΠΟΚΡΙΣΙΣ.

Τινὲς μὲν τὸ ἀόρατον τῆς ψυχῆς εἰκόνα Θεοῦ κεκλήκασιν, ἀλλ' οὐκ ἀληθῶς εἰρήκασιν. Εἰ γὰρ εἰκὼν Θεοῦ τῆς ψυχῆς τὸ ἀόρατον, μᾶλλον ἂν εἰκόνες Θεοῦ κληθεῖεν ἄγγελοι, καὶ πᾶσαι αἱ ἀσώματοι καὶ ἅγιαι φύσεις, ἅτε δὴ παντάπασι σωμάτων ἀπηλλαγμέναι καὶ ἀμιγὲς τὸ ἀόρατον ἔχουσαι. Τινὲς δὲ οἱ πολλῆς εὐηθείας, λεγούσης ἐπακούουσι τῆς Γραφῆς· « Ἄνοιξον τοὺς ὀφθαλμούς σου, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἄκουσον· » καὶ, « Ὠσφράνθη Κύριος ὀσμὴν εὐωδίας· καὶ, « Τὸ στόμα Κυρίου ἐλάλησεν ταῦτα· » καὶ, « Ἐν τῇ χειρὶ αὐτοῦ πάντα τὰ πέρατα τῆς γῆς, » καὶ ὅσα τοιαῦτα κακῶς ἀκούοντες καὶ νοοῦντες, ἐνόμισαν ἀνθρωπόμορφον εἶναι τὸ Θεῖον, καὶ οὐ συνεῖδον οἱ ἄγαν ἠλίθιοι, ὅτι, ὡς ἀνθρώποις δι' ἀν-

D

292 QUÆSTIO XXIV

Theodoreti episcopi Cyri quæstio, quidnam sit illud: « Secundum imaginem et similitudinem [27]. »

RESPONSIO.

Nonnulli quidem id animæ, quod non cadit sub aspectum, vocarunt Dei imaginem; sed non recte. Si enim esset imago Dei id animæ, quod non est aspectabile, Dei imagines vocarentur angeli, et omnes naturæ incorporeæ, ut quæ sint omnino liberæ a corporibus, et mistum non habeant id quod est spectabile. Nonnulli, ob summam stultitiam, cum Scripturam audiunt dicentem: « Aperi oculos tuos, et vide, et inclina aurem tuam, et audi [28]; » et: « Odoratus est Dominus odorem suavitatis [29]; » et: « Os Domini locutum est ea [30]; » et: « In manu ejus sunt omnes fines terræ [31]; » et quæ sunt hujusmodi: male audientes et intelligentes, existimant Deum esse humana forma præditum; nec intellexerunt

[23] Gen. II, 13. [24] Jerem. II, 18. [25] Gen. II, 14. [26] ibid. 15. [27] Gen. I, 26. [28] Psal. XLIV, 11. [29] Gen. VIII, 21. [30] Isa. LVIII, 14. [31] Psal. XCIV, 4.

VARIÆ LECTIONES.

[a] κατέπλασεν.

(ut qui essent nimium insipientes) quod cum hominibus per homines loquens Deus, auditorum imbecillitati sermonem accommodat; et quoniam videmus per oculos, videndi facultatem oculos nominat, et audiendi facultatem, aures, et mandatum, os. Sed oportebat eum non solum audire hæc verba, sed etiam ea quæ docent, Deum non posse circumscribi. « Quo, inquit, ibo a spiritu tuo; et quo a facie tua fugiam? Si ascendero in cœlum, tu illic es; si descendero in infernum, ades [32]. » Et : « Nunquid cœlum et terram ego impleo, dicit Dominus [33]? » Et : « Deus est spiritus, et eos qui adorant, in spiritu et veritate oportet adorare [34]. » Si Deus est spiritus, est ergo simplex et incompositus, figuræque expers. Scimus ergo hominem factum esse ad Dei imaginem, propter principatum : Deus enim dicit : « Faciamus hominem ad imaginem nostram et similitudinem [35]. » Et subjungit : « Et imperent piscibus maris, et volucribus cœli, et jumentis, et toti terræ [36]. » Quomodo enim ipse dominatum obtinet in universa, ita etiam dedit homini potestatem in animantia expertia rationis.

Licet quidem etiam alia invenire quæ aliquo modo referunt et imitantur archetypum. Nam homo quoque fabricatur ad imitationem Dei creatoris, et domos, et urbes, cœlique, et solis, et stellarum effigies, hominumque, et animantium, et brutorum imagines et simulacra. Sed utriusque hujus effectionis immensa est differentia. Nam Deus producit **293** res, et ex iis quæ non sunt, et ex iis quæ sunt, absque labore; neque opus habet tempore, materia et consideratione ad id quod fit expendendum. At vero homo tempore, labore, materia et consideratione eget. Quamvis sic quoque aliquid efficiens Creatorem utcunque imitetur, nimirum, tanquam imago exemplar. Imago enim habet exemplaris similitudinem; sed habet quidem speciem partium, non habet autem operationes : caret enim anima, per quam movetur corpus. Ita rursus homo quoque regnat et judicat ad Dei imitationem; sed Deus quidem judicans non eget testibus et accusationibus. Sic enim et condemnavit Cain, cum fuisset ipse inspector odii et sceleris; homo autem judicans opus habet testibus et accusatoribus; ignorat enim ea quæ facta sunt. Sic homo est appellatus Deus, et Dei imago. « Ego enim dixi, inquit, Dii estis, et filii Excelsi [37]. » Et : « Vir non tegit caput, cum sit imago et gloria Dei [38]. » Sed Deus quidem est Deus natura; homo autem est Deus gratia. Ita etiam Dei proprium est quod non possit circumscribi; imitatur autem eum quodammodo etiam mens humana : in momento enim temporis obit universam terram, et cœlestia et subterranea; verum non essentia, sed sola mentis visione ac phantasia : Deus autem et sapientia et virtute habet quod non possit circumscribi.

A θρώπων [b] διαλεγόμενος ὁ Θεὸς τῇ τῶν ἀκουόντων ἀσθενείᾳ τοὺς λόγους συμμετρεῖ, καὶ ἐπειδὴ δι' ὀφθαλμῶν ὁρῶμεν, τὴν ὀπτικὴν αὐτοῦ δύναμιν ὀφθαλμοὺς ὀνομάζει, καὶ τὴν ἀκουστικὴν ὦτα, καὶ πρόσταγμα τὸ στόμα. Ἀλλ' ἔδει αὐτὸν, μὴ μόνον τούτων ἀκούειν τῶν λόγων, ἀλλὰ καὶ τῶν τὸ ἀπερίγραπτον τοῦ Θεοῦ διδασκόντων. « Ποῦ γὰρ, φησὶ, πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἰ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει. » Καὶ, « Οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος; » Καὶ, Πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Εἰ δὲ πνεῦμα ὁ Θεὸς, ἁπλοῦς ἄρα καὶ ἀσύνθετος, καὶ ἀσχημάτιστος. Τὸ τοίνυν, « κατ' εἰκόνα Θεοῦ, » κατὰ τὸ B ἀρχικὸν γενέσθαι τὸν ἄνθρωπον ἴσμεν. Φησὶ γὰρ ὁ Θεός· « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν· » καὶ ἐπάγει· « Καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς. » Ὥσπερ γὰρ αὐτὸς τῶν ὅλων ἔχει τὴν δεσποτείαν, οὕτω δέδωκε καὶ τῷ ἀνθρώπῳ τῶν ἀλόγων ζώων τὴν ἐξουσίαν.

Ἔστι μέντοι καὶ ἄλλα εὑρεῖν, ὡς ἀρχετύπου μιμήματα. Δημιουργεῖ γὰρ καὶ ἄνθρωπος, κατὰ μίμησιν τοῦ πεποιηκότος Θεοῦ, καὶ οἰκίας, καὶ πόλεις, καὶ οὐρανοῦ καὶ ἡλίου καὶ ἀστέρων ἐκτυπώματα, [καὶ ἀνθρώπων καὶ ζώων ἀλόγων εἰκόνας καὶ ἐνδάλματα,] ἀλλ' ἄπειρον τὸ τῆς δημιουργίας διάφορον. Ὁ μὲν γὰρ ἐξ οὐκ ὄντων, καὶ ἐξ ὄντων δημιουργεῖ, C καὶ δίχα πόνου καὶ χρόνου· [ὁ δ' ἄνθρωπος καὶ χρόνου καὶ πόνου,] καὶ ὕλης δεῖται, καὶ σκέψεως, εἰς τὴν τοῦ γινομένου κατασκευήν. Ἀλλὰ καὶ οὕτω δημιουργῶν ὁ ἄνθρωπος μιμεῖται ἀμηγέπη τὸν Ποιητὴν, ὡς εἰκὼν τὸ ἀρχέτυπον. Καὶ γὰρ ἡ εἰκὼν ἔχει τὰ τοῦ ἀρχετύπου ἐνδάλματα· ἀλλὰ τὸ μὲν τῶν μορίων εἶδος ἔχει, τὰς δὲ ἐνεργείας οὐκ ἔχει· ἐστέρηται γὰρ τῆς ψυχῆς, δι' ἧς κινεῖται τὸ σῶμα. Οὕτω πάλιν καὶ βασιλεύει ἄνθρωπος, καὶ κρίνει κατὰ μίμησιν τοῦ Θεοῦ· ἀλλ' ὁ μὲν Θεὸς οὐ κατηγόρων, οὐ μαρτύρων δεῖται, δικάζων. Οὕτω γὰρ Κάϊν κατέκρινεν, αὐτόπτης τοῦ μίσους γενόμενος. Ὁ δὲ ἄνθρωπος κρίνων, καὶ μαρτύρων δεῖται καὶ κατηγόρων· ἀγνοεῖ γὰρ τὰ γινόμενα. Οὕτω καὶ Θεὸς ὁ ἄνθρω- D πος, καὶ εἰκὼν Θεοῦ προσηγορεύθη. « Ἐγὼ γὰρ, φησὶ, εἶπα, Θεοί ἐστε, » καὶ τὰ ἑξῆς· καὶ, « Ἀνὴρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων. » Ἀλλ' ὁ μὲν φύσει Θεός ἐστιν, ὁ δὲ χάριτι. Οὕτω καὶ τὸ ἀπερίγραπτον ἀληθῶς μὲν καὶ κυρίως ἐστὶ τοῦ Θεοῦ· μιμεῖται δέ πως αὐτὸ καὶ ὁ νοῦς ὁ ἀνθρώπινος. Ἐν ἀκαρεῖ γὰρ περινοστεῖ πᾶσαν τὴν γῆν, τά τε οὐράνια καὶ τὰ ὑποχθόνια· ἀλλ' οὐ τῇ οὐσίᾳ, μόνου δὲ τοῦ νοῦ φαντασίᾳ. Ὁ δέ γε Θεὸς καὶ τῇ οὐσίᾳ, καὶ τῇ σοφίᾳ, καὶ τῇ δυνάμει τὸ ἀπερίγραπτον ἔχει.

[32] Psal. CXXXVIII, 7, 8. [33] Jerem. XXIII, 24. [34] Joan. IV, 24. [35] Gen. I, 26. [36] ibid. 28. [37] Psal. LXXXI, 6. [38] I Cor. II, 7.

VARIÆ LECTIONES.

[b] ἀνθρωπείων.

Εὕροι δ' ἂν τις καὶ ἑτέραν μίμησιν ἀκριβεστέραν ἐν τῇ τοῦ ἀνθρώπου ψυχῇ. Ἔχει γὰρ καὶ αὐτὴ τὸ λογικὸν, καὶ τὸ ζωτικὸν ἐν αὑτῇ· καὶ γεννᾷ ὁ νοῦς τὸν λόγον, συμπρόεισι δὲ τῷ λόγῳ πνεῦμα, οὐ γενόμενον καθάπερ ὁ λόγος, συμπαρομαρτοῦν δὲ ἀεὶ τῷ λόγῳ, καὶ συμπροῖὸν γεννωμένῳ. Ἀλλὰ ταῦτα μὲν ὡς ἐν εἰκόνι πρόσεστι τῷ ἀνθρώπῳ· οὗ δὴ χάριν καὶ ἀνυπόστατος ὁ λόγος ἐστὶ, καὶ τὸ πνεῦμα. Ἐπὶ δὲ τῆς ἁγίας Τριάδος τρεῖς νοοῦμεν τὰς ὑποστάσεις, καὶ ἀσυγχύτως ἡνωμένας, καὶ καθ' αὑτὰς ὑφεστώσας. Γεγέννηται μὲν γὰρ ἐκ τοῦ Πατρὸς πρὸ τῶν αἰώνων ὁ Θεὸς Λόγος· ἀχώριστός δέ ἐστι τοῦ γεννήσαντος. Καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς μὲν ἐκπορεύεται, νοεῖται δὲ καὶ ἐν ἰδίᾳ ὑποστάσει. « Πάντα γὰρ, φησὶ, ἐνεργεῖ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ [ἑκάστῳ] καθὼς βούλεται. » Ὥστε τὸ μὲν κατ' εἰκόνα ἐστὶ τὸ νοερὸν, καὶ αὐτεξούσιον, καὶ ἀρχικόν· τὸ δὲ καθ' ὁμοίωσιν ἡ τῆς ἀρετῆς κατὰ τὸ δυνατὸν ὁμοίωσις.

A Cæterum aliam quoque accurationem et exactiorem imitationem in anima hominis invenire est. Habet enim ipsa quoque in se rationem et vitam. Et mens quidem gignit rationem seu verbum. Simul autem cum verbo promanat spiritus, qui non gignitur sicut verbum; sed verbum semper comitatur, et cum genito simul procedit. Sed hæc adsunt homini tanquam in imagine. Quamobrem verbum et spiritus in eo nullam habent hypostasin, nec subsistunt. In sancta autem Triade tres intelligimus hypostases, inconfuse unitas et per se subsistentes. Nam genitum quidem est ante sæcula ex Patre Deus verbum, et est inseparabile ab eo qui genuit; et Spiritus ex Patre quidem procedit, intelligitur autem in propria hypostasi. « Omnia B enim, inquit, operatur unus et idem Spiritus, dividens propria unicuique sicut vult [29]. » Quamobrem ad Dei quidem imaginem est intelligentia, liberum arbitrium, principatus ac imperium; ad similitudinem vero est virtutis, quoad ejus fieri potest, assimilatio.

Νεμεσίου ἐπισκόπου ἐκ τοῦ περὶ φύσεως ἀνθρώπου.

Τὸν ἄνθρωπον ἴσμεν ἐξ ἀρχῆς οὔτε θνητὸν ὁμολογουμένως, οὔτε ἀθάνατον γεγενῆσθαι, ἀλλ' ἐν μεθορίοις ἑκατέρας φύσεως, ἵνα ἂν μὲν τοῖς σωματικοῖς ἀκολουθήσῃ πάθεσι, περιπέσηται ταῖς σωματικαῖς μεταβολαῖς, ἂν δὲ τὰ τῆς ψυχῆς προτιμήσῃ καλὰ, τῆς ἀθανασίας ἀξιωθῇ. Εἰ γὰρ ἐξ ἀρχῆς αὐτὸν θνητὸν ἐποίησεν ὁ Θεὸς, οὐκ ἂν ἁμαρτόντα θανάτῳ κατεδίκασε· τοῦ γὰρ θνητοῦ τὴν θνητότητα ὁ C Θεὸς [οὐδεὶς] καταδικάζει. Εἰ δ' αὖ πάλιν ἀθάνατον, οὐδ' ἂν τροφῆς σωματικῆς δεῖται, [οὐδ' ἂν αὐτὸν τροφῆς ἐνδεᾶ κατεσκεύασεν· οὐδὲν γὰρ τῶν ἀθανάτων τροφῆς σωματικῆς δεῖται·] οὐδ' ἂν οὕτω ῥᾳδίως μετενόησε, καὶ τὸν γενόμενον ἀθάνατον θνητὸν εὐθέως ἐποίησεν. Οὐδὲ γὰρ ἐπὶ τῶν ἁμαρτησάντων ἀγγέλων τοῦτο φαίνεται πεποιηκώς· ἀλλὰ κατὰ τὴν ἐξ ἀρχῆς φύσιν ἀθάνατοι διέμειναν, ἄλλην τῶν ἡμαρτημένων ὑπεκδεχόμενοι δίκην, καὶ οὐ τὸν θάνατον. Βέλτιον οὖν ἦ τοῦτον τὸν τρόπον νοεῖν τὸ προκείμενον, ἢ ὅτι θνητὸς μὲν ἐσκευάσθη, δυνάμενος δὲ ἐκ προκοπῆς τελειούμενος ἀθάνατος γενέσθαι, τουτέστι, δυνάμει ἀθάνατος. Ἐπειδὴ δὲ οὐ συνέφερεν αὐτῷ πρὸ τῆς τελειώσεως [γνῶναι τὴν ἑαυτοῦ φύσιν], ἀπηγόρευσε μὴ γεύσασθαι τοῦ ξύλου τῆς γνώσεως. Ἦσαν, μᾶλλον δὲ, εἰσὶν ἔτι καὶ νῦν δυνάμεις ἐν τοῖς φυτοῖς μέγισται· τότε δὲ, ὡς ἐν ἀρχῇ τῆς κοσμοποιίας ἀκραιφνεῖς οὖσαι, ἰσχυροτάτην εἶχον τὴν ἐνέργειαν. Ἦν οὖν καὶ ἀπόγευσίς τινος καρποῦ γνῶσιν ἐμποιοῦσα τῆς οἰκείας φύσεως. Οὐκ ἐβούλετο δὲ αὐτὸν ὁ Θεὸς πρὸ τῆς τελειώσεως γνῶναι τὴν οἰκείαν φύσιν, ἵνα μὴ, γνοὺς ἐνδεᾶ ἑαυτὸν πολλῶν ὄντα, τῆς σωματικῆς ἐπιμεληθῇ χρείας, καταλιπὼν τὴν τῆς ψυχῆς πρόνοιαν· καὶ διὰ ταύτην τὴν αἰτίαν ἐκώλυσεν αὐτὸν μεταλαβεῖν τοῦ καρποῦ τῆς γνώσεως. Παρακούσας δὲ, καὶ γνοὺς ἑαυτὸν, τῆς μὲν τελειώσεως

294 *Ex Nemesio episcopo de natura hominis.*

Hominem scimus ab initio neque plane factum esse mortalem, neque immortalem, sed in confinio utriusque naturæ, ut si corporeas secutus esset affectiones, incideret etiam in corporales mutationes. Sin autem prætulisset bona animi, immortalitate dignus haberetur. Si enim ab initio Deus eum fecisset mortalem, non eum morte condemnasset quando peccavit. Mortalem enim nemo condemnat mortalitate. Sin rursus immortalem condidisset, opus non habuisset corporali alimento, neque tam facile Deum pœnituisset; nec genitum immortalem statim fecisset mortalem, neque enim hoc fecisse cernitur in angelis qui peccarunt, sed convenienter ei, quam ab initio habuerunt, naturæ, permanserunt immortales, peccatorum suorum alio accepto supplicio, non morte. Melius est ergo vel hoc modo intelligere sacræ Scripturæ dictum, vel dicendum erit mortalem quidem creatum esse, sed profectibus continuis ad immortalitatem pertingere potuisse: ad immortalitatem, inquam, potentia. Et quoniam ei non conducebat ut ante sui perfectionem suam cognosceret naturam, prohibuit Deus ne D gustaret de ligno scientiæ. Erant enim, imo nunc quoque sunt in plantis maximæ virtutes; tunc autem (utpote initio mundi conditi), cum essent sinceræ, potentissimam habebant operationem Gustatio igitur alicujus fructus docebat quali natura fructus ille constaret. Nolebat autem Deus eum suam cognoscere naturam ante perfectionem, ne, si cognovisset se multis egere, ea curasset quæ ad usum corporis pertinent, relinquens curam animæ. Quocirca prohibuit ne de ligno scientiæ boni et mali quidquam attingeret. Cum autem non obedisset, et se ipsum cognovisset, a perfectione

[29] I Cor. XII, 11

quidem excidit; eorum vero quæ ad corporis usum pertinent fuit egenus, et statim quæsivit tegumentum. Dicit enim Scriptura : « Cognovit quod esset nudus [44]. » prius semper in ecstasi, et in sui ipsius ignoratione versatus. Cum ergo excidisset a perfectione, similiter etiam excidit ab immortalitate, quam postea accepturus est gratia ejus qui ipsum creavit. Postquam autem excidit, carnium quoque usus est ei concessus. Prius enim jussit eum esse contentum iis solis quæ nascuntur e terra, ea enim erant in paradiso; desperata autem perfectione, de cætero, ut quibus vellet, frueretur, permisit. Nam opus quidem fuit homini cibo et potu, propter exinanitiones et digestiones. Porro, cum homo ex corpore compositus sit, **295** omne autem corpus ex quatuor elementis constet, necesse est, ut iis actionibus subjiciatur quibus et elementa, [divisioni scilicet, mutationi et fluxui, quæ soli corpori competunt, quod mutationi subjacet secundum qualitatem, fluxui autem secundum evacuationem; evacuatur enim animal per manifestos et non manifestos poros sive meatus : de quibus postea disseremus.

Necesse est ergo ut vel exinanitis æqualia rursus substituantur, vel ut dissolvatur animal ob inopiam alimenti. Cum autem ea quæ exinaniuntur sint sicca et humida, et spiritus, necesse est ut sicco et humido alimento sustentetur animal, et spiritu. Cæterum cibus et potus suppeditatur nobis per elementa, ex quibus sumus compositi. Unumquodque enim alitur eo quod est cognatum et simile, curatur autem contrario. Elementa vero partim proxime, partim aliis quibusdam naturis intercedentibus, assumimus; ut aquam aliquando per se, aliquando per vinum, oleum, et omnia quæ humidi fructus appellantur; nihil enim aliud est vinum, quam aqua ex vite certa quadam qualitate affecta. Similiter igne utimur, aliquando quidem proxime, dum ab eo caleſimus; aliquando interventu eorum quæ edimus et bibimus : omnibus enim vel major vel minor pars ignis insita est. De aere idem sentiendum; nam proxime eo utimur quod respiramus, quod circumfusum nobis habemus, quod in comedendo et bibendo eum trahimus, per alias vero naturas omnes quibus nutrimur. Terra quidem per se nos nullo modo, sed semper aliis quibusdam interpositis vescimur. Terra enim frumentum fit, frumentum vero nobis est cibus. Alaudæ, columbæ et perdices sæpe terram edunt; at homo per semina arborum baccas, carnes.

At, quoniam non solum propter decentiam, sed etiam propter tangendi sensus excellentiam, quo maxime omnibus animalibus homo præstat, neque corio nos obduxit, ut boves et cætera quæ crassa cute vestita sunt, neque pilis magnis et

A ἐξέπεσε, τῆς δὲ σωματικῆς χρείας ἐγένετο ἐνδεής· σκέπασμα γοῦν εὐθέως ἐζήτησε. Φησὶ γὰρ ἡ Γραφὴ [c], ὅτι « Γυμνὸς ὢν ἔγνω. » Πρότερον δὲ ἐν ἐκστάσει αὐτὸν ἐποίησε, καὶ ἐν ἀγνωσίᾳ ἑαυτοῦ. Ἐκπεσὼν οὖν τῆς τελειώσεως [d], ἐξέπεσεν [ὁμοίως] καὶ τῆς ἀθανασίας, ἣν ὕστερον ἀπολήψεται χάριτι τοῦ ποιήσαντος αὐτόν. Μετὰ δὲ τὴν ἔκπτωσιν καὶ ἡ τῶν κρεῶν ἀπόλαυσις [αὐτῷ] συνεχωρήθη. Πρότερον μὲν γὰρ τοῖς ἀπὸ τῆς γῆς μόνοις ἐκέλευσεν αὐτὸν ἀρκεῖσθαι· ταῦτα γὰρ ἦν ἐν τῷ παραδείσῳ· ἀπεγνωσμένης δὲ τῆς τελειώσεως, τῇ συγχαταβάσει λοιπὸν συνεχωρήθη τὰ τῆς ἀπολαύσεως. Χρεία μὲν ἀνθρώπου τροφῆς καὶ ποτοῦ, διὰ τὰς κενώσεις καὶ διαφορήσεις. Ἐπειδὴ δὲ ἐκ σώματός ἐστιν ὁ ἄνθρωπος, πᾶν δὲ σῶμα ἐκ τῶν τεσσάρων στοιχείων συνέστηκεν,
B ἀνάγκη τοῦ τοῖς πάθεσι περιπίπτειν αὐτὸν, οἷς καὶ τὰ στοιχεῖα, τομῇ, καὶ μεταβολῇ, καὶ ῥεύσει, ἅπερ ἐστὶ μόνου τοῦ σώματος· μεταβολῇ μὲν τῇ κατὰ ποιότητα, ῥεύσει δὲ τῇ κατὰ κένωσιν· κενοῦται γὰρ ἀεὶ τὸ ζῶον, διά τε τῶν προδήλων πόρων, καὶ τῶν ἀδήλων, [περὶ ὧν ὕστερον ἐροῦμεν.]

Ἀνάγκη τοίνυν, ἢ τοῖς κενουμένοις ἀντεισφέρεσθαι τὰ ἴσα, ἢ διαλύεσθαι τὸ ζῶον ἐνδείᾳ τῶν ἐπεισιόντων. Ξηρῶν δὲ ὄντων, καὶ ὑγρῶν, καὶ πνεύματος, τῶν κενουμένων, ἀνάγκη καὶ ὑγρᾶς, καὶ ξηρᾶς τροφῆς δεῖσθαι τὸ ζῶον, καὶ πνεύματος. Ἔστι δὲ ἡμῖν ἡ τροφὴ καὶ τὸ ποτὸν διὰ τῶν στοιχείων, ἐξ ὧν καὶ συνεστάθημεν. Ἕκαστον γὰρ τῷ μὲν οἰκείῳ καὶ ὁμοίῳ τρέφεται, τῷ δὲ ἐναντίῳ θεραπεύεται.
C Τῶν δὲ στοιχείων τὰ μὲν προσεχῶς τε ἅμα, τὰ δὲ καὶ διὰ μέσων τινῶν προσφερόμεθα· ὡς ὕδωρ, ποτὲ μὲν καθ' ἑαυτὸ, ποτὲ δὲ διὰ μέσου τοῦ οἴνου καὶ τοῦ ἐλαίου, καὶ πάντων τῶν καλουμένων ὑγρῶν καρπῶν. Οὐδὲν γὰρ ἕτερόν ἐστιν οἶνος, ἢ ὕδωρ ὑπ' ἀμπέλου πεποιημένον. Ὁμοίως δὲ καὶ πυρὸς μεταλαμβάνομεν· ποτὲ μὲν προσεχῶς ὑπ' αὐτοῦ θαλπόμενοι, ποτὲ δὲ διὰ μέσων, ὧν ἐσθίομεν, ἢ πίνομεν. Ἐν πᾶσι γὰρ, ἢ πλείων, ἢ ἐλάττων μοῖρα τοῦ πυρὸς ἐγκατέσπαρται. Τὸν αὐτὸν τρόπον καὶ τοῦ ἀέρος, προσεχῶς μὲν ἀναπνέοντες, καὶ περικεχυμένον ἡμῖν ἔχοντες, καὶ ἐν τῷ ἐσθίειν καὶ πίνειν αὐτὸν ἕλκοντες, διὰ μέσων δὲ τῶν ἄλλων πάντων, ὧν προσφέρομεν. Τὴν δὲ γῆν, προσεχῶς μὲν ἡμεῖς οὐδαμῶς, διὰ μέ-
D σων δέ τινων· γῇ μὲν γὰρ σῖτος γίνεται· σίτου δὲ ἡμεῖς ἐσθίομεν. Κόρυδοι μὲν γὰρ καὶ περιστεραὶ, καὶ πέρδικες πολλάκις τὴν γῆν σιτοῦνται, ἄνθρωπος δὲ διὰ μέσων τῶν σπερμάτων, καὶ τῶν ἀκροδρύων, καὶ των σαρκῶν.

Ἐπειδὴ δὲ, οὐ μόνον δι' εὐπρέπειαν, ἀλλὰ καὶ δι' εὐαισθησίαν, τὴν μετὰ τὴν ἁφὴν, ᾗ μάλιστα πλεονεκτεῖ πάντων τῶν ζώων ὁ ἄνθρωπος, οὐ περιέθηκεν ἡμῖν οὔτε δέρμα παχὺ, ὡς τοῖς βουσὶ καὶ τοῖς ἄλλοις ζώοις τοῖς παχυδέρμοις, οὔτε τρίχας μεγάλας

[44] Gen. III, 7.

VARIÆ LECTIONES.

[c] ὁ Μωσῆς. [d] τελειότητος. [e] Hæc non habuit Hervetus in suo exemplari. Exstant tamen apud Nemesium c. 1, non procul ab initio.

καὶ πτηνὰς, ὡς ταῖς ἐξ, καὶ τοῖς προβάτοις, καὶ λαγῳοῖς, οὔτε φολίδας, ὡς τοῖς ὄφεσι καὶ τοῖς ἰχθύσιν, οὔτε ὄστρακα, ὡς ταῖς χελώναις καὶ τοῖς ὀστρέοις, οὔτε ἀπαλόστρακα, ὡς τοῖς καράβοις, οὔτε πτέρυγας, ὡς τοῖς ὀρνέοις· ἀναγκαίως ἐσθῆτος ἐδεήθημεν τῆς ἀναπληρούσης ἐν ἡμῖν, ὅπερ ἡ φύσις τοῖς ἄλλοις ἐδωρήσατο. Διὰ ταῦτα μὲν οὖν τροφῆς καὶ ἐσθῆτος δεόμεθα, οἰκήσεώς τε οὐχ ἥκιστα δὲ καὶ διὰ τὰς τῶν θηρίων ἀποφυγάς. Διὰ δὲ τὰς δυσκρασίας τῶν ποιοτήτων, καὶ τὴν λύσιν τῆς συνεχείας τοῦ σώματος, ἰατρῶν καὶ θεραπείας ἐν χρήσει κατέστημεν. Ἐπὶ δὲ μεταβολῆς κατὰ ποιότητα γινομένης, ἀνάγκη διὰ τῆς ἀντικειμένης ποιότητος εἰς τὸ σύμμετρον ἀγαγεῖν τὴν κατάστασιν τοῦ σώματος. Οὐ γὰρ, ὡς οἴονταί τινες, τὸ θερμανθὲν σῶμα καταψῦξαι πρόκειται τοῖς ἰατροῖς, ἀλλ' εἰς τὸ εὔκρατον μεταποιῆσαι· εἰ γὰρ καταψύξειαν, εἰς τὴν ἐναντίαν περίσταται νόσον ἡ διάθεσις. Χρεία τοίνυν ἀνθρώπῳ τροφῆς μὲν καὶ ποτοῦ, διὰ τὰς κενώσεις καὶ τὰς διαφορήσεις· ἐσθῆτος δὲ, διὰ τὸ μηδεμίαν ἔχειν ἐκ φύσεως ἰσχυρὰν περιβολήν· οἴκου δὲ, διὰ τὰς δυσκρασίας τοῦ περιέχοντος, καὶ διὰ τὰ θηρία. Διὰ τὰς μεταβολὰς τῶν ποιοτήτων [f], καὶ τὴν αἴσθησιν τὴν ἐνδοθεῖσαν σώματι, ἰατρῶν τε καὶ θεραπείας ἐν χρείᾳ κατέστημεν. Εἰ γὰρ μὴ προσῆν ἡμῖν αἴσθησις, οὔτ' ἂν ἠλγοῦμεν, οὔτ' ἂν θεραπείας ἐδεήθημεν, καὶ μὴ ἀλγοῦντες· καὶ διεφθάρημεν ἂν ἐν ἀγνωσίᾳ τοῦ κακοῦ, τὸ πάθος οὐκ ἰώμενοι. Ἐπεὶ τόγε ἀρχαῖον οὐδὲν τούτων ἐδεῖτο, οὐδὲν τῶν ἀλόγων ζώων ἐτόλμα καταβλάπτειν τὸν ἄνθρωπον, ἀλλ' ἦν αὐτῷ πάντα δοῦλα καὶ ὑποτεταγμένα, ἕως ἐκράτει τῶν οἰκείων παθῶν καὶ τῆς ἐν αὐτῷ ἀλογίας. Μὴ κρατῶν δὲ τῶν οἰκείων παθῶν, ἀλλὰ κρατούμενος ὑπ' αὐτῶν, ἐκρατήθη καὶ παρὰ τῶν ἔξωθεν ἀλόγων θηρίων· συνῆλθε γὰρ τῇ ἁμαρτίᾳ καὶ ἡ παρὰ τούτων βλάβη. Ὅτι δὲ τοῦτό ἐστιν ἀληθὲς, διδάσκουσιν οἱ ἄριστον μετελθόντες βίον, καὶ παρὰ τῶν τοιούτων μηδὲν βλαβέντες, ὡς ὁ Δανιὴλ ἀπὸ τῶν λεόντων, καὶ Παῦλος ἀπὸ τῆς ἐχίδνης. Τίς οὖν ἀξίως θαυμάσειεν τὴν εὐγένειαν τοῦ ζώου τούτου, τοῦ συνδέοντος ἑαυτῷ τὰ θνητὰ τοῖς ἀθανάτοις, καὶ τὰ λογικὰ τοῖς ἀλόγοις συνάπτοντος, τοῦ φέροντος ἐν τῇ καθ' ἑαυτὸν φύσει τῆς πάσης κτίσεως τὴν εἰκόνα; Διὸ καὶ μικρὸς κόσμος εἴρηται. Τοσαύτης δὲ τιμῆς παρὰ Θεοῦ καὶ προνοίας ἠξίωται, ὅτι δι' αὐτὸν καὶ τὰ μέλλοντα καὶ τὰ νῦν, καὶ Θεὸς ἄνθρωπος γέγονε· Θεοῦ τέκνον ἐστὶν, οὐρανῶν βασιλεύει, κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν γεγονὼς, Χριστῷ συνδιάγει, πάσης ἀρχῆς καὶ ἐξουσίας προκάθηται. Τίς δ' ἂν ἐξειπεῖν αὐτοῦ δύνηται τὰ πλεονεκτήματα; Πελάγη γὰρ διαβαίνει, οὐρανὸν ἐμβατεύει τῇ θεωρίᾳ, ἄστρων κινήσεις, καὶ διαστήματα, καὶ μέτρα κατανοεῖ. Γῆν καρποῦται καὶ θάλασσαν, θηρίων καὶ κητῶν καταφορεῖ [g], πᾶσαν ἐπιστήμην καὶ τέχνην κατορθοῖ· ὑπερόριον διὰ τῶν γραμμάτων, οἷς βούλεται, προσ-

densis, ut capras, oves, lepores; neque squamis, ut serpentes et pisces; neque testa, ut testudines et ostrea; neque molli testa, ut carabos seu cancros, neque alis, ut aves, necessario vestitu opus habuimus, quo compensarentur ea quæ cæteris animantibus natura tribuit. Atque hæ quidem causæ sunt cur alimento et amictu indigeamus. Cæterum habitatione cum iisdem de causis ob quas vestitu et victu opus habemus, tum maxime ut bestiarum impetus declinare liceat. Medicos autem et medicinam propter qualitatum intemperiem et dissolutionem continui in corpore **296** requirimus. At quando mutatio fit in qualitate, oportet ut per contrariam qualitatem constitutio corporis ad debitam temperiem redigatur; non enim, ut quidam opinantur, medicis propositum est corpus nimis calefactum refrigerare, sed ad conveniens temperamentum revocare; nam si refrigerarent, contrarium morbum accerserent. Quare homini cibo et potu opus est, cibo quidem propter evacuationes et dissipationes; vestitu autem, quod nullum penitus firmum tegumentum a natura acceperimus; domo, propter intemperiem aeris et feras; medicina porro et medicis indigemus, propter mutationes qualitatum, et propter sensum qui corpori inditus est. Nam si nobis non adesset sensus, non doleremus, neque curatione opus haberemus, non dolentes; et interiissemus quidem in mali ignoratione, non medentes ægritudini. Nam olim homo nihil his opus habebat, quem nullum etiam ex brutis animantibus lædere audebat. Sed ei omnia serviebant, erantque subjecta et obnoxia, quandiu suis imperabat animi perturbationibus, et quæ ei inerat, majestati rationis. Non imperans autem animi perturbationibus, sed ab eis superatus, jure quoque fuit superatus a rationis expertibus animantibus. Nam simul cum peccato ingressa est etiam, quæ ab eis affertur, noxa. Hoc verum esse nos docent qui vitam egerunt optimam, et ob id ab eis minime sunt læsi; ut Daniel a leonibus [61]; et Paulus a vipera [62-63]. Quis ergo pro dignitate admiratus fuerit dignitatem hujus animalis, quod in se colligat mortalia cum immortalibus, et conjungit ratione prædita cum rationis expertibus; quod in sua natura fert imaginem universæ creaturæ? Quamobrem dictus est μικρὸς κόσμος, id est, parvus mundus. Tanto autem honore curaque et providentia a Deo dignus est habitus, quod propter hominem sint præsentia et futura; propterquem etiam Deus homo factus est, ut Dei sit filius, ut sit Rex cœlorum, effictusque ad Dei imaginem et similitudinem simul degat cum Christo, præsideatque universo principatui et potestati. Quis potest effari dotes quibus cætera animantia exsuperat? Nam maria trajicit, cœli ingreditur

[61] Dan. VI, 22. [62-63] Act. XXVIII, 5.

VARIÆ LECTIONES.

[f] διὰ τὰς δυσκρασίας καὶ μεταβολὰς τῶν ποιοτ. [g] καταφρονεῖ.

contemplationem, astrorum considerat motus, intervalla et mensuras. Fruitur terra et mari; feras et cete despicit, in universa scientia et arte recte se gerit, extra fines per litteras, cum quibus vult, loquitur familiariter, a corpore nihil vetitus, prædicit futura. Omnibus imperat, omnibus dominatur, omnibus fruitur, ab omnibus tanquam satellitibus stipatur. Angelorum præsidio custoditur, cum Deo loquitur, dæmonibus imperat, rerum quæ sunt scrutatur naturam, Deum curiose investigat; Dei est domus [93] et templum [94], et **297** hæres regni ejus [95]: ipsi gloria in sæcula sæculorum. Amen.

A ομιλεῖ· μηδὲν ὑπὸ τοῦ σώματος κωλυόμενος, προφητεύει τὰ μέλλοντα. Πάντων ἄρχει, πάντων κρατεῖ, πάντων ἀπολαύει, ὑπὸ πάντων δορυφορεῖται, Θεῷ διαλέγεται, δαίμοσιν ἐπιτάττει, τὴν τῶν ὄντων φύσιν ἐρευνᾷ, Θεὸν περιεργάζεται, οἶκος καὶ ναὸς γίνεται Θεοῦ, καὶ κληρονόμος τῆς αὐτοῦ βασιλείας· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

QUÆSTIO XXV.

Quomodo intelligendum sit illud : « Cum vidissent filii Dei filias hominum [96] ? »

RESPONSIO.

(31) Divinus Enos, qui a Seth genitus, « speravit, inquit, invocare nomen Domini [97], » hoc est, dici Deus apud alios. Quoniam enim erat omni virtute ornatus, ipsum Deum nominabant quidam (utique ex probis), summo honore eum decorare statuentes. Admirantes enim, ut dixi, justitiæ quæ ei inerat magnitudinem, Deum protinus illum appellabant, virtutibus viri hanc appellationem maxime convenire rati. Hujus ergo, qui Deus cognominabatur, filii, « cum vidissent hominum filias, » hoc est, eorum qui orti erant ex Cain, « eas sibi acceperunt in uxores [98], » quod prius erat prohibitum. Symmachus pro filii Dei, reddidit filii deorum et potentium. Scimus quædam exemplaria habere aperte : « Cum autem vidissent angeli Dei filias hominum. » Deinde conferunt et convertunt nonnulli carnalis libidinis crimina in angelos qui lapsi sunt. At quomodo non affine fuerit stultitiæ dicere carnalia amare spiritus, qui sunt carne superiores et eminentiores? Quemnam ad hæc motum naturalem habent? aut quænam lex carnis eos irritat? Melius est ergo ut legamus : Cum vidissent filii Dei filias hominum, et dedecore non afficiamus naturam angelorum.

ΕΡΩΤΗΣΙΣ ΚΕ'.

Πῶς νοητέον τὸ, « Ἰδόντες οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων; »

ΑΠΟΚΡΙΣΙΣ.

B Ὁ Θεσπέσιος Ἐνὼς ἀπὸ τοῦ Σὴθ γεννηθεὶς (31), « ἤλπισε, φησὶν, ἐπικαλεῖσθαι τῷ ὀνόματι Κυρίου τοῦ Θεοῦ, τουτέστι, λέγεσθαι παρ' ἑτέρων θεός. Ἐπειδὴ γὰρ ἦν πάσῃ ἀρετῇ κεκοσμημένος, θεὸν ὠνόμαζον αὐτὸν, τάχα που τῶν ἐπιεικεστέρων τινὲς, τῇ ὑπερτάτῃ τιμῇ στεφανοῦν ἠρημένοι. Θαυμάζοντες γὰρ, ὡς ἔφην, τῆς ἐνούσης αὐτῷ δικαιοσύνης τὸ μέγεθος, θεὸν ὠνόμαζον εὐθὺς, πρέπειν ὅτι μάλιστά γε τῇ τοῦ ἀνδρὸς ἀρετῇ τὴν ἐπωνυμίαν ἡγούμενοι. Τούτου τοίνυν τοῦ ἐπίκλην Θεοῦ υἱοὶ, « τὰς τῶν ἀνθρώπων θυγατέρας, » τουτέστι τῶν ἀπὸ Κάϊν, « ἔλαβον ἑαυτοῖς εἰς γυναῖκας, » ὃ ἦν αὐτοῖς πρώην κεκωλυμένον. Ὁ δὲ Σύμμαχος, ἀντὶ τοῦ, « υἱοὶ τοῦ Θεοῦ, » υἱοὶ τῶν Θεῶν καὶ τῶν δυναστευόντων, « ἐκδέδωκεν. Οἴδαμεν δὲ, ὅτι τῶν ἀντιγράφων τινὰ περιέχει σαφῶς, « Ἰδόντες οἱ ἄγγελοι τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων. » Εἶτα περιτρέπουσί τινες τῆς φιλοσαρκίας τὰ ἐγκλήματα πρὸς τοὺς ὠλισθηκόσιν ἀγγέλους. Καὶ πῶς οὐκ ἂν εἴη μωρίας ἐγγὺς, τῶν σαρκικῶν ἐρᾶσθαι λέγειν τὰ σαρκὸς ἀνωτέρω καὶ ἐξεστηκότα πνεύματα; ποίαν εἰς τοῦτο κίνησιν φυσικὴν ἔχοντα, ἢ ποίου νόμου σαρκικοῦ κατερεθίζοντος; Οὐκοῦν ἀναγνωσόμεθα μᾶλλον, « Ἰδόντες οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, « καὶ μὴ τῶν ἀγγέλων φύσιν ἀτιμάσωμεν.

QUÆSTIO XXVI.

Si omnia quæ fecit Deus sunt valde bona [99], quomodo dicit postea de mundis et immundis animalibus [1] ?

RESPONSIO.

Deus quidem fecit omnia valde bona; at si ab hominum avaritia et intemperantia assumantur ad id ad quod non sunt condita, jam non sunt bona : cum enim diu post promiscue ad omnium esum ruerent, et cupiditatem vescendi eo quod noxium erat accenderent, necessario induxit Dei providentia mundorum et immundorum discrimen. Nonnulla enim ex animantibus terrestribus et aquatilibus, quæ copiosius habent virus, **298** omnino

ΕΡΩΤΗΣΙΣ ΚϚ'.

Εἰ πάντα, ὅσα ἐποίησεν ὁ Θεὸς, καλὰ λίαν, πῶς μετὰ ταῦτα περὶ καθαρῶν καὶ ἀκαθάρτων ζώων φησί ;

ΑΠΟΚΡΙΣΙΣ.

D Πάντα μὲν ὁ Θεὸς καλὰ ἐποίησεν· ὑπὸ δὲ τῆς τῶν ἀνθρώπων πλεονεξίας καὶ ἀκρασίας παρληφθέντα, εἰς ὃ μὴ γέγονεν, οὐ καλὰ τυγχάνει. Αὐτίκα γοῦν πολλῷ ὕστερον τῶν ἀνθρώπων ἐσθίειν τὰ πάντα ἀδιαφόρως ἐπιλαβομένων, [καὶ τὴν ἐπὶ τὸ βλάπτον ἐπιθυμίαν αὐξησάντων,] ἀναγκαίως ἡ τοῦ Θεοῦ πρόνοια τὴν τῶν καθαρῶν καὶ ἀκαθάρτων διάκρισιν εἰσηγήσατο. Τὰ γὰρ ἔνια τῶν ζώων, χερσαίων τε καὶ ἐνύδρων, πλείονα τὸν ἰὸν ἔχοντα, πάντη ἀπηγόρευσε.

[93] I Cor. III, 9. [94] I Cor. III, 16. [95] Rom. IV, 13; Jac. II, 5. [96] Gen. VI, 2. [97] Gen. IV, 26. [98] Gen. VI, 2. [99] Gen. I. [1] Levit. II; Luc. II; Rom. XIV.

NOTÆ.

(31) Vide Theodoretum, quæst. 47 in Gen.

Πάντα οὖν καλὰ ἐν καιρῷ αὐτῶν, καὶ εἴς τινα χρείαν χρησιμεύοντα τῷ ἀνθρώπῳ, ὡς καὶ ἀπὸ ἰοβόλων ἑρπετῶν φάρμακα θεραπείας κατασκευάζεσθαι. Φησὶ γὰρ ὁ Σειράχ· « Πάντα τὰ ἔργα Κυρίου ἀγαθά, » καὶ πᾶσαν χρείαν ἐν ὥρᾳ αὐτῶν χορηγήσει. Καὶ οὐκ ἔστιν εἰπεῖν, Τοῦτο τούτου πονηρότερον· πάντα γὰρ ἐν καιρῷ δοκιμασθήσεται, καὶ « Ὁ Κύριος ἔκτισεν ἐκ τῆς γῆς φάρμακα, καὶ ἀνὴρ φρόνιμος οὐ προσοχθιεῖ αὐτοῖς. »

A prohibuit. Sunt ergo omnia suo tempore bona, et ad aliquem usum homini utilia; adeo ut ex venenatis serpentibus conficiantur ad curandum medicamenta. Dicit enim Sirach : « Omnia Dei opera sunt bona [2], » et omnem usum suo tempore suppeditant. Neque licet dicere : Hoc illo est pejus; omnia enim probabuntur in tempore; et : « Dominus ex terra creavit medicamenta, et vir prudens non offendetur eis [3]. »

Τοῦ ἁγίου Βασιλείου ἐκ τῶν Κανόνων.

Τοῖς δὴ κομψοῖς Ἐγκρατείαις, πρὸς τὸ σεμνὸν αὐτῶν πρόβλημα, Διατί καὶ ἡμεῖς οὐχὶ πάντα ἐσθίομεν; ἐκεῖνο λεγέσθω· Ὅτι καὶ τὰ περιττώματα ἡμῶν βδελυττόμεθα. Κατὰ γὰρ τὴν ἀξίαν, λάχανα χόρτου ἡμῖν ἐστι τὰ κρέα· κατὰ δὲ τὴν τῶν συμφερόντων διάκρισιν, ὡς καὶ ἐν λαχάνοις τὸ βλαβερὸν τοῦ καταλλήλου χωρίζομεν, οὕτω κἀν τοῖς κρέασι τοῦ χρησίμου τὸ βλαβερὸν διακρίνομεν· ἐπεὶ λάχανόν ἐστι τὸ κώνειον, ὥσπερ κρέας ἐστὶ τὸ γύπειον. Ἀλλ' ὅμως ὑοσκύαμον φάγοι ἄν τις νοῦν ἔχων; οὔτε κυνὸς ἅψαιτο, μὴ μεγάλης ἀνάγκης κατεπειγούσης, ὡς ὄγε φαγὼν οὐκ ἠνόμησεν.

Ex sancti Basilii Regulis.

Ad illud grave ac venustum problema Encratitarum, qui quærunt Cur non omnia comedam? illud respondeatur. Quoniam etiam excrementa nostra exsecramur : nam ex dignitate sui, olera herbarum nobis sunt loco carnis. Quemadmodum enim in oleribus pestiferum a salutari secernimus : sic etiam in carnibus ab utili noxium separamus; siquidem ut cicuta est olus, ita vultur caro : sed tamen nemo unquam sanæ mentis carnem canis attinget, nisi ingenti aliqua necessitate astrictus; sic enim nihil in legem committit.

ΕΡΩΤΗΣΙΣ ΚΖ'.

Διὰ τί δὲ τυθῆναι προσέταξεν ὁ Θεὸς τῷ Ἀβραὰμ δάμαλιν τριετίζουσαν, καὶ αἶγα τριετίζουσαν, καὶ κριὸν τριετίζοντα, τρυγόνα, καὶ περιστεράν;

ΑΠΟΚΡΙΣΙΣ.

Ἰσχὺν μὲν εἶχεν οὐδεμίαν· ψευδὴς γὰρ ἦν ἡ περὶ αὐτὸν κατέχουσα δόξα. Ἀλλ' ἐπειδὴ συνεχῶς παρανομῶν ὁ λαὸς, ἐπέμενε θεηλάτους πληγὰς, πρὸς τὴν ἐκείνων ἀσθένειαν ᾠκονόμησε ταῦτα. Ἵνα γὰρ μὴ νομίσωσι, παρὰ τοῦ Θεοῦ παιδευόμενοι, διὰ τὰς τοῦ μάντεως ἀρὰς συμφοραῖς περιπίπτειν, οὐκ εἴασε τὸν μάντιν χρήσασθαι ταῖς ἀραῖς, τὰς τῶν ἀνόμων ἀφορμὰς περικόπτων. Ἀλλ' ἐκεῖνος μὲν οὐ τὸν ἀληθινὸν ἠρώτα Θεόν· ἀπεκρίνατο δὲ αὐτῷ, οὐχ ὁ παρ' αὐτοῦ καλούμενος, ἀλλ' ὁ παρ' αὐτοῦ ἀγνοούμενος. Ἔρχεται γὰρ ὁ Θεὸς καὶ πρὸς ἀσεβεῖς πολλάκις· οὐ δι' αὐτοὺς, ἀλλὰ διὰ τοὺς ἁγίους, ὡς πρὸς Λάβαν διὰ τὸν Ἰακὼβ, καὶ πρὸς Φαραὼ διὰ τὸν Ἰωσὴφ, καὶ Ναβουχοδονόσορ διὰ τὸν Δανιὴλ, καὶ πρὸς αὐτὸν τοῦτον διὰ τὸν Ἰσραήλ. Τοιγαροῦν μετὰ βραχὺ μὲν ἄγγελον μετὰ ῥομφαίας τῷ Βαλαὰμ ἔπεμψε, τὴν εἰς ὕστερον αὐτοῦ τε καὶ τοῦ Βαλὰκ ἀναίρεσιν ὑπεμφαίνων. Οὗτος γὰρ ἦν ὁ καὶ τῆς μιαρᾶς βουλῆς ἐκείνης εἰσηγητὴς, δι' ἧς ἔπεσον ἐν μιᾷ ἡμέρᾳ κδ' χιλιάδες, ἡνίκα ἐτελέσθησαν τῷ Βεελφεγὼρ, τῶν Μαδιανιτῶν γυναικῶν ἐπὶ τῆς παρατάξεως φανεισῶν, καὶ ἐφελκυσαμένων αὐτοὺς εἰς ἀσέλγειαν, κατὰ τὴν βουλὴν αὐτοῦ. Φησὶ γὰρ, « Καὶ τὸν Βαλαὰμ υἱὸν Βεὼρ ἀπέκτειναν ἐν τῷ πολέμῳ Μαδιὰμ μετὰ τῶν τραυματιῶν, » καὶ ἤγαγον τὰ σκῦλα, « καὶ ὠργίσθη Μωϋσῆς λέγων· Ἵνα τί ἐζωγρήσατε πᾶν θῆλυ; αὗται γὰρ ἦσαν τοῖς υἱοῖς Ἰσραὴλ σκάνδαλον, κατὰ τὸ ῥῆμα Βαλαὰμ, τοῦ ἀποστῆσαι καὶ ὑπεριδεῖν τὸ ῥῆμα Κυρίου ἕνεκεν Βεελφεγώρ. Καὶ ἐγένετο ἡ πληγὴ αὕτη. »

QUÆSTIO XXXIV.

Quam vim habuit vatis maledictio, cum Deus ei prohibuerit ne malediceret ?

RESPONSIO.

Nullam vim habebat; falsa enim tenebatur opinione. Sed quoniam populus continenter inique agens, sustinebat plagas a Deo inmissas, ad illorum imbecillitatem hæc dispensavit. Nam, ne a Deo castigati existimarent se per magi maledictionem incidisse in calamitates, non sivit vatem uti maledictionibus, iniquis amputans occasionem. Sed ille quidem verum Deum non sciscitabatur; ei autem respondit, non qui ab ipso vocabatur, sed qui ab ipso ignorabatur. Nam sæpe venit Deus etiam ad impios, non **310** propter ipsos, sed propter sanctos; sicut ad Laban propter Jacobum; et ad Pharaonem propter Josephum, et ad Nabuchodonosor propter Danielem; et ad hunc ipsum, propter Israelem. Misit itaque paulo post ad Balaam angelum cum rhomphæa, subindicans futurum ut paulo post et ipse et Balaac interimeretur. Iste enim fuit auctor scelerati illius consilii, per quod ceciderunt uno die viginti quatuor millia, quando fuerunt initiati Beelphegor, cum mulieres Madianitæ apparuissent in castris, et eos pellexissent ad libidinem, ipsius consilio. Dicit enim : « Et Balaam filium Beor occiderunt in bello Madian cum vulneratis [39]; » et adduxerunt spolia, « et iratus est Moyses, dicens : Cur vivas cepistis feminas ? ipsæ enim filiis Israel fuerunt scandalo, secundum verbum Balaam, ut deficerent, et despicerent verbum Dei propter Beelphegor. Unde et plaga hæc exstitit [40]. »

ΕΡΩΤΗΣΙΣ ΛΕ'

Πῶς τὸ δίκαιον σώζεται, τῶν παίδων ὑπὲρ τῶν πατέρων κολαζομένων;

ΑΠΟΚΡΙΣΙΣ.

Ὡς φιλοπαιδίας καὶ πολυπαιδίας πεφροντικότας δεδίττεται ταῖς ἀπειλαῖς, καί φησι· « Ἀποδιδοὺς

QUÆSTIO XXXV.

Quomodo servatur justitia, dum filii puniuntur pro patribus ?

RESPONSIO.

Tanquam nimios filiorum et numerosæ sobolis amatores minis terret, et dicit : « Reddens pec-

[39] ibid. 20. [39] Num. xxxi, 8. [40] ibid. 15, 16.

VARIÆ LECTIONES.

[a] τὸν ἰατρόν.

cata patrum in filios, ad tertiam et quartam generationem iis qui me oderunt, et faciens misericordiam in millia millia iis qui me diligunt, et custodiunt mandata mea [61]. » Quod autem ad nuda præcepti verba attendere a pietate alienum sit, ipse Deus docet, legem ferens contrariam. « Non morientur, inquit, patres pro filiis, neque filii pro patribus, sed unusquisque in suo peccato morietur [62]. « Et per Ezechielem : « Quæ vobis est hæc parabola dicentium : Patres comederunt uvam acerbam, et dentes filiorum obstupuerunt ? Vivo ego, dicit Dominus, si erit amplius hæc parabola in Israel, sed eorum qui uvam acerbam comederunt dentes obtupescent, quoniam omnes animæ sunt meæ. Anima, quæ peccaverit, ipsa morietur [63]. »

A ἁμαρτίας πατέρων ἐπὶ τέκνα, ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με, καὶ ποιῶν ἔλεος εἰς χιλιάδας καὶ μυριάδας τοῖς ἀγαπῶσί με, καὶ τοῖς φυλάττουσι τὰ προστάγματά μου. » Ὅτι δὲ γυμνῷ προσέχειν τῷ γράμματι δυσσεβὲς, αὐτὸς ὁ Θεὸς διδάσκει τἀναντία νομοθετῶν· « Οὐκ ἀποθανοῦνται, φησὶ, παῖδες ὑπὲρ πατέρων, οὔτε πατέρες ὑπὲρ τέκνων, ἀλλ' ἕκαστος ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται. » Καὶ διὰ τοῦ Ἰεζεχιὴλ φησι· « Τίς ὑμῖν ἡ παραβολὴ αὕτη λεγόντων· Οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἠμωδίασαν; Ζῶ ἐγὼ, λέγει Κύριος, εἰ ἔσται ἡ παραβολὴ αὕτη· ἀλλὰ τῶν φαγόντων τὸν ὄμφακα καὶ αἱμωδιάσουσιν οἱ ὀδόντες, ὅτι πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰσι. Ψυχὴ ἁμαρτάνουσα αὕτη ἀποθανεῖται.

B

Ex Constitutionibus apostolicis.

Unusquisque pro seipso respondebit, et non perdet Deus simul justum cum injusto ; nam apud ipsum quod sine peccato est, non punitur. Neque enim Noe diluvio obruit, neque Lot combussit, neque Raab simul perdidit. Si quis porro velit scire ea etiam quæ in nobis facta sunt, Judas accepit eamdem sortem **311** ministerii quam nos ; et Simon Magus accepit signaculum, quod est in Domino ; sed uterque reprobus effectus est : ille strangulatus, hic præter naturam volans, contritus. In arca erant Noe, et ejus filii ; sed solus Cham malus inventus pœnas dedit. Si patres non puniuntur pro filiis, neque filii pro patribus, perspicuum est, C neque uxores pro maritis, neque servos pro dominis, neque cognatos pro cognatis, neque amicos pro amicis, neque justos pro injustis puniri ; sed ab unoquoque de suo facto rationem exigi. Neque enim Noe pro mundo dedit pœnas ; neque Lot fuit exustus pro Sodomis ; neque Raab fuit occisa pro Jerichuntinis ; neque Israel fuit submersus pro Ægyptiis. Neque enim simul condemnat cohabitatio, sed mentis consensus. Non ergo morietur alius pro alio, sed suorum peccatorum catenis constringitur unusquisque [64-69]. Et ecce homo, et ejus opus coram ipso. Et justitia justi ejus super ipsum erit. Unumquemque secundum viam vestram judicabo vos, Domus Israel, dicit Dominus [70]. »

Ἐκ τῶν ἀποστολικῶν Διαταγμάτων.

Ἕκαστος περὶ ἑαυτοῦ ἀπολογήσεται, καὶ οὐ μὴ συναπολέσῃ ὁ Θεὸς τὸν δίκαιον μετὰ τοῦ ἀδίκου, ἐπείπερ παρ' αὐτῷ τὸ ἀναμάρτητον ἀτιμώρητον. Οὔτε γὰρ τὸν Νῶε κατέκλυσεν, οὔτε τὸν Λὼτ κατέφλεξεν, οὔτε τὴν Ῥαὰβ συναπώλεσεν. Εἰ δὲ βούλεσθε γνῶναι καὶ τὰ ἡμῶν γενόμενα, Ἰούδας σὺν ἡμῖν ἔλαβε τὸν κλῆρον τῆς διακονίας, ὃν καὶ ἡμεῖς, καὶ Σίμων ὁ Μάγος τὴν ἐν Κυρίῳ σφραγῖδα. ἀλλ' ἑκάτερος αὐτῶν ἀναδειχθεὶς φαῦλος· ὁ μὲν ἀπήγξατο, ὁ δὲ παρὰ φύσιν ἱπτάμενος, συνετρίβη. Καὶ ἐν τῇ κιβωτῷ Νῶε, καὶ οἱ υἱοὶ αὐτοῦ ὑπῆρχον, ἀλλὰ πονηρὸς ὁ Χὰμ εὑρεθεὶς, μόνος ἐδέξατο τὴν τιμωρίαν. Εἰ δὲ καὶ πατέρες ὑπὲρ παίδων οὐ τιμωροῦνται, οὔτε υἱοὶ ὑπὲρ πατέρων, δῆλον, ὡς οὔτε γυναῖκες ὑπὲρ ἀνδρῶν, οὔτε οἰκέται ὑπὲρ δεσποτῶν, οὔτε συγγενεῖς ὑπὲρ συγγενῶν, οὔτε φίλοι ὑπὲρ φίλων, οὔτε δίκαιοι ὑπὲρ δικαίων, οὔτε ἄδικοι ὑπὲρ ἀδίκων, ἀλλ' ἕκαστος ὑπὲρ τοῦ ἰδίου ἔργου τὸν λόγον ἀπαιτηθήσεται. Οὔτε γὰρ Νῶε ὑπὲρ τοῦ κόσμου δίκην εἰσεπράχθη, οὔτε Λὼτ ὑπὲρ Σοδόμων ἐπυρπολήθη, οὔτε Ῥαὰβ ὑπὲρ Ἱεριχουντίων ἐσφάγη, οὔτε Ἰσραὴλ ὑπὲρ Αἰγυπτίων κατεποντίσθη. Οὐ γὰρ ἡ συνοίκησις συγχαταδικάζει, ἀλλ' ἡ τῆς γνώμης ὁμόνοια. Οὐ τοίνυν ἕτερος ὑπὲρ ἑτέρου ἀποθανεῖται, ἀλλ' ἕκαστος σειραῖς τῶν ἑαυτοῦ ἁμαρτιῶν σφίγγεται. Καὶ ἰδοὺ ἄνθρωπος καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ, καὶ δικαιοσύνη δικαίου ἐπ' αὐτὸν ἔσται. « Ἕκαστον κατὰ τὴν ὁδὸν D ὑμῶν κρινῶ ὑμᾶς, οἶκος Ἰσραὴλ, λέγει Κύριος. »

QUÆSTIO XXXVI.

Quomodo intelligendum illud : « Non dedit vobis Dominus Deus cor ad sciendum, oculos ad videndum, et aures ad audiendum, usque ad hunc diem ? »

RESPONSIO.

Sicut illud : « Tradidit illos Deus in reprobum sensum, et in passiones ignominiæ [71] ; » et : « Induravit Deus cor Pharaonis [72] ; » et : « Decepisti nos, Domine, a via tua, et indurasti corda nostra [73] ; » et : « Decepisti nos, Domine, et decepti sumus [74], »

ΕΡΩΤΗΣΙΣ ΛϚ.

Πῶς νοητέον τὸ, « Οὐκ ἔδωκεν ὁ Θεὸς ὑμῖν καρδίαν εἰδέναι, καὶ ὀφθαλμοὺς βλέπειν, καὶ ὦτα ἀκούειν, ἕως τῆς ἡμέρας ταύτης ; »

ΑΠΟΚΡΙΣΙΣ.

Ὡς τὸ, « Παρέδωκεν ὁ Θεὸς αὐτοὺς εἰς ἀδόκιμον νοῦν, καὶ εἰς πάθη ἀτιμίας· » καὶ, « Ἐσκλήρυνε τὴν καρδίαν Φαραώ· » καὶ, « Ἐπλάνησας ἡμᾶς, Κύριε, ἀπὸ τῆς ὁδοῦ σου, καὶ ἐσκλήρυνας τὰς καρδίας ἡμῶν· » καὶ, « Ἠπάτησας ἡμᾶς, Κύριε, καὶ

[61] Exod. xx, 5, 6. [62] Deut. xxiv, 16. [63] Ezech. xviii, 1-4. [64-69] Prov. v, 22. [70] Ezech. vii, 3. [71] Rom. i, 26, 28. [72] Exod. xiv, 28. [73] Isa. lxiii, 17. [74] Jerem. xx, 7.

ηπατήθημεν, » καὶ ὅσα τοιαῦτα, ἐφ' οἷς ἀκριβὴς διάνοια οὐ τὸ παρὰ τοῦ Θεοῦ τι τῶν ἀτόπων ἐγγίνεσθαι τῇ ἀνθρωπίνῃ φύσει συνίστησιν, ἀλλὰ κατηγορεῖ τὸ αὐτεξούσιον, ὅπερ ἀγαθὸν μέν ἐστι, καὶ Θεοῦ δῶρον δεδομένον τῇ φύσει, γέγονε δὲ διὰ τῆς ἀβουλίας ἡμῖν δύναμις τῆς πρὸς τὸ ἐναντίον ῥοπῆς. Τοιοῦτόν ἐστι καὶ τὸ, « Περισπασμὸν πονηρὸν ἔδωκεν ὁ Θεὸς τοῖς ἀνθρώποις, » διότι τὸ ἀγαθὸν τοῦ Θεοῦ δόμα, τουτέστιν ἡ αὐτεξούσιος κίνησις, τῇ διημαρτημένῃ τῶν ἀνθρώπων προαιρέσει ὄργανον εἰς ἁμαρτίαν καὶ περισπασμὸν τῆς ψυχῆς ἐγένετο, ἀπὸ τῶν ὑψηλῶν τε καὶ τιμίων πρὸς τὰς ἐμπαθεῖς τῆς ψυχῆς κινήσεις κατασπασθεῖσα.

A et quæ sunt hujusmodi, in quibus exactus et accuratus sensus non ostendit quod a Deo aliquid absurdi ingeneretur humanæ naturæ ; sed reprehendit liberum arbitrium, quod bonum quidem (et Dei dono) datum est naturæ ; per consilii autem egestatem, evasit nobis facultas propensionis ad contrarium. Tale est illud : « Distractionem malam dedit Deus hominibus [58] ; » propterea quod bonum Dei donum, nempe voluntarius liberi arbitrii motus aberranti hominum electioni factus est instrumentum ad peccatum, et distractionem animæ ; ut quæ a sublimibus et præclaris distracta sit ad patibiles motus animæ.

Τούτοις ἔοικε καὶ τὸ ὑπὸ τοῦ Ἡσαΐου καὶ Ἰωάννου τοῦ εὐαγγελιστοῦ εἰρημένον · « Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν · » καὶ ὑπὸ τοῦ Ἀποστόλου · « Ἐν οἷς, φησὶν, ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων. » Ἀλλὰ τοῦτο μὴ καθ' ὑπερβατόν ἐστι, νοεῖται δὲ οὕτως · Ἐν οἷς ὁ Θεὸς τῶν ἀπίστων τούτων τοῦ αἰῶνος τούτου τετύφλωκε τὰ νοήματα. Οἱ γὰρ μὴ πιστεύσαντες ἄνθρωποι τῷ Θεῷ, οὗτοι τυφλοῦνται, ἵνα μὴ συνιέντες καταφρονήσωσιν. « Ὁ γὰρ δοῦλος, φησὶ, ὁ γνοὺς τὸ θέλημα τοῦ Κυρίου, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς · ὁ δὲ μὴ γνοὺς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. » Φειδόμενος οὖν ὁ Θεὸς, τυφλοῖ τὸν νοῦν τῶν ἀπίστων, καὶ ὡς ἀγαθὸς καὶ τοῦτο λέγει · « Ἐὰν μὴ πιστεύσητε, οὐ μὴ συνῆτε. » Διότι φησὶν ὁ Δαυὶδ · « Οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται. » Πλὴν οὖν καὶ τοῖς ἀνθρωπίνοις πολλάκις κέχρηται λόγοις ἡ θεία Γραφὴ, ὡς μᾶλλον γνωριμωτέροις. Εἰώθασι γάρ τινες, μαθηταῖς καὶ οἰκέταις ἐγκαλοῦντες, λέγειν · Ἐτύφλωσεν ὁ Θεὸς τὴν καρδίαν σου. Τοιούτῳ τινὶ καὶ ἐνταῦθα χρησαμένη διὰ τῶν συνήθων λόγων, τῆς ἀνοίας αὐτῶν κατηγόρησεν.

312 His similo est illud quoque, quod dictum est ab Isaia et Joanne evangelista : « Cæcavit eorum B oculos, et obduravit cor eorum [59] ; » et illud Apostoli : « Deus hujus sæculi excæcavit sensus infidelium [61]. » Nam homines qui Deo non crediderunt, ii excæcantur, ne intelligentes despiciant. « Servus enim, inquit, qui cognovit, et non fecit, vapulabit multis ; qui autem non cognovit, fecit autem, vapulabit paucis [62]. » Parcens ergo Deus, excæcat mentes infidelium, et tanquam bonus. Et hoc dicit : « Si non credideritis, non intelligetis [60]. » Quamobrem dicit David : « Non cognoverunt, neque intellexerunt, in tenebris ambulant [60]. » Cæterum humanis sermonibus sæpe utitur Scriptura, ut qui sint notiores. Solent enim quidam dicere discipulis, et ministris eos reprehendentes : Obcæcavit Deus cor tuum. Hoc modo quo- C que loquendi hic usa, per verba consueta arguit eorum amentiam.

ΕΡΩΤΗΣΙΣ ΛΖ'.

Τί δήποτε διὰ σμικρὰν πλημμέλειαν πόρρωθεν ἰδεῖν ὁ Μωϋσῆς προσετάχθη τὴν γῆν, εἰσαγαγεῖν δὲ τὸν λαὸν ἐκωλύθη ;

ΑΠΟΚΡΙΣΙΣ.

Διδάσκει διὰ τοῦτο [b] ἡμᾶς ὁ Θεὸς, ὡς τοὺς ἐν ἀρετῇ τελείους τὴν ἀκρίβειαν ἀπαιτεῖ, καὶ τοῖς ἄλλοις ἀνθρώποις μεγάλα παρανομοῦσα μακροθυμῶν, τοῖς ἁγίοις ταύτης οὐ μεταδίδωσι τῆς συγγνώμης. D Τοῦτο καὶ σοφός τις ἔφη · « Ὁ μὲν γὰρ ἐλάχιστος συγγνωστός ἐστιν ἐλέους· δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται. » Καὶ ὁ Κύριος, « ὯΙ μὲν γάρ, φησὶν, ὀλίγον δοθήσεται, ὀλίγον καὶ ἀπαιτήσουσι παρ' αὐτοῦ · ᾧ δὲ πολὺ δοθήσεται, πολὺ καὶ ἀπαιτήσουσι παρ' αὐτοῦ. »

Τοῦ ἁγίου Βασιλείου ἐκ τῶν Ἀσκητικῶν.

Ὅταν ἴδωμεν Μωσέα τὸν τοῦ Θεοῦ θεράποντα τὸν μέγαν ἐκεῖνον, τὸν τοσαύτης μὲν καὶ τηλικαύτης

QUÆSTIO XXXVII.

Quare propter exiguum lapsum jussus fuit Moyses procul videre terram ; prohibitus est autem, ne populum introduceret ?

RESPONSIO.

Per hoc nos docet Deus quod ab iis qui sunt in virtute perfecti, Deus exigit exactam vitæ rationem, et in allos homines, qui magna admittunt scelera, lenis et clemens, sanctis non dat hanc veniam. Hoc etiam dixit quidam Sapiens : « Nam minimo quidem concedenda est misericordia ; potentes autem potenter examinabuntur [61]. » Et Dominus : « Nam cui, inquit, parum fuerit datum, parum ab eo exigetur ; cui autem multum, multum quoque exigetur ab eo [62] »

Ex Asceticis sancti Basilii.

Cum video Moysen illum Dei servum, illum, inquam, magnum, qui tali et tanto a Deo dignatus

[58] Eccle. I, 13. [59] Isai. VI, 10 ; Joan. XII, 40. [60] II Cor. IV, 4. [61] Luc. XII, 47, 48. [62] Matth. XIII, 14. [63] Psal. LXXXI, 5. [64] Sap. VI, 7. [65] Luc. XII, 48.

VARIÆ LECTIONES.

[b] τούτων.

est honore, et ab eo sæpe hoc accepit testimonium, ut audierit : « Novi te præter omnes, et invenisti gratiam coram me [63]; » illum cum videro, ad aquam contradictionis nullam aliam ob causam quam quod solum dixerit populo murmuranti, propter aquæ penuriam : « Num ex hac petra educam aquam [64]? » Propter hoc solum intentas sibi accepisse minas, non intraturum **313** in terram promissionis, quæ erat summa factarum Judæis promissionum; cum ergo video eum rogantem, et non impetrantem; cum video nullam propter tot recte et præclare gesta veniam assecutum, ob illud breve verbum : revera video quidem Dei, ut dicit Apostolus, severitatem [65]; revera autem illud verum esse credo : « Si justus vix servatur, impius et peccator ubi apparebit [66]? » Et quid hæc dico? Quando illam terribilem audiero Dei sententiam, quam pronuntiat in eum qui uno peccato se obstrinxit ex ignorantia, non possum non merito timere iræ magnitudinem. Scriptum est enim : « Anima si peccaverit, et fecerit ex omnibus mandatis Domini quæ oportet facere, et non cognovit, deliqueritque, et peccato se contaminaverit, feret arietem immaculatum ex ovibus, pretiumque pecuniæ ad sacerdotem; et expiabit sacerdos pro ipso, de ignorantia quam ignoravit, et ipse nesciebat, et peccavit coram Domino [67]. » Si ergo de iis quæ per ignorationem facta sunt, erat adeo inexorabile judicium, et pro expiatione ita necessarium sacrificium, ut etiam Job offerret pro suis filiis [68], quid dixerimus de iis quæ fiunt a scientibus?

QUÆSTIO XXXVIII.

Cur Deus non prohibuit Jephthe sacrificare filiam suam, ut Abraham filium?

RESPONSIO.

Quia non est imitatus Abrahæ pietatem; quod si fecisset, benevole utique accepisset sacrificium, etiamsi male vovisset. Nam si talem habuisset filiam qualem ille filium, potuisset accipere mercedem pietatis. Sed neque Deus hoc petiit, neque sceleratum hoc accipit sacrificium. Quid enim hoc voto potuit esse magis impium? Fieri enim poterat ut obvius esset ei canis primus, et equus, et asinus, et camelus, et quæcunque verisimile erat eum possidere, cum esset dominus tantæ multitudinis. Propterea neque pater erat dignus beneficio Abrahæ post illam incredulitatem, et de voto pœnitentiam, et vestium dilacerationem, et lamentationem; neque filia Isaaci vita, post impium luctum, et duorum mensium ejulatum : ut quæ judicarit hoc sacrificium esse quavis calamitate gravius. Hoc autem permisit Deus, eos qui tunc erant, et qui

ἀξιωθέντα παρὰ Θεοῦ τιμῆς, οὕτω δὲ πολλάκις ὑπ' αὐτοῦ μαρτυρηθέντα, ὡς ἀκοῦσαι· « Ἔγνων σε [c] παρὰ πάντας · καὶ χάριν εὕρηκας ἐνώπιόν μου · » τοῦτον ὅταν ἴδωμεν ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας, οὐδενὸς ἕνεκεν ἑτέρου, ἢ ἵνα μόνον τῷ λαῷ γογγύζοντι ἀπορίαν ὕδατος · « Μὴ ἐκ ταύτης τῆς πέτρας ἐξάγω ὑμῖν ὕδωρ; » τούτου μόνου ἕνεκεν εὐθὺς ἀπειλὴν δέχεται [d] εἰς τὴν γῆν ἐπαγγελίας οὐκ εἰσελεύσεσθαι, ἥτις ἦν τότε τῶν πρὸς Ἰουδαίους ἐπαγγελιῶν τὸ κεφάλαιον · ὅταν οὖν ἴδω τοῦτον παρακαλοῦντα, καὶ μὴ συγχωρούμενον, ὅταν ἴδω μηδὲ μιᾶς συγγνώμης, μετὰ τοσαῦτα [e] κατορθώματα, ἐπὶ τῷ βραχεῖ ἐκείνῳ ῥήματι καταξιούμενον · ὄντως μὲν ὁρῶ Θεοῦ ἀποτομίαν, κατὰ τὸν Ἀπόστολον · ὄντως δὲ ἐκεῖνο ἀληθὲς εἶναι πείθομαι, τὸ, « Εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; » « Καὶ τί ταῦτα λέγω; Ἐκείνης ὅταν ἀκούσω τῆς φοβερᾶς τοῦ Θεοῦ ἀποφάσεως, ἣν κατὰ τοῦ μίαν ἐντολὴν ἐν ἀγνοίᾳ παραβεβηκότος ἀποφαίνεται, οὐκ ἔχω, πῶς ἀξίως μὴ φοβηθῆναι τῆς ὀργῆς τὸ μέγεθος. Γέγραπται γάρ · « Ψυχὴ ἐὰν ἁμάρτῃ, καὶ ποιήσῃ ἀπὸ πασῶν τῶν ἐντολῶν Κυρίου, ὧν ποιεῖν δεῖ, καὶ οὐκ ἔγνω, καὶ πλημμελήσῃ, καὶ λάβῃ τὴν ἁμαρτίαν, καὶ οἴσῃ κριὸν ἄμωμον ἐκ τῶν προβάτων τιμῆς ἀργυρίου εἰς πλημμέλειαν πρὸς τὸν ἱερέα, καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ αὐτοῦ, περὶ τῆς ἀγνοίας αὐτοῦ, ἧς ἠγνόησε, καὶ αὐτὸς οὐκ ᾔδει, καὶ πλημμελήσῃ ἐναντίον Κυρίου. » Εἰ δὲ ἐπὶ τῶν κατὰ ἄγνοιαν οὕτως ἀπαραίτητον κρῖμα, καὶ ὑπὲρ τῆς καθάρσεως ἡ θυσία ἀναγκαία ἦν, ὡς καὶ Ἰὼβ περὶ τῶν υἱῶν αὐτοῦ προσφέρων, τί ἄν τις εἴποι περὶ τῶν ἐν γνώσει;

ΕΡΩΤΗΣΙΣ ΛΗ'.

Διὰ τί οὐκ ἐκώλυσεν ὁ Θεὸς τὸν Ἰεφθὰε θῦσαι τὴν θυγατέρα, ὡς καὶ τὸν Ἀβραάμ;

ΑΠΟΚΡΙΣΙΣ.

Διότι οὐκ ἐζήλωσε τοῦ Ἀβραὰμ τὴν εὐσέβειαν, καὶ ἐδέξατο πιστῶς τὴν θυσίαν, εἰ καὶ κακῶς ηὔξατο · ἦ [f] γὰρ ἂν καὶ τὴν θυγατέρα εἶχε, καθάπερ ἐκεῖνος τὸν υἱὸν [g], καὶ τῆς εὐσεβείας τὸν μισθὸν κομίσασθαι. Πλὴν οὔτε ὁ Θεὸς τοῦτο ᾔτησεν, οὐδὲ ἐδέξατο τὴν ἐναγῆ θυσίαν ἐκείνην. Τί γὰρ τῆς τοιαύτης εὐχῆς ἀσθενέστερον [h] γένοιτ' ἄν; Καὶ κύνα γὰρ ἐνῆν ἀπαντῆσαι πρῶτον, καὶ ἵππον, καὶ ὄνον, καὶ κάμηλον, καὶ ὅσα εἰκὸς ἦν κεκτῆσθαι, κρατοῦντα τοσούτου πλήθους. Διὰ τοῦτο οὔτε ὁ πατὴρ ἦν ἄξιος τῆς τοῦ Ἀβραὰμ εὐεργεσίας, μετὰ τὴν ἀπιστίαν ἐκείνην, καὶ μεταμέλειαν, καὶ τὸν διαῤῥηγμὸν τῶν ἱματίων, καὶ τὸν θρῆνον, οὔτε ἡ θυγάτηρ τῆς τοῦ Ἰσαὰκ ζωῆς, μετὰ τὸ ἀσεβὲς πένθος, καὶ τὸν ὀλοφυρμὸν τῶν δύο μηνῶν, ὡς πάσης τάχα συμφορᾶς χαλεπωτέραν εἶναι τὴν θυσίαν ταύτην κρίνασα. Συνεχώρησε δὲ τοῦτο ὁ Θεὸς παιδεύων τοὺς τότε καὶ

[63] Exod. xxxiii, 17. [64] Num. xx, 10. [65] Rom. xi, 22. [66] I Petr. iv, 18. [67] Levit. iv, 17-19. [68] Job i, 5.

VARIÆ LECTIONES.

[c] εὕρηκά σε. [d] δεχόμενον. [e] διὰ τοσαῦτα. [f] Locus corrup. forte legendum, εἰ [imo ἦ], ut legit int pres. [g] videtur deesse, καὶ ἠδυνήθη ἄν. [h] ἀσεβέστερον.

τοῦς ἐξῆς, ἀσφαλῶς μὲν εὔχεσθαι τῷ Θεῷ καὶ πρεπόντως, ἀμελλητὶ δὲ καὶ μετὰ πίστεως καὶ χαρᾶς πληροῦν τὰς ἐπαγγελίας. Ἐνίκησε δὲ ὁ Ἰεφθάε, οὐ διὰ τὴν εὐχήν, ἀλλὰ διὰ τὴν τοῦ Θεοῦ δικαιοκρισίαν. Οὐ γὰρ ἔδει εὐχῆς ἕνεκεν κακῶς γινομένης ἀφανίσαι τὸν Ἰσραήλ.

A postea futuri erant, erudiens, considerate quidem Deo vovere, et ut convenit; citra moram autem, et cum fide et gaudio implere promissum. Victoriam **314** vero obtinuit Jephthe, non propter votum, sed propter justum Dei judicium. Non enim propter votum male factum oportebat delere Israelem.

ΕΡΩΤΗΣΙΣ ΛΘ΄ (31*).

Πῶς νοητέον τὰ κατὰ τὴν ἐγγαστρίμυθον;

ΑΠΟΚΡΙΣΙΣ.

Τινές φασιν, ἀληθῶς ἀνενηνοχέναι τὸν Σαμουήλ· τινὲς δὲ τοῦτον τὸν λόγον ἀνατρέψαντες, δαίμονα δέ τινα λαοπλάνον ἔφασαν δεῖξαι τὸ σχῆμα τοῦ Σαμουήλ, καὶ εἰπεῖν, ἃ πολλάκις ἀκήκοε, τοῦ Σαμουὴλ εἰρηκότος, ἀγνοῆσαι δὲ τὸν χρόνον τῆς τοῦ Σαοὺλ τελευτῆς. B Ἐγὼ δὲ τὸ μὲν πρῶτον ἀνόσιον ἡγοῦμαι. Οὐ πείθομαι γὰρ τὰς νεκύας οὐδὲ τὴν τυχοῦσαν ἄγειν ψυχὴν, μήτοιγε προφήτου, καὶ τοσούτου προφήτου. Δῆλον γὰρ, ὡς ἐν ἄλλῳ τινὶ χωρίῳ διάγουσιν αἱ ψυχαὶ, προσμένουσαι τὴν τῶν σωμάτων ἀνάστασιν (32). Τοιγαροῦν κομιδῇ δυσσεβὲς τὸ πιστεύειν, τοσαύτην ἔχειν τὰς ἐγγαστριμύθους τὴν ἰσχύν. Τὸ δέ γε δεύτερον ἀγνοίας μᾶλλον, ἢ δυσσεβείας ἐστίν. Τὸν γὰρ ἀνάξιον ἐκεῖνον πειραθέντες ἀνατρέψαι λόγον, ψευδῆ τὴν [γε]γενημένην ὑπέλαβον πρόῤῥησιν, καὶ τούτου χάριν τοῖς τοῦ ψεύδους αὐτὴν διδασκάλοις ἀνέθηκαν δαίμοσιν. Ἀλλ' ἀκουέτωσαν τῆς *Παραλειπομένων* λεγούσης οὕτως· « Καὶ ἀπέθανεν Σαοὺλ ἐν ταῖς ἀνομίαις αὐτοῦ, αἷς ἠνόμησε, κατὰ τὸν λόγον Κυρίου, διὸ οὐκ ἐφύλαξεν αὐτὸν τὸ, ἐπηρώτησε [i] Σαοὺλ ἐν τῇ ἐγγαστριμύθῳ, καὶ ἀπ- C εκρίνατο Σαμουὴλ ὁ προφήτης· καὶ οὐκ ἐξεζήτησε Κύριον, καὶ ἀπέκτεινεν αὐτόν. » Δῆλον τοίνυν ἐντεῦθεν, ὡς αὐτὸς ὁ Θεὸς σχηματίσας, ὡς ἠθέλησε, τὸ εἶδος τοῦ Σαμουὴλ, ἐξενήνοχε τὴν ἀπόφασιν· οὐ τῆς ἐγγαστριμύθου τοῦτο δράσαι δυνηθείσης, ἀλλὰ τοῦ Θεοῦ, καὶ διὰ τῶν ἐναντίων ἐξενέγκαντος τὴν ψῆφον. Ἀκούομεν γὰρ αὐτοῦ λέγοντος· « Κἂν ἐπέλθῃς πρὸς τὸν ψευδοπροφήτην, ἐγὼ Κύριος ἀποκριθήσομαι αὐτῷ. » Καὶ γὰρ διὰ τοῦ δυσσεβοῦς μάντεως Βαλαὰμ εὐλόγησε τὸν λαὸν, καὶ τὰ ἐσόμενα προηγόρευσεν, οὐ τοῦ μιαροῦ πνεύματος φθεγξαμένου, ἀλλὰ τοῦ θείου Πνεύματος ἐνεργήσαντος.

Ἐπειδὴ δέ τινες ψευδῆ τὴν πρόῤῥησιν ὑπειλήφασιν, ἀναγκαῖον καὶ περὶ τούτου βραχέα διεξελθεῖν. Προεῖπε δὲ ὁ συγγραφεὺς, ὅτι « Ἐν ταῖς ἡμέραις ἐκείναις συναθροίσουσιν [k] οἱ ἀλλόφυλοι τὰς παρεμβολὰς αὐτῶν τοῦ ἐξελθεῖν εἰς πόλεμον ἐπὶ τὸν Ἰσραήλ. [Καὶ ἐξέρχονται, καὶ παρεμβάλλουσιν εἰς Ὠμάν [l]. Καὶ συναθροίζει Σαοὺλ πάντα ἄνδρα Ἰσραήλ,] καὶ παρεμβάλλουσιν εἰς Γελβούε. Καὶ D

QUÆSTIO XXXIX.

Quomodo est intelligendum illud de ventriloqua [69]?

RESPONSIO.

Quidam dicunt, vere excitatum esse Samuelem (31*). Quidam, hoc refellentes, dicunt aliquem populi deceptorem dæmonem ostendisse Samuelis figuram, et dixisse quæ sæpe audierat dicentem Samuelem; ignorasse autem tempus mortis Saulis. Ego primum existimo impium. Non credo enim necromanticos etiam vulgarem animam evocare posse, nedum prophetæ, et tanti prophetæ. Est enim perspicuum quod in quodam alio loco degunt animæ, exspectantes resurrectionem corporum. Est ergo valde impium credere pythonissam tantam habere virtutem. Secundum autem est ignorationis magis quam impietatis. Illam enim impiam conantes evertere orationem, existimaverunt falsam esse prædictionem, et ideo eam attribuerunt dæmonibus, magistris mendacii. Sed audiant librum qui inscribitur *Paralipomenon*, qui dicit : « Et mortuus est Saul in iniquitatibus quibus inique egit contra Dominum, secundum verbum Domini; propterea quod non observavit ipsum, et quod Saul interrogavit in pythonissa, ut exquireret; et respondit ei Samuel propheta, et non exquisivit Dominum, et occidit ipsum [70]. » Hinc perspicuum est, quod Deus, efformata prout libuit Samuelis forma, protulit sententiam; cum hoc non potuerit facere pythonissa; sed Deus, qui etiam per adversarios sententiam pronuntiavit. Nam audimus ipsum dicentem : « Etiamsi abieris ad pseudoprophetam, ego Dominus respondebo ei [71]. » Etenim per impium quoque vatem Balaam benedixit populo, et futura prædixit, non scelerato loquente spiritu, sed Spiritu Dei operante [72].

Quoniam vero existimaverunt quidam falsam fuisse prædictionem, necesse est de ea breviter disserere. Prius autem dixit scriptor : « In diebus illis congregant alienigenæ castra sua, ut exeant ad bellum adversus Israel; et exeunt, et castra metantur in Somam. Et vidit Saul castra alienigenarum, et congregat Saul omnem virum Israel, et castrametatur in Gelboe. Et vidit Saul castra alienigena-

[69] I Reg. XXVIII. [70] I Paral. X, 13, 14. [71] I Reg. XXVIII, 6. [72] Num. XXIV.

VARIÆ LECTIONES.

[i] **Biblia Graeca** : διότι οὐκ ἐφύλαξεν, ὅτι ἐπηρώτησε, etc. [k] συναθροίζουσι. [l] LXX. Σωνάμ.

NOTÆ.

(31*) De hac quæstione lege card. Bellarm. lib. II *De purgatorio*, c. 6. Minus enim recte hic noster auctor scribit. De animabus separatis vide card. Bellarm. lib. I *De beatitudine sanctorum*.

(32) *Δῆλον γὰρ ὡς ἐν ἄλλῳ τινὶ χωρίῳ διάγουσιν αἱ ψυχαὶ προσμένουσαι τὴν τῶν σωμάτων ἀνάστασιν.* Contrarium deinde a sacris conciliis definitum (ALEMANN.).

rum, et obstupuit **315** cor ejus valde. Consuluitque Saul Dominum, et non respondit ei Dominus neque per somnia, neque per manifestationes, neque per prophetas [73]. » Manifestationes appellavit responsa quæ dantur per Ephod (33). « Et dixit Saul pueris suis : Quærite mihi mulierem pythonissam [74]. » Est ergo perspicuum quod, cum Hebræi et alienigenæ castrametati essent, quæsivit Saul pythonissam; vidit enim castra alienigenarum, et timuit valde. Cum autem accessisset ad pythonissam, et alicunde accepisset responsum, statim concidit; cum neque noctu comedisset, quando clam relictis castris accessit sciscitaturus pythonissam, neque illo toto die. Cœnavit autem rogatus a muliere, et cum tota nocte iter fecisset, venit ad exercitum. Dicit enim : « Et illa tulit coram Saule, et coram pueris ejus, et comederunt, et surgentes abierunt illa nocte [75]. » Deinde orta luce commissum est prælium. Fuit ergo vera prædictio, quæ dixit : « Cras te, et Jonathan, filium tuum tecum, et castra Israel dabit Dominus in manus alienigenarum [76]. » Eorum autem nihil prædixit Samuel, cum adhuc esset superstes, sed solam regni ablationem denuntiavit. Jonathæ nullam fecit mentionem. At hic et Jonathæ et Saulis prædixit exitium, et populi stragem, et alienigenarum victoriam. Vera ergo fuit prædictio; erat enim divina; neque, ut opinor, facta fuit a Samuele. Nam illa quidem dixit figuram quam conspexit; Saul autem ex figura conjecit esse Samuelem. Historia vero id quod visum est nominavit Samuelem, propterea quod ille eum quæsierit et crediderit. Quemadmodum Scriptura angelos qui Abrahamo apparuerunt, eorumque præcipuum viros nominavit, quia eos tales esse arbitratus patriarcha, apposuit mensam; et qui non sunt dii, Scriptura deos appellat : ita hic quoque, qui visus fuit in figura Samuelis (sive angelum, sive spectrum ostendens figuram Samuelis), nominavit Samuelem, ut fideliter accepta sententia mortis suæ, gemens e vita excederet.

εἶδε Σαοὺλ τὴν παρεμβολὴν τῶν ἀλλοφύλων, καὶ ἐξέστη ἡ καρδία αὐτοῦ σφόδρα. Καὶ ἐπηρώτησε Σαοὺλ διὰ τοῦ Κυρίου, καὶ οὐκ ἀπεκρίθη αὐτῷ Κύριος ἐν τοῖς ἐνυπνίοις, καὶ ἐν τοῖς δήλοις, καὶ ἐν τοῖς προφήταις. » Δήλους δὲ ἐκάλεσε τὰ διὰ τοῦ Ἐφὼδ σημαινόμενα. « Καὶ εἶπε Σαοὺλ τοῖς παισίν· Ζητήσατέ μοι γυναῖκα ἐγγαστρίμυθον. » Δῆλον τοίνυν, ὡς τῶν Ἑβραίων καὶ τῶν ἀλλοφύλων ἐστρατοπεδευκότων, ἐπεζήτησε τὴν ἐγγαστρίμυθον Σαούλ. Εἶδε γὰρ τὴν παρεμβολὴν τῶν ἀλλοφύλων, καὶ ἐφοβήθη [m] σφόδρα. Ἀπελθὼν δὲ πρὸς ἐγγαστρίμυθον, καὶ ἔωθεν [n] δεξάμενος τὴν ἀπόφασιν, συνέπεσε παραυτίκα, οὔτε νύκτωρ φαγὼν, ἡνίκα λάθρα καταλιπὼν τὸ στρατόπεδον, πρὸς τὴν ἐγγαστρίμυθον πευσόμενος [o] παρεγένετο, οὔτε διὰ πάσης τῆς ἡμέρας ἐκείνης. Δεξάμενος δὲ τῆς γυναικὸς τὴν παράκλησιν, ἐδείπνησε, καὶ διανυκτερεύσας, κατέλαβε τὴν παράταξιν. Φησὶ γάρ· « Καὶ προσήνεγκεν ἐνώπιον Σαοὺλ, καὶ ἐνώπιον τῶν παίδων αὐτοῦ, καὶ ἔφαγον· καὶ ἀναστάντες ἀπῆλθον τὴν νύκτα ἐκείνην. » Εἶτα τοῦ φωτὸς ἀνίσχοντος, γέγονεν ἡ παράταξις. Ἀληθὴς γὰρ τοίνυν ἡ πρόρρησις, ὅτι « Αὔριον σὺ, καὶ Ἰωνάθαν τὸν υἱόν σου μετὰ σοῦ, καὶ τὴν παρεμβολὴν Ἰσραὴλ δώσει Κύριος εἰς χεῖρας ἀλλοφύλων. » Τούτων δὲ οὐδὲν ἔτι περιὼν ὁ Σαμουὴλ προεῖρηκε, ἀλλὰ μόνον τῆς βασιλείας τὴν στέρησιν· τοῦ δὲ Ἰωνάθαν οὐδεμίαν ἐποιήσατο μνήμην. Ἐνταῦθα δὲ καὶ τοῦ Ἰωνάθαν καὶ τοῦ Σαοὺλ προεῖπε τὸν ὄλεθρον, καὶ τοῦ λαοῦ τὴν ἧτταν, καὶ τῶν ἀλλοφύλων τὴν νίκην. Ἀληθὴς τοιγαροῦν ἡ πρόρρησις· θεία γὰρ ἦν, ἀλλ' οὐ τοῦ Σαμουὴλ, ὡς οἶμαι [p], γεγενημένη. Ἐκείνη μὲν γὰρ εἴρηκεν, ὃ ἐθεάσατο σχῆμα, ὁ δὲ Σαοὺλ ἐκ τοῦ σχήματος ἐτόπασεν εἶναι τὸν Σαμουήλ· ἡ δὲ ἱστορία τὸ ὀφθὲν Σαμουὴλ ὀνομάζει διὰ τὸ οὕτως ἐκεῖνον τοῦτο ζητῆσαι καὶ πεπιστευκέναι. Ὥσπερ γὰρ τοὺς ὀφθέντας τῷ Ἀβραὰμ ἀγγέλους, καὶ τὸν ἐκείνου [q] δεσπότην, ἄνδρας ὠνόμασεν, ἐπειδὴ τοῦτο νενομικὼς ὁ πατριάρχης, παρέθηκε τράπεζαν, καὶ τοὺς οὐκ ὄντας θεοὺς ὠνόμασε θεοὺς καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς, οὕτω κἀνταῦθα τὸν ὀφθέντα [r] ἐν σχήματι τοῦ Σαμουὴλ, εἴτε ἄγγελον, εἴτε φάντασμα τοῦ Σαμουὴλ τὸ σχῆμα δεικνύων, ὠνόμασε Σαοὺλ, ἵνα πιστῶς δεξάμενος τὴν ἀπόφασιν στένων ἐξέλθῃ τὸν βίον.

Ex Cyrillo, de adoratione in spiritu.

Nugæ ergo sunt, et gravis amentia, putare prophetæ animam exsecrandæ mulierculæ incantationibus revera fuisse attractam. Audivi autem quod verbis quibusdam arcanis dæmonia pellicientes, et aquam incantantes, spectra et umbras, et tanquam in speculis formas quasdam aspiciunt, forte dæmonum, qui ingeniose **316** subeunt, et induunt eorum figuram qui putantur evocari. Irritantibus porro et mœrentibus revelat futura Deus, per quos minime

Κυριλλου περὶ τῆς ἐν πνεύματι λατρείας.

Λῆρος οὖν καὶ ἀποπληξία δεινὴ τὸ κατὰ ἀλήθειαν οἴεσθαι τὴν τοῦ προφήτου ψυχὴν ψυχραῖς ἐπῳδαῖς γυναίου μυσαρωτάτου καθελκυσθῆναι. [Ἐπυθόμην] δὲ ὅτι λόγοις τισὶν ἀπορρήτοις καταγοητεύοντες δαιμόνια, καὶ ὕδατα [s] κατεπᾴδοντες, εἴδωλά τε καὶ σκιὰς, ὡς ἐν ἐσόπτρῳ, σκιᾶς [t] καὶ μορφὰς καταθεῶνταί τινας, τάχα που τῶν δαιμόνων ὑπαλλαττομένων ἀστείως, τὰ τῶν λεγομένων ἀνακομίζεσθαι σχήματα. Τοῖς γε μὴν παροτρύνουσι, καὶ κατὰ λύπην [u]

[73] I Reg. XXVIII, 4-6. [74] ibid. 7. [75] ibid. 25. [76] ibid. 19.

VARIÆ LECTIONES.

[m] ἐταράχθη [n] C. V. πόθεν. Et ita legisse videtur interpres. [o] σπευσάμενος. [p] οὐδὲ τοῦ Σαμουὴλ, ὡς οἶμαι. [q] Interpr. legit. ἐκείνων. [r] τοῦ ὀφθέντος. [s] ὕδατι. [t] videtur redundare. [u] L. παροξύνουσι καὶ καταλυπεῖν.

NOTÆ.

(33) Imo per Urim et Thummim. Nam Urim vertunt Græci τὰ δῆλα, seu δηλώσεις.

εἰωθόσιν, [ἀποκαλύπτει Θεὸς,] καὶ δι' ὧν ἥκιστα χρή. Ἔσθ' ὅτε τὰ λεγόμενα [x] ἀποκαλύπτει Θεὸς, ἐνηχοῦντο [y] κατὰ τὸ εἰκὸς ἁγίων ἀγγέλων εἰς ἀνθρώπινον νοῦν.

convenit. Est cum futura revelat Deus per angelos rei futuræ imaginem menti hominis ostendentes.

ΕΡΩΤΗΣΙΣ Μ'.

Τί ἦν τὸ ἐφοὺδ, δι' οὗ ἐπηρώτα ὁ ἱερεὺς τὸν Θεόν;

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ μὲν ὄνομα αὐτοῦ ἑρμηνευόμενον, δήλωσιν ἢ λύτρωσιν σημαίνει, τὸ δὲ εἶδος αὐτοῦ σπιθαμιαῖον ὕφασμα ἦν, δίκην περιστηθίου ἐκ χρυσονήμου καὶ τέχνης ποικίλης πεποιημένον. Καὶ ἐν μὲν τῷ μέσῳ εἶχεν ὥσπερ ἀστέρα ὁλόχρυσον, ἑκατέρωθεν (δὲ αὐτοῦ) δύο σμαράγδους, ἔχοντας ἀνὰ ἓξ γεγραμμένας τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ, ἐν δὲ τῷ μεταξὺ τῶν δύο σμαράγδων λίθον ἀδάμαντα. Ἡνίκα γοῦν ἐμελλεν ἐρωτᾷν ὁ ἱερεὺς τὸν Θεὸν περί τινος κεφαλαίου, ἐδέσμει αὐτὸ ἐν τῇ ἐπωμίδι, κατὰ μέσον τοῦ στέρνου, καὶ ὑπετίθει τὰς χεῖρας αὐτοῦ ὑποκάτωθεν, καὶ ηὐρίσκετο ἐξηπλωμένον ἐν ταῖς παλάμαις αὐτοῦ, ὥσπερ πυξίον, καὶ ἀποβλέπων εἰς τὸ ἐφοὺδ, ἠρώτα τὸν Θεὸν τὸ ἐρώτημα. Καὶ εἰ μὲν εὐάρεστον ἦν τῷ Θεῷ τὸ ἐρώτημα, εὐθέως ἤστραπτεν ὁ ἀδάμας λίθος, καὶ ἐφεγγοβόλει, ἀκτῖνας ἐκπέμπων· εἰ δὲ οὐκ ἦν εὐάρεστον, ἔμενεν ἐν τῇ ἰδίᾳ τάξει ὁ λίθος. Εἰ δὲ ἔμελλεν ὁ Θεὸς εἰς μάχαιραν παραδιδόναι τὸν λαὸν, ἐγίνετο αἱματώδης· εἰ δὲ θανατικὸν ἐπιέναι ἔμελλεν, ἐγίνετο μέλας.

QUÆSTIO XL.

Quid erat ephod, per quod sacerdos Deum interrogabat?

RESPONSIO.

Ipsum quidem nomen, interpretatum, manifestationem significat, aut solutionem seu liberationem. Ejus autem forma erat unius palmi textura, instar pectoralis, ex filo aureo et varia arte confecto. In medio habebat velut auream stellam; ex utraque ejus parte duos smaragdos, quibus erant inscriptæ duodecim tribus Israel: in medio duorum smaragdorum adamantem. Quando ergo sacerdos consulturus erat Deum de aliquo capite, alligabat ipsum in superhumerali, in medio pectoris (34), et supponebat manus suas, et expandebatur in palmis ejus tanquam pixidula. Et aspiciens ad ephod Deum consulebat. [Si quæstio Deo grata esset], statim fulgurabat adamas, et lucem ejaculantes emittebat radios. Si autem Deo non placebat, manebat lapis in suo ordine. Si autem erat populum gladio traditurus, fiebat sanguinolentus. Sin autem mortiferum quidpiam erat eventurum, fiebat niger [77].

Τοῦ Χρυσοστόμου εἰς τὸ ἔνδυμα τοῦ ἱερέως.

Ἐνεδιδύσκετο δὲ ὁ ἀρχιερεὺς ἐπὶ τοῦ παλαιοῦ, εἰς τὰ Ἅγια τῶν ἁγίων εἰσιὼν, ποδήρη, τουτέστιν ἱμάτιον ἀπὸ κεφαλῆς μέχρι ποδῶν ἀπεωρημένον [y*], καὶ ἐπωμίδα, ἕτερον ἐπενδύτην μέχρι μόνων τῶν μηρῶν κατερχόμενον, καὶ περισκελῆ, καὶ τὸ λεγόμενον λῶμα ὑπὸ τὸ κράσπεδον, καὶ ἄνθη ῥοᾶς, καὶ ῥοΐσκους, καὶ κώδωνας. Ἐπὶ δὲ τὴν κεφαλὴν ἐφόρει τιάραν, τουτέστι, κορυβάντιον, καὶ πέταλον χρυσοῦν, ἐν ᾧ ἐκτετύπωτο γραμμαῖς τὸ τοῦ Θεοῦ ὄνομα, ἐπὶ δὲ τῶν ὤμων δύο σμαράγδους, ἔχοντας ἓξ φυλὰς ἐντεῦθεν, καὶ τὰς ἓξ φυλὰς ἐντεῦθεν· ἐπὶ δὲ τοῦ στήθους τὸ λογεῖον [z], ἐκκεκολαμμένους ἔχον τοὺς δώδεκα λίθους.

Ex Chrysostomo in indumentum sacerdotis.

Induebatur olim summus pontifex, intrans in Sancta sanctorum, veste talari, quæ a capite descendebat usque ad pedes; et superhumerali, quod erat alterum indumentum descendens usque ad femora solum, et tibialibus, et ornamento, quod λῶμα dicitur sub fimbria, ubi erant flores et mala mali punici. In capite gestabat tiaram seu mitram, et laminam auream in qua Dei nomen expressum erat. In humeris habebat duos smaragdos; in quibus videlicet hinc sex tribus, et illinc sex; in pectore, rationale, quod exsculptos habebat duodecim lapides [78].

Καὶ ἔστιν ἰδεῖν ἄλλα μὲν τὰ σχήματα, ἄλλα δὲ τὰ νοήματα. Οὐ γὰρ πάντως ὁ Θεὸς ἀναπαύεται ὑακίνθῳ καὶ πορφύρᾳ, ἀλλ' ἐν τοῖς σωματικοῖς ἄνθεσι διαγράφει τῶν ἀρετῶν τὴν εἰκόνα. Εἰ γὰρ ἀληθῶς ταῖς ἐνδόξοις στολαῖς ἐκείναις ἀνεπαύετο, διατί πρὸ τοῦ Ἀαρὼν τὸν Μωϋσῆν οὐκ ἐνέδυσεν; Ἀλλ' ἦν Μωϋσῆς καὶ γεγυμνωμένος τῆς ἐσθῆτος ἐκείνης, καὶ ἐνδύων αὐτὴν τοὺς ἱερεῖς. Μωϋσῆς γὰρ οὐκ ἐλούσθη [a] ὕδατι, καὶ ἔλουεν, οὐκ ἐχρίσθη ἐλαίῳ, καὶ ἔχριεν, οὐκ ἐφόρεσεν ἱμάτιον ἱερατικὸν,

Verum hic aliud quiddam est figura externa, et aliud mysticus intellectus. Non enim **317** Deus quiescit in hyacintho et purpura; sed in corporeis floribus describit virtutum imaginem. Nam si vere quiescebat in gloriosis illis vestibus, cur iis ante Aaronem non induit Moysen? Sed erat quidem Moyses illa veste nudatus, ipse induens sacerdotes. Nam Moyses non fuit aqua lotus, sed lavit. Non fuit unctus oleo, sed unxit. Non gestavit vestem sacerdotalem, sed sacerdotes induit: ut discas, ei qui

[77] Exod. XXVIII. [78] ibid.

VARIÆ LECTIONES.

[x] ἐσόμενα. [y] ἐνηντουντων. [y*] ἀπαιωρούμενον. [z] τὸ λόγιον. [a] ἐλούθη.

NOTÆ.

(34) Confundit iste auctor ephod cum rationali, non recte, quia distinguuntur, Exodi XXV. Vide Servium. in cap. VIII Judicum.

est secundum Deum perfectus, ornamentum virtutis sufficere. In habitu igitur sacerdotis virtutes effingit et exprimit. Superne quidem in capite visitur nomen Dei; in pectore ratio; inferne flores et fructus

Ex sancto Epiphanio de duodecim lapidibus rationali pontificis insertis.

Lapis Sardius, cognomento Babylonius, est igneus et sanguineus. Nascitur in terra Babylonis apud Assyrios. Est perspicuus; vim habet medendi. Eo utuntur medici ad tumores, vibices plagasque ferro illatas, si illinatur.

Topazius est rubeus plus quam lapis carbunculus. Nascitur Pazi [Topazi], quæ est urbs Indiæ. Tritus in medico mortario, rubrum succum non emittit, cum tamen ruber sit, sed lacteum. Implet multos crateres, nempe quot vult is qui terit, neque pondere minuitur, neque circumferentia. Succus inde expressus conducit ad vitia oculorum curanda et ad hydromanias, si bibatur; medetur et his qui ex uva marina furore corripiuntur.

Smaragdus est viridis. In Indiæ montibus fodientes barbari eum secant. Ejus virtus eo servit, ut tanquam in speculo vultus aspiciatur.

Carbunculus est forma admodum puniceus. Nascitur Carthagine urbe Libyæ, quæ dicitur Africa. Dicunt eum inveniri non interdiu, sed noctu. Nam procul instar lampadis aut carbonis igniti scintillat ad horam et ad horam desinit. Quem talis naturæ esse cum non ignorent qui quærunt, ad ejus splendorem abeunt, et inveniunt. Cum gestatur, quibuscunque tectus sit vestibus, splendor ejus extra amictum apparet.

Sapphirus purpureum colorem præfert. Nascitur in India et Æthiopia. Tritus medetur tuberculis, si cum lacte illinatur locis ulceratis. Lex quæ Moysi **318** data est in monte, in sapphiro exarata fertur.

Jaspis est smaragdo similis. Invenitur in ostio fluvii Thermodontis, et apud Amathuntem in Cypro. Confert morbo comitiali curando.

Hyacinthus est subrutilus. Invenitur in interiore Scythiæ Barbaria. Scythiam soliti sunt vocare veteres omnem regionem borealem ubi sunt Gothi et Dani. Illic ergo intrinsecus in magnæ Scythiæ solitudine est barathrum seu fossa profundissima, hominibus inaccessa, et rupibus hinc et illinc circumdata adeo ut quis superne ex summis montibus tanquam ex mœnibus despiciens, non possit fossæ fundum aspicere, sed ex profunditate, velut chaos quoddam, obtenebratam esse : ubi degunt qui a propinquis regibus ad perpetuos carceres condem-

καὶ τοὺς ἱερεῖς ἐνέδυσεν, ἵνα μάθῃς, ὅτι τῶν κατὰ Θεὸν τελείων ἀρκεῖ ἡ ἀρετὴ πρὸς κόσμον. Ὥστε οὖν ἐν τῷ σχήματι τοῦ ἱερέως ἐξεικονίζει τὰς ἀρετάς. Ἄνω μὲν [b] ἐπὶ τῆς κεφαλῆς ὄνομα Θεοῦ, ἐπὶ δὲ τοῦ στήθους λόγος, καὶ κάτω ἄνθη καὶ καρποί.

[*Τοῦ ἁγίου Ἐπιφανίου περὶ τῶν ἐν τῷ λογίῳ τοῦ ἱερέως ἐμπεπηγμένων ιβ' λίθων.*]

Σάρδιον, τὸ Βαβυλώνιον καλούμενον, πυρωπὸς [c] μέν ἐστι καὶ αἱματώδης, γίνεται δὲ ἐν Βαβυλῶνι τῇ πρὸς Ἀσσυρίους γῇ. Διαυγὴς δέ ἐστι, δυνάμεως θεραπευτικῆς, ᾧ κέχρηνται οἱ ἰατροὶ πρὸς οἰδήματα [d] καὶ πληγὰς ἀπὸ σιδήρου γενομένας ἀποχριόμενοι [e].

Τοπάζιον ἐρυθρὸς μέν ἐστιν ὑπὲρ τὸν ἄνθρακα λίθον, γίνεται δὲ ἐν Τοπάζῃ πόλει τῆς Ἰνδικῆς. Τριβόμενος δὲ ἐν ἰατρικῇ ἀκόνῃ, οὐκ ἐρυθρὸν ἀποδίδωσι κατὰ τὸ χρῶμα χυμὸν, ἀλλὰ γαλακτώδη. Ἐμπίπλησι δὲ κρατῆρας καὶ πολλοὺς, ὅσους ἂν ἐθέλῃ ὁ ὑποτρίβων, καὶ οὔτε τῷ στάθμῳ, οὔτε τῇ περιφερείᾳ ἐλαττοῦται. Χρησιμεύει δὲ (ὁ τριβόμενος) ἐξ αὐτοῦ χυμὸς εἰς πάθη ὀφθαλμῶν, καὶ πρὸς τὰς ὑδρομανίας πινόμενος, καὶ τοῖς ἀπὸ σταφυλῆς θαλασσίας μαινομένοις.

Σμάραγδος χλωρὸς μέν ἐστιν, ἐν δὲ τοῖς ὄρεσι τοῖς Ἰνδικοῖς ὀρύγοντες οἱ βάρβαροι, κόπτουσιν αὐτόν. Ἡ δὲ δύναμις αὐτοῦ, εἰς τὸ ἐσοπτρίζεσθαι τὰ πρόσωπα.

Ἄνθραξ ὀξυφοινισσὸς μέν ἐστι τῷ εἴδει, γίνεται δὲ ἐν Καρχηδόνι τῆς Λιβύας, ἥτις Ἀφρικὴ λέγεται. Φασὶ δὲ αὐτὸν οὐκ ἐν ἡμέρᾳ, ἀλλ' ἐν νυκτὶ εὑρίσκεσθαι· πόῤῥωθεν γὰρ δίκης [f] λαμπάδος ἢ ἄνθρακος σπινθηρακίζων, ἐπὶ ὥραν καταπαύεται [g]. Ἐπιγνόντες δὲ οἱ τοῦτον ζητοῦντες, ὅτι οὗτός ἐστιν, ἀπέρχονται πρὸς τὴν αὐγὴν αὐτοῦ, καὶ εὑρίσκουσιν αὐτόν. Βασταζόμενος δὲ ὁποίοις ἂν ἱματίοις καταλυφθῇ [h], ἡ αὐγὴ αὐτοῦ ἔξω τῆς παρεμβολῆς φαίνει.

Σάπφειρος πορφυρίζων μέν ἐστι, γίνεται δὲ ἐν Αἰθιοπίᾳ καὶ Ἰνδίᾳ. Τριβόμενος δὲ, φύματα καὶ ψύδρας [i] ἰᾶται σὺν γάλακτι ἐπιχριόμενος τοῖς εἰκωμένοις τόποις. Καὶ ἡ ἐν τῷ ὄρει δὲ τῷ Μωϋσῇ δοθεῖσα νομοθεσία, ἐπὶ λίθῳ σαπφείρῳ λέγεται πεφηνέναι.

Ἴασπις σμαραγδίζων μεν ἐστιν, εὑρίσκεται δὲ παρὰ τὸ στόμα Μερμόδοντος [k] τοῦ ποταμοῦ, καὶ παρὰ Ἀμαθουντίῳ Κύπρου. Χρησιμεύει δὲ εἰς τὰς ἐπιλήψεις.

Ὑάκινθος ὑποπυρίζων μέν ἐστιν, εὑρίσκεται δὲ ἐν τῇ ἐσωτέρᾳ Βαρβαρίᾳ τῆς Σκυθίας [l]. Σκυθίαν δὲ εἰώθασι καλεῖν οἱ παλαιοὶ τὸ κλίμα ἅπαν τὸ βόρειον, ἔνθα εἰσὶν οἱ Γόθοι καὶ Δάνες [m]. Ἐκεῖ τοίνυν ἔνδον ἐν τῇ ἐρήμῳ τῆς μεγάλης Σκυθίας ἐστὶ φάραγξ λίαν βαθυτάτη, καὶ ἀνθρώποις ἄβατος, ὄρεσι πετρῶν ἐντεῦθεν καὶ ἐντεῦθεν περιστοιχισμένη, ὥστε ἄνωθεν ἀπ' ἄκρων τῶν ὀρέων παρακύψαντά τινα, ὡς ἀπὸ τειχῶν, μὴ δύνασθαι κατοπτεύειν τὸ βάθος τῆς φάραγγος, ἀλλ' ἀπὸ τοῦ βάθους ἐσκοτίσθαι ὥσπερ τι χάος· ἐν ᾗ οἱ ἀπεσταλμένοι ἀπὸ τῶν ἐκεῖσε πλη-

VARIÆ LECTIONES.

[b] ἄνωθεν. [c] πυῤῥωτός. [d] δήγματα. [e] ἐπιχριόμενοι. [f] δίκην. [g] καταπαυόμενος. [h] καλυφθῇ. [i] ψώδρακος. [k] Θερμοδόντος. [l] Συρίας. [m] Δαῦνες.

σιαζόντων βασιλέων, κατάδικοί εἰσι καὶ βιαζόμενοι. Θύσαντες δὲ ἀρνοὺς [n] καὶ ἐκδείραντες ῥίπτουσιν ἄνωθεν ἀπὸ τῶν πετρῶν εἰς τὸ χάος τῆς φάραγγος, καὶ κολλῶσιν οἱ λίθοι ἐν τοῖς κρέασιν ἐκείνοις. Ἀετοὶ οὖν ἐν ταῖς πέτραις ἄνωθεν κατοικοῦντες, πρὸς τὴν ὀσμὴν τῶν κρεῶν κατέρχονται, καὶ ἀναφέρουσι τοὺς ἀρνοὺς ἔχοντας τοὺς λίθους. Ἐν δὲ τῷ ἐσθίειν τὰ κρέα οἱ λίθοι μένουσιν ἐν τῇ ἀκρωρείᾳ τῶν ὀρέων. Οἱ δὲ κατάδικοι σκοπήσαντες, ποῦ ἀνῆχθησαν ὑπὸ τῶν ἀετῶν τὰ κρέα, ἀπέρχονται, καὶ οὕτω φέρουσι τοὺς λίθους. Ἔχουσι δὲ ἐνέργειαν τοιάνδε· βαλλόμενοι γὰρ ἐπ' ἀνθράκων πυρὸς, αὐτοὶ μὲν οὐ βλάπτονται, τοὺς δὲ ἄνθρακας κατασβεννύουσιν. Οὐ μόνον δέ τοῦτο, ἀλλὰ καὶ λαμβάνων τις τὸν λίθον, καὶ περιειλίσας ἐν ὀθόνῃ, τινὶ ἐπιθεὶς ἐπ' ἄνθρακας, κρατῶν αὐτὸν μὲν ἀπὸ τῆς πυρᾶς φλογίζεται, ἡ δὲ ὀθόνη ἀβλαβὴς μένει. Λέγεται δὲ καὶ ταῖς τικτούσαις γυναιξὶν εὐτοκίας χάριν χρησιμεύειν.

Ἀχάτης ὑποκυανίζων μέν ἐστιν, εὑρίσκεται δὲ καὶ οὗτος περὶ τὰς Σκυθίας χώρας ἐκείνας. Τριβόμενος δὲ ἐπὶ τῷ μετώπῳ, δήγματος ἀποτρέπει πόνον σκορπίων τε καὶ ἐχιδνῶν.

Ἀμέθυσος [o] φλογίζων μέν ἐστι βαθέως, ἐν δὲ τοῖς ὄρεσιν εὑρίσκεται Διβύης πρὸς ταῖς ὄχθαις τῆς θαλάσσης.

Χρυσόλιθος χρυσίζων μέν ἐστιν, εὑρίσκεται δὲ ἐν τῇ Ἀφραλτιδι [p] πέτρᾳ, παρὰ τὸ [q] χεῖλος τῆς Ἀχεμενίδος Βαβυλῶνος. Τὴν γὰρ Βαβυλῶνα καὶ τὸ φρέαρ ἐκεῖνο τῆς πέτρας Ἀχεμενίδα καλοῦσι. Τριβόμενος δὲ, στοχαστικοῖς [r] (καὶ κωλικοῖς) καὶ κοιλιακοῖς ἰατρικὸς ὑπάρχει.

Βηρύλλιον γλαυκίζων μέν ἐστι, γίνεται δὲ παρὰ τὰ σπέρματα [s] τοῦ ὄρους τοῦ καλουμένου Ταύρου.

Ὀνύχιον ξανθὸν μέν ἐστιν, εὑρίσκεται δὲ καὶ οὗτος ἐν τῷ αὐτῷ ὄρει.

(*Θεοδωρήτου ἐπισκόπου Κύρου, εἰς τὸ ῥητὸν τῆς Ἐξόδου, « Ὀνομά μου Κύριος, καὶ οὐκ ἐδήλωσα αὐτοῖς. »*)

Διδάσκει, πόσης αὐτὸν τιμῆς καὶ εὐμενείας ἠξιώσεν. Ὃ γὰρ τοῖς πατριάρχαις οὐκ ἐδήλωσεν ὄνομα, τοῦτο τῷ Μωσῇ δῆλον ἐποίησεν· ἔφη γὰρ πρὸς αὐτόν· « Ἐγώ εἰμι ὁ ὤν. » Τοῦτο δὲ παρ' Ἑβραίοις ἄφραστον μὲν ὀνομάζεται· ἀπείρηται γὰρ παρ' αὐτοῖς τοῦτο διὰ γλώσσης προφέρειν. Γράφεται δὲ διὰ τῶν τεσσάρων στοιχείων, ὅθεν καὶ τετράγραμμον [t] αὐτὸ λέγουσι. Τοῦτο δὲ καὶ ἐπὶ τῷ πετάλῳ ἐγέγραπτο τῷ χρυσῷ, ὃ τῷ μετώπῳ τοῦ ἀρχιερέως ἐπετίθετο, τῇ ταινίᾳ τῆς κεφαλῆς προσδεσμούμενον. Καλοῦσι δὲ αὐτὸ Σαμαρεῖται μὲν Ἰαβὲς [u], Ἰουδαῖοι δὲ Ἰαά.

ΕΡΩΤΗΣΙΣ ΜΑ'.

Πῶς νοητέον τό, « Ἐλάλησεν ὁ Σολομὼν περὶ τῶν ξύλων ἀπὸ τῆς κέδρου ἕως τῆς ὑσσώπου τῆς ἐν τῷ τοίχῳ; »

ΑΠΟΚΡΙΣΙΣ.

Καὶ τὰς φύσεις, καὶ τὰς δυνάμεις τῶν βοτανῶν,

nati sunt. Cum autem agnos sacrificaverint et excoriaverint, eos dejiciunt ex rupibus in chaos fossæ : quibus carnibus agglutinantur lapides. Aquilæ vero superne in rupibus habitantes, descendunt ad odorem carnium, et sursum ferunt agnos habentes lapides. Dum carnes comedunt, lapides manent in vertice montis. Cum porro damnati illi intuentur, quo ab aquilis carnes elatæ sunt, illuc eunt, et lapides auferunt qui habent hanc efficaciam : si jaciantur super carbones ignis, ipsi quidem non læduntur, carbones autem exstinguunt. Nec hoc solum; sed etiam si quis capiat lapidem, et involvat in aliquo linteo, et ponat super carbones; ipse quidem qui tenet, ab ignis calore in manu uritur; linteum autem omnino manet illæsum. Dicitur etiam parturientibus facilem partum conciliare.

Achates est subcærulei coloris. Invenitur is quoque in illis Scythiæ regionibus. Si teratur super frontem, avertit dolorem morsus scorpionum et viperarum.

Amethystus flammeus est profunde. Invenitur in montibus Libyæ in littore maris.

Chrysolithus est auro similis. Invenitur in rupe Phrealide ad os Achemenidis Babylonis. Babylonem enim, et illum rupis puteum appellant Achemenidem. Si teratur, medetur iis qui stomachi et ventris dolore laborant.

319 Beryllum est glauci coloris. Nascitur in summitatibus montis qui dicitur Taurus.

Onychinus est fulvus. Invenitur in eodem monte.

Ex Theodoreto episcopo (Cyri) *in illud Exodi : « Nomen meum non indicavi eis* [79].

Docet, quanto honore eum affecerit, et quanta fuerit in eum benevolentia. Quod enim nomen non indicavit patriarchis, hoc Moysi manifestavit. Ei enim dixit : « Ego sum qui sum [80], » Hoc autem apud eos quidem nominatur ineffabile; est enim eis interdictum id lingua proferre. Scribitur per quatuor elementa. Unde etiam dicitur tetragrammaton. Idem nomen in lamina aurea inscriptum erat, quæ vittæ capitis alligata, pendebat ad frontem pontificis. Samaritani vocant nomen illud Jabe; Judæi vero Ja.

QUÆSTIO XLI.

Quomodo est intelligendum illud : « Locutus est Salomon de lignis, a cedro usque ad hyssopum quæ est in pariete [81] *? »*

RESPONSIO.

De herbarum et arborum naturis ac virtutibus,

[79] Exod. VI, 3. [80] Exod. III, 14. [81] III Reg. IV, 33.

VARIÆ LECTIONES.

[n] ἄρνας. [o] Ἴσως Ἀμέθυστος. [p] φρεάτιδι. [q] πρὸς τό. [r] στομαχικοῖς haud dub. leg. [s] τέρματα, rep. videtur ex Hesych. [t] τετραγράμματον, ἴσως. [u] Ἰαβέ.

et de omnibus quoque animantibus Salomonem philosophatum esse et disseruisse dixit. Unde est verosimillimum eos qui libros conscripserunt medicinæ, plurima decerpsisse, calidorumque et frigidorum, siccorum et humidorum ordinem indagasse : hæc herba illa herba quanam proportione sit frigidior aut calidior; et hujus animalis hæc particula cui morbo afferat remedium, utpote fel hyænæ, aut adeps leonis, aut sanguis tauri, aut carnes viperæ. De his enim scripserunt docti medici, accepta occasione ab iis quæ primo scripsit Solomon. Quod autem de his omnibus Salomon disseruerit, audi eum in Sapientia loquentem : « In manu Dei et nos, et nostri sermones; et ipse mihi dedit eorum quæ sunt cognitionem, ut scirem mundi constitutionem, elementorum operationes, initium et finem, et medium temporum, annorum circulos, et stellarum situs, animalium naturas, et ferarum iram, et spirituum violentiam, et hominum disputationes, plantarum differentias, et **320** radicum virtutes, et quæcunque sunt occulta et aperta, novi. Nam omnium artifex me docuit Sapientia [81]. »

A καὶ τῶν δένδρων, καὶ μέντοι καὶ τῶν ζώων πάντων πεφυσιολογηκέναι αὐτὸν εἴρηκεν. Ἐντεῦθεν, ὡς ἔοικε, καίτοι τὰς ἰατρικὰς βίβλους συγγεγραφότας ἐρευνήσασθαι πάμπολλα, καὶ τῶν ψυχρῶν, καὶ τῶν θερμῶν, καὶ μέντοι καὶ τῶν ξηρῶν, καὶ τῶν ὑγρῶν συνθεῖναι τὰς τάξεις, καὶ τῆσδε τῆς βοτάνης ποίῳ τινὶ μέτρῳ θερμότερα, ἢ ψυχρότερα, καὶ τοῦδε τοῦ ζώου τόδε τὸ μόριον ἀλεξιφάρμακόν τινος πάθους, οἷον ἡ τῆς ὑαίνης χολὴ, ἢ τὸ λεόντιον στέαρ, ἢ τὸ ταύριον αἷμα, ἢ τῶν ἐχιδνῶν αἱ σάρκες. Περὶ τούτων γὰρ οἱ σοφοὶ τῶν ἰατρῶν συγγεγράφασιν, ἐκ τῶν τοῦ Σολομῶντος συγγεγραμμένων τὸ πρῶτον εἰληφότες τὰς ἀφορμάς. Ὅτι δὲ περὶ τούτων πάντων πεφυσιολόγηκεν, ἄκουσον αὐτοῦ ἐν τῇ Σοφίᾳ λέγοντος · « Ἐν χειρὶ τοῦ Θεοῦ καὶ ἡμεῖς, καὶ οἱ λόγοι
B ἡμῶν · καὶ αὐτός μοι ἔδωκεν τὴν γνῶσιν τῶν ὄντων ἀψευδῆ, εἰδέναι σύστασιν κόσμου, ἐνεργείας στοιχείων, ἀρχὴν καὶ τέλος, καὶ μεσότητα χρόνων, τρόπων ν·κ ἐναλλαγὰς, καὶ μεταβολὰς χρόνων, ἐνιαυτῶν κύκλους, καὶ ἀστέρων θέσεις, φύσεις ζώων, καὶ θυμοὺς θηρίων, πνευμάτων βίας, καὶ διαλογισμοὺς ἀνθρώπων, διαφορὰς φυτῶν, καὶ δυνάμεις ῥιζῶν. Ὅσα τέ ἐστι κουπτὰ καὶ ἐμφανῆ, ἔγνων · ἡ γὰρ πάντων τεχνίτης ἐδίδαξέ με Σοφία. »

Ex tertio Regum.

« Multiplicata est sapientia Salomonis valde supra prudentiam omnium hominum, et super omnes prudentes Ægypti, sapientiamque exercuit super omnes homines; et locutus est ter mille parabolas : et erant ejus cantica quinquies mille. Et locutus est de lignis a cedro quæ est in Libano, usque ad
C hyssopum, quæ egreditur ex muro; et locutus est de pecoribus, et volucribus, et de reptilibus et piscibus, et de omnibus, quæ sunt super terram [82]. »

Ἐκ τῆς τρίτης τῶν Βασιλειῶν.

« Καὶ ἐπληθύνθη ἡ σοφία Σολομῶντος σφοδρὰς ὑπὲρ τὴν φρόνησιν πάντων ἀνθρώπων, καὶ ὑπὲρ πάντας φρονίμους Αἰγύπτου, καὶ ἐσοφίσατο ὑπὲρ πάντας ἀνθρώπους. Καὶ ἐλάλησε τρεῖς χιλιάδας γ παραβολάς · καὶ ἦσαν ᾠδαὶ αὐτοῦ πεντακισχίλιαι. Καὶ ἐλάλησε περὶ τῶν ξύλων ἀπὸ τῆς κέδρου τῆς ἐν τῷ Λιβάνῳ, ἕως τῆς ὑσσώπου τῆς ἐκπορευομένης διὰ τοῦ τοίχου. Καὶ ἐλάλησε περὶ τῶν κτηνῶν, καὶ περὶ τῶν πετεινῶν, καὶ περὶ τῶν ἑρπετῶν, καὶ περὶ τῶν ἰχθύων, καὶ περὶ πάντων ἐπὶ γῆς. »

Ex Hippolyto in Canticum canticorum.

Et ubinam est copiosissima illa scientia? ubi illa mysteria? et ubi libri? exstant enim sola Proverbia, et Sapientia, et Ecclesiastes, et Canticum canticorum. Quid ergo? falsumne dicit Scriptura? Absit! Sed fuit quidem magna eorum quæ scripsit materia et diversitas, idque ostendit dicendo : *Canticum canticorum;* significat enim se, id quod continebatur ter mille odis seu canticis, hoc uno comprehendisse. In diebus autem Ezechiæ alii quidem libri fuerunt electi, alii vero neglecti. Unde dici Scriptura : « Hæc sunt proverbia Salomonis discreta, quæ scripserunt amici Ezechiæ regis. » Unde autem selegerunt, nisi ex libris, qui inerant in ter mille proverbiis, et quinquies mille odis seu canticis? Ex ipsis sapientes amici Ezechiæ elegerunt ea quæ pertinebant ad ædificationem Ecclesiæ.

Ἰππολύτου ἐκ τοῦ εἰς τὸ Ἆσμα ᾀσμάτων.

Καὶ ποῦ πᾶσα ἡ πλουσία αὕτη γνῶσις; ποῦ δὲ τὰ μυστήρια ταῦτα; καὶ ποῦ αἱ βίβλοι; Ἀναφέρονται γὰρ μόναι αἱ Παροιμίαι, καὶ ἡ Σοφία, καὶ ὁ Ἐκκλησιαστὴς, καὶ τὸ Ἆσμα τῶν ᾀσμάτων. Τί οὖν; ψεύδεται ἡ Γραφή; Μὴ γένοιτο. Ἀλλὰ πολλὴ μὲν τῆς ὕλης ᶻ γεγένηται τῶν γραμμάτων, ὡς δηλοῖ τὸ λέγειν Ἆσμα ᾀσμάτων · σημαίνει γὰρ, ὅτι, ἅπερ εἶχον αἱ πεντακισχίλιαι ᾠδαὶ, ἐν τῷ ἑνὶ διηγήσατο. Ἐν δὲ ταῖς ἡμέραις Ἐζεκίου τὰ μὲν τῶν βιβλίων
D ἐξελέχθησαν, τὰ δὲ καὶ περιῴθησαν, ὅθεν φησὶν ἡ Γραφή · « Αὗται αἱ παροιμίαι Σολομῶντος, αἱ ἀδιάκριτοι, ἃς ἐγράψαντο οἱ φίλοι Ἐζεκίου τοῦ βασιλέως. » Πόθεν δὲ ἐξελέξαντο, ἀλλ' ἢ ἐκ τῶν βιβλίων τῶν ἐγκειμένων, ἐν οἷς λέγοι τὰς τρισχιλίας παραβολὰς, καὶ πεντακισχιλίας ᾠδάς; Ἐξ αὐτῶν οὖν τούτων οἱ φίλοι Ἐζεκίου τοῦ βασιλέως σοφοὶ ὑπάρχοντες ἐξελέξαντο τὰ πρὸς οἰκοδομὴν Ἐκκλησίας.

Ex Eusebio Pamphili de prisca historia.

Libros Salomonis, qui scripti erant de prover-

Εὐσεβίου Παμφίλου, ἐκ τῆς ἀρχαιολογικῆς ἱστορίας.

Τὰς δὲ βίβλους τοῦ Σολομῶντος, τὰς περὶ τῶν

[81] Sap. VII, 16-21. [82] III Reg. IV, 30-33.

VARIÆ LECTIONES.

ν·κ τροπικῶν. γ τρισχιλίας. ᶻ τῆς ὕλης.

παραβολῶν καὶ ᾠδῶν, ἐν αἷς περὶ φυτῶν καὶ παντοίων ζώων φυσιολογήσας, χερσαίων, πετεινῶν τε καὶ νηττῶν, καὶ ἰαμάτων πάθους παντὸς, γραφείσας αὐτῷ, ἀφανεῖς ἐποίησεν Ἐζεκίας, διὰ τὸ τὰς θεραπείας τῶν νοσημάτων ἔνθεν κομίζεσθαι τὸν λαὸν, καὶ περιορᾷν αἰτεῖν, καὶ παρορᾷν ἐντεῦθεν παρὰ Θεῷ τὰς ἰάσεις.

A biis et odis, in quibus tractabatur de natura plantarum, et omni genere animalium, et de curatione omnium morborum, de medio sustulit Ezechias, propterea quod morborum medelas inde acciperet populus, et nihili faceret a Deo petere curationes

ΕΡΩΤΗΣΙΣ ΜΒ.

Τί ἐστιν· « Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῷ οἶκον; »

ΑΠΟΚΡΙΣΙΣ.

Χριστὸς, ἡ τοῦ Θεοῦ καὶ Πατρὸς σοφία καὶ δύναμις, τὴν ἑαυτοῦ σάρκα οἰκοδομήσας. « Ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, » καὶ, « Ὑπῆρεισε στύλους ἑπτὰ, » τὴν τοῦ ἁγίου Πνεύματος ἑβδομάδα, ὡς φησιν Ἡσαΐας· « Καὶ ἀναπαύσεται ἐπ' αὐτὸν ἑπτὰ πνεύματα τοῦ Θεοῦ. » « Ἔσφαξε τὰ ἑαυτῆς θύματα, » τοὺς προφήτας κατὰ καιρὸν ἀναιρουμένους ὑπὸ τῶν ἀπίστων ὑπὲρ τῆς ἀληθείας, καὶ βοῶντας· « Ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. » — « Ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, » εἰς τὴν Παρθένον τὴν ἑαυτοῦ θεότητα ἑνώσας τῇ σαρκὶ, ὡς οἶνον ἄκρατον, ὁ Σωτὴρ ἐγεννήθη ἐξ αὐτῆς ἀσυγχύτως Θεὸς καὶ ἄνθρωπος. « Ἡτοίμασε τὴν ἑαυτῆς τράπεζαν, » τὴν ἐπίγνωσιν τῆς Τριάδος, καταγγελλομένην. « Ἀπέστειλε τοὺς ἑαυτῆς δούλους, » συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος· « Ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός με, » τοὺς ἀποστόλους εἰς τὸν σύμπαντα κόσμον προσκαλούμενος [a] πάντα ἔθνη εἰς τὴν ἐπίγνωσιν τοῦ Θεοῦ. « Καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπε, » τοῖς μήπω κεκτημένοις τὴν δύναμιν τοῦ ἁγίου Πνεύματος· « Ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν. » Τὴν θείαν αὐτοῦ σάρκα καὶ ἅγιον αὐτοῦ αἷμα ἔδωκεν ἡμῖν ἐσθίειν καὶ πίνειν εἰς ἄφεσιν ἁμαρτιῶν.

ΕΡΩΤΗΣΙΣ ΜΓ.

Πῶς νοητέον, ὅτι « Οὐκ ἔστιν ἀγαθὸν ἐν ἀνθρώπῳ, εἰ μὴ ὁ φάγεται, καὶ πίεται, καὶ δείξει τῇ ψυχῇ αὐτοῦ ἀγαθὸν ἐν μόχθῳ αὐτοῦ; »

ΑΠΟΚΡΙΣΙΣ.

Οὐ σαρκικῶς ἐσθίειν καὶ πίνειν προστάσσει ὁ Ἐκκλησιαστὴς, ἀλλὰ πνευματικῶς. Ἐπεὶ ὁ ἐν ταῖς Παροιμίαις εἰπὼν, « Μὴ ἀπατᾶσθε χορτασίᾳ κοιλίας, » καὶ, « Ἀγαθὸν πορεύεσθαι εἰς οἶκον πένθους, ἢ εἰς οἶκον πότου, » καὶ, « Καρδία σοφῶν ἐν οἴκῳ πένθους, καὶ καρδία ἀφρόνων ἐν οἴκῳ εὐφροσύνης, » πῶς ἐνταῦθα ἐπὶ ἀνατροπῇ τῶν οἰκείων λόγων προσέταττεν εὐφραίνεσθαι καὶ γαστρίζεσθαι; Ἐσθίει δέ τις καὶ πίνει πνευματικῶς, ἐργαζόμενος τὰς ἐντολὰς τοῦ Κυρίου,

321 QUÆSTIO XLII.

Quid est: « Sapientia ædificavit sibi domum [84]? »

RESPONSIO.

Christus Dei et Patris sapientia et virtus ædificavit sibi domum, nempe carnem; nam « Verbum caro factum est, et habitavit in nobis [85]. » Et: « Fundavit columnas septem [86], » nempe sancti B Spiritus septenarium, ut dicit Isaias: « Et quiescent super eum septem spiritus Dei [87]. » — « Immolavit suas hostias [88], » nempe prophetas, qui suo tempore perimebantur ab incredulis pro veritate, et clamabant: « Propter te mortificamur tota die, æstimati sumus tanquam oves occisionis [89]. » — « Miscuit in cratere vinum suum [90], » quia in utero sacratissimæ Virginis divinitatem suam carni, tanquam vinum merissimum, univit, et ex illa inconfuse Deus et homo natus est. « Paravit mensam suam [91], » nempe Trinitatis, qua annuntiabatur, cognitionem. « Misit servos suos [92], » convocans illos elata voce: « Si quis est parvulus, veniat ad me [93], » nimirum apostolos, qui universum mundum ad agnitionem Dei advocarunt. « Et insipientibus locuta est [94], » nempe iis qui nondum possidebant virtutem sancti Spiritus: « Venite, comedite panem meum, et bibite vinum, quod miscui vobis [95]. » Divinam suam carnem, et sanctum sanguinem dedit nobis comedendum et bibendum in remissionem peccatorum (35).

QUÆSTIO XLII.

Quomodo intelligendum illud: « Nihil homini melius esse quam comedere et bibere, et ostendere animæ suæ bona de laboribus suis [96]? »

RESPONSIO.

Non carnaliter comedere et bibere jubet Ecclesiastes, sed spiritualiter. Nam qui dixit in D Proverbiis: « Ne decipiamini in saturitate ventris [97]; » et: « Melius est ire in domum luctus, quam in domum convivii [98]; » et: « Cor sapientium in domo luctus, et cor insipientium in domo lætitiæ [99], » quomodo ad ea quæ dixit evertenda jubet lætari, et ventri indulgere? Comedit autem et bibit quispiam spiritualiter, operans mandata Dei, cibum manentem in vitam æternam. « Meus est

[84] Prov. IX, 1. [85] Joan. I, 14. [86] Prov. loc. cit. [87] Isa. XI, 2, 3. [88] Prov. IX, 2. [89] Psal. XLIII, 22. [90] Prov. loc. cit. [91] ibid. [92] ibid. 3. [93] ibid. 4. [94] ibid. [95] ibid. 5. [96] Eccle. II, 24. [97] Prov. XXIII, 20. [98] Eccle. VII, 3. [99] ibid. 5.

VARIÆ LECTIONES.

[a] προσκαλουμένους.

NOTÆ.

(35) In editione Herveti sequuntur sex aliæ quæstiones, quæ in nostro codice non comparent.

enim, inquit, cibus, ut faciam voluntatem Patris mei [1]. »

322 QUÆSTIO XLIV.

Quantæ magnitudinis erat templum Salomonis?

RESPONSIO.

Longitudo erat quadraginta cubitorum; altitudo, viginti. Conversum autem erat non ad orientem, ne precantes adorent solem orientem, sed solis Dominum. Nemo autem miretur si, cum dixerit Scriptura fuisse longitudinem quadraginta cubitorum, ego dixerim sexaginta : nam paulo post aliorum viginti meminit, dicens Sancta sanctorum, quæ Dabir quoque nominat. Longitudo ergo templi erat quidem quadraginta cubitorum; Sancta autem sanctorum erant aliorum viginti. Josephus dicit templum fuisse duarum contignationum, et totam altitudinem fuisse centum viginti cubitorum. Ita enim significavit etiam liber Paralipomenon, dicens : « Et cœpit Salomon ædificare templum Dei. Longitudo cubitorum sexaginta erat prima dimensio, et latitudo cubitorum viginti, et altitudo centum viginti; et deauravit ipsum intrinsecus auro puro [2]. »

QUÆSTIO XLV.

Undenam habuerint Samaritani hanc appellationem?

RESPONSIO.

Ex proposita historia hoc facile possumus discere. « Acquisivit enim Ambri rex montem Somoron a Semer domino montis duobus talentis argenti, et ædificavit ipsum, et appellavit nomen ejus Somoron [3]. » A Semer ergo nominatus fuit mons Somoron; a monte autem urbs Samaria. Samaria autem est quæ nunc appellatur Sebastea. Hic enim erat sedes regia decem tribuum. In captivitatem autem abductis decem tribubus, et deserta urbe, ex regionibus orientalibus in illas civitates, ad locum custodiendum transmigrare fecerunt reges Assyriorum quatuor gentes, nempe Cutthiæos, Catthiæos, et Sepharvæos, et Anagogavæos (35*). Isti autem, et ex Samaria, et ex custodia nominati sunt Samaritani, qui lingua Chaldæorum interpretantur *custodes*.

323 *Ex Epiphanio ad Diodorum.*

Somoron quidem mons fuit appellatus, et loca finitima, a Semer uno filio Chananæorum, priusquam ad illam terram ascenderet Abraham. Cum autem venissent custodes, appellati sunt Samari-

ΕΡΩΤΗΣΙΣ ΜΔ'.

Πόσος ἦν, τὸ μέγεθος, ὁ Σολομώντιος ναός

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ μὲν μῆκος ἦν ἑξήκοντα πηχῶν, τὸ δὲ εὖρος κ'. Ἐτέτραπτο δὲ οὐ πρὸς ἕω, ἵνα οἱ προσευχόμενοι μὴ τὸν ἥλιον ἀνίσχοντα προσκυνῶσιν, ἀλλὰ τὸν τοῦ ἡλίου Δεσπότην. Θαυμαζέτω δὲ μηδείς, εἰ, τῆς Γραφῆς μ' πηχῶν εἰρηκυίας τὸ μῆκος, ἑξήκοντα εἶπον ἐγώ· μετ' ὀλίγα γὰρ καὶ τῶν ἄλλων κ' ἐπιμέμνηται τὰ Ἅγια τῶν ἁγίων, ἃ καὶ Δαβεὶρ ὀνομάζει. Οὐκοῦν τὰ μὲν ἅγια μ' πηχῶν ἦν, τὰ δὲ Ἅγια τῶν ἁγίων ἄλλων κ'. Ὁ δὲ Ἰώσηπος διόροφον τὸν ναὸν γεγενῆσθαι λέγει, καὶ πᾶν τὸ ὕψος ρκ' πήχεις εἶναι. Οὕτω γὰρ καὶ ἡ τῶν Παραλειπομένων βίβλος δεδήλωκε, λέγουσα· « Καὶ ἤρξατο Σολομὼν τοῦ οἰκοδομῆσαι τὸν οἶκον τοῦ Θεοῦ. Μῆκος πηχῶν ἡ διαμέτρησις ἡ πρώτη ξ', καὶ εὖρος πηχῶν κ', καὶ ὕψος ρκ'. Καὶ κατεχρύσωσεν αὐτὸν ἔσωθεν χρυσίῳ καθαρῷ. »

ΕΡΩΤΗΣΙΣ ΜΕ'.

Πόθεν οἱ Σαμαρεῖται τὴν προσηγορίαν ταύτην ἐσχήκασι;

ΑΠΟΚΡΙΣΙΣ.

Ἐκ τῆς προκειμένης ἱστορίας καταμαθεῖν ἔστιν εὐκόλως [b]. « Ἐκτήσατο γάρ, φησὶ, Ἀμβρὴ ὁ βασιλεὺς τὸ ὄρος Σομορὼν, παρὰ Σεμὴρ κυρίου τοῦ ὄρους δύο ταλάντων ἀργυρίου, καὶ ᾠκοδόμησεν αὐτὸ, καὶ ἐπεκάλεσε τὸ ὄνομα αὐτοῦ Σομορών. » Τοιγαροῦν ἀπὸ τοῦ Σεμὴρ ὠνομάσθη τὸ ὄρος Σομορών· ἀπὸ δὲ τοῦ ὄρους, ἡ πόλις Σαμάρεια. Σαμάρεια δέ ἐστιν ἡ νῦν Σεβάστεια προσαγορευομένη. Ἐνταῦθα γὰρ ἦν τῶν δώδεκα φυλῶν τὰ βασίλεια. Ἐξανδραποδισθεισῶν δὲ τῶν δέκα φυλῶν, καὶ τῆς πόλεως ἐρήμου γενομένης, μετέστησαν ἐκ τῶν ἑῴων μερῶν εἰς ἐκείνας τὰς πόλεις τῶν Ἀσσυρίων οἱ βασιλεῖς, πρὸς φυλακὴν τοῦ τόπου, ἔθνη τέσσαρα, τοὺς Κυδιαίους, καὶ τοὺς Κουθιαίους, καὶ Σεφραιαίους [c], καὶ Ἀναγαβαίους [d]. Οὗτοι δὲ ἔκ τε τῆς Σαμαρείας, ἔκ τε τῆς φυλακῆς, ὠνομάσθησαν Σαμαρεῖται, οἱ ἑρμηνευόμενοι *φύλακες* κατὰ τὴν τῶν Χαλδαίων γλῶσσαν.

Ἐπιφανίου ἐκ τοῦ πρὸς Διόδωρον.

Σομορὼν μὲν οὖν ἐκλήθη τὸ ὄρος, καὶ τὰ ὁμοροῦντα, ἀπὸ Σεμὴρ ἑνὸς υἱοῦ τῶν Χαναναίων, πρὶν ἢ ἐπιβῆναι τὸν Ἀβραὰμ τῇ γῇ. Ἐλθόντων δὲ τῶν φυλακῶν, ἐκλήθησαν Σαμαρεῖται, τουτέστι, φύλα-

[1] Joan. IV, 34. [2] II Paral. III, 1, 3, 4. [3] III Reg. XVI, 24.

VARIÆ LECTIONES.

[b] εὐπετῶς. [c] Σεπφαρουαίους. [d] Ἀναγογαυαίους.

NOTÆ.

(35*) Vulgata : *De Gutha, Avah, Emath, Sepharvaim.*

κες. Φύλακες δὲ ἦσαν οὐ μόνον τῆς γῆς, ἀλλὰ καὶ τοῦ νόμου· ἐφύλαττον γὰρ τὴν Πεντάτευχον μόνην, ἣν ἔλαβον διὰ Ἔσδρα τοῦ βασιλέως [d], ἵνα ἐκ τούτου διακρίνηται τὸ σπέρμα τοῦ Ἀβραάμ. Ἀλλ' οὐ τελείως τὸν νόμον ἐφύλαττον· διό φησιν ἡ Γραφή· « Ἔμειναν ποιοῦντες τὸν νόμον τοῦ Θεοῦ, καὶ προσκυνοῦντες τὰ εἴδωλα. » Τοῦ δὲ νόμου κελεύοντος εἴδωλα μὴ προσκυνεῖσθαι, πῶς ἔτι πληρωθήσεται; Ἔχει δὲ ἡ ὑπόθεσις τὸν τρόπον τοῦτον· Γνόντες γὰρ οἱ μιερεῖς [c] τῶν τεσσάρων ἐθνῶν, ὅτι ἐνεδήμησεν Ἔσδρας, βδελυττόμενος τὰ εἴδωλα κατὰ τὸν νόμον Θεοῦ, σπεύσαντες ἔκρυψαν τὰ εἴδωλα ἐν τῷ Γαρίζῃ ὄρει ἐν μυχῷ τινι, καὶ ἀπέστρεψαν [f] τὴν καρδίαν τῶν Σαμαρειτῶν πρὸς τὸ ὄρος εὔχεσθαι. Ὅθεν, ὅπου δ' ἂν ὦσι, πρὸς τὸ ὄρος εὔχονται οἱ ἀπὸ ἀνατολῆς πρὸς δυσμὰς ἀποστρεφόμενοι, καὶ ἀπὸ δυσμῶν πρὸς ἀνατολὰς, καὶ ἀπὸ βορρᾶ πρὸς τὴν μεσημβρίαν, πρὸς τὸ ἀρκτῷον τῷ ὄρει προσέχοντες εὔχονται, ἵνα πληρωθῇ ἡ Γραφὴ, ἡ λέγουσα· « Ἔμειναν ποιοῦντες τὸν νόμον τοῦ Θεοῦ, καὶ προσκυνοῦντες αὐτῶν τὰ εἴδωλα. » Εἰ γὰρ καὶ αὐτοὶ ἀγνοοῦσι κειμένων τῶν εἰδώλων ἐκεῖσε, ἀλλ' οὐ δυνατόν ἐστι τὴν θείαν Γραφὴν ψεύσασθαι.

A tani, id est, custodes. Erantque custodes non solum terræ, sed etiam Legis. Servabant enim Pentateuchum solum, quem acceperunt per Esdram sacerdotem, ut ex eo agnoscerentur semen Abrahæ; sed legem non servabant perfecte. Quamobrem dicit Scriptura : « Manserunt facientes legem Dei, et adorantes idola [b]. » At cum lex prohibeat adorare idola, quomodo cultu idololatrico implebitur? Res sic se habet. Cum cognovissent sacerdotes quatuor gentium quod venisset Esdras, abominans idola secundum legem Dei, festinantes absconderunt idola in monte Garizim in quadam spelunca, et averterunt cor Samaritanorum, ut orarent ad montem : qui ab oriente quidem ad occasum, et qui ab occidente ad orientem, et qui a septentrione ad meridiem, et qui a meridie ad septentrionem, ad montem precantes orant, ut impleantur quæ Scriptura dicit : « Manserunt, facientes legem Dei, et adorantes sua idola. » Nam etsi ipsi ignorant sita illic esse idola, fieri tamen non potest ut falsum dicat Scriptura.

ΕΡΩΤΗΣΙΣ ΜΖ'.

Πῶς ὁ Θεὸς, διὰ τοῦ νόμου τῷ Ἰσραὴλ τὰς θυσίας προσφέρειν κελεύσας, διὰ Ἱερεμίου φησὶ· « Οὐκ ἐλάλησα πρὸς πατέρας ὑμῶν περὶ θυσιῶν, οὐδὲ περὶ ὁλοκαυτωμάτων ἐνετειλάμην αὐτοῖς ; »

QUÆSTIO XLVI.

Quomodo Deus, qui per legem mandavit Israeli offerre sacrificia, dicit per Jeremiam : « Non locutus sum ad patres vestros de sacrificiis, neque de holocaustis mandavi eis [a] ? »

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦτο καὶ διὰ Ἡσαΐου ὑπεμφαίνει, λέγων· « Αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι. Τίς γὰρ ἐξεζήτησε ἐκ τῶν χειρῶν ὑμῶν; » Ὅθεν φησὶν ὁ Δαυὶδ· « Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας· ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας. » Ἐντεῦθεν οὖν δῆλον μὴ προηγουμένην εἶναι τὴν τῶν θυσιῶν πρᾶξιν [e], μηδὲ περὶ ὁλοκαυτωμάτων εἶναι τὸ βούλημα τοῦ τεθεικότος τὸν νόμον τοῦ Θεοῦ· ἀλλὰ συγκαταβαίνων τῇ ἐκείνων ἀσθενείᾳ. Ὅτε γὰρ ἐμοσχοποίησαν, καὶ θυσιάζειν ἐπεχείρουν τοῖς μὴ οὖσι θεοῖς, τότε δὴ μετὰ τὸν νόμον καὶ ἡ περὶ τῶν θυσιῶν τέθειται ἐντολή, ἵνα τὴν ἅπαξ εἰς τὰ μὴ ὄντα μελετηθεῖσαν διάνοιαν αὐτῶν, ταύτην εἰς τὸν ὄντως ὄντα Θεὸν ἀληθῶς μεταφέρωσιν. Ὅτε δὲ διὰ σημείων πλείστων καὶ τεράτων, χρόνου προκόψαντος, τὴν εἰς αὐτὸν γνῶσιν ἰσχήκασιν, εἰ καὶ μὴ ἀκραιφνῆ, τότε διὰ τῶν προφητῶν ἀναστέλλει τὰς τῶν ἀλόγων θυσιῶν προσφορὰς, καί φησι· « Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων χιμάρους. » Καὶ, « Μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; Μὴ ἔτη τεσσαράκοντα θυσίαν προσηνέγκατέ μοι, οἶκος Ἰσραὴλ, ἐν τῇ ἐρήμῳ; » — « Ἔλεον γὰρ θέλω, καὶ οὐ θυσίαν. » Καὶ, « Θυσία αἰνέσεως δοξάσει με. » Καὶ, « Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως. »

RESPONSIO.

Hoc etiam per Isaiam subindicat, dicens : « Sanguinem taurorum et hircorum nolo; quis enim hæc requisivit e manibus vestris [c] ? » Unde dicit David : « Sacrificium et oblationem noluisti, holocaustum et pro peccato non postulasti [f]. » Hinc perspicuum fit primarium scopum legis non esse sacrificiorum oblationem, nèque Deum præcipue holocausta quærere; sed eum se demittere ad illorum imbecillitatem. Quando enim vitulum fecerunt, et diis qui non erant sacrificare aggrediebantur, tunc post legem, datum quoque est præceptum de sacrificiis; **324** ut qui semel ad ea quæ non erant, animi sui studium transtulerant, illud vere transferrent ad eum qui est revera Deus. Quando autem per signa plurima et prodigia, procedente tempore, ejus habuerunt etiam cognitionem, tametsi obscuram et tenuem, tunc per prophetas reprimit oblationes brutorum animalium, et dicit · « Non accipiam ex domo tua vitulos, neque ex gregibus tuis hircos [g]. » Et : « Num comedam carnes taurorum, et sanguinem hircorum bibam [h] ? » Et : « Nunquid annis quadraginta sacrificium obtulistis mihi in deserto, domus Israel [i] ? » — « Misericordiam enim volo, et non sacrificium [k]. » Et : « Ecce

[a] IV Reg. xvii, 41. [b] Jerem. vii, 22. [c] Isa. i, 11, 12. [f] Psal. xxxix, 7. [g] Psal. xlix, 9. [h] ibid. 13. [i] Amos v, 25. [k] Matth. ix, 13; xii 7.

VARIÆ LECTIONES.

[d] ἱερέως. [c] *μιερεις*, fort. ἡμιερεῖς *semisacerdotes*. [f] ἀπέτρεψαν. [e] πρόσταξιν.

obedientia est supra sacrificium [12]. » Et : « Sacrificium laudis glorificabit me [13].» Quamobrem dicit: « Laudabo nomen Dei mei cum cantico, magnificabo ipsum in laude [14]; » et : « Placebit Deo super vitulum novellum [15]; sacrificium enim Deo est spiritus contritus [16].» Hoc est ergo quod locutus sum ad patres vestros de sacrificiis, hoc est, Non delectabar eis, sed ad eorum imbecillitatem me demittebam. Unde rursus dicit per Ezechielem : « Dedi eis præcepta non bona, et justificationes, in quibus non vivent in eis, et polluam ipsos in eorum dogmatibus [17]; » hoc est : Non sunt præcepta digna mea lenitate et clementia, neque convenientia bono jugo, quod eis volebam imponere : dura autem, et non legislatoris consuetudini, sed eorum quibus ferebantur leges, insolentiæ necessaria et convenientia. Annon est enim durum fugere mortuum, quod quidem omnes futuri sumus ; aut mulierem, quæ peperit, inter immunda censeri multis diebus, quæ fuit instrumentum operis Dei opificis; aut domum solvere, in qua fuit aliqua cicatrix seu rima in parietibus aut trabibus? Non enim dicet quispiam peccasse parietes, aut trabes; sed duro freno voluit per hæc domare duri cordis populum Hebræorum.

A Διό φησιν, « Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει, καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον· θυσία γὰρ Θεῷ πνεῦμα συντετριμμένον. » Τοῦτο οὖν ἐστι τὸ, Οὐκ ἐλάλησα πρὸς τοὺς πατέρας ὑμῶν περὶ θυσιῶν, τουτέστιν, οὐ ταύταις ἡρεσκόμην, ἀλλὰ συγκατέβαινον αὐτῶν τῇ ἀσθενίᾳ. Ὅθεν πάλιν διὰ Ἰεζεκιὴλ φησι· « Ἔδωκα αὐτοῖς προστάγματα οὐ καλὰ, καὶ δικαιώματα, ἐν οἷς οὐ ζήσονται ἐν αὐτοῖς, καὶ μιανῶ αὐτοὺς ἐν τοῖς δόγμασιν αὐτῶν, » τουτέστιν, Οὐκ ἄξια τῆς ἐμῆς συμπαθείας, οὐδὲ τῷ ζυγῷ τῷ χρηστῷ, ὅπερ αὐτοῖς περιβαλεῖν [b] ἐβουλόμην ἁρμόττοντα, σκληρὰ δὲ, καὶ οὐ τῇ πραότητι τοῦ νομοθέτου, ἀλλὰ τῇ τῶν νομοθετουμένων ἀλαζονείᾳ ἀναγκαῖα καὶ πρέποντα. Πῶς γὰρ οὐ σκληρὸν τὸ φεύγειν νεκρὸν, ὅπερ πάντες B γενόμεθα ; ἢ τὸ τὴν τεκοῦσαν γυναῖκα ἡμέρας πολλὰς ἐν ἀκαθάρτοις τάττεσθαι, ἥτις ὄργανον τοῦ δημιουργοῦ Θεοῦ δημιουργίας γεγένηται ; ἢ τὸ λύειν οἶκον ἐν ᾧ τις οὐλὴ τοῖς τοίχοις ἢ ταῖς δοκοῖς ἐγένετο ; Μὴ γάρ τις ἡμαρτηκέναι τοὺς τοίχους ἢ τὰς δοκοὺς ἐρεῖ, ἀλλὰ σκληρῷ χαλινῷ τὸν σκληροτράχηλον λαὸν τῶν Ἰουδαίων διὰ τούτων δαμάσαι βουλόμενος.

Ex Constitutionibus apostolicis (lib. VI, c. 21 *j*.

Lex est Decalogus, quam, antequam populus vitulum (hoc est, Apim Ægyptium) faceret, Deus eis tulit voce quæ audiretur. Et ideo lex dicitur, propterea quod secundum naturam juste facit judicium; est enim bona, et minime afferens necessitatem. Unde dicit : « Si feceris mihi altare [18]. » Non dixit : Fac; sed, *Si feceris*. Nec necessitatem imposuit, sed potestati permisit, ut quæ sit libera : non enim eget Deus sacrificiis, ut qui minime sit indigens; sed ut qui sciat, jam prius pium Abelem, et Noe, et Abraham, et qui deinceps sunt secuti, non jussos, sed naturali lege motos, **325** ex se ipsis Deo obtulisse sacrificium, quod grati est animi. Nunc quoque permittit Hebræis, non imperans, sed, si velint, concedens; et, si recta mente obtulerint, grata et accepta habens eorum sacrificia. Et ideo dicit : Si cupis sacrificare, non mihi egenti, sacrifica : nullius enim egeo : « Meus est enim orbis terræ, et plenitudo ejus [19]. » Quando autem horum fuerunt immemores, et vitulum pro Deo invocarunt, et ei ascripserunt causam exitus ex Ægypto, dicentes : « Hi sunt dii tui, Israel, qui te eduxerunt ex Ægypto [20], » et negarunt Deum qui per Mosen eos visitavit in afflictione, tunc iratus Deus, ut in quem fuissent ingrati, eos vinxit vinculis insolubilibus, onerum oppressione, et catenæ duritia. Nec dixit amplius : Si feceris; sed : Fac altare, et assidue sacrifica; es enim immemor et ingratus. Propter cordis ergo

Ἐκ τῶν ἀποστολικῶν διαταγμάτων.

Νόμος ἐστιν ἡ Δεκάλογος, ἣν, πρὸ τοῦ τὸν λαὸν μοσχοποιῆσαι τὸν παρὰ Αἰγυπτίοις Ἄπιν, ὁ Θεὸς αὐτοῖς ἐνομοθέτησεν ἀκουστῇ φωνῇ. Διὸ καὶ νόμος λέγεται, διὰ τὸ φύσει δικαίως τὰς κρίσεις ποιεῖσθαι. Ἀγαθὸς γάρ ἐστι καὶ ἀκατανάγκαστος· ὅθεν φησίν· « Ἐὰν ποιήσῃς μοι θυσιαστήριον. » Οὐκ εἶπε, ποίησον, ἀλλ', *ἐὰν ποιήσῃς μοι*· οὐκ ἀνάγκην περιέθηκεν, ἀλλὰ τῇ ἐξουσίᾳ ἐπέτρεψεν, ἅτε ἐλευθέρᾳ. Οὐ γὰρ θυσιῶν δεῖται ὁ Θεὸς, ἀνενδεὴς ὑπάρχων, ἀλλὰ γινώσκων, καθάπερ καὶ ᾔδει πρότερον, τὸν φιλόθεον Ἄβελ, καὶ Νῶε, καὶ Ἀβραὰμ, καὶ τοὺς καθεξῆς οὐκ ἀπαιτηθέντας, ἀλλὰ φυσικῷ νόμῳ κινηθέντας ἀφ' ἑαυτῶν προσενέγκαι θυσίαν τῷ Θεῷ, ἀπὸ γνώμης εὐχαρίστου. Ἐπιτρέπει τοίνυν [i] Ἑβραίοις, οὐ προστάσσων, ἀλλ' εἰ βουληθῶσι, συγχωρεῖ, καὶ εἰ ἀπὸ ὀρθῆς προσοίσουσι γνώμης, εὐδοκῶν ἐπὶ ταῖς θυσίαις αὐτῶν. Διὰ τοῦτό φησι· Εἰ θύειν ἐπιθυμεῖς, οὐ δεομένῳ μοι, θύε· οὐδενὸς γὰρ ἐν χρείᾳ καθέστηκα. « Ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς. » Ὁπότε δὲ τούτων ἀμνήμονες ὑπῆρξαν, καὶ μόσχον ἀντὶ Θεοῦ ἐπεκαλέσαντο, καὶ τούτῳ τὴν αἰτίαν τῆς ἐξ Αἰγύπτου πορείας ἐπέγραψαν, λέγοντες· « Οὗτοι οἱ θεοί σου, Ἰσραὴλ, οἱ ἐξαγαγόντες σε ἐκ τῆς Αἰγύπτου, » καὶ τὸν διὰ Μωσέως ἐπισκεψάμενον αὐτοὺς ἐν τῇ θλίψει αὐτῶν Θεὸν ἠρνήσαντο· τότε δὴ ὀργισθεὶς ὁ Θεὸς, ἅτε ἀχαριστηθεὶς ὑπ' αὐτῶν, ἔδησεν αὐτοὺς δεσμοῖς ἀλύτοις, στιβώσει [k] φορτισμοῦ, καὶ σκληρότητι κλοιοῦ. Καὶ οὐκέτι εἶπεν,

[12] I Reg. XV, 22. [13] Psal. XLIX, 23. [14] Psal. LXVIII, 31. [15] ibid. 32. [16] Psal. L, 19. [17] Ezech. XX, 25, 26 [18] Exod. XX, 25. [19] Psal. XLIX, 12. [20] Exod. XXXII, 4.

VARIÆ LECTIONES.

[b] ἐπιβαλεῖν. [i] καὶ νῦν. [k] Sic est in Græco Clemente, non στιβάσι, ut habet Codex noster.

Ἐὰν ποιήσῃς, ἀλλὰ, Ποίησον θυσιαστήριον, καὶ θύε διηνεκῶς· ἐπιλήσμων γὰρ τυγχάνεις καὶ ἀχάριστος. Οὐκοῦν διὰ τὴν σκληροκαρδίαν αὐτῶν ἐπέδησεν αὐτοὺς ἐπί τε βρωμάτων καὶ ζώων διαφορὰν, καθαρῶν, ἀκαθάρτων διαστολὴν ποιησάμενος, καίτοι παντὸς ζώου καθαροῦ τυγχάνοντος, ἵνα διὰ τοῦ θύειν, καὶ ἀργεῖν, καὶ ἁγνίζεσθαι, καὶ τὰ τοιάδε παρατηρεῖσθαι, εἰς ἔννοιαν ἔλθωσι του ταῦτα διαταξαμένου αὐτοῖς Θεοῦ, καὶ μὴ ἐπιλάθωνται αὐτοῦ.

A eorum duritiem eos astrinxit et ad ciborum et ad animalium differentiam, facta distinctione mundorum et immundorum; etiamsi mundum esset omne animal, ut sacrificando, feriando, se expiando, et quæ sunt hujusmodi observando, Deus eis veniret in mentem, qui hæc eis præcepit, neç ejus oblivisceretur.

Θεοδωρήτου ἐκ τῆς θεραπευτικῆς.

Ἐν γὰρ δὴ γῇ Αἰγύπτῳ πλεῖστον ὅσον τὸν Ἰσραὴλ διατρίψαντα χρόνον, καὶ τὰ πονηρὰ τῶν ἐγχωρίων εἰσδεξάμενον ἦθη, καὶ θύειν εἰδώλοις καὶ δαίμοσι παρ' ἐκείνων μεμαθηκότα, καὶ παίζειν, καὶ χορεύειν, καὶ ὀργάνοις μουσικοῖς ἐπιτέρπεσθαι, καὶ τούτων ἐν ἕξει γενόμενον ἐλευθερῶσαι θελήσας ὁ Θεὸς, θύειν μὲν συνεχώρησεν, ἀλλ' οὐ πάντα θύειν, οὐδὲ τοῖς ψευδωνύμοις Αἰγυπτίων θεοῖς, ἀλλὰ αὐτῷ μόνῳ τοὺς Αἰγυπτίων προσφέρειν θεούς. Ἐθεοποίουν γάρ τοι πάλαι ποτὲ καὶ τὸν βοῦν Αἰγύπτιοι, καὶ τὸ πρόβατον, καὶ τὴν αἶγα, καὶ τὴν περιστερὰν, καὶ τὴν τρυγόνα, καὶ ἄλλα τῶν οὐκ ἐδωδίμων, ἀλλὰ καὶ ἀκαθάρτων καλουμένων. Ἵνα τοίνυν μὴ δυσχεραίνωσιν, ὡς τῶν θεῶν [1] ἐκείνων πάμπαν κεκωλυμένοι, τὸ μὲν τοῖς δοκοῦσι θεοῖς ἀπηγόρευσε θύειν, αὐτῷ δὲ θύειν ἐνομοθέτησε τὰ πρώην πρὸς αὐτὸν προσαγόμενα [m]· ἐκ μὲν τῶν χερσαίων τὸν βοῦν, καὶ τὴν αἶγα, καὶ τὸ πρόβατον, ἐκ δὲ τῶν πτηνῶν τὴν τρυγόνα, καὶ τὴν περιστεράν· καὶ θύειν μὲν διὰ τὴν τῶν θυόντων ἀσθένειαν συγχωρήσας, τὰ δὲ σεβόμενα παρ' αὐτῶν θύεσθαι κελεύσας, ἵνα ἐκ τοῦ θύειν μάθωσι μὴ θεοὺς νομίζειν τὰ θυόμενα. Διά τοι τοῦτο καὶ χοιρείων αὐτοὺς μεταλαμβάνειν κρεῶν διεκώλυσεν, ἐπειδὴ τούτων μόνον Αἰγύπτιοι μετελάμβανον, τῶν ἄλλων ὡς θεῶν ἀπεχόμενοι. Ἀκάθαρτα γὰρ νομίζειν ταῦτα νομοθετήσας, ἐσθίειν ἐκέλευσε τὰ θεοποιούμενα, ἵνα εὐκαταφρόνητα φαίνηται, ὡς παρ' αὐτῶν ἐσθιόμενα. Οὐ τοίνυν θυσιῶν καὶ ὀργάνων ἤχους δεόμενος ὁ Θεὸς θύειν προσέταξε καὶ ὀργανίζειν, ἀλλὰ τῇ ἀσθενείᾳ αὐτῶν συγκαταβαίνων, καὶ τὰ παλαιὰ πάθη αὐτῶν ἰατρεύων, ταῦτα ἐνομοθέτησεν.

Ex Theodoreto, de curandis affectionibus Græcanicis.

Populum enim Israeliticum, qui plurimum tempus in Ægypto contriverat, et indigenarum pravos mores acceperat, et idolis, et dæmonibus sacrificare ab eis didicerat, ludereque, et choros ducere, et musicis oblectari organis, et ad pravum eorum habitum pervenerat, volens Deus liberare, sacrificare quidem concessit; at non iis qui falso nominabantur, Ægyptiorum diis, sed ipsi soli offerre deos Ægyptiorum. In deorum enim numerum olim referebant Ægyptii et bovem, et ovem, et capram, et columbam, et turturem, et quædam alia ex iis quæ non sunt esculenta, sed et quæ etiam appellantur immunda. Ne ergo ægre ferrent, ut quibus illis diis omnino esset interdictum qui videntur, diis quidem sacrificare prohibuit, ipsi autem ut sacrificarent ea quæ ab ipsis nuper adorabantur, lege sanxit: ex terrestribus quidem bovem, et capram, et ovem; ex volucribus autem turturem et columbam sacrificare quidem concedens, propter eorum imbecillitatem; jubens autem sacrificare ea quæ ab ipsis colebantur, ut ex eo quod sacrificarent, discerent non nominare, nec existimare deos ea quæ sacrificabantur. Propter hoc eos quoque jussit non vesci suillis carnibus, **326** quoniam iis solis vescuntur Ægyptii, ab aliis, tanquam diis, abstinentes. Cum enim ea immunda existimare lege sanxisset, jussit vesci iis quæ pro diis colebantur, ut viderentur contemptibilia quæ ab ipsis comederentur. Non ergo sacrificiis, aut organorum sonis indigens Deus jussit sacrificare et organa pulsare; sed ad imbecillitatem eorum, veteres curans affectus, hæc lege sanxit.

ΕΡΩΤΗΣΙΣ ΜΖ'.

Ποῖα καὶ πόσα εἰσὶ τοῦ θείου Ἠλιοὺ καὶ Ἐλισσαίου τὰ ἐν πνεύματι ἐνεργήματα;

ΑΠΟΚΡΙΣΙΣ.

Ἠλίας ἑπτὰ πεποίηκεν ἐνεργήματα, ἅπερ εἰσὶ ταῦτα· Πρῶτον μὲν τριετῆ [n] ἐπήγαγεν αὐχμὸν, ἀλεύρου αὔξησιν βραχέως, καὶ Ἐλισσαίου τὴν χάριν πλείστην ἐποιήσατο, τὸν παῖδα τῆς χήρας ἀνέστησε, πῦρ ἐξ οὐρανοῦ κατήγαγεν ἐπὶ τὴν θυσίαν, τὸν ὑετὸν κατήνεγκε [o], πυρὶ τοὺς πεντηκοντάρχους μετὰ τῶν σὺν αὐτοῖς κατέφλεξε, καὶ Ἰορδάνην διεῖλεν.

QUÆSTIO XLVII.

Qualia et quanta sunt quæ in spiritu fecerunt divinus Elias et Elisæus?

RESPONSIO.

Elias septem fecit opera, quæ sunt hæc. Trium annorum induxit siccitatem. Exiguam farinam auxit, et Elisæum maxima gratia donavit. Excitavit filium viduæ. Ignem deduxit e cœlo super sacrificium. Reduxit pluvias. Igne combussit quinquagenarios, et eos qui cum ipsis erant, et divisit Jordanem [21].

[21] III Reg. XVII, XVIII; IV Reg. I, II.

VARIÆ LECTIONES.

[1] forte, θυσιῶν. [m] παρ' αὐτῶν προσκυνούμενα. [n] τρία ἔτη. [o] κατήγαγε.

Eliseus autem quatuordecim. A

1. Divisit Jordanem. 2. Curavit aquas steriles et letales. 3. Pueros insolentes et maledicos per duos ursos occidit, quadraginta duos. 4. In aquæ penuria fluvium induxit, eoque etiam simul parta est victoria contra Moabitas. 5. Olei perparum, auxit plurimum. 6. Effecit, ut mulier sterilis pareret filium. 7. Et hunc ipsum mortuum excitavit. 8. Mortiferam decoctionem reddidit salubrem, postquam aluit in fame centum viros viginti panibus, et paucis leguminibus, adeo ut supereſſet. 9. Naaman Syrum a lepra liberavit. 10. Ministro suo Giezi lepram Naaman intulit. 11. Effecit, ut ferrum ex aqua enataret. 12. Effecit, ut hostes nihil viderent. 13. Effecit, ut esset magna frumenti et hordei abundantia, fugatis hostibus, prædicta etiam morte ejus, qui non credidit. 14. Projectum mortuum suo corpore excitavit. Impletum est et quod prædixerat, fore ut multi interirent ab Hazael, et alia, quæ de eo dixerat [22].

Ἐλισσαῖος δ'.

α'. Διεῖλε τὸν Ἰορδάνην. β'. Ἴασατο τὰ ἄτεκνοῦντα καὶ θανατοῦντα ὕδατα. γ'. Τοὺς παῖδας ἐφυβρίζοντας διὰ τῶν δύο ἄρκτων ἀπέκτεινε, τεσσαράκοντα δύο. δ'. Ποταμὸν ὑδάτων ἐπήγαγεν· ἐν ἀνυδρίᾳ, ἅμα καὶ νίκην διὰ τοῦτο κατὰ (τῶν) Μωαβιτῶν ἐργασάμενος. ε'. Ἔλαιον βραχὺ εἰς πλεῖστον ηὔξησεν. ς'. Ἄτεκνον γυναῖκα τεκνοποιῆσαι πεποίηκε. ζ'. Καὶ τοῦτον ἀποθανόντα ἀνέστησε. η'. Ἕψημα θανάσιμον ἴασατο, μετὰ τοῦ θρέψαι ἑκατὸν ἄνδρας ἐν λιμῷ ἄρτοις κ' καὶ κιχρῷ ρ, ὡς καὶ περισσεῦσαι. θ'. Νεεμὰν τὸν Σύρον τῆς λέπρας ἠλευθέρωσε. ι'. Γιεζὶ τὸν λειτουργὸν ἡ τοῦ Νεεμὰν λέπρα περιέβαλε. ια'. Σίδηρον ἐξ ὕδατος ἀναπλεῦσαι ἐποίησεν. ιβ'. Ἀορασίᾳ τοὺς πολέμους ¶ περιέβαλλεν. ιγ'. Ἀφθονίαν σίτου κριθῆς, φυγαδεύσας τοὺς πολεμίους, εἰργάσατο, προειπὼν καὶ τὸν θάνατον τοῦ ἀπιστήσαντος. ιδ'. Τὸν ἐπιῤῥιφθέντα νεκρὸν τῷ ἑαυτοῦ σώματι ἀνέστησε. Πεπλήρωται δὲ καὶ τὸ, φθαρήσεσθαι πολλοὺς ὑπὸ Ἀζαὴλ, καὶ τὰ περὶ τούτου.

327 QUÆSTIO XLVIII.

Qualisnam statua quæ apparuit Nabuchodonosor [23]?

RESPONSIO.

Statua illa erat figura regnorum totius mundi: in iis autem regnis tunc regnarunt Babylonii, ut qui essent aureum caput statuæ; deinde Persæ, tanquam argenteum; deinde Græci ab Alexandro, tanquam æs; post eos Romani, tanquam ferrum, propterea quod essent fortes ac validi; postea digiti pedum, ut ostendantur futuræ democratiæ, divisæ in decem digitos statuæ, in quibus erat ferrum terræ mistum. Tandem abscissus fuit lapis sine manibus, et percussit statuam; ferro enim cum testa misto, cum id processisset ad summos usque digitos, et essent homines inter se non consentientes, quid aliud exspectari decebat quam Christus veniens e cœlo, ut mundi regna transferret, et excitaret regnum cœleste, æternum regnum scilicet sanctorum, quod non interibit?

Ex Hippolyto in Danielem.

Cum enim tibiæ ferreæ, quæ nunc dominatum obtinent, ad vestigia pedum et digitos processerint, congruenter terribilis bestiæ ostensioni, sicut est significatum prioribus temporibus, e cœlis veniet lapis qui (percussa statua et contrita) transferret omnia regna, et dabit regnum sanctis Altissimi. Hic est, qui factus est mons magnus, et implevit terram; de quo dictum est: « Contemplabar in visione noctis; et ecce cum nubibus cœli veniens tanquam Filius hominis, et usque ad Antiquum dierum perveniet; et ei datus est principatus et honor, et regnum; et omnes populi, tribus et linguæ servient ipsi. Potestas ejus

[22] IV Reg. II, III, IV, V, VI, VII, XIII. [23] Dan. II. 31.

ΕΡΩΤΗΣΙΣ ΜΗ'.

Τίς ἡ ὀφθεῖσα εἰκὼν τῷ Ναβουχοδονόσορ;

ΑΠΟΚΡΙΣΙΣ.

Ἡ εἰκὼν ἐκείνη τύπος ἦν τῆς βασιλείας παντὸς τοῦ κόσμου, ἐν οἷς ἐβασίλευσαν τότε Βαβυλώνιοι, ὡς κεφαλὴ χρυσῆ τῆς εἰκόνος ὑπάρχοντες· ἔπειτα Πέρσαι, ὡς ἄργυρος· εἶτα Ἕλληνες ἀπὸ Ἀλεξάνδρειας ¶', ὡς χαλκός· μετὰ τούτων Ῥωμαῖοι, ὡς σίδηρος, διὰ τὸ εἶναι αὐτοὺς ἰσχυρούς. Εἶτα δάκτυλοι ποδῶν, ἵνα δειχθῶσιν αἱ δημοκρατίαι, αἱ μέλλουσαι γίνεσθαι, διαιρούμεναι εἰς τοὺς δέκα δακτύλους τῆς εἰκόνος, ἐν οἷς ὁ σίδηρος ἀναμεμιγμένος τῷ ὀστράκῳ. Μετὰ ταῦτα ἐτμήθη λίθος ἄνευ χειρῶν, καὶ ἐπάταξε τὴν εἰκόνα. Τοῦ γὰρ σιδήρου μετὰ τοῦ ὀστράκου μιγέντος, καὶ ἐπὶ τὰ ἄκρα τῶν δακτύλων χωρήσαντος, καὶ ἀσυμφώνων τῶν ἀνθρώπων ἐν ἀλλήλοις ὄντων, τί δεῖ λοιπὸν περιμένειν, ἀλλ' ἢ Χριστὸν ἐξ οὐρανοῦ ἐρχόμενον, ἵνα τὰς τοῦ κόσμου βασιλείας μεταστήσῃ, καὶ ἀναστήσῃ τὴν ἐπουράνιον βασιλείαν τῶν ἁγίων τὴν αἰώνιον, ἥτις οὐ διαφθαρήσεται;

Ἱππολύτου ἐκ τοῦ εἰς τὸν Δανιήλ.

Τῶν γὰρ σιδηρῶν κνημῶν, τῶν νῦν ἐπικρατουσῶν, ἐπὶ τὰ ἴχνη τῶν ποδῶν καὶ τοὺς δακτύλους χωρησάντων, κατὰ τὴν τοῦ φοβεροῦ θηρίου δεῖξιν, καθὼς ἐν τοῖς ἔμπροσθεν καιροῖς σεσήμανται, ἥξει ἀπὸ οὐρανῶν ὁ λίθος, ὁ πατάξας τὴν εἰκόνα, καὶ συντρίψας αὐτὴν, καὶ μεταστήσας πάσας τὰς βασιλείας· καὶ δώσει τὴν βασιλείαν ἁγίοις Ὑψίστου ᵗ. Οὗτος ὁ γεννηθεὶς ὄρος μέγα, καὶ πληρώσας τὴν γῆν, περὶ οὗ εἴρηται· « Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός· καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ἐρχόμενος ὡς Υἱὸς ἀνθρώπου, καὶ ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν ἔφθασε· καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ, καὶ ἡ τιμὴ, καὶ ἡ βασιλεία· καὶ πάντες λαοὶ, φυλαὶ, γλῶσ-

VARIÆ LECTIONES.

ρ χίδρῳ. ¶ πολεμίους. ¶' Ἀλεξάνδρου. ᵗ ὑψίστοις.

σαι, δουλεύσουσιν αὐτῷ. Ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται. »

A potestas æterna, quæ non transibit, et regnum ejus non interibit [24]. »

Ὠριγένους ἐκ τοῦ πρὸς Μεγέθιον τὸν Μαρκιωνίτην διαλόγου.

Μεγέθιός φησι· Δανιὴλ λέγει, « Λίθος ἐτμήθη ἄνευ χειρῶν, καὶ ἐπάταξε τὴν εἰκόνα, καὶ ἐποίησεν αὐτὴν ὡς κονιορτὸν, καὶ ἐξεφυσήθη ὑπὸ ἀνέμου. » Δείκνυται [s] οὖν, Χριστὸν μήπω ἐληλυθέναι· εἰ γὰρ ἐληλύθει, οὐκ ἂν ἦν ἑτέρα βασιλεία ἐπὶ τῆς γῆς, ὡς ἐδήλωσεν ὁ Δανιήλ. Εἰ δὲ τοῦ [t] πάσας τὰς βασιλείας συστήκειν [t*], πρόδηλον, μήπω ἐληλυθέναι τὸν διὰ νόμου καὶ προφητῶν κηρυττόμενον Χριστόν.

Ex dialogo Origenis cum Megethio Marcionita.

Megethius ait : Daniel dicit : « Lapis excisus est ex monte sine manibus, et percussit statuam, et fecit eam tanquam pulverem, et efflata est a vento [25]. » Ostenditur ergo Christum nondum venisse : nam si venisset, non esset aliud regnum in 328 terra, ut demonstrat Daniel. Ex eo autem quod subsistunt omnia regna, perspicuum relinquitur nondum venisse Christum, per legem et prophetas prædicatum.

Ὠριγένους.

'Αλλ', ὡς ἔοικε, ψιλὰς εἶναι λέγεις τὰς Γραφὰς, καὶ οὐχὶ νοητάς. Οἱ γὰρ προφῆται καὶ τὸ Εὐαγγέλιον δύο Χριστοῦ παρουσίας διασαφοῦσι· μίαν ἐν ταπεινοφροσύνῃ, τὴν πρώτην, καὶ μετὰ ταῦτα δευτέραν ἔνδοξον. Καὶ περὶ μὲν τῆς πρώτης Ἡσαΐας οὕτω φησί· « Εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχε κάλλος, οὔτε εἶδος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. » Καὶ, « Ἰδοὺ ὁ παῖς μου, ὃν ᾑρετισάμην [u], ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησεν ἡ ψυχή μου. Οὐκ ἐρίσει, οὐδὲ κραυγάσει ἐν ταῖς πλατείαις· κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λῖνον τυφόμενον οὐ σβέσει. » Καὶ ὁ Ζαχαρίας· « Χαῖρε σφόδρα, θύγατερ Σιὼν, κήρυσσε, θύγατερ Ἰερουσαλήμ. Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραΰς, καὶ ἐπιβεβηκὼς [x] ἐπὶ ὄνον· » εἰσῆλθεν [y] ἐν Ἰερουσαλήμ. Οἶδε δὲ καὶ ὁ Παῦλος τὴν δευτέραν καὶ ἔνδοξον, λέγων· « Ἐν κελεύσματι Θεοῦ, ἐν φωνῇ ἀρχαγγέλου, ἐν τῇ ἐσχάτῃ σάλπιγγι καταβήσεται Κύριος ἀπ' οὐρανοῦ, » καθὼς φησι ὁ Δανιήλ· « Εἶδον ὡς Υἱὸν ἀνθρώπου ἐπὶ [z] τῶν νεφελῶν τοῦ οὐρανοῦ ἐρχόμενον. » Λέγει δὲ καὶ ἐν τῷ Εὐαγγελίῳ· « Ὥσπερ ἡ ἀστραπὴ ἐκβαίνει ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται ἡ ἔλευσις τοῦ Υἱοῦ ἀνθρώπου. » Δέδεικται οὖν ἡ μὲν πρώτη αὐτοῦ ἔλευσις ἐν ταπεινοφροσύνῃ γεγονυῖα, ἡ δὲ δευτέρα ἐν δόξῃ· ὥστε περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας εἴρηκεν ὁ Δανιὴλ τοῦτο· « Τότε γὰρ πᾶσα βασιλεία καὶ δυναστεία καταλυθήσεται, καὶ βασιλεύσει Κύριος μόνος εἰς τοὺς αἰῶνας. » Ὑμεῖς δὲ σφόδρα ἀπατᾶσθε, μὴ νοοῦντες τὰς Γραφὰς, μηδὲ τὴν δύναμιν αὐτῶν (τοῦ Θεοῦ), ἀλλὰ πάντα συγχέοντες, καὶ τοὺς καιροὺς, καὶ τὰ πράγματα. Τοὺς γὰρ εὐσεβῶς τὰς θείας Γραφὰς νοεῖν βουλομένους ἀνακρίνειν προσήκει, μετὰ πολλῆς ἀκριβείας, τοὺς καιροὺς, καὶ τὰ πρόσωπα, καὶ τὸν σκοπὸν τοῦ λαλοῦντος. Ὁ γὰρ μὴ ταῦτα διακρίνων, ἐν πολλαῖς ἀτοπίαις [a] περιπίπτει.

Responsio Origenis.

Ut videtur, nudas dicis esse Scripturas, nec ejusmodi ut cadant sub intelligentiam. Prophetæ enim et Evangelium duos Christi adventus aperte indicant, unum, primum scilicet, in humilitate; secundum, in gloria. De primo sic dicit Isaias : « Vidimus eum, et non habebat pulchritudinem, neque formam; sed forma ejus erat indecora, deficiens præter filios hominum [26]. » Et : « Ecce filius meus, quem elegi, dilectus, qui placuit animæ meæ. Non contendet, neque clamabit, neque audiet quispiam vocem ejus in plateis. Calamum contritum non confringet, et linum fumigans non exstinguet [27]. » Et Zacharias : « Lætare valde, filia Sion, prædica, filia Jerusalem : Ecce Rex tuus venit tibi mansuetus, sedens super asinum [28]. » Et in Evangelio ostensum est quod insidens asino ingressus sit Jerusalem [29]. Paulus quoque secundum eumque gloriosum adventum Christi novit, ita scribens : « In jussu Dei, in voce archangeli descendet Dominus de cœlo [30]. » Et Daniel vidit tanquam Filium hominis, per nubes venientem [31]. Dicit etiam in Evangelio : « Sicut fulgur exit ab oriente, et apparet usque in occidentem, ita erit adventus Filii hominis [32]. » Ostensum est ergo fuisse quidem primum ejus adventum in humilitate; secundum autem in gloria. Quamobrem de secundo ejus adventu hoc dixit Daniel : « Tunc enim omne regnum et potentia dissolvetur, et regnabit Dominus solus in sæcula [33]. » Vos autem valde decipimini, non intelligentes Scripturas, neque virtutem Dei, sed omnia confundentes, et res et tempora. Eos enim qui pie volunt Scripturas intelligere, oportet exacte et accurate dijudicare tempora, et personas, et scopum ejus qui loquitur. Hæc vero qui non dijudicat, in multa incidit absurda.

[24] Dan. VII, 13, 14. [25] Dan. II, 34, 35. [26] Isai. LIII, 2, 3. [27] Isa. LII, 1-3; Matth. XII, 28. [28] Zach. IX, 13; Isa. LXII, 11; Matth. XXI, 5, [29] Matth. ibid.; Joan. XII, 13; Luc. XIX, 35; Marc. II, 7. [30] I Thess. IV, 15. [31] Dan. VII, 13. [32] Matth. XXIV, 27. [33] Dan. VII, 14, 18.

VARIÆ LECTIONES.

[s] δείκνυσιν. [t] ἐκ δὲ τοῦ. [t*] fort. συστῆναι. [u] ἠρέτισα. [x] πρᾶος, ἐπιβεβηκώς. [y] Hic videntur Græca quædam deesse, ut apparet ex interprete. [z] διὰ. [a] εἰς πολλὰς ἀτοπίας.

(36) A ratione alienum est et absurdum instituti ac scopi vim non attendere, sed dictiones; estque hoc proprium non eorum qui divina volunt intelligere, sed eorum qui nudos admittunt sonos, et eos usque ad aures suscipiunt extrinsecus, non transeuntes; neque volunt scire quid ea dictio significet, et quomodo eam oporteat declarare per alias quæ æqualem vim habent, et sunt significantiores et clariores; affiguntur enim **329** elementis et litteris intelligentiæ haud perviis, et syllabis ac verbis ignotis, neque animæ intelligentiam penetrantibus, sed extra circum labia et aures perstrepentibus.

Ex magni Basilii Dialogico.

Oportet ex auditoribus eos qui divinis Scripturis instituti sunt, examinare ea quæ docentur a doctoribus, et ea quidem admittere quæ consonant sacris Scripturis, aliena rejicere; et eos qui in ejusmodi Scripturæ adversantibus placitis manent, vehementer aversari. « Væ, inquit, homini, per quem scandalum venit [34]. »

A Ἔστι μὲν ἄλογον, φησὶ, καὶ σκαιὸν τὸ μὴ τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν, ἀλλὰ ταῖς λέξεσι. Καὶ τοῦτο οὐκ ἔστι τῶν τὰ θεῖα νοεῖν ἐθελόντων ἴδιον, ἀλλὰ τοὺς ἤχους ψιλοὺς εἰσδεχομένων, καὶ τούτους ἄχρι τῶν ὠτῶν ἀδιαβάτους ἔξωθεν συνεχόντων [b], καὶ οὐ θελόντων εἰδέναι, τί μὲν ἡ τοιαύτη λέξις σημαίνει, πῶς δὲ αὐτὴν χρὴ καὶ δι' ἑτέρων ὁμοδυνάμων καὶ ἐκφαντικωτέρων λέξεων διασαφῆσαι, προσπαγόντων δὲ στοιχείοις καὶ γράμμασιν ἀνοήτοις, καὶ συλλαβαῖς, καὶ λέξεσιν ἀγνώστοις, μὴ διαβαινούσας εἰς τὸ τῆς ψυχῆς αὐτῶν νοερὸν, ἀλλ' ἔξω περὶ τὰ χείλη καὶ τὰς ἀκοὰς αὐτῶν διαβομβουμένας.

Τοῦ ἁγίου Βασιλείου [c].

B Δεῖ γὰρ τὸν ἀκροατὴν [d] τοὺς παιδευομένους ταῖς θείαις Γραφαῖς δοκιμάζειν τὰ παρὰ τῶν διδασκάλων λεγόμενα, καὶ τὰ μὲν σύμφωνα ταῖς Γραφαῖς δέχεσθαι, τὰ δὲ ἀλλότρια ἀποβάλλεσθαι, καὶ τοῖς τοιούτοις ἐπιμένοντας διδάγμασιν ἀποστρέφεσθαι σφοδρότερον. « Οὐαὶ γὰρ, φησὶ, τῷ ἀνθρώπῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται. »

QUÆSTIO XLIX.

Quænam sint eptem infusoria quæ vidit Zacharias?

RESPONSIO.

Et convertit me angelus qui loquebatur mihi, et dixit ad me: « Quid tu vides? Et dixi: Vidi, et ecce candelabrum aureum totum, et lucernula super ipsum, et septem lucernæ, et septem infusoria, et duæ olivæ super illud. Et dixit mihi angelus: Hoc est verbum Domini [35]. » Quis est ergo candelabrum? Sancta Maria. Cur autem candelabrum? Quoniam materiæ expertem lucem gestavit, Deum incarnatum. Cur candelabrum totum aureum? Quoniam post partum mansit virgo. Dicit enim: « Hæc porta erit clausa, et nemo intrabit per eam [36]; » sed Dominus Deus solus intrabit, et sedebit, quoniam ipse est dux, et egredietur, et claudet portam post se. Quod autem uterus sit porta, testatur Job, dicens: « Cur non conclusisti portas uteri matris meæ [37]? »

Quid est autem lucernula? Deus verbum incarnatum; dicit enim Isaias: « Propter Sion non tacebo, et propter Jerusalem non quiescam, donec egressa fuerit, tanquam lumen, justitia mea; salutare autem meum tanquam lucerna ardebit [38]. » Quænam sunt septem lucernæ? Septem leges singulares. Dicit enim: « Lucerna pedibus meis lex tua, et lucerna mandatum legis et lux [39]. » Quod sint septem leges, audi. Prima lex est ea, quam

ΕΡΩΤΗΣΙΣ ΜΘ'.

Τίνες εἰσὶν αἱ ἑπτὰ ἑπαρυστρίδες ἃς εἶδε Ἡσαΐας [e];

ΑΠΟΚΡΙΣΙΣ.

Καὶ ἐπέστρεψέ με ὁ ἄγγελος, ὁ λαλῶν, φησὶν ἐν ἐμοὶ [e'], καὶ εἶπε πρός με· « Τί σὺ βλέπεις; Καὶ εἶπον ἐγὼ, Ἑώρακα, καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη, καὶ τὸ λαμπάδιον ἐπάνω αὐτῆς, καὶ ἑπτὰ λύχνοι, καὶ ἑπτὰ ἑπαρυστρίδες, καὶ δύο ἐλαῖαι ἐπάνω. Καὶ εἶπέ μοι ὁ ἄγγελος· Οὗτος ὁ λόγος Κυρίου. » Τίς οὖν ἐστιν ἡ λυχνία; Ἡ ἁγία Μαρία. Διὰ τί δὲ λυχνία; Ὅτι τὸ ἄῦλον φῶς Θεὸν σαρκωθέντα ἐβάστασε. Διὰ τί δὲ χρυσῆ ὅλη; Ὅτι μετὰ τόκον παρθένος ἔμεινε· φησὶ γάρ· « Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, καὶ οὐδεὶς μὴ διέλθῃ δι' αὐτῆς, » ἀλλὰ Κύριος ὁ Θεὸς μόνος εἰσελεύσεται καὶ καθιεῖται, ὅτι αὐτός ἐστιν ἡγούμενος, καὶ ἐξελεύσει, καὶ κλείσει τὰς θύρας ὄπισθεν αὐτοῦ. Ὅτι δὲ ἡ μήτρα πύλη λέγεται, μάρτυς Ἰώβ, λέγων· « Διὰ τί δὲ οὐκ ἐνέκλεισας [f] πύλας γαστρὸς μητρός μου; »

Τί δὲ τὸ λαμπάδιον; Ὁ σαρκωθεὶς Θεὸς Λόγος. Φησὶ γὰρ Ἡσαΐας· « Διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἰερουσαλὴμ οὐκ ἀνήσω, ἕως οὗ ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη μου, τὸ δὲ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται. » Τίνες δὲ οἱ ἑπτὰ λύχνοι; Οἱ κατὰ μέρος νόμοι. Φησὶ γάρ· « Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ λύχνος ἐντολὴ νόμου καὶ φῶς. » Ὅτι δὲ ἑπτὰ νόμοι εἰσὶν, ἄκουσον. Πρῶτος νόμος ὁ ἔμφυτος, περὶ οὗ Παῦλός φησιν· « Ὅταν ἔθνη τὰ μὴ νόμον

[34] Matth. XVIII, 7. [35] Zach. IV, 1-3, 6. [36] Ezech. XLIV, 2. [37] Job III, 10. [38] Isa. LXII, 1. [39] Psal. CXVIII, 105.

VARIÆ LECTIONES.

[b] ἐχόντων. [c] Ita habet C. G. nihil aliud, Hervetus addidit *Dialogico*. [d] τῶν ἀκροατῶν. [e] Zachariæ. [e'] ἐπέστρεψεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί. [f] συνέκλεισας.

NOTÆ.

(36) Sequentia ascribuntur sancto Dionysio Areopagitæ in editione Herveti; nec comparent apud Origenem, dial. primo contra Marcionitas. Vere enim sunt Areopagitæ in lib. *De divinis nominibus*.

ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος. » Δεύτερος δὲ ὁ διὰ τῆς ὄψεως· ὃν γὰρ Θεὸν ὁ νόμος κηρύττει, τοῦτον ἡ ὄψις διὰ τῶν κτισμάτων πιστοῦται· ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται. Τρίτος, ἡ ἀπὸ τοῦ ξύλου ἐντολή. Φησὶ γὰρ ὁ Ἀπόστολος· « Ὁ μὲν νόμος ἅγιος, ἡ δὲ ἐντολὴ ἁγία, καὶ δικαία, καὶ ἀγαθή. » Τέταρτος, ὁ ἐπὶ τοῦ Νῶε ἐν τῇ νεφέλῃ. Πέμπτος, ὁ ἐπὶ τοῦ Ἀβραάμ, διὰ τῆς περιτομῆς. Ἕκτος, ὁ τοῦ γράμματος. Ἕβδομος, ὁ τῆς θείας χάριτος. Ὅτι δὲ ἡ χάρις νόμον ἔχει, φησὶν ὁ Ἀπόστολος· « Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ. Λέγει δὲ καὶ Ἡσαΐας, « Ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἰερουσαλήμ· καὶ κρινεῖ ἀναμέσον ἐθνῶν πολλῶν. »

A quilibet a natura insitam habet, de qua Apostolus: « Cum gentes, quæ legem non habent, naturaliter ea quæ sunt legis faciunt, ejusmodi legem non habentes, ipsi sunt lex [40]. » Secunda est, quæ per visum est; quem enim Deum lex prædicat, eum visus probat per res creatas. Nam ex rerum creatarum magnitudine, pulchritudine et convenienti proportione earum factor consideratur et cernitur. Tertia lex erat illud (Adamo) de ligno mandatum. **330** Dicit enim Apostolus: « Lex quidem sancta, et mandatum sanctum, et justum, et bonum [41]. » Quarta, quæ tempore Noe fuit in nube. Quinta, quæ tempore Abrahæ fuit per circumcisionem. Sexta, lex litteræ. Septima, lex gratiæ. Quod gratia legem habeat, testatur Apostolus: « Alter alterius onera portate, et sic adimplebitis legem

B Christi [42]. » Dicit autem Isaias: « De Sion exibit lex, et verbum Domini de Jerusalem, et judicabit inter multas gentes [43]. »

Τίνες εἰσὶν αἱ ἑπτὰ ἑπαρυστρίδες; Τὰ ἑπτὰ χαρίσματα τοῦ Πνεύματος, ὡς φησιν Ἡσαΐας· « Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσει, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν ἑπτὰ πνεύματα· πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας, πνεῦμα φόβου Θεοῦ ἐμπλήσει αὐτόν. » Τίνες αἱ δύο ἐλαῖαι; Αἱ δύο διαθῆκαι. Ὡς γὰρ ἡ ἐλαία ἀειθαλὲς ἔχει τὸ φύλλον, οὕτως αἱ δύο διαθῆκαι ἀπαύστους ἔχουσι τὰς περὶ Θεοῦ μαρτυρίας. Ταῦτα πάντα φυλάξας ὁ Δαυὶδ ἔψαλλεν· « Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου, Κύριε· » καὶ, « Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην. » Καὶ, « Ἐποίησα κρίμα καὶ δικαιοσύνην· διότι κρίμα καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας. » Καὶ πάλιν φησί· « Γινώσκεται Κύριος κρίματα ποιῶν. » Ὅθεν λοιπὸν [a] τοὺς φυλάσσοντας, ταῦτα λέγων· « Μακάριοι οἱ φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ. » Διά τοι τοῦτο ἡ μὲν προφητεία παραινεῖ λέγουσα· « Ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν Κύριον, καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην. » Ὁ δὲ Κύριος διὰ Ἐζεκιὴλ φάσκει· « Καὶ ὁ ἄνομος ἐὰν ἐπιστρέψῃ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ, καὶ ποιήσῃ κρίμα καὶ δικαιοσύνην, ζήσεται, καὶ οὐκ ἀποθανεῖ. »

Quænam sunt septem infusiora? Septem dona Spiritus sancti, ut dicit Isaias: « Egredietur virga e radice Jesse, et flos e radice ascendet, et requiescet super eum spiritus sapientiæ et intellectus, spiritus consilii et virtutis, spiritus scientiæ et pietatis; spiritus timoris Dei implebit ipsum [44]. » Quænam sunt duæ olivæ? Duo testamenta. Sicuti enim olea habet folium semper virescens, ita etiam duo testamenta habent perpetua et nunquam cessantia de Deo testimonia. Horum omnium observator beatus David canebat. « Custodivi mandata tua, et testimonia tua, Domine [45]. » Et: « Confige timore tuo carnes meas, a judiciis enim tuis timui [46]. » Et: « Feci judicium

C et justitiam [47]. » Et: « Judicium et justitiam in Jacob tu fecisti [48]. » Rursus: « Cognoscetur Dominus judicia faciens [49]. » De custodientibus justitiam et judicium hæc pronuntiat: « Beati, qui custodiunt judicium, et faciunt justitiam in omni tempore [50]. » Quapropter propheta admonet: « In hoc glorietur, qui gloriatur, scire et nosse Dominum, et facere judicium, et justitiam [51]. » Et Dominus per Ezechielem: « Si impius ab omnibus peccatis suis se averterit, et fecerit judicium et justitiam, vita vivet, et non morietur [52]. »

ΕΡΩΤΗΣΙΣ Ν'.

Τίς ἡ διαφορὰ τοῦ νόμου καὶ ἐντολῆς [b]*;*

ΑΠΟΚΡΙΣΙΣ.

Νόμος μὲν λέγεται ὁ καθόλου, ἐντολαὶ δὲ, αἱ κατὰ μέρος, οἷον τὸ, « Οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, » καὶ ὅσα τούτοις ἀκόλουθα. Μαρτυρίαι δὲ, ὥσπερ ἂν μετά τινος μαρτυρίας ὁ νομοθέτης παραγγεῖλῃ τοῖς ἀκούουσιν, ὡς Μωσῆς ἔλεγε· « Διαμαρτύρομαι ὑμῖν σήμερον τὸν οὐρανὸν καὶ τὴν γῆν. » Κρί-

QUÆSTIO L.

D *Quænam sit differentia legis et mandati?* (Ex Eusebio.)

RESPONSIO.

Lex dicitur, quæ est universe; mandata, quæ sunt sigillatim; ut illud: « Non occides, non mœchaberis, non furaberis [53], » et quæ sunt iis consequentia. Testimonium, quod cum aliqua ædificatione auditoribus præcipit legislator, ut cum diceret Moyses: « Testor vobis hodie cœlum et ter-

[40] Rom. II, 14. [41] Rom. VII, 12. [42] Galat. VI, 2. [43] Isa. II, 3. [44] Isa. XI, 2, 3. [45] Psal. CXVIII, 168. [46] ibid. 120. [47] ibid. 121. [48] Psal. XCVIII, 4. [49] Psal. IX, 17. [50] Psal. CV, 3. [51] Jerem. IX, 24. [52] Ezech. XVIII, 21. [53] Exod. XX, 13, 14.

VARIÆ LECTIONES.

[a] Videtur hic aliquid deesse: ut vocula πρός. [b] Εὐσεβίου.

rans [56]. » Judicia vocantur, quæ scripsit judicante et approbante Deo; ut liquet in illo qui terribile Dei nomen blasphemaverat [55], quod sacrilegium Moyses ad 331 Deum retulit; noluit enim sibi de eo judicium sumere. Blasphemo autem, Dei jussu, obruto lapidibus [54], hoc decretum, et judicium adversus alios blasphemos edidit: « Qui blasphemaverit nomen Domini, morte moriatur [57]. » Justificationes sunt hæc præcepta: « Si possederis, inquit, servum Hebræum, sex annos serviet [58], » etc. Hæc enim sunt summæ justitiæ: furti, et cædis, et adulterii prohibitio, honor parentum, jurisjurandi observatio, et similia, quæ etiam observantur ab iis qui carent lege.

A ματα δὲ, ὅσα, κρίναντος τοῦ Θεοῦ καὶ δικαιώσαντος, ἐγράφη, ὡς ἐπὶ τοῦ βλασφημήσαντος τὸ φοβερὸν ὄνομα, Μωϋσῆς ἐπὶ τὸν Θεὸν ἀναφέρει, οὐκ ἐπιτρέψας ἑαυτῷ τὴν κρίσιν. Ἐκείνου δὲ λιθοβοληθέντος, κατὰ τὴν θείαν πρόσταξιν, ὅρος οὗτος, καὶ κρῖμα κατὰ τῶν ἄλλων βλασφήμων ἐγένετο· « Ὀνομάζων δὲ τὸ ὄνομα Κυρίου, θανάτῳ θανατούσθω. » Δικαιώματα δὲ τὰ τοιαῦτα προστάγματα· « Ἐὰν κτήσῃ παῖδα Ἑβραῖον, φησὶ, ἔξ ἔτη δουλεύσει σοι, » καὶ τὰ ἑξῆς. Ταῦτα γὰρ δικαιοσύνης ὑπερβαλλούσης ἔχεται· κλοπῆς, καὶ φόνου, καὶ μοιχείας ἀπαγόρευσις, γονέων τιμὴ, ὅρκων φυλακὴ, καὶ τὰ ὅμοια, ἃ καὶ παρὰ τῶν ἀνόμων φυλάττεται.

QUÆSTIO LI.

Quinam in Scriptura alia habentes nomina, ea mutarunt et quam ob rem?

RESPONSIO.

Nominum mutationes invenimus in sanctis. Nam Evam quidem primum viraginem vocavit Deus; « Quoniam, inquit, sumpta fuit ex viro suo [59]. » Post transgressionem mutato nomine, eam vocavit Vitam: « Quoniam ipsa est mater omnium viventium [60]. » Quando cognovit eam, vocavit illam Evam [61]. Secundus est Abraham. Hic prius vocabatur Abram; mutato a Deo nomine, vocatus est Abraham: « Quoniam futurus erat pater multarum gentium [62]. » Tertio, Sara appellabatur Sara; mutato nomine appellata est Sarra, quoniam paritura erat Isaac [63]. Quarto, Jacob vocabatur Jacob; mutato autem nomine, eum luctans Dominus postea vocavit Israel: « Quoniam, inquit, cum Deo fuisti fortis, et cum hominibus eris potens [64]. » Quinto Esau appellabatur Esau; vocatus est autem postea etiam Edom ab æqualibus, quod est, *rufus* [65]. Sexto, Joseph appellabatur Joseph: Pharao autem admiratus, qui in eo erat, spiritum, vocavit eum Ægyptiace Psonthomphanech [66]. Septimo, Job Jobam vocabatur: post plagam autem vocabatur Job, propter charitatem quam habebat in Deum, et ejus tolerantiam. Octavo, Osee vocabatur filius Nave: Moyses autem, quando eum misit ad terram speculandam, mutato nomine, eum vocavit Jesum, quod est, *salus populi* [67]. Nono, Daniel vocabatur Daniel: Nabuchodonosor autem vocavit eum Baltasar [68], convenienter nomini Dei sui; quoniam in eo vidit Spiritum sanctum [69]. Decimo, tres pueri vocabantur Ananias, Azarias, Misael: Asphanez autem, eunuchus Nabuchodonosor, vocavit eos Sidrach, Misach, et Abdenago [70], propter eorum virtutem. Undecimo, Petrus apostolus vocabatur Simon; Dominus autem ei dicit: « Tu vocaberis

B

ΕΡΩΤΗΣΙΣ ΝΑ.

Τίνες ἐν τῇ Γραφῇ ἕτερα ἔχοντες ὀνόματα, ὕστερον μετωνομάσθησαν, καὶ διατί;

ΑΠΟΚΡΙΣΙΣ.

Τὰς μετωνυμίας ἐπὶ τῶν ἁγίων εὑρίσκομεν. Εὔαν μὲν πρῶτον γυναῖκα ἐκάλεσεν ὁ Θεὸς [i-k], « ὅτι ἐκ τοῦ ἀνδρὸς, φησὶ, αὐτῆς ἐλήφθη. » Μετὰ δὲ τὴν παράβασιν μετωνόμασε αὐτὴν ζωὴν, « ὅτι αὐτὴ μήτηρ πάντων τῶν ζώντων. » Ὅτε δὲ ἔγνω αὐτὴν, ἐκάλεσεν αὐτὴν Εὔαν. Δεύτερος Ἀβραάμ, Ἄβραμ ἐκαλεῖτο πρότερον, μετωνομάσθη δὲ ὑπὸ τοῦ Θεοῦ ὕστερον Ἀβραάμ, ὅτι πατὴρ πολλῶν ἐθνῶν ἔμελλεν ἔσεσθαι. [l] Σάρα ἐκαλεῖτο Σάρα, μετωνόμασε δὲ αὐτὴν ὁ Θεὸς Σάῤῥα [m], ὅτι ἔμελλε τίκτειν τὸν Ἰσαάκ. Τέταρτον Ἰακὼβ, Ἰακὼβ ἐκαλεῖτο, μετωνόμασε δὲ αὐτὸν ὁ παλαίων Κύριος Ἰσραήλ· « Ὅτι ἐνίσχυσας, φησὶ, μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων ἔσῃ δυνατός. » Πέμπτον, Ἡσαῦ, Ἡσαῦ ἐκαλεῖτο, ἐκλήθη δὲ ὕστερον καὶ Ἐδὼμ ὑπὸ τῶν συνηλικιωτῶν, ὅ ἐστι *πυῤῥός*. Ἕκτον Ἰωσὴφ ἐκαλεῖτο Ἰωσήφ· ὁ δὲ Φαραὼ θαυμάσας τὸ ἐν αὐτῷ πνεῦμα, ἐκάλεσεν αὐτὸν Αἰγυπτιστὶ Ψονθομφανήχ. Ἕβδομον, Ἰὼβ Ἰωβὰμ ἐκαλεῖτο· μετὰ δὲ τὴν πληγὴν Ἰὼβ ἐκλήθη, διὰ τὴν ἀγάπην, ἣν εἶχε πρὸς τὸν Θεὸν, καὶ τὴν ὑπομονὴν αὐτοῦ. Ὄγδοον, Αὐσὴ ἐκαλεῖτο ὁ υἱὸς Ναυή· ὁ δὲ Μωϋσῆς ἡνίκα ἀπέστειλεν αὐτὸν κατασκοπῆσαι τὴν γῆν, μετωνόμασεν αὐτὸν Ἰησοῦν, ὅ ἐστι *σωτηρία λαοῦ*. Ἔνατον, Δανιὴλ ἐκαλεῖτο Δανιήλ· ὁ δὲ Ναβουχοδονόσορ ἐκάλεσεν αὐτὸν Βαλτάσαρ, κατὰ τὸ ὄνομα τοῦ Θεοῦ αὐτοῦ, ὅτι Πνεῦμα ἅγιον εἶδεν ἐν αὐτῷ. Δέκατον, Ἀνανίαν, Ἀζαρίαν, καὶ Μισαὴλ ἐκαλοῦντο οἱ τρεῖς παῖδες· ὁ δὲ Ἀσφανὲζ, ὁ εὐνοῦχος τοῦ Ναβουχοδονόσορ, ἐκάλεσεν αὐτοὺς Σεδρὰχ, Μισὰχ, καὶ Ἀβδεναγὼ, διὰ τὴν ἀρετὴν αὐτῶν. Ἑνδέκατον, Σίμων ἐκαλεῖτο Πέτρος· ὁ δὲ Κύριος πρὸς αὐτὸν· « Σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος, » διότι ἔμελλε λέγειν· « Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν. » Δωδέκατον,

C D

[56] Deut. xxx. [55] Levit. xxiv, 11. [54] ibid. 23. [57] ibid. 16. [58] Exod. xxi, 2. [59] Gen. ii, 23. [60] Gen. iii, 20. [61] ibid. [62] Gen. xvii, 5. [63] ibid. 15, 19. [64] Gen. xxxii, 28. [65] Gen. xxv, 30. [66] Gen. xli, 45. [67] Num. xiii, 17. [68] Dan. i. 7. [69] Dan. iv, 5. [70] Dan. i, 7.

VARIÆ LECTIONES.

i-k Ἀδάμ. [l] τρίτον. [m] Gen. 17: Οὐ κληθήσεται τὸ ὄνομα αὐτῆς Σάρα, Σάῤῥα ἔσται τὸ ὄνομα αὐτῆς. Edit. vulg. *Sarai uxorem tuam non vocabis Sarai, sed Sara.*

Ἰάκωβος καὶ Ἰωάννης υἱοὶ Ζεβεδαίου ἐκαλοῦντο· ὁ A Cephas, quod interpretatur Petrus [71]; » quoniam
δὲ Κύριος ἐκάλεσεν αὐτοὺς Βοανεργές, ὅ ἐστιν, υἱοὶ erat dicturus : **332** « Tu es Petrus, et super hanc
βροντῆς, διότι ἔμελλον ὡς βροντὴ, μεγαληγόρως petram ædificabo Ecclesiam meam [72].» Duodecimo,
εὐαγγελίζεσθαι περὶ τοῦ Κυρίου. Τρισκαιδέκατον, Jacobus et Joannes vocabantur filii Zebedæi : Do-
Παῦλος Σαῦλος ἐκαλεῖτο, ἕως ἐδίωκε τὴν Ἐκκλησίαν minus autem vocavit eos Boanerges; quod est, filii
τοῦ Χριστοῦ· γενόμενος δὲ ἀπόστολος, καὶ ἐλθὼν tonitrui [73] : quoniam tanquam tonitru erant magna
εἰς Πάφον τῆς Κύπρου, μετωνόμασεν αὐτὸν Παῦλον. voce prædicaturi Evangelium Domini. Decimo
tertio, Paulus Saulus vocabatur, quandiu persequebatur Ecclesiam Christi [74]; at factus apostolus, cum venisset Paphum urbem Cypri, mutato nomine, vocavit eum Paulum Scriptura [75].

ΕΡΩΤΗΣΙΣ ΝΒ'.

Πῶς νοητέον τὸ, « Ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν ἐνευλογεῖται; »

ΑΠΟΚΡΙΣΙΣ.

Παρὰ τὸ εὖ λέγεσθαι εἴρηται ἐνταῦθα, εὐλογεῖται, τουτέστιν, ἐπαινεῖται καὶ ἐγκωμιάζεται παρὰ τῶν B κολακευόντων, καὶ ἐπιτριβόντων αὐτοῦ τὴν κακίαν, καὶ μηδὲ αἴσθησιν τῆς νόσου διὰ τῆς σιωπῆς ἐμποιῆσαι ἀνεχομένων· διὸ καὶ ἀνήκεστος ὁ τοιοῦτος εὑρίσκεται. Τὸ γὰρ, μηδὲ αἴσθησιν τοῦ πάθους ἔχειν, θεραπείαν οὔτε ἐπιζητεῖ, οὔτε προσίεται. Καὶ τοῦτό ἐστι πάντων δεινότατον, ὅταν ἡ κακία ἐπαινεῖται, καὶ μηδὲ κακία εἶναι νομίζεται. Διὸ χρὴ μάλιστα μὲν, εἰ δυνατὸν, διορθοῦν τὸν τοιοῦτον· εἰ δὲ μὴ, μηδὲ κολακεύειν, μηδὲ ἐπιτρίβειν τὸ πάθος, ἀλλὰ τῇ σιωπῇ αἴσθησιν αὐτοῦ τῆς πονηρίας ἐμποιεῖν. Εἰ δὲ μηδὲ τοῦτο βούλοιτό τις ποιεῖν, φεύγειν προτροπάδην, ἵνα μὴ κοινωνὸς τῆς κακίας [a] εὑρεθεὶς, κοινωνὸς αὐτῷ καὶ ἐν ταῖς τιμωρίαις γενήσηται. Ὥσπερ γὰρ ὁ εἰς ἀρετὴν ἐνάγων στεφανοῦται, κἂν μηδὲν ἀνύσῃ· τὸ γὰρ ἑαυτοῦ πεπλήρωκεν· οὕτω C καὶ ὁ εἰς κακίαν ἀλείφων κολάζεται, κἂν μηδὲν ἰσχύσῃ· τὸ γὰρ ἑαυτοῦ καὶ οὗτος ἐποίησεν.

Ἐκ τῶν ἀποστολικῶν Διαταγμάτων.

Οὔτε γὰρ κλέπτῃ δεῖ συντρέχειν, οὐδὲ μετὰ μοιχοῦ μερίδα τίθεσθαι, ἐπείπερ καὶ ὁ Δαβὶδ φησι, « Κύριε, τοὺς μισοῦντάς σε ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην· τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι. » Καὶ τῷ Ἰωσαφὰτ ὀνειδίζει ὁ Θεὸς, διὰ τὴν πρὸς Ἀχαὰβ φιλίαν καὶ συμμαχίαν, διὰ Ἠσαΐου [a*]· « Εἰ ἁμαρτωλῷ φιλιάζεις; ἢ μισουμένῳ ὑπὸ Κυρίου σὺ βοηθεῖς; Διὰ τοῦτο ἐξαίφνης ὀργὴ Κυρίου ἐπὶ σὲ ἐγένετο, εἰ μὴ ὅτι εὑρέθη ἡ καρδία σου τελεία πρὸς Κύριον, καὶ λόγοι καλοὶ εὑρέθησαν ἐν σοὶ, διὰ τοῦτο ἐφείσατό D σου Κύριος. »

QUÆSTIO LII.

Quomodo est intelligendum illud : « Laudatur peccator in desideriis animæ suæ, et iniquus benedicitur [76]? »

RESPONSIO.

Benedicitur, hoc in loco, idem est, quod laudatur, et encomiis honoratur ab aliis qui ei adulantur, et ejus vitium palpant et demulcent, et ne permittunt quidem ut per silentium, morbi sui sensum accipiat : et ideo talis est immedicabilis. Nam propterea quod ne sensum quidem habet suæ ægritudinis, non quærit et non admittit medelam. Est autem hoc omnium gravissimum, quando laudatur vitium, et ne vitium quidem censetur. Quamobrem oportet ejusmodi, siquidem id fieri potest, corrigere; sin minus, non assentari, neque vitium palpare ac demulcere, sed silentio afferre ei sensum sceleris. Sin autem hoc nolit, eum quam maxime fugere et aversari; ne, si sceleris socius fuerit, in suppliciis quoque inveniatur socius. Quomodo enim qui ad virtutem inducit coronatur, etiamsi nihil perfecerit; nam quod suum est, implevit : ita etiam qui ad vitium hortatur et incitat, punitur, etiamsi nihil potuerit : nam is quoque fecit quod in se fuit.

Ex Constitutionibus apostolicis (lib. VI, c. 18).

Neque enim oportet simul currere cum fure, neque cum adultero partem ponere. Nam David quoque dicit : « Domine, odientes te odio habui, et super inimicos tuos tabescebam; perfecto odio oderam illos, et inimici facti sunt mihi [77]. » Josaphat quoque exprobrat Deus per Isaiam (per Jehu), propter amicitiam et societatem, quam inierat cum Achab, dicens : « Si peccatori amicitia jungeris [78]? » — « Si ei qui a Domino odio habetur fers auxilium? propterea in te repente orta est ira Domini; nisi quod inventum est cor tuum perfectum apud Deum, et sermones boni inventi sunt in te, propterea tibi pepercit Dominus [79]. »

[71] Joan. I, 42. [72] Matth. XVI, 18. [73] Marc. III, 17. [74] Act. IX, 5. [75] Act. XIII, 9. [76] Psal. X sec. Hebr., 3. [77] Psal. CXXXVIII, 21, 22. [78] II Paral. XIX, 2. [79] ibid. 3.

VARIÆ LECTIONES.

[a] ὀφθῇ. [a*] Ἰηοῦ.

333 QUÆSTIO LIII.

Quomodo est intelligendum : « Cogitatio hominis confitebitur tibi [80] (37)? »

RESPONSIO.

Festum est eorum qui lætantur; confessio eorum qui examinantur; et hoc tristitiæ est, illud gaudii. Hoc ergo dicit, allatam et auditam in judicio etiam prætervolantem et imperfectam cogitationem de bono longe præstare cogitationi malæ, etiam absolutæ et consummatæ: hæc enim in examen vocatur : illa vero diem festum et lætitiam conciliat.

Ex Basilio in Isaiam.

Diligenter nobis attendamus ne impium aliquem hominem verbo vel facto justificemus, per ejus in nos gratiam inducti ad ei assentiendum. « Væ enim, inquit, iis qui dicunt bonum malum, et malum bonum; qui ponunt tenebras lucem, et lucem tenebras; qui ponunt amarum dulce, et dulce amarum [81]. »

Ex Chrysostomi oratione in Saulem.

Non solum æmulari vitium, sed etiam eos laudare qui vivunt in vitio, gravius affert supplicium quam sit eorum qui vivunt in nequitia. Nam laudare peccatores, ad rationem supplicii, longe majus est quam peccare; et merito. Corruptæ enim mentis et animi incurabilis hæc sententia. Nam qui laudat vitium, eum qui vitio laborat privat medicina, quæ habetur ex pœnitentia. Quamobrem merito hoc gravius esse illo statuit Paulus. Propterea non solum, qui mala agunt, sed etiam qui eos laudant [82], ejusdem, aut etiam gravioris, quam illi, erunt supplicii participes.

ΕΡΩΤΗΣΙΣ ΝΓ'.

Πῶς νοητέον, ὅτι « Ἐνθύμημα ἀνθρώπου ἐξομολογήσει σοι; »

ΑΠΟΚΡΙΣΙΣ.

Ἡ μὲν ἑορτὴ εὐφραινομένων ἐστὶν, ἡ δὲ ἐξομολόγησις ἑορταζομένων [o] (38) · καὶ τὸ μέν ἐστι λύπης, τὸ δὲ χαρᾶς. Τοῦτο οὖν λέγει, ὅτι ἐν τῇ κρίσει ἀντεισηκούμενον [p] τὸ παροδικὸν καὶ ἀτελὲς τοῦ ἀγαθοῦ ἐνθύμημα τῷ πονηρῷ καὶ ἀπηρτισμένῳ ἐνθυμήματι τὸ πλεῖον ἔχει. Τὸ μὲν γὰρ ἐξετάζεται, τὸ δὲ ἑορτῆς καὶ χαρᾶς γίνεται πρόξενον.

Τοῦ ἁγίου Βασιλείου ἐκ τῆς ἑρμηνείας Ἡσαΐου.

Ἐπιμελέστερον ἑαυτοῖς προσέχωμεν, μή τινα ἀσεβῆ ἄνθρωπον δικαιώσωμέν ποτε λόγῳ ἢ ἔργῳ, κατὰ τὴν πρὸς ἡμᾶς χάριν προσαχθέντες αὐτοῦ τῇ συγκαταβάσει. « Οὐαὶ γὰρ, φησὶ, οἱ λέγοντες τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρόν · οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς · οἱ τιθέντες τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν.

Τοῦ Χρυσοστόμου ἐκ τοῦ εἰς τὸν Σαούλ.

Οὐ [q] τὸ ζηλοῦν κακίαν, ἀλλὰ καὶ τὸ τοὺς ἐν αὐτῇ ζητοῦντας [r] ἐπαινεῖν φέρει κόλασιν χαλεπωτέραν τῶν ἐν πονηρίᾳ ζώντων. Τοῦ γὰρ ἁμαρτάνειν, τὸ [s] ἐπαινεῖν τοὺς ἁμαρτάνοντας, πολὺ μεῖζον εἰς κολάσεως λόγον · καὶ μάλα εἰκότως · διεφθαρμένης γάρ ἐστι γνώμης καὶ ψυχῆς ἀνίατα νοσούσης ἡ ψῆφος αὕτη. Ὁ γὰρ ἐπαινῶν πονηρίαν, τῆς ἐκ τοῦ μετανοῆσαι θεραπείας αὐτὸν ἀπεστέρησεν, ὥστε εἰκότως τοῦτο ἐκείνου χαλεπώτερον ὁ Παῦλος εἶναι νομοθέτησε. Διὰ τοῦτο οὐχ οἱ τὰ φαῦλα πράττοντες μόνον, ἀλλὰ καὶ οἱ τούτους ἐγκωμιάζοντες, τῆς αὐτῆς ἢ καὶ χαλεπωτέρας ἐκείνοις κοινωνήσουσι κολάσεως.

QUÆSTIO LIV.

Quomodo est intelligendum illud : « Si quis scit fratrem suum peccare peccatum non ad mortem, petet et dabit ei vitam peccantibus non ad mortem [83]? »

RESPONSIO.

Peccatum non ad mortem appellat id quod fit ignoranter; peccatum vero ad mortem, quod fit scienter. Unde subjungit: « Non pro illo dico, ut roget quis [84] » in suo enim est arbitrio seipsum convertere, **334** aut non convertere. Aut peccatum ad mortem est cujus injuria ad Deum, non ad hominem, qui est ejusdem naturæ, transit; de quo peccato scriptum est : « Si peccaverit vir in virum, orabitur pro eo ad Dominum; si peccaverit in Dominum, quis orabit pro eo [85]? » Proprie ergo si-

ΕΡΩΤΗΣΙΣ ΝΔ'.

Πῶς νοητέον τὸ, « Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει, καὶ δώσει αὐτῷ ζωὴν, τοῖς ἁμαρτάνουσι μὴ πρὸς θάνατον; »

ΑΠΟΚΡΙΣΙΣ.

Μὴ πρὸς θάνατον μὲν ἁμαρτίαν λέγει τὴν ἐν ἀγνοίᾳ, πρὸς θάνατον δὲ τὴν ἐν γνώσει, ὅθεν ἐπάγει· « Οὐ περὶ ἐκείνης λέγω, ἵνα ἐρωτήσῃ, » ἐν γὰρ τῇ οἰκείᾳ γνώμῃ ἀπόκειται τὸ ἐπιστρέψαι ἑαυτὸν, (ἢ πάλιν) μὴ ἐπιστρέψαι · ἢ πάλιν ἁμάρτημα [t] πρὸς θάνατόν ἐστιν ἡ εἰς τὸν Θεὸν διαβαίνουσα, καὶ οὐκ εἰς τὸν ὁμοφυῆ ἄνθρωπον, περὶ ἧς γέγραπται · « Ἐὰν ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύξηται [u] περὶ αὐτοῦ πρὸς Κύριον · καὶ ἐὰν πρὸς Κύριον ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ ; » Οὐκοῦν τὴν

[80] Psal. LXXV, 11. [81] Isa. V, 20. [82] Rom. I, 32. [83] I Joan. V, 16. [84] ibid. [85] I Reg. II, 25.

VARIÆ LECTIONES.

[o] Leg. ἐξεταζομένων. [p] ἀντεισηγούμενον. [q] μόνον. [r] ζῶντας. [s] καί. [t] ἁμαρτία. [u] καὶ προσεύξονται.

NOTÆ

(37) Videntur in Græco deesse sequentia psalmi : *Et reliquiæ cogitationis diem festum agent tibi.* Quia responsio his verbis congruit, quæ in Vulg. reperiuntur.

(38) *Ἑορταζομένων.* Lego ἐξεταζομένων, ut paulo post τὸ μὲν γὰρ ἐξετάζεται. Ibid. ἀντεισηκούμενον, lego ἀντεισηγούμενον. (ALEMANN.)

εἰς Θεὸν βλασφημίαν κυρίως λέγει καὶ ἀσέβειαν, ἣν καὶ ὁ Μωσαϊκὸς νόμος θανάτῳ καταδικάζει, καὶ οὐ ζημίαν χρηματικὴν [x], ἢ ἑτέρῳ τινὶ ἐπιτιμίῳ. Ὥστε περὶ αἱρετικῶν τοῦτο δοκεῖ λέγειν, καὶ οὐ περὶ Ἑλλήνων, ἢ Ἰουδαίων· οὐ γὰρ ἐκεῖνοι ἐν ἀδελφοῖς ταχθήσονται. Πλὴν οὖν καὶ ἡ ἐν συγγνώσει μεγίστη ἁμαρτία, οἷον, φόνος, μοιχεία, ἀνδροσυνία, θάνατος ψυχῆς λέγεται.

A gnificat blasphemiam et impietatem in Deum, quam lex Mosaica morte multat, non pœna pecuniaria, aut aliquo alio supplicio. Quamobrem hoc videtur dicere de hæreticis, non de gentibus, aut Judæis : nam illi non censentur in numero fratrum. Cæterum etiam grandia peccata, quæ scienter admittuntur, ut homicidium, adulterium, insanus amor masculorum, et quæ sunt his similia, mors animæ nominantur.

ΕΡΩΤΗΣΙΣ ΝΕ'.

Πῶς νοητέον, « Οὓς προέγνω καὶ προώρισε, τούτους καὶ ἐκάλεσε; » καὶ, « Ὃν θέλει, ἐλεεῖ, ὃν δὲ οὐ θέλει, σκληρύνει; » καὶ, « Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ; » Πολλοὶ γὰρ λέγουσιν, ὅτι Ὃν θέλει Κύριος, σώζει, ἢ ἀπολλύει.

B

ΑΠΟΚΡΙΣΙΣ.

Ἄξιον ἐνταῦθα τὸ παροιμιακὸν εἰπεῖν λόγιον, ὅτι Ἄνθρωπος λυμαίνεται τὰς ἑαυτοῦ ὁδούς, τὸν δὲ Θεὸν αἰτιᾶται τῇ καρδίᾳ αὐτοῦ. Ὁ γὰρ ἄνθρωπος αὐτεξούσιός ἐστι τῆς ἑαυτοῦ σωτηρίας καὶ ἀπωλείας. Γέγραπται γάρ, ὅτι « Ὁ Θεὸς ἐξ ἀρχῆς ἐποίησεν ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ. » Καὶ, « Ἔναντι ἀνθρώπῳ [y] ἡ ζωὴ καὶ ὁ θάνατος, καὶ ὃ ἐὰν εὐδοκήσῃ, δοθήσεται αὐτῷ. » Καὶ, « Μὴ ζηλοῦτε θάνατον ἐν πλάνῃ ζωῆς ὑμῶν, μηδὲ ἐπισπᾶσθε ὄλεθρον ἐν ἔργοις χειρῶν ὑμῶν, ὅτι ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων. » Διό φησιν ὁ νομοθέτης· « Ἰδοὺ ἐγὼ δίδωμι ἐνώπιον ὑμῶν σήμερον εὐλογίαν καὶ κατάραν· τὰς εὐλογίας, ἐὰν ἀκούσητε τὰς ἐντολὰς τοῦ Θεοῦ ὑμῶν, καὶ τὰς κατάρας, ἐὰν μὴ ἀκούσητε τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ ὑμῶν. » — « Διαμαρτύρομαι ὑμῖν σήμερον τόν τε οὐρανὸν καὶ τὴν γῆν, ὅτι τὴν ζωὴν καὶ τὸν θάνατον δέδωκε [z] πρὸ προσώπου ὑμῶν. Ἐκλέξασθε τὴν ζωὴν, ἵνα ζήσησθε ὑμεῖς καὶ τὸ σπέρμα ὑμῶν. »

C

Τὸ τοίνυν αὐθαίρετον τῆς ζωῆς ἡμῶν καὶ ὁ Ἰὼβ παραδηλῶν λέγει· « Τοῦ δικαίου εἰσακούσεται Κύριος. » Καὶ εἶπεν, ὅτι « Ἐπιστραφήσονται ἐξ ἀδικίας, ἐὰν ἀκούσωσι, καὶ δουλεύσωσι, συντελέσουσιν ἐν ἀγαθοῖς τὰς ἡμέρας αὐτῶν, καὶ τὰ ἔτη αὐτῶν ἐν εὐπρεπείᾳ. » Ἀσεβεῖς δὲ οὐ διασώζει, παρὰ τὸ μὴ βούλεσθαι αὐτοὺς εἰδέναι τὸν Θεόν [a].

Ὁρᾷς, ὅ[τι]περ ἡμεῖς ἐσμεν αἴτιοι τῆς ἑαυτῶν ἀπωλείας, καὶ οὐχ ὁ Θεός; Ὅμως οὖν εἶπεν ὁ Ἀπόστολος, « Οὓς προέγνω καὶ προώρισε, » καὶ λέλυκε τὸ ζητούμενον, οἷον, προέγνω ὁ Θεὸς τὸ ἀμετανόητον τοῦ Φαραὼ, καὶ ἐσκλήρυνε τὴν καρδίαν αὐτοῦ τῇ ἀναβολῇ καὶ μακροθυμίᾳ, ἥτις αὐτὸν εἰς τοσαύτην περιφρόνησιν καὶ θρασύτητα ἤνεγκεν [b], ὡς καὶ ὑποβρύχιον γενέσθαι. Ὡσαύτως προέγνω τὸ εὐθὲς Ἱερεμίου, καὶ προώρισεν αὐτὸν εἰς σκεῦος ἐκλογῆς. Εἰ τοίνυν ὃν θέλει, ὁ Θεὸς σώζει, ὃν θέλει, ἀπολλύει,

QUÆSTIO LV.

Quomodo est intelligendum : « Quos præscivit, et prædestinavit, hos et vocavit [86] ? » Et : « Cujus vult, miseretur, et quem vult, indurat [87] ? » Et : « Non est volentis, neque currentis, sed miserentis Dei [88] ? » Multi enim dicunt : Quem vult Deus, servat, aut perdit.

RESPONSIO [EX CHRYSOSTOMO].

Merito usurpabimus hic proverbiale illud dictum : Homo corrumpit vias suas; in corde autem suo Deum accusat. Habet enim homo liberum arbitrium et ad salutem, et ad perniciem. Scriptum est enim : « Deus ab initio fecit hominem, et reliquit eum in manu consilii sui [89]. » Et : « Ante hominem vita et mors ; quod placuerit, dabitur illi [90]. » Et : « Nolite zelare mortem in errore vitæ vestræ, neque acquiratis perditionem in operibus manuum vestrarum, quoniam Deus mortem non fecit, nec lætatur in perditione vivorum [91]. » Hinc et legislator ait : « En propono in conspectu vestro hodie benedictionem et maledictionem; benedictionem, si audieritis mandata Domini Dei vestri; maledictionem, si non obedieritis mandatis Domini Dei vestri [92]. » — « Testes invoco hodie cœlum et terram, quod proposuerim vobis vitam et mortem ; eligite vitam, ut vivatis vos, et semen vestrum [93]. »

Libertatem nostram astruit quoque Job his verbis : « Justum exaudiet Dominus [94] ; » et dixit : « Si conversi fuerint ab injustitia ; si audierint et servierint, complebunt in bonis dies suos, et annos suos in gloria [95] ; » sed non salvat impios, eo quod Dominum agnoscere nolint.'

D **335** Vides quomodo nos simus auctores nostri interitus, et non Deus? Cum ergo dixisset Apostolus : « Quos præscivit, et prædestinavit, » solvit quod quæritur : utpote præscivit Deus fore ut Pharaonem scelerum non pœniteret, et induravit cor ejus dilatione et lenitate, quæ eum ad tantum deduxit contemptum et audaciam, ut etiam aquis fuerit obrutus. Similiter præscivit rectitudinem Jeremiæ, et prædestinavit eum in vas electionis. Si ergo quem vult Deus salvat, quem autem vult perdit ;

[86] Rom. VIII, 29. [87] Rom. IX, 18. [88] ibid. 16. [89] Eccli. XV, 14. [90] ibid. 18. [91] Sap. I, 12, 13. [92] Deut. XI, 26-28. [93] Deut. XXX, 19. [94] Job XII, 4. [95] Job XXXVI, 11.

VARIÆ LECTIONES.

[x] ζημίᾳ χρηματικῇ. [y] ἀνθρώπων. [z] δέδωκα. [a] Κύριον. [b] ἤγαγεν.

neque qui salvatur dignus est mercede, neque qui perit supplicio; et frustra scriptum est: «Tu reddes unicuique secundum opera sua [96]; » et: «Unusquisque accipiet mercedem secundum opera sua [97]. » Scriptum quoque est: « Deus vult omnes homines salvos esse, et ad agnitionem veritatis venire [98]. »

Illud: « Non volentis, neque currentis [99], » dicit propter Esau, cui recte accommodatur: Non est volentis Esau, patris accipere benedictionem; et currentis, jussu patris sui, in campum ad venationem, ut, cum comedisset, ei benediceret. Sed Jacob benedictio hæc competebat, cujus Deus misertus est, quod candidis et sinceris moribus præditus esset; non autem Esau hanc benedictionem est assecutus, quod esset fornicator et profanus.

Quod si quis hoc etiam nobis applicare velit, ab eo quod decet minime aberrabit: etenim non volentis solum virtutem, neque currentis et contendentis est se recte gerere; sed et miserentis et adjuvantis Dei. « Non potestis enim, inquit, sine me quidquam facere [1]. » Propterea dicit Apostolus: « Cum metu et tremore salutem vestram operamini: Deus enim est qui operatur in vobis et velle, et perficere, pro bona voluntate [2]. » Et Ecclesiastes: « Non velocibus est cursus, neque bellum potentibus [3]. » Et David: « Nisi Dominus ædificaverit domum, in vanum laboraverunt qui ædificant eam [4]. » Et: « Nisi Dominus custodierit civitatem, frustra vigilat qui custodit eam [5]. »

A οὔτε ὁ σωζόμενος ἄξιός ἐστι μισθοῦ, οὔτε ὁ ἀπολλύμενος κολάσεως, καὶ μάτην γέγραπται, ὅτι « Σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· » καὶ, « Ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον, » καὶ μὴ εἴρηται, ὅτι « Πάντας ἀνθρώπους ὁ Θεὸς θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. »

Περὶ δὲ πάλιν τὸ, « Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, » διὰ τὸν Ἡσαῦ λέγει, περὶ οὗ καὶ τοῦτο εἴρηται, ὅτι Οὐ τοῦ θέλοντος Ἡσαῦ τὴν εὐλογίαν λαβεῖν τοῦ πατρὸς, καὶ τρέχοντος κατὰ τὴν θέλησιν « αὐτοῦ εἰς τὸ πεδίον θηρεῦσαι θήραμα, ὅπως φαγὼν εὐλογήσει αὐτὸν, ἀλλὰ τοῦ ἐλεηθέντος Ἰακὼβ ὑπὸ τοῦ Θεοῦ, διὰ τὸ ἁπλαστον αὐτὸν εἶναι καὶ ἀγαθόν. Ὁ δὲ Ἡσαῦ τῆς εἰκόνος ταύτης ἀπέτυχε, διὰ τὸ B εἶναι αὐτὸν πόρνον καὶ βέβηλον.

Εἰ δὲ καὶ ἐφ' ἡμῶν τοῦτό τις ἐκλάβοι, οὐχ ἁμαρτήσει τοῦ πρέποντος· καὶ γὰρ οὐ τοῦ θέλοντος μόνον τὴν ἀρετὴν, οὐδὲ τοῦ τρέχοντος καὶ ἀγωνιζομένου ταύτην κατορθῶσαι, ἀλλὰ καὶ τοῦ ἐλεοῦντος καὶ συνεργοῦντος Θεοῦ. « Οὐ δύνασθε γὰρ, φησὶ, χωρὶς ἐμοῦ ποιῆσαι οὐδέν. » Διό φησιν ὁ Ἀπόστολος· « Μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτοῦ [d] σωτηρίαν ἐργάζεσθε· ὁ Θεὸς γάρ ἐστιν ὁ ἐνεργων ἐν ἡμῖν καὶ τὸ θέλειν, καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας. » Καὶ ὁ Ἐκκλησιαστής· « Οὐ τοῖς κούφοις ὁ δρόμος, οὐδὲ τοῖς δυνατοῖς ὁ πόλεμος. » Καὶ ὁ Δαβίδ· « Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες· » Καὶ, « Ἐὰν μὴ Κύριος φυλάξῃ C πόλιν, εἰς μάτην ἠγρύπνησαν οἱ φυλάσσοντες. »

336 QUÆSTIO LVI.

Quomodo est intelligendum illud: « Si cujus opus arserit, detrimentum patietur; ipse autem salvus erit, quasi per ignem [6]? »

RESPONSIO SANCTI CHRYSOSTOMI.

Hoc est, non patietur ignis violentiam; sed quemadmodum si quis arma habens aurea transeat fluvium ignis, permanet clarior et limpidior; sin autem transeat fenum habens, comburetur: ita etiam in operibus. Et ideo dicebat: « Damnum patietur. » Ecce una pœna, « Ipse autem salvus erit, sed sic quasi per ignem. » Ecce altera pœna. Quod autem dicit, est ejusmodi: Non ipse quoque peribit ut opera, in nihilum rediens; sed manebit in igne. Rem ergo vocat salutem, nempe perpetuam in igne mansionem. Propterea dicit, « tanquam per ignem. » Etenim nobis quoque mos est dicere: in igne servari, de iis quæ non facile uruntur, et rediguntur in cinerem.

ΕΡΩΤΗΣΙΣ ΝϚ.

Πῶς νοητέον τὸ, « Εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται, ὡς διὰ πυρός; »

ΑΠΟΚΡΙΣΙΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

Τουτέστιν, οὐκ οἶσει τοῦ πυρὸς τὴν ῥύμην, ἀλλ' ὥσπερ εἴ τις χρυσᾶ ὅπλα ἔχων διέλθῃ ποταμὸν πυρὸς, φαιδρότερον διαμένει [e], εἰ δὲ χόρτον ἔχων διέλθῃ, συγκατακαίεται· οὕτω καὶ ἐπὶ τῶν ἔργων ἐστί. Διὸ καὶ λέγει [f]· « Ζημιωθήσεται· » ἰδοὺ μία κόλασις· « Αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ, ὡς διὰ πυρός· » ἰδοὺ καὶ δευτέρα κόλασις. Ὁ δὲ λέγει, τοιοῦτόν D ἐστιν· Οὐχὶ καὶ αὐτὸς οὕτως ἀπολεῖται, ὡς τὰ ἔργα, εἰς τὸ μηδὲν χωρῶν, ἀλλὰ μένει ἐν τῷ πυρί. Σωτηρίαν οὖν τὸ πρᾶγμα καλεῖ, τὴν διηνεκῆ ἐπιμονὴν ἐν τῷ πυρί. Διὰ τοῦτό φησι, « ὡς διὰ πυρός. » Καὶ γὰρ ἡμεῖς ἔθος ἔχομεν λέγειν [g], ἐν τῷ πυρὶ σώζεσθαι περὶ τῶν μὴ κατακαιομένων ῥᾳδίως καὶ τεφρουμένων.

[96] Psal. LXI, 13. [97] I Cor. III, 8; Galat. VI, 5; Matth. XVI, 27. [98] I Tim. II, 4. [99] Rom. IX, 16. [1] Joan. XV, 5. [2] Philipp. II, 12, 13. [3] Eccle. IX, 11. [4] Psal. CXXVI, 1. [5] ibid. 2. [6] I Cor. III, 15.

VARIÆ LECTIONES.

[c] κέλευσιν. [d] ἑαυτων. [e] διαβαίνει. [f] ἔλεγε. [g] ἡμῖν ἔθος λέγειν.

ΕΡΩΤΗΣΙΣ ΝΖ'.

Πῶς νοητέον τὸ, « Εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ γῆς, εἴτε τὰ ἐν οὐρανοῖς ; »

ΑΠΟΚΡΙΣΙΣ.

Τὰ μὲν ἐπὶ γῆς, εἰκότως· ἔχθρας γὰρ ἐμπέπλητο, καὶ εἰς πολλὰ διῄρητο, καὶ πρὸς ἑαυτὸν ἕκαστος ἡμῶν ἐστασίαζε [h] μὲν καὶ πρὸς τοὺς πολλούς· τὰ δὲ ἐν οὐρανίοις, πῶς εἰρηνοποίησεν ; Ἆρα καὶ ἐκεῖ πόλεμος ἦν, καὶ μάχη ; Καὶ πῶς εὐχόμεθα, « Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς ; » Τί οὖν ἐστιν ; Ἀπέσχιστο ἡ γῆ τοῦ οὐρανοῦ, καὶ ἐκπεπολεμωμένοι ἦσαν οἱ ἄγγελοι πρὸς τοὺς ἀνθρώπους, τὸν ἑαυτῶν Δεσπότην ὁρῶντες ὑβριζόμενον. « Ἀνακεφαλαιώσασθαι, » [i] τὰ παντάπασιν ἐν τῷ Χριστῷ, « τὰ ἐπὶ τῆς γῆς καὶ τὰ ἐν οὐρανοῖς. » Πῶς ; Μετέστησεν ἐκεῖ τὸν ἄνθρωπον, ἀνήγαγεν αὐτοῖς τὸν ἐχθρὸν καὶ μισούμενον· τοῦτο εἰρήνη βαθεῖα. Ἄγγελοι πάλιν ἐπὶ τῆς γῆς ἐφαίνοντο [k] λοιπὸν, ἐπειδὴ καὶ ἄνθρωπος ἐν οὐρανῷ ἐφάνη. Βούλει μαθεῖν τῶν ἀγγέλων τὸ μῖσος, ὃ εἶχον πρὸς ἡμᾶς, καὶ πῶς ἀποστρέφονται ἀεί ; Εἰς τιμωρίαν ἐπέμποντο ἐπὶ τῶν Σοδομιτῶν, ἐπὶ τῆς κοιλάδος τοῦ κλαυθμῶνος· ἀλλὰ νῦν οὐχ οὕτως. Ἐπὶ τῆς γῆς ὕμνουν καὶ σφόδρα χαίροντες· καὶ τούτους κατήγαγε πρὸς ἡμᾶς, καὶ ἡμᾶς ἀνήγαγεν ἐκεῖ. Διὰ τοῦτο εὐχαριστοῦμεν λέγοντες· « Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. » Τὸ πρῶτον κατὰ ἀριθμὸν ἐθνῶν ἦσαν οἱ ἄγγελοι, νῦν δὲ οὐ κατὰ ἀριθμὸν [ἐθνῶν, ἀλλὰ] πιστῶν. Ἕκαστος γὰρ πιστὸς ἄγγελον ἔχει φυλάσσοντα αὐτὸν, ὡς γέγραπται· « Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. » Ἐπεὶ καὶ ἐξ ἀρχῆς ἕκαστος ἀνὴρ τῶν εὐδοκίμων ἄγγελον ἔχει, καθὼς φησιν Ἰακώβ· « Ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ νεότητός μου. »

Βασιλείου ἐκ τοῦ εἰς τὸν μδ ψαλμόν.

Παντὶ πεπιστευκότι εἰς τὸν Κύριον ἄγγελος παρεδρεύει, ἐὰν μή ποτε αὐτὸν ἡμεῖς διὰ τῶν πονηρῶν ἔργων ἀποδιώξωμεν. Ὡς γὰρ τὰς μελίσσας καπνὸς φυγαδεύει, καὶ τὰς περιστερὰς ἐξελαύνει δυσωδία, οὕτω καὶ τὸν φύλακα τῆς ζωῆς ἡμῶν ἄγγελον ἡ πολυδάκρυος καὶ δυσώδης ἀφίστησιν ἁμαρτία. « Μὴ δῷς γὰρ, φησὶ, εἰς σάλον τὸν πόδα σου, καὶ οὐ μὴ νυστάξῃ ὁ φυλάσσων σου. »

Ἐπιφανίου ἐκ τῶν Παναρίων.

Ἑκάστῳ ἔθνει ἄγγελον ἐφεστάναι φησὶ ἡ Γραφή. Ὁ γὰρ τῷ Δανιὴλ προσδιαλεγόμενος ἄγγελος καὶ ἄρχοντα Περσῶν εἴρηκε, καὶ ἄρχοντα Ἑλλήνων, καὶ τὸν Μιχαὴλ ἄρχοντα τῶν Ἰουδαίων. Φησὶ δὲ Μωϋσῆς, « Ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ. » Ὅθεν καὶ Ἰωάννης ἐν τῇ Ἀποκαλύψει φάσκει·

QUÆSTIO LVII.

Quomodo est intelligendum illud : « Pacificans per sanguinem crucis suæ, sive quæ sunt in terra, sive quæ sunt in cœlis [7] ? »

RESPONSIO.

Quæ sunt supra terram merito pacificavit ; plena enim inimicitiarum et in multas factiones erant divisa, et unusquisque et a se et ab aliis dissidebat. At ea quæ sunt in cœlis quomodo pacificavit ? An illic quoque erat bellum et pugna ? Et quomodo precamur : « Fiat voluntas tua sicut in cœlo et in terra [8] ? » Disjuncta erat terra a cœlo, et belligerabantur angeli adversus homines, videntes Dominum suum probris et contumelia affici. « Instaurare, inquit, volens, » seu in summam redigere omnia, « quæ sunt in cœlis, et quæ in terra [9]. » Quomodo ? Hominem illuc traduxit, in altum sustulit eum, qui erat ipsis angelis inimicus et exosus : hoc est, pax profunda. Angeli rursus apparebant in terra, quandoquidem homines quoque apparebant in cœlo. Vis scire quo odio nos prosequebantur angeli, et quemadmodum nos aversabantur ? Mittebantur ad infligendas pœnas Sodomitis in valle luctus ; sed nunc non sic. In terris hymnos canebant lætantes plurimum, et eos ad nos deduxit, et nos illuc reduxit. Propterea gratias agimus, dicentes : « Gloria in excelsis Deo, et in terra pax hominibus bonæ voluntatis [10]. » Prius pro numero genitum erant angeli ; nunc autem non pro numero gentium, sed pro numero fidelium ; nam unusquisque fidelis habet angelum suum custodem ; et, ut scriptum est : « Immittet angelus Domini in circuitu timentium **337** eum, et liberabit eos [11]. » Nam etiam ab initio quilibet vir probus habebat angelum, sicut dicit Jacob : « Angelus qui me liberat a juventute mea [12]

Ex Basilio in Psalmum XXXIII.

Cuilibet credenti in Dominum assistit angelus, nisi nos ipsum per mala nostra opera effugaverimus. Nam sicut apes fugat fumus, et columbas abigit malus odor ; ita etiam vitæ nostræ custodem angelum amovet, et abducit lacrymabile fetidumque peccatum. « Ne des, inquit, in commotionem pedem tuum, et non dormitabit, qui te custodit angelus [13]. »

Ex Epiphanio in Panariis.

Unicuique genti præesse angelum dicit Scriptura. Nam qui cum Daniele loquebatur angelus, et Persarum dixit principem, et principem Græcorum, et Michaelem principem Judæorum [14]. » Moyses quoque dicit : « Statuit terminos secundum numerum angelorum Dei [15] (39). » Unde etiam di-

[7] Coloss. I, 20. [8] Matth. VI, 10. [9] Coloss. I, 20. [10] Luc. II, 14. [11] Psal. XXXIII, 8. [12] Gen. XLVIII, 15, 16. [13] Psal. CXX, 3, 4. [14] Dan. X, 13, 20, 21. [15] Deut. XXXII, 8.

VARIÆ LECTIONES.

[h] διεστασίαζεν. [i] φησί. [k] φαίνεται.

NOTÆ.

(39) Ita LXX interpr. Vulg. edit, *juxta numerum filiorum Israel.*

cit Joannes in Apocalypsi: « Solve quatuor angelos qui Euphratæ præsunt [16], » et detinentur, ut permittant gentibus bellum usque ad tempus Dei longanimitatis, donec imperet ut per ipsos fiat ultio sanctorum suorum. Detinentur enim a Spiritu angeli qui præsunt, nec eis ultionis tempus conceditur; propterea quod justitia eos nondum solverit, ut solvant reliquas gentes propter injuriam in sanctos. Gentes enim solvuntur et invadunt terram, ut dicit Joannes et prophetæ: moti autem angeli movent gentes ad appetitum ulciscendi.

Ex Cyrillo, de adoratione in spiritu.

Scimus sanctos angelos esse ordinatos ad opem ferendam credentibus, et ut sint veluti duces populorum.

Ex Theodoreto de curandis Græcanicis affectionibus.

Quoniam paulo ante memini dæmonum, operæ pretium esse existimo ea ostendere quæ de iis sentimus: eos enim et eorum principem divina eloquia Satanam appellant. Significat autem nomen sermone Hebræo apostatam, id est, eum qui defecit. Vocatur quoque diabolus, ut qui apud homines Deum calumnietur, **338** et ipsis hominibus inter se immittat litem et contentionem. Eos nos dicimus ab initio a Deo creatos esse non malos; sed mentis aversione a melioribus ad deteriora esse prolapsos, et iis non contentos quæ præbuerat Creator, majora appetiisse; superbiæ autem et arrogantiæ vitium suscepisse; excidisse vero, et esse privatos honore qui eis fuerat datus ab initio. Deinde adversus homines, ut qui divina essent honorati imagine, rabie esse percitos, et adversus eos suscepisse bellum. Creatorem autem angelorum præsidio custodisse hominum genus, ne (vi utens ac tyrannide) dum sub aspectum non cadit, ex occulto invadens, secure eos perderet quos propter invidiam odio haberet; sed contra eum certamen et pugnam non prohibuisse ut optimos et præstantissimos lucta ostenderet, magnique et fortis animi essent exemplaria. Quamobrem, cum angelorum præsidio illius violentam prohibuisset irruptionem, rationis, et cogitationum concessit certamen, ut victores pronuntiaret corona dignos; non ipsum quidem asciscens tanquam adversarium, sed ad id quod oportuit, utens ejus scelere ac nequitia, quemadmodum medici, ad propulsandos morbos, vipera uti solent.

Ex Nicephoro Constantinopolitano adversus Iconomachos.

Scimus et credimus nostras in Deum glorificationes et laudes per sanctos offerri angelos; siquidem verum est illud: « Angeli eorum semper vident faciem Patris mei qui est in cœlis [17], » quid

« Λῦσον τοὺς τέσσαρας ἀγγέλους τοὺς ἐπὶ τοῦ Εὐφράτου, » ἐπισταμένους [l] δηλονότι, καὶ ἐπεχομένους, ἐπιτρέπειν ἐν ἔθνεσιν εἰς πόλεμον, ἕως μακροθυμίας Κυρίου· καὶ προστάξει δι' αὐτῶν ἐκδικίαν γενέσθαι τῶν ἁγίων αὐτοῦ. Κρατοῦνται γὰρ οἱ ἐφιστάμενοι ἄγγελοι ὑπὸ τοῦ Πνεύματος, μὴ ἔχοντες καιρὸν ἐπιδρομῆς, διὰ τὸ μηδέπω λύειν αὐτοὺς τὴν δίκην τοῦ τὰ λοιπὰ ἔθνη λύεσθαι, ἕνεκεν τῆς εἰς τοὺς ἁγίους ὕβρεως. Λύονται γὰρ οἱ τοιοῦτοι, καὶ ἐπέρχονται τῇ γῇ, ὥς φησιν Ἰωάννης καὶ οἱ προφῆται· κινούμενοι δὲ οἱ ἄγγελοι, κινοῦσι τὰ ἔθνη εἰς ὁρμὴν ἐκδικήσεως.

Κυρίλλου ἐκ τῆς περὶ τῆς ἐν πνεύματι λατρείας.

Τοὺς ἁγίους ἀγγέλους ἴσμεν παρὰ Θεοῦ τεταγμένους εἴς γε τὸ δεῖν τοῖς πεπιστευκόσιν ἐπικουρεῖν, καὶ οἱονεὶ καθηγεῖσθαι λαῶν.

Θεοδωρήτου ἐκ τῆς Θεραπευτικῆς.

Ἐπειδὴ δὲ καὶ δαιμόνων ἐμνήσθην πρώην, οἶμαι [προῦργον εἶναι καὶ περὶ τούτων] ἃ γε δόξωμεν ἐπιδεῖξαι. Τούτους γὰρ καὶ τὸν τούτων ἄρχοντα Σατανᾶν τὰ θεῖα προσαγορεύει Λόγια· δηλοῖ δὲ τοὔνομα [m] τὸν ἀποστάτην, κατὰ τὴν Ἑβραίων φωνήν. Καλεῖ δὲ αὐτὸν καὶ διάβολον, ὡς τὸν Θεὸν παρὰ τοῖς ἀνθρώποις συκοφαντοῦντα καὶ διαβάλλοντα, καὶ αὐτοῖς γε τοῖς ἀνθρώποις ἔριν πρὸς ἀλλήλους καὶ διὰ μάχην [n] ἐκβάλλοντα. Τούτους ἡμεῖς οὐ πονηροὺς ἐξ ἀρχῆς παρὰ τοῦ Θεοῦ δημιουργηθῆναί φαμεν, ἀλλὰ τῇ παρατροπῇ τῆς γνώμης ἀπὸ τῶν ἀμεινόνων εἰς τὰ χείρονα μεταπεσεῖν, καὶ τοῖς παρὰ τοῦ πεποιηκότος παρασχεθεῖσιν οὐκ ἀρκεσθέντας, ἀλλ' ὀρεχθέντας μείζονα εἰσδέξασθαι μὲν τοῦ τύφου τὸ πάθος, ἐκπεσεῖν δὲ καὶ γυμνωθῆναι τῆς ἀρχῆθεν αὐτοῖς δοθείσης τιμῆς, εἶτα κατὰ τῶν ἀνθρώπων, ὡς εἰκόνι θείᾳ τετιμημένων, λυττῆσαι, καὶ τὸν κατ' αὐτῶν ἀναδέξασθαι πόλεμον. Τὸν δὲ ποιητὴν μὲν τῶν ἀγγέλων διαστασίᾳ φρουρῆσαι τῶν ἀνθρώπων τὸ γένος, ὅπως μὴ βίᾳ καὶ τυραννίδι χρώμενος, ἀοράτως ἐπιὼν, οὓς διὰ φθόνον ἐμίσησεν, ἀδεῶς διαφθείρει, τὴν δὲ ἀγωνιστικὴν οὐκέτι διὰ μάχην [o] καταλῦσαι [p], ἵνα δείξῃ τοὺς ἀρίστους ἡ πάλη, καὶ γένωνται ἀνδραγαθίας ἀρχέτυπα. Οὗ δὴ ἕνεκα τὴν βιαίαν ἐκείνου προσβολὴν διακωλύσας τῇ τῶν ἀγγέλων φρουρᾷ, τὴν τῶν λογισμῶν συνεχώρησεν ἀγωνίαν, ὅπως τοὺς ἀξιονίκους ἀποφήνῃ τῶν στεφάνων ἀξίους, οὐκ αὐτὸς μὲν ἐκεῖνον εἰς ἀντιπάλου τάξιν ἀποκληρώσας, εἰς δέον δὲ τῇ ἐκείνου πονηρίᾳ χρησάμενος [q], καθάπερ οἱ ἰατροὶ τῇ ἐχίδνῃ εἰς νοσημάτων ἀπαλλαγήν.

Νικηφόρου Κωνσταντινουπόλεως, ἐκ τοῦ κατὰ Εἰκονομάχων.

Ἴσμεν δὲ καὶ πιστεύομεν, ὅτι τὰς εἰς Θεὸν δοξολογίας ἡμῶν διὰ τῶν ἁγίων ἀγγέλων προσάγεσθαι, εἴπερ ἐστὶν ἀληθὲς τὸ, « Οἱ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου, τοῦ ἐν

[16] Apoc. IX, 14. [17] Matth. XVIII 10.

VARIÆ LECTIONES.

[l] ἐφισταμένους. [m] τοῦ νόμου. [n] διαμαχην. [o] διαμάχην. [p] κωλύσαι. [q] χρώμενος.

οὐρανοῖς, » τί πράττοντες, ἢ τί ἐργαζόμενοι, ἢ πάντως γε τὰς αἰτήσεις ἡμῶν εἰς τὰ ὦτα Κυρίου Σαβαὼθ εἰσάγοντες, ἵλεων ἡμῖν αὐτὸν ἐπὶ τοῖς πεπραγμένοις κατασκευάζουσιν ;

A agentes, aut quid operantes, nisi quod nostras petitiones ad aures Domini Sabaoth omnino adducentes, eum reddunt propitium propter ea quæ gessimus?

ΕΡΩΤΗΣΙΣ ΝΗ'.

Πῶς νοητέον τὸ, « Ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ ; »

ΑΠΟΚΡΙΣΙΣ.

Περὶ τῶν εἰδωλοθύτων φησί· « Οἴδαμεν, ὅτι πάντες γνῶσιν ἔχομεν. » Πολλοὶ γὰρ παρὰ Κορινθίοις μαθόντες, ὅτι « Οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα, » καὶ, ὅτι τὰ εἴδωλα, ξύλα, καὶ λίθοι, καὶ δαίμονες, οὔτε βλάψαι, οὔτε ὠφελῆσαι δυνάμενα, ἀμέτρως τελειότητι τῆς γνώσεως ταύτης ἐκέχρηντο, καὶ εἰς τὴν ἑτέρων, καὶ εἰς ἑαυτῶν βλάβην. Καὶ γὰρ εἰδωλεῖα εἰσῄεσαν, καὶ τῶν αὐτόθι μετεῖχον τραπεζῶν, καὶ μέγαν ἐντεῦθεν τὸν ὄλεθρον ἔτικτον. Οἵτε γὰρ ἐπὶ [x] τῶν εἰδώλων ἔχοντες τὸν φόβον, καὶ οὐκ εἰδότες αὐτῶν καταφρονεῖν, μετεῖχον τῶν δείπνων ἐκείνων, ἐπειδὴ τοὺς τελεωτέρους ἑώρων τοῦτο ποιοῦντας, καὶ τὰ μέγιστα ἐντεῦθεν ἐβλάπτοντο. Φησὶν, « Ἡ γνῶσις αὕτη, » ἡ δῆθεν τελειότης, « φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. » Ὥσπερ [a] οὖν δηλῶν, ἔλεγεν· « Εἰ δέ τις ἀγαπᾷ τὸν Θεὸν, οὗτος ἔγνωσται ὑπ' αὐτοῦ. » Ὥστε οὐ τὸ τελείαν, φησὶ, γνῶσιν ἔχειν κωλύω, ἀλλὰ τὸ μετὰ ἀγάπης ταύτην ἔχειν, καὶ πρὸς οἰκοδομήν.

QUÆSTIO LVIII.

Quomodo est intelligendum illud : « Scientia inflat, charitas ædificat [18] ? »

RESPONSIO.

De idolothytis dicit : « Scimus quod omnes habemus scientiam [18]. » Multi enim apud Corinthios tunc, cum didicissent quod, « Non quæ intrant in os, coinquinant hominem, sed quæ exeunt [19] ; » et, quod idola sunt ligna, et lapides, et dæmones, qui [quæ] nocere non possent, nec prodesse ; hac perfectissima cognitione usi sunt immoderate, et in aliorum et in suum damnum. Idolorum enim ædes ingrediebantur, et mensarum quæ illic sternebantur participes erant ; et hinc magnum afferebant exitium. Nam qui idolorum metu adhuc tenebantur, neque sciebant ea despicere, cœnas illas inibant, quoniam hoc facere videbant perfectiores, et hinc maxime lædebantur. Ideo dicit : « Scientia, » ipsa scilicet perfectio, « inflat ; charitas autem ædificat [19]. » Quod declarans dicebat : « Si quis diligit Deum, is cognitus est ab ipso [20]. » Quamobrem non prohibeo perfectam habere scientiam, sed cum charitate et ædificatione conjunctam.

B

ΕΡΩΤΗΣΙΣ ΝΘ'.

Διατί φησιν ὁ Ἀπόστολος· « Οὐκ ἐπιτρέπειν [t] γυναῖκα διδάσκειν » ;

ΑΠΟΚΡΙΣΙΣ.

Ὅτε ἐδίδαξεν ἅπαξ κακῶς τὸν Ἀδάμ. Πρὸ τῆς παρακοῆς ὁμότιμος ἦν τῷ ἀνδρὶ ἡ γυνή. Οἷς ἐχρήσατο ῥήμασιν ὁ Θεὸς ἐπὶ τῆς διαπλάσεως τοῦ ἀνδρὸς, τούτοις καὶ ἐπὶ τῆς δημιουργίας τῆς γυναικός. Ὥσπερ γὰρ εἶπεν ἐπ' ἐκείνῳ· « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν, » καὶ « οὐκ εἶπε· Γενηθήτω ἄνθρωπος· οὕτω καὶ ἐπὶ ταύτης οὐκ εἶπε· Γενηθήτω γυνή, ἀλλὰ ἐνταῦθα, « Ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν [u]. » Μετὰ δὲ τὴν ἁμαρτίαν, « Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. » Ἐποίησά σε, φησὶν, ὁμότιμον, καὶ οὐκ ἐχρήσω καλῶς τῇ ἀρχῇ· μετάβηθι τοίνυν ἐπὶ τὴν ἐπιταγήν. Οὐκ ἤνεγκας τὴν ἐλευθερίαν, δέξαι [x] τὴν δουλείαν. Οὐκ οἶδας ἄρχειν, γενοῦ τοίνυν τῶν ἀρχομένων, καὶ τὸν ἄνδρα ἐπίγνωθι κύριον, καὶ αὐτός σου κυριεύσει. « Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, » τουτέστιν, ἡ καταφυγή σου, ὁ λιμήν σου, ἡ ἀσφάλειά σου.

Διὰ τοῦτο τοίνυν, « Διδάσκειν γυναικὶ οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρός· καὶ γὰρ ἐδίδαξεν ἅπαξ κακῶς, καὶ ηὐθέντησε, καὶ πάντα κατέστρεψεν·

QUÆSTIO LIX.

Cur dicit Apostolus : « Mulieri docere non permitto [21] ? »

RESPONSIO.

Propterea quod semel male docuit Adamum. Ante inobedientiam in eodem honore erat mulier quo vir : etenim quibus verbis usus est Deus in viri formatione, iisdem usus est etiam in creatione mulieris. Sicut enim dixit in illo : « Faciamus hominem ad imaginem et similitudinem nostram [22], » et non dixit : Fiat homo : ita etiam in hac non dixit : Fiat mulier ; sed : « Faciamus homini adjutorium simile sibi [23]. » Post peccatum autem : « Ad virum tuum conversio tua, et ipse dominabitur tibi [24]. » Feci, inquit, te honore æqualem, et non recte usa es virtute ; transi ad subjectionem : non tulisti libertatem, suscipe servitutem : nescivisti imperare, sis ergo ex iis qui parent imperio. Virum agnosce dominum, et ipse tibi dominabitur. « Ad virum tuum conversio tua, » hoc est, refugium tuum, portus tuus, tutela tua.

C

D

Propterea ergo dicit : « Mulieri docere non permitto, » neque auctoritatem in virum exercere : etenim semel docuit, et usa est auctoritate, et evertit

[18] I Cor. VIII, 1. [19] Matth. XV, 11. [19a] I Cor. VIII. 1. [20] ibid. 3. [21] I Tim. II, 12. [22] Gen. I, 26. [23] Gen. II, 18. [24] Gen. III, 16 ; I Cor. 14, 34.

VARIÆ LECTIONES.

[x] ἔτι. [a] ὅπερ. [t] ἐπιτρέπω. [u] καὶ αὐτόν. [x] κατάδεξαι.

omnia; « sed esse in silentio : » quandoquidem fecit ut conjux suus Adam paradiso exciderent. Addit causam : « Adam, inquit, non est seductus; mulier autem seducta in prævaricationem fuit [25] : » propterea eam dejecit a sede doctrinæ; qui enim nescit docere, discat. Si nolit discere, et se et eos qui discunt perdit; quod tunc quoque accidit in muliere; ideo dicit : « Mulier in silentio discat cum omni subjectione [26] : » ejus enim inobedientia et arrogantia toti mundo intulit exitium et naufragium. Dicit enim Sapiens : « A muliere initium peccati, et propter eam **340** morimur omnes [27]. » In eamdem sententiam scriptor Proverbiorum : « Multos vulneratos dejecit, et innumerabiles sunt quos occidit [28]. » Et ideo adhortatur dicens : « Noli attendere malæ mulieri : mel enim distillat a labris mulieris meretricis, quæ ad tempus mollit guttur tuum, postea autem invenies felle amarius, et magis acutum quam sit gladius anceps [29]. » Et : « Mulier venatur animas virorum pretiosorum [30]; » est alata et prodiga, « in domo non quiescunt pedes ejus : aliquando enim foris vagatur, aliquando in plateis in omni angulo insidiatur [31]; » et : « Viæ inferi, domus ejus deducens ad penetralia mortis [32], » et nescit pudorem. « Sedet enim in foribus domus suæ, super sella in plateis accersens prætereuntes [33]. » Et : « Infernus, et amor mulieris, et Tartarus, et terra non repleta aqua, et ignis, nequaquam dixerint : Sufficit [34]. » Et : « Talis est via adulteræ, quæ patrato flagitio tergens os suum dicit : Non sum operata malum [35]. » Et : « Melius est habitare in terra deserta, quam cum muliere linguace et pugnace [36]. » Quomodo vermis in ligno [37], ita virum perdidit mulier maligna. Et : « Quomodo stillæ ejiciunt hominem in die hiberno e domo sua, ita mulier maledica a domo sua [38]. » Et : « Quomodo inauris aurea in naribus porci, ita malignæ mulieri pulchritudo [39]. » Et Ecclesiastes : « Invenio, inquit, morte amariorem mulierem, quæ laqueus venatorum est, et sagena cor ejus; vincula sunt manus illius. Qui placet Deo, effugiet illam; qui autem peccator est, capietur ab illa [40]. » Et : « Hominem unum ex mille inveni, bonam autem mulierem in his omnibus non inveni [41]. »

Similiter etiam Sirach admonet, dicens : « Non dederis mulieri ut ascendat super vires tuas [42]. » Et : « Melior est enim viri iniquitas, quam mulier benefaciens [43]. » Et : « Omnem plagam, et non plagam cordis, et omnem nequitiam, et non nequitiam mulieris [44]. » Et : « Omnis iniquitas parva est ad

A ἀλλ' εἶναι ἐν ἡσυχίᾳ. Καὶ τὸν ὁμόζυγον αὐτῇ Ἀδὰμ ἔκπτωτον τοῦ παραδείσου γενέσθαι πεποίηκε. Λέγει δὲ τὴν αἰτίαν· « Ἀδὰμ γάρ, φησὶν, οὐκ ἠπατήθη, ἡ γυνὴ ἀπατηθεῖσα, ἐν παραβάσει γέγονε. » Διὰ τοῦτο, φησὶν, ἀπὸ [τοῦ] τῆς διδασκαλίας αὐτὴν κατεβίβασα θρόνου. Ὁ γὰρ διδάσκειν οὐκ εἰδὼς, μανθανέτω· εἰ δὲ μὴ βούλοιτο μανθάνειν, ἀλλὰ διδάσκειν, καὶ ἑαυτὸν καὶ τοὺς μανθάνοντας προσαπολλύει. Ὅπερ οὖν καὶ ἐπὶ τῆς γυναικὸς τότε γέγονε, καὶ διὰ τοῦτό φησι· « Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω, καὶ ἐν πάσῃ ὑποταγῇ. » Ἡ γὰρ ἀνυποταξία αὐτῆς καὶ αὐθάδεια παγκόσμιον ὄλεθρον καὶ ναυάγιον ἐπήνεγκεν [γ], ὅθεν φησὶν ὁ Σοφός· « Ἀπὸ γυναικὸς ἀρχὴ ἁμαρτίας, καὶ δι' αὐτὴν ἀποθνήσκομεν πάντες. » Λέγει δὲ καὶ ὁ Παροιμιαστής· « Πολλοὺς τρώσασα καταβέβληκε, καὶ ἀναρίθμητοί εἰσιν, οὓς πεφόνευκε. » Διὸ καὶ παρακινεῖ [γ'] λέγων· « Μὴ πρόσεχε φαύλῃ γυναικί· μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ἡ πρόσκαιρον λιπαίνει σὸν φάρυγγα, ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου. » Καὶ, « Γυνὴ ἀνδρῶν ψυχὰς τιμίων ἀγρεύει », ἀνεπτερωμένη ἐστὶ καὶ ἄσωτος, « ἐν οἴκῳ οὐχ ἡσυχάζουσιν οἱ πόδες αὐτῆς· χρόνον γάρ τινα ἔξω ῥέμβεται, χρόνον δὲ ἐν πλατείαις παρὰ πᾶσαν πλατεῖαν διέρχεται, καὶ παρὰ πᾶσαν γωνίαν ἐνεδρεύει. » Καὶ, « Ὁδοὶ ᾅδου ὁ οἶκος αὐτῆς, κατάγουσαι εἰς ταμιεῖα θανάτου, » καὶ οὐκ ἐπίσταται αἰσχύνην. « Ἐσθίει [ε] γὰρ ἐπὶ θύραις τοῦ ἑαυτῆς οἴκου ἐπὶ δίφρου ἐμφανῶς, ἐν πλατείαις προσκαλουμένη τοὺς παριόντας. » Καὶ, « Ἅδης, καὶ ἔρως γυναικὸς, καὶ Τάρταρος, καὶ γῆ, οὐκ ἐμπιπλαμένη ὕδατος, καὶ πῦρ, οὐ μὴ εἴπωσιν· Ἀρκεῖ. » — « Τοιαύτη ὁδὸς μοιχαλίδος, ἥ, ὅταν πράξῃ, ἀπονιψαμένη, οὐδέν φησι πεπραχέναι ἄτοπον. » Καὶ, « Κρεῖσσον οἰκεῖν ἐν γῇ ἐρήμῳ, ἢ μετὰ γυναικὸς γλωσσώδους καὶ μαχίμου. » Καὶ, « Ὥσπερ σκώληξ ἐν ξύλῳ, οὕτως ἄνδρα ἀπόλλυσι γυνὴ κακοποιός. » Καὶ, « Ὥσπερ σταγόνες ἐκβάλλουσιν ἄνθρωπον ἐν ἡμέρᾳ χειμερινῇ ἐκ τοῦ οἴκου αὐτοῦ, οὕτω γυνὴ λοίδορος ἀπὸ τοῦ ἰδίου οἴκου. » Καὶ, « Ὥσπερ ἐνώτιον χρυσοῦν ἐν ῥισὶ συὸς, οὕτω γυναικὶ κακόφρονι κάλλος. » Καὶ ὁ Ἐκκλησιαστής· « Εὑρίσκω, φησὶ, πικρότερον ὑπὲρ θάνατον συνετὴν γυναῖκα, ἥτις ἐστὶ θήρευμα καὶ σαγήνη καρδίας. Δεσμοὶ ἐν χερσὶν [ζ'] αὐτῆς· καὶ ἀγαθὸς πρὸ προσώπου Θεοῦ ἐξαιρεθήσεται ἀπ' αὐτῆς, ὁ δὲ ἁμαρτάνων συλληφθήσεται ἐν αὐτῇ. » Καὶ, « Ἄνδρα ἕνα ἀπὸ χιλίων εὗρον ἀγαθὸν, γυναῖκα δὲ ἐν πᾶσι τούτοις οὐχ εὗρον. »

B

C

D Ὡσαύτως δὲ καὶ ὁ Σειρὰχ παραινεῖ, λέγων· « Μὴ δῷς γυναικὶ ἐπιβῆναι ἐπὶ τὴν ἰσχύν σου. » Καὶ, « Κρεῖσσον γὰρ πονηρία ἀνδρὸς, ἢ ἀγαθοποιὸς γυνή. » Καὶ, « Πᾶσαν πληγὴν, καὶ μὴ πληγὴν καρδίας, καὶ πᾶσαν πονηρίαν καὶ μὴ πονηρίαν, γυναικός. » Καὶ, « Μικρὰ πᾶσα κακία πρὸς κακίαν γυναικός. » Καὶ,

[25] I Tim. II, 14. [26] ibid. 11. [27] Eccli. XXV, 33. [28] Prov. VII, 26. [29] Prov. V, 2-4. [30] Prov. VI, 26. [31] Prov. VII, 11, 12. [32] ibid. 27. [33] Prov. IX, 14, 15. [34] Prov. XXX, 16. [35] ibid. 20. [36] Prov. XXI, 19. [37] Prov. XXV, 20. [38] Prov. XIX, 13. [39] Prov. XI, 22. [40] Eccle. XII, 27. [41] ibid. 29. [42] Eccli. IX, 2. [43] Eccli. XLII, 14. [44] Eccli. XXV, 18, 19.

VARIÆ LECTIONES.

[γ] ἐπήγαγεν. [γ'] παρακαλεῖ. [ε] ἐκάθισε. Ita 70. Cod. N. ἐσθίει, comedit. [ζ'] καρδία αὐτῆς. Δεσμὸς εἰς χεῖρας.

« Οὐκ ἔστι κεφαλὴ ὑπὲρ κεφαλὴν ὄφεως, καὶ οὐκ ἔστι κακία ὑπὲρ κακίαν γυναικός. Καὶ συνοικῆσαι λέοντι καὶ δράκοντι εὐδόκησον, ἢ συνοικῆσαι μετὰ πονηρᾶς γυναικός· ἀχλεύει[a] τὴν ὅρασιν αὐτῆς, καὶ σκοτοῖ τὸ πρόσωπον αὐτῆς, ὡς ἄρκος[b]. » Καὶ, « Ὥσπερ ἀνάβασις ἀμμώδης ἐν ποσὶ πρεσβυτέρου, οὕτω γυνὴ γλωσσώδης ἀνδρὶ ἡσύχῳ. » Καὶ, « Βοοζύγιον σαλευόμενον γυνὴ πονηρά· ὁ κρατῶν αὐτῆς, ὡς δρασσόμενος σκορπίου. » Καὶ, « Μὴ προσπέσῃς ἐπὶ κάλλος γυναικὸς, καὶ γυναῖκα μὴ ἐπιθυμήσῃς. » — « Μὴ δῷς ὕδατι διέξοδον, μηδὲ γυναικὶ πονηρᾷ παρρησίαν ἐπὶ σὲ, εἰ μὴ πορεύηται κατὰ χεῖράς σου, ἀπὸ τῶν σαρκῶν σου ἀπότεμε αὐτήν. » Καὶ, « Ὀργὴ μεγάλη γυνὴ μέθυσος, καὶ ἀσχημοσύνην αὐτῆς οὐ μὴ συγκαλύψῃ. » Καὶ, « Ὡς διψῶν ὁδοιπόρος στόμα ἀνοίξει, καὶ ἀπὸ παντὸς ὕδατος τοῦ σύνεγγυς πίεται, καὶ κατέναντι παντὸς πασσάλου καθίσεται, καὶ ἔναντι βέλους ἀνοίξει φαρέτραν. » Καὶ, « Πορνεία γυναικὸς ἐν μετεωρίσματι ὀφθαλμῶν καὶ ἐν τοῖς βλεφάροις αὐτῆς γνωσθήσεται. » Καὶ, « Εἰ θυγατέρες σοί εἰσι, πρόσεχε[c] τῷ σώματι αὐτῶν, καὶ μὴ ἱλαρώσῃς πρὸς αὐτὰς τὸ πρόσωπόν σου. » Καὶ, « Ἐπὶ θυγατρὶ ἀδιατρέπτῳ στερέωσον φυλακὴν, ἵνα μὴ εὑροῦσα ἄνεσιν, ἑαυτῇ χρήσεται[d], καὶ ποιήσει σε ἐπίχαρμα ἐχθροῖς, καὶ λαλιὰν ἐν πόλει, καὶ καταισχύνῃ σε ἐν πλήθει πολλῶν. » — « Γυνὴ πονηρὰ, μερὶς πονηρὰ, καὶ ἀνδρὶ ἁμαρτωλῷ δοθήσεται. »

A iniquitatem mulieris[45]. » Et : « Non est, inquit, caput supra caput serpentis, et non est malitia supra malitiam mulieris. Habitare cum leone et dracone est melius quam habitare cum muliere : iniquitas enim mulieris obducit caligine ejus aspectum, et obscurat ejus faciem, sicut ursus[46]. » Et : « Sicut ascensus arenosus in pedibus senis, ita mulier linguax viro quieto[47]. » Et : « Jugum boum 341 quod labascit, est mulier mala ; qui eam tenet, sicut qui apprehendit scorpium[48]. » Et : « Ne procideris ad pulchritudinem mulieris, et mulierem ne concupiveris[49]. » Et : « Ne des transitum aquæ, nec linguaci mulieri dicendi libertatem adversus te. Si non ambulet secundum manus tuas, abscinde eam a te[50]. » Et : « Ira magna mulier ebriosa, et non B conteget suam turpitudinem[51]. » Et : « Sicut sitiens viator os aperiet, et ex omni aqua propinqua bibet ; ex adverso cujusvis valli sedebit, et contra telum aperiet pharetram[52]. » Et : « Fornicatio mulieris in elatione oculorum, et in superciliis ejus agnoscetur[53]. » Et : « Si sint tibi filiæ, attende corpori earum, et ne exhilaraveris ad ipsas faciem tuam[54]. » Et : « Super filiam instabilem adhibe custodiam, ne si invenerit remissionem, se ipsa utatur, et te faciat ludibrium inimicis, et fabulam in civitate, et te dedecore afficiat in multitudine multorum[55]. » Et : « Mulier mala, portio mala, et dabitur viro peccatori[56]. »

Εἰκότως οὖν ἔλεγεν ὁ Θεὸς πρὸς αὐτὴν μετὰ τὴν παράβασιν· « Πληθύνων πληθυνῶ τὰς λύπας σου, καὶ τοὺς στεναγμούς σου. » Πολλῆς γὰρ λύπης, στεναγμοῦ, καὶ ὀδύνης, καὶ στενοχωρίας ἡμῖν ἐγένετο πρόξενος· ὅθεν φησίν· « Ἐν λύπαις τέξῃ τέκνα· πρὸς τὸν ἄνδρα σου ἡ ἐπιστροφή σου, καὶ αὐτός σου κυριεύσει. » Καὶ διὰ τοῦτο νομοθετεῖ ὁ Ἀπόστολος, λέγων· « Αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτασσέσθωσαν[e], ὡς ἡ Ἐκκλησία τῷ Κυρίῳ· ὅτι κεφαλὴ τῆς γυναικός ἐστιν ὁ ἀνὴρ, ὡς ὁ Χριστὸς τῆς Ἐκκλησίας· καὶ ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί. » Καὶ, « Θέλω ὑμᾶς εἰδέναι, ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλή ἐστι ὁ Χριστός· κεφαλὴ δὲ τῆς γυναικὸς ὁ ἀνήρ. » Καὶ, « Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· γυνὴ δὲ δόξα ἀνδρός ἐστιν. Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικὸς, D ἀλλ' ἡ γυνὴ ἐξ ἀνδρός· καὶ γὰρ οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα. » Καὶ, « Αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν· οὐ γὰρ ἐπιτέτραπται αὐτοῖς λέγειν[f], ἀλλ' ὑποτάσσεσθαι, καθὼς ὁ νόμος λέγει. Εἰ δέ τι μαθεῖν ἐθέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν· αἰσχρὸν γάρ ἐστι γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν. » Καὶ, « Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ. Γυ-

Jure ergo ei dixit Deus post transgressionem : « Multiplicans multiplicabo dolores tuos, et gemitum tuum[57] : » magnum enim dolorem, et gemitum, et angustiam nobis conciliavit. Unde dicit : « In doloribus paries filios, et ad virum tuum conversio tua, et ipse tibi dominabitur[58]. » Propterea legem statuit Apostolus dicens : « Mulieres viris suis subditæ sint, sicut Domino ; vir caput est mulieris, sicut Christus caput est Ecclesiæ ; et sicut Ecclesia subjecta est Christo, ita etiam mulieres suis viris in omnibus[59]. » Et : « Volo vos scire quod omnis viri caput est Christus, caput autem mulieris vir[60]. » Et : « Vir non debet velare caput, quoniam imago et gloria Dei est : mulier est gloria viri : non enim vir ex muliere est, sed mulier ex viro : etenim non creatus est vir propter mulierem, sed mulier propter virum[61]. » Et : « Mulieres vestræ in ecclesiis taceant ; non enim permissum est eis loqui, sed subjici ; sicut etiam dicit lex. Si quid autem velint discere, domi suos viros interrogent ; turpe est enim mulieribus in ecclesia loqui[62]. » Et : « Mulier in silentio discat in omni subjectione ; mulieri autem docere non permitto, neque dominari in virum, sed esse in silentio[63]. » Et : « Vidua eligatur non minus sexaginta annorum, quæ

[45] Eccle. xxv, 17. [46] ibid. 22, 24. [47] ibid. 27. [48] Eccli. xxvi, 10. [49] Eccli. xxv, 28. [50] ibid. 34-36. [51] Eccli. xxvi, 11. [52] ibid. 15. [53] ibid. 12. [54] Eccle. vii, 26. [55] Eccli. xlii, 11. [56] Eccli. xxv, 26. [57] Gen. iii, 16. [58] ibid. [59] Ephes. v, 22-24. [60] I Cor. xi, 3. [61] ibid. 7-9. [62] I Cor. xiv, 34, 35. [63] I Tim. ii, 11, 12.

VARIÆ LECTIONES.

[a] ἀχρειοῖ. [b] ἄρκτος LXX, ὡς σάκκον. [c] πρόσχες. [d] χρήσηται. [e] ὑπατάσσεσθε. [f] αὐταῖς λαλεῖν.

fuerit unius viri uxor, in operibus et sermonibus bonis habens testimonium. Si filios educavit, si hospitio recepit, si sanctorum pedes lavit, si afflictis succurrit, si omne bonum opus est secuta [64]. » Et : « Quæ vere vidua est, et desolata, speret in Deum, et instet in obsecrationibus et orationibus nocte et die : nam quæ in deliciis est, vivens mortua est [65]. » Et : « Juniores viduas devita : cum enim luxuriatæ fuerint in Christo, volunt nubere, habentes **342** damnationem, quia primam fidem irritam fecerunt; simul autem et otiosæ discunt circuire domos, non solum autem otiosæ, sed et verbosæ, et curiosæ, loquentes quæ non oportet [66]. » Et : « Mulierculas oneratas peccatis, quæ ducuntur variis desideriis, semper discentes, et nunquam ad scientiam veritatis pervenientes [67]. »

A ναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρὸς, ἀλλ' εἶναι ἐν ἡσυχίᾳ. » Καὶ, « Χήρα καταλεγέσθω μὴ ἐλάττων τῶν ἑξήκοντα γεγονυῖα, ἑνὸς ἀνδρὸς γυνὴ, ἐν ἔργοις καὶ λόγοις καλοῖς μαρτυρουμένη· εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε. » Καὶ, « Ἡ ὄντως χήρα, καὶ μεμονωμένη, ἤλπισεν[g] ἐπὶ Κύριον τὸν Θεὸν, καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας· ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκε. » Καὶ, « Νεωτέρας δὲ χήρας παραιτοῦ· ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν ἐθέλουσιν, ἔχουσαι κρῖμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν· ἅμα δὲ καὶ ἀργαὶ, μανθάνουσι περιερχόμεναι τὰς οἰκίας, οὐ μόνον δὲ ἀργαὶ, ἀλλὰ καὶ φλύαροι, B καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα. » Καὶ, « Γυναικάρια σεσαρωμένα[h] ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις, πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα. »

In Herodiadem. (Ex Chrysostomo.)

Nulla fera potest comparari cum muliere mala et verbosa. Quid enim est leone terribilius in quadrupedibus? aut quid dracone sævius in reptilibus? sed nihil sunt ad malam mulierem. Quod autem leo et draco in malo mulieri sunt inferiores, testatur Sapiens : « Habitare cum leone et dracone potius elige, quam cum mala muliere [67]. » Leones enim Danielem reveriti sunt in lacu; Naboth vero interfecit Jezabel. Cetus in ventre conservavit Jonam; Dalila tondens Samsonem tradidit alienis. C Dracones, et aspides, et cerastæ Joannem in solitudine formidarunt, Herodias ipsi caput amputavit in prandio. Corvi aluerunt Eliam in solitudine; Jezabel ipsum post pluviæ beneficium persecuta est, ut occideret; et timore perterritus fugit in solitudinem iter quadraginta dierum, et fatigatus petiit ut moreretur, dicens : « Domine Deus, satis sit; nunc suscipe animam a me, quoniam non sum melior quam patres mei [68]. » Heu mihi! Propheta timuit mulierem, qui totius orbis terræ pluviam gestabat in lingua! qui ignem e cœlo fecerat verbo descendere, et oratione mortuum excitaverat, timuit mulierem! Nulla enim malitia conferri potest cum mala muliere. Id testatur Sapiens his verbis : « Non est caput super caput serpentis, et non est D malitia super malitiam mulieris [69]. » O malum diaboli, et arma acutissima! Per mulierem ab initio evertit Adamum in paradiso; per mulierem Joseph inclusit in carcere; per mulierem concitavit furore Davidem ad dolosam Uriæ cædem; per mulierem sapientissimum Salomonem impulit ad transgressionem; per mulierem excæcavit Samsonem; per mulierem persecutus est Eliam; per mulierem Christi præcursori amputavit caput; per mulierem omnes occidit, omnes jugulat, omnes dehonestat, omnes

Εἰς τὴν Ἡρωδιάδα.

Οὐδὲν τοίνυν θηρίου ἐφάμιλλον γυναικὸς πονηρᾶς καὶ γλωσσώδους. Τί γὰρ λέοντος δεινότερον ἐν τετράποσιν; ἢ, τί ὠμότερον δράκοντος ἐν ἑρπετοῖς; ἀλλ' οὐδὲν πλὴν γυναικὸς πονηρᾶς. Ὅτι δὲ λέων καὶ δράκων ἐν τῷ κακῷ ἐλάττω τυγχάνουσι, μαρτυρεῖ ὁ σοφὸς Σολομὼν, λέγων· « Συνοικῆσαι λέοντι καὶ δράκοντι εὐκολώτερον, ἢ μετὰ γυναικὸς πονηρᾶς. » Καὶ γὰρ λέοντες τὸν Δανιὴλ ἐν τῷ λάκκῳ ᾐδέσθησαν, τὸν Ναβοὺθ Ἰεζάβελ ἐφόνευσε. Τὸ κῆτος ἐν τῇ κοιλίᾳ τὸν Ἰωνᾶν ἐφύλαξε, Δαλιλὰ δὲ τὸν Σαμψὼν ξυρίσασα τοῖς ἀλλοφύλοις παρέδωκε. Δράκοντες, καὶ ἀσπίδες, καὶ κεράσται ἐν τῇ ἐρήμῳ τὸν Ἰωάννην ἐτρόμαξαν, Ἡρωδιὰς δὲ αὐτὸν ἐν ἀρίστῳ ἀπέτεμεν. Οἱ κόρακες τὸν Ἠλίαν ἐν τῷ ὄρει διέθρεψαν, ἡ δὲ Ἰεζάβελ αὐτὸν, μετὰ τὴν εὐεργεσίαν τοῦ ὑετοῦ, πρὸς φόνον κατεδίωκε· καὶ φοβηθεὶς ἔφυγεν εἰς τὴν ἔρημον, ὁδὸν τεσσαράκοντα ἡμερῶν, καὶ ῥᾳθυμήσας ᾐτήσατο ἀποθανεῖν, λέγων· « Κύριε ὁ Θεός μου, ἱκανούσθω, νῦν δὴ λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι οὐ κρείσσων ἐγώ εἰμι ὑπὲρ τοὺς πατέρας μου. » Οἴμοι, ὁ προφήτης ἐφοβήθη γυναῖκα, ὁ τῆς οἰκουμένης ὅλης τὸν ὑετὸν ἐν τῇ γλώσσῃ βαστάζων. Ὁ πῦρ οὐρανόθεν ῥήματι κατενέγκας, καὶ δι' εὐχῆς νεκρὸν ἐγείρας, γυναῖκα ἐφοβήθη. Οὐδεμία γὰρ κακία συγκρίνεται γυναικὶ πονηρᾷ. Μαρτυρεῖ μοι τῷ λόγῳ καὶ ὁ Σοφὸς λέγων· « Οὐκ ἔστι κακία ὑπὲρ κακίαν γυναικὸς, » ἢ τὸ κακὸν[i] τῷ διαβόλῳ καὶ ὀξύτατον ὅπλον. Διὰ γυναικὸς γὰρ ἐξ ἀρχῆς τὸν Ἀδὰμ ἐν τῷ παραδείσῳ κατέστρεψε· διὰ γυναικὸς τὸν Ἰωσὴφ ἐν φυλακῇ κατέκλεισε· διὰ γυναικὸς τὸν Δαβὶδ πρὸς τὴν τοῦ Οὐρίου δολοφονίαν ἐξέμεινεν[k]· καὶ διὰ γυναικὸς τὸν σοφώτατον Σολομῶντα πρὸς παράβασιν κατέστρεψε· διὰ γυναικὸς τὸν Σαμψὼν ἐτύφλωσε· διὰ γυναικὸς Ἠλίαν ἐδίωξε· διὰ γυναικὸς τὸν τοῦ Χριστοῦ πρόδρομον, ἀπέτεμε· διὰ γυναικὸς πάντας κατασφάζει, πάντας

[64] I Tim. v, 9-11. [65] ibid. 5, 6. [66] ibid. 11-14. [67] Eccli. xxv, 23. [68] III Reg. xix, 4. [69] Eccli. xxv, 22, 23.

VARIÆ LECTIONES.

[g] ἤλπικεν. [h] σεσωρευμένα. [i] ὦ τὸ κακόν. [k] ἐξέμηνεν.

ἀτιμάζει, πάντας φονεύει, πάντας ψέγει, πάντας ὑβρίζει. Γυνὴ γὰρ ἀναιδὴς οὐδενὸς φείδεται· οὐ προφήτην αἰδεῖται, οὐχ ἱερέα ἐντρέπεται, οὐ πολιὰν τιμᾷ. Ὦ κακὸν κακοῦ κάκιστον γυνὴ πονηρά. Κἂν μέν ἐστι πενιχρὰ, τῇ κακίᾳ πλουτεῖ· ἐὰν δὲ καὶ πλουτεῖν[l] ἔχῃ, τῇ πονηρίᾳ αὐτῆς συνεργοῦσα[m], διπλοῦν τὸ κακόν. Ἀφόρητον ζῶον, ἀθεράπευτος νόσος, ἀνήμερον θηρίον. Ἐγὼ γὰρ ἶδον καὶ ἀσπίδας κολακευομένας πραΰνεσθαι· γυνὴ δὲ πονηρὰ ὑβριζομένη μαίνεται, καὶ κολακευομένη ἐπαίρεται. Κἂν ἄνδρα ἔχῃ ἄρχοντα, νύκτωρ καὶ καθ' ἡμέραν τοῖς λόγοις αὐτὸν ἐκμοχλεύουσα, πρὸς δολοφονίαν ὀξύνει, ὡς Ἡρωδιὰς τὸν Ἡρῴδην· κἂν πένητα ἔχῃ τὸν ἄνδρα, πρὸς ὀργὰς καὶ μάχας αὐτὸν διεγείρει· κἂν χήρα τυγχάνῃ, αὐτὴ δι' ἑαυτῆς τοὺς πάντας ὑβρίζει καὶ διασύρει. Φόβῳ γὰρ Θεοῦ οὐ χαλινοῖ τὴν γλῶσσαν, καὶ οὐκ εἰς τὸ μέλλον κριτήριον ἀποβλέπει, οὐ πρὸς Θεὸν ἀνανεύσει, οὐ φιλίας οἶδε φυλάττειν θεσμόν. Οὐδέν ἐστι γυναικὶ πονηρᾷ παραδοῦναι τὸν ἴδιον ἄνδρα εἰς θάνατον· καὶ γὰρ τὸν δίκαιον Ἰὼβ ἡ ἰδία γυνὴ πρὸς θάνατον παρεδίδου λέγουσα· « Εἶπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα. » Ὦ προαιρέσεως πονηρᾶς! ὦ γνώμης ἀνοσίου! Οὐκ ἠλέησεν, ὁρῶσα τοῦ ἰδίου ἀνδρὸς τὰ σπλάγχνα ὑπὸ τῶν ἀναζεουσῶν φλυκτίδων[n] ὥσπερ ἐπ' ἄνθρακα καιόμενα, καὶ ὅλας τὰς σάρκας αὐτοῦ σκώληξι συνελισσομένας. Οὐ κατεκάμφθη πρὸς οἶκτον, βλέπουσα αὐτὸν δι' ὅλου στενάζοντα, καὶ ἀγωνιῶντα, καὶ συνεχῶς ἐκ λαγόνων ἕλκη φέροντα. Οὐκ ἐμαλάχθη πρὸς εὐσπλαγχνίαν, θεωροῦσα τόν ποτε ἐν βασιλικῇ πορφυρίδι, ἄρτι ἐπὶ κοπρίας κείμενον γυμνὸν καὶ σηπόμενον. Οὐκ ἐμνημόνευσε τῆς πρὸς αὐτὸν ἀρχαίας φιλίας καὶ συνηθείας, καὶ ὅσα δι' αὐτὸν ἐμεγαλύνθη καὶ ἐδοξάσθη, ἀλλ', « Εἶπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα. » Ὦ χάρις γυναικός! ὦ μάλαγμα ὀδυνῶν πρατήριον! ὦ φιλίας ὁμοζύγου! οὐκ ἤρκει γὰρ αὐτῷ ἡ πρόσκαιρος ὀδύνη, ἀλλὰ καὶ αἰώνιον αὐτῷ[o] προξενεῖ διὰ τῆς βλασφημίας τὴν κόλασιν.

Θέλεις ἰδεῖν καὶ ἄλλην τῆς πονηρᾶς ταύτης ὁμοζύγου γυναῖκα; Ἴδε μοι τὴν Δαλιδὰ, πῶς τὸν ἴδιον ἄνδρα ξυρίσασα, τοῖς ἀλλοφύλοις παρέδωκε, τὸ ἴδιον μέλος, τὸν ἴδιον σύνευνον, ὃν ὑπεκρύβετο, ὃν χθὲς ἐθαλπε ἀγαπῶσα, σήμερον ἐθαπτεν ἀπατῶσα. Καὶ μὴ οὐκ ἦν ὡραῖος; Καὶ τίς αὐτοῦ ὡραιότερος; ὃς γε ἑπτὰ βοστρυχους ἐπὶ κεφαλῆς ἔφερε, τῆς ἑπταφώτου χάριτος τὴν εἰκόνα βαστάζων. Καὶ μὴ οὐκ ἦν ἀνδρεῖος; Καὶ τίς ἦν αὐτοῦ ἀνδρειότερος; ὅσπερ λέοντα φοβερὸν ἐν ὁδῷ μόνος ἐπάταξε, καὶ μιᾷ σιαγόνι ὄνου χιλίους ἀλλοφύλους κατέστρωσεν. Ἀλλὰ καὶ οὐχ ἅγιος ἦν; Τοσοῦτον ἦν ἅγιος, ὡς διψήσαντα αὐτόν ποτε ἐν σπάνει ὕδατος εὖ-

vituperat, omnes probris afficit. Mulier enim impudens nulli parcit, non reveretur prophetam, nihili facit sacerdotem, cano non habet honorem. O malum malorum pessimum, mulier mala! Etsi sit quidem pauper, est 343 dives malitia; sin abundat divitiis, quæ adjumentum ferant ejus malitiæ, est duplex malum. Est animal intolerabile, morbus immedicabilis, ferum et immansuetum animal. Ego enim vidi etiam aspides blanditiis cicurari; et leones, et tigres, et pardos, si demulceantur, mitescere (40); mala autem mulier et contumelia affecta insanit et adulatione effertur, et si habeat maritum principem, noctu et interdiu suis dolis eum irritans ad cædem faciendam incitat, ut Herodias Herodem. Si habet pauperem maritum, ad iram et pugnas eum excitat. Si sit vidua, ipsa per se omnes probris et contumeliis afficit: nam Dei metu non refrenat linguam, non ad futurum aspicit judicium, Deum non respicit, amicitiæ nescit servare vinculum. Pro nihilo est mulieri ad mortem tradere suum maritum: justum enim virum Job uxor sua tradebat ad mortem, dicens: « Benedic Domino, et morere [70]. » O malum animi propositum! O mentem impiam! Non mota est miseratione, videns sui mariti membra ex ebullientibus pustulis tanquam a carbonibus exuri, et totas carnes ipsius involvi vermibus. Non inflexa fuit ad misericordiam, eum videns perpetuo ingemiscere, et angi, ac perpetuo (tanquam) ex utero aliquo ulcera progignere. Non emollita fuit ad commiserationem, cernens eum, qui aliquando fuerat indutus purpura, modo nudum jacere, et putrescere in sterquilinio. Non meminit amicitiæ et consuetudinis quæ sibi cum illo intercesserat, et quanta propter ipsum fuerit ejus magnificentia et gloria! Sed: Dic, inquit, Domino verbum aliquod, et morere. O gratia mulieris! O medicamentum dolores afferens et ægritudines! O amicitiam conjugis! Non enim ei sufficiebat dolor qui erat ad tempus, sed per maledictum ei æternum conciliabat cruciatum.

Vis videre adhuc aliam hujus malitiæ conjugalis mulierem? Vide mihi Dalilam, quomodo maritum suum totonderit, et vinctum tradiderit alienigenis, membrum suum, sui tori consortem, quem fovebat, cui blandiebatur, quem deosculabatur, quem simulabat se plus quam se ipsam diligere; quem heri diligebat, hodie decipiebat; quem heri diligens fovebat, hodie decipiens sepeliebat. An non erat pulcher? Quis eo pulchrior? qui in capite gestabat septem crines, portans imaginem gratiæ septemplicis. An non erat fortis? Quis eo fortior? qui fortem leonem in via solus confecit, et una asini maxilla mille stravit alienigenas. An non et

[70] Job II, 9.

VARIÆ LECTIONES.

[l] πλοῦτον. [m] συνεργοῦντα. [n] φλυκταινῶν. [o] αὐτόν.

NOTÆ.

(40) Desunt in ms. Græco paucula.

sanctus ? Erat adeo, ut, cum ipse aliquando sitivisset, precatus sit in aquæ penuria, et ex maxilla (quam manu **344** tenebat mortuam) aqua emanarit, et ex ea hauserit. Et tamen tam pulchrum, tam fortem, tam sanctum, ejus uxor, tanquam hostem, vinctum tradidit alienigenis. Unde autem hoc potuit? Ex mariti bonitate. Nam cum virium suarum arcanum dolo noctu ab eo subripuisset, tanquam nudum jugulavit. Propterea propheta tibi præcipit, dicens : (41) « A tori consorte cave, ne aliquid apud eam deponas [71]. » Quænam vero bellua, dic, quæso, adversus suum masculum hæc unquam est machinata? Quænam dracæna vult suum perire conjugem? Quænam læna suum conjugem tradit occidendum? « Revera non est malitia supra malitiam mulieris [72]. » Qui ergo habet malam mulierem, sciat se jam recipere mercedem suæ iniquitatis : dicit enim Sapiens : « Mulier mala dabitur viro peccatori [73] »

A ξασθαι, καὶ ἐκ τῆς κατεχομένης τῇ χειρὶ αὐτοῦ σιαγόνος νεκρᾶς ὕδωρ πηγάσαι, κἀκεῖθεν τὸ ἅλμα τῆς δίψης ἀρύσασθαι. Καὶ τὸν οὕτως ὡραῖον, τὸν οὕτως ἀνδρεῖον, τὸν οὕτως ἅγιον ἡ ἰδία γυνὴ, ὡς πολέμιον δήσασα, τοῖς ἀλλοφύλοις παρέδωκε. Καὶ πόθεν ἄρα γυνὴ τοῦ οὕτως ἀνδρείου κατίσχυσεν; Ἐκ τῆς οἰκείας τοῦ ἀνδρὸς ἀγαθότητος. Τὸ γὰρ μυστήριον αὐτοῦ τῆς ἰσχύος νύκτωρ ἀποσυλήσασα, γυμνὸν αὐτὸν ἰμᾶσιν ἰσχυροῖς κατέστρεψε. Εἰπέ μοι, θηρίον κατὰ τοῦ ἰδίου ἄρρενος τοιαῦτα ἐμελέτησε πώποτε; ποία δράκαινα τὸν ἴδιον ὁμόζυγον ἀπολέσθαι θέλει; ποία λέαινα τὸν ἴδιον ἄνδρα πρὸς σφαγὴν παραδίδωσιν; « Ὄντως ἀληθῶς, οὐκ ἔστι κακία ὑπὲρ κακίαν γυναικός. » Οὐκοῦν ὁ ἔχων γυναῖκα πονηρὰν, γινωσκέτω ἤδη τοὺς τῶν ἀνομιῶν αὐτοῦ κεκομίσθαι μισθούς. Φησὶ γὰρ Σολομών· « Γυνὴ πονηρὰ ἀνδρὶ ἁμαρτωλῷ δοθήσεται. »

B

Ex eodem in illud : « Omnis qui aspexerit mulierem [74], » etc.

«Omnis qui aspexerit, inquit, mulierem ad concupiscendam eam, jam mœchatus est eam in corde suo [75]. » Terribilis revera denuntiatio, ac proinde magna opus est sobrietate. Nam quid est mulier? Laqueus ornatus, et decipiens viros in voluptatibus. Læto quidem vultu, et erecto collo, oculis annuens, lingua modulans, voce inquinans, verbis incantans, pedibus ludens, figura et corporis habitu placens, et factis occidens (42). « Multos, inquit, vulneratos dejecit, et sunt innumerabiles quos interfecit [76]. » Ideo dicit : « In pulchritudine mulieris multi sunt decepti; et ex ea amicitia, tanquam ignis, accenditur [77]. » Quid est mulier? In terra naufragium, fons sceleris, thesaurus cædium, letalis occursus, lapsus oculorum, animarum exitium, cordis lancea, juvenum pernicies, sceptrum inferorum, præceps desiderium. Quid mulier? Sanctorum calumnia, quies serpentis, diaboli solatium, ægritudo inconsolabilis, succensa fornax, eorum qui servantur scandalum, vitium immedicabile, diurnæ nugæ, prodigorum hospitium, officina dæmonum.

Τοῦ αὐτοῦ, εἰς τὸ, « Πᾶς ὁ ἐμβλέψας γυναικί. »

« Πᾶς ὁ ἐμβλέψας, φησὶ, γυναικὶ, πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν, ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ αὐτοῦ. » Ὄντως φοβερὸν τὸ παράγγελμα, καὶ πολλῆς χρεία τῆς νήψεως. Τί γάρ ἐστι γυνή; Παγὶς κεκοσμημένη, καὶ ἐξαπατῶσα τοὺς ἀνθρώπους ἐν ἡδοναῖς, φαιδρῷ μὲν τῷ προσώπῳ, καὶ ὑψηλῷ τῷ τραχήλῳ, καὶ τοῖς ὀφθαλμοῖς ἐννεύουσα, καὶ τῇ γλώσσῃ μελῳδοῦσα, καὶ τῇ φωνῇ μιαίνουσα. « Πολλοὺς γὰρ, φησὶ, τρώσασα καταβέβληκε, καὶ ἀναρίθμητοί εἰσιν, οὓς πεφόνευκε. » Διὸ λέγει· « Κάλλει γυναικὸς πολλοὶ ἐπλανήθησαν, καὶ ἡ ἐκ τούτου φιλία ὡς πῦρ ἀνακαίεται. » Τί γυνή; Ἐπὶ γῆς ναυάγιον, πηγὴ κακίας, θησαυρὸς ῥυπαρίας, θανατηφόρος συντυχία, ὀφθαλμῶν ὄλισθος, ψυχῶν ὄλεθρος, καρδίας λόγχη, νέων ἀπώλεια, σκῆπτρον ᾅδου, κρημνώδης πόθος. Τί γυνή; Ἁγίων διαβολὴ, ἀνάπαυσις ὄψεως, διαβόλου παραμυθία, ἀπαρηγόρητος ὀδύνη, ὑπακαιομένη κάμινος, σωζομένων σκάνδαλον, ἀθεράπευτος κακία, καθημερινὴ λέσχη, ξενοδοχεῖον ἀσώτων, ἐργαστήριον δαιμόνων.

C

Quid mulier? Malum amatorium medicamentum, impudens fera, inexpugnabilis impetus atque appetitio, os effrenatum, triumphus mysteriorum, dux tenebrarum, magistra delictorum, scelerata oblectatio, cupiditas insatiabilis, sempiterni cruciatus causa. Quid mulier? Terrena prudentia, viri socordia, simul dormiens intemperantia, simul expergiscens sollicitudo, vestita vipera, voluntaria pugna, diurnum damnum, domus tempestas, viri naufragium, immitis fera, adulterorum receptaculum, arma diaboli, rabies desiderabilis, mors totius mundi. Merito dicebat Sapiens : « Parva est omnis

Τί γυνή; Φίλτρον πονηρὸν, ἀναίσχυντον θηρίον, ἀκράτητος ὁρμὴ, ἀχαλίνωτον στόμα, μυστηρίων θρίαμβος, σκοτίας ὁδηγὸς, παραπτωμάτων διδάσκαλος, ἀπόλαυσις πονηρὰ, ἀκόρεστος ἐπιθυμία, κολάσεως αἰωνίου πρόξενος. Τί γυνή; Γήϊνον φρόνημα, ἀνδρὸς ῥᾳθυμία, συγκοιμωμένη ἀκρασία, συνεγειρομένη μέριμνα, ἱματισμένη ἔχιδνα, αὐθαίρετος μάχη, καθημερινὴ ζημία, οἰκίας χειμὼν, ἀνδρὸς ναυάγιον, ἀνήμερον θηρίον, μοιχῶν καταγώγιον, ὅπλον διαβόλου, ἐπιθυμητὴ λύσσα, παγκόσμιος θάνατος. Εἰκότως ἔλεγεν ὁ Σοφός· « Μικρὰ πᾶσα κακία πρὸς κακίαν γυναικός. » Σὺ δὲ, εἰ βούλει τοιοῦτον θηρίον

D

[71] Mich. VII, 5. [72] Eccli. XXV. 26. [73] ibid. 26. [74] Matth. V, 28. [75] ibid. [76] Prov. VII, 26. [77] Eccli. IX, 9.

NOTÆ.

(41) Hæc desunt in Græco nostro codice.

(42) Hæc non sunt in Græco nostro codice.

ἀποδρᾶσαι, ἄκουε τοῦ Παροιμιαστοῦ λέγοντος· « Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, τὰ δὲ βλέφαρά σου βλεπέτω[e] δίκαια. » Καί· « Μή σε νικήσῃ κάλλους ἐπιθυμία, μηδὲ ἀγρευθῇς σοῖς ὀφθαλμοῖς, μηδὲ συναρπασθῇς ἀπὸ τῶν αὐτῆς βλεφάρων· γυνὴ γὰρ ἀνδρῶν τιμίων ψυχὰς ἀγρεύει. » — « Νῦν οὖν, υἱέ μου, ἄκουέ μου, καὶ πρόσεχε ῥήμασι στόματός μου· μὴ ἐκκλινάτω εἰς τὰς ὁδοὺς αὐτῆς ἡ καρδία σου, καὶ μὴ πλανηθῇς ἐν ἀτραποῖς ὁδοῦ αὐτῆς. Πολλοὺς γὰρ τρώσασα καταβέβληκε, καὶ ἀναρίθμητοί εἰσιν, οὓς πεφόνευκε· » καὶ μὴ ἐπιστήσῃς σὸν ὄμμα πρὸς αὐτὴν, ἀλλὰ ἀποπήδησον, καὶ οὐ μὴ χρονίσῃς.

Ὅταν οὖν ἴδῃς γυναῖκα εὔμορφον, λάμπουσαν, ἔχουσαν ὀφθαλμὸν φαιδρὸν, στίλβουσαν ἀπὸ τῆς παρειᾶς, ἀμήχανόν τινα ὥραν φέρουσαν ἐπὶ τῆς ὄψεως, φλέγουσάν σου τὸν λογισμὸν, καὶ τὴν ἐπιθυμίαν αὔξουσαν, ἐννόησον, ὅτι γυνὴ τὸ θαυμαζόμενον, ὅτι σποδὸς τὸ ἐκκαῖον, καὶ παύσεται λυττῶσα ἡ ψυχή. Ἀνάκαμψον αὐτῆς τὸ δέρμα τῆς ὄψεως τῷ λογισμῷ, καὶ τότε πᾶσαν εὑρήσεις, ἀλλ' ἢ ὀστᾶ; καὶ νεῦρα, καὶ φλέβας, καὶ δυσωδίαν. Ἐννόησον δὲ πάλιν ταύτην γηράσκουσαν, ἀλλοιωμένην, θνήσκουσαν, ἅπαν καταῤῥέον τὸ ἄνθος ἐκεῖνο. Ἐννόησον, τί θαυμάζεις, καὶ αἰσχύνθητί σου κρίσιν, καὶ αἰσχυνθεὶς μετανόησον.

ΕΡΩΤΗΣΙΣ Ξ'.

Τί ἐστι τὸ, « Ἐὰν ὀφθαλμός σου ὁ δεξιὸς, ἢ ἡ χεὶρ σου σκανδαλίσῃ σε, ἔκκοψον αὐτὸν ἀπὸ σοῦ; »

ΑΠΟΚΡΙΣΙΣ.

Οὐ περὶ τῶν μελῶν τοῦ σώματος εἴρηκε τοῦτο Χριστὸς, ἅπαγε! ἀλλὰ περὶ τῶν φίλων καὶ συγγενῶν. « Μέλη γὰρ ἀλλήλων ἐσμέν. » Ἐὰν οὖν, φησὶν, ἔχῃς φίλον ἢ συγγενῆ, ἀναγκαῖόν σοι ὄντα ὡς δεξιὸν ὀφθαλμὸν, ἢ χεῖρα (κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Ἰώβ· ὅτι « Ὀφθαλμὸς ἤμην τυφλῶν, ποὺς δὲ χωλῶν »), καὶ ἴδῃς σαυτὸν βλαπτόμενον ὑπ' αὐτοῦ κατὰ ψυχὴν, ἔκκοψον αὐτὸν ἀπὸ σοῦ· « Οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος· » μάλιστα ἐὰν ὑποκρίσεώς τινος καὶ δόλου μετέχουσι P, φεύγειν ἀπ' αὐτῶν χρὴ καὶ προσέχειν, ὡς ἀπὸ ὄφεως. Φησὶ γὰρ ὁ Κύριος, « Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. » Καὶ ὁ Ἰωάννης· « Μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ ἐστιν· ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν κόσμον. » Καὶ ὁ Παῦλος· « Οἱ γὰρ τοιοῦτοι, ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ. Καὶ οὐ θαυμαστόν· αὐτὸς γὰρ ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός. Οὐ μέγα οὖν, εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται, ὡς διάκονοι δικαιοσύνης, ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν. »

malitia ad malitiam mulieris [78]. » Si velis aufugere a tali **345** fera, audi auctorem Proverbiorum dicentem : « Oculi tui recta aspiciant, supercilia autem tua justa annuant [79]. » Et : « Ne te vincat desiderium pulchritudinis, neque tuis capiaris oculis, neque abripiaris ab ejus ciliis ; mulier enim venatur eximiorum hominum animas [80]. » — « Nunc ergo, fili mi, audi me, et attende verbis oris mei : ne declinet in semitas ejus cor tuum, neque erres in semitis viæ ejus; multos enim sauciatos dejecit, et sunt innumerabiles quos occidit [81] ; » neque defixeris in eam oculum tuum, sed resilias, neque tardes.

Quando ergo videris mulierem formosam, nitentem, habentem lætos oculos, genis splendentem, et in vultu immensam ferentem elegantiam, mentem tuam accendentem, et augentem libidinem ; cogita id quod admiraris esse mulierculam, et id quod te accendit esse cinerem, cessabitque animi furor. Revelle cogitatione cutem ex vultu ejus, et tunc videbis quam sit vilis et abjecta ejus species : nihil enim aliud invenies quam ossa, nervos, venas, et tetrum odorem. Cogita rursus senescentem, alteratam, morientem, universum florem illi defluentem ; cogita quid mireris, et erubesce judicium tuum, et pudore affectus pœnitentiam age.

QUÆSTIO LX.

Quid est : « Si oculus tuus dexter, vel manus tua te scandalizet, abscinde illam abs te [82] ? »

RESPONSIO.

Non de membris corporis hoc dicit Christus, absit ; sed de amicis et cognatis. « Sumus enim inter nos alter alterius membra [83]. » Si ergo, inquit, habes amicum, aut cognatum, qui est tibi æque necessarius, ac dexter oculus, vel manus, convenienter ei quod dictum est a Job : « Oculus eram cæcorum, pes autem claudorum [84] ; » vides autem te ab eo lædi in tua anima, exscinde ipsum a te : « Nulla est enim societas lucis cum tenebris [85] ; » maxime si sit in eis simulatio et dolus, oportet ab eis fugere, et cavere tanquam a serpente. Dicit enim Dominus : « Attendite a falsis prophetis, qui veniunt ad vos in vestimentis ovium, intrinsecus autem sunt lupi rapaces ; a fructibus eorum cognoscetis eos [86]. » Et Joannes : « Nolite omni spiritui credere, sed probate spiritus, an ex Deo sint ; quia multi pseudoprophetæ exierunt in mundum [87]. » Et Paulus : « Tales enim sunt pseudoapostoli, operarii dolosi, qui transfigurantur in apostolos Christi. Et non mirum : ipse enim Satanas transfigurat se in Angelum lucis. Non est ergo magnum, **346** si ministri ejus transfigurentur velut ministri justitiæ, quorum finis erit secundum opera ipsorum [87*]. »

[78] Eccli. xxv, 26. [79] Prov. iv, 25. [80] Prov. vi, 25, 26. [81] Prov. vii, 24 26. [82] Matth. v, 29. [83] Ephes. iv, 25. [84] Job xxix, 15. [85] II Cor. vi, 14. [86] Matth. vii, 15, 16. [87] I Joan. iv, 1. [87*] II Cor. xi, 13-15.

VARIÆ LECTIONES.

e γευέτω. P μετέχωσι.

Salomon quoque admonet : « Fili, ne decipiant A te viri impii : pedes enim eorum currunt ad malum et festinant ut effundant sanguinem [88]. » Et : « Ne possideas malorum virorum probra, neque æmuleris vias eorum ; non enim dormient, nisi malum fecerint [89]. » Et : « Cor perversum fabricatur mala in omni tempore ; qui est ejusmodi, efficit tumultus [90]. Propterea repente venit interitus, diruptio, et contritio immedicabilis [91] ; » quoniam lætatur omnibus quæ odit Deus ; conteritur autem propter immunditiam animæ. Et : « Qui dolose annuit oculo, congregat viris dolores [92]. » Et : « Vir iniquus tentat amicos [93], » et abducit eos in vias non bonas ; obfirmans autem oculos suos cogitat perversa, et labiis suis definit omnia mala. Et : « Est fornax sceleris, et fossa profunda os B iniqui ; qui autem odio habetur a Domino, incidet in eam [94]. » Et : « Si te roget inimicus tuus magna voce, ne ei credas : sunt enim septem improbitates in anima ejus [95]. » — « Meliora sunt vulnera amici quam voluntaria oscula inimici [96]. » Et : « Sanctus Spiritus fugiet dolosum, et auferet se a cogitationibus quæ sunt sine intellectu, et recedet a cogitationibus insipientibus [97]. »

Similia præcipit Sirach : « Conserva te, et cave a malo, et attende valde, et observa quod cum ruina tua ambulas [98]. » Et : « Agnosce, quod in medio laqueorum ingrederis, et super propugnaculum civitatum ambulas [99]. » Et : « Si possides C amicum, in tentatione posside eum, et ne cito credideris ei : est enim amicus in tempore suo, et non permanebit in tempore afflictionis tuæ ; et est amicus qui traducitur ad odium, et pugnam opprobrii tui revelabit ; et est amicus socius mensæ, et non permanebit in die afflictionis ; et si humiliatus fuerit, adversus te erit, et a facie tua abscondetur [1]. » Et : « Ne homini stulto te subjicias ; et ne assurrexeris a facie insolentis et contumeliosi ; ne ori tuo struat insidias [2-3]. » Et : « Ab inimicis tuis separare, et ab amicis tuis attende [4] ; et filio, et uxori, et fratri ne des potestatem adversus te in vita tua [5]. » Et : « Ne des alteri pecunias tuas, ne pœnitentia ductus ab eo roges : melius D est enim, ut filii tui te rogent, quam ut aspicias ad manus filiorum tuorum [6]. » Et : « Attende a viro malo ; mala enim fabricatur, ne forte des reprehensionem in sæculum [7]. » Et : « Ne credas inimico tuo in æternum : nam quomodo æs rubigine obducitur, ita etiam ejus improbitas [8] (43).

Ὁ Σολομὼν παραινεῖ, λέγων· « Υἱέ, μή σε πλανήσωσιν ἀσεβεῖς ἄνδρες· οἱ γὰρ πόδες αὐτῶν εἰς κακίαν τρέχουσι, καὶ ταχινοί εἰσι τοῦ ἐκχέαι αἷμα. » — « Μὴ κτήσῃ [κατὰ] κακῶν ἀνδρῶν ὀνείδη, μηδὲ ζηλώσῃς τὰς ὁδοὺς αὐτῶν· οὐ γὰρ μὴ ὑπνώσουσιν, ἐὰν μὴ κακοποιήσωσι. » Καί· « Διεστραμμένη καρδία τεκταίνεται κακά· ἐν παντὶ καιρῷ ὁ τοιοῦτος ταραχὰς συνίστησι. Διὰ τοῦτο ἐξαπίνης ἔρχεται ἡ ἀπώλεια αὐτοῦ, διακοπὴ, καὶ συντριβὴ ἀνίατος, » ὅτι χαίρει ἐν πᾶσιν, οἷς μισεῖ ὁ Κύριος, συντριβήσεται δὲ δι' ἀκαθαρσίαν ψυχῆς. Καί· « Ὁ ἐννεύων ὀφθαλμὸν μετὰ δόλου, συνάγει ἀνδράσι λύπας. » Καί· « Ἀνὴρ παράνομος ἀποπειρᾶται φίλων, » καὶ ἀπάγει αὐτοὺς ὁδοὺς ἀγαθάς· στηρίζων δὲ ὀφθαλμοὺς αὐτοῦ, λογίζεται διεστραμμένα, καὶ ὁρίζει τοῖς χείλεσιν αὐτοῦ πάντοτε κακά. Καί· « Ἔστι κάμινος κακίας καὶ βόθρος βαθὺς στόμα παρανόμου· ὁ δὲ μισηθεὶς ὑπὸ Κυρίου ἐμπεσεῖται εἰς αὐτό. » Καί· « Ἐάν σου δέηται ὁ ἐχθρός σου μεγάλῃ τῇ φωνῇ, μὴ πεισθῇς αὐτῷ· ἑπτὰ γάρ εἰσι πονηρίαι ἐν τῇ ψυχῇ αὐτοῦ. » Καί· « Ἀξιοπιστότερα τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ. » Καί· « Ἅγιον Πνεῦμα φεύξεται δόλον, καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἀπελθούσης ἀδικίας. »

Ὡσαύτως καὶ Σειρὰχ παραγγέλλει [9], λέγων· « Συντήρησον, καὶ φύλαξον ἀπὸ πονηροῦ, καὶ πρόσεχε σφόδρα, ὅτι μετὰ τῆς πτώσεώς σου περιπατεῖς. » Καί· « Ἐπίγνωθι, ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις, καὶ ἐπὶ ἐπάλξεων πόλεων περιπατεῖς. » Καί· « Εἰ κτήσῃ φίλον, ἐν πειρασμῷ κτῆσαι αὐτὸν, καὶ μὴ ταχέως ἐμπιστεύσῃς αὐτῷ. Ἔστι γὰρ φίλος ἐν καιρῷ αὐτοῦ, καὶ οὐ μὴ παραμένῃ ἐν ἡμέρᾳ [x] θλίψεώς σου· καὶ ἔστι φίλος μετατιθέμενος εἰς ἔχθραν, καὶ μάχην ὀνειδισμοῦ σου ἀποκαλύψει· καὶ ἔστι φίλος κοινωνὸς τραπέζης, καὶ μὴ παραμείνῃ [a] ἐν καιρῷ θλίψεως, καὶ ἐὰν ταπεινωθῇς, ἔσται κατὰ σοῦ, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσεται. » Καί· « Μὴ ὑποστρώσῃς ἀνθρώπῳ μωρῷ σεαυτὸν, καὶ μὴ ἐξαναστῇς ἀπὸ προσώπου ὑβριστοῦ, ἵνα μὴ ἐγκαθίσῃ ἐνέδρα [b] τῷ στόματί σου. » Καί· « Ἀπὸ ἐχθρῶν σου διαχωρίσθητι, καὶ ἀπὸ φίλων σου πρόσεχε, καὶ υἱῷ, καὶ [u] γυναικὶ, καὶ [x] ἀδελφῷ μὴ δῷς ἐξουσίαν ἐπὶ σὲ ἐν ζωῇ σου. » Καί· « Μὴ δῷς ἑτέρῳ τὰ χρήματά σου, ἵνα μὴ μεταμεληθῇς, δέῃ παρ' αὐτῶν [y]. Κρεῖσσον γάρ ἐστι τὰ τέκνα δεηθῆναί σοῦ [z], ἢ σὲ ἐμπεσεῖν εἰς χεῖρας υἱῶν σου. » Καί· « Πρόσεχε ἀπὸ κακοῦ· πονηρὰ γὰρ τεκταίνει· μή ποτε μῶμον εἰς τὸν αἰῶνα δώσῃ. » Καί· « Μὴ πιστεύσῃς τῷ ἐχθρῷ σου εἰς τὸν αἰῶνα· ὡς γὰρ χαλκὸς ἰοῦται, οὕτω καὶ ἡ πονηρία αὐτοῦ· καὶ ἐὰν ταπεινωθῇ, καὶ πορεύεται κεκυφώς [c]. »

[88] Prov. I, 15, 16. [89] Prov. IV, 14-16. [90] Eccli. XI, 33 ; Prov. VI, 14. [91] Prov. VI, 15 ; XXIV, 22. [92] Prov. X, 10. [93] Eccli. XXVIII, 11. [94] Prov. XXII, 14. [95] Prov. XXVIII, 25. [96] Prov. XXVII, 6. [97] Sap. I, 5. [98] Eccli. XII, 16. [99] Eccli. IX, 20. [1] Eccli. VI, 7-10, 12. [2-3] Eccli. XXII, 14. [4] Eccli. VI, 13. [5] Eccli. XXXIII, 20. [6] ibid. et 22. [7] Eccli. XI, 35. [8] Eccli. XII, 10.

VARIÆ LECTIONES.

[9] παραινεῖ. [x] καιρῷ. [a] παραμενεῖ. [b] ἐνεδρον. [u] ἢ. [x] ἢ. [y] μεταμεληθεὶς δεήσῃ αὐτῶν. [z] σοι. [c] συγκεκυφώς.

NOTÆ.

(43) Hucusque Hervetus in manuscripto cod. Sequebantur plures sententiæ ex Ecclesiastico et aliis

Ἐκ τοῦ [a] *Λειμωναρίου.*

Ἠρώτησέ τις Πατέρα μέγαν· Ἐὰν σκανδαλίσῃ με ἀδελφὸς, βάλω αὐτῷ μετάνοιαν (44); Ὁ δέ φησι· Βάλε αὐτῷ μετάνοιαν, καὶ ἔκκοψον σεαυτὸν ἀπ' αὐτοῦ, ἵνα μὴ εἰς μεῖζον ἐλάττωμά σε κατάγῃ. Ὅθεν φησὶν ὁ Ἀπόστολος· « Πάντα δοκιμάζοντες, τὸ καλὸν κατέχετε· ἀπὸ παντὸς πονηροῦ εἴδους ἀπέχεσθε. » Ἔχομεν δὲ καὶ τὸν μέγαν Ἀρσένιον, λέγοντα· Μετὰ πάντων ἀγάπην ἔχετε, ἀπὸ δὲ πάντων ἀπέχεσθε.

A

347 *Ex Limonario, seu Prato spirituali.*

Interrogavit quidam pater alium magnum, et admirabilem Patrem, dicens : Si scandalizet me frater, num ei reverentiam exhibere debeo? Respondit ille : Reverentiam ei exhibe, et te ab illo separa, ne te ad majus detrimentum adducat. Unde dicit Apostolus : « Omnia probate, quod bonum est tenete, ab omni specie mali abstinete [9]. » Et audi magnum Arsenium, dicentem : Cum omnibus habete charitatem, ab omnibus autem abstinete.

Ἐκ τῶν ἀποστολικῶν Διατάξεων.

Ἁμαρτία γὰρ ἀνεξέλεγκτος ἑαυτῆς χείρων γίνεται, καὶ εἰς ἄλλους τὴν διανομὴν λαμβάνει, ἐπεὶ καὶ « μικρὰ ζύμη [πλήρωμα φυράματος ζυμοῖ] ὅλον τὸ φύραμα ζυμοῖ, » καὶ εἷς κλέπτης ὅλῳ τῷ ἔθνει τὸ μῦσος ἐπήγαγε. Καὶ, « Μυῖαι θανοῦσαι σαπριοῦσι σκευασίαν ἡδύσματος ἐλαίου. » Καὶ, « Βασιλέως ὑπακούοντος λόγον ἄδικον, πάντες οἱ ὑπ' αὐτὸν ὑπηρέται παράνομοι. » Οὕτω καὶ πρόβατον ψωραλέον μεταδίδωσιν ἑτέροις τῆς νόσου, μὴ χωρισθέντων τῶν ὑγιαινόντων προβάτων· καὶ ἄνθρωπος λοιμὸς, πολλοῖς φυλακτέος· καὶ κύων λύσσῃ συνεχόμενος, ἐπικίνδυνος παντὶ, ᾧ δ' ἂν προσψαύσῃ [b]. Ἂν οὖν καὶ ἄνθρωπον παράνομον μὴ τῆς Ἐκκλησίας χωρίσωμεν, καὶ ποιοῦμεν τὸν οἶκον τοῦ Θεοῦ σπήλαιον λῃστῶν. Ὅθεν φησὶ Σολομών· « Ἔκβαλε λοιμὸν ἐκ συνεδρίου, καὶ συνεξελεύσεται αὐτῷ νεῖκος. » Ὅταν γὰρ καθίσῃ ἐν συνεδρίῳ, πάντας ἀτιμάζει. Λέγει οὖν καὶ ὁ Δαβίδ· « Προετιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα οὐ παράνομον, ποιοῦντας παραβάσεις ἐμίσησα· οὐκ ἐκολλήθη μοι καρδία σκαμβή· ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον· πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει· οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν, ἢ λαλῶν ἄδικα, ἀλλὰ τοῦτον ἐξεδίωκον. » Διὸ καὶ Ἐλισσαῖος, τῷ λειτουργῷ αὐτοῦ Γιεζὶ, μετὰ τὴν κλοπὴν καὶ τὸ ψεῦδος, τὴν τοῦ Νεεμὰν λέπραν περιθεὶς, ἐξεδίωκεν ἀπὸ προσώπου αὐτοῦ καθάπαξ. « Οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος. »

Ex Constitutionibus apostolicis. (Lib. II, c. 17.)

Peccatum quod non redarguitur fit deterius seipso, et in alios dispergitur. Nam « parvum quoque fermentum fermentat massam conspersionis [10]; » et fur unus in totam gentem infert abominationem. Et : « Muscæ mortuæ putrefaciunt compositionem condimenti olei [11]. » Et : « Rege exaudiente iniquum sermonem, omnes ejus ministri sunt iniqui [12]. » Ita etiam ovis scabiosa aliis affricat morbum, si non separetur ab ovibus sanis; et homo pestifer multis est cavendus; et canis quem tenet rabies est periculosus cuivis qui attigerit. Si ergo hominem quoque iniquum ab Ecclesia non separaverimus, facimus domum Dei speluncam latronum. Unde dicit Salomon : « Ejice pestiferum ex concilio, et simul cum eo exibit contentio [13] : » nam quando sedet in concilio, omnes probro afficit. David itaque dicit : « Non proponebam ante oculos meos rem iniquam, facientes prævaricationes odio habui; non adhæsit cor meum pravitati; declinantem a me malignum non cognoscebam : ambulans in via immaculata hic mihi ministrabat : non habitabit in medio domus meæ faciens superbiam, aut loquens iniqua, sed eum persequebar [14]. » Quam ob rem Eliseus quoque, cum ministro suo Giezi (post furtum, et mendacium) ipsius Naaman lepram immisisset, eum omnino ejecit a facie sua [15] : « Nulla est enim societas luci cum tenebris [16]. »

B

C

Τοῦ ἁγίου Βασιλείου ἐκ τῶν Ἀσκητικῶν.

Τὸ μὲν οὖν ἐπίβουλον, καὶ ψευδὲς, καὶ δολερὸν ἦθος Θεῷ τε μισητὸν, καὶ ἀνθρώποις ἐχθρὸν, ὅταν τις κατασκευάσῃ ἐπιβουλὴν, ἢ ψεῦδος, οὐ πρὸς τὴν ἑαυτοῦ ὠφέλειαν, ἢ πρὸς φίλων εὐεργεσίαν, ἢ ὅλως κατά τινα φιλάνθρωπον οἰκονομίαν, ἀλλὰ βλάβην τε καὶ ζημίαν ἑτέροις τεχνάζων, οἷα ἦν [ἡ] τοῦ διαβόλου

Ex Basilio in Asceticis.

Mores insidiosi, fallacis et dolosi, et Deus abominatur, et homines detestantur : si quis insidias aut mendacium struit, non ad suam utilitatem, aut ad amici beneficium, aut, ut in summa dicam, bono aliquo consilio; sed alii damnum et noxam machinans; qualis erat diaboli fraus adver-

D

[9] I Thess. v, 21, 22. [10] I Cor. v, 6. [11] Eccle. x, 1. [12] Prov. xxix, 12. [13] Prov. xxii, 10. [14] Psal. c, 3-8. [15] IV Reg. v, 27. [16] II Cor. vi, 14.

VARIÆ LECTIONES.

[a] τῶν. [b] προσάψῃ

NOTÆ.

decerptæ, quas omittere visum est, quandoquidem eas suo in exemplari Hervetus non reperit. Neque res tanti est.

(44) *Βάλλω αὐτῷ μετάνοιαν.* Tiro, qui Græcis est ἀρχάριος, seniorem interrogat, an religio sit, eum, qui tibi offendiculo fuerit, salutare. Βάλλειν μετάνοιαν est corpus in terram adorantis in modum prosternere. Pœnitentibus eam pœnam Græci Patres injungebant, si mitius ἐδαφιαίαν, si austerius στρωτήν. Hinc nomen transivit ad urbanas salutationes, quæ tali corporis demissione fiunt a Græcis et præsertim a monachis; unde vulgo προσκυνῶ saluto, προσκύνησις salutatio. Verum eam dicendi formulam βάλλειν μετάνοιαν et apud alios legi, et apud Joannem Hierosolymitanum in vita Damasceni, et apud Damasc. lib. I *Imag.*, et apud Maxim. in schol. ad Areopag., et alibi. (ALEMANN.)

sus hominem, et Cain adversus Abelem, et Jezabel adversus Naboth, et falsa Judæorum adversus Christum testimonia. Atqui de malo, et scelerato dolo, et de mendacio multa licet videre exempla, et per Scripturas, et per ea quæ semper geruntur. De justis autem insidiis et dolo, qui non male, sed juste et sapienter celat, **348** et abscondit, et artificiosam præ se fert speciem, et contraria faciens insidiosis et fallacibus hominibus suam et aliorum utilitatem, tanquam scopum sibi proponens, occultat suas tendiculas. Primum exemplum sit Moyses [17], quoniam jussu Dei apud Regem præ se tulit, quod viam trium dierum abducturus esset populum ad Deum colendum; quanquam ejus esset propositum omnino Israeliticum populum liberare, et traducere ex Ægypto in Judæam. Tale est et quod fecit qui ad ungendum David in regem missus est a Deo [18], præ se ferens quod esset sacrificaturus, ne Saul cognosceret quod regem pro se constituisset, et ne in periculum veniret Samuel. Porro Jonathas quoque, cum vellet servare Davidem ab insidiis Saulis, « Propterea, inquit, non venit ad mensam regis [19], » ut solebat, quia abiit in patriam suam Bethleem.

Saulem autem fugiens David dicebat Achimelech sacerdoti [20], quod mittebatur a Saule ad rem aliquam seriam; per dolum salutem sibi parans, non damnum aliorum. Et quando venit ad regem Achis, simulavit se insanire, quod non erat verum; sed insani personam induit, ne ab alienigenis interficeretur.

Jam vero ad sumendam quoque justam de inimicis ultionem sæpe doli sunt probati; cujusmodi fuit de Aod, qui interfecit Eglon, et Jahel, quæ occidit Sisaram; et Judith, quæ interemit Holofernem ad salutem populi Israelitici [21]. Sic etiam accessit cum bono dolo Paulus ad Judæos, et factus est tanquam Judæus, ut Judæos lucrifaceret. « Quamobrem, inquit, cum essem astutus, dolo vos cepi [22]. » Propter hos ergo dolos et mendacia non sunt sancti appellandi mendaces ac dolosi, sed sapientes quidem ad bonum, simplices et innocui ad malum. Cavendum est autem, si quando opus fuerit ejusmodi mendacio adversus hominum malitiam, ne sermoni etiam addamus jusjurandum : « Non enim assumes nomen Dei tui in vanum [23]. » Et : « Falsum juramentum ne diligatis [24]. » Et : « Ne ad mundi negotia attrahas nomen Dei [25], » quando propter malorum contentionem, aut propter pericula nobis et amicis imminentia, aut propter aliquod negotium, necesse est omnino uti

κατὰ τοῦ ἀνθρώπου, καὶ ἡ τοῦ Κάϊν κατὰ τοῦ Ἄβελ τοῦ ἀδελφοῦ, καὶ ἡ τῆς Ἰεζάβελ κατὰ τοῦ Ναβουθαὶ, καὶ ἡ τῶν Ἰουδαίων κατὰ τοῦ Κυρίου ψευδομαρτυρία. Καὶ περὶ μὲν τοῦ μιαροῦ δόλου καὶ ψεύδους πολλὰ καὶ διὰ τῶν Γραφῶν, καὶ διὰ τῶν ἀεὶ πραττομένων ἔστιν ὁρᾷν παραδειγμάτων. Περὶ δὲ τῆς δικαίας μεθόδου, τῆς οὐ κακῶς, ἀλλὰ δικαίως τε καὶ ἀληθῶς [c] ἀποκρυπτούσης τἀληθὲς, καὶ σχῆμα μὲν προβάλλεσθαι τεχνικὸν, αὐτὰ τἀναντία πράττονται τοῖς ἐπιβούλοις, καὶ δολεροῖς, καὶ ψεύσταις ἀνθρώποις, τὴν ὠφέλειαν ἑαυτοῦ καὶ ἑτέρων σκοπῶν, ἐπικρύπτει τε καὶ τεχνάζει, πρῶτον ἔστω παράδειγμα Μωσῆς, ὅτι γε, κατὰ Θεοῦ πρόσταγμα, σχῆμα προεβάλλετο πρὸς τὸν βασιλέα, ὡς δὴ τριῶν ἡμερῶν ὁδῶν ἀπάξων τὸν λαὸν ἐπὶ λατρείαν Θεοῦ, καίτοι προκειμένου ἦν αὐτῷ παντελῶς ἐλευθερῶσαι [d] καὶ μεταστῆσαι πρὸς Ἰουδαίαν ἐξ Αἰγύπτου τὸν Ἰσραήλ. Τοιοῦτον δὲ τὸ τοῦ Σαμουὴλ, ὃς ἐπὶ τῷ χρίσαι Δαβὶδ εἰς βασιλέα πεμφθεὶς ὑπὸ Θεοῦ, κελεύεται σχήματι χρήσασθαι, ὡς δὴ θυσίας ἕνεκα, πρὸς τὸ μὴ ἐπιγνωσθῆναι τῷ Σαοὺλ, ὅτι βασιλεὺς ἀντ' αὐτοῦ καθίσταται, καὶ κινδυνεῦσαι τὸν Σαμουήλ. Καὶ Ἰωνάθαν δὲ, ὡς θέλων τὸν Δαβὶδ ἐκ τῆς τοῦ Σαοὺλ ἐπιβουλῆς [d'], φησί· « Διὰ τοῦτο οὐκ ἀπῆνεγκεν ἐπὶ τὴν τράπεζαν τοῦ βασιλέως, » κατὰ τὸ σύνηθες, ὅτι πρὸς τὴν πατρίδα αὐτοῦ Βηθλεὲμ ἀπελήλυθε.

Φεύγων δὲ τὸν Σαοὺλ ὁ Δαβὶδ, ἔλεγε πρὸς Ἀβιμέλεχ τὸν ἱερέα, ὡς παρὰ τοῦ Σαοὺλ πεμπόμενος ἐπί τι πρᾶγμα σπουδαῖον, σωτηρίαν ἑαυτῷ διὰ τοῦ δόλου κατασκευάζων, οὐ βλάβην ἑτέρων. Καὶ ἡνίκα πρὸς τὸν Ἀχοῦς ἦλθε τὸν βασιλέα, μανίαν ἐσκήπτετο, σχῆμα προβαλλόμενος οὐκ ἀληθὲς, εἰς τὴν ἀποφυγὴν τοῦ παρὰ τοῖς ἀλλοφύλοις θανάτου.

Ἀλλὰ μὴν καὶ δικαίας ἕνεκε [e] τῶν ἐχθρῶν τιμωρίας, δόλοι πολλάκις ηὐδοκίμησαν, ὅπου [ἂν] ἦν ἡ τοῦ Ἀὼδ πρὸς τὸν Αἰγλὼν ἀναίρεσις, καὶ ἡ τῆς Ἰαὴλ τοῦ Σισάρα, καὶ ἡ τῆς Ἰουδὶθ πρὸς τὸν Ὀλοφέρνην, πρὸς σωτηρίαν τοῦ λαοῦ [f]. Οὕτω γοῦν μετὰ δόλου προσῆλθε τοῖς Ἰουδαίοις ὁ Παῦλος, καὶ γέγονεν ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσει, διό φησι· « Ὑπάρχων πανοῦργος, δόλῳ ὑμᾶς ἔλαβον. » Ἐπὶ τοιούτοις οὖν δόλοις καὶ ψεύδεσιν οὐ ψεύστας, οὐδὲ δολεροὺς τοὺς ἁγίους δεῖ καλεῖν, ἀλλὰ σοφοὺς μὲν πρὸς τὸ ἀγαθὸν, ἀκεραίους δὲ πρὸς τὸ κακόν. Φυλακτέον δὲ, εἴποτε χρεία γένοιτο τοῦ τοιούτου ψεύδους πρὸς τὴν ἐν ἀνθρώποις κακίαν ἁρμοζόμενον ἐν ἡμῖν, μὴ προστίθεσθαι τῷ τοιούτῳ λόγῳ καὶ ὅρκον. « Οὐ γὰρ λήψῃ, φησὶ, τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ. » Καὶ, « Ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε. » Καὶ μὴ συνεφέλκου ταῖς ἐν κόσμῳ περιστάσεσιν τὸ θεῖον ὄνομα, ὅτε διὰ μάχην πονηρῶν, ἢ διὰ τοὺς ἐπιόντας κινδύνους ἡμῖν τε καὶ φίλοις, ἢ ὅλως διά τινα περίστασιν ἀνάγκη ψευδολογίᾳ χρήσασθαι, ἀλλ'

[17] Exod. III. [18] I Reg. XVI. [19] I Reg. XX, 29. [20] I Reg. XXVII. [21] Judic. III et IV. [22] II Cor. XII, 16. [23] Exod. XX, 7. [24] ibid. 16. [25] Levit. XIX, 12.

VARIÆ LECTIONES.

[c] σοφῶς. [d] ἐλευθερωθῆναι. [d'] f. διαοῦσαι. [e] ἕνεκα. [f] Ἰσραήλ.

ἔστω σοι σεβάσμιον ὄνομα κεχωρισμένον ἀπὸ τούτων, ἐπὶ ἀληθείας μόνης καλούμενον, καὶ ἐπὶ ἀνάγκης καὶ μεγάλων πραγμάτων.

Θεοδωρήτου ἐκ τοῦ εἰς τὸν Ὡσηέ.

Ἰστέον, ὡς τῷ σκοπῷ τό τε ἀγαθὸν καὶ τὸ κακὸν γίνεται. Τούτῳ γὰρ ὁ γάμος τῆς μοιχείας κρίνεται, καίτοι συνουσίας οὐδεμίαν ἐχούσης διαφοράν, τῷ σκοπῷ καὶ τῷ νόμῳ τὸ διάφορον κρίνεται. Καὶ τὸ μὲν ἔννομον, τὸ δὲ παράνομον κρίνεται, ὥσπερ καὶ ἐπὶ τοῦ φόνου. Ἀναιρεῖ γὰρ καὶ ὁ ἀνδροφόνος, ἀναιρεῖ καὶ ὁ δικαστής· ἀλλ' ὁ μὲν ἐννόμως, ὁ δὲ παρανόμως, καὶ τὸ μὲν ἔργον τὸ αὐτό, τῷ δὲ σκοπῷ διαφέρει. Καὶ ἵνα σαφέστερον ἀπὸ τῆς Γραφῆς τοῦτο καταμάθωμεν, σκοπήσωμεν οὕτως· Ἐφόνευσεν ὁ Κάϊν, ἀλλὰ βασκήνας καὶ δόλῳ χρησάμενος. Ἐφόνευσε Φινεές, ἀλλὰ ζηλώσας καὶ τῆς εὐσεβείας ὑπερμαχήσας· καὶ τὸ μὲν ἔργον τὸ αὐτό, ὁ δὲ σκοπὸς ἐναντίος ἐκ διαμέτρου. Ἔκλεψεν ὁ Ἰακὼβ τὴν εὐλογίαν. [5] Ἀλλ' ὁ μὲν ἐπηνέθη, ὁ δὲ ἐλιθοβολήθη. Ἐνήστευσεν Ἠλίας, ἐνήστευσαν καὶ οἱ τὸν Ναβουθαὶ καταλεύσαντες· ἀλλ' ὁ μὲν εὐσεβείας ἕνεκα, οἱ δὲ συκοφαντίας χάριν καὶ φόνου. Ἠλέησεν ὁ Σαοὺλ τὸν Ἀγὰγ παρανόμως, καὶ ἐγυμνώθη τῆς βασιλείας. Ἔσφαξεν ὁ Σαμουὴλ τὸν αὐτὸν, καὶ θεῖον νόμον ἐπλήρωσεν.

A false sermone (45). Sed sit tibi nomen Dei venerandum ab iis separatum, in veritate solum appellatum, et in necessitate et rebus magnis.

349 *Ex Theodoreto in Osee.*

Sciendum est fine ac intentione bonum et malum fieri; hac enim separatur ab adulterio matrimonium, et quamvis conjunctio utrinque nullum habeat discrimen, fine tamen ac lege ostenditur differentia; et hoc quidem judicatur legitimum, illud vero illegitimum, et præter leges. Quo modo etiam in homicidio: interficit enim homicida, interficit et judex; sed hic juste ac legitime, ille quidem inique et præter legem, et factum quidem est idem, differt autem scopo. Et ut hoc apertius discamus ex Scriptura, sic consideremus. Occidit Cain, sed motus invidia, et dolo usus; occidit et Phinees, sed zelo ductus, et causam tutatus pietatis et religionis; et factum quidem est idem, scopus contrarius, et pugnans ex diametro. Suffuratus est Jacob benedictionem, suffuratus et Achan in Israel; sed ille fuit laudatus, hic vero obrutus lapidibus. Jejunavit Elias, jejunaverunt et qui Naboth obruerunt lapidibus; sed ille causa pietatis, illi propter calumniam et cædem. Misertus est Agag Saul inique et contra leges, et fuit regno privatus; eumdem occidit Samuel, et Dei legem adimplevit.

ΕΡΩΤΗΣΙΣ ΞΑ'.

Πῶς νοητέον τὸ, « Ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς; »

ΑΠΟΚΡΙΣΙΣ ΒΑΣΙΛΕΙΟΥ.

Περικοπὴ αὕτη τοῦτο σαφηνίζει· περὶ γὰρ τοῦ ἐλέγχοντος καὶ τοῦ ἐλεγχομένου ποιεῖται τὸν λόγον. Ἐὰν γὰρ ὁ ἐλεγχθεὶς κατανυγῇ καὶ συνέλθῃ τῷ σκοπῷ τοῦ ἐλέγχοντος, περὶ παντὸς ἁμαρτήματος, οὗ ἐὰν αἰτήσωνται τὴν ἄφεσιν, δοθήσεται αὐτοῖς παρὰ τοῦ Θεοῦ. Εἰ δὲ μὴ συμφωνήσῃ ὁ ἐλεγχόμενος τῷ ἐλέγχοντι, οὐκέτι ἄφεσις γίνεται, ἀλλὰ δεσμὸς κατὰ τὸ ἐπιφερόμενον, ὅτι « Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ. »

Τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Ματθαῖον.

« Ἐὰν, φησὶν, ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. Ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου· ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα. Ἐὰν δὲ καὶ αὐτῶν παρακούσῃ, εἰπὲ τῇ Ἐκκλησίᾳ· ἐὰν δὲ καὶ τῆς Ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης. Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ. Καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. Ἐὰν γὰρ δύο συμφωνήσω-

QUÆSTIO LXI.

Quomodo est intelligendum illud: « Si duo simul consenserint super terram [26]? »

RESPONSIO SANCTI BASILII.

Ipse locus hoc indicat; nam de eo qui arguit et arguitur, verba facit. Nam si is qui arguitur fuerit compunctus, et convenerit cum scopo et instituto arguentis, de omni peccato, cujus petierint remissionem, dabitur eis a Deo. Sed si non convenerit qui arguitur, cum eo qui arguit, non datur ei remissio, sed vinculum injicitur, juxta illud, quod subditur: « Quæcunque ligaveritis super terram, erunt ligata et in cœlo [27]. »

Ex Chrysostomo in Matthæum.

« Si, inquit, peccaverit in te frater tuus, vade, et argue ipsum inter te et ipsum solum. Si te audierit, lucratus es fratrem tuum; sin autem te non audierit, accipe tecum adhuc unum, aut duos, ut in ore duorum vel trium stet omne verbum. Sin autem eos quoque non audierit, dic Ecclesiæ. Quod si Ecclesiam quoque non audierit, sit tibi tanquam ethnicus et publicanus. Amen, amen dico vobis, quæcunque ligaveritis super terram, erunt ligata in cœlo, et quæcunque solveritis super terram, erunt soluta et in cœlo. Si enim duo ex vobis consense-

[26] Matth. XVIII, 19. [27] ibid. 18.

VARIÆ LECTIONES.

Hic deest aliquid.

NOTÆ.

(45) Ambiguo, amphibologico.

rint super terram, de omni re quam petierint, A fiet eis a Patre meo, qui in cœlis est [28]. »

350 Non ergo dixit de præsidibus Ecclesiæ illud : « Quæcunque ligaveritis, erunt ligata [29], » sed de eo qui provocavit peccatorem ad reconciliationem; quem enim ligaverit non obedientem, insolubilia ei manent vincula, ligans eum et in præsenti supplicio, et in futuro. Jure ergo dicebat Apostolus : « Sol non occidat supra iracundiam vestram [30]. »

σιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος, ὅσα ἂν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ Πατρός μου ἐν οὐρανοῖς. »

Οὐ περὶ τῶν προέδρων τοίνυν τῆς Ἐκκλησίας εἴρηκε τὸ, « Ὅσα ἂν δήσητε, ἔσται δεδεμένα, » ἀλλὰ περὶ τοῦ προσκαλεσαμένου τὸν ἁμαρτήσαντα πρὸς τὸ διαλλαγῆναι. Ὃ γὰρ ἂν δήσῃ αὐτὸν μὴ πειθόμενον, ἄλυτα μένει τὰ δεσμὰ, καὶ ἐν τῇ ἐνταῦθα τιμωρίᾳ, καὶ ἐν τῇ ἐκεῖ κολάσει καταδεσμῶν αὐτόν. Εἰκότως οὖν ἔλεγεν ὁ Ἀπόστολος· « Μὴ ἐπιδυέτω ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν. »

QUÆSTIO LXII.

Cum dicat Dominus sanctis suis : « Quæcunque ligaveritis, erunt ligata [31]; » si quis ad iram concitaverit virum sanctum, et is miserit morbum, vel dæmonem, vel mortem, vel aliquod aliud supplicium in domum ejus; an potest homo, cum alium sanctum rogaverit, viri sancti effugere sententiam?

RESPONSIO [ATHANASII].

Si est sanctus qui immisit supplicium in domum concitantis se, est perspicuum quod Dei voluntate hoc fit; et ligatus est homo ille non solum in terra, sed etiam in cœlo, convenienter ei quod dicit Dominus. Sed neque sancti sunt inter se adversi, ut qui noverint vinculum charitatis Spiritus; et quoniam non exaudiet Dominus sanctum, etiamsi roget, ut dissolvat alterius sancti preces aut maledictionem. « Quis enim, inquit, accusabit adversus electos Dei? Deus, qui justificat; quis est, qui condemnet [32]? » Etenim cum Elias ligasset cœlum annos tres et sex menses, nullus sanctus id potuit solvere, nisi Elias : etiamsi tunc haberet Deus septem millia sanctorum, qui non curvaverant genu ante Baal [33]. Et cum Paulus fornicatorem Corinthium tradidisset Satanæ ad interitum carnis [34], nemo eum potuit solvere a vinculo præter Paulum, qui eum ligaverat; neque solet Deus evertere decreta suorum famulorum, sed potius pœnas sumit de iis qui in ipsos delinquunt. Audi quid dicat Deus regi Abimelech propter uxorem Abrahæ : « Redde uxorem homini, quoniam est propheta, et orabit pro te, et vives; sin minus autem reddideris, scias futurum ut moriaris tu, et omnia tua [35]. »—« Et oravit Abraham, et sanavit Deus Abimelech, et uxorem ejus, et ancillas ejus, et iterum pariebant. Deus enim concluserat omnem matricem in domo Abimelech propter Sarram uxorem Abrahæ [36]. » Vides quod Deus ulciscens suum famulum sterilitatem et mortem intulisset, nisi confestim sanctus iram precibus solvisset, qui etiam omnes ligaverat.

351 Sic etiam qui Job exacerbaverant, et condemnarunt tres ejus amici, futuri erant terribilis

ΕΡΩΤΗΣΙΣ ΞΒ.

Τοῦ Κυρίου λέγοντος πρὸς τοὺς ἁγίους αὐτοῦ, « Ὅσα ἂν δήσητε, ἔσται δεδεμένα, » καὶ ἐάν τις παροργίσῃ ἄνδρα ἅγιον, καὶ ἀποστείλῃ νόσον, ἢ θάνατον, ἢ ἄλλην τινὰ τιμωρίαν εἰς τὸν οἶκον αὐτοῦ, εἰ ἄρα δύναται ἄνθρωπος παρακαλέσαι ἕτερον ἅγιον αὐτοῦ ἐκφυγεῖν τῆς ἀποφάσεως τοῦ ἁγίου ἀνδρός,

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ ἅγιός ἐστιν ὁ τὴν τιμωρίαν ἀποστείλας εἰς τὸν οἶκον τοῦ παροργίσαντος αὐτὸν, εὔδηλον, ὅτι βουλήσει Θεοῦ τοῦτο πεποίηκε, καὶ δεδεμένος ἐστὶν ὁ ἄνθρωπος ἐκεῖνος, οὐ μόνον ἐν τῇ γῇ, ἀλλὰ καὶ ἐν τῷ οὐρανῷ, κατὰ τὸν Κυρίου λόγον. Πλὴν οὐδὲ οἱ ἅγιοι ἀλλήλων ἐναντιοῦνται, γινώσκοντες τὸν τῆς ἀγάπης τοῦ πνεύματος δεσμὸν, καὶ ὅτι οὐκ εἰσακούσει Κύριος ἁγίου, κἂν εὔξηται ἀναλῦσαι ἁγίου ἄλλου εὐχὴν, ἢ κατάραν. « Τίς γὰρ, φησὶν, ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν. Τίς ὁ κατακρίνων; » Καὶ γὰρ Ἠλιοὺ δεσμήσαντος [h] τὸν οὐρανὸν ἔτη τρία καὶ μῆνας ἕξ, οὐδεὶς τῶν ἁγίων ἐδυνήθη λῦσαι αὐτὸν, εἰ μὴ Ἠλίας· καίπερ ἐχόντος τοῦ Θεοῦ τότε ἑπτακισχιλίους ἁγίους, « οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ [i] Βάαλ. » Καὶ Παύλου τὸν ἐν Κορίνθῳ πεπορνευκότα παραδόντος τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, οὐδεὶς ἴσχυσεν ἀπολῦσαι αὐτὸν τοῦ δεσμοῦ, πλὴν Παύλου, τοῦ καὶ δεσμεύσαντος [k]. Οὐ γὰρ εἴωθεν ὁ Θεὸς ἀνατρέπειν τὰ τῶν ἁγίων [l] αὐτοῦ θεσπίσματα, ἀλλὰ μᾶλλον [καὶ] εὐθύνας ἀπαιτεῖ τοὺς εἰς αὐτοὺς πλημμελοῦντας. Καὶ ἄκουσον, τί φησι πρὸς Ἀβιμέλεχ τὸν βασιλέα, διὰ τὴν γυναῖκα τοῦ Ἀβραάμ· « Ἀπόδος τὴν γυναῖκα τῷ ἀνθρώπῳ, ὅτι προφήτης ἐστὶ, καὶ προσεύξεται περὶ σοῦ, καὶ ζήσεις. Εἰ δὲ μὴ ἀποδῷς, γνῶθι, ὅτι ἀποθανῇ σὺ καὶ πάντα τὰ σά. » — « Καὶ προσηύξατο Ἀβραὰμ, καὶ ἰάσατο ὁ Θεὸς τὸν Ἀβιμέλεχ, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰς παιδίσκας αὐτοῦ, καὶ ἔτεκον· ὅτι συγκλείων συνέκλεισεν ὁ Θεὸς πᾶσαν μήτραν ἐν τῷ οἴκῳ Ἀβιμέλεχ ἕνεκα Σάρρας τῆς γυναικὸς Ἀβραάμ. » Ὁρᾷς, ὅπως διεκδικῶν ὁ Θεὸς τὸν ἑαυτοῦ θεράποντα στείρωσιν καὶ θάνατον ἐπήγαγεν, εἰ μὴ θᾶττον ὁ ἅγιος διὰ προσευχῆς τὴν εὐχὴν ἔλυσεν, ὁ καὶ δεσμεύ-

[28] Matth. XVIII, 15-19. [29] ibid. 18. [30] Ephes. IV, 26. [31] Matth. loc. cit. [32] Rom. VIII, 33. [33] III Reg. XVII, 1; XIX, 8. [34] I Cor. V, 5. [35] Gen. XX, 7. [36] ibid. 17, 18.

VARIÆ LECTIONES.

[h] δεσμεύσαντος. [i] τῷ. [k] δήσαντος. [l] θεοαπόντων.

NOTÆ.

(46) Est quæst. 117 inter *Quæst. ad Antiochum*, sed fusior hic.

σας πάντας [m]; Οὕτω καὶ τὸν Ἰὼβ παραπικράναντες οἱ τρεῖς φίλοι αὐτοῦ, ἔμελλον φοβερὰν ἀπώλειαν κληρονομεῖν, εἰ μὴ διὰ προσευχῆς ταύτην ἔλυσεν ὁ δεσμεύσας [n] [αὐτὴν] τάχα δίκαιος. Δαθὰν τε [o] καὶ Ἀβηρὼν, οἱ ἀντιπρόσωποι γενόμενοι Μωσῇ, κατεπόντισαν εἰς γῆν ζῶντες. Ὡσαύτως καὶ οἱ Κορῖται σὺν ἄνδρες, τῷ Ἀαρὼν διαστήσαντες, θείου πυρὸς παρανάλωμα γεγόνασι· καὶ Μαρία ὀνειδίσασα καὶ λοιδορήσασα Μωϋσῇ παραχρῆμα ἐλεπρώθη. Ὁ δέ γε Ἱερεμίας, λοιδορηθεὶς ὑπὸ τοῦ λαοῦ Ἰσραὴλ, ἐπηρᾶτο, λέγων· « Εἰσάκουσον, Κύριε, τῆς φωνῆς τοῦ δικαιώματός μου, εἰ ἀνταποδίδοται ἀντὶ ἀγαθῶν κακά, ὅτι συνελάλησαν [p] ῥήματα κατὰ ψυχῆς μου. Μνήσθητι ἑστηκότος μου κατὰ πρόσωπόν σου, τοῦ λαλῆσαι ὑπὲρ αὐτῶν ἀγαθά, καὶ ἀποστρέψαι [q] τὸν θυμόν σου ἀπ' αὐτῶν. Διὰ τοῦτο δὸς αὐτοὺς εἰς λιμὸν καὶ μάχαιραν, καὶ μὴ ἀπαθωώσῃς τὰς ἀδικίας καὶ τὰς ἁμαρτίας αὐτῶν ἀπὸ προσώπου σου μὴ ἐξαλείψῃς, ὅτι ἐνεχείρησαν λόγον εἰς σύλληψίν μου, καὶ παγίδα ἔκρυψαν ἐπ' ἐμέ. Καὶ τότε εἶπε Κύριος πρός με· Ἰδοὺ, ἐγὼ ἐπάγω ἐπ' αὐτοὺς κακὰ, ὥστε παντὸς ἀκούοντος αὐτὰ, ἠχήσει ἀμφότερα τὰ ὦτα αὐτοῦ. »

Σαοὺλ δὲ καταδιώκων καὶ ἐκθλίβων τὸν Δαβὶδ λέγοντα πρὸς αὐτόν· « Ἵνα τί καταδιώκεις τὴν ψυχήν μου λαβεῖν αὐτήν; Δικάσαι Κύριος ἀναμέσον ἐμοῦ καὶ σοῦ, καὶ ἐκδικήσαι με ἐκ χειρός σου, » αὐτοφονευτὴς γενόμενος Σαοὺλ, τὸν βίον κατέστρεψεν. Ὅθεν ψάλλων ὁ Δαβὶδ ἔλεγεν· « Ἡ ῥομφαία αὐτοῦ εἰσέλθοι εἰς καρδίαν αὐτοῦ. » Καί· « Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. » Οὕτω καὶ Ἀχιτόφελ βουλὰς κατ' αὐτοῦ σκευάζων [r], καὶ τὸν Ἀβεσσαλὼμ, εἰς ἀναίρεσιν αὐτοῦ παρασκευάζων· ὁ μὲν ἀγχόνῃ τὴν ζωὴν κατέλυσεν, ὁ δὲ ξίφει τὴν ζωὴν [s] ἀπέῤῥηξεν. Ἄξιον οὖν αὐτῶν ἐπιτάφιον ἀναγραφόμενος Σολομὼν, περὶ μὲν τοῦ Ἀχιτόφελ φησίν· « Ὃς δ' ἂν ἐκκαύσῃ κακίαν, ἀπολεῖται ὑπ' αὐτῆς. » Καί· « Ὃς παρασκευάζεται ἐπὶ πρόσωπον τοῦ ἑαυτοῦ φίλου δίκτυον, περιβαλεῖ αὐτὸς τοῖς ἑαυτοῦ ποσί. » Περὶ δὲ Ἀβεσσαλώμ· « Ὀφθαλμὸν καταγελῶντα πατρὸς ἐκκόψαισαν αὐτὸν κόρακες ἐκ τῶν φαράγγων, καὶ καταφάγαισαν αὐτὸν νεοττοὶ ἀετῶν. » Καί· « Κακολογοῦντος πατέρα σβεσθήσεται λαμπτὴρ· αἱ δὲ κόραι τῶν ὀφθαλμῶν αὐτοῦ ὄψονται σκότος. » Καὶ γὰρ εἰς κόλπον ἐπέρχονται πάντα τοῖς ἀδίκοις· παρὰ γὰρ Κυρίῳ πάντα δίκαια.

Καταπαίζοντα δὲ Ἐλισσαῖον τὰ παιδάρια, καὶ καταρώμενα [t] αὐτὰ ἐν λόγῳ Κυρίου, ἐξῆλθον δύο ἄρκοι [v] ἐκ τοῦ δρυμοῦ, καὶ ἀνέῤῥηξαν αὐτῶν μβ' παιδία. Εἰκότως οὖν εἴρηται, ὅτι « Θάνατος καὶ ζωὴ ἐν χειρὶ γλώσσης. » Καί· « Πεσοῦνται δι' ἀπαιδευσίαν γλώσσης αὐτῶν. » Ὡσαύτως τοίνυν καὶ ὁ τού-

A interitus hæredes, nisi eum avertisset justus [37], a quo etiam ligati fuerant. Dathan autem et Abiron, stantes ex adverso Moysis, devorati sunt vivi a terra [38]. Similiter et Coritæ viri ducenti et quinquaginta, cum ab Aarone defecissent [39], consumpti sunt a divino igne; et Maria, quæ probris et maledictis Moysen affecerat, illico facta est leprosa [40]. Jeremias autem maledicto appetitus a populo Israelitico, exsecratur ac maledicit, dicens : « Exaudi, Domine, vocem justificationis meæ, si redduntur pro bonis mala, quoniam simul locuti sunt verba adversus animam meam. Memento mei, qui steti adversus faciem tuam, ut loquerer pro eis bona, et ut averteres iram tuam ab eis; propterea da eos in famem et gladium, et ne relinquas inultas eo- B rum iniquitates, et peccata eorum a facie tua ne deleas; quoniam inierunt rationem ad me comprehendendum, et laqueum absconderunt adversum me. Et tunc dixit Dominus ad me : Ecce induco super ipsos mala, ut, quolibet audiente ea, tinniant ambæ aures ejus [41]. »

Saul autem, persequens et affligens Davidem ei dicentem : « Cur persequeris animam meam, ut accipias eam? Judicet Dominus inter me et te, et me defendat a manu tua [42], » mortem sibi consciscens excessit e vita [43]. Unde dicebat psallens David : « Gladius ejus ingrediatur cor ejus [44]. » Et : « In factis manuum suarum comprehensus est pec- C cator [45]. » Ita etiam Achitophel adversus ipsum consilium capiens, et Absalonem ad eum interimendum instruens, ille quidem laqueo vitam finiit [46], hic vero ense occubuit [47]. Dignum itaque eis epitaphium inscribens Salomon, de Achitophel quidem dicit : « Qui accenderit vitium, peribit ab ipso [48]. » Et : « Qui adversus faciem amici sui parat rete, is ipsum circumdabit pedibus suis [49]. » De Absalone : « Oculum irridentem patrem effodient eum corvi ex convallibus, et exedent eum pulli aquilarum [50]. » Et : « Maledicentis patri exstinguetur lucerna; pupillæ autem oculorum ejus videbunt tenebras [50]. » Etenim in sinum omnia redeunt iniquis. A Domino enim omnia justa. D

352 Irridentibus autem pueris Elisæum, cum is in verbo Domini eos esset exsecratus, egressi sunt ex silva duo ursi, et laceraverunt ex eis quadraginta duos [51]. Merito ergo dictum est : « Mors et vita in manu linguæ ejus [52]. » Et : « Cadent ob procacitatem linguæ suæ [53]. » Similiter ejus quoque

[37] Job IV, 8. [38] Num. XVI, 32. [39] ibid. 2. [40] Num. XII, 10. [41] Jerem. XVIII, 19-22; XIX, 3. [42] I Reg. XXIV, 12, 13. [43] I Reg. XXXI, 4. [44] Psal. XXXVI, 15. [45] Psal. IX, 17. [46] II Reg. XVII, 23. [47] II Reg. XVIII, 15. [48] Eccli. XXVII, 29. [49] ibid. [50] Prov. XXX, 17. [51] IV Reg. II, 24. [52] Prov. II, 24. [53] Eccli. XXVIII, 22.

VARIÆ LECTIONES.

[m] ὃς καὶ δεσμήσας που πάντως. [n] δεσμήσας. [o] δέ. [p] ὅσα ἐλάλησαν. [q] ἀπόστρεψον. [r] συσκευάζων. [s] ψυχήν. [t] καταρωμένου. [v] ἄρκτοι.

magister Elias quinquagenerios præfectos, et eos qui cum ipsis erant, igne cœlesti exussit [54].

Quid vero admirabiles illi Petrus et Paulus? An non ille mortem attulit Ananiæ et Sapphiræ [55]? hic autem Elymam magum exsecratus orbavit oculis, qui etiam protinus circumiens quærebat qui eum ducerent [56]? Vides quemadmodum Deus, suos honorans famulos, exaudit eorum preces et exsecrationem? facit enim eorum voluntatem, et exaudit orationem eorum. Et ideo Sapiens admonet dicens : « Ne des locum homini, nempe justo, ut tibi maledicat : ejus enim te exsecrantis in amaritudine animæ suæ preces exaudiet Dominus [57]. » — « Oculi enim Domini sunt super justos, et aures ejus ad preces eorum [58]. » Quamobrem et qui oderunt, et qui condemnant justum, delinquunt in Deum, et ipsum contemnunt. Dicit enim Deus ad Samuel de Israele, qui erat duræ cervicis : « Non te spreverunt, sed me [59]. » Et ad apostolos : « (Qui vos spernit, me spernit;) et qui vos audit, me audit [60]. » Unde Apostolus : « Sic autem peccantes in fratres, et percutientes in eorum conscientiam, in Christum peccatis [61]. » Sic ergo sancti bonis quidem hominibus et piis sunt luminaria et salutares, ut Dominus dicit ad eos : « Vos estis lux mundi, et sal terræ [62]; » sceleratis autem et iniquis exitiosi, et conciliantes supplicium. Quomodo enim sol sanos oculos illuminat, imbecillos obscurat, et facit caligare; ita etiam sancti. Idque significans dicebat Apostolus : « Christi bonus odor sumus Deo in iis qui servantur, et rursus in iis qui pereunt; aliis quidem odor vitæ ad vitam; aliis autem odor mortis ad mortem [63]. » Ita etiam per Servatoris adventum obcæcati quidem sunt plurimi ex Judæis; gentes autem visum receperunt. Quamobrem dicit Dominus : « Ad judicium ego veni in hunc mundum, ut non videntes videant, et videntes cæci fiant [64]. » — « Positus est autem et ad ruinam, et resurrectionem [65]. » Ad ruinam incredulis quidem, ad resurrectionem vero credentibus : et aliis quidem est lapis offensionis et petra scandali [66]; aliis lapis angularis, et petra quæ laudatur [67]. Quinetiam ejus quoque « Crux iis qui pereunt est stultitia; iis autem qui salvi fiunt, est virtus Dei [68]; » et Judæis quidem scandalum, Græcis autem stultitia, nobis vero salus.

A του διδάσκαλος Ἠλίας τοὺς πεντηκοντάρχους μετὰ τῶν σὺν αὐτοῖς οὐρανίῳ πυρὶ κατέφλεξε.

Τί δὲ οἱ θαυμάσιοι Πέτρος καὶ Παῦλος; Οὐχὶ ὁ μὲν θάνατον ἐπὶ Ἀνανίαν καὶ Σαπφείραν ἐπήγαγεν; ὁ δὲ πήρωσιν Ἐλύμᾳ τῷ μάγῳ ἐπαγόμενος ἐπήγαγεν, ὃς καὶ παραχρῆμα περιάγων ἐζήτει χειραγωγούς; Ὁρᾷς πῶς ὁ Θεὸς τοὺς ἑαυτοῦ τιμῶν δούλους, ὑπακούει τῆς εὐχῆς αὐτῶν, καὶ τῆς κατάρας; θέλημα γὰρ αὐτῶν ποιεῖ, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσει [z]. Καὶ διὰ τοῦτο παραινεῖ ὁ Σοφὸς λέγων· « Μὴ δῷς τόπον ἀνθρώπῳ καταρᾶσθαί σε, τουτέστι, δικαίῳ· καταρωμένου γάρ σε ἐν πικρίᾳ ψυχῆς αὐτοῦ, τῆς δεήσεως αὐτοῦ εἰσακούσεται Κύριος. » — « Ὀφθαλμοὶ γὰρ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. » Διὸ καὶ οἱ μισοῦντες καὶ ἐξουθενοῦντες δίκαιον, εἰς τὸν Θεὸν πλημμελοῦσι, καὶ αὐτὸν ἐξουθενοῦσι. Φησὶ γὰρ ὁ Θεὸς πρὸς τὸν Σαμουὴλ περὶ τοῦ σκληροτραχήλου Ἰσραήλ· « Οὐ σὲ ἐξουθενήκασιν, ἀλλ' ἐμέ. » Καὶ πρὸς τοὺς ἀποστόλους· « Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. » Ὅθεν φησὶν Ἀπόστολος· « Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν, εἰς Χριστὸν ἁμαρτάνετε. » Οὕτω τοίνυν οἱ ἅγιοι τοῖς μὲν ἀγαθοῖς ἀνθρώποις καὶ εὐσεβέσι φωστῆρές εἰσιν καὶ σωτῆριοι, ὥς φησι Κύριος πρὸς αὐτούς· « Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου, καὶ τὸ ἅλας τῆς γῆς, » τοῖς δὲ πονηροῖς καὶ παρανόμοις ὀλέθριοι καὶ πονηρίας πρόξενοι. Ὥσπερ γὰρ ὁ ἥλιος τοὺς μὲν τὰς ὄψεις ὑγιαίνοντας φωτίζει, ἀμαυροῖ δὲ τοὺς ἀσθενεῖς, οὕτω καὶ οἱ ἅγιοι. Καὶ τοῦτο δηλῶν ὁ Ἀπόστολος, ἔλεγε· « Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ ἐν τοῖς σωζομένοις, [καὶ ἐν τοῖς ἀπολλυμένοις,] οἷς μὲν ὀσμὴ ζωῆς εἰς ζωὴν, οἷς δὲ ὀσμὴ θανάτου εἰς θάνατον. » Οὕτω δὴ καὶ διὰ τῆς τοῦ Σωτῆρος ἐπιφανείας ἐτυφλώθησαν μὲν τῶν Ἰουδαίων οἱ πλείστοι, ἀνέβλεψαν δὲ τὰ ἔθνη. Διό φησιν ὁ Κύριος· « Εἰς κρῖμα ἐγὼ εἰς τὸν κόσμον [τοῦτον] ἦλθον [y], ἵνα οἱ μὴ βλέποντες βλέψωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. » — « Κεῖται δὲ εἰς πτῶσιν καὶ ἀνάστασιν. » Εἰς πτῶσιν μὲν τοῖς ἀπίστοις, εἰς ἀνάστασιν δὲ τοῖς πιστεύουσι· καὶ τοῖς μὲν ἔστι λίθος προσκόμματος καὶ πέτρα σκανδάλου· τοῖς δὲ λίθος ἀκρογωνιαῖος καὶ πέτρα ἐπαινουμένη. Οὐ μὴν δὲ, ἀλλὰ καὶ « Ὁ σταυρὸς αὐτοῦ τοῖς μὲν ἀπολλυμένοις μωρία· τοῖς δὲ σωζομένοις δύναμις Θεοῦ ἐστι· » καὶ Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρία, ἡμῖν δὲ σωτηρία.

353 *Ex Exodo.*

Murmurabat autem omnis congregatio filiorum Israel adversus Moysen et Aaron in deserto, et dixit eis Moyses : « Quinam estis vos, quod murmuratis contra nos? Non enim contra nos est murmuratio vestra, sed adversus Deum [69]. » Et rursus : « Et dixit eis Moyses : Cur me maledictis insectamini, et tentatis Dominum [70]? »

Ἐξ Ἐξόδου.

« Διεγόγγυζε δὲ πᾶσα ἡ συναγωγὴ τῶν υἱῶν Ἰσραὴλ, φησὶν, ἐπὶ Μωϋσῆν καὶ Ἀαρὼν ἐν τῇ ἐρήμῳ, καὶ εἶπε Μωσῆς πρὸς αὐτούς· « Τίνες ἐστὲ ὑμεῖς [y'], ὅτι γογγύζετε καθ' ἡμῶν; οὐ γὰρ καθ' ἡμῶν ἐστιν ὁ γογγυσμὸς ὑμῶν, ἀλλὰ κατὰ τοῦ Θεοῦ. » Καὶ πάλιν, « Εἶπε Μωσῆς· Τί λοιδορεῖσθέ μοι, καὶ τί πειράζετε Κύριον; »

[54] IV Reg. I, 24. [55] Act. V. [56] Act. XII. [57] Eccli. IV, 6. [58] Psal. XXXIII, 16. [59] I Reg. VIII, 7. [60] Luc. X, 16. [61] I Cor. VIII, 12. [62] Matth. V, 13, 14. [63] II Cor. II, 16. [64] Joan. IX, 39. [65] Luc. II, 34. [66] I Petr. II, 8. [67] ibid. 6. [68] I Cor. I, 18. [69] Exod. XVI, 7. [70] Exod. XVII, 2.

VARIÆ LECTIONES.

[z] ὑπακούσει. [y] ἐλήλυθα. [y'] ἡμεῖς δὲ τί ἐσμεν.

ΕΡΩΤΗΣΙΣ ΞΓ'.

Τοῦ Κυρίου πάλιν λέγοντος, [[a]] *Ἂν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς.*] *Ἐὰν ἁμαρτήσῃ ἄνθρωπος ἀνθρώπῳ, καὶ μετὰ τοῦτο μετανοήσας αὐτῷ, λάβῃ συγχώρησιν παρ' αὐτοῦ, ἆρα συνεχωρήθη καὶ ὑπὸ Θεοῦ;*

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ, « Ἐάν τινων ἀφῆτε, ἀφεθήσεται, » πρὸς τοὺς ἁγίους κυρίως εἴρηται, καὶ οὐ πρὸς τοὺς ἁπλῶς ἀνθρώπους. Ὅθεν οὐδὲ εἶπε πρὸς τοὺς τοιούτους, Ἐάν ἀφῆτε, ἀφεθήσεται αὐτοῖς, ἀλλ', « Ἐάν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τὰ παραπτώματα ὑμῶν. » Κἀντεῦθεν δῆλον, ὅτι ὁ μὲν συγχωρήσας τὰ μέγιστα ἐκέρδησεν, ὁ δὲ συγχωρηθεὶς ὑπόκειται καὶ τῷ Θεῷ μετανοῆσαι, συμπροσευχομένου αὐτοῦ [a], καὶ τοῦ σκανδαλισθέντος, καὶ συγχωρήσαντος. Ἐὰν γὰρ, φησὶ, ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύξηται περὶ αὐτοῦ πρὸς Κύριον. Ἀλλὰ μήν, καὶ ἐὰν [b] ἅγιός ἐστιν ὁ συγχωρῶν, ἐὰν μὴ καὶ τῷ Θεῷ γνησίως μετανοήσῃ ὁ ἁμαρτήσας, οὐκ ἀφεθήσεται αὐτῷ. Καὶ γὰρ ἡ Μαρία λοιδορήσασα τὸν θεσπέσιον Μωϋσῆν, καὶ ὑπὸ τοῦ Θεοῦ ἐλεγχθεῖσα, καὶ λεπρωθεῖσα· ὁ μὲν Μωϋσῆς συνεχώρησε, καὶ ὑπὲρ αὐτῆς ἐδυσώπησεν· ὁ δὲ Θεὸς οὐ πρότερον αὐτῇ συνεχώρησεν, ἕως ἂν ἀφωρίσθη ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας. Καὶ τότε ἰάθη καὶ συνεχωρήθη, ὡς γνησίως πάντως καὶ τῷ Θεῷ μετανοήσασα, συμπροσευχομένου δηλονότι καὶ τοῦ ἀδελφοῦ, καὶ παντὸς τοῦ λαοῦ. Διὰ τοῦτό φησιν ἡ Γραφή· « Οὐκ ἐξῆρεν ὁ λαὸς, ἕως οὗ ἐκαθαρίσθη [c] Μαρία. » Ὁ δέ γε λαὸς ἁμαρτήσας αὐτὸν, συνεχωρήσε μὲν, καὶ ὑπὲρ αὐτῶν ἐδυσώπησεν· μὴ [d] μετανοήσαντες δὲ γνησίως τῷ Θεῷ, ἐξωλοθρεύθησαν. Οὐκοῦν, ἐὰν μὴ ἀξίως [καὶ] τῷ Θεῷ μετανοήσῃ, οὐκ ἀφεθήσεται αὐτῷ, καθὼς ἀποδέδεικται. Ὑπόθου γάρ μοί τινα μοιχεύσαντα εἰς γυναῖκα τοῦ πλησίον, καὶ ἄφεσιν παρ' αὐτοῦ λαβόντα, ἆρα λοιπὸν συγχεχώρηται αὐτῷ καὶ ὑπὸ Θεοῦ, ἐὰν μὴ μετανοήσῃ; Οὐδαμῶς.

Καὶ γὰρ [e] οἶδα ἐγώ τινα πνευματικὸν ἄνδρα πολλοὺς ὠφελοῦντα διὰ λόγου καὶ βίου, ὃν τινες ἐκ διαβολικῆς ἐνεργείας φθονήσαντες καὶ διαλοιδορήσαντες, πολλοὺς ἀπέκοψαν, καὶ τῆς ἐξ αὐτοῦ πρὸς αὐτοὺς ὠφελείας ἀπεστέρησαν. Καὶ δὴ μετὰ ταῦτα νοήσαντες τὴν τοῦ διαβόλου πλάνην, [καὶ] μετανοήσαντες αὐτῷ, καὶ συγχώρησιν παρ' αὐτοῦ λαβόντες ὕστερον, οἱ μὲν ἐδαιμονίσθησαν, οἱ δὲ πειρασμοῖς διαφόροις καὶ κινδύνοις περιέπεσαν ὑπὲρ τοῦ κρίματος, οὗ τοὺς πολλοὺς ἐσκανδάλισαν. Εἰκότως οὖν ἔλεγεν ὁ Ἀπόστολος· « Ὁ ταράσσων ὑμᾶς, αὐτὸς βαστάσει τὸ κρῖμα, ὅστις ἂν εἴη. Καὶ διὰ τοῦτο περὶ μὲν τῶν σκανδαλιζομένων φησὶν ὁ Κύριος· « Ὃς

QUÆSTIO LXIII.

Si peccarit homo in hominem, et postea ductus pœnitentia, ab ipso acceperit condonationem, an a Deo quoque est condonatum?

RESPONSIO.

Illud : « Si quorum remiseritis peccata [71], » proprie dictum est ad eos qui sunt sancti, et non ad eos qui sunt solum homines. Unde nec eis dixit : Si remiseritis, remittentur eis; sed : « Si remiseritis hominibus delicta eorum, remittet etiam vobis Pater vester cœlestis delicta vestra [72]. » Et hinc perspicuum est quod, qui condonavit, maximum lucrum fecit; cui autem est condonatum, Deo quoque est subjectus, ut agat pœnitentiam, simul orante et eo qui scandalum passus est, culpamque remisit. Nam si, inquit, vir peccarit in virum, etiam pro eo orabit ad Dominum. Atqui etiamsi sit sanctus is qui condonat; nisi is qui peccavit, apud Deum et pure et sincere pœnitentiam egerit, non ei remittetur. Etenim cum Maria divinum Moysen maledicto appetivisset, et a Deo reprehensa et lepra affecta esset, Moyses quidem ei condonavit, et pro ea rogavit; Deus autem non prius ei noxam remisit, quam separata fuit extra castra septem dies, et tunc fuit curata, veniamque meruit, ut quæ pure et sincere apud Deum pœnitentiam egisset; simul scilicet cum ea orante et fratre, et universo populo. Propterea dicit Scriptura : « Non movit castra populus, donec mundata fuit Maria [73]. » Populus autem cum in Moysen peccasset, condonavit quidem, et pro eo rogavit; cum autem non sincere apud Deum egissent pœnitentiam, fuerunt omnino perempti et exterminati. Nisi ergo, ut par est, apud Deum pœnitentiam egerit, ei non remittetur, sicut est ostensum. Pone enim mihi aliquem admisisse adulterium in uxorem proximi, et ab ipso accepisse remissionem, num est etiam ei a Deo condonatum, nisi egerit pœnitentiam? Nequaquam.

354 Ego certe novi quemdam virum spiritualem, qui et sermone et vita multos juvabat; cui cum diaboli instinctu multi invidissent, eumque maledictis affecissent, multos ab eo abalienarunt, et privarunt utilitate quam ex ipso capiebant. Porro, cum postea intellexissent fraudem diaboli, et apud eum ducti essent pœnitentia, et ab ipso accepissent condonationem, alii quidem correpti sunt a dæmone, alii autem inciderunt in diversas tentationes et pericula pro judiciis quæ multos offendunt. Merito ergo dicebat Apostolus : « Qui vos conturbat, portabit judicium, quicunque fuerit [74]. » Et propterea de iis quidem : « Qui

[71] Joan. xx, 23. [72] Matth. xviii, 35. [73] Num. xii, 15. [74] Galat. v, 10.

VARIÆ LECTIONES.

[a] Ista verba videntur huc intrusa, nam et ab Herveto omittuntur. [a] αὐτῷ. [b] κἂν. [c] ἐξῆρεν. [d] Οὐ. [e] γοῦν.

scandalizaverit unum ex pusillis istis qui credunt in me, expedit ei ut mola asinaria suspendatur a collo ejus, et demergatur in mare [75]. « Et : » Væ homini illi per quem scandalum venit [76]. » De iis autem qui scandalizantur, et convitiis proscinduntur, « Beati, inquit, estis, quando vos oderint homines, et segregaverint, et exprobraverint, et ejecerint nomen vestrum tanquam malum, propter Filium hominis. Gaudete in illa die, et exsultate : ecce enim merces vestra copiosa est in cœlis. Similiter enim faciebant patres eorum prophetis. Væ autem vobis, quando vos benedixerint omnes homines; similiter enim faciebant pseudoprophetis patres eorum [77]. » Deo itaque permittente, sæpe in nos insurgunt qui aliquando fuerunt amici, aut etiam nobis subjecti, nos maledictis incessentes, et injuria afficientes : quæ, si leni et patienti animo toleremus, magna bona a Deo accipiemus. Unde etiam David, dum eum contumelia afficeret Semei, dicebat iis qui volebant eum ulcisci : « Sinite eum mihi maledicere, ut Dominus videat humilitatem meam, et reddat mihi in humilitate mea, et reddat bona pro ejus maledictione [78]. » Rursus psallens dicebat : « Deus, laudem meam ne tacueris : quoniam os peccatoris et os dolosi in me aperta sunt; locuti sunt adversum me lingua dolosa, et sermonibus odii circumdederunt me, et oppugnaverunt me gratis. Pro eo ut me diligerent, detrahebant mihi, ego autem orabam [79]. » Quid dicam ? « Maledicent illi, et tu benedices, Domine : qui insurgunt in me, confundantur, servus autem tuus lætabitur [80]. » Et : « Qui benedicunt [Dominum] justum, hæreditabunt terram; qui autem exsecrantur ipsum, exterminabuntur [81]. » Quamobrem dicit Deus justo Abraham : « Qui te benedixit, benedictus est; et qui maledicit tibi, is maledictus est [82]. » Dicit autem aliis quoque apostolis : « Quando ingrediemini in domum, dicite : Pax sit huic domui; et si sit quidem ibi filius pacis, pax vestra requiescet super ipsum; si autem non sit dignus, pax vestra ad vos revertetur [83]. » Si ergo pax ad illos revertitur, propterea **355** quod non invenerit dignum se; multo magis maledictio in caput ejus redundabit qui injuste eam emiserit, utpote quod non sit dignus eam accipere ille ad quem est missa. Quicunque temere probris et maledictis afficit aliquem, seipsum exsecratur : et sicut dicit Salomon : « Quomodo aves volant, et passeres, ita inanis exsecratio ad nullum accedet [84]. »

Permittente ergo Deo, ut dictum est, excitantur imprudentes adversus prudentes, et impii adversus pios, et injusti adversus justos, eos spernentes et injuria afficientes. Dicit enim justus Job : « Justi

δ' ἂν σκανδαλίσῃ ἕνα [τῶν] μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμὲ, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς εἰς τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης. » Καί· « Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ σκάνδαλον ἔρχεται · » περὶ δὲ τῶν σκανδαλιζομένων καὶ λοιδορουμένων · « Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν [f] ὑμᾶς οἱ ἄνθρωποι, καὶ ἀφορίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν, ἕνεκεν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε · ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Κατὰ ταῦτα γὰρ ἐποίουν πατέρες αὐτῶν τοῖς προφήταις. Οὐαὶ δὲ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες ἄνθρωποι· κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν. » Τοιγαροῦν τοῦ Θεοῦ συγχωροῦντος, ἐπανίστανται ἡμῖν πολλάκις οἱ ποτε φίλοι, ἢ καὶ ὑποχείριοι, λοιδοροῦντες καὶ ἀδικοῦντες ἡμᾶς · ὑπὲρ ὧν, εἰ μακροθυμήσωμεν, μεγάλα ἀγαθὰ παρὰ Κυρίου ἀπολησόμεθα. Ὅθεν καὶ ὁ Δαβὶδ ὀβριζόμενος ὑπὸ τοῦ Σεμεῖ, ἔλεγε τοῖς διεκδικεῖν αὐτῷ [g] βουλομένοις · « Ἄφετε αὐτὸν καταράσασθαι [h], εἴπως ἴδῃ Κύριος ὁ Θεὸς τὴν ταπείνωσίν μου, καὶ ἀποδώσει μοι ἐν τῇ ταπεινώσει μου, καὶ ἀποδώσει ἀγαθὸν ἀντὶ τῆς κατάρας αὐτοῦ. » Καὶ πάλιν ψάλλων ἔλεγεν · « Ὁ Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς, ὅτι στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη. Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ [i], καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. Ἀντὶ τοῦ ἀγαπᾷν με, ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην. » Καὶ, [i* τί λέγων ;] « Καταράσονται, καὶ σὺ εὐλογήσεις, Κύριε· οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται. » Καὶ, ὅτι « Οἱ εὐλογοῦντες τὸν Κύριον [k], κληρονομήσουσι γῆν, οἱ δὲ καταρώμενοι αὐτὸν, ἐξολοθρευθήσονται. » Διό φησιν ὁ Θεὸς πρὸς τὸν Ἀβραάμ· « Ὁ εὐλογῶν σε, εὐλογημένος, καὶ ὁ καταρώμενός σε, κεκατήρατο [k*]. » Λέγει δὲ πρὸς τοὺς ἀποστόλους · « Ὅταν εἰσέρχησθε εἰς οἶκον, λέγετε · Εἰρήνη τῷ οἴκῳ τούτῳ · καὶ ἐὰν μένῃ ἐκεῖ [l] υἱὸς εἰρήνης, εἰρήνη ὑμῶν ἐπαναπαύεται ἐπ' αὐτούς · ἐὰν δὲ μὴ ᾖ ἄξιος, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπαναστρέψει [m]. » Εἰ οὖν ἡ εἰρήνη ἐπ' ἐκείνου [n] πάλιν ἐπιστρέφει, διὰ τὸ μὴ εὑρεῖν ἄξιον αὐτῆς, πολλῷ μᾶλλον ἡ κατάρα ἐπιστρέφει εἰς κεφαλὴν τοῦ ἀδίκως αὐτὴν ἐκπέμψαντος, ὡς οὐκ ἀξίου ὄντος λαμβάνειν αὐτὴν ἐκείνου, πρὸς ὃν ἀπεστάλη. Πῶς γάρ ; Ὁ μάτην λοιδορῶν, ἑαυτὸν καταρᾶται, καθώς φησιν ὁ Σολομών · « Ὥσπερ ὄρνεα πέτονται, καὶ στρουθοὶ, οὕτως ἀρὰ ματαία οὐκ ἐλεύσεται ἐπ' οὐδενί. »

Παραχωροῦντος οὖν, ὡς εἴρηται, τοῦ Θεοῦ, ἐπεγείρονται οἱ ἄφρονες ἐπὶ τοὺς φρονίμους, καὶ οἱ ἀσεβεῖς ἐπὶ τοὺς εὐσεβεῖς, καὶ οἱ ἄδικοι ἐπὶ τοὺς δικαίους, ἐξουθενοῦντες αὐτοὺς ἀδίκως [καὶ ἀδι-

[75] Matth. XVIII, 6. [76] ibid. 6. [77] Luc. VI, 22-26. [78] II Reg. XVI, 11, 12. [79] Psal. CVIII, 2-4. [80] ibid. 28. [81] Psal. XXXVI, 22. [82] Gen. XII, 3. [83] Luc. X, 5, 6. [84] Prov. XXVI, 2.

VARIÆ LECTIONES.

[f] μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ἀφορίσωσι, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι. [g] αὐτόν. [h] καταρᾶσθαι. [i] γλώσσαι δόλιαι. [i*] Videntur intrusa, nec cohærent. [k] δίκαιον. [k*] ἐπικατάρατος. [l] μὲν ᾖ ἐκεῖ. [m] ὑποστρέψει. [n] ἐπ' ἐκείνου.

κοῦντες]. Φησὶ γὰρ ὁ δίκαιος Ἰώβ· « Δίκαιοι κατα- A γελῶνται καὶ παραδίδονται εἰς χεῖρας ἀσεβῶν, καὶ δίκαιος ἀνὴρ καὶ ἄμεμπτος ἐγενήθη εἰς χλευασμόν. Εἰς χρόνον γὰρ τακτὸν ἡτοίμαστο πεσεῖν °, οἴκους τε αὐτῶν ἐκπορθεῖσθαι ὑπ' ἀνόμων. » Καὶ Σολομών· « Ὄψονται τὸν δίκαιον, καὶ ἐξουθενήσουσιν αὐτόν· αὐτοὺς δὲ ὁ Κύριος ἐκγελάσεται· καὶ ἔσονται εἰς ὕβριν ἐν νεκροῖς αἰῶνος. » Καί· « Τότε στήσεται ἐν παῤῥησίᾳ πολλῇ ὁ δίκαιος κατὰ πρόσωπον τῶν θλιψάντων αὐτὸν, καὶ τῶν ἀθετούντων τοὺς πόνους αὐτοῦ. Καὶ ἰδόντες ταραχθήσονται φόβῳ δεινῷ, καὶ ἐκστήσονται ἐπὶ παραδόξῳ τῆς σωτηρίας. Ἐροῦσιν ἐν ἑαυτοῖς μετανοοῦντες καὶ στένοντες· Οὗτός ἐστιν, ὃν εἴχομέν ποτε εἰς γέλωτα καὶ εἰς παραβολὴν ὀνειδισμοῦ· οἱ ἄφρονες βίον αὐτοῦ ἐλογισάμεθα μανίαν, καὶ τὴν τελευτὴν αὐτοῦ ἄτιμον. Πῶς κατελογίσθη ἐν υἱοῖς Θεοῦ, καὶ ἐν ἁγίοις ὁ κλῆρος αὐτοῦ ἐστιν; Ἄρα ἐπλανήθημεν ἀπὸ ὁδοῦ ἀληθείας, καὶ τὸ τῆς δικαιοσύνης φῶς οὐκ ἐπέλαμψεν ἡμῖν. » Καί· « Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν. » Καί· « Ὃς κρίνει δίκαιον τὸν ἄδικον, ἄδικον δὲ τὸν δίκαιον, ἀκάθαρτος καὶ βδελυκτὸς παρὰ Θεῷ. » Καί· « Ἄνδρες αἱμάτων μέτοχοι μισοῦσι δίκαιον. » Καί· « Ὅσιος ἀκάθαρτος παρὰ κακούργοις. » Καὶ ὁ Σειράχ· « Βδέλυγμα ἁμαρτωλῷ θεοσέβεια. » Διό φησιν Ἡσαΐας πρὸς ἁγίους· « Μὴ φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε. » Quamobrem Isaias dicit sanctis : « Nolite timere exprobrationem hominum, et eorum contemptu ne vincamini [93]. »

irridentur, et traduntur in manus impiorum ; et vir justus et nulli afflnis reprehensioni, factus est in subsannationem. Tempore enim constituto paratus fuerat ut caderet, et ædes ejus diriperentur ab iniquis [85]. » Et Salomon : « Videbunt justum, et nihili facient eum ; ipsos autem irridebit Dominus, et erunt postea in ruinam probrosam, et in contumeliam inter mortuos sæculi [86]. » Et : « Tunc stabit justus in multa confidentia ex adverso eorum qui ipsum afflixerunt, et qui abstulerunt labores ejus ; et videntes turbabuntur timore vehementi, et stupebunt propter inopinatam ejus salutem ; et inter se dicent pœnitentiam agentes, et gementes : Hic est quem habuimus aliquando in derisum, et in similitudinem improperii ; insipientes ejus vitam existimabamus insaniam, et finem ejus sine honore : quomodo reputatus est in filiis Dei, et inter sanctos est sors ejus ? Igitur aberravimus a via veritatis, et justitiæ lumen non illuxit nobis [87]. » Et : « Justi in perpetuum vivunt, et in Domino est merces eorum [88]. » Et : « Qui injustum justum judicat, justum autem injustum, est immundus, et abominandus apud Deum [89]. » Et : « Viri sanguinum participes oderunt justum [90]. » Et : « Sanctus est immundus apud sceleratos [91]. » Sirach : « Abominatio peccatori est pietas, et Dei cultus [92]. »

Τοῦ Χρυσοστόμου P *ἐκ τοῦ πρὸς Ἀθανάσιον.*

Παραδίδονται γὰρ δίκαιοι πολλάκις εἰς χεῖρας ἀσεβῶν, οὐχ ἵνα ἐκεῖνοι τιμηθῶσιν, ἀλλ' ἵνα οὗτοι δοκιμασθῶσι. Καὶ φαῦλοι μὲν ἐν θανάτῳ ἐξαισίῳ, κατὰ τὸν Ἰώβ, καταγελῶνται δ' ὅμως πρὸς τὸ παρὸν εὐσεβεῖς, ἕως ἡ χρηστότης τοῦ Θεοῦ καλύπτηται, καὶ τὰ μεγάλα σημεῖα τῶν ὕστερον ἑκατέροις ἀποκειμένων, ἡνίκα καὶ λόγος καὶ πρᾶξις καὶ διανόημα τοῖς δικαίοις τοῦ Θεοῦ σταθμοῖς ταλαντεύηται, ὅταν ἀναστῇ κρῖναι τὴν γῆν, τὰς βουλὰς καὶ τὰ ἔργα συνάγων, καὶ γυμνῶν τὰ ἐσφραγισμένα παρ' αὐτῷ καὶ σωζόμενα.

Ex Gregorio Theologo in magnum Athanasium.

Traduntur sæpe justi in manus impiorum, non ut illi honorentur, sed ut ipsi probentur. Et mali quidem sunt in morte infami et turpi, ut Job ait : irridentur tamen pii in præsentia, quandiu abscondita fuerit Dei benignitas, et magna illa præmia quæ utrisque sunt reposita, quo tempore et sermo, et actio, et cogitatio justis Dei lancibus trutinabitur, quando surrexerit ad judicandam terram, consilia et facta congregans, et aperiens ea quæ apud eum obsignata servantur.

Τοῦ ἁγίου Βασιλείου ἐκ τῶν Ἀσκητικῶν.

Οὐκ ἔστι σοι καλὸν ἐκδικεῖν ἑαυτόν· ἀλλ' ἄμεινον ἐπιῤῥῖψαι τῷ Θεῷ τὴν δίκην ἐπάγοντι τοῖς ἀδικοῦσι. Διὰ τοῦτο, « Μὴ ἑαυτοὺς ἐκδικοῦντες, φησὶν, ἀλλὰ δότε τόπον τῇ ὀργῇ· γέγραπται γὰρ, Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. » Ἀνεξικακίᾳ γὰρ Χριστοῦ τὴν τοῦ διαβόλου θρασύτητα κατέβαλεν. Οὐκ ὠργίσθη τοῖς ἐξυβρίζουσιν, ἀλλ' ἐπιπαρεδίδου τῷ κρίνοντι δικαίως· τουτέστιν, κρίσιν ἐδέξατο, κατὰ τὸ ἀνθρώπινον σχῆμα. Διὰ τοῦτο γὰρ καὶ Μωϋσῆς καὶ Δαβὶδ, ὁ μὲν τὸν ἀδελφὸν καὶ τὴν ἀδελφὴν, ὁ δὲ τὸν Σεμεῒ ἔφερεν q ἐξυβρίζοντας καὶ λοι-

356 *Ex Basilii Asceticis.*

Non est bonum seipsum ulcisci ; sed melius est id ad Deum remittere qui pœnam irrogat iis qui faciunt injuriam. Propterea, « Non vos ulciscentes, inquit, sed date locum iræ ; scriptum est enim : Mihi vindictam, et ego retribuam, dicit Dominus [94]. » Christi enim tolerantia dejecit audaciam diaboli. Non fuit iratus iis qui illum afficiebant contumeliis ; sed tradidit ei qui juste judicat ; hoc est, accepit judicium quod ad humanam attinet figuram. Propterea enim Moyses et David, ille quidem fratrem et sororem, hic vero

[85] Job XII, 4 et passim alibi. [86] Sap. IV, 18, 19. [87] Sap. V, 1-6. [88] ibid. 16. [89] Prov. XVII, 15. [90] Prov. XXIX, 10. [91] ibid. 27. [92] Eccli. I, 32. [93] Isa. LI, 7. [94] Rom. XII, 19 ; Hebr. X, 30.

VARIÆ LECTIONES.

° παισίν. P τοῦ Θεολόγου. q ἔφερον.

Semei ferebant, contumeliis et maledictis afficientes : sciebant enim Deum esse Dominum ultionum. Cum ergo Deus sit lenis et patiens, tu quoque sis patiens et lenis ; cum autem Christus ferat, oportet etiam sufferre Christi ministrum. Et faciet omnino vindictam in tempore, et consummabit pravitatem peccatorum, et diriget justum.

Ex Chrysostomo in Matthæum.

At te injuria et contumelia affecit, et tibi detraxit proximus ? Ejus ergo miserere, lacrymare et luge : non enim tu es qui Deum offendisti, sed ille. Cogita quod Christus in crucem agendus pro se quidem gaudebat ; flebat autem pro iis qui cruci affigebant. At apud multos te est calumniatus, probrisque et maledictis insectatus ? Quid tum, cum id sciat Deus, qui sumpturus est pœnas, an non et de illis qui audierunt ? Nam seipsum statuit materiam et argumentum supplicii, ut non solum de suis propriis, sed etiam de iis quæ ad te pertinent, convincatur, et Deo reddat rationem. Dicit enim Dominus : « Nolite judicare, et non judicabimini. In quo enim judicio judicatis, judicabimini ; et in qua mensura mensi fueritis, remetietur vobis [96]. » Et : « Omne verbum otiosum quod locuti fuerint homines, reddent de eo rationem in die judicii : nam ex verbis tuis justificaberis, et ex verbis tuis condemnaberis [96]. » Et Apostolus : « Quamobrem inexcusabilis es, o homo omnis quisquis judicas : in quo enim judicas alterum, teipsum condemnas : eadem enim agis quæ judicas [97]. » Quod si hoc tibi non sufficit, cogita quod Dominus quoque tuus a Satana et sceleratis hominibus est calumniis appetitus : quamobrem dicebat : « Si Patremfamilias vocarunt Beelzebub, quanto magis ejus domesticos ? Nolite ergo timere [98]. » Neque vero sceleratus ille dæmon solum est criminatus eum, sed etiam fides ei fuit habita. Non autem levia aliqua, sed maxima in eum probra et crimina contorsit : dixit enim eum esse dæmoniacum, et impostorem, et Dei hostem, et Samaritanum, et natum ex fornicatione.

A δοροῦντας αὐτούς · ᾔδεισαν γάρ, ὅτι Θεὸς ἐκδικήσεων Κύριος. Θεοῦ τοίνυν μακροθυμοῦντος μακροθύμει καὶ σύ · Χριστοῦ δὲ φέροντος, ὑποφέρειν δεῖ καὶ τὸν Χριστοῦ διάκονον. Καὶ πάντως ποιήσει τὴν ἐκδίκησιν ἐν καιρῷ, καὶ συντελέσει πονηρίαν ἁμαρτωλῶν καὶ κατευθύνει δίκαιον

Τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Ματθαῖον.

Ἀλλ' ἠδίκησε, καὶ ὕβρισε, καὶ διέβαλέ σε ὁ πλησίον. Οὐκοῦν ἐλέησον αὐτὸν, καὶ δάκρυσον, καὶ θρήνησον· οὐ γὰρ σὺ εἶ ὁ προσκεκρουκὼς τῷ Θεῷ, ἀλλ' ἐκεῖνο ἐννόησον, ὅτι σταυροῦσθαι μέλλων ὁ Χριστὸς, ὑπὲρ ἑαυτοῦ μὲν ἔχαιρεν, ὑπὲρ δὲ τῶν σταυρούντων ἔκλαιεν [r]. [Ἀλλ' εἰς πολλούς σε διέβαλε, καὶ ἐλοιδόρησε ;] Καὶ τί τοῦτο, τοῦ Θεοῦ εἰδότος, τοῦ μέλλοντος ἀπαιτεῖν τὰς εὐθύνας, ἀλλ' οὐκ ἐκείνων τῶν ἀκουσάντων ; Ἑαυτὸν γὰρ ὑπέθηκε τῆς κακίας, τιμωρίας ὑπόθεσιν, ἵνα μὴ μόνον ὑπὲρ τῶν ἰδίων, ἀλλὰ καὶ ὑπὲρ τῶν περὶ σοῦ διελεγχθῇ, καὶ παράσχῃ λόγον τῷ Θεῷ. Φησὶ γὰρ ὁ Κύριος · « Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε · ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε, καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. » Καί· « Πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως. Ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν ἔργων [s] σου κατακριθήσῃ. » Καὶ ὁ Ἀπόστολος, « Διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε πᾶς ὁ κρίνων· ἐν ᾧ γὰρ κρίματι κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις · τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων. » Εἰ δὲ οὐκ ἀρκεῖ σοι τοῦτο, ἐννόησον, ὅτι καὶ ὁ Δεσπότης σου διεβλήθη ὑπὸ τοῦ Σατανᾶ καὶ ὑπὸ τῶν πονηρῶν ἀνθρώπων, διὸ καὶ ἔλεγεν · « Εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς αὐτοῦ ; Μὴ οὖν φοβηθῆτε αὐτούς. » Καὶ οὐ διέβαλε μόνον [t] ὁ πονηρὸς δαίμων ἐκεῖνος, ἀλλὰ καὶ ἐπιστεύθη · καὶ διέβαλεν οὐ τὰ τυχόντα, ἀλλὰ τὰ μέγιστα ὀνείδη καὶ ἐγκλήματα · καὶ γὰρ δαιμονᾷν αὐτὸν ἔφησε, καὶ πλάνον εἶναι, καὶ ἀντίθεον, καὶ Σαμαρείτην, καὶ ἐκ πορνείας γεγενῆσθαι.

357 QUÆSTIO LXIV.

Cum Christus dicat : « Non quæ intrant per os, coinquinant hominem [99], » cur statuerunt Patres ne vesceremur carnibus in sanctis jejuniis ?

RESPONSIO.

Non de cibis hoc dixit Dominus. Nam scivit quod nimius esus et potus coinquinant hominem, in ipso excitantes affectiones carnis ad libidinem. Etenim virtus Satanæ, ut Job dicit, est in umbilico ventris [1]. Sed quoniam Pharisæi damnarunt apostolos, ut qui illotis manibus comederent, ad ea respondens Dominus dicit : Non quidquid per os

ΕΡΩΤΗΣΙΣ ΞΔ'.

Τοῦ Χριστοῦ λέγοντος, « Οὐ τὰ εἰσερχόμενα διὰ τοῦ στόματος κοινοῖ τὸν ἄνθρωπον, » διὰ τί οἱ Πατέρες ὥρισαν, μὴ ἐσθίειν κρέα ἐν ταῖς ἁγίαις νηστείαις ;

ΑΠΟΚΡΙΣΙΣ.

Οὐ περὶ βρωμάτων εἴρηκεν ὁ Κύριος τοῦτο. Οἴδαμεν γὰρ, ὅτι ἡ πολυφαγία καὶ ἡ πολυποσία κοινοῦσι τὸν ἄνθρωπον, ἐπεγείροντες κατ' αὐτοῦ τὰ πάθη τῆς σαρκὸς πρὸς ἀσέλγειαν. Καὶ γὰρ ἡ δύναμις τοῦ Σατανᾶ, κατὰ τὸν Ἰὼβ, ἐπ' ὀμφαλοῦ γαστρός. Ἀλλ' ἐπειδὴ οἱ Φαρισαῖοι κατέγνωσαν τῶν ἀποστόλων, ὡς ἀνίπτοις χερσὶν ἐσθιόντων, πρὸς ταῦτα ἀποκριθεὶς ὁ

[96] Matth. VII, 1, 2. [96] Matth. XII, 36, 37. [97] Rom. II, 1. [98] Matth. X, 25, 26. [99] Matth. XV, 11. [1] Job XL, 11.

VARIÆ LECTIONES.

[r] προσηύχετο. [s] λόγων. [t] αὐτόν.

Κυριος φησί· Οὐ πᾶν τὸ εἰσερχόμενον [u] διὰ τοῦ στόματος κοινοῖ τὸν ἄνθρωπον, τουτέστιν, ὁ ῥύπος τῶν χειρῶν, ὃν ὑμεῖς παρατηρεῖσθε [x], ἀλλὰ τὰ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενα ἁμαρτήματα, ἐκεῖνα κοινοῖ τὸν ἄνθρωπον. Ὅθεν ἐπάγει· « Τὸ δὲ ἀνίπτοις χερσὶν ἐσθίειν, οὐ κοινοῖ τὸν ἄνθρωπον. » Πλὴν εἰ πάντα ὑμῖν ἔξεστιν ἐσθίειν, ἀλλ' οὐ πάντα συμφέρει, κατὰ τὸν Ἀπόστολον· φησὶ γάρ· « Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει, » τουτέστι, τὸ φαγεῖν, καὶ πιεῖν. » Ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος, » τουτέστιν, οὐκ ὀφείλω ὑπὸ τῶν βρωμάτων δηλαδὴ καὶ τῆς ἀπ' αὐτῶν [y] ἐπιθυμίας κυριεύεσθαι. Πολλοὶ γὰρ οὐ προσέχοντες τοῦτο, ἀλλ' εἰς ἐκείνους [z] βλέποντες, ὅτι καὶ φαγεῖν, καὶ πιεῖν τοῖς ἀνθρώποις, καὶ τὴν γαστέρα πληροῦν, ὡς δεδωκότος ἡμῖν τοῦ Θεοῦ, καὶ τὰ ἀπὸ γῆς καὶ θαλάσσης πρὸς ἀπόλαυσιν τῶν βρωμάτων, ἐξ ὧν ἔστιν ὑπὸ τοῦ κόρου καὶ τῆς ἡδονῆς, οὐ τὰ τυχόντα βλάπτεσθαι [a], τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα περὶ ὧν φησι· « Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία καταργήσει. »

A intrat coinquinat hominem: utpote sordes manuum, quas vos observatis; sed peccata, quæ exeunt ex homine, illa coinquinant hominem. Unde subjungit: « Illotis autem manibus comedere, non coinquinat hominem [s]. » Cæterum, etiamsi omnia nobis licet comedere, non tamen expedit omnia, ut dicit Apostolus. Ait enim: « Omnia mihi licent, » nempe et comedere et bibere, « sed ego in nullius potestatem redigar [t]; » hoc est, non habent mihi dominari cibi, et eorum desiderium. Multi enim non hoc attendentes, sed illud aspicientes, quod licet hominibus comedere et bibere, et ventrem implere, cum Deus nobis dederit et quæ capiuntur ex terra, et quæ ex mari, ad fruendum cibis, a saturitate et voluptate non parum et non leviter B læduntur. De quibus dicit: « Ventri escæ, et venter escis, Deus autem et eum, et eas abolebit [b]. »

Πᾶσα τοίνυν νηστεία, καὶ χαμευνία, καὶ σκληραγωγία, δύο σκοποί εἰσιν εὐσεβείας. Ὁ μὲν, ἵνα τῶν ἡδέων τοῦ κόσμου τούτου μὴ ἀπολαύσαντες, τῶν μελλόντων ἀγαθῶν ἀντ' αὐτῶν ἀπολαύσωσιν· ὁ δὲ, οὕτω ταπεινωθέντος τοῦ σώματος, συνταπεινωθῇ καὶ ἡ ψυχὴ καὶ ὁ λογισμός. Ταπεινουμένης δὲ τῆς ψυχῆς, εὐκατανύκτως παρακαλεῖ τὸν Θεὸν ὁ ἄνθρωπος, καὶ λαμβάνει συγχώρησιν. Εἰ δέ τις τῶν κρεῶν μὲν ἀπεχόμενος, δι' ἄλλων δὲ βρωμάτων καὶ πομάτων τρέφων καὶ λιπαίνων τὸ σῶμα, οὐδὲν ὠφελεῖται νηστεύων.

In omni ergo jejunio, et humi dormitione, et quæ aspere duriter agitur vita, et duo sunt scopi pietatis. Alter quidem, ut cum ab iis quæ sunt in hoc mundo jucunda abstinuerit, pro iis fruatur bonis futuris. Alter, ut cum humile et dejectum fuerit corpus, humilis quoque sit anima et cogitatio; humili autem effecta anima, facile cum cordis compunctione Deum rogat homo, et accipit remissionem. Si quis autem a carnibus abstinet, aliis vero cibis et potu se ingurgitat, corpusque pinguefacit, et adipe repletum reddit, nihil prodest C jejunium.

Ἰστέον δὲ, ὅτι ὡς οὐ δεῖ νηστεύειν ἑβδομάδας ὀκτὼ (47) ἐν τῇ μεγάλῃ Τεσσαρακοστῇ, ὡς οἱ Ἀρειανοὶ, ὑπερβαίνοντες τὸν παρὰ τοῦ Κυρίου δεδομένον ἡμῖν ἀριθμὸν τῶν μ' ἡμερῶν, ἐν τῷ προστιθέναι ἑβδομάδα μίαν, μὴ ἀκούοντες τοῦ Μωϋσέως λέγοντος· « Καὶ φυλάξῃ τὸ ῥῆμα, ὃ ἐντέλλομαί σοι· οὐ προσθήσεις ἐπ' αὐτῷ, οὐδὲ μὴ ἀφέλῃς ἀπ' αὐτοῦ. » Καὶ τοῦ Παροιμιαστοῦ· « Μὴ προσθῇς τοῖς λόγοις αὐτοῦ, μή ποτέ σε ἐλέγξῃ, καὶ ψευδὴς γένῃ. » Καὶ τοῦ Βαπτιστοῦ· « Μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε. » Καὶ τοῦ Ἀποστόλου· « Ἐὰν ἐγὼ, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν, παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. » Οὕτω γὰρ καὶ ἐξ ἀρχῆς ἐγένετο. Εἶπεν ὁ Θεὸς τῷ Ἀδάμ· « Τόδε ποίησον, καὶ τόδε μὴ πράξῃς. » Ἐκεῖνος δῆθεν, ὡς πλεῖόν τι νομίζων εὑρίσκειν, παρῆκουσε, καὶ ὅπερ εἶχεν, ἀπώλεσεν. Οὐ δεῖ τοίνυν πλάσσειν κόπον ἐπὶ πρόσταγμα, ἀλλὰ στοιχεῖν τοῖς παραδεδομένοις.

358 Sciendum est autem quod non oportet jejunare octo hebdomadas in magna Quadragesima, ut Ariani, qui non transcendunt numerum quadraginta dierum, quem nobis dedit Dominus; quia addunt unam hebdomadam, non audientes Moysen dicentem: « Custodies verbum quod mando tibi. Ad id nihil addes, neque ab eo auferes [c]. » Neque Proverbiorum scriptorem, qui dicit: « Non addes verbis ejus; ne te arguat, et sis mendax [d]. » Neque Baptistam, qui dicit: « Nolite facere præter id quod est vobis constitutum [e]. » Neque Apostolum, qui sic habet: « Si ego aut angelus e cœlo vobis evangelizet præter id quod evangelizavimus, sit anathema [f]. » Sic etiam ab initio factum est, cum dixit D Deus Adamo: « Hoc fac, et hoc ne feceris [g]. » Ille utique, ut qui plus se existimaret inventurum, non obediit et quod habebat perdidit. Non oportet ergo fingere laborem ad præceptum, sed ordinate pro-

[a] Matth. xv, 11. I Cor. x, 22, 23; I Cor. vi, 12. [b] I Cor. vi, 13. [c] Deut. xii, 32. [d] Prov. xxx, 6. [e] Luc. iii, 13. [f] Gal. i, 8. [g] Gen. 16, 17.

VARIÆ LECTIONES.

[u] εἰσπορευόμενον. [x] παρατηρεῖτε. [y] ἐπ' αὐτοῖς. [z] ἐκεῖνο. [a] βλάπτονται.

NOTÆ.

(47) *Οὐ δεῖ νηστεύειν ἑβδομάδας ὀκτώ.* Septem solummodo numerant Athanasius, M. Basilius κατὰ μεθυόντων. Damasc. ad Comet. Anastasius noster in Epistola Dogmat. Petrus Hierosolym. Epiphan. lib. III *Hæres.* fin., licet editio Basiliensis male pro ἑπτὰ ἑβδομάδων habeat ἑπτὰ ἡμερῶν. Ariani octavam addebant, ut absolutus esset quadraginta dierum numerus, demptis Dominicis diebus et Sabbatis, quibus Græci non jejunant; occurrit objectioni Damascenus. (ALEMANN.)

cedere in iis quæ sunt tradita; si enim jejunandæ sunt octo hebdomadæ, non debet amplius nominari Quadragesima, sed quadragesima septima, quæ Quadragesima finitur ad festum Palmarum. Magnam enim hebdomadem jejunamus propter Christi passionem et Pascha, non propter Quadragesimam. Est enim, ut diximus, dogma hoc hæreticorum, non Catholicorum. Sicut etiam nonnulli jejunant Quadragesimam in Sabbato et Dominica, convenienter dogmati eorum quos Eustathianos nominant, et Marcionistarum, Lampetianorum et Massalianorum, qui aliquando apparuerunt in Paphlagonia. Sabbatum enim et dies Dominicus sunt dies sancti et festi, neque licet in eis jejunare: illud enim dedicatum et consecratum est, propterea quod in eo cessaverit Deus ab omni opere quod patrarat [10]: at dies Dominicus propter resurrectionem Domini sanctificatus est (48).

A Εἰ γὰρ ὀκτὼ ἑβδομάδας χρὴ νηστεύειν, οὐκέτι ὀφείλει Τεσσαρακοστὴ ὀνομάζεσθαι, ἀλλὰ τεσσαρακοστὴ ἑβδόμη, ἥτις Τεσσαρακοστὴ πληροῦται εἰς τὴν ἑορτὴν τῶν Βαΐων. Τὴν γὰρ μεγάλην ἑβδομάδα χάριν τοῦ πάθους τοῦ Κυρίου καὶ τοῦ Πάσχα νηστεύομεν, καὶ οὐχ ἕνεκεν Τεσσαρακοστῆς· αἱρετικὸν [b] οὖν ἐστιν, ὡς εἴρηται, τοῦτο τὸ δόγμα, καὶ οὐκ ὀρθόδοξον [c]. Ὡς καί τινες πάλιν τῶν Εὐσταθιανῶν νηστεύουσι Τεσσαρακοστὴν ἐν Σαββάτῳ καὶ Κυριακῇ, κατὰ τὸ δόγμα τῶν λεγομένων Εὐσταθιανῶν, καὶ Μαρκιωνιστῶν, καὶ Λαμπετιανῶν, καὶ Μασσαλιανῶν, τῶν ἐν Παφλαγονίᾳ ποτὲ ἀναφανέντων. Τὸ γὰρ Σάββατον καὶ ἡ Κυριακὴ ἡμέραι ἅγιαί εἰσι καὶ ἑορτάσιμοι, καὶ οὐκ ἔξεστιν ἐν αὐταῖς νηστεύειν. Τὸ μὲν γὰρ ηὐλόγηται, διὰ τὴν κατάπαυσιν τῶν ἔργων τοῦ B Θεοῦ, ἡ δὲ ἡγίασται διὰ τὴν ἀνάστασιν τοῦ Κυρίου.

Ex Constitutionibus apostolicis (lib. v, c. 12).

Dies festorum Domini custodite. Primo quidem Natalem, postea Epiphaniam; deinde Quadragesimam, quæ continet memoriam vitæ a Domino actæ, et legislationis. Finiatur autem hoc jejunium ante jejunium Paschæ, incipiens a secunda feria, desinens vero in feriam sextam (ante Palmarum solemnia). Hos dies cum jejunio impenderitis, incipite jejunium sanctæ hebdomadæ Paschatis pro Judæis pereuntibus. Præcepit enim nobis Dominus sex istos dies jejunare propter Judæorum iniquitatem, quos ob exitium deplorari voluit; nam et ipse lacrymas fudit. Diebus vero Paschæ jejunare incipitote a feria secunda usque ad Sabbatum, solo pane, oleribus et aqua victitantes: sunt enim dies luctus, non solemnitatis. Ipso Sabbato **359** jejunate, non quod oporteat Sabbato jejunare, cum sit pausa et requies a creatione mundi; sed quia in hoc solo jejunare necesse est, eo quod rerum omnium conditor hoc Sabbato terræ intima et infima subierit: nam in ipso suo festo Dominum comprehenderunt, ut impleretur illud: « Posuit signa sua in medio festi sui, et non cognoverunt [11]. »

Ἐκ τῶν ἀποστολικῶν Διαταγμάτων.

Τὰς ἡμέρας τῶν τοῦ Κυρίου ἑορτῶν φυλάσσεσθε· καὶ πρώτην μὲν τὴν Γενέθλιον, μεθ' ἣν τὴν Ἐπιφανειῶν, εἶτα τῆς νηστείας τῆς Τεσσαρακοστῆς, μνήμην περιέχουσαν τῆς τοῦ Κυρίου πολιτείας καὶ νομοθεσίας. Ἐπιτελείσθω δὲ ἡ νηστεία αὕτη πρὸ τῆς νηστείας τοῦ Πάσχα, ἀρχομένη μὲν ἀπὸ δευτέρας, πληρουμένη δὲ εἰς Παρασκευήν· μεθ' ἃς ἀπονηστεύσαντες [d] ἄρχεσθε τῆς ἁγίας ἑβδομάδος τοῦ Πάσχα, νηστεύοντες περὶ τῶν ἀπολλυμένων Ἰουδαίων. Οὕτω γὰρ παρήγγειλεν ἡμῖν ὁ Κύριος νηστεύειν τὰς ἓξ ἡμέρας ταύτας διὰ τὴν τῶν Ἰουδαίων C παρανομίαν, πενθεῖν αὐτοὺς παρακελευσάμενος ἐπὶ τῇ ἀπωλείᾳ· καὶ γὰρ καὶ αὐτὸς αὐτοὺς ἐδάκρυσεν. Ἐν δὲ ταῖς ἡμέραις τοῦ Πάσχα νηστεύετε, ἀρχόμενοι ἀπὸ τῆς δευτέρας μέχρι τοῦ Σαββάτου, ἡμέρας ἓξ, μόνῳ χρώμενοι ἄρτῳ, καὶ λαχάνοις, καὶ ὕδατι· ἡμέραι γάρ εἰσι πένθους, καὶ οὐχ ἑορτῆς. Αὐτὸ δὲ νηστεύετε τὸ Σάββατον, οὐχ ὅτι διὰ [e] τὸ Σάββατον νηστεύειν, κατάπαυσις δημιουργίας ὑπάρχον, ἀλλ' ὅτι μόνον ἐκείνῳ χρὴ νηστεύειν, τοῦ Δημιουργοῦ ἐν αὐτῷ ἔτι ὑπὸ γῆν ὄντος. Ἐν αὐτῇ γὰρ αὐτῶν τῇ ἑορτῇ κατέσχον τὸν Κύριον, ὅπως πληρωθῇ τό· « Ἔθεντο σημεῖα [e*] ἐν μέσῳ τῆς ἑορτῆς αὐτῶν, καὶ οὐκ ἔγνωσαν. »

Parasceven et Sabbatum totum jejunate, si fieri potest, nihil gustantes usque ad gallicinium. Si cujus vires hoc non ferunt, is saltem Sabbatum observet; de se enim dicit Dominus: « Quando sponsus ablatus fuerit, tunc jejunabunt in diebus illis [12]. » His ergo diebus ablatus est a nobis improbitate sceleratorum Judæorum, crucique suffixus. Quamobrem suademus ut his diebus jejunetis, quemadmodum et nos jejunavimus. Reliquis vero

Τὴν μέντοι Παρασκευὴν καὶ τὸ Σάββατον ὁλόκληρον νηστεύετε, εἰ δυνατόν, μηδενὸς γευόμενοι, μέχρι D ἀλεκτρυοφωνίας νυκτός. Εἰ δέ τις ἀδυνατεῖ τὰς δύο συνάπτειν ὁμοῦ, φυλασσέσθωσαν κατὰ τὸ Σάββατον. Λέγει γὰρ ὁ Κύριος περὶ αὐτοῦ· « Ὅταν ἀπαρθῇ ὁ νυμφίος ἀπ' αὐτῶν, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις. » Ἐν ταύταις οὖν ἦρθη ἀφ' ἡμῶν ὑπὸ τῶν παρανόμων Ἰουδαίων, καὶ τῷ σταυρῷ προσεπάγη. Διὸ παραινοῦμεν καὶ ὑμῖν νηστεύειν ταύτας [f]

[10] Gen. II, 2. [11] Psal. LXXIII, 4, 5. [12] Marc. II, 20.

VARIÆ LECTIONES.

[b] αἱρετικῶν. [c] ὀρθοδόξων. [d] ἀπονηστεύοντες. [e] δεῖ. [e*] αὐτῶν σημεῖα. [f] ταύτας.

NOTÆ.

(48) De jejunio Sabbati vide Bellarm. lib. II *De bonis operib.* cap. 18; et tom. I *Annal. eccles.* A. C. 57. Hinc caute lege; nam hæc sunt e ritu Græcanico.

[ὡς ἡμεῖς ἐνηστεύσαμεν]. Ἐν δὲ ταῖς λοιπαῖς ταῖς πρὸ τῆς Παρασκευῆς ἑσπέρας ἕκαστος ἐσθιέτω, ἢ ὅπως ἂν τις δύνηται, ἀπὸ τῆς δευτέρας μέχρις ἀλεκτρυοφωνίας ἀπονηστιζόμενοι. Ἐπιφωσκούσης [δὲ] μιᾶς Σαββάτων, ἥτις ἐστὶ Κυριακή, ἀπὸ ἑσπέρας ἕως ἀλεκτρυοφωνίας ἀγρυπνεῖτε [5] προσευχόμενοι, καὶ ἀναγινώσκοντες τὸν νόμον, καὶ τοὺς προφήτας, καὶ τοὺς Ψαλμούς, μέχρις ἀλεκτρυοφωνῶν κραυγῆς, καὶ παυσάμενοι τοῦ πένθους ὑμῶν, δεήθητε τοῦ Θεοῦ, ἐπιστραφῆναι τὸν Ἰσραὴλ, καὶ λαβεῖν αὐτὸν μετανοίας τόπον, καὶ τῆς ἀσεβείας ἄφεσιν. Διότι ὁ μὲν ἀλλόφυλος κριτὴς, νιψάμενος τὰς χεῖρας, εἶπεν· « Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε· » ὁ δὲ Ἰσραὴλ ἐβόησε· « Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. » Καί· « Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. »

A diebus ante Parasceven vespere quilibet comedat, aut prout occasio dabit, jejunio a secunda feria usque ad gallicinium protracto. Illucescente autem una Sabbatorum, quæ est Dominica, a vespera usque ad galli cantum vigilate, orationi et lectioni legis ac prophetarum et Psalmorum, instantes usque ad gallicinium, luctuque soluti, rogate Deum ut Israel revertatur, et accipiat locum pœnitentiæ, et impietatis relaxationem. Quocirca judex ille alienigena, lotis manibus, dixit: « Innocens ego sum a sanguine justi hujus, vos videritis [13]. » At Israel clamavit: « Sanguis ejus super nos, et super filios nostros [14] » Et: « Non habemus regem, nisi Cæsarem [15]. »

B

Ἀναστάντος δὲ τοῦ Κυρίου, προσενέγκατε τὴν θυσίαν ὑμῶν, περὶ ἧς ὑμῖν δι' ἡμῶν ἐτάξατο λέγων· « Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. » Καὶ λοιπὸν ἀπονηστεύετε εὐφραινόμενοι καὶ ἑορτάζοντες, ὅτι ἀῤῥαβὼν τῆς ἀναστάσεως ἡμῶν Ἰησοῦς Χριστὸς ἐγήγερται ἐκ νεκρῶν. Καὶ τοῦτο ὑμῖν ἐστι νόμιμον αἰώνιον, ἕως τῆς συντελείας, μέχρις ἂν ἔλθῃ ὁ Κύριος. Καὶ πάλιν, Ἀπὸ τῆς πρώτης Κυριακῆς ἀριθμήσαντες ἡμέρας μ', ἑορτάσατε τὴν ἑορτὴν τῆς Ἀναλήψεως τοῦ Κυρίου· ἥτις ἀπὸ τῆς πρώτης Κυριακῆς Πεντηκοστὴ γίνεται, ἑορτὴ μεγάλη ὑμῖν ἔστω. Ἐν αὐτῇ γὰρ, ὥρᾳ τρίτῃ, ἀπέστειλεν εἰς ἡμᾶς ὁ Κύριος τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος. Καὶ μετὰ τὸ ἑορτάσαι ὑμᾶς τὴν Πεντηκοστὴν, ἑορτάσατε μίαν ἑβδομάδα, καὶ μετ' ἐκείνην νηστεύσατε· δίκαιον γὰρ καὶ εὐφρανθῆναι, καὶ ἐπὶ τῇ ἐκ Θεοῦ δωρεᾷ, καὶ νηστεῦσαι μετὰ τὴν ἄνεσιν [h]. Καὶ γὰρ Μωϋσῆς καὶ Ἠλίας ἐνήστευσαν ἡμέρας μ', καὶ Δανιὴλ ἑβδομάδας τρεῖς ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγε, καὶ κρέας καὶ οἶνος οὐκ εἰσῆλθεν εἰς τὸ στόμα αὐτοῦ.

Christo autem ex mortuis resurgente, afferte sacrificium vestrum, de quo vobis per nostrum ministerium hoc præcepit: « Hoc facite in meam commemorationem [16]. » His peractis solvite jejunium cum lætitia, et diem festum agite; quia Jesus Christus, nostræ resurrectionis pignus, a mortuis resurrexit. Et hoc erit vobis legitimum sempiternum, usque ad consummationem mundi, usque dum veniat Dominus. Rursus: A prima Dominica numeratis quadraginta diebus, celebrate festum Ascensionis Domini; quæ autem a prima Dominica quinquagesima est, ea erit vobis magna solemnitas. In hac enim, hora tertia, misit in nos Dominus donum sancti Spiritus. Post celebratam Pentecosten celebrate unam hebdomadem, et post illam jejunate: par enim est et Dei munere lætari, et post remissionem jejunare. Nam Moyses et Elias jejunarunt quadraginta dies, et Daniel tribus **360** septimanis panem desideriorum non comedit, et nec caro nec vinum in os ejus intravit.

C

Μετὰ δὲ τὴν νηστείαν ταύτην, πᾶσαν τετράδα καὶ παρασκευὴν προστάσσομεν ὑμῖν νηστεύειν, καὶ τὴν περισσείαν ὑμῶν τῆς νηστείας πένησιν ἐπιχορηγεῖν. Πᾶν μέντοι Σάββατον ἄνευ τοῦ ἑνὸς, καὶ πᾶσαν Κυριακὴν, τελοῦντες σύνοδον, εὐφραίνεσθε. Ἔνοχος γάρ ἐστιν ἁμαρτίας ὁ τὴν Κυριακὴν νηστεύων, ἀναστάσεως ἡμέραν οὖσαν, ἢ τὴν Πεντηκοστὴν, ἢ ὅλως ἡμέραν ἑορτῆς Κυρίου κατηφῶν· εὐφρανθῆναι γὰρ δεῖ ἐν αὐταῖς, καὶ οὐ πενθῆσαι. Αἱ δὲ νηστεῖαι ὑμῶν μὴ ἔστωσαν μετὰ τῶν ὑποκριτῶν· νηστεύουσι γὰρ δευτέραν, καὶ πέμπτην, καὶ Σάββατον· ὑμεῖς δὲ τὰς πέντε νηστεύετε ἡμέρας, ἢ τετράδα καὶ παρασκευὴν, ὅτι τῇ μὲν τετράδι ἡ κατὰ τοῦ Κυρίου κρίσις ὑπὸ τῶν Ἰουδαίων ἐμελετήθη, τῇ δὲ παρασκευῇ, ὅτι ἐν αὐτῇ πέπονθε. Τὸ Σάββατον μέντοι καὶ τὴν Κυριακὴν ἑορτάζετε, ὅτι τὸ μὲν δημιουργίας ἐστὶν ὑπόμνημα, ἡ δὲ ἀναστάσεως. Ἓν δὲ μόνον Σάββατον ὑμῖν φυλακτέον, ὡς εἴρηται, ἐν ὅλῳ τῷ ἐνιαυτῷ, τὸ τῆς

D

Sancimus ut post hoc jejunium omnibus feriis quartis et sextis jejunetur, et ut id quod de jejunio superest pauperibus erogetur. Omni Sabbato, excepto uno, et omni die Dominica conventus cum exsultatione celebrate; nam peccati reus erit qui die Dominica, quæ est dies Resurrectionis, vel in Pentecoste, vel alibi quocunque die Domino nostro dicato jejunaverit (mœsto et in terram dejecto vultu incedens). Lætari enim in illis oportet, non lugere. Festa autem nostra non obeantur cum hypocritis; jejunant enim feria secunda, quinta, et Sabbato. Vos vero quinque diebus jejunate, vel feria quarta et sexta; quia Judæi feria quarta contra Dominum consilium inierunt; feria autem sexta, quia in hac passus est. Sabbatum et Dominicam festive obite, quia illud est monumentum creationis, hæc resurrectionis. Porro unum solummodo Sabbatum toto anno vobis observandum est, nempe illud quo Christus in sepulcro

[13] Matth. xxvii, 24. [14] ibid. 25. [15] Joan. xix, 15. [16] Luc. xxii, 19; I Cor. xi, 24, 25.

VARIÆ LECTIONES.

[5] ἀγρυπνοῦντες. [h] ἀνάστασιν.

fuit; in hoc enim jejunare convenit, sed non festum agere (49).

Ex Exodo.

Et dixit Dominus Moysi: « Loquere filiis Israel, dicens: Tria anni tempora mihi observate: festum azymorum in primo mense, a decimo quarto autem die; septem diebus comedetis azyma cum lactucis agrestibus, et pane afflictionis: in eo enim egressi estis de Ægypto [17]. » — « Et numerate vobis a septima hebdomada septem totos dies quinquaginta, et vocate eum inclytum et sanctum diem [18]. » — « Et decima quarta dies mensis septimi, anno jam media ex parte elapso, celebrabitur dies propitiationis, et festum Tabernaculorum, inclytus et sanctus erit vobis iste dies, et humiliabitis animas vestras. Omnis vero anima quæ non humiliabitur, delebitur de populo suo. Dies autem septem adducite holocausta, in tabernaculis habitantes, ut videant generationes vestræ quod in tabernaculis habitare feci filios Israel, cum eos educerem e terra Ægypti. Ego Dominus Deus vester [19]. »

Hinc merito, ut videtur, etiam apud nos observantur tres Quadragesimæ (50), quas præsignabant illa festa Hebræorum quæ additamentum tricenarii numeri nullo modo admittunt.

361 *Constitutio apostolorum Petri et Pauli (Constitutionum apostolicarum* lib. VIII, cap. 33).

Ego Petrus et Paulus constituimus ut servi operentur quinque dies, Sabbato autem et die Dominico ferientur in ecclesia propter doctrinam pietatis. Sabbatum enim dicimus habere rationem creationis; diem Dominicum, resurrectionis. Magna hebdomade tota, et ea quæ subsequitur, ferientur, quoniam illa est passionis, hæc resurrectionis argumentum, et opus est ut doceatur quis sit qui passus est et resurrexit, et quis sit qui veniam nobis concessit, nosque secum suscitavit. In Ascensione ferientur propter finem dispensationis Christi. In Pentecoste ferientur propter adventum sancti Spiritus. In Natali ferientur propter nativitatem Verbi ex sancta Virgine. In Epiphania ferientur, propterea quod in ea facta sit ostensio Christi divinitatis, cum testimonium ei præbuit Pater in baptismate, et Paracletus in specie columbæ indicavit præsentibus eum cui datum est testimonium. Diebus Apostolorum ferientur; fuerunt enim vestri doctores in Christo, et Spiritu sancto vos dignati sunt. Preces peragite mane, et hora tertia, sexta, nona, vesperi, et in

τοῦ Κυρίου ταφῆς, ὅπερ νηστεύειν προσῆκεν, ἀλλ' οὐχ ἑορτάζειν.

Τῆς Ἐξόδου.

Καὶ εἶπε Κύριος πρὸς Μωσῆν· « Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, λέγων· Τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ φυλάξετέ μοι· τὴν ἑορτὴν τῶν Ἀζύμων, ἐν τῷ πρώτῳ μηνὶ, ἀπὸ τῆς τεσσαρακαιδεκάτης τοῦ μηνός· ἡμέρας ζ' ἔδεσθε ἄζυμα ἐπὶ πικρίδων ἄρτων κακώσεως· ἐν γὰρ τούτῳ ἐξήλθετε ἐξ Αἰγύπτου. » — « Καὶ ἀριθμήσατε ὑμῖν ἀπὸ τῆς ἑβδόμης ἑβδομάδος ἑπτὰ ὁλοκλήρους ἡμέρας πεντήκοντα, καὶ καλέσατε αὐτὴν κλητὴν ἁγίαν ἡμέραν. » — « Καὶ τῇ πεντεκαιδεκάτῃ τοῦ ἑβδόμου μηνὸς, μεσοῦντος τοῦ ἐνιαυτοῦ, ἡμέρα ἐξιλασμοῦ, καὶ ἑορτὴ Σκηνοπηγίας κλητὴ ἁγία ἔσται ὑμῖν, καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν. Πᾶσα δὲ ψυχὴ, ἥτις οὐ ταπεινωθήσεται, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς. Ἡμέρας δὲ ζ' προσάξετε ὁλοκαυτώματα, ἐν σκηναῖς κατοικοῦντες, ὅπως ἴδωσιν αἱ γενεαὶ ὑμῶν, ὅτι ἐν σκηναῖς κατῴκησα τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῷ ἐξαγαγεῖν με ἐκ γῆς Αἰγύπτου. Ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν. »

Κἀντεῦθεν, ὡς ἔοικε, καὶ παρ' ἡμῖν εἰκότως φυλάττονται αἱ τρεῖς Τεσσαρακοσταὶ, ἃς προετύπουν αἱ ἑορταὶ ἐκεῖναι, καὶ προσθήκην τοῦ τριακοστοῦ ἀριθμοῦ μηδαμῶς ἐπιδεχόμεναι.

Διάταξις τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου.

Ἡμεῖς Πέτρος καὶ Παῦλος διατάττομεθα ἐργάζεσθαι τοὺς δούλους ἡμέρας ε', Σάββατον, καὶ Κυριακὴν σχολαζέτωσαν ἐν τῇ ἐκκλησίᾳ, διὰ τὴν διδασκαλίαν τῆς Ἐκκλησίας ὑπὲρ τῆς εὐσεβείας. Τὸ μὲν γὰρ Σάββατον εἴπομεν δημιουργίας λόγον ἔχειν· τὴν δὲ Κυριακὴν, ἀναστάσεως. Τὴν δὲ μεγάλην ἑβδομάδα πᾶσαν, καὶ τὴν μετ' αὐτὴν ἀργείτωσαν, ὅτι ἡ μὲν πάθους ἐστὶ, ἡ δὲ ἀναστάσεως, καὶ χρεία διδασκαλίας, τίς ὁ παθὼν, καὶ ἀναστάς· τίς ὁ συγχωρήσας. Τρίτον, τὴν Ἀνάληψιν ἀργείτωσαν, διὰ τὸ πέρας τῆς εἰς Χριστὸν οἰκονομίας. Τὴν Πεντηκοστὴν ἀργείτωσαν, διὰ τὴν παρουσίαν τοῦ ἁγίου Πνεύματος· τὴν Γενέθλιον ἀργείτωσαν, διὰ τὸ ἐν αὐτῇ γεννηθῆναι τὸν τοῦ Θεοῦ Λόγον ἐκ τῆς Παρθένου. Τὴν Ἐπιφάνειαν ἀργείτωσαν, διὰ τὸ ἐν αὐτῇ ἀνάδειξιν γενέσθαι τῆς τοῦ Χριστοῦ θεότητος, μαρτυρήσαντος αὐτῷ τοῦ Πατρὸς ἐν τῷ βαπτίσματι, καὶ τοῦ Παρακλήτου ἐν εἴδει περιστερᾶς ὑποδείξαντος τοῖς παριστῶσι τὸν μαρτυρηθέντα. Τὰς ἡμέρας τῶν Ἁγίων Ἀποστόλων ἀργείτωσαν· διδάσκαλοι γὰρ ὑμῶν εἰς Χριστὸν γεγόνασι, καὶ Πνεύματος ἁγίου ὑμᾶς ἠξίωσαν. Εὐχὰς δὲ ἐπιτελεῖτε ὄρθρου, καὶ τρίτης, καὶ ἕκτης, καὶ

[17] Exod. XXIII, 14, 15. [18] Levit. XXIII, 15, 16. [19] ibid. passim a versu 27 ad 43.

VARIÆ LECTIONES.

[i] Videtur redundare, tametsi interpres expressit.

NOTÆ.

(49) Caute lege; nam hæc sunt e ritu Græcanico. Vide supra, not. 48.

(50) Quid hæc sibi velint, quis facile explicet? Montanistæ olim tres Quadragesimas servabant: nisi forte auctor iste respiciat ad tria solemnia Græcorum jejunia; quorum unum antecedit Pascha, alterum in Augusto Assumptionem B. Virginis, tertium Nativitatem Domini. Quamquam de numero dierum hujus duplicis jejunii inter se Græci non consentiunt. Hervetus vertit tria festa, forte legit: Τέσσαρα; ἑορτάς. Sed cod. noster expresse: Τρεῖς τεσσαρακοστάς.

ἐννάτης, καὶ ἑσπέρας, καὶ ἀλεκτρυοφωνίας. Ὄρθρου μὲν εὐχαριστοῦντες, ὅτι ἐφώτισεν ἡμᾶς ὁ Κύριος, παραγαγὼν τὴν νύκτα, καὶ ἐπαγαγὼν τὴν ἡμέραν. Τρίτης δὲ, ὅτι ἐν αὐτῇ ἀπόφασιν ἀπὸ Πιλάτου ἔλαβεν ὁ Κύριος. Ἕκτῃ δὲ, ὅτι ἐν αὐτῇ ἐσταυρώθη. Ἐννάτῃ δὲ, ὅτι πάντα κεκίνητο τοῦ Δεσπότου ἐσταυρωμένου φρίττοντα τὴν τόλμαν τῶν παρανόμων [k] Ἰουδαίων, μὴ φέροντα Κυρίου τὴν ὕβριν. Ἑσπέρας δὲ, εὐχαριστοῦντες, ὅτι δέδωκεν ἡμῖν ἀνάπαυσιν τῶν ἡμερινῶν κόπων, τὴν νύκτα. Ἀλεκτρυόνων δὲ κραυγῇ, διὰ τὸ τὴν ὥραν ἐκείνην εὐαγγελίζεσθαι τὴν παρουσίαν τῆς ἡμέρας, εἰς ἐργασίαν τῶν τοῦ φωτὸς ἔργων. Καὶ εἰ μὴ δυνατὸν ἐν ἐκκλησίᾳ προσεύναι διὰ τοὺς κακοπίστους, ἐν οἴκοις γενέσθω ἡ σύναξις, ἵνα μὴ εἰσέρχηται εὐσεβὴς εἰς ἐκκλησίαν ἀσεβῶν. Οὐ γὰρ ὁ τόπος τὸν ἄνθρωπον ἁγιάζει, ἀλλ' ὁ ἄνθρωπος τὸν τόπον, [l] φευκτέον ἔστω, διὰ τὸ βεβηλῶσθαι ὑπ' αὐτῶν· ὡς γὰρ οἱ θεῖοι ἱερεῖς ἁγιάζουσιν, οὕτως οἱ ἐναγεῖς μιαίνουσιν.

A galli cantu. Mane quidem agentes gratias quod vos Dominus illuminavit, abducta nocte et adducto die. Tertia, quoniam in ea Pilati sententiam accepit Dominus. Sexta, quoniam in ea fuit confixus. Nona, quoniam omnia mota sunt Domino crucifixo, horrentia audaciam impiorum Judæorum, non ferentia Domini contumeliam. Vesperi, quoniam diurnorum laborum requiem dedit nobis noctem. In gallorum cantu propterea quod ea hora annuntietur diei adventus, ad operandum opera lucis. Si fieri non potest ut ad ecclesiam prodeamus propter eos qui sunt malæ fidei, domi fiat synaxis, ne ingrediatur pius in ecclesiam impiorum. Non enim locus hominem sanctificat, sed homo locum. Si ergo impii locum teneant, est fugiendum propterea quod sit ab iis profanatus: sicuti enim divini sacerdotes sanctificant, ita exsecrandi contaminant.

B

Ἐκ τῆς συνόδου ἕκτης κανὼν πθ'.

Τὰς τοῦ σωτηρίου πάθους ἡμέρας ἐν νηστείᾳ, καὶ προσευχῇ, καὶ κατανύξει καρδίας ἐπιτελεῖν χρὴ τοὺς Χριστιανοὺς [m], περὶ μέσας τῆς μετὰ τὸ μέγα Σάββατον τῆς νυκτὸς ὥρας, ἀπονηστίζεσθαι, τῶν θείων εὐαγγελιστῶν Ματθαίου, καὶ Λουκᾶ· τοῦ μὲν, διὰ τοῦ, *Ὀψὲ Σαββάτων*, προσρήματος, τοῦ δὲ, διὰ τοῦ, *Ὄρθρου βαθέος*, τὴν βραχύτητα τῆς νυκτὸς ἡμῖν προγράφοντος.

Ex synodo sexta (seu Trullana) canon 89.

Salutaris passionis dies in jejunio, et oratione, et compunctione cordis peragentes, oportet fideles solvere jejunium circa mediam noctis, post Sabbatum; divinis evangelistis **362** Matthæo et Luca: illo quidem per adverbium, *Vespere Sabbati* [20]; hoc autem per, *Valde diluculo* [21], indicante nobis brevitatem noctis.

Τοῦ Λευϊτικοῦ.

« Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν λέγων· Ἐν τῷ πρώτῳ μηνὶ τῆς ιδ' ἡμέρας τοῦ μηνὸς, ἀναμέσον τῶν ἑσπερινῶν, Πάσχα τῷ Κυρίῳ »

Ex Levitico.

« Et locutus est Dominus Moysi dicens: In primo mense die quarta decima mensis, circa medium vespertinorum, Pascha Domino erit [22]. »

Βασιλείου ἐκ τῶν Ἀσκητικῶν.

Ὅρα, μή σε πλανήσῃ ὁ ἐχθρὸς τῇ τοῦ προπάτορος ἁμαρτίᾳ, καὶ τὸ τάχος ἐκβάλῃ τοῦ παραδείσου τῆς τρυφῆς. Ὁ γὰρ τὸν Ἀδὰμ τῇ τῆς βρώσεως κλοπῇ ἐφελκύσας τῆς ζωῆς, προσδοκήσας δὲ καὶ Ἰησοῦν ὑποσκελίζειν, οὐκ ἐντραπήσεται πολλῷ μᾶλλον καὶ σοὶ κεράσαι [n] πρῶτον αἴτιον τῶν κακῶν, ἰσχυρὸν δηλητήριον τοῦτο γινώσκων. Γαστριμαργίᾳ τοίνυν τὸν Ἀδὰμ θανάτῳ παρέδωκε, καὶ τῷ κόσμῳ συντέλειαν ἐπήγαγε. Νῶε δὲ γελᾶται, καὶ Χὰμ κεκατήραται. Ἡσαῦ τῶν πρωτοτοκίων ἐκπίπτει, καὶ τοῖς Χαναναίοις ἐπιγαμβρεύεται. Λὼτ θυγατρόγαμος γίνεται γαμβρὸς ἑαυτοῦ καὶ πενθερὸς, ὁ πατὴρ ἀνὴρ, καὶ ὁ πάππος πατὴρ, ἑκατέρωθεν τοὺς νόμους [o] τῆς φύσεως ἐνυβρίζων. Αὕτη καὶ τὸν Ἰσραὴλ εἰδώλου [p] προσκυνητὴν ἐποίησε, καὶ τούτων τὰ κῶλα ἐν τῇ ἐρήμῳ πεσεῖν παρεσκεύασεν. Αὕτη καί τινα τῶν προφητῶν ἐπὶ ἐλέγχῳ [q] ἀνοσιουργοῦ βασιλέως παρὰ Θεοῦ ἀποσταλέντα, ἀγρίου θηρὸς βορὰν πεποίηκε. Καὶ ὃν οὐκ ἴσχυσεν Ἱεροβοὰμ ὁ βασιλεὺς σὺν πάσῃ τῇ βασιλικῇ δυνάμει ἀμύνασθαι, τῇ τῆς γαστριμαργίας ἀπάτῃ ληφθεὶς ἐλεεινὸν θάνατον ἀποφέρεται.

C

Ex Basilii Asceticis.

Vide ne te decipiat inimicus peccato primi parentis, et te cito ejiciat ex paradiso deliciarum. Nam qui furto Adamum a vita abstraxit, speravit autem se etiam Jesum supplantaturum, multo magis non verebitur tibi quoque miscere primam malorum causam; scit enim eam esse præpotentem illecebram. Ingluvies ergo Adamum morti tradidit, et in mundum induxit consummationem. Noe autem irridetur, et Cham fuit maledictus [23]. Esau excidit a primogenitura [24], et cum Chananæis contrahit matrimonium [25]. Lot fit conjux suarum filiarum [26], suus gener, et socer, pater, maritus, et avus, utrinque probro et dedecore afficiens leges naturæ. Ea etiam fecit Israelem idolorum cultorem, D ut eorum membra caderent in deserto. Ipsa quoque quemdam prophetam ad redarguendum impium regem missum, truculentæ bestiæ objecit [27]. Et a quo cum omnibus suis copiis Jeroboam non poterat ultionem sumere, is gastrimargiæ pellacia captus, miserabili morte vitam finiit.

[20] Matth. XXVIII, 1. [21] Luc. XXIV, 1. [22] Lev. XXIII, 5. [23] Gen. IX, 22, 25. [24] Gen. XXVII, 36. [25] Gen. XXXVI, 2. [26] Gen. XIX, 33-38. [27] III Reg. XIII, 24.

VARIÆ LECTIONES.

[k] δυσσεβῶν. [l] excidisse videtur, Εἰ τοίνυν ἀσεβεῖς κρατοῦσι τὸν τόπον. EDIT. [m] πιστούς. [n] συγκεράσαι. [o] ὅρους. [p] εἰδώλων. [q] ἐπὶ ἐλέγχων.

Ejusdem ex sermone de jejunio.

Jejunium in paradiso lege fuit constitutum. Primum mandatum accepit Adam : « De ligno scientiæ boni et mali ne comedatis [28], » illud, *ne comedatis*, lex est de jejunio et continentia. Si a ligno abstinuisset Eva, non opus habuissemus eo, quod nunc est, jejunio.

Ex Chrysostomo in Matthæum.

Etiam Adamum ex paradiso exegit ventris intemperantia, ipsumque effecit diluvium, et Sodomorum deduxit fulmina. Nam etsi eis crimini quoque datur libido, et fornicatio, utriusque tamen supplicii radix hinc est exorta. Quod quidem Ezechiel tacite significans, dicebat : « Hæc **363** est iniquitas Sodomorum, quia in panis abundantia et vini copia deliciabantur [29]. » Ita etiam Judæi pessima quæque patrarunt, et ab ebrietate et voluptatibus in impietatem inciderunt [30]. Propterea Christus jejunat quadraginta dies [31], nobis ostendens medicamenta salutis.

A

B

QUÆSTIO LXV.

Quomodo est intelligendum illud : « Omnis scriba doctus in regno cælorum similis est patrifamilias, qui profert de thesauro suo nova et vetera [32] ? »

RESPONSIO.

Scribam dicit eum qui per laboriosam divinarum Scripturarum lectionem sibi recondit thesaurum Veteris et Novi Testamenti, et ex eo expromit tempore disputationis. Quamobrem quicunque sunt imperiti divinarum Scripturarum, non possunt esse patresfamilias, ut qui neque a se habeant, neque ab aliis accipiant, sed seipsos decipiant et fame ignorantiæ corrumpant. Nam sicut fieri non potest ut terra non irrigata, etiamsi millies in eam dejiciantur semina, spicas ferat, ita etiam fieri non potest ut animus divinis Scripturis non irrigatus, etiamsi quispiam mille verba effundat, ullum fructum ostendat. Magnum est ergo malum ignorare Scripturas, et sicut bruta animantia circumferri. Etenim oriuntur mala innumerabilia ex ignoratione Scripturarum. Hinc germinavit magna pestis hæresum. Hinc vita neglecta, labores inutiles, animæ cæcitas, deceptio dæmonis. Quemadmodum enim qui hac luce sunt privati, recta non possunt ingredi, ita etiam qui divinis sunt privati Scripturis, et ad earum radios non aspiciunt, sæpe offendunt, et coguntur assidue peccare. Propterea exhortans Paulus dicebat Timotheo : « Attende lectioni, adhortationi, doctrinæ. Noli negligere, quæ in te est, gratiam, quæ data est tibi per prophetiam, cum impositione manuum presbyterii. Hæc meditare, ut profectus tuus sit manifestus in omnibus. Attende tibi, et doctrinæ [33]. » Et : « Mali autem homines et

C

D

Τοῦ αὐτοῦ περὶ νηστείας.

Νηστεία ἐν τῷ παραδείσῳ νενομοθέτηται [r]. Τὴν πρώτην ἐντολὴν ἔλαβεν Ἀδάμ· « Ἀπὸ τοῦ ξύλου, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσαι. » Τὸ δὲ, *οὐ φάγεσαι*, νηστείας ἐστὶ, καὶ ἐγκρατείας νομοθεσία. Εἰ ἐνήστευσεν ἀπὸ τοῦ ξύλου ἡ Εὔα, οὐκ ἂν ταύτης ἐδεήθημεν τῆς νηστείας.

Τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Ματθαῖον.

Καὶ γὰρ καὶ τὸν Ἀδὰμ ἡ ἀκρασία τῆς γαστρὸς ἐξήγαγεν [ἐκ τοῦ παραδείσου] καὶ τὸν κατακλυσμὸν αὕτη πεποίηκε, καὶ τοὺς Σοδόμων κεραυνοὺς αὕτη κατήγαγε. Εἰ γὰρ καὶ πορνείας τὸ ἔγκλημα, ἀλλ' ὅμως ἑκατέρας τῆς κολάσεως ἡ ῥίζα ἐντεῦθεν ἐφύη. Ὅπερ καὶ Ἰεζεκιὴλ αἰνιττόμενος, ἔλεγε· « Πλὴν τοῦτο ἀνόμημα Σοδόμων, ὅτι ἐν πλησμονῇ ἄρτου, καὶ εὐθηνίᾳ οἴκου ἐσπατάλων. » Οὕτω καὶ Ἰουδαῖοι, τὰ μέγιστα εἰργάσαντο κακὰ καὶ ἀπὸ τῆς μέθης καὶ τρυφῆς, ἐπὶ τὴν ἀνομίαν ἐξοκείλαντες. Διὰ δὴ τοῦτο Χριστὸς νηστεύει τεσσαράκοντα, ἡμέρας ἡμῖν τὰ φάρμακα τῆς σωτηρίας δεικνύς.

ΕΡΩΤΗΣΙΣ ΞΕ'.

Πῶς νοητέον τὸ, « Πᾶς γραμματεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ὁμοίός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά; »

ΑΠΟΚΡΙΣΙΣ [s].

Γραμματέα λέγει τὸν, διὰ τῆς ἐπιπόνου ἀναγνώσεως τῶν θείων Γραφῶν, ἑαυτῷ θησαυρὸν γνώσεως ἀποθέμενον τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης, καὶ ἐκβάλλων ἐξ αὐτοῦ ἐν καιρῷ διαλέξεως. Ὥστε, ὅσοι ἄπειροί εἰσι τῶν θείων Γραφῶν, οὐκ ἂν εἶεν οἰκοδεσπόται· μήτε αὐτοὶ ἔχοντες, μήτε παρ' ἑτέρων λαμβάνοντες, ἀλλὰ παρορῶντες ἑαυτοὺς ὑπὸ λιμοῦ ἀγνωσίας φθειρομένους· ὥσπερ γὰρ γῆν μὴ βρεχομένην οὐκ ἔστι, κἂν μυρία τις βάλῃ σπέρματα, στάχυας ἐξενεγκεῖν, οὕτω καὶ ψυχὴν οὐκ ἔστι μὴ ταῖς Γραφαῖς ποτισθεῖσαν, κἂν μυρία τις ἐκχέῃ ῥήματα, καρπόν τινα ἐπιδείξασθαι. Μέγα τοίνυν κακὸν, ἀγνοεῖν Γραφὰς, καὶ δίκην ἀλόγων περιφέρεσθαι. Καὶ γὰρ ἐντεῦθεν μυρία ἔφυ κακὰ, ἀπὸ τῆς τῶν Γραφῶν ἀγνοίας. Ἐντεῦθεν πολλὴ τῶν αἱρέσεων ἐβλάστησε λύμη. Ἐντεῦθεν οἱ ἠμελημένοι βίοι, οἱ ἀκηδεῖς πόνοι, τῆς ψυχῆς ἡ τύφλωσις, τοῦ διαβόλου ἡ πλάνη. Ὡς γὰρ οἱ τοῦ φωτὸς τούτου ἐστερημένοι, οὐκ ἂν ὀρθὰ βαδίσαιεν, οὕτω, οἱ τῶν θείων Γραφῶν ἐστερημένοι, καὶ πρὸς τὴν ἀκτῖνα τούτων μὴ βλέποντες, πολλὰ προσκόπτουσι, καὶ ἀναγκάζονται συνεχῶς ἁμαρτάνειν, ἅτε δὴ ἐν σκότει χαλεπῷ [t] βαδίζοντες. Διὰ τοῦτο παραινῶν ὁ Ἀπόστολος Τιμοθέῳ, ἔλεγε· « Πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, οὗ ἐδόθη σοι μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου. Ταῦτα μελέτα, ἐν τούτοις ἴσθι, ἵνα προκοπή σου φανερὰ ᾖ ἐν πᾶσιν. Ἔπεχε σεαυτῷ,

[28] Gen. II, 17. [29] Ezech. XVI, 49. [30] Exod. XXXII, 6. [31] Matth. IV, 8. [32] Matth. XIII, 52. [33] I Tim. IV, 13-16.

VARIÆ LECTIONES.

[r] ἀνομοθετήθη [s] Χρυσοστόμου. [t] χαλεπῶς.

καὶ τῇ διδασκαλίᾳ. » — « Πονηροὶ γὰρ ἄνθρωποι, καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι. Σὺ δὲ μένε, ἐν οἷς ἔμαθες, καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες· καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ Γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ. Πᾶσα γὰρ Γραφὴ θεόπνευστος, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ, ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτημένος. »

A præstigiatores proficient in pejus, errantes, et in errorem mittentes. Tu autem mane in iis quæ didicisti, et quæ sunt credita, sciens a quo didiceris, et quod ab infantia sacras Litteras noveris, quæ te possunt servare ad salutem quæ est in Christo Jesu. Omnis enim Scriptura a Deo inspirata, est utilis ad docendum, ad arguendum, ad corrigendum, ad disciplinam quæ est in justitia, ut perfectus ac integer **364** sit homo Dei ad omne opus bonum paratus [54]. »

Καὶ Μωϋσῆς νομοθετῶν, ἔλεγε· « Καὶ ἔσται τὰ ῥήματα ταῦτα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον ἐν τῇ καρδίᾳ σου, καὶ ἐν τῇ ψυχῇ σου· καὶ προβιβάσεις αὐτὰ τοῖς υἱοῖς σου, καὶ λαλήσεις ἐν αὐτοῖς, καθήμενος ἐν οἴκῳ, καὶ πορευόμενος ἐν ὁδῷ, καὶ κοιταζόμενος, καὶ διανιστάμενος. »

Et Moyses legem ferens dicebat : « Et erunt verba hæc, quæ mando tibi hodie, in corde tuo et in anima tua, et proferes ea animæ tuæ; magis autem filiis tuis, et inter eos dices sedens in domo, et ambulans in via, et cubans in lecto, et surgens [55]. »

B

Ὁ δὲ Κύριος παραγγέλλων, ἔφασκεν· « Ἐρευνᾶτε τὰς Γραφάς, ὅτι ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχετε· καὶ ἐκεῖναί εἰσιν, αἱ μαρτυροῦσαι περὶ ἐμοῦ. » Διό φησιν ὁ Δαυΐδ· « Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν. » Ὅθεν παραινεῖ, λέγων· « Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου. » Καί· [Ἐν τοῖς δικαιώμασί σου μελετήσω τὰς ἐντολάς σου.[*1]] Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου. » Καί· « Θαυμαστὰ τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου. » Καί· Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. » Καί· « Ἐπιθυμητὰ ὑπὲρ χρυσίον, καὶ λίθον τίμιον πολὺν, καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. »

Dominus autem præcipiens dicebat : « Scrutamini Scripturas, quoniam in eis vitam æternam habetis, et illæ sunt quæ testimonium perhibent de me [56]. » Quamobrem dicit David : « Beati qui scrutantur testimonia ejus, in toto corde exquirunt eum [57]. » Unde rogat dicens : « Da mihi intellectum, et scrutabor legem tuam, et custodiam eam in toto corde meo [58]. » Et : « In justificationibus tuis meditabor; non obliviscar sermonis tui [59]. » Et : « Mirabilia testimonia tua, ideo scrutata est ea anima mea [60]. » Et : « Quam dulcia gutturi meo eloquia tua, super mel ori meo [61]! » Et : « Desiderabilia super aurum, et lapidem pretiosum multum, et suavia supra mel et favum [62]. »

C

Παρεγγυᾷ δὲ καὶ ὁ τούτου υἱὸς Σολομὼν, ὁ σοφώτατος, λέγων· « Υἱὲ, ἐὰν ζητήσῃς τὴν σοφίαν, ὡς ἀργύριον, καὶ ὡς θησαυρὸν ἐκζητήσεις αὐτήν· τότε συνήσεις φόβον Κυρίου, καὶ ἐπίγνωσιν Θεοῦ εὑρήσεις, ὅτι Κύριος δίδωσι σοφίαν, καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις. » Καί· « Ἐὰν σοφὸς γένῃ σεαυτῷ, σοφὸς ἔσῃ καὶ τῷ πλησίον σου. Ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἀνατλήσεις τὰ κακά. » Καί· « Εἶδον ἐγὼ, ὅτι περισσεία τῇ σοφίᾳ ὑπὲρ τὴν ἀφροσύνην, ὡς περισσεία τῷ φωτὶ[u] ὑπὲρ τὸ σκότος. » — « Τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ ἐν κεφαλῇ αὐτοῦ. » Καί· « Ὁ ἄφρων ἐν σκότει πορεύεται. » Καί· « Σοφία ἀνθρώπου φωτιεῖ πρόσωπον αὐτοῦ. » Καί· « Εἶπα ἐγὼ, Ἀγαθὴ σοφία ὑπὲρ δύναμιν. » Καί· « Εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίας· ἅγιον γὰρ Πνεῦμα παιδείας φεύξεται δόλον, καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων. » Καί· « Σοφίαν, καὶ παιδείαν ἐξουθενῶν ταλαίπωρος, καὶ κενὴ ἡ ἐλπὶς αὐτοῦ, καὶ οἱ κόποι ἀνόητοι, καὶ ἄχρηστα τὰ μέλη [ἔργα] αὐτοῦ, καὶ ἐπικατάρατος ἡ γένεσις αὐτοῦ. » Καί· « Τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασι-

Præcipit quoque filius ejus Salomon, sapientissimus ille, dicens : « Fili, si quæsieris sapientiam, tanquam argentum et tanquam thesaurum exquisieris eam : tunc intelliges timorem Domini, et agnitionem Domini invenies, quoniam Dominus dat sapientiam, et a facie ejus cognitio et intelligentia [63]. » Et : « Si fueris sapiens, tibi eris sapiens, et propinquis. Sin autem evaseris malus, solus hauries mala [64]. » Et : « Vidi quod sapientia plus est quam insipientia, sicut lux plus est quam tenebræ [65]. » Et : « Sapientis oculi sunt in capite ejus. » Et : « Insipientes in tenebris ambulant [66]. » Et : « Sapientia hominis illuminabit vultum ejus [67]. » Et : « Dixi ergo : Sapientia bona est supra potentiam [68]. » Et : « In malignam animam non intrabit sapientia, neque habitabit in corpore obnoxio peccatis; sanctus enim Spiritus disciplinæ effugiet dolum, et recedet a cogitationibus insipientibus [69]. » Et : « Qui sapientiam et disciplinam aspernatur, est infelix, et vana est spes ejus, et labores inutiles, et inutilis finis ejus, et exsecrandus est ortus ejus [70]. » Et : « Honorate sapientiam, ut in æternum regne-

D

[54] II Tim. III, 13-17. [55] Deut. VI, 6, 7. [56] Joan. V, 39. [57] Psal. CXVIII, 2. [58] ibid. 34. [59] ibid. 16. [60] ibid. 129. [61] ibid. 103. [62] Psal. XVIII, 11. [63] Prov. II, 4-6. [64] Prov. IX, 12. [65] Eccle. II, 13. [66] ibid. 14. [67] Eccle. VIII, 1. [68] Eccle. IX, 16. [69] Sap. I, 4, 5. [70] Sap. III, 11.

VARIÆ LECTIONES.

[*1] Inclusa redundare videntur. [u] τοῦ φωτός.

tis [51]; » quoniam omnium etiam Dominus dilexit eam : est enim mystes Dei scientiæ, et inventrix operum ejus.

« Quid autem est sapientia ditius, quæ omnia operatur? » Et : « Si quis diligit justitiam, labores ejus sunt virtutes : sapientiam enim, et prudentiam docet, et justitiam et fortitudinem, **365** quibus nihil est hominibus in vita utilius. Si quis autem etiam diligit magnam rerum experientiam, novit prisca, et futura exquirit. Scit strophas verborum, et solutiones ænigmatum, signa et prodigia prænoscit, et eventus temporum [52]. »

Similiter Sirach quoque dicit : « Deus creavit sapientiam, et suppeditabit eam iis qui ipsum diligunt [53]. » Et : « Si concupiisti sapientiam, serva mandata, et Deus tibi suppeditabit eam [54]. » Et : « Fili, a juventute tua elige disciplinam, et amplius invenies sapientiam. Tanquam autem qui arat et qui seminat, accede ad eam, et exspecta bonos ejus fructus. Nam in operatione ejus parum laborabis, et cito comedes germina ejus. Quam valde est aspera indoctis, et non manet in ipsa excors [55]. » — « Sapientia enim secundum ejus nomen, et non est multis manifesta. Audi ergo, fili, et excipe meam sententiam, et ne recuses consilium meum. Et, Immitte pedes tuos in compedes ejus, et in ejus torquem collum tuum. Suppone humerum, et porta eam, et non appelleris ad vincula ejus. Tota anima accede ad illam, et tota virtute tua serva vias ejus. Investiga, et quære, et cognosces eam, votique compos factus, ne dimitte eam. In novissimis enim invenies requiem ejus, et convertetur tibi in lætitiam. Si dilexeris eam, et aurem tuam inclinaveris, sapiens eris. In multitudine presbyterorum sta; et si quis sapiens, illi adhærescere omnem de divinis rebus explicationem audi, et parabolæ sapientes non effugiant te. Si videris sapientem, diluculo adeas eum, et gradus ostiorum ejus exterat pes tuus. Considera in mandatis Domini, et in præceptis ejus meditare semper. Ipse enim firmabit cor tuum, et desiderium sapientiæ dabitur tibi [56]. » Et : « Ne sapientum narrationes negligas, et in proverbiis eorum versare, quoniam ab illis disces disciplinam [57]. » Et : « Ne seniorum narrationes spernas, ipsi enim didicerunt a patribus suis [58]. » Et : » Ab ipsis disces intellectum, et in tempore opportuno dare responsum [59]. » Et : « Ne prohibeas sermonem in tempore salutis; ex sermonibus enim cognoscetur sapientia, et disciplina in verbo linguæ [60]. » Et : « Si tibi est intellectus, responde proximo; sin minus, manus tua sit super os tuum [61]. » Et : « Ne contradicas veritati, et de ineruditione tua confundere [62]. » Et : « Quemad-

A λεύσητε· » ὅτι, καὶ ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν· μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ.

« Τί δὲ σοφίας πλουσιώτερον, τῆς πάντα ἐργαζομένης; » Καί· « Εἰ δικαιοσύνην ἀγαπᾷ τις, οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην γὰρ καὶ φρόνησιν ἐκδιδάσκει, καὶ δικαιοσύνην, καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις [x], οἶδε τὰ ἀρχαῖα, καὶ τὰ μέλλοντα εἰκάζει [y]. Ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων· σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων.

Καὶ Σειρὰχ δὲ ὡσαύτως φησί· « Κύριος ἔκτισε σοφίαν, καὶ χορηγήσει αὐτὴν τοῖς ἀγαπῶσιν αὐτόν. » Καί· « Εἰ ἐπεθύμησας σοφίαν, διατήρησον ἐντολάς, B καὶ Κύριος χορηγήσει σοι αὐτήν. » Καί· « Τέκνον, ἐκ νεότητός σου ἐπλεξαι [z] παιδείαν, καὶ ἕως πολιῶν [a] εὑρήσεις σοφίαν. Ὡς ὁ ἀροτριῶν, καὶ ὡς ὁ σπείρων πρόσελθε αὐτῇ, καὶ ἀνάμενε τοὺς ἀγαθοὺς καρποὺς αὐτῆς. Ἐν γὰρ τῇ ἐργασίᾳ αὐτῆς ὀλίγον κοπιάσεις, καὶ ταχὺ φάγεσαι τῶν γεννημάτων αὐτῆς. Ὡς τραχεῖά ἐστι σφόδρα τοῖς ἀπαιδεύτοις, καὶ οὐκ ἐμμενεῖ αὐτῇ ἀκάρδιος. »—« Σοφία γὰρ κατὰ τὸ ὄνομα αὐτῆς ἐστι καὶ οὐ πολλοῖς ἐστι φανερά. Ἄκουσον οὖν, τέκνον, καὶ ἔκδεξαι τὴν γνώμην μου, καὶ μὴ ἀπαναίνου τὴν συμβουλήν μου. Καὶ, Εἰσένεγκε τοὺς πόδας σου εἰς τοὺς πόδας [b] αὐτῆς, καὶ εἰς τὸν κλοιὸν αὐτῆς τὸν τράχηλόν σου. Ὑπόθες σου τὸν νῶμον [c], καὶ βάστασον αὐτήν, καὶ μὴ προσοχθίσῃς τοῖς δεσμοῖς αὐτῆς. Ἐν πάσῃ τῇ ψηχῇ σου πρόσελθε αὐτῇ, C καὶ ἐν ὅλῃ τῇ δυνάμει σου συντήρησον τὰς ὁδοὺς αὐτῆς. Ἐξιχνίασον, καὶ ζήτησον, καὶ γνωσθήσεταί σοι, καὶ ἐγκρατὴς γενόμενος, μὴ ἀφῇς αὐτήν. Ἐπ' ἐσχάτων γὰρ εὑρήσεις τὴν ἀνάπαυσιν αὐτῆς, καὶ στραφήσεταί σοι εἰς εὐφροσύνην. Ἐὰν οὖν ἀγαπήσῃς αὐτήν, καὶ κλίνῃς τὸ οὖς σου, σοφὸς ἔσῃ. Ἐὰν πλήθει δὲ πρεσβυτέρων στῇθι· καὶ [εἴ] τις σοφός, αὐτῷ προσκολλήθητι· πᾶσαν διήγησιν θείαν θέλε ἀκροᾶσθαι· καὶ παροιμίαι συνέσεως μὴ ἐκφευγέτωσάν σε. Ἐὰν ἴδῃς ἄνδρα συνετὸν ὄρθριζε [d] πρὸς αὐτὸν, καὶ βαθμοὺς θυρῶν αὐτοῦ ἐκτριβέτω ὁ πούς σου. Διανοοῦ ἐν τοῖς προστάγμασι Κυρίου, καὶ ἐν ταῖς ἐντολαῖς αὐτοῦ μελέτα διαπαντός. Αὐτὸς γὰρ στηρίζει τὴν καρδίαν σου, καὶ ἡ ἐπιθυμία σοφίας D σου δοθήσεταί σοι. » Καί· « Μὴ παρίδῃς διηγήματα σοφῶν, καὶ ἐν ταῖς παροιμίαις αὐτῶν ἀναστρέφου, ὅτι παρ' αὐτῶν μαθήσῃ παιδείαν. » Καί· « Μὴ ἀπόσχῃ [e] διηγήματα γερόντων· καὶ γὰρ αὐτοὶ ἐμαθον παρὰ τῶν πατέρων αὐτῶν. » Καί [f]· « Παρ' αὐτῶν μαθήσῃ σύνεσιν, καὶ ἐν καιρῷ χρείας δοῦναι ἀπόκρισιν. » Καί· « Μὴ κωλύσῃς λόγιον [g] ἐν καιρῷ σωτηρίας· ἐκ γὰρ λόγων γνωσθήσεται σοφία, καὶ παιδεία ἐν ῥήματι γλώσσης. » Καί· « Εἰ ἔστι σοι

[51] Sap. VI, 22. [52] Sap. VII, et VIII, passim. [53] Eccli. I, 1, 10. [54] Eccli. VI, 34. [55] ibid. 18-21. [56] ibid. per totum. [57] Eccli. VIII, 9. [58] ibid. 11. [59] ibid. 12. [60] Eccli. IV, 28, 29. [61] Eccli. V, 14. [62] Eccli. IV, 30.

VARIÆ LECTIONES.

[x] ἀγαπᾷ τις. [y] ἐπιζητεῖ. [z] ἐπλεξον. [a] πλείονα. [b] τὰς πέδας. [c] ὦμον [d] ὄρθρισαι. [e] ἀστόχει. [f] ὅτι. [g] λόγον.

σύνεσις, ἀποκρίθητι τῷ πλησίον· εἰ δὲ μή, ἡ χείρ A σου ἔστω ἐπὶ τῷ στόματί σου.» Καί· «Μὴ ἀντίλεγε τῇ ἀληθείᾳ, καὶ περὶ τῆς ἀπαιδευσίας σου ἐντράπηθι[h].» Καί· «Ὥσπερ οἶκος ἠφανισμένος, οὕτω μωρῷ σοφία, καὶ γνῶσις ἀσυνέτῳ. Ἀδιεξόδευτοι[i] λόγοι, καὶ ἔγκατα μωροῦ, ἀγγεῖον συντετριμμένον, καὶ πᾶσαν γνῶσιν, οὐ συγκρατήσει· καὶ οὐ χρείαν ἔχει σοφίας ἐνδεὴς φρενῶν· μᾶλλον γὰρ ἄγεται ἀφροσύνῃ· καὶ ἀπὸ στόματος μωροῦ ἀποδοκιμασθήσεται παραβολή· οὐ γὰρ μὴ εἴπῃ αὐτὴν ἐν καιρῷ αὐτῆς.» Καί· «Ἔστιν ἐν καιρῷ ἀνὴρ παιδευτὴς πολλῶν καὶ τῇ ἰδίᾳ ψυχῇ ἐστιν ἄχρηστος.» Καί· «Ἔστι σοφιζόμενος ἐν λόγοις μισητός· οὐ γὰρ ἐδόθη αὐτῷ παρὰ Κυρίου χάρις.» Καί· «Σοφία ταπεινοῦ ἀνυψώσει κεφαλὴν αὐτοῦ, καὶ ἐν μέσῳ μεγιστάνων καθίσει αὐτόν.» Καί· «Μακάριος ἀνὴρ, ὃς ἐν σοφίᾳ τελευτήσει, καὶ ὃς ἐν συνέσει αὐτοῦ διαλεχθήσεται.»

modum domus exterminata, sic stulto sapientia, et scientia insipienti. Inexplicabiles sunt ejus sermones, et viscera stulti velut vas confractum, nec sapientiam continebit : nec indiget mentis inops sapientia; magis enim ducitur insipientia, et ab ore stulti reprobabitur parabola; non enim proferet eam in tempore opportuno[62].» Et : « Est in opportunitate qui multos erudiat, animæ vero suæ inutilis sit[63].» Et : « Est 366 eruditus in sermonibus, qui odiosus sit; non enim data est ei a Domino gratia[64].» Et : « Sapientia humilis exaltabit caput ejus, et in medio magnatum constituit eum[65].» Et : « Beatus vir qui in sapientia morietur, et qui in intellectu suo disseret[67].»

Καὶ ταῦτα μὲν περὶ τῆς ἀληθοῦς σοφίας, καὶ τῶν B ταύτης τροφίμων. Περὶ δὲ τῆς ψευδωνύμου, καὶ τῶν αὐτῆς διδασκάλων, ὡς φησιν ὁ Ἀπόστολος· « Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ τῷ Θεῷ ἐστι. Γέγραπται γάρ· Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν. Καὶ πάλιν· Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι.» Καί· «Φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν.» Καί· «Γέγραπται, Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω. Ποῦ σοφός; ποῦ Γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; Οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ, οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεόν.» Καί· «Βλέπετε, μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας, καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν C τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου.»

Et hæc de vera sapientia, ejusque alumnis. De falsi autem nominis sapientia, ejusque doctoribus dicit Apostolus : « Sapientia hujus mundi est stultitia apud Deum. Scriptum est enim : Comprehendam sapientes in astutia eorum. Iterum : Dominus scit cogitationes sapientum, quoniam vanæ sunt[68].» Et : « Dicentes se esse sapientes, stulti facti sunt[69].» — « Scriptum est : Perdam sapientiam sapientum, et intelligentium intelligentiam abolebo. Ubi sapiens? ubi Scriba? ubi inquisitor hujus sæculi? An non infatuavit Deus sapientiam mundi hujus? quoniam in sapientia Dei non cognovit mundus per sapientiam Deum[69*].» Et : « Videte ne quis vos decipiat per philosophiam, et inanem fallaciam, secundum traditionem hominum, secundum elementa mundi[70].»

Ὡσαύτως γοῦν καὶ ὁ σοφὸς Σολομὼν φησι περὶ αὐτῶν· « Μάταιοι μὲν γὰρ φύσει, οἷς πάρεστι Θεοῦ ἀγνωσία, καὶ ἐκ τῶν ὁρωμένων ἀγαθῶν οὐκ ἴσχυσαν εἰδέναι τὸν ὄντα· οὔτε τοῖς ἔργοις προσέχοντες, ἐπέγνωσαν αὐτὸν τεχνίτην· ἀλλ' ἢ πῦρ, ἢ πνεῦμα, ἢ ταχινὸν ἀέρα, ἢ κύκλον ἄστρων, ἢ βίαιον ὕδωρ, ἢ φωστῆρας οὐρανοῦ, πρυτάνεις κόσμου καὶ θεοὺς ἐνόμισαν. Καὶ γὰρ αὐτοὶ τάχα πλανῶνται Θεὸν ζητοῦντες, καὶ θέλοντες εὑρεῖν. Ἐν γὰρ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν ἀναστρεφόμενοι, διερευνῶσι.»—« Ταλαίπωροι δὲ, καὶ ἐν νεκροῖς αἱ ἐλπίδες αὐτῶν.» Καί· « Σποδὸς ἡ καρδία αὐτῶν, καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς αὐτῶν, καὶ πηλοῦ ἀτιμότερος ὁ βίος αὐτῶν, ὅτι ἠγνόησαν τὸν Ποιήσαντα αὐτούς.»

Similia Salomon : « Vani sunt natura, in quibus non subest scientia Dei, et de his quæ videntur bona, non potuerunt intelligere eum qui est; neque operibus attendentes agnoverunt quis esset artifex; sed aut ignem, aut spiritum, aut citatum aerem, aut gyrum stellarum, aut nimiam aquam, vel luminaria cœli rectores orbis terrarum, et deos putaverunt. Et hi fortasse errant, Deum quærentes, et volentes invenire. Etenim cum in operibus illius conversentur, inquirunt[71],» etc. « Infelices sunt, et inter mortuos spes illorum est[72].» Et : « Cinis cor eorum, spes eorum terra vanior, et vita illorum luto inhonoratior, quia ignoraverunt Conditorem suum[73].»

Βασιλείου ἐκ τοῦ εἰς τὴν ἀρχὴν τῶν Παροιμιῶν.

Οὐ χρὴ τοῖς τυχοῦσι ἑαυτὸν μαθήμασιν ἐπιβάλλειν, ἀλλὰ γνῶναι τὴν χρησιμωτάτην παιδείαν οὐ μικρὰν πρὸς σωτηρίαν. Εἰσὶ γάρ τινες ἢ γεωμετρίᾳ σχολάζοντες, ἣν ἐξεῦρον Αἰγύπτιοι, ἢ ἀστρολογίᾳ, τῇ παρὰ τῶν Χαλδαίων τετιμημένῃ, ἢ ὅλως περὶ

Ex Basilio in initium Proverbiorum.

Non oportet se ad quaslibet conferre disciplinas; sed utilissimam nosse disciplinam non parum facit ad salutem. Nonnulli enim vel geometriæ vacantes, quam invenerunt Ægypti, aut astrologiæ, quæ in honore fuit apud Chaldæos, vel, ut semel dicam,

[62] Eccli. xxi, 17, 21; xx, 22. [63] Eccli. xxxvii, 21. [64] ibid. 24. [65] Eccli. xi, 1. [67] Eccli. xiv, 22. [68] I Cor. iii, 19, 20. [69] Rom. i, 22. [69*] I Cor. i, 19-21. [70] Coloss. ii, 8. [71] Sap. xiii, 1, 2, 6, 7. [72] ibid. 10. [73] Sap. xv, 10, 11.

VARIÆ LECTIONES.

[h] ἀπαιδείας σου ἐντράπηθι. [i] ἀδιεξίταστοι.

circa figuras et umbras, et rerum meteorologicarum contemplatione **367** occupati, divinorum eloquiorum eruditionem neglexerunt. Sed et poetica, et rhetorica, et sophismatum inventio multos occupatos tenuerunt, quorum materia est mendacium. Neque enim poetica consistere potest absque fabula, neque rhetorica absque arte dicendi, neque sophistica absque paralogismis. Quoniam ergo multi propter nimium studium quod in iis ponunt, neglexerunt Dei cognitionem, in rebus vanis scrutandis consenescentes; necessaria est disciplinæ agnitio, ad effugiendam stultam et noxiam sophisticam.

A σχήματα καὶ σκιὰς καὶ μετεωρολογίας ἔχοντες, τῆς ἐκ τῶν θείων λογίων παιδεύσεως ὑπερεῖδον. Ἀλλὰ καὶ ποιητικὴ, καὶ ῥητορικὴ, καὶ ἡ τῶν σοφισμάτων εὕρεσις πολλοὺς ἀπησχόλησεν, τῶν[k] ὕλη καὶ ψεῦδός ἐστιν. Οὔτε γὰρ ποιητικὴ συστῆναι δύναται ἄνευ τοῦ μύθου, οὔτε ῥητορικὴ ἄνευ τῆς ἐν τῷ λέγειν τέχνης, οὔτε σοφιστικὴ ἄνευ τῶν παραλογισμῶν. Ἐπεὶ οὖν πολλὴ περὶ ταῦτα σπουδὴ, τῆς περὶ Θεοῦ γνώσεως κατημέλησαν, ἐν τῇ τῶν ματαίων ἐρεύνῃ καταγηράσαντες, ἀναγκαία ἡ τῆς παιδείας ἐπίγνωσις, πρός γε τὴν ἀποφυγὴν τῆς ἀνοήτου καὶ βλαβερᾶς σοφιστείας.

Ex Theologi oratione in plagam grandinis.

Prima sapientia est, sapientiam in sermone ac dictionum strophis, atque adulterinis et supervacaneis disputationibus aspernari. Mihi autem utinam potius quinque verba cum prudentia eloqui contingat, quam sexcenta in lingua et voce tubæ obscura! Hanc ego sapientiam laudo, hanc amplector, per quam ignobiles gloriam consecuti sunt, et ad quam ii qui nullo in pretio erant cæteris prælati sunt, et cum qua piscatores universum orbem Evangelii vinculis tanquam retibus implicuerunt, ac per consummatum et abbreviatum verbum sapientiam eam quæ destruitur superarunt; neque enim qui in sermone sapiens est, hic mihi sapiens est, nec qui volubilem quidem linguam, imperitum autem animum habet, illis utique sepulcris non absimilis, quæ, cum foris pulchra et decora sint, intus tamen cadaveribus scatent, atque ingentem fetorem tegunt. Verum is demum qui loquitur, pauca de virtute, cæterum per ea quæ agit, multa demonstrat, ac fidem et auctoritatem sermoni suo per vitam conciliat. Præstantior quidem, meo judicio, est pulchritudo illa quæ oculis cernitur, quam quæ sermone pingitur; et divitiæ quas manus tenent, quam quas somnia effingunt; quæ sermone nitet ac splendescit: intellectus enim et sapientia quæ per operam demonstratur, quam bonus omnibus facientibus eum, non autem prædicantibus.

Τοῦ Θεολόγου ἐκ τοῦ εἰς τὴν πληγὴν τῆς χαλάζης.

Σοφία πρώτη, σοφίας ὑπερορᾶν τῆς ἐν λόγῳ κειμένης, καὶ στροφαῖς λέξεων, καὶ ταῖς κιβδήλοις καὶ περιττᾶις ἀντιθέσεσιν. Ἐμοὶ δὲ γένοιτο πέντε λόγους ἐν ἐκκλησίᾳ λαλῆσαι μετὰ συνέσεως, ἢ μυρίους λόγους ἐν γλώσσῃ καὶ φωνῇ σάλπιγγος ἀσήμῳ. Ταύτην ἐπαινῶ τὴν σοφίαν ἐγώ· ταύτην ἀσπάζομαι, δι' ἧς ἀγενεῖς ἐδοξάσθησαν, εἰς ἣν ἐξουδενωμένοι προετιμήθησαν, καὶ μεθ' ἧς τὴν οἰκουμένην ὅλην τοῖς τοῦ Εὐαγγελίου δεσμοῖς ἐσαγήνευσαν· τῷ συντετελεσμένῳ λόγῳ τὴν καταργουμένην σοφίαν νικήσαντες. Οὐδὲ γὰρ ὁ ἐν λόγῳ σοφὸς οὗτος ἐμοὶ σοφός· οὐδ' ὅστις γλῶσσαν μὲν εὔστροφον ἔχει, ψυχὴν δὲ ἀπαίδευτον, ὥσπερ τῶν τάφων, ὅσοι τὰ ἔξωθεν ὄντες εὐπρεπεῖς καὶ ὡραῖοι, μυδῶσι νεκροῖς τὰ ἔνδον, καὶ πολλὴν δυσωδίαν περικαλύπτουσιν. Ἀλλ' ὅστις ὀλίγα μὲν περὶ ἀρετῆς φθέγγεται, πολλὰ δὲ, οἷς ἐνεργεῖ παραδείκνυσι, καὶ τὸ ἀξιόπιστον τῷ λόγῳ διὰ τοῦ βίου προστίθησι. Κρεῖσσον γὰρ ἐμοὶ εὐμορφία θεωρουμένη τῆς λόγῳ ζωγραφουμένης, καὶ πλοῦτον, ὃν αἱ χεῖρες ἔχουσιν, ἢ ὃν ὄνειρα πράττουσι, καὶ σοφία, οὐχ ἡ λόγῳ λαμπρυνομένη, ἀλλ' ἡ διὰ τῶν ἔργων ἐλεγχομένη. Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτὴν, ἀλλ' οὐ τοῖς κηρύττουσιν.

Ejusdem (ex Invectiva prima) in Julianum.

Quid ais? Tuum est Græcari? Quid? Nonne Phœnicum sunt litteræ, vel, ut nonnullis placet, Ægyptiorum, aut his adhuc sapientiorum Hebræorum, qui etiam legem in tabulis a Deo inscriptam esse persuasum habent? Tuum, Attice loqui, numerare et digitis supputare, mensuræ item et pondera? Nonne Eubœorum? Si modo Eubœus erat ille multarum rerum inventor Palamedes, invidiaque ob id appetitus. Tua sunt poemata? Quid? An non potius anus illius quæ, cum quidam concitatiori gressu ex adverso incedens, **368** ipsius humerum concussisset (sic enim narrant), ipsaque postea eum conviciis incesseret, impetus vehementia carmen effudit. Quod cum juveni valde arrisisset, atque accuratius in nu-

Τοῦ αὐτοῦ, ἐκ τοῦ [κατὰ] Ἰουλιανοῦ.

Σὸν, τὸ Ἑλληνίζειν, εἰπέ μοι; Τί δέ; οὐ Φοινίκων τὰ γράμματα, ὡς δέ τινες, τῶν Αἰγυπτίων, ἢ τῶν ἔτι τούτων σοφωτέρων Ἰουδαίων[l]; οἳ καὶ πλαξὶ θεοχαράκτοις ἐγγραφῆναι τὸν νόμον[m] τοῦ Θεοῦ πιστεύουσι; Σὸν, τὸ Ἀττικίζειν; τὸ ἀριθμεῖν δὲ καὶ λογίζεσθαι δακτύλοις μέτρα τε καὶ στάθμας; Οὐκ Εὐβοέων; Εἴπερ Εὐβοεὺς ὁ Παλαμήδης, ὁ πολλῶν εὑρετὴς, καὶ διὰ τοῦτο ἐπίφθονος. Σὰ τὰ ποιήματα; Τί δέ; οὐ τῆς γραὸς μᾶλλον ἐκείνης ἡ τὸν ὦμον σεισθεῖσα παρά τινος συντόνως ἀντιπαριόντος, ὡς λόγος, εἶτ' ἐνυβρίζουσα τῷ σφοδρῷ τῆς ὁρμῆς, ἔπος ἐφθέγγετο, καὶ τοῦτο ἁρέσαν τῷ νεανίᾳ λίαν, καὶ φιλοπονώτερον μετρηθὲν, τὴν θαυμασίαν σου ταύτην ἐδημιούργησας[n] ποίησιν. Αὐτὸ δὲ, πόθεν σοι,

VARIÆ LECTIONES.

[k] ὧν. [l] Ἑβραίων. [m] παρά. [n] ἐδημιουργησε.

τὸ μυεῖσθαι, καὶ μυεῖν, καὶ θρησκεύειν; Οὐ παρὰ Θρᾳκῶν, καὶ ἡ κλῆσις πειθέτω σε. Τὸ θύειν δὲ, οὐ παρὰ Χαλδαίων, ἤτουν [o] Κυπρίων; Τὸ ἀστρονομεῖν δὲ, οὐ Βαβυλωνίων; Τὸ δὲ γεωμετρεῖν, οὐκ Αἰγυπτίων; Τὸ δὲ μαγεύειν, οὐ Περσικόν [p]; Τὴν δὲ ὀνείρων μαντικὴν, τίνων ἢ τολμημήσεων [q] ἀκούεις; Τὴν οἰωνιστικὴν δὲ ποίων [r]; Οὐκ ἄλλων ἢ Φρυγῶν τῶν πρώτων περιεργασμένων ὀρνίθων πτήσεις τε, καὶ κινήματα. Καὶ, ἵνα μὴ μακρολογῶ, πόθεν σοι τὸ καθ' ἕκαστον; οὐχ ἓν ἐξ ἑκάστων; Ὧν ἁπάντων εἰς ταυτὸ συνελθόντων, ἓν δεισιδαιμονίας συνέστη μυστήριον; Τί οὖν δεξόμεθα; Πάντων ἀποχωρησάντων εἰς τοὺς πρώτους εὑρομένους, μηδὲν ἔχειν ὑμέτερον, πλὴν τῆς κακίας, καὶ τῆς περὶ τὸ Θεῖον ταύτης καινοτομίας; Ἡ γὰρ τοῦ Λόγου δύναμις, τοῖς μὲν ἐπιεικέσιν ἀρετῆς ὅπλον, τοῖς δὲ μοχθηροῖς, κέντρον κακίας γίνεται.

meros astrictum fuisset, admirabilem tibi hanc poesim creavit. Hoc ipsum initiari, atque initiare, et deos colere, unde ad te promanavit? Nonne a Thracibus, ut ipsum quoque nomen ostendit? Sacrificare autem, nonne a Chaldæis, aut Cypriis? Astronomia nonne Babyloniorum inventum est? Nonne geometria Ægyptiorum? Nonne magia Persarum? Porro divinatio illa quæ in somnis sita est, a quibus aliis quam a Telmessibus orta est? Augurandi item disciplina a quibus aliis quam a Phrygibus, qui primi avium volatum ac motum curiosius observarunt? Ac, ne sim longior, unde singula habes? Nonne unum ab unoquoque? Quibus omnibus in unum coactis, unum superstitionis mysterium conflatum et constitutum est? Quid igitur omnibus ad primos auctores revocatis nostrum erit, præter malitiam, et circa divinum Numen

novationem? Verbi enim virtus mansuetis et modestis ad virtutem armatura est, improbis vero stimulus ad nequitiam.

Ἐκ τῶν ἀποστολικῶν Διατάξεων.

Τῶν ἐθνικῶν βιβλίων πάντων ἀπέχου. Τί γάρ σοι, καὶ ἀλλοτρίοις λόγοις, ἢ νόμοις, ἢ ψευδοπροφήταις, ἃ καὶ παρατρέπει τῆς πίστεως τοὺς κουφοτέρους; Τί γάρ σοι καὶ λείπει ἐν τῷ νόμῳ τοῦ Θεοῦ, ἵνα ἐπέκεινα [s] τὰ ἐθνόμυθα ὁρμήσῃς; Εἴτε γὰρ ἱστορικὰ θέλεις εἰσέρχεσθαι, ἔχεις τὰς βασιλείας· εἴτε σοφιστικὰ καὶ ποιητικὰ, ἔχεις τοὺς προφήτας, τὸν Ἰὼβ, τὸν παροιμιαστήν· ἐν οἷς πάσης ποιήσεως, καὶ σοφίας πλείονα ἀγχίνοιαν εὑρήσεις· ὅτι Κυρίου τοῦ μόνου σοφοῦ εἰσι φθέγματα. Εἴτε ἀσκητικῶν ὀρέγῃ, ἔχεις τοὺς Ψαλμούς· εἴτε ἀρχαιογονίας, ἔχεις τὴν Γένεσιν· εἴτε νομίμων παραγγελμάτων, τὸν ἔνδοξον Κυρίου τοῦ Θεοῦ νόμον. Πάντων οὖν τῶν ἀλλοτρίων, καὶ διαβολικῶν ἰσχυρῶς ἀπέχου.

Ex Constitutionibus apostolicis.

Ab ethnicis libris omnibus abstine. Quid enim tibi rei est cum libris allenis, aut legibus, aut pseudoprophetis, qui etiam leviores evertunt a fide? Quid enim tibi deest in lege Dei, ut ad illas gentium fabulas te conferas? Nam si velis legere historias, habes libros Regum; ad sapientiam spectantes, vel poeticam, habes prophetas, Job, et Proverbiorum scriptorem, in quibus majorem invenies subtilitatem, solertiam et acumen, quam in quavis alia poesi vel sapientiæ institutione: quoniam Domini, qui solus est sapiens, sunt effata. Si desideres cantica, habes Psalmos; si antiquitatem, habes Genesim; si legitima præcepta, habes illustrem Domini Dei legem. Ab omnibus ergo alienis et diabolicis fortiter abstine.

Εὐσεβίου ἐκ τῆς Ἀρχαιολογίας.

Ἐπειδὴ καὶ Ἕλληνες σοφίαν ἔχειν παραγγέλλονται, αἱρετικοὶ δὲ νομίζουσι παιδείαν ἔχειν, διὰ τοῦτο καὶ Σολομὼν τὴν ἀληθῆ σοφίαν, καὶ παιδείαν διδάσκει, ἵνα μὴ, τῇ ὁμωνυμίᾳ τῆς σοφίας, εἰς τὰ σοφίσματα τῶν Ἑλλήνων καὶ τῶν αἱρέσεών τις ἐμπίπτει. Καὶ γὰρ Ἕλληνες μὲν φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν. Αἱρετικοὶ δὲ, οἰόμενοι παιδεύεσθαι, ἐξεστράφησαν. Τῶν δὲ θείων λογίων ἀκούσας σοφὸς, σοφώτερος ἔσῃ. Τῶν γὰρ νομίμων τοῦ Θεοῦ ἀκούσας, καὶ ταῦτα φυλάξας, ἐπὶ τῇ παιδείᾳ Κυρίου μὴ ὀλιγωρήσας, μηδὲ ἐκλυθεὶς ἐπ' αὐτῇ υἱὸς σοφὸς γενήσεται, καὶ πεπαιδευμένος γενόμενος, ταχέως καὶ τὴν Θεοῦ γνῶσιν εἰσδέξεται. Ἐπεὶ γὰρ Ἑλλήνων οἱ μὲν σῶμα τὸν Θεὸν λέγουσι, οἱ δὲ καὶ εἰδώλοις ὁμοιοῦσιν, αἱρετικοὶ δὲ καὶ αὐτοὶ περὶ αὐτοῦ οὕτως παρεφρόνησαν· διὰ τοῦτο καὶ ἀληθῆ περὶ Θεοῦ γνῶσιν, οὕτως καὶ τὸ προνοητικὸν αὐτοῦ ἐξηγεῖται φάσκων· [t] Ἐν παντὶ τόπῳ οἱ ὀφθαλμοὶ τοῦ Κυρίου σκοπεύ-

Ex Eusebii prisca Historia.

Quoniam Græci quoque se sapientiam habere profitentur, hæretici autem existimant se habere disciplinam, propterea docet Salomon veram sapientiam et disciplinam, ne propter sapientiæ nominis convenientiam (homonymiam, inquam), incidat in sophismata Græcorum et hæresium. Nam Græci quidem sapientes se esse dicentes, stulti facti sunt [74]. Hæretici autem putantes se esse eruditos, a recto tramite aversi sunt. Divinis vero auditis eloquiis, sapiens erit sapientior [75]. Nam cum Dei leges audierit, et eas custodierit, et disciplinam Domini non despexerit, nec ab ea recesserit, filius sapiens fiet, jamque institutus et eruditus, **369** cito etiam suscipiet Dei cognitionem. Quoniam enim ex Græcis alii quidem Deum corpus esse dixerunt, alii autem eum etiam simulacris assimilarunt, hæretici autem ipsi quoque de eo perperam senserunt, propterea veram de Deo cognitio-

[74] Rom. I, 22. [75] Prov. I, 5.

VARIÆ LECTIONES.

[o] Ἴσως ἢ τῶν. [p] Περσικῶν; περσῶν. [q] τελμησίων. [r] τίνων. [s] ἐπ' ἐκεῖνα.

nem, et itidem ejus providentiam exponit Salomon dicens : « In omni loco oculi Domini considerant malos et bonos [76]. » Cæterum de moribus majorem curam gessit, et alia quidem plurima suadens et præcipiens, præcipue autem de disciplinis, nempe quod animum magis affligunt et conterunt quam juvant, dicens : « Ne festina in ore tuo, et cor tuum non properet efferre sermonem a facie Dei, quoniam Deus est in cœlo sursum, et tu in terra deorsum. Propterea sint verba tua pauca ; sunt enim multa verba multiplicantia vanitatem [77]. » Nimium autem studium et discendi desiderium esse noxium, docet his verbis : « Ne sis nimium justus, est etenim justus qui perit in justitia sua [78]. »

Indicat etiam quomodo ex curiositate et nimio studio sapientiam indagare aggressus, in impietatem inciderit, nosque ut attendamus monet ne in illud ipsum barathrum incidamus, dicens : « Ne plus sapias quam necesse est, ne a recta via exorbitans, in impietatem incurras [79]. »

Dicit etiam de lubricitate erga mulieres : « Inveni amariorem supra mortem impudentem mulierem, quæ est captio et sagena cordis [80]. »

Ostendit insuper, humanam naturam non posse consequi accuratam et exactam universorum comprehensionem : « Vidi, inquit, universa opera Dei, et intellexi quod omnium operum Dei homo nullam possit invenire rationem eorum quæ fiunt sub sole. Et quanto plus laboraverit ad quærendum, tanto minus inveniet [81]. » Quare sapere oportet ad sobrietatem, nec nimium indulgere sciendi desiderio.

Maximi ex Asceticis capitibus.

Natura sua pulchra est scientia, sicut sanitas et divitiæ, sed contraria pluribus quam hæc profuerunt. Malis enim non recte cedit scientia, etiamsi sit bona, ut dictum est, natura. Similiter autem neque sanitas, neque divitiæ, neque lætitia, neque gloria. Neque enim iis utiliter utuntur. Unde dicit : « Insipienti non conducunt deliciæ [82]. » Contraria igitur eis eveniunt.

Ex Isidoro.

Quemadmodum tutum non est ut cum viro pugnace iter faciatis qui caret ædibus; **370** ita non est facile cum indocto movere verba doctrinæ : hic enim omnibus viribus utetur contra solum et ab omnibus desertum, si quidquam ei ingratum dictum aut factum fuerit ; ille autem temere cum imperitia ejus verba facit; omnia enim totius orbis testimonia refugit, nempe et sermones philosophicos, et ex virtute actiones. Solet enim magna ex parte audax esse et animosa ignorantia (a qua nos liberari studeamus).

A ουσι κακούς τε καὶ ἀγαθούς. » Ἠλήν οὖς γε [t] τοῦ ἠθικοῦ μᾶλλον ἐπεμελήθη τρόπου, παραινῶν μὲν καὶ ἄλλα πλεῖστα, ἐξαιρετώτερον δὲ περὶ τὰ μαθήματα, ὅτι ἐπιτρίβει τὴν ψυχὴν μᾶλλον, ἢ ὠφελεῖ, φάσκων· « Μὴ σπεῦδε ἐπὶ στόματί σου, καὶ καρδία σου μὴ ταχυνάτω τοῦ ἐξενεγκεῖν λόγον ἀπὸ προσώπου τοῦ Θεοῦ, ὅτι ὁ Θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ σὺ ἐν τῇ γῇ κάτω. Διὰ τοῦτο ἔστωσαν οἱ λόγοι σου ὀλίγοι· εἰσὶ γὰρ λόγοι πολλοὶ πληθύνοντες ματαιότητα. » Καὶ ὅτι ἡ ἄγαν σπουδὴ καὶ φιλομαθία ἐπιβλαβὴς γίνεται, διδάσκει λέγων· « Μὴ γίνου δίκαιος πολύ· ἔστι γὰρ ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ. »

Ἐπισημαίνεται δὲ τίνα τρόπον εἰς περιουσίας B ἐπιχειρίσας φείσασθαι [u] ἐπὶ τὴν ἀσέβειαν ἐξώκειλεν· καὶ ἐφίστησιν ἡμᾶς προσέχειν, ὅπως μὴ τῷ αὐτῷ ὑποπέσωμεν, λέγων· « Μὴ σοφίζου περισσά, μή ποτε ἐκκλίνας, ἀσεβήσῃς. »

Λέγει δὲ καὶ περὶ τοῦ ὀλίσθου τοῦ πρὸς γυναῖκας· « Εὗρον πικρότερον ὑπὲρ τὸν θάνατον τὴν γυναῖκα, ἥτις ἐστὶ θήρευμα καὶ σαγήνη καρδίας. »

Καὶ τὸ ἀνέφικτον δὲ τῇ ἀνθρωπίνῃ φύσει τῆς τῶν ὅλων ἀληθοῦς καταλήψεως παρίστησι, λέγων· « Ἶδον σύμπαντα τὰ ποιήματα τοῦ Θεοῦ, ὅτι οὐ δυνήσεται ἄνθρωπος εὑρεῖν σὺν τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον. Ὅσα ἂν μοχθήσῃ ἄνθρωπος τοῦ ζητῆσαι, καὶ οὐχ εὑρήσει. » Ὅπερ νηστεύειν προσῆκεν, ἀλλ' οὐχ ἑορτάζειν.

Maξίμου ἐκ τῶν Ἀσκητικῶν κεφαλαίων.

Καλὴ δέ ἐστιν ἡ ἀνάγνωσις φύσει, ὥσπερ καὶ ὑγεία, καὶ πλοῦτος, ἀλλὰ τἀναντία τοὺς πολλούς, ἢ τοιαῦτα ὤνησε. Τοῖς γὰρ φαύλοις ἡ γνῶσις οὐκ εἰς καλὸν συμβαίνει, εἰ καὶ φύσει, ὡς εἴρηται, ἐστὶ καλή, ὅμως δὲ, οὔτε ὑγεία, οὔτε πλοῦτος, οὔτε χαρὰ καὶ δόξα. Οὐ γὰρ συμφερόντως τούτοις κέχρηνται. Ὅθεν φησίν· « Οὐ συμφέρει ἄφρονι τρυφή. » Ἆρα οὖν τἀναντία τούτοις συμβαίνει.

Ἰσιδώρου ἐκ τῶν Ἀποστολικῶν.

Ὥσπερ δὲ οὐκ ἀσφαλὲς μετὰ μαχίμου διοδεύειν ἀοίκητον, οὕτως οὐκ εὐχερὲς πρὸς ἀμαθῆ λόγους D κινῆσαι παιδεύσεως· ὁ μὲν γὰρ πάσῃ δυνάμει χρήσεται ἐπ' ἐρήμῳ, εἴ τι τῶν οὐκ αὐτῷ φίλων λεχθείη, ἢ πραχθείη· ὁ δὲ εἰκῇ πάντα λέγει πρὸς τὴν αὐτοῦ ἀπαιδευσίαν· πάντα γὰρ ἐκκλίνει τῆς οἰκουμένης, καὶ λόγους φιλοσόφους, καὶ ἀνδρείας φιλαρέτους. Φιλεῖ γὰρ, ὡς τὰ πολλὰ, ἀνδρίζεσθαι ἡ ἀλογία (ἧς ἐλευθερωθῆναι σπουδάσωμεν).

[76] Prov. xv, 3. [77] Eccle. v, 1, 2. [78] Eccle. vii, 16, 17. [79] ibid. et Rom. xii, 3. [80] Eccle. vii, 27. [81] Eccles. viii. 17. [82] Prov. xvii, 16.

VARIÆ LECTIONES.

[t] πλήν γε. [u] σοφίσασθαι.

ΕΡΩΤΗΣΙΣ ΞϚ'.

Πῶς νοητέον τό· « Εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν ; »

ΑΠΟΚΡΙΣΙΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

Οὐ τῶν μελῶν τὴν ἐκκοπὴν[v] λέγει, ἄπαγε! ἀλλὰ τῶν πονηρῶν λογισμῶν τὴν ἀναίρεσιν· ὡς ὅγε τὸ μέλος ἐκκόπτων, ἀρᾶς ἐστιν ὑπεύθυνος, καθώς φησι ὁ Ἀπόστολος· « Ὤφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς ![1] » Καὶ γὰρ τὰ τῶν ἀνδροφόνων ὁ τοιοῦτος τολμᾷ, καὶ τοῖς διαβάλλουσι τοῦ Θεοῦ τὴν δημιουργίαν δίδωσιν ἀφορμὴν, καὶ τῶν Μανιχαίων ἀνοίγει τὰ στόματα, καὶ τοῖς παρ' Ἕλλησιν ἀκροτηριαζομένοις, τὰ αὐτὰ παρανομεῖ. Τὸ γὰρ ἀποκόπτειν τὰ μέλη δαιμονικῆς συνεργείας, καὶ Σατανικῆς ἐπιβουλῆς ἐξ ἀρχῆς γέγονεν ἔργον, ἵνα τὸ τοῦ Θεοῦ ἔργον διαβάλωσι, καὶ τὸ ζῶον τοῦτο λυμήνωνται· ἵνα μὴ τῇ προαιρέσει, ἀλλὰ τῇ τῶν μελῶν φύσει τὸ πᾶν λογισάμενοι, ἀδεῶς λοιπὸν ἁμαρτάνωσιν οἱ δείλαιοι, ὡς ἀνεύθυνοι. Ταῦτα δὲ ὁ διάβολος ἐνομοθέτησεν, ἵνα καὶ τὸ περὶ εἱμαρμένης εἰσαγάγῃ, καὶ τὴν παρὰ Θεοῦ δοθεῖσαν ἡμῖν ἐλευθερίαν λυμήνηται, καὶ πείσῃ, φυσικὰ εἶναι τὰ κακά. Καὶ πρὸς ἐπὶ[x] τούτοις μᾶλλον διαφθείρει τὴν φύσιν, καὶ τὴν γνώμην τῶν τοιούτων. Ταῦτα γὰρ τοῦ διαβόλου τὰ δηλητήρια. Καὶ διὰ τοῦτο παρακαλῶ, φεύγειν τὴν τοιαύτην παρανομίαν· μετὰ γὰρ τὸ ἐκτεμεῖν τὸ μέλος, οὐδὲ τὰ τῆς ἐπιθυμίας ἡμερώτερα ἐντεῦθεν, οὔτε τὰ τῆς γνώμης, ἀλλὰ καὶ χαλεπώτερα γίνεται. Οὐκοῦν εὐχαρίστει τῷ Θεῷ σὺ, ὅτι μετὰ μισθοῦ καὶ στεφάνων τοῦτο ὑπομένεις, ὃ χωρὶς στεφάνων ἐκεῖνοι, οἱ ἐξ ἀνθρώπων εὐνουχισθέντες, καὶ μηδὲ τὴν ἐπιθυμίαν οὕτω κυμαινομένην, καὶ λυσσῶσαν ἔσχον, καὶ παῤῥάζουσαν[y].

QUÆSTIO LXVI.

Quomodo intelligendum illud : « Sunt ennuchi qui se castraverunt propter regnum Dei [85] ? »

RESPONSIO CHRYSOSTOMI.

Non membrorum dicit abscissionem, absit ! sed malarum cogitationum ablationem ; nam qui membrum quidem abscindit, est obnoxius exsecrationi, sicut dicit Paulus : « Utinam abscindantur, qui vos conturbant [84] ! » Is enim ea audet quæ sunt homicidarum, et dat maledicendi materiam et occasionem iis qui calumniantur Dei creationem, et ora aperit Manichæorum, et eodem scelere se obstringit quo illi qui apud Græcos membra detruncant. Membra enim exscindere fuit ab initio opus dæmoniacæ operationis, et insidiarum Satanæ, ut Dei opus criminaretur ; hocque animal mutilaretur ut non libero arbitrio, sed membrorum naturæ totum tribuentes, de cætero secure peccarent miseri, ut qui reddendæ rationi non essent obnoxii. Hoc autem excogitavit diabolus, ut et fatum introduceret, et nobis a Deo datam libertatem tolleret, et naturalia esse mala persuaderet, et eorum præterea naturam corrumperet et mentem. Talia sunt diaboli blandimenta venenifera. Propterea rogo vos ut hoc scelus fugiatis ; nam postquam membra exsciderint, neque cupiditas, neque mens est ex eo pacatior, sed fit etiam gravior et molestior. Tu ergo Deo age gratias quod cum mercede et coronis tu illa sustines quæ sustinent absque coronis ii qui sunt castrati ab hominibus.

Ἐπιφανίου, ἐκ τοῦ κατὰ Οὐαλησίων[z] τῶν ἑαυτοὺς εὐνουχιζόντων.

Ὅσοι δὲ εἰς τὸ πρόχειρον τοῦτο ἔργον εὔτολμοι, ἀπὸ πάντων ἑαυτοὺς ἠθέτησάν τε, καὶ ἠλλοτρίωσαν· οὔτε γὰρ ἔτι ἄνδρες εἰσὶ, διὰ τὸ ἀφῃρημένον, οὔτε γυναῖκες, διὰ τὸ παρὰ φύσιν· προῦλαβε δὲ καὶ ἡ τοῦ στεφάνου τοῦ ἀγῶνος, καὶ βραβείου τούτου ἐπωνυμία· οὐδ' ὁπότεροι γὰρ φανήσονται οὗτοι τῶν τριῶν τάξεων τῶν ὑπὸ τοῦ Κυρίου εἰρημένων εὐνούχων. « Εἰσὶ γὰρ, φησὶν, εὐνοῦχοι, οἳ ἐκ κοιλίας μητρὸς αὐτῶν οὕτως ἐγεννήθησαν. » Ἐκεῖνοι γὰρ ἀναίτιοί εἰσι τῆς τοιαύτης εὐνουχίας, καὶ οὔτε μισθὸν ἔχοντες διὰ τὸ οὕτως γεγενῆσθαι. Οὔτε πάλιν ἁμαρτίαν, μὴ δυνάμενοι πράττειν τὰ τῶν ἀνδρῶν, ὑστερημένοι τὰ ἐκ Θεοῦ παιδοποιὰ μόρια. Εἰ δὲ καὶ ἐπιθυμιῶν μεμύηνται οἱ τοιοῦτοι, μὴ δυνάμενοι πράττειν ὃ μὴ δεῖ πράττειν, καὶ μὴ πράττοντες, μισθὸν οὐκ ἔχουσι. Οὐ γὰρ διὰ τὸ μὴ βούλεσθαι οὐ πράττουσιν, ἀλλὰ διὰ τὸ μὴ δύνασθαι, καὶ αὕτη μὲν ἡ πρώτη ἀγωγὴ τῆς ὑπὸ Κυρίου εἰρημένης εὐνουχίας.

Ex sancto Epiphanio contra Valesios, qui seipsos castrabant.

Qui ad hoc opus quod est in promptu sunt audaces, hi se ab omnibus resciderunt et abalienarunt : neque enim sunt amplius viri propter id quod ablatum **371** est, neque mulieres, quia id præter naturam est ; sed et coronæ certaminis ac præmii hujus cognomen anteverterant ; neque possunt esse ex tribus illis ordinibus eunuchorum quos nominavit Dominus. « Sunt, inquit, eunuchi, qui sic nati sunt ex utero matris [85]. » Isti suæ castrationis culpam nullam sustinent, neque ullam accipiunt mercedem, propterea quod sic nati sunt. Neque rursus habent peccatum, ut qui non possint agere quæ sunt virorum, privati iis instrumentis quæ Deus dedit ad procreandos liberos. Sed neque mercedem habent castrationis regnum cœlorum, propterea quod certamini non sunt initiati. Quod si tamen etiam concupiscentiis confligentur, cum non possint agere quæ non sunt agenda, et non agant, mercedem non habent. Non enim non agunt propterea quod nolint, sed propterea quod non possint. Atque hic est primus ordo eunuchorum quos Dominus nominavit.

[84] Matth. XIX, 12. [84] Galat. V. 12. [85] Matth. XIX. 12.

VARIÆ LECTIONES.

[v] ἐντομήν. [x] f. redundat. [y] Hæc non sunt in Herveti versione. [z] Οὐαλησίων.

« Et sunt, inquit, eunuchi qui castrati sunt ab hominibus [86]. » Nempe qui castrati sunt ab hominibus ad usum regum aut principum. Quidam enim barbari reges aut principes, propter zelotypiam et suspiciones erga suas uxores, pueros adhuc valde teneros castrant; ut cum ad virilem ætatem pervenerint, eorum fidei suas committant uxores. Et hæc hujus castrationis origo fuit et causa. Unde arbitror forte appellari eunuchos ex eo quod bonæ mentis aut benevoli esse possint, ablatis membris.

« Et sunt, inquit, eunuchi qui se castraverunt propter regnum Dei [87]. » Hi sunt præclari apostoli, et qui deinceps fuerunt virgines et monachi : Joannes quidem et Jacobus filii Zebedæi, qui manserunt in virginitate, et neque ab hominibus sunt castrati, neque conjuncti matrimonio, sed adversus carnem mirabili peracto certamine, hujus castrationis gloriam et coronam retulerunt. Post istos quot millia in mundo monasticam vitam agentia, et virginitatem exercentia, eamdem acceperunt mercedem ! qui quidem cum mulierum corporibus non sunt commisti, sed in perfectissimo certamine decertarunt, sicut Elias et Daniel in veteri testamento, et alii multi.

Sed sciendum est quod, præter nefarium pessimæ castrationis scelus quo se obstringunt tam qui castrant quam qui castrantur miseri, nullam habituri sint mercedem aut gratiam, eo quod ab usu venereo abstineant; quin ambo unum idemque judicium subibunt, ille quidem, ut qui seipsum damno affecerit : hic, ut **372** qui proximum corruperit; suntque divini operis et suæ animæ insidiatores. Quinetiam talis eunuchus vehementiore libidinis æstu inflammabitur, et præterea evertetur natura et mente. Nam Sapiens quoque judicat talem a pravis desideriis non abstinere, sed non posse ad rem conferre. Dicit enim : « Cupiditas eunuchi devirginans adolescentulam, est sicut bona affusa ori clauso, aut esca apposita sepulcro, aut libatio facta idolo. Neque enim comedit, neque odoratur; sic eunuchus amplectens virginem, et suspirans [88]. » Salomon autem, reprimens eorum turpitudinem, dicit : « Beatus eunuchus qui non operatur in manu scelus, neque cogitat mala adversus Dominum [89]. » Iniqua ergo et dæmoniaca est ejusmodi operatio et consuetudo, et lege Dei rejicienda, et ei adversa : legem enim ferens dicebat Dominus : « Non intrabit, qui est fractis testiculis, aut qui est excisus, in ecclesiam, ad tertiam aut quartam generationem [90]; » et dans præceptum de sacrificiis dicit : « Eum cui contusi sunt testiculi, aut qui est exsectus, ad altare non adducetis Domino, quoniam eis inest macula, et non admittetur [91]. »

A « Καὶ εἰσὶ, φησὶν, εὐνοῦχοι, οἱ ὑπὸ τῶν ἀνθρώπων εὐνουχίσθησαν. » Οἱ γὰρ ὑπὸ τῶν ἀνθρώπων εὐνουχισθέντες ἕνεκα χρήσεως βασιλικῆς, ἢ ἀρχοντικῆς. Βουλόμενοι γάρ τινες τῶν βαρβάρων βασιλεῖς, καὶ ἄρχοντες ζηλοτυπίας χάριν, καὶ ὑπονοίας τῆς πρὸς τὰς ἰδίας γαμετὰς, ἔτι κομιδῇ νέους τοὺς παῖδας εὐνουχίζουσι, πρὸς τὸ ἀνδρυνθέντας πιστεύεσθαι τὰς γαμετάς. Καὶ οὕτως ἐν τῷ κόσμῳ γέγονεν ἡ περὶ τούτου αἰτία. Ὅθεν εὐνοῦχον ἐτυμολογεῖσθαι, ὡς οἶμαι, ἀπὸ τοῦ εὐνοεῖν δύνασθαι ἀφῃρημένων τῶν μελῶν.

« Καὶ εἰσὶ, φησὶ, εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. » Οὗτοι δέ εἰσιν οἱ γενναῖοι ἀπόστολοι, καὶ οἱ καθεξῆς παρθένοι, καὶ μονάζοντες. Ἰωάννης μὲν γὰρ, καὶ Ἰάκωβος, B υἱοὶ Ζεβεδαίου μείναντες ἐν τῇ παρθενίᾳ, καὶ μήτε ὑπ' ἀνθρώπων εὐνουχισθέντες, μήτε μὴν συναφθέντες γάμῳ, ἀλλὰ κατὰ τῆς σαρκὸς ἀγωνισάμενοι, θαυμασίως τὸ κλέος τῆς εὐνουχίας ταύτης, καὶ τῶν στεφάνων ἐπηνέγκαντο. Μετ' αὐτοὺς δὲ ὅσοι μυριάδων ἐν τῷ κόσμῳ παρθενεύοντες, καὶ μονάζοντες, τὸν αὐτὸν μισθὸν ἐκληρώσαντο· οἵτινες σώμασι γυναικῶν οὐκ ἐμίγησαν, ἀλλ' ἤθλησαν ἀγῶνι τελειοτάτῳ, ὡς καὶ ὁ Ἠλίας, καὶ Δανιὴλ ἐν τῇ παλαιᾷ, καὶ ἄλλοι πολλοί.

Πλὴν ὅτι καὶ τὸ ἀθέμιτον τῆς κακίστης εὐνουχίας ἐργάζονται οἱ ταλαίπωροι, καὶ οὐδένα μισθὸν ἢ χάριν ἔχουσι, διὰ τὴν ἀποχὴν τῆς τοσαύτης χρήσεως· ἐν δὲ καὶ τὸ αὐτὸ κριθήσονται ἀμφότεροι, ὁ μὲν, ὡς ἑαυτὸν λυμαινόμενος· ὁ δὲ ὡς τὸν πλησίον C διαφθείρων. Ἐπίβουλοι γὰρ τῆς τοῦ Θεοῦ δημιουργίας, καὶ τῆς ἑαυτῆς ψυχῆς ἀπεδείχθησαν. Ἐπιθυμίᾳ δὲ περισσοτέρᾳ ὁ τοιοῦτος ἐνεχθήσεται, καὶ τὴν φύσιν, καὶ τὴν γνώμην, πρὸς τούτοις παρατραπήσεται. Καὶ γὰρ ἄγεται παρὰ τῷ Σοφῷ, οὐκ ἀπεχόμενος τῆς ἐπιθυμίας, ἀλλὰ μὴ δυνάμενος αὐτὴν ἐκτελέσαι. Φησὶ γάρ· « Ἐπιθυμία εὐνούχου ἀποπαρθενῶσαι νεάνιδα, καὶ ὥσπερ ἀγαθὰ ἐκκεχυμένα ἐπὶ στόματι κεκλεισμένῳ, ἢ ἐδέσματα βρωμάτων παρακείμενα ἐπὶ τάφῳ, ἢ κάρπωσις εἰδώλῳ· οὔτε γὰρ ἔδεται, οὔτε ὀσφραίνεται· οὕτως εὐνοῦχος περιλαμβάνων παρθένον, καὶ στενάζων. » Ὁ δὲ Σολομὼν, ἀναστέλλων αὐτῶν τὴν αἰσχρουργίαν φησί· « Μακάριος εὐνοῦχος, ὁ μὴ ἐργασάμενος ἐν χειρὶ ἀνόμημα, D μηδὲ ἐνθυμηθεὶς κατὰ τοῦ Κυρίου πονηρά. » Παράνομος τοίνυν, καὶ δαιμονιώδης ἡ τοιαύτη ἐργασία, καὶ νομοθεσία, καὶ τῷ νόμῳ τοῦ Θεοῦ ἀπόβλητος, καὶ ἀντίθετος. Καὶ γὰρ νομοθετῶν ὁ Θεὸς, Ἔλεγεν· « Οὐκ εἰσελεύσεται θλασίας καὶ ἀποκεκομμένος εἰς οἶκον [a] Κυρίου, ἐπὶ τρίτην, καὶ τετάρτην γενεάν. » Καὶ πάλιν περὶ θυσιῶν ἐντελλόμενος, φησί· « Θλασίαν, καὶ ἐκτομίαν εἰς θυσιαστήριον οὐ προσάξετε Κυρίῳ, ὅτι μῶμος ἐν αὐτοῖς, καὶ οὐ δεχθήσονται. »

[86] Matth. XIX, 12. [87] ibid. [88] Eccli. XX, 2; XXX, 18, 19, 21. [89] Sap. III, 14. [90] Deut. XXIII, 1. [91] Levit. XXII, 24.

VARIÆ LECTIONES.

[a] ἐκκλησίαν.

Τοῦ Θεολόγου.

Τοὺς ἐν γυναιξὶν ἄνδρας, καὶ ἐν ἀνδράσι γυναῖκας, οἱ τὸ φυσικῶς ἀσελγαίνειν μὴ ἔχοντες, ὃ δύνανται τῇ γλώσσῃ πορνεύουσιν.

Ἰσιδώρου.

Θηρῶσι γὰρ διὰ τοῦ καλλωπισμοῦ, οἱ μὲν ἄνδρες, τὰς γυναῖκας, αἱ δὲ γυναῖκες, καὶ οἱ ἀνδρόγυνοι, τοὺς ἄνδρας.

Τοῦ ἁγίου Βασιλείου.

Ἐπήγειρας ἡμῖν σαύρας τε καὶ φρύνους, ἐαρινὰ δῆθεν θηρία, πλὴν ὅμως ἀκάθαρτα. Εἰ δὲ καὶ μαρτύρων χρεία, οὐ δοῦλοι στήσονται, οὐδὲ εὐνοῦχοι, γένος ἄτιμον, πανόλεθρον, τοῦτο δὴ τοῦτο ἄθηλυ, ἀνανδρον, γυναικομανὲς, ἐπίζηλον, κακόμισθον, εὐμετάβλητον, ἀμετάδοτον, πανδόχον, ἀπροσκορὲς, κλαυσίδειπνον, ὀξύθυμον, χρυσομανὲς, ἀπηνὲς, θηλυδριώδη, γαστρίδουλον, (καὶ τί γὰρ εἰπεῖν ἕτερον;) σὺν αὐτῇ τῇ γενέσει σιδηροκατάδικον. Πῶς γὰρ τούτων ὀρθὴ ἡ γνώμη, ὧν καὶ οἱ πόδες στρεβλοί; οὗτοι μὲν οὖν σωφρονεῖν· ἄμισθα διὰ σιδήρου, μαίνονται δὲ ἀχαρπίᾳ, δι' οἰκείαν αἰσχρότητα. Οὐχ οὗτοι στήσονται τῆς κρίσεως μάρτυρες, ἀλλ' ὀφθαλμὸς δικαίων, καὶ ὄψις ἀνδρῶν.

A *Ex Theologi oratione funèbri in sanctum Basilium.*

Sunt viri inter mulieres, et mulieres inter viros, qui, cum more naturali non possint libidinari, lingua scortantur.

Ex Isidoro.

Venantur et alliciunt per fucum et ornatus elegantiam, viri quidem, mulieres: mulieres autem et androgyni, viros.

Ex sancto Basilio.

Excitasti nobis lacertos et rubetas, verna animantia, sed tamen immunda. Quod si etiam opus est testibus, non stabunt ad testimonium dicendum servi, neque genus eunuchorum infame et perniciosum: hoc, inquam, genus non femineum, B sed effeminatum, in mulieres insaniens, invidum, mala mercede conductum, mutabile, incommunicabile, omnia accipiens, insatiabile, cœnam deplorans, iracundum, insano auri amore laborans, sævum, muliebre, ventri serviens (et quid opus est aliud dicere?), cum ipso ortu ad ferrum damnatum. Quomodo enim potest mens eorum esse recta, quorum contorti sunt pedes? Isti ergo sine mercede quidem sunt moderati et temperantes per ferrum, sterilitas autem ad insaniam illos adigit propter propriam turpitudinem. Non dicent isti testimonium in judicio, sed oculus justorum, et aspectus virorum.

Τοῦ αὐτοῦ ἐκ τοῦ Περὶ παρθενίας.

Ὁ μὲν οὖν ἐκ κοιλίας μητρὸς εὐνοῦχος, φύσει σώφρων ὑπάρχει, οὐδὲν ἴδιον ἔργον ἐν τῷ τῆς παρθενίας κάλλει ἐπιδείξασθαι ἔχει, ὥσπερ φύσεως C πλεονεκτήματι, καὶ οὐχὶ τῇ πρὸς παρθενίαν διαθέσει τὸν γάμον ἀποστραφείς· ὥσπερ δὴ καὶ παρὰ ἀνθρώπων εὐνουχισθείς, τὴν παρθενίαν ἀσκεῖν βιαζόμενος, οὐκ ἴδιον κατόρθωμα τῆς παρθενίας, ἀλλὰ τῆς εὐνουχίας ἐξαίρετον ἔργον. Ὁ δὲ, διὰ τῆς ἐγκρατείας τε καὶ ἀσκήσεως, τὸ τῆς παρθενίας κάλλος ποιούμενος, ἰδίοις, καὶ οὐκ ἀλλοτρίοις κατορθώμασιν ἐν τῇ βασιλείᾳ σεμνύνεται. Οἱ δὲ μὴ νοήσαντες τό· « Καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, » ἑαυτοὺς παρανόμως ἠκρωτηρίασαν, αὐτῷ τῷ ἔργῳ ἀκολασίαν μακρόθεν κατηγοροῦντες· οἱ γὰρ τὸ ὅπλον τοῦ σαρκικοῦ ἔρωτος, ἵνα μὴ παρὸν ἐνεργῇ, ἀποῤῥίψαντες, δῆλοί εἰσιν, ὅτι ὁρμῶσι μὲν πρὸς τὴν μίξιν· ἀφοπλίσαντες δὲ ἑαυτοὺς, οὐ τοῦ μὴ βούλεσθαι, ἀλλὰ τοῦ μὴ δύνασθαι, D παρθενεύουσι. Βοᾷ γὰρ κατὰ τῆς ἀκρασίας αὐτῶν πόῤῥωθεν τὸ ἐπιχείρημα· διότι, μετὰ τὴν τομὴν, ἀκολαστότεροι μᾶλλον, καὶ δοῦλοι τῆς ἡδονῆς γίνονται, ἀλλ' ἀποκόψαντες ἀτόπως τὸν ἔλεγχον τῆς ἐνεργείας, ἐλευθεριάζουσιν ἀκρατῶς πρὸς τὰς μίξεις· οἵτινες, κἂν τὴν φθορὰν μὴ ἐργάσωνται εἰς πλείους· πλὴν, ὡς φθείραντες, κρίνονται. Οὐ γὰρ τὸ ἔργον, ἀλλὰ τὴν βούλησιν ὁ νόμος κρίνει.

Οὐκοῦν οὐδὲ τούτοις ἀδιαφόρως συναγελάζεσθαι τὴν παρθένον προσήκει, διότι παρὰ πάντων ἡ ἀκολασία κατ' αὐτῆς [b] ἀποφέρεται, καὶ διέφθαρται.

373 *Ex eodem De virginitate:*

Quam ob causam, cum fornicatio majus judicium habeat quam hæreticorum blasphemia, conversis ad pœnitentiam utrisque, Ecclesia hæreticum statim in communionem recipit, fornicatorem vero aliquandiu a cœtu fidelium segregat?

RESPONSIO.

Quia alterum peccatum est voluntarium; alterum per ignorantiam. Ad hæc, ut hæretici alacrius ad conversionem accingantur, fornicatores autem segniores ad flagitium reddantur.

ΕΡΩΤΗΣΙΣ ΠΕ'.

Τίνος χάριν, μεῖζον τῆς πορνείας (62) ἐχούσης κρῖμα τῆς τῶν αἱρετικῶν βλασφημίας, ἐπιστρεφέντων εἰς μετάνοιαν ἀμφοτέρων, τὸν μὲν αἱρετικὸν εὐθέως δέχεται ἡ Ἐκκλησία εἰς κοινωνίαν, τὸν δὲ πόρνον ἀφορίζει τῆς Ἐκκλησίας ἐπὶ χρόνον;

ΑΠΟΚΡΙΣΙΣ.

Ἐπειδὴ τὸ μὲν ἑκούσιόν ἐστι, τὸ δὲ τοῦ αἱρετικοῦ κατὰ ἄγνοιαν. Λοιπὸν δὲ, ἵνα καὶ τοὺς αἱρετικοὺς προθυμοτέρους εἰς ἐπιστροφὴν ποιήσηται· τοὺς δὲ πόρνους ὀκνηροτέρους πρὸς τὴν ἁμαρτίαν.

QUÆSTIO LXXXVI.

Cur hæreticos ad catholicam Ecclesiam regressos non rebaptizamus?

C

RESPONSIO.

Si hoc consuetudine receptum esset, non facile quis ab hæresi pedem referret, anabaptismi formidine. Cæterum etiam per impositionem manuum **385** sacerdotalium, precibus adjunctis, Spiritum sanctum descendere notum est, et pro testimonio sunt apostolorum Acta.

ΕΡΩΤΗΣΙΣ ΠϚ'.

Διὰ τί ἐπιστρέφοντας τοὺς αἱρετικοὺς ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ οὐκ ἀναβαπτίζομεν αὐτούς;

ΑΠΟΚΡΙΣΙΣ.

Ἐὰν τοῦτο ἐγένετο, οὐ ταχέως ἄνθρωπος ἐξ αἱρέσεως ἐπεστρέφετο, τὸ ἀναβαπτισθῆναι αἰσχυνόμενος. Πλὴν καὶ δι' ἐπιθέσεως τῶν χειρῶν τοῦ ἱερέως δι' εὐχῆς οἶδεν ἐπιφοιτᾷν τὸ Πνεῦμα τὸ ἅγιον, καθὰ μαρτυροῦσιν αἱ Πράξεις τῶν ἀποστόλων.

QUÆSTIO LXXXVII.

Celebris et ferme in toto mundo pervulgata quæstio est, num dies sit prior nocte, an, vice versa, nox prior die?

RESPONSIO.

Spectando creationem mundi prout a Moyse descripta est, fieri non potest ut quis noctem priorem die statuat. Nam prima die Deus veræ lucis naturam condidit, et postmodum facta est vespera, occidente luce. « Et facta est nox, et factum est mane, dies unus [65]. » At vero nova creatura, ut Apostolus appellat [66], Christi nimirum Ecclesia, Mosaicis decretis non amplius subjacet. Verum

ΕΡΩΤΗΣΙΣ ΠΖ'.

Πολυθρύλλητος ζήτησίς ἐστι σχεδὸν ἐν ὅλῳ τῷ κόσμῳ, εἰ ἡμέρα πρετερεύει τῆς νυκτός, ἢ τὸ ἔμπαλιν ἡ νὺξ προτάττεται τῆς ἡμέρας;

ΑΠΟΚΡΙΣΙΣ.

D Κατὰ μὲν τὴν Μωσαϊκὴν τοῦ κόσμου κοσμοποιΐαν, ἀδύνατόν ἐστι εἰπεῖν, τὴν νύκτα προτερεύειν τῆς ἡμέρας, Πρώτῃ γὰρ τοῦ ἀληθινοῦ φωτὸς φύσιν ἐδημιούργησε, καὶ λοιπὸν ἐγένετο ἑσπέρα δύσαντος τοῦ φωτός. « Καὶ ἐγένετο νὺξ, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία. » Ἐπειδὴ δὲ ἦτις ἐν Χριστῷ καινὴ κτίσις, ὥς φησιν ὁ Ἀπόστολος, οὐκ ἔτι ἡ Χριστοῦ Ἐκκλησία τῇ Μωσαϊκῇ ἐπιστήμῃ ἀκολουθεῖ. Ἐπεὶ

[65] Gen. I, 5. [66] II Cor. v, 17; Galat. VI, 15.

VARIÆ LECTIONES.

[a] κεῖρα Hesychio γενεὰ ἢ ἡλικία, generatio vel ætas. [a] f. melius ἡ Χριστοῦ Ἐκκλησία οὐκ ἔτι.

NOTÆ.

(62) Ἐχούσης, non ad vocem πορνείας referendum, sed βλασφημίας. (ALEMANN.)

εὑρεθήσεται ὁ Χριστὸς Σαββάτῳ ἀναστὰς ἐκ νεκρῶν, τοῦτ' ἔστι μετὰ τὸ Σάββατον· διὸ ᾠκονόμησε, καὶ προσέταξεν ὁ Θεὸς καὶ Ἰουδαίους ἀπὸ ἑσπέρας ἄρχεσθαι τοῦ Σαββάτου, τοῦτ' ἔστιν, ἀπὸ ἡλίου δυσμῶν τῆς Παρασκευῆς, ἵνα μὴ ἔχωσιν εὔλογον πρόφασιν ἀφ' ἡμῶν ἀρχομένων ἀπὸ ἑσπέρας τοῦ Σαββάτου τῆς Κυριακῆς. Τοῦτο δὲ πεποίηκεν ὁ Θεὸς, ἵνα μάθῃς, ὅτι ἀπὸ σκότους εἰς φῶς ἤλθομεν. Διὰ τοῦτο ἀπὸ σκότους μὲν ἀρχόμεθα, εἰς φῶς δὲ καταπαύομεν τῆς ἡμέρας.

A quia Christus sabbato, hoc est, post sabbatum resurrexit ex mortuis, idcirco Deus lege lata Judæis præcepit sabbatum a vespera inchoare, hoc est, a solis occasu Parasceves, ne probabilem adversus nos prætextum haberent, qui Dominicam a vespera Sabbati auspicamur. Hoc vero fecit Deus ut discas nos ex tenebris in lucem migrasse. Eapropter a tenebris quidem incipimus, sed in lucem diei desinimus.

ΕΡΩΤΗΣΙΣ ΠΗ'.

Ἔστι καὶ ἕτερον μετὰ τοῦτο παγκόσμιον ζήτημα, τοῦτ' ἔστιν, εἰ ἔχει ὅρον ἡ ζωὴ τοῦ ἀνθρώπου, ἢ οὔ; οἱ μὲν γάρ φασιν, ἔχειν· οἱ δὲ, μὴ ἔχειν.

QUÆSTIO LXXXVIII.

Est et aliud pervulgatum quæsitum, num vita hominis habeat terminum, an non (63)? *Alii namque affirmant, alii negant.*

ΑΠΟΚΡΙΣΙΣ.

Πρὸς ταῦτα ἡμεῖς ἐροῦμεν, ὅτι ὅρος οὐκ ἔστι παντὸς ἀνθρώπου προγεγραμμένος, ἢ ἀριθμὸς ἐτῶν, ἀλλ' ἡ βουλὴ καὶ πρᾶξις τοῦ Θεοῦ, ὅτε κελεύει, καὶ ὡς κελεύει. Πρὸς δὲ τοὺς φιλονεικοῦντας ἐκ παντὸς τρόπου προορισμὸν παρὰ τῷ Θεῷ δεῖξαι ἐτῶν παντὸς ἀνθρώπου, ἐκεῖνο ἐροῦμεν, ὅτι εὑρεθήσεται ὁ Θεὸς αὐτὸς λοιπὸν [b] ποιῶν, ὅπερ ἄτοπόν ἐστι καὶ ἐννοῆσαι τοῦτο. Καὶ πάλιν εἰ προπεπηγμένος καὶ ἀμετάθετός ἐστι προορισμὸς τῶν ἐκάστου χρόνων, μηδεὶς ἀσθενῶν εἰς ἀντίληψιν ἁγίους ἐπικαλέσεται· μηδεὶς ἰατροὺς προ[σ]καλέσεται. Ὁ γὰρ προώρισεν ὁ Θεὸς, πάντως γενήσεται

B

RESPONSIO.

Ad ista nos respondemus terminum vitæ aut numerum annorum non esse cuilibet homini præfixum, sed hæc omnia in voluntate et actione Dei posita esse, quando jubet, et prout jubet. Illis vero qui omni modo contendunt prædefinitionem annorum apud Deum omnibus hominibus certam et immotam esse, hoc reponimus, hinc consequi Deum aliquid mutilum et defectuosum fecisse, quod vel cogitare absurdum est. Rursus, si cujuslibet vita fixo et immutabili termino circumscribitur, nullus ergo æger sanctorum opem imploret, nullus medicos advocet. Nam quod Deus prædefinivit, id omnino fiet.

Ὅμως καὶ ἕτερον πονηρὸν δόγμα Μανιχαϊκὸν ἔνθεν ἡμῖν ἐντίκτεται. Ποῖον; Τοῦτο, ὅτι προγνώστης ὢν ὁ Θεὸς, προγινώσκων πάντα πρὶν γενέσεως αὐτῶν, εἰ ἄρα θέλει πάντα ἄνθρωπον σωθῆναι, καὶ μηδένα ἀπολέσθαι (64), διὰ τί προγινώσκων τὴν ἀποστασίαν τοῦ Ἰουλιανοῦ τοῦ παραβάτου, καὶ τὴν ἄρνησιν Ἰούδα τοῦ Ἰσκαριώτου, μὴ μᾶλλον κολοβωτέραν αὐτοῖς προώρισε ζωὴν, ἵνα πρὸ τῆς ἑαυτῶν ἀπωλείας ἀποθανόντες ἐσώθησαν; Καὶ ἐφ' ἑκάστου δὲ μοναχοῦ, ἢ ἀνθρώπου καλῶς ἔχοντος, ὕστερον δὲ ἐκπεσόντος καὶ ἀπολωλότος, πρὸς Θεὸν ἡ αἰτία ἀνατρέχει. Καὶ ἀνάγκη λοιπὸν ἐκ τῶν ὁποτέρων εἰπεῖν, ἢ ὅτι οὐ προέγνω ὁ Θεὸς, ἢ ἐὰν προέγνω, εὔδηλον, ὅτι οὐκ ἠβουλήθη αὐτοὺς σωθῆναι, ἀλλ' ἀπολέσθαι. Εἰ γὰρ σωθῆναι βούλεται, ἐχρῆν αὐτὸν ἀπὸ τῶν ἐκπτώσεων τοὺς ὅρους τῆς ζωῆς προορίσασθαι. Οὐκοῦν, ὡς προεῖπον, καλῶς ἔχει λέγειν, ὅτι ὅρος τῆς ἑκάστου ζωῆς ἐστιν ἡ ἀκατάληπτος κέλευσις τοῦ Θεοῦ. Εἰ δὲ προορισμὸς ἀπαράβατος τῶν ἐτῶν τῷ ἀνθρώπῳ προπέπηκται καὶ προτετύπωται, πῶς φησιν ὁ Ἀπόστολος πρὸς Κορινθίους, ὅτι διὰ τὸ ἀναξίους αὐτοὺς κοινωνεῖν, ἀσθενοῦσιν καὶ τελευτῶσιν; Εἰ γὰρ ὅρος ζωῆς ἐστιν, οὐκ ἂν παρῆνει ὁ

C

D

Adde hinc itidem Manichæum quoddam dogma pullulare. Quale? Istud. Si Deus, qui præcognitor est, et omnia ante ortum suum præcognoscit, omnem **386** hominem vult salvum fieri, et neminem perire [67], quare, præcognita Juliani transgressoris apostasia, et Judæ Iscariotæ negatione, non præstituit et præfinivit illis breviorem terminum vitæ? mortui enim ante lapsum in perniciem, salvati fuissent. Quod similiter de quovis monacho aut homine rectam vitam agente, et postea a virtutis tramite excidente et in exitium ruente objici potest. Itaque necessario alterutrum dicendum erit: aut Deum non præcognovisse, aut, si præcognovit, dilucidum est eum noluisse ut salutem consequerentur, sed ut perirent. Si enim eos vellet salvos fieri, debebat ante lapsum limites vitæ præfigere. Non igitur, ut prius dicebam, recte asseritur terminum vitæ unicuique præfinitum, esse incomprehensibilem jussionem Dei. Quod si omnis humanæ vitæ præfinitio, quam transire non licet, præfixa et depacta est, quomodo dicit Apostolus ad Corinthios, illos propter indignam Eucharistiæ sumptionem, infirmari et mori [68]? Si vitæ termi-

[67] I Tim. II, 4; Joan. III, 15. [68] I Cor. XI, 30.

VARIÆ LECTIONES.

[b] Lege, λεῖπον, idem quod ἐλλειπές, mancum, mutilum, defectuosum.

NOTÆ.

(63) Similis quæst. 112, ad Antioch.

(64) Argumentum hoc exigui momenti est. Vult Deus omnes salvos fieri, si et ipsi velint, gratiæ divinæ cooperando et a peccatis abstinendo. Si nolint, nil contra bonitatem suam erit, si aut liber arbitrii, aut vitæ cursum non abrumpat.

nus præfinitus esset, non monuisset Salomon : « Noli esse **durus**, et **ne impie agas multum**, ne moriaris in tempore non tuo [69]. » Idem dicit, filiis per parentum maledictiones mortem inferri [70]. Verum de his copiosius, Deo favente, alias disputabimus, allatis plurimis causis ob quas justis aliquando vita brevis, improbis autem longa obtingit. Et quoto anno quis in infantia mori censendus sit. Cur item, qui templa Christianæ pietati dicata exstruere, et alia multis in commune profutura opera perficere cogitant, hinc prius excedant quam cœptis finem imponant. Interim breviter hoc etiam loco de hac quæstione disseruimus. Illis qui oggerunt magnum Basilium, quasi prædefinitionem vitæ statuerit, respondemus sanctum hunc Patrem hoc nomine intellexisse definitivam illam sententiam : « Terra es, et in terram reverteris [71]. »

A Σολομών· « Μὴ γίνου σκληρὸς, μηδὲ ἀσεβήσῃς ἐπὶ πολὺ, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου. » Ἐν αὐτοῖς κατάρας τῶν γονέων λέγει ἐπιφέρειν θάνατον ἐπὶ τέκνα. Ὅμως περὶ τούτων πλατύτερον, εἰ τῷ Θεῷ φίλον ἐστὶ, διδαχθησόμεθα, δηλοῦντες καὶ πλείστας αἰτίας, δι' ὧν δίκαιοι ὀλιγοχρόνιοι εἰσιν, ἁμαρτωλοὶ δὲ πολυχρόνιοι γίνονται. Καὶ ἐκ πόσων χρόνων τὰ νήπια τελευτῶσι. Καὶ πάλιν ἕτεροι, ναοὺς εὐσεβεῖς οἰκοδομεῖν ἐπιβαλλόμενοι, ἢ ἕτερα ψυχωφελῆ ἔργα, πρὸ τῆς τούτων τελειώσεως πρὸς Κύριον πορεύονται. Τέως καὶ περὶ τοῦ ζητουμένου διὰ βραχέων εἰρήκαμεν. Τοὺς δὲ φέροντας τὸν μέγαν βασιλέα [c] προορισμὸν ζωῆς λέγοντα, ἐκεῖνο ἐροῦμεν, ὅτι προορισμὸν ὁ Πατὴρ εἶπε τὴν θείαν ἀπόφασιν τὴν λέγουσαν, ὅτι « Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. »

B

QUÆSTIO LXXXIX.

Omnes cupidissime et quasi ingenti siti æstuantes, vel parum discere et accurate cognoscere avent quid sit anima hominis, qualis et unde subsistat. Et quando, et quomodo in corpore operetur, et quo post separationem a corpore abeat?

RESPONSIO (66).

Manifestum est ea quæ in divinis Litteris tacentur, non esse curiosius perscrutanda : nam quorum scientia nobis prodest, ea patefacit : quorum **387** vero cognitio nihil utilitatis affert, ea abscondit. Sed quia homo contentiosum et curiosum C est animal, si quid obscure ex sanctis Patribus super hac re discere potui, id ego vobis explicatum dare conabor. Notum est hominem ad imaginem Dei et similitudinem creatum dici, quia multa quæ sunt in natura divina per essentiam, insunt quasi per umbram in imagine et figura, in anima videlicet nostra (67), non per naturam. Exempli causa : Deum credimus et confitemur per propriam suam naturam esse incomprehensibilem, innominabilem, invisibilem, inattrectabilem et incorruptibilem : ideo et anima, tanquam ad imaginem Dei subsistens, nobis hominibus incomprehensibilis est, inaspectabilis, inexplicabilis, tangi nescia, corruptionis et mortis expers. Quin et producendi vim habet : nam homo D hominem generat, ædificat ædes et civitates; plantat arbores, artes, scientias, et dicendi facultatem mente complectitur, utpote ad imaginem Dei conditus. Quapropter sicut nullus hominum post ho-

ΕΡΩΤΗΣΙΣ ΠΘ'.

Διῳ̃ται (65) παρὰ πᾶσιν ἀνθρώποις, ὡς ὕδωρ, μικρὸν τοῦ μαθεῖν, καὶ ἀκριβῶς γνῶναι, τί ἐστι ψυχὴ ἀνθρώπου, καὶ ὁποία ἐστὶ, καὶ πόθεν συνίσταται, καὶ πῶς ἐν τῷ σώματι ἐνεργεῖ, καὶ ποῦ μετὰ τὸν χωρισμὸν τοῦ σώματος πορεύεται.

ΑΠΟΚΡΙΣΙΣ.

Ὅτι μὲν οὐ δεῖ τὰ σεσωπημένα τῇ θείᾳ Γραφῇ ἐρευνᾷν, πρόδηλον. Τὰ γὰρ συμφέροντα ἡμῖν μαθεῖν, ἐδήλωσεν ἡμῖν· τὰ δὲ μὴ συμφέροντα πάλιν ἀπέκρυψεν. Ἀλλ' ἐπειδὴ ἐμφιλόνεικον καὶ περίεργον ζῶον ὁ ἄνθρωπος, ἀμυδρῶς πως, εἴ τι ἐκ τῶν ἁγίων Πατρῶν μαθεῖν ἠδυνήθημεν, τοῦτο ὑμῖν κατάδηλον ποιῆσαι πειράσομαι. Πᾶσιν οὖν γνώριμον, ὅτιπερ τούτου χάριν κατ' εἰκόνα καὶ ὁμοίωσιν εἴρηται ὁ ἄνθρωπος, ὅτι πολλὰ τῶν ἐν τῇ θείᾳ φύσει οὐσιωδῶς ὑπαρχόντων γνωρίζεται σκιωδῶς ἐν εἰκόνι τινὶ καὶ τύπῳ κατὰ χάριν, ἀλλ' οὐ κατὰ φύσιν, ἐν τῇ ἡμετέρᾳ ψυχῇ. Οἷόν τι λέγω· Ἀκατάληπτον, καὶ ἀνώνυμον, καὶ ἀόρατον, καὶ ἀψηλάφητον, καὶ ἄφθαρτον κατὰ φύσιν τὴν τοῦ Θεοῦ φύσιν ὁμολογοῦμεν καὶ πιστεύομεν. Διὰ τοῦτο ἡ ψυχὴ, ὡς κατ' εἰκόνα Θεοῦ ὑπάρχουσα, οὐ φύσει, ἀλλὰ χάριτι, ἀκατάληπτος, κατ' οὐσίαν ἡμῖν τοῖς ἀνθρώποις ἐστὶ καὶ ἀόρατος, καὶ ἀνερμήνευτος, καὶ ἀψηλάφητος, ἄφθαρτός τε καὶ ἀθάνατος. Ἀλλὰ καὶ δημιουργὸς χάριτι· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, καὶ δημιουργεῖ οἴκους, πόλεις, φυτὰ, τέχνας, λόγους, ἐπιστήμας, κατ' εἰκόνα Θεοῦ ὑπάρχων. Διὸ, ὥσπερ οὐδεὶς τῶν ἐξ αἰῶνος ἀνθρώπων δύναται εἰπεῖν, τίς καὶ ὁποία ἐστὶν ἡ τῆς κατ' εἰκόνα Θεοῦ ὑπαρχούσης ψυχῆς οὐσία οὕτω; οὐδὲ

[69] Eccle. VII, 18. [70] Eccli. III, 11. [71] Gen. III, 19.

VARIÆ LECTIONES.

[c] Βασίλειον.

NOTÆ.

(65) *Διῳ̃ται.* Hæc et alia quæ in hoc opere habentur, ostendunt multa illius ætatis doctores plane opinatos esse de anima. Gregorius Magn. coætaneus fatetur in epistola ad Secundinum : *De origine*, inquit, *animæ inter sanctos Patres requisitio non parva versata est; sed utrum ipse ad Adam descenderit, an certe singulis detur, incertum remansit, eam insolubilem fassi sunt esse quæstionem in hac vita* (ALEMANN.).

(66) Vide *Quæstiones ad Antiochum*, a quæst. 16 usque ad 26. Item, quæst. 32, 33, 34, 35.

(67) Per gratiam.

ἀνθρώπου. Ὥσπερ δὲ ὁ Θεὸς διὰ τῶν ἐν ὕλων [d] κτισμάτων τῶν ὁρωμένων τὰς οἰκείας αὐτοῦ δυνάμεις καὶ ἐνεργείας δείκνυσι, λέγω δὴ οὐρανοῦ τε καὶ ἀέρων, ἡλίου, καὶ σελήνης, καὶ ὑετῶν, καὶ σεισμῶν, καὶ θαλάσσης, ἀόρατος ὑπάρχων αὐτός· οὕτω δὴ καὶ ἡ κατ' εἰκόνα αὐτοῦ ἀόρατος ἡμῶν ψυχὴ, διὰ τοῦ ἰδίου αὐτῆς σώματος τοῦ ὁρωμένου, ὥσπερ κόσμου τινὸς, τὰς οἰκείας ἐκφανίζει ἐνεργείας· ἐν [e] μὲν τὸν ἐγκεφάλου ἄνωθεν, τοῦ λεγομένου οὐρανίσκου, εἰς τύπον Θεοῦ τοῦ ὑπεράνω τοῦ οὐρανοῦ ἔχουσα τὸν ἡγεμόνα νοῦν, διοικοῦντα καὶ κυβερνῶντα, ὡς γένη τινὰ κοσμῶν τὸ σῶμα [f]. Διόπερ εἴ δόξει ποτὲ χαλεπήν τινα πληγὴν κατὰ κεφαλῆς λαβεῖν, εὐθέως πάσχει ὁ νοῦς, καὶ οὐκ ἔτι διακρίνειν, ἢ μνημονεύειν, ὡς τὸ πρὶν, ὁ ἄνθρωπος δύναται. Τὸ δὲ λογιστικὸν πάλιν ἡ ψυχὴ διὰ τῆς καρδίας ἐνεργεῖ, τὸ δὲ ἐπιθυμητικὸν διὰ τοῦ ἥπατος, τὸ δὲ μειδιαστικὸν διὰ τοῦ σπληνὸς, τὸ δὲ ἀναπνευστικὸν διὰ τοῦ πνεύμονος, τὸ δὲ γόνιμον διὰ τῶν νεφρῶν, τὸ δὲ θυμικὸν διὰ τοῦ αἵματος, τὸ δὲ γνωριστικὸν διὰ τῶν ὀφθαλμῶν, τὸ δὲ λαλητὸν διὰ τῆς γλώττης. Διὸ καὶ τεμνομένης αὐτῆς, οὐκ ἔτι ὁ ἄνθρωπος λαλεῖν δύναται· οὐκοῦν ὡσαύτως καὶ χωριζομένης αὐτῆς, λέγω δὴ τῆς ψυχῆς, ἐξ ὅλου τοῦ σώματος, οὐ λαλεῖν, οὐ μιμνήσκεσθαι, οὐ θυμοῦσθαι, οὐ καθορᾷν· ἀλλ' ἐν συννοίᾳ τινὶ [g] καθ' ἑαυτὴν ὑπάρχει ἀθάνατος ἡ ψυχὴ διαμένουσα, ἄχρις ἂν πάλιν τὸ οἰκεῖον σῶμα ἀπολαβοῦσα ἄφθαρτον, ἀφθάρτους λοιπὸν καὶ τὰς ἐνεργείας ἀποτελεῖν. Ἀλλὰ ταῦτα μὲν εἴρηται περὶ τῶν ἐν ἁμαρτίαις τελευτώντων. Ἐπεὶ αἱ τὸ Πνεῦμα τὸ ἅγιον κτησάμεναι ψυχαὶ, ὡσανεὶ σῶμα καὶ ὄργανον αὐτῷ γενόμεναι, ἐμοὶ δοκεῖ, ὅτι διὰ τῆς ἑλλάμψεως αὐτοῦ, καὶ μετὰ θάνατον εὐφραίνονται, καὶ τῷ Θεῷ καὶ λόγῳ νοερῶς δοξολογοῦσι, καὶ ὑπὲρ ἀλλήλων πρεσβεύουσιν, ὡς ἐκ τῶν Γραφῶν μανθάνομεν.

Εἰδέναι μέντοι προσήκει, ὅτι πᾶσαι αἱ ὀπτασίαι, αἱ γινόμεναι ἐν τοῖς ναοῖς, ἢ σοροῖς τῶν ἁγίων, δι' ἁγίων ἀγγέλων ἐπιτελοῦνται, δι' ἐπιτροπῆς Θεοῦ. Ἐπεὶ πῶς δυνατὸν μήπω τῆς ἀναστάσεως τῶν σωμάτων γεγενημένης, ἀλλ' ἔτι τῶν ὀστῶν καὶ τῶν σαρκῶν τῶν ἁγίων διεσκορπισμένων εἶδεσθαι τούτους, εἴδη [h] ὁλοκλήρους ἄνδρας, πολλάκις ἐφ' ἵπποις ὀπτανομένους καθωπλισμένους; Εἰ δ' ἀντιλέγειν νομίζεις, εἰπέ μοι σὺ, πῶς εἷς ὑπάρχων Παῦλος, ἢ Πέτρος, ἢ ἄλλος ἀπόστολος, ἢ μάρτυς, κατ' αὐτὴν τὴν ὥραν πολλάκις ἐν πολλοῖς τόποις ὀπτάνεται; οὔτε γὰρ ἄγγελος δύναται ἐν διαφόροις τόποις ἐν αὐτῇ τῇ ῥοπῇ, εἰ μὴ μόνος ὁ ἀπερίγραπτος Θεός.

minum memoriam exstitit qui potuerit explanare quæ et qualis sit substantia animæ ad Dei imaginem subsistentis; ita nec hominis naturam ullus explicare valet. Quemadmodum autem Deus per materiales creaturas sub aspectum cadentes (68) propriam suam virtutem et actiones patefacit, sic et anima secundum imaginem ejus condita, quæ a nobis in se et per se videri nequit, per proprium suum corpus, quod cernitur, velut per mundum, proprias suas operationes manifestat, quæ supra cerebrum (quod uraniscus seu cella ad modum cœli effigiata appellatur), instar Dei supra cœlum residentis, ducem et præsidem habet, videlicet mentem, quæ corpus, ceu parvum quemdam mundum, administrat et gubernat. Quocirca, si quis grave vulnus in capite accipiat, statim mens quoque patitur, neque amplius iudicio et memoria, ut antea, pollet. Vim ratiocinandi exercet anima per cor, vim concupiscendi per hepar, vim ridendi per splenem, vim respirandi per pulmonem, vim generandi per renes, vim irascendi per sanguinem, vim agnoscendi per oculos, vim loquendi per linguam. Quare, si lingua dissecetur aut exsecetur, loquendi facultas desinit. Si anima penitus a corpore sejungatur, non amplius loquitur, neque reminiscitur, neque irascitur, neque videt; sed in cogitatione quadam secundum seipsam immortalis permanet, donec, resumpto corpore proprio, jam corruptionis experte, operationes quoque incorruptas exerceat (69). Verum hæc de illis dicta sunto, **388** qui vitam in peccatis finierunt: nam animæ quæ Spiritum sanctum possident, eidemque velut corpus et instrumentum effectæ sunt, per illius illustrationem, judicio meo, etiam post (corporis) mortem exhilarantur, Deumque mente ac ratione glorificant, et pro se mutuo orant, ut ex Scripturis discimus.

Nosse oportet omnes apparitiones quæ in templis et ad sepulcra sanctorum contingunt, per angelos sanctos, permissu Dei, perfici (70): nam quomodo fieri potest ut corporum resurrectione necdum peracta, ossibusque et carnibus sanctorum adhuc dispersis, videamus ipsos sanctos (71), cum interdum integri viri, et quidem equestres armatique se oculis intuendos objiciant? Si his contradicere velis, dic, oro, qua ratione, qui unus est, Paulus, vel Petrus, vel alius apostolus, vel martyr, eodem tempore eademque hora aliquando multis in locis appareat? neque enim angelus potest (72) simul eodem momento in pluribus locis præsens esse, sed hoc soli incircumscripto Deo competit.

VARÆ LECTIONES.

[d] ἐνύλων. [e] ἓν. [f] Lege ὡς τύνην τινὰ κόσμον τὸ σῶμα. Est autem τύνος idem quod parvus. [g] Cod. συνόᾳ τινί, ex quo feci συννοίᾳ, nisi malis συνοχῇ. [h] fort. εἶδει, specie, forma.

NOTÆ.

(68) Cœlum nempe, aera, solem, lunam, pluvias, terræmotus, et mare, invisibilis ipse persistens.

(69) Anima separata sive apud inferos, sive apud superos, habet intellectum, memoriam, voluntatem, et sui ipsius facultatem motricem.

(70) Secus se res habet. Ipsi sancti ordinarie apparent.

(71) Non mirum. Formant sancti corpus ex aere vel aliunde, prout ipsi etiam angeli faciunt. Quod si angeli hoc possunt, cur non etiam animæ sanctorum?

(72) Potest, non sua, sed omnipotentis Dei vir-

Cæterum, ne aliqui opinentur me fabulas medicas comminisci, audiant quid de animabus sacra Scriptura tradat: separatam enim a corpore animam ratiocinandi facultate destitui testatur beatus David, qui de mortuis, « In illa die, inquit, peribunt omnes cogitationes eorum [72]. » Deesse memoriam idem testatur: « Non est, inquiens, in morte, qui memor sit tui [73]. » Si nulla est memoria Dei, perspicuum est eos neque orare. « Neque mortui, inquit, laudabunt te, Domine, neque omnes qui descendunt in infernum [74]. » Easdem animas a corpore abjunctas mundum non videre testis est idem Propheta de homine loquens: « Quoniam spiritus pertransivit in illo, et non subsistet, et non cognoscet amplius locum suum [75] (73). »

Quomodo autem in altera vita animæ se invicem cognoscent, quæ se in hac vita nudas, hoc est, a corpore segregatas, nunquam viderunt? Agnitio enim ex differentia **389** et ex diversis signis exsistit; at in illo sæculo nulla anima diversitatem formæ vel figuræ qua ab altera discriminetur habet; sed omnibus est una et æqualis essentiæ similitudo.

At neque post resurrectionem nos mutuo naturali cognitione agnoscemus: non enim erit ibi parvitas vel magnitudo corporum; non albedo, non nigredo, non infantia, non senectus: sed qualis exstitit Adam, tales universi illi qui a condito mundo vita functi sunt resurgent: quemadmodum grana, quæ ex spica decidunt, et in terram minima conduntur, non parva resurgunt, sed perfectæ spicæ fiunt, cujusmodi videlicet illæ erant ex quibus deciderunt. Sancti Patres enim definiunt resurrectionem esse primi hominis in antiquum statum restitutionem. Naturali igitur ratione nullus alium cognoscit; divina vero permissione multi multos cognoscunt. Nam et de Judæis dictum est· « Videbunt, in quem transfixerunt [76]. »

Καὶ ἵνα μὴ δόξωσί τινες ἰατρικὰς ἡμᾶς μυθολογίας ἀναπλάττειν, ἄκουσον Γραφικὰς περὶ ψυχῶν θεολογίας· ὅτι γὰρ στερεῖται τοῦ διαλογίζεσθαι χωριζομένη τοῦ σώματος ψυχή, ἄκουσον, τί φησιν ὁ Ψαλμῳδὸς περὶ τῶν τελευτώντων, ὅτι « Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, φησίν, ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτῶν. » Ὅτι δὲ οὐδενὸς μιμνήσκονται, λέγει πάλιν, ὅτι « Οὐκ ἐν τῷ θανάτῳ ὁ μνημονεύων σοῦ τοῦ Θεοῦ. » Εἰ δὲ τοῦ Θεοῦ οὐ μιμνήσκονται, εὔδηλον λοιπόν, ὅτι οὐδὲ εὔχονται. « Οὐδὲ νεκροί, φησίν, αἰνέσουσί σε, Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου. » Ὅτι δὲ οὐδὲ τὸν κόσμον καθορῶσιν, ἄκουσον τοῦ προφήτου περὶ τοῦ ἀνθρώπου, λέγοντος· « Ὅτι Πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. »

Πῶς δὲ ὅλως ἐκεῖ ἀλλήλας νῦν ἀναγνωρίζουσιν αἱ ψυχαί, αἱ μηδέποτε γυμνὰς ἐν τῷ βίῳ τούτῳ ἀλλήλας θεασάμεναι; Ὁ γὰρ ἐπιγνωρισμὸς ἐκ τῆς διαφορᾶς καὶ τῶν συσσήμων τῶν παρηλλαγμένων γίνεται· ψυχὴ νῦν ἐκεῖ παραλλαγὴν εἶδους, ἢ μορφῆς παρὰ τὴν ἑτέραν, οὐ κέκτηται· ἀλλὰ πᾶσα οὐσιώδης ὁμοιότης, καὶ ἰσότιμος παρ' αὐταῖς.

Ἀλλ' οὐδὲ μετὰ τὴν ἀνάστασιν ἀλλήλους ἐπιγνωσόμεθα φυσικῷ ἐπιγνωρισμῷ· οὐ γάρ ἐστιν ἐκεῖ σμικρότης, ἢ μεγαλειότης σωμάτων· οὐ λευκότης, οὐ μελανότης, οὐ νηπιότης, καὶ γηραλαιότης· ἀλλ' οἷος γέγονεν ὁ Ἀδάμ, τοιοῦτοι πάντες οἱ ἀπ' αἰῶνος κεκοιμημένοι ἀνιστάμεθα, ὥσπερ οἱ ἀπὸ στάχυος παραπεσόντες, καὶ εἰς γῆν ταφέντες σμικρότατοι κόκκοι, οὐ σμικροὶ ἀνίστανται, ἀλλὰ πεπληρωμένοι στάχυες γίνονται, οἷοι ὑπῆρχον πρὸ ἐκπτώσεως. Ἀνάστασιν γὰρ εἶναι οἱ ἅγιοι Πάτρες ὁρίζονται τὴν πρὸς τὸ ἀρχαῖον τοῦ πρώτου ἀνθρώπου ἀποκατάστασιν. Τῷ μὲν οὖν φυσικῷ λόγῳ οὐδεὶς τὸν ἕτερον ἐπιγινώσκει· θείᾳ δὲ ἐπιτροπῇ πολλοὶ πολλοὺς ἐπιγνώσονται. Καὶ γὰρ καὶ περὶ Ἰουδαίων εἴρηται, ὅτι ὄψονται, εἰς ὃν ἐξεκέντησαν.

[72] Psal. CXLV, 4. [73] Psal. VI, 6. [74] Psal. CXIII, 17. [75] Psal. CII, 16. [76] Joan. XIX, 37; Zach. XII, 10.

NOTÆ.

tute. Sanctus Hieronymus contra Vigilantium: « Tu apostolis vincula injicies, ut usque ad diem judicii teneantur custodia, nec sint cum Domino suo, de quibus scriptum est: *Sequuntur Agnum quocunque ierit* (*Apoc.* XIV, 4). Si Agnus ubique, ergo et hi qui cum Agno sunt ubique esse credendi sunt. Et cum diabolus et dæmones toto vagentur orbe, et celeritate nimia ubique præsentes sint, martyres post effusionem sanguinis sui arca operientur inclusi, et inde exire non poterunt?

(73) Non est ita. Naturaliter intelligere, velle, meminisse, et seipsam movere potest. Testimonia Scripturæ nihil ad rem faciunt. Primi loci sensus est, tempore mortis cessare omnia consilia hominis, et intercidere quidquid in posterum agere decreverat. Secundi sensus est, non esse in morte, hoc est, in damnatione, qui memor sit Dei cum affectu amoris et reverentiæ. Tertium similiter ad damnatos pertinet, qui Deum non laudant. Quartum non satis apte huc advocatur. Nam sensus est: Spiritus vitalis, seu ipsa vita corporalis, non permanebit in homine, sed transiens in eo erit, et nunquam subsistet in eodem statu, quia semper mutabitur de infantia ad pueritiam, de pueritia ad adolescentiam, etc. Et non cognoscet amplius locum suum, id est, non redibit ad locum unde discessit, nec videbit amplius ætatem, quam semel dimisit. Ita Card. Bellarm. in Psal. CII. — Animas separatas se mutuo etiam naturaliter cognoscere, quod auctor iste negat, disces ex tractatu Conimbricensium *De anima separata*, disp. 5, art. 1, concl. 2. Etiam post communem omnium resurrectionem naturaliter cognoscet quis quos in hac vita noverat, et quos hic non noverat, ibi naturaliter quoque, qui et quales fuerint et sint, cognoscere poterit.

ΕΡΩΤΗΣΙΣ ϟ'.

Πῶς δὲ (74) νῦν ὅλως θέλομεν λέγειν ὑπάρχειν τὰς ψυχάς; καὶ εἰ ὁμοῦ καὶ ἅμα πᾶσαι ὑπάρχουσιν.

ΑΠΟΚΡΙΣΙΣ.

Οὐδεὶς μὲν περὶ τούτου σαφῶς ἐπήγγειλεν. Ὅμως ἐκ τῶν τοῦ Χριστοῦ λόγων μανθάνομεν, ὅτι αἱ μὲν τῶν δικαίων ψυχαὶ, μετὰ τὴν τῆς ψυχῆς τοῦ ἁγίου λῃστοῦ ἐν τῷ παραδείσῳ, ὡς ἐμοὶ δοκεῖ, ὑπάρχουσι. Καὶ γὰρ καὶ ὁ θεῖος Ἀντώνιος δεηθεὶς Θεοῦ περὶ τοῦ τόπου τῶν ψυχῶν, οὕτως ἐν τῷ παραδείσῳ ἑώρακεν ὑπάρχειν τὰς ἁγίας ψυχάς. Ὡσαύτως καὶ ὁ θεοφόρος Σαμψὼν (75), καὶ ἕτεροί τινες τῶν Πατέρων. Πάλιν τε τῶν ἁμαρτωλῶν τὰς ψυχὰς, πᾶσα καὶ Παλαιὰ, καὶ Καινὴ Διαθήκη, ἐν τῷ τοῦ ᾅδου δεσμωτηρίῳ παραπέμπεσθαι ὡς ἐν φυλακῇ μαρτυρεῖ, καθὰ καὶ περὶ τοῦ πλουσίου ἐκείνου τοῦ κατὰ τὸν Λάζαρον ὁ Κύριος εἴρηκεν. Ὁμοίως καὶ ὁ Δαβὶδ φησιν, ὅτι «Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην [1]. » Καί· « Κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου. » Καὶ πάλιν φησίν· « Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην. » Τὸ δὲ εἰπεῖν, « ἀποστραφήτωσαν, » σημαίνει, ὅτι ἐκεῖ αἱ ψυχαὶ τούτων ὑπάρχουσιν· εἶτα ἀνέρχονται, καὶ ἀπολαμβάνουσι τὰ ἴδια σώματα, καὶ εἶθ' οὕτως ἡ ἀπόφασις τοῦ κριτοῦ κατ' αὐτῶν ἐξέρχεται, λέγουσα· Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην. Ὁ δὲ ἀποστραφεὶς, πρόδηλον, ὅτι ὅθεν ἐξῆλθεν, ὑποστρέφει. Ὁ δὲ ᾅδης τόπος ἐστὶ κατώτατος τῶν κατωτάτων καταχθονίων, τόπος κατώδυνος φύσει, ἐν ᾧ καὶ ὁ Χριστὸς κατελθὼν, διὰ τῆς ἀχράντου αὐτοῦ ψυχῆς καὶ ἐνθέου, ἐπεσκέψατο τοὺς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένους.

QUÆSTIO XC.

Quid omnino nunc de animabus sentire oportet? an simul omnes una versantur?

RESPONSIO.

Nullus perspicue hac de re aliquid tradidit. Nihilominus aliquid ex Christi verbis intelligere licet, nempe justorum animas cum anima sancti latronis in paradiso degere. Nam et divinus Antonius, cum rogaret Deum ut sibi locum animarum revelaret, sanctas animas in paradiso esse vidit. Similiter etiam divinus Samson, et alii nonnulli ex Patribus. Animas autem impiorum ad inferos, tanquam in custodiam et vincula ablegari, Vetus et Novum Testamentum testatur, prout etiam Dominus de divite illo in Lazarum tam duro asseruit. In eamdem sententiam beatus David: « Non derelinques animam meam in inferno [77]. » Et: « Domine, eduxisti ab inferno animam meam [78]. » Iterum: « Convertantur peccatores in infernum [79]. » Qui porro dicit: Convertantur seu revertantur, is significat, animas impiorum prius in inferno fuisse; postea inde reverti, et propria corpora resumere, et sic adversus illos sententiam a judice pronuntiari: Revertantur peccatores in infernum. Clarum vero est eum qui revertitur, unde exierat reverti. Est autem infernus infimus infimorum subterraneorum locus, natura tristificus, quo et Christus immaculata et divina sua anima descendit, ut visitaret eos qui in tenebris et in umbra mortis sedebant.

ΕΡΩΤΗΣΙΣ ϟΑ'.

Εἰ οὐκ ἐπιγινώσκουσιν ἀλλήλους οἱ ἀπελθόντες ἐκεῖ, πῶς ὁ πλούσιος ἐπέγνω, καὶ ἐδυσώπει τὸν Ἀβραὰμ, καὶ τὸν Λάζαρον, οὐ μόνον δὲ, ἀλλὰ καὶ μέμνηται τῶν ἰδίων αὐτοῦ πέντε ἀδελφῶν τῶν ἐν τῷ οἴκῳ αὐτοῦ;

ΑΠΟΚΡΙΣΙΣ.

Διὰ πάντων κατὰ τὸν πλούσιον καὶ τὸν Λάζαρον μανθάνομεν, ὅτι παραβολικῶς καὶ τυπικῶς, ἀλλ' οὐ πραγματικῶς, ὁ Χριστὸς τὴν διήγησιν ἐκείνην ἀνεπλάσατο. Ὅτι γὰρ παραβολή ἐστιν, ἐκεῖθεν δῆλον· πρῶτον, ὅτι οὐδεὶς οὐδέπω οὐδὲ ἐν γεέννῃ, οὐδὲ ἐν βασιλείᾳ εἰσῆλθεν ἕως τοῦ καιροῦ τῶν σωμάτων ἀναστάσεως. Ποῦ οὖν σώματος ἐν τῷ τάφῳ τυγχάνοντος, ποίαν γλῶσσαν εἶχεν ὁ πλούσιος φθεγγομένην, καὶ ῥανίδα ὕδατος αἰτοῦσαν, ὅπως δυνηθῇ κατασβέσαι αὐτοῦ τὴν φλόγα;

QUÆSTIO XCI.

390 *Si, qui ad inferos descendunt, non agnoscunt se mutuo* (76) *qua ratione dives ille Abrahamo et Lazaro preces fudit, neque hoc solum, sed et quinque fratrum suorum, quos superstites domi suæ reliquerat, meminit* [80]?

RESPONSIO.

Ex tota illa de divite et Lazaro narratione discimus Christum non historiam, sed parabolam afferre voluisse. Parabolam enim, et figuratum orationis genus esse, inde primum liquet, quod nullus neque gehennam subiturus neque in regnum cœlorum ingressurus est usque ad communem corporum resurrectionem (77). Dum igitur corpus in sepulcro jacet, qualem linguam divitis illius esse oportet, quæ loquitur, et guttam aquæ postulat ut possit exstinguere flammam (78)?

[77] Psal. xv, 10. [78] Psal. xxix, 4. [79] Psal. ix, 18. [80] Luc. xvi, 27, 28.

VARIÆ LECTIONES.

[1] ᾅδου.

NOTÆ.

74) *Πῶς δὲ*, lego ποῦ δὲ νῦν (Alemann.).

(75) An est ille Samson presbyter, cujus memoria agitur in Martyrologio Rom. 23 Junii?

(76) Supponit quæstio falsum, nempe damnatos se mutuo non agnoscere

(77) Error veterum quorumdam, et recentioris Græciæ. Quem fuse refutat Bellarm. lib. 1 *De sanctis*, cap. 1 et seq.

(78) Locutio fuit intellectualis; ergo et lingua.

Secundo quia in oreum dejecti neque vident justos in nubibus raptos, et in regno Dei supra cœlorum verticem constitutos (79); ut taceam, quod jam dixi, neque improbis supplicium, neque justis perfectam retributionem hucusque datam esse. Quæ enim hæc esset justitia, cum anima et corpus simul peccaverint, anima aut puniatur, aut coronetur sine corpore (80)? Audi Paulum de justis hæc astruentem: « Testimonio fidei probati, non acceperunt repromissiones, Deo pro nobis aliquid melius providente, ut non sine nobis consummarentur [81]. » Alibi: « Ut unusquisque nostrum referat quæ per corpus gessit [82]. » Quibus ostendit in anima a corpore soluta nihil horum peragi.

Cæterum improborum animæ particulari quodam angore et tristi exspectatione cruciantur. At animæ justorum gaudio et tranquillitate perfruuntur, et aliquando viventibus se conspiciendas præbent. Quod quidam mihi retulit, inquiens: Cum Deum diligenter et studiose invocassem, ut mihi statum et conversationem animæ a corpore segregatæ patefaceret, videbam me noctis tempore in vineam ductum, et corpus meum a me separatum et exiguo temporis intervallo jacere exanime. Sciebam quidem me a corpore sejunctum esse, mentemque ac rationem sobriam habere; non tamen ex somnio eluctari licuit. Neque potui efformare, aut cognoscere quali specie et figura extra corpus fuerim. Hoc tantum intellexi, animam **391** meam separatam subsistentiam habere, et sub imaginationem non cadere. Ne quis enim arbitraretur animam instar fumi aut nebulæ dissolvi et interire post mortem, quemadmodum bestiarum anima et spiritus perit, Christus ejusdem subsistentiam et immortalitatem sequentibus verbis astruxit: « Nolite timere eos qui occidunt corpus, animam vero non possunt occidere [83]. » Itaque animæ etiam post corporis mortem in esse substantiæ permanent, neque homo hominem inanimatum in utero serit et quasi condit, sed perfectum et animatum (81): neque enim corpus ante animam fuit, neque anima ante corpus, ut Origenes somniat. At hæretici aiunt hominem corpus inanimatum seminare et fabricare. Cæterum anima bruti ratione carentis est illa quæ per aereum spiritum in sanguine efficitur vitalis motio, quæ cum ex elementis constet, in eadem iterum, bruto mo-

A Δεύτερον, ὅτι οὐδὲ ὁρῶσιν ἐν τῷ ᾅδῃ παραπεμπόμενοι τοὺς δικαίους, τοὺς ἐν νεφέλαις ἁρπαζομένους, καὶ ἐν βασιλείᾳ τοῦ Θεοῦ ὑπὲρ ἄνω ἱ τῶν οὐρανῶν ὑπάγοντας· πλὴν, ὡς προεῖπον, οὐδὲ γέγονε τελεία κόλασις, ἢ ἀνταπόδοσις, οὔτε ἁμαρτωλοῖς, οὔτε δικαίοις.) Ποία γὰρ αὕτη δικαιοσύνη, ἵνα, τῆς ψυχῆς καὶ τοῦ σώματος ἐν τῷ ἅμα ἁμαρτησάντων, κολασθῇ χωρὶς τοῦ σώματος ἢ στεφανωθῇ ψυχή; Καὶ ἄκουσον Παύλου τοῦ διδάσκοντος. Περὶ μὲν γὰρ δικαίων οὕτω λέγει, ὅτι « Μαρτυρηθέντες διὰ τῆς πίστεως οὔπω τὰς ἐπαγγελίας ἐπεκομίσαντο· τοῦ Θεοῦ, φησὶ, περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι. » Καὶ πάλιν φησίν· « Ἵνα ἕκαστος ἡμῶν κομίσηται τὰ διὰ τοῦ σώματος πεπραγμένα, » δεικνὺς, ὅτι χωρὶς τοῦ σώματος οὐδὲν
B τοιοῦτον ἡ ψυχὴ διαπράττεται.

Πλὴν καὶ αἱ τῶν ἁμαρτωλῶν ψυχαὶ ἐν μερικῇ ὀδύνῃ καὶ λυπηρᾷ προσδοκίᾳ εἰσίν. Ὁμοίως καὶ αἱ τῶν δικαίων ψυχαὶ ἐν χαρᾷ τινι καὶ εὐθυμίᾳ τυγχάνουσι. Καὶ ὅπως καὶ ὀπτασίας τινὰς ποιοῦνται πρὸς τοὺς περιόντας ἐν σαρκὶ, ἐπιμνησθήσομαι. Διηγήσατό μοί τις, ὅτι Ἐπιμελῶς καὶ ἐμπόνως παρακαλέσαντος [k] τὸν Θεὸν περὶ τῆς διαγωγῆς καὶ καταστάσεως τῆς ψυχῆς τῆς χωριζομένης ἐκ τοῦ σώματος, ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς ἑαυτὸν εἰς ἀμπελῶνά τινα ὑπάρχοντα, τὸ δὲ σῶμά μου κεχωρισμένον ἀπ' ἐμοῦ, καὶ ἀπὸ μικροῦ διαστήματος νεκρὸν κείμενον. Καὶ ἐπεγίνωσκον μὲν, ὅτι ἐχωρίσθην τοῦ σώματος, καὶ νηφάλιον ἔχων τὸν νοῦν καὶ τὴν φρένα. Οὐ μέντοιγε διανήψασθαι ἐκ τοῦ ὀνείρου
C ἠδυνάμην [,οὐ]δὲ τυπῶσαι ἢ ἐπιγνῶναι, ἀποίῳ σχήματι καὶ μορφῇ ὑπῆρχον ἐκ[τὸς] τοῦ σώματος· πλὴν ὅτι ἀνυπόστατος [l] καὶ ἀφαντασίαστος ἡ ἐμῆς τῆς ψυχῆς ὕπαρξις. Μὴ γάρ τις νομίσῃ, ὅτι δίκην τινὸς καπνοῦ, ἢ νέφους, ἡ ψυχὴ διαλύεται καὶ ἀπόλλυται μετὰ θάνατον, ὥσπερ ἡ τῶν ἀλόγων ψυχὴ καὶ πνοή. Καὶ ἄκουσον τοῦ Χριστοῦ, τὸ ἀνυπόστατον καὶ ἀθάνατον τῆς ἡμετέρας ψυχῆς ἡμᾶς διδάσκοντος, καὶ λέγοντος· « Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων ὑμῶν τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. » Ὥστε ἐν οὐσίᾳ μέν εἰσιν αἱ ψυχαὶ μετὰ τὸν θάνατον τοῦ σώματος, [κατὰ τοὺς Ὠριγένους μύθους [m].] Οὐ γὰρ ἄνθρωπον ἡμῖν ἄψυχον σπείρει
D ἐν τῇ μήτρᾳ ὁ ἄνθρωπος, ἀλλὰ τέλειον, ἐρχόμενον ἔμψυχον ἄνθρωπον. Οὔτε γὰρ σῶμα πρὸ τῆς ψυχῆς ὑφίστατο, οὔτε ψυχὴ πρὸ τοῦ σώματος [n]. Εἰ δὲ [o] περὶ αἱρετικὸν λέγουσι, Σῶμα ἄψυχον σπείρει καὶ καταβάλλεται. Ἀλλὰ ψυχὴ μὲν τοῦ ἀλόγου ἐστὶν, ἡ διὰ πνεύματος τοῦ ἀέρος γινομένη ἐν τῷ αἵματι ζωτικὴ

[81] Hebr. xi, 39, 40. [82] II Cor. v, 10. [83] Matth. x, 28.

VARIÆ LECTIONES.

[i] ὑπεράνω. [k] fors. παρακαλεσάμενος. [l] Lego, ἐνυπόστατος. [m] Verba hæc non videntur huc spectare. [n] Hic inserenda videntur verba illa: κατὰ τοὺς Ὠριγένους μύθους; nam Origenes dicebat, animas prius exsistere, quam corpora. [o] Lego οἱ δέ, pro, εἰ δέ.

NOTÆ.

(79) Lazarus visus ab epulone, non erat in cœlo, sed in limbo justorum.

(80) Istam objectionem solvit Bellarminus.

(81) Generat quidem hominem vivum et perfectum, sed non ideo generat animam, quæ a solo Deo creatur.

κίνησις, ἥτις ἐκ τῶν στοιχείων τὴν ὕπαρξιν ἔχουσα, ἐν αὐτοῖς πάλιν διαλύεται τοῦ ζώου θνήσκοντος. Ψυχὴ δὲ ἀνθρώπου ἐστὶν οὐσία λογικὴ, ἀθάνατος, νοερὰ, οὐκ ἐκ στοιχείων, ἀλλ' ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχουσα. Οἶον P οἶδεν αὐτὸς μόνος, καὶ ὅθεν οἶδε, καὶ ὡς οἶδε συστησάμενος, οὐκ ἄναρχον μὲν ὑπάρχουσαν, ἀτελεύτητον δὲ διαμένουσαν πᾶσαν ψυχὴν σώματι ἐνωθεῖσαν· καὶ γὰρ καὶ ἐκ τῶν ἐμβρύων, ἢ ἐκτρωμάτων μετὰ τὸν ἐξεικονισμὸν αἱ ψυχαὶ οὐ θανατοῦνται, οὐδὲ ἀπόλλυνται, ἀλλὰ σὺν ἡμῖν πρὸς τὸν Θεὸν ἐν τῇ ἀναστάσει ἐπισυνάγονται, τῇ ἀῤῥήτῳ ἐνεργείᾳ καὶ παντοδυνάμῳ τοῦ Θεοῦ. Ταῦτα διὰ βραχέων ὑμῖν περὶ τῆς ψυχῆς, οὐ δογματικῶς, ἀλλ' ἀγαπητικῶς, εἴρηται. Τὰ δὲ λοιπὰ, δυσωποῦμεν τοὺς ἐν Χριστῷ ἀδελφοὺς, καὶ διδασκάλους τοὺς καθ' ἡμᾶς διορθοῦντας, ἀναπληρῶσαι περὶ τῶν ψυχῶν.

riente, resolvitur (82). At anima hominis est substantia rationis particeps, immortalis, intellectualis, non ex elementis, sed ex Deo subsistentiam habens, qualem, unde, et quomodo, ipse Conditor solus novit. Illud liquet, omnem animam quæ corpori unitur, principium habere, et finis expertem esse: nam et animæ embryonum et abortuum, postquam ad imaginem Dei effictæ sunt, nec moriuntur, nec intereunt, sed etiam nobiscum in resurrectione ad Deum ineffabili ejusdem operatione et omnipotentia adducentur. Hæc breviter vobis de anima non dogmatice, sed amice disserere voluimus. De cætero oramus fratres in Christo, et magistros nostros orthodoxos, ut suppleant quæ huic de animabus disputationi desunt.

ΕΡΩΤΗΣΙΣ ΚΒ'.

Πολλαὶ καρδίαι πιστῶν ἔχουσι κρυπτὸν σκάνδαλον, καὶ δεινῶς P' περὶ τῆς τῶν σωμάτων ἡμῶν ἀναστάσεως, ἐνοχούμενοι, πῶς τὸ σῶμα τὸ ὑπὸ μυρίων θηρίων καὶ πετεινῶν καταβρωθὲν, καὶ ὑπὸ ἀμετρήτων ἰχθύων ἁλωθὲν, καὶ ἐν τῷ βυθῷ ἀφοδευθὲν καὶ διαλυθὲν, πῶς συνάγεται καὶ εἰς ἀνάστασιν ἔρχεται;

ΑΠΟΚΡΙΣΙΣ.

Ὅλος ὁ Χριστιανὸς, καὶ τὰ μυστήρια τοῦ Χριστιανοῦ, πίστις ἐστί. Πίστις δὲ ἀληθὴς ἐστιν ἡ ἀπερίεργος συγκατάθεσις. Ἐπεὶ ἐὰν θέλωμεν περιεργάζεσθαι τὰ ῥήματα καὶ πράγματα τῆς Γραφῆς τοῦ Θεοῦ, ἀπολλύμεθα, καὶ εἰς βυθοὺς ἀπιστίας ποντιζόμεθα. Οὐ λέγω σοι μόνον περὶ ἀναστάσεως, ἀλλὰ καὶ περὶ αὐτῆς ἡμῶν τῆς ἀρχαίας διαπλάσεως, ἐὰν μὴ μετὰ ἁπλῆς καρδίας καὶ πίστεως ἀπερίεργον q τὴν Γραφὴν ἐκδεξώμεθα. Ἰδοὺ γὰρ λέγει· « Καὶ ἔλαβεν ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασε τὸν ἄνθρωπον, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. » Καὶ πάλιν λέγει, ὅτι « Τῆς φωνῆς σου ἤκουσα ἐν τῷ παραδείσῳ περιπατοῦντος. » Εἶτα χεῖρας μὴ ἔχοντος τοῦ Θεοῦ, ἀλλὰ ἀσωμάτου ὑπάρχοντος, πῶς r ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς; Πόδας αὐτοῦ μὴ ἔχοντος, μηδὲ γλῶσσαν, πῶς ἤκουσε τῆς φωνῆς αὐτοῦ περιπατοῦντος, καὶ ἐφοβήθη ὁ Ἀδάμ; Ὁρᾷς, ὅτι μετὰ πίστεως ἀπεριέργου δεῖ τὰς θείας δέχεσθαι Γραφάς; Ἐπεὶ ἐὰν δῷς τῷ Σατανᾷ ἄδειαν λογισμοῦ σου περιεργίας καὶ ἀπιστίας ὑποσπείρειν, οὐ φείσεται καὶ περὶ αὐτοῦ τοῦ Θεοῦ σκάνδαλά σοι ὑποτίθεσθαι.

Οὕτως οὖν, παρακαλῶ, καὶ τὸν περὶ ἀναστάσεως τῶν σωμάτων λόγον πίστει δεξώμεθα, ὁμολογοῦντες, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσωσι τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ ἀναστήσον-

QUÆSTIO XCII.

Multorum fidelium corda patiuntur scandalum, et gravi dubitatione pulsantur, cum de corporum resurrectione cogitant: quomodo scilicet corpus, quod ab infinitis bestiis et volucribus devoratum, et ab innumeris piscibus consumptum, et in profundo maris sepultum et dissolutum est, redintegretur, et ad resurrectionem perduci possit (83)?

RESPONSIO.

Totus Christianus, et omnia mysteria Christiani, fides sunt. At fides vera est curiositatis expers assensus. Quare cum curiose verba et facta Dei divinæque **392** Scripturæ scrutari volumus, perimus, et in profundum infidelitatis demergimur: neque hoc solummodo de corporum resurrectione, sed et de prima nostra creatione locum habet, si Scripturam simplici corde et fide incuriosa non amplectamur. Ecce Scriptura dicit: « Accepit Deus pulverem ex terra, formavitque hominem, et inspiravit in faciem ejus spiraculum vitæ [84]. » Iterum dicit: « Audivi vocem tuam deambulantis in paradiso [85]. » At cum Deus manibus careat, utpote incorporeus, quomodo accepit pulverem, et cum os non habeat, quomodo insufflavit in faciem ejus spiraculum vitæ? Et cum nec pedes nec linguam habeat, quomodo vocem ejus deambulantis audivit, timuitque Adam? Num animadvertis divinas Scripturas fide simplici, absque omni curiositate accipiendas esse? Quia si locum dederis Satanæ ut menti tuæ curiositatem et infidelitatem injiciat, non omittet quo minus de ipso etiam Deo scandala et offensiones immittat.

Moneo igitur ut doctrinam quoque de corporum resurrectione pura et sincera fide amplectamur, confitentes quia « venit hora, et nunc est, quando mortui audient vocem Filii hominis, et resur-

[84] Gen. II, 7, [85] Gen. III, 10.

VARIÆ LECTIONES.

P Lego οἶαν. P' F. δισταγμόν. q ἀπεριέργου. r Videtur hic deesse tale quid: ἔλαβε χοῦν ἀπὸ τῆς γῆς, καὶ πῶς στόμα οὐκ ἔχοντος ἐνεφύσησεν.

NOTÆ.

(82) De substantia animæ tam rationalis quam irrationalis, vide Conimbricenses ad libros *De anima*.

(83) Similis est quæstio 113, ad Antioch

gent [86]. » Nam si credimus eum omnipotentem esse qui hominem ex nihilo ad esse eduxit, facilius utique figmentum quod finxit, quodque mors disjecit, refingere et reparare poterit. Si credimus in manu Dei esse fines terræ, prout David canit [87], quocunque corpus deferatur, imo licet dissolvatur, exuratur, devoretur, semper in manu Dei sunt et aqua, et ignis, et bestiæ, ex quibus educit corpus, quod acceperunt, comederunt, devorarunt, et submerserunt. Non enim in perditionem abit corpus morti datum; sed licet a mille animalibus aliisve causis consumatur, in quatuor elementa, ex quibus constat, resolvitur, hoc est, in calorem calor, in aquam humor, in terram siccitas; et in his elementis velut in deposito quodam asservatur et custoditur corpus usque ad diem resurrectionis, quando potentia Dei ex ipsis illud iterum excitabit, quemadmodum fecit et ab initio, quando illud condidit.

Et ut physico quodam argumento ostendam corpus exanime in elementa discedere, animum adverte. Vitale et vivificum elementum in brutis, in hominibus et in omni animato quod movetur, est sanguis, hoc est calida et operatrix motio elementi ignis; in brutis colligans, **393** continens et movens tria reliqua elementa. Cumque sanguis vinculum sit, hinc evenit ut, si nimium effundatur vel evacuetur, sive ex homine, sive ex quocunque alio animali, confestim moriatur animal. Si vero non effundatur, effluat vero calida et vitalis ejus motio et operatio, similiter animal vitam finit. Porro calorem esse elementum vitale, fidem tibi faciant volucrum ova, quæ fotu calido excludentur et vivificantur. Lebes quoque plenus aqua, subjecto igne quasi reviviscit et movetur, et bulliendo vocem quamdam edit. Divina insuper Scriptura, ubi de muliere Samaritana agit [88], aquam vivam appellat illam, quæ movetur, et exsilit cum sonitu. Ob hoc forte Deus ad Deum dicit : « Quoniam apud te est fons vitæ [89]. » Omnis enim fons vitam, mortem et resurrectionem nostram imitatur. Nam fontis aqua nascitur, velut infans, in tenebroso quasi utero abyssi; quæ, ubi maturum tempus advenit, in lucem progreditur, movetur, statimque vocem emittit. Postea cum in caldariam imponitur, velut membrum amputatum, subito amissa motione emoritur (84). At ubi lebeti ignem subjeceris, quasi proprium sit calidi elementi animatum reddere, absque mora ad habitudinem quam ad fontem habebat revertitur; reviviscit enim et subsilit, vocemque dum reviviscit, emittit. Similiter plantæ, arbores, et omnia quæ seminantur, si a solis calore non foverentur, nec radices mitterent, nec vita donarentur. Quod si in lucem

τατ.» Εἰ γὰρ πιστεύσομεν, αὐτὸν παντοδύναμον εἶναι, πάντως ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὸν ἄνθρωπον ἀγαγών, εὐκοπώτερον τὸ πλάσμα τὸ ὑπ' αὐτοῦ πλασθὲν, καὶ διὰ θανάτου διαχυθὲν, ἀναπλάσαι καὶ ἀνακαινίσασθαι δυνήσεται. Εἰ πιστεύομεν, καθὼς εἶπεν ὁ Δαβὶδ, ὅτι ἐν τῇ χειρὶ τοῦ Θεοῦ τὰ πέρατα τῆς γῆς, ὅπου δ' ἂν καὶ ἀπέλθῃ τὸ σῶμα, καὶ διαλυθῇ, κἂν καταβρωθῇ, ἐν τῇ χειρὶ τοῦ Θεοῦ ὑπάρχει καὶ τὸ ὕδωρ, καὶ τὸ πῦρ, καὶ τὰ θηρία, καὶ ἐξάγει ἐξ αὐτῶν τὸ σῶμα, ὃ ἔλαβον, καὶ ἔφαγον, καὶ ὃ κατέπιον, καὶ ὃ κατεπόντισαν. Οὐ γὰρ εἰς ἀπώλειαν ὑπάγει τὸ νεκρούμενον τὸ σῶμα· ἀλλὰ κἂν ὑπὸ μυρίων ἢ ἄλλων αἰτιῶν ἀναλωθῇ, εἰς τὰ τέσσαρα στοιχεῖα, ὅθεν συνέστηκεν, ἐκεῖ καὶ ἀπέρχεται, τοῦτ' ἔστιν, εἰς τὸ τοῦ ἡλίου τὸ θερμὸν, καὶ εἰς τὰ ὕδατα τὸ ὑγρὸν, καὶ εἰς τὴν γῆν τὸ ξηρόν· καὶ ὡς ἐν παραθήκῃ τινὶ ἐν αὐτοῖς ἀπόκειται, καὶ φυλάττεται ἕως τῆς ἡμέρας τῆς ἀναστάσεως, ἐν ᾗ δύναμις τοῦ Θεοῦ ἐξ αὐτῶν αὐτὸ πάλιν ἀνίστησι, καθὰ καὶ ἀπ' ἀρχῆς ὅτε αὐτὸ πεποίηκε.

Καὶ ὅπως ἐκ φυσικῆς τινος ἀκολουθίας πείσω, ὅτι εἰς τὰ στοιχεῖα ἀναλύεται καὶ διαιρεῖται τὸ ἀποθνῆσκον σῶμα, ἄκουσον. Τὸ ζωτικὸν καὶ ζωοποιὸν στοιχεῖον καὶ ἐν τοῖς ἀλόγοις, καὶ ἐν τοῖς ἀνθρώποις, καὶ ἐν παντὶ ἐμψύχῳ κινουμένῳ τὸ αἷμά ἐστι, τοῦτ' ἔστιν ἡ θερμὴ τοῦ πυρὸς τοῦ στοιχείου ἐνεργητικὴ κίνησις· ἐν μὲν τοῖς ἀλόγοις δεσμοῦσα, καὶ συνέχουσα, καὶ κινοῦσα τὰ τρία στοιχεῖα. Καὶ διὰ τοῦτο ὡς δεσμοῦ τυγχάνοντος τοῦ αἵματος, ἐὰν κενωθῇ καθ' ὑπερβολὴν, εἴτε ἐκ τοῦ ἀνθρώπου, εἴτε ἀπὸ παντὸς ζώου, εὐθέως ἀποθνήσκει τὸ ζῶον, καὶ ὁ ἄνθρωπος· κἂν δὲ μὴ κενωθῇ, ἐξέλθῃ δὲ ἡ θερμὴ καὶ ζωτικὴ αὐτοῦ κίνησις καὶ ἐνέργεια, ὁμοίως εὐθέως ἀποθνήσκει. Ὅτι δὲ τὸ θερμὸν στοιχεῖόν ἐστι τὸ ζωτικὸν, πειθέτωσάν σε τὰ τῶν ὀρνίθων ὠὰ διὰ τῆς θάλψεως ζωοποιούμενα. Ὁμοίως καὶ ὁ λέβης τοῦ ὕδατος διὰ τοῦ πυρὸς ἀναζῶν καὶ κινούμενος, καὶ φωνήν τινα τῇ βράσει ποιούμενος. Αἱ γὰρ θεῖαι Γραφαὶ, καὶ ὁ Κύριος πρὸς τὴν Σαμαρείτιδα, ὕδωρ ζῶν τὸ κινούμενον καὶ ἐξαλλόμενον καὶ ἠχοῦν ὀνομάζουσι. Καὶ τάχα διὰ τοῦτό φησιν ὁ Θεὸς τῷ Θεῷ, ὅτε « Παρὰ σοὶ πηγὴ ζωῆς. » Ἐπειδὴ πᾶσα πηγὴ μιμεῖται τὴν ἡμετέραν ζωὴν, καὶ τὸν θάνατον, καὶ τὴν ἀνάστασιν. Τίκτεται μὲν γὰρ τὸ τῆς πηγῆς ὕδωρ, ὥσπερ νήπιον ἐν σκοτεινοῖς γαστρὸς τῆς ἀβύσσου, διαλυόμενον καὶ εἰς φῶς προερχόμενον, καὶ κινούμενον, καὶ φωνὴν εὐθέως ἀφιέμενον. Εἶτα ἐν λέβητι ἀντλούμενον, ὥσπερ μέλος τεμνόμενον, εὐθέως γίνεται νεκρούμενον, καὶ μὴ κινούμενον, μηδὲ φωνήν τινα ποιούμενον. Ἐπὰν δὲ τὸ πῦρ ὑπὸ τὸν λέβητα ὑποβάλῃς, ὡς ἂν ἴδια τοῦ θερμοῦ στοιχείου ψυχούμενα, εὐθέως εἰς τὸ πρότερον αὐτοῦ τῆς πηγῆς σχῆμα ἐπανέρχεται, ἀναζῶν καὶ ἀναπηδῶν, καὶ φωνὴν ἐν τῷ ἀναζῆν ἀφιέμενον. Ὡσαύτως καὶ τὰ φυτὰ, καὶ τὰ δένδρα, καὶ πᾶν σπόριμον, ἐὰν μὴ διὰ τῆς

[86] Joan. v, 28. [87] Psal. xciv, 4. [88] Joan. iv, 14. [89] Psal. xxxv, 10.

NOTÆ.

(84) Simile quid invenies quæst. 131, ad Antioch.

ἡλιακῆς θέρμης καταθαλφθῇ, οὐ ῥιζοῖ, οὐδὲ ζωογονεῖται. Εἰ δὲ εἰς φῶς προέρχεται, οὐδὲ γονὴν ἐργάζεται. Κἀντεῦθεν ὁ χειμὼν διὰ τοῦ ψυχροῦ στοιχείου, τὴν ἀκαρπίαν μὲν τοῖς φυτοῖς, τὴν ἀγονίαν δὲ καὶ ἀτεκνίαν τοῖς ζώοις ποιεῖ· ἐν οἷς τρόπῳ τινὶ μιμεῖται τὴν τοῦ θανάτου κατήφειαν. Ὑποχωρεῖ τῷ ψύχει ἡ τρυγὼν, καὶ κρύπτεται ἡ χελιδὼν, σιγᾷ ἡ ἀηδὼν, καὶ ὡς ἐν τάφοις τισὶν, οὕτω τοῖς ἐνσωμάτοις ταμείοις οἱ ἄνθρωποι κατακρύπτονται, πρὸς τὴν θέρμην, ὥσπερ πρὸς ζωὴν καταφεύγοντες· καὶ τῆς χωριζομένης τοῦ ἡμετέρου σώματος, διὰ τῆς ἀποψύξεως καὶ ὑποχωρήσεως τῆς τοῦ αἵματος θερμότητος, ὁ χωρισμὸς τῆς ψυχῆς γίνεται.

Διόπερ ἐὰν ἀνασχίσῃς τὸ νεκρωθὲν εὐθέως σῶμα, χολὴν μὲν, καὶ χυμὸν, καὶ φλέγμα ἐν αὐτῷ εὑρήσεις· αἷμα δὲ οὐδαμῶς. Πρῶτον γὰρ τὸ θερμὸν στοιχεῖον ὑποχωρεῖ ἐκ τοῦ σώματος· δεύτερον τὸ ὑγρὸν, καὶ τρίτον τὸ ψυχρόν· λοιπὸν, οὐκ ἀπομένει ἐν τῷ τάφῳ καὶ ἐν τῇ γῇ, εἰ μὴ τὸ ξηρὸν, τοῦτ' ἔστιν ὁ χοῦς, ὃν ἔλαβεν ὁ Θεὸς ἀπὸ τῆς γῆς. Ἡ γῆ μόνον τὸ ἴδιον αὐτῆς κρατεῖ. Τὰ δὲ ἄλλα τρία στοιχεῖα, εἰς τοὺς ἰδίους τόπους ἀπέρχονται· τὸ θερμὸν, εἰς πῦρ· τὸ ψυχρὸν, εἰς τὸν ἀέρα· τὸ ὑγρὸν, εἰς τὰ ὕδατα. Ὁπηνίκα γοῦν ἡ ἀνάστασις γίνεται, συντρέχουσι κελεύσει Θεοῦ τὰ στοιχεῖα πρὸς ἑαυτά. Πάλιν ὁμοίως καὶ ἡ ψυχὴ ἔρχεται ἐν αὐτοῖς, καὶ ἀνίσταται ὁλόκληρος ὁ ἄνθρωπος.

Ὅταν οὖν δισταγμός τίς σοι περὶ ἀναστάσεως γίνηται, ὁρῶντός σου τὸν χοῦν τὸν ἄψυχον ἐν τῷ τάφῳ, καὶ διαπορουῦντός σου, πῶς ἡ σποδὸς αὕτη ἡ οἰκτρὰ δύναται γενέσθαι ἔμψυχος, ὁλόκληρος ἄνθρωπος· εὐθέως ἀπόβλεψον εἰς αὐτὸν, καὶ δψει· ἐν σοὶ τὸν τύπον τῆς τῶν σωμάτων ἀναστάσεως ἤδη γεγενημένον. Πόθεν γὰρ, εἰπέ μοι, σὺ ἀνέστης, καὶ ὁλόκληρος ἄνθρωπος γέγονας; οὐκ ἀπὸ σπορᾶς οἰκτρᾶς, καὶ ῥυπαρᾶς, καὶ μικρᾶς, ὥσπερ ἐκ τάφου ἐκ μήτρας δυνάμει Θεοῦ ἀνέστης; Εἰ δὲ τὸ ἄψυχόν σε τῆς κόνις [a] τῶν σωμάτων εἰς ἀπιστίαν περιβάλλει, φάσκοντός σου, Πῶς τὸ ἄψυχον ἀναγεννᾶται ἔμψυχον; ἔχεις περὶ τούτου ἀπ' αὐτῆς τῆς κοσμοποιίας μέχρι καὶ νῦν πολλὰς ἀναστάσεως γεννήσεις ἐξ ἀψύχων ἐμψύχους οὔσας. Ἄψυχος ὁ ἥλιος, ἀλλ' ἐξ αὐτοῦ, ὡς πολλάκις εἶπον, προέρχεται ἡ τῶν σωμάτων πάντων ἔμψυχος κίνησις. Ἄψυχα τὰ ὕδατα, ἀλλ' ἐξ αὐτῶν καὶ γέγονε, καὶ γίνεται ἕως νῦν ἐμψύχων ζώων γέννησις, καὶ πετεινῶν ἀνάπτησις καὶ ἀνάστασις. Ἄψυχός ἐστιν ἡ γῆ, ἀλλ' ἐξ αὐτῆς γέγονε πάντων ἐμψύχων κτηνῶν καὶ ἑρπετῶν ἡ ἀνάστασις. Ἄψυχός ἐστι ὁ ἀὴρ, ἀλλὰ μέχρι νῦν τίκτει ἔμψυχον ζωῦφιον, πετεινῶν ἀνάστασιν. Λοιπὸν πρὸς τὰς τ[οι]αύτας πάσας τὰς ἐξ ἀψύχων ἐμψύχους ἀναστάσεις ἀποβλέπων, πίστευε δυνάμει μόνῃ Θεοῦ, καὶ τῆς γῆς ἀψύχου κόνεως, καὶ σαρκὸς ἔμψυχον γίνεσθαι τὴν ἀνάστασιν. Ὁ γὰρ βουλήσει, καὶ λόγῳ μόνῳ, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι συστησάμενος τὰς ἀσωμάτους τῶν ἀγγέλων δυνάμεις, καὶ οὐρανὸν καὶ γῆν, καὶ θάλατταν, καὶ πᾶσαν τὴν ὁρατὴν καὶ ἀόρατον κτίσιν,

A prodeant, neque fructum, neque semen ferre possunt. Hinc hiems per frigidum elementum infecunditatem plantis, et animalibus sterilitatem adducit; quibus quadamtenus mortis tetram mœstitudinem et obscuritatem imitatur. Cedit frigori turtur, hirundo occulitur, silet luscinia; et homines, ceu in sepulcris, ita suis in hibernaculis latitant, et ad calorem velut ad vitam confugiunt; cumque vita a corpore nostro per refrigerationem et recessum caliditatis quæ est in sanguine sejungitur, animæ itidem separatio exsistit.

Quapropter, si jamjam mortuum corpus aperias, choleram quidem, succum et phlegma in ipso invenies; sed nequaquam sanguinem. Primo enim calidum elementum ex corpore abscedit, deinde humidum, tertio frigidum: nec tumulo et terræ aliquid præter siccum relinquitur, hoc est, pulvis quem Deus ex terra accepit. Sola terra quod suum est recipit. Alia tria elementa ad propria loca **394** abeunt: calor in ignem, frigidum in aerem, humidum in aquam. In resurrectione igitur convenient elementa jussu Dei in unum, et ipsa itidem anima cum iisdem copulabitur, resurgetque totus et integer homo.

Quando igitur dubitatio suboritur tibi aspicienti exanimem limum et terram in sepulcro, ambigisque quomodo cinis ille miserabilis vivificari, animari, integerque et solidus homo effici queat, statim oculos ad teipsum verte, videbisque in te imaginem quamdam venturæ corporum resurrectionis jam præcessisse. Unde enim, cedo, tu surrexisti, et integer homo effectus es? nonne ex vili, sordido et exiguo semine formatus, ex utero, tanquam ex sepulcro, virtute Dei, prodiisti? Cæterum, si te a fide et ab assensu abducit quod pulvis sit exanimis, dictitesque: Quomodo id quod exanime est producit id quod anima præditum est? si circumspicere velis, multa a condito mundo resurrectionis et regenerationis animatorum ex inanimatis exempla reperies. Sol inanimatus est, et tamen ab ipso procedit, ut sæpius dictum, omnium corporum animata motio. Inanimes sunt aquæ, et tamen ex illis et olim, et etiamnum nata sunt et nascuntur varia animalia, et volucres in altum subvolantes, et quasi resurgentes. Inanimata est terra, et tamen ex illa omnia jumenta et reptilia surrexerunt. Inanimatus est aer, nihilominus ad hoc usque tempus animatam avium resurrectionem nobis exhibet. Consimiliter ad alias ex inanimatis animatas resurrectiones oculos vertens, crede, sola virtute Dei, ex tuo etiam inanimato pulvere et carne animatam resurrectionem fore: qui enim sola voluntate soloque verbo ex non esse ad esse omnes incorporeas angelorum virtutes,

VARIÆ LECTIONES.

[a] κόνεως.

cœlum, terram, mare, et omnem tam aspectabilem quam inaspectabilem creaturam eduxit, multo facilius, et absque ullo impedimento, solo verbo et arbitrio excitabit et reformabit corpora mortuorum, eo modo quem ipse communis omnium Conditor perspectum habet.

πολλῷ μᾶλλον εὐκολωτέρως καὶ ἀκωλύτως, λόγῳ μόνῳ καὶ ἐπιτροπῇ ἀναστήσει καὶ ἀναπλάσει καὶ τὰ τῶν νεκρῶν σωμάτων, οἵῳ τρόπῳ κελεύει, ὡς αὐτὸς μόνος Δημιουργὸς αὐτῶν ἐπίσταται.

QUÆSTIO XCIII.

Quid est indesinenter orare? Neque enim fieri potest ut homo rei familiaris et filiorum cura districtus, et in mundo degens, absque intermissione oret.

RESPONSIO.

Non intellexit hoc Apostolus de sola oratione quæ voce perficitur. Nam et Christus ait : « Non omnis, **395** qui dicit mihi : Domine, Domine, introibit in regnum cœlorum, sed qui facit voluntatem ejus qui misit me [90]. » Sed ille perpetuo orat qui indesinenter aliquid boni operatur, sive id fiat beneficentia in egenos, sive aliqua alia Deo consentanea actione. Nam et in lecto, in via, in mensa, in foro, et in omni loco cor preces concipere potest.

ΕΡΩΤΗΣΙΣ ϞΓ.

Τί ἐστι τὸ ἀδιαλείπτως προσεύχεσθαι; Οὐ γὰρ δυνατὸν ἀνθρώπῳ, οἴκου καὶ τέκνων ἐπιμελουμένῳ, καὶ ἐν κόσμῳ διάγοντι, ἀδιαλείπτως προσεύχεσθαι.

ΑΠΟΚΡΙΣΙΣ.

Οὐ πάντως περὶ τῆς διὰ λόγου προσευχῆς τοῦτο ὁ Ἀπόστολος εἴρηκε, καθὰ καὶ ὁ Χριστός φησιν, ὅτι « Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πέμψαντός με. » Ἀλλ' ὁ διηνεκῶς τὰ καλὰ ἐργαζόμενος, εἴτε εἰς εὐποιΐας, εἴτε καὶ ἄλλας κατὰ Θεὸν διακονίας, οὗτος ἀδιαλείπτως προσεύχεται. Καὶ γὰρ καὶ ἐν κλίνῃ, καὶ ἐν ὁδῷ, καὶ ἐν τραπέζῃ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν παντὶ τόπῳ, δύναται ἡ καρδία προσεύχεσθαι.

QUÆSTIO XCIV.

Unde et qui fit ut sæpe apud Christianos plures quam apud infideles inveniantur manci, podagrici, leprosi, epileptici, aliisque morbis distenti?

RESPONSIO.

Aliquibus visum est Deum hæc mala nobis immittere ex peculiari erga nos amoris affectu. Sed hæc responsio non placet omnibus. Ego arbitror hæc talia contrahi ex semine et sanguine, ex aere, ex varia nimiumque humida victus ratione, ex vinolentia, ex voracitate. Et hos morbos etiam ab aere pendere testantur Aulesii, a quorum regione podagra perpetim exsulat. Victus quoque rationem parere morbos, Judæi docent; nam et ipsi deliciis, vorandis carnibus, potandis vinis, et corporibus saginandis dediti erant. De cætero, quibus et generis origo sana est, quique in solitario et sicco aere degunt, pauciores infirmos, podagricos puta, claudos, curvos, leprosos, et a dæmone obsessos habent. Sunt et idolorum cultores non pauci qui his morbis careant propter siccitatem, et aeris temperati puritatem.

Forte dicas : Num quis ex delicata vivendi ratione et ex esculentis ac poculentis in morbum caducum incidere et energumenus fieri potest? Audi quid Christus de quibusdam obsessis dicat : « Hoc genus dæmoniorum non exit, nisi in oratione et jejunio [91]. » Igitur, si dæmon jejunio sæpe expellendus est, sequitur eumdem permissu Dei ob voluptates, delicias, gulam, aliasque corporales causas in hominem ingredi posse. Cum

ΕΡΩΤΗΣΙΣ ϞΔ'.

Πόθεν ὁρῶμεν παρ' ἡμῖν τοῖς Χριστιανοῖς ὑπὲρ ἄλλα τινὰ ἔθνη ἄπιστα, πολλοὺς πολλάκις κολοβοὺς, καὶ ποδαλγοὺς, καὶ λεπρούς, καὶ ἐπιληπτικοὺς, καὶ ἄλλαις τισὶν νόσοις κατεχομένους;

ΑΠΟΚΡΙΣΙΣ.

Τινὲς μὲν ἔδοξαν περὶ τούτου, ὅτι ὡς ἀγαπῶν ἡμᾶς ὁ Θεὸς, τὰ τοιαῦτα πάθη συνεχώρησεν ἡμῖν. Ἀλλ' οὐ πᾶσι δεκτή ἐστιν ἡ τοιαύτη ἀπολογία. Οὐκοῦν ἐμοὶ δοκεῖ, ὅτι καὶ ἐκ γένους, καὶ ἐξ ἀέρων, καὶ ἐκ διαίτης πολυποικίλου καὶ καθύγρου, καὶ πολυοινίας, καὶ πολυφαγίας. Καὶ ὅτι μὲν εἰσὶν ἀέρες τοιοῦτοι, δηλοῦσιν Ἀηλείσιοι [1], μηδέποτε ποδαλγὸν ἔχοντες. Ὅτι δὲ ἔστι καὶ δίαιτα τροφῶν καὶ ποτῶν νοσοποιὸς, μαρτυρεῖ τὸ γένος τῶν Ἰουδαίων. Καὶ γὰρ καὶ αὐτοὶ τρυφηλῆς καὶ πολυκρέου, καὶ πολυοίνου καὶ πολυζώμου διαίτης ὑπάρχοντες, λοιπὸν δὲ, καὶ ἐκ γένους, καὶ ἐξ ἀέρων ἐρημικῶν καὶ ξηρῶν τυγχάνοντες, οὐ τοσούτους ἀσθενεῖς, ποδαλγοὺς, καὶ κυλλοὺς, καὶ λεπροὺς καὶ δαιμονιῶντας ἔχουσι; καὶ ἕτερα δὲ πλεῖστα ἔθνη εἰσὶ καὶ εἰδώλοις λατρεύοντα, καὶ οὐχ, ὡς ἔτυχε, τὰς τοιαύτας νόσους ἔχοντα, διὰ τὴν ξηρότητα καὶ ἀέρων εὐκρατῶν καθαρότητα.

Ἀλλ' ἴσως ἐρεῖς, Τί οὖν; ἔστι ἐκ τρυφῆς καὶ σπατάλης, καὶ ἄλλων ἐδεσμάτων ἐπιληπτικοὺς καὶ δαιμονιῶντας γενέσθαι; Περὶ τούτου ἄκουσον τοῦ Χριστοῦ λέγοντος περί τινων δαιμονιώντων, ὅτι « Τὸ γένος τοῦτο οὐκ ἐξέρχεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. » Οὐκοῦν ἐὰν ἐκ νηστείας ἐξέρχεται πολλάκις, καὶ ἐκ σπατάλης, καὶ ἐκ τρυφῆς, καὶ ἑτέρων σωματικῶν αἰτιῶν εἰσέρχεται, κατὰ Θεοῦ συγχώρησιν. Καὶ γοῦν πρὸ ὀλίγου χρόνου τῆς ἀλώσεως

[90] Matth. VII, 21. [91] Matth. XVII, 20; Marc. IX, 28

VARIÆ LECTIONES.

[1] forte Αὐλήσιοι.

Κύπρου παραγενόμενός τις φιλόσοφος καὶ ἰατρὸς σοφιστὴς, ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Ἐπιφανίου, καὶ θεωρήσας τὸ πλῆθος τῶν πασχόντων, ἔλεγε· Δύνασθε τῇ βοηθείᾳ τοῦ Θεοῦ διὰ διαίτης τινὸς καὶ διά τινων καθαρσίων καὶ ἀφαιμάξεων ἰάσασθαι, καὶ δὴ κατὰ κέλευσιν τοῦ ἀρχιεπισκόπου ἐπιχειρήσας τοὺς πλείους ἴάσατο.

A paulo ante captam Cyprum (85) philosophus quidam et medicus ad oratorium seu ecclesiam sancti Ephiphanii venisset, vidissetque ingentem ægrorum multitudinem : Potestis, aiebat, Deo adjuvante, curari per recte institutam diætam, per purgationes quasdam, et per sanguinis missionem ; remque jussu archiepiscopi aggressus, multos optatæ sanitati restituit.

ΕΡΩΤΗΣΙΣ ΛΕ'.

Πάνυ πολυζήτητον παρὰ πᾶσίν ἐστι τὸ, Πόθεν ἐξ αὐτῆς τῆς γεννήσεως καὶ νεαρᾶς ἡλικίας εὑρίσκονται φυσικῶς πρασεῖς; ἄλλοι ὀργίλοι; ἕτεροι φιλόδιοι καὶ πόρνοι; ἄλλοι μισογύναιοι καὶ ἐγκρατεῖς; καὶ εἰσί τινες πάλιν φύσει εὐμετάδοτοι; οὐ μόνον δὲ, ἀλλὰ καὶ φυσικῶς τινες εὑρίσκονται εὐνούστατοι, καὶ διανοητικοί; ἄλλοι δὲ ψυχροὶ, ἀνόητοι, καὶ ἐξῆς ;

396 QUÆSTIO XCV (86).

Vulgatissima et apud omnes tritissima quæstio est, qui fiat quod alii a primo suo ortu et ab infantia sint natura sua mites, alii iracundi, alii vitæ hujus amatores et scortatores, alii mulierum osores et continentes, alii natura sua liberales. Nec hoc solum, sed et alios naturaliter sagacissimos et solertissimos videmus, alios vero stolidos et stupidos, etc.

ΑΠΟΚΡΙΣΙΣ.

Περὶ τούτου εἴρηται μὲν ἡμῖν ἐν ἰδιωτικῷ πονήματι, ἐν ᾧ ἀρξάμενοι ἀπ' αὐτῆς τῆς τοῦ ἡλίου ἀνατολῆς τὰς χώρας, καὶ μέχρι τῆς δύσεως, καὶ πάλιν ἀπ' αὐτῆς δὴ κύκλῳ μέχρι τοῦ βορρᾶ, καὶ καθεξῆς, καὶ ἕως αὐτὴν τὴν ἀνατολὴν, ἐδείξαμεν, ὡς ὅτι οὐχ ὁ Θεός ἐστιν ὁ ποιῶν τόνδε τὸν ἄνθρωπον σώφρονα, ἕτερον δὲ πάλιν πόρνον· οὐδὲ μὴν τοῦτον μὲν ὀργίλον, τὸν δὲ ἄλλον μακρόθυμον· ἀλλὰ γένη τινά εἰσι, καὶ κράσεις χωρῶν, καὶ τόποι, καὶ στοιχείων, καὶ ἀέρων, καὶ καιρῶν τροπαὶ, καὶ παραλλαγαί. Λοιπὸν δὲ καὶ αἰτίαι φυσικαὶ, καὶ τοῖς στοιχείοις τοῦ σώματος παρακολουθοῦσαι, δι' ὧντινων καὶ τροπῶν καὶ αἰτιῶν καὶ καιρῶν καὶ κράσεων ἐὰν εὑρεθῇ πλημμύρα τοῦ θερμοῦ στοιχείου ἐν τῇ ὥρᾳ τῆς συλλήψεως τοῦ βρέφους, γίνεται τὸ τικτόμενον θερμῆς κράσεως, καὶ φιλόδιον, καὶ εὐμετάδοτον. Εἰ δὲ πάλιν τῇ κινήσει τοῦ ψυχροῦ στοιχείου ἡ σύλληψις γίνεται, ἀγνοτέρας ἕξεως καὶ ψυχροτέρας τὸ γεννώμενον εὑρίσκεται. Ὁμοίως λοιπὸν καὶ ἐπὶ τῶν ἄλλων δύο στοιχείων· τὸ μὲν ξηρὸν, μηνιαστὴν, καὶ πικρὸν, καὶ νηφάλιον, καὶ δεινὸν ἀποτίκτει ἄνθρωπον· τὸ δὲ ὑγρὸν, νωθρὸν, καὶ ὑλαῖον, καὶ γαστρίμαργον, καὶ ῥυπαρόν. Ἐὰν γὰρ θείᾳ κελεύσει εἴπωμεν γεννώμενον καὶ γινόμενον τοῦτον μὲν τὸν ἄνθρωπον πονηρόν· οὐ μόνον δὲ, ἀλλ' οὔτε ὁ σώφρων ἄνθρωπος ἄξιος εὑρεθήσεται μισθοῦ (88). Ὁ γὰρ Θεὸς ἐποίησεν αὐτὸν σώφρονα· οὔτε μὴν ὁ πόρνος, ἢ ὁ ὀργίλος ἄξιός ἐστι κολάσεως ὑπὸ τοῦ Θεοῦ τοιοῦτος γενόμενος. Ὅθεν τὰ τοιαῦτα ἐκ φύσεως, ἡ φρόνησις καὶ ἡ σωφροσύνη, ἃ οὐκ ἀρεταὶ λέγονται ὑπὸ ἁγίων Πατέρων, ἀλλὰ φυσικὰ προτερήματα καὶ πλεονεκτήματα,

RESPONSIO.

De hoc argumento disputavimus in commentario proprio, in quo pervagati regiones quæ sunt ab ortu solis usque ad occasum, et ab hoc ad septentrionem, et rursus in orbem usque ad orientem, ostendimus Deum non esse (87) qui faciat hunc hominem temperantem, illum fornicatorem ; hunc iracundum, alium longanimem et patientem ; sed hoc in qualitatibus et temperamento regionum, elementorum, aeris, et in temporum mutatione ac varietate positum esse. Quin et causæ physicæ sunt quæ corporis elementa comitantur, ex quarum causarum concursu, si tempore conceptionis calidum elementum abundet et exsuperet, efficietur infans temperamenti calidi, vitæ amans et liberalis ; si conceptio fiat, frigido elemento dominante, id quod nascetur frigidioris et castioris complexionis seu constitutionis erit. Eadem de duobus aliis elementis ratio est. Nam siccitas efficit hominem iracundum, amarulentum, sobrium, acrem ; humiditas pigrum, segnem, materiæ immersum, voracem et sordidum. Quod si dicamus hunc divino nutu natum et factum esse improbum, non solum iste, sed et temperantiæ studiosus a mercede excludetur ; nam Deus fecit illum temperantem : sed nec scortator neque iracundus pœnam merebitur, quandoquidem talis a Deo conditus est. Unde prudentia et temperantia a natura sunt ; quæ a sanctis Patribus non vocantur virtutes, sed naturales quædam prærogativæ et præcellentiæ, quas vanissimi astrologi ex astrorum situ et motu hominibus obvenire nugantur. Sed, ut prius dixi, co-

NOTÆ.

(85) Capta est Cyprus a Saracenis anno 7 Constantis imper., qui est Christi 647 (*Histor. Miscell.* lib. XIX).

(86) Similis quæstio ad Antioch. 118.

(87) Non recte hoc. Natura enim ad temperantiam reliquasque virtutes propensa, vere a Deo est; quia *omne datum optimum et omne donum perfectum a Deo est*, teste sancto Jacobo (I, 17), tametsi negandum non est, cœli et regionis constitutionem non parum ad id conferre.

(88) Mercede dignus est temperans, quia, licet talis a Deo factus sit, libere tamen temperantiam sequitur et amplectitur, a qua, si vellet, desciscere posset. Hinc dignus præmio est. Sic pœna dignus est scortator, quia, licet calidiorem naturam sortitus sit, libere tamen fornicatur, et sponte sua in flagitium ruit.

piosius de hoc in proprio commentario disputatum est.

A

γίνεσθαι. Ὡς γοῦν προεῖπον, ἐν ἑτέρῳ πλατύτερον περὶ τούτων εἰρήκαμεν.

QUÆSTIO XCVI.

« Omnes merito mirantur et obstupescunt multa admiranda et stupenda quæ **397** circa mortem hominum contingunt. Quapropter cupimus, saltem aliquatenus, discere quid causæ sit cur multi hominum, etiam principum et regum, qui improbi sunt, et sæpe etiam ad improbitatem, impietatem et hæreses aliis duces et magistri fiunt, et universo propemodum mundo nocumenta inferunt, ut plurimum ad multos annos vitam prorogent, quorum longævitas ad plurimorum perniciem redundat; alii autem pietatis, virtutis et religionis præcones, multisque causa salutis effecti, exiguo tempore vivant, et florente ætate moriantur. Rursus alii ex ethnicis baptismum desiderantes, interdum uno vel altero die prius quam salutaribus undis abluerentur, et salutem consequerentur, supremum diem obierunt, et sic peccatis propriis onusti ad inferos abierunt. Alii quinquaginta vel octoginta annis vitam sancte traducentes, et miraculis etiam collucentes, in hæresin vel fornicationem inciderunt, statimque flagitiis adhuc implicati hinc excesserunt. Alius princeps impius in morbum delapsus, vel in bello constitutus, animo statuit, si ex ægritudine resurgat, vel domum cum victoria revertatur, se Christianorum ecclesias clausurum, et templa idolorum aperturum; et hæc mente proponens convaluit, et idola restituit. Alius vero princeps contrarium decrevit, nimirum se, si a morbo liber evadat, aperturum Christianas ecclesias, occlusurum idolorum delubra, eleemosynas largiturum, et captivos liberaturum; et, quo omnia firmiora sint, testamentum condidit, testesque adhibuit : nec tamen pristinam valetudinem recuperavit, sed peccatis obnoxius animam exhalavit, et nihil eorum quæ bene constituerat, ad rem collatum est. Infinita hujus generis exempla quotidie intueri licet. Quocirca alieni a fide hæsitant, mundum absque Providentia ferri et regi rati : fideles autem de justitia Dei dubitationem quamdam patiuntur, quam nemini patefacere audent; sed tacito sub pectore scandalo gravi sauciantur. »

B

C

D

ΕΡΩΤΗΣΙΣ ϞϚ'.

« Ὅτι θαμβεῖται πᾶσα ἡ τῶν ἀνθρώπων φύσις πολλὰ φοβερὰ καὶ κατάπληκτα ἐπὶ τοῖς θανάτοις τῶν ἀνθρώπων γινόμενα. Διὸ παρακαλοῦμεν, εἰ δυνατὸν, κἂν ἐκ μέρους μαθεῖν, τί δήποτε πολλοὶ τῶν ἀνθρώπων, ἢ καὶ ἀρχόντων καὶ βασιλέων, πονηροὶ ὄντες, καὶ πονηρῶν πολλάκις μαθημάτων καὶ αἱρέσεων καὶ ἀσεβειῶν διδάσκαλοι, πᾶσαν σχεδὸν τὴν οἰκουμένην καταβλάπτοντες, πολυχρόνιοι ἐπὶ πολὺ γίνονται, ἐπ' ἀπωλείᾳ ψυχῶν πολλῶν καὶ λαῶν τὸ μακροχρόνιον κομισάμενοι. Ἕτεροι δὲ εὐσεβεῖς, καὶ πᾶσαν ἀρετὴν καὶ θεοσέβειαν τῷ κόσμῳ κηρύττοντες, καὶ αἴτιοι πολλῶν ψυχῶν εἰς σωτηρίαν γινόμενοι, ὀλιγοχρόνιοι βιοῦσι, καὶ ἐν νεότητι τελευτῶσιν. Ἄλλοι πάλιν ἐξ Ἑλλήνων βουλευσάμενοι βαπτισθῆναι, πρὸ μιᾶς πολλάκις, ἢ δευτέρας ἡμέρας τοῦ βαπτισθῆναι καὶ σωθῆναι, ἐτελεύτησαν ἐν ταῖς ἰδίαις ἁμαρτίαις ἀπελθόντες ἐν γεέννῃ. Ἕτεροι δὲ ἐπὶ πεντήκοντα ἢ ὀγδοήκοντα χρόνους σημείοις καὶ τέρασι διαλάμποντες, εὐθέως ἀπέθανον ἐν κακοῖς διαληφθέντες. Καὶ ὁ μὲν δυνάστης δυσσεβὴς, ἀσθενείᾳ περιπεσών, ἢ ἐν πολέμῳ ἀνελθὼν, συνετάξατο καθ' ἑαυτὸν, ὅτι εἴπερ ἐὰν μετὰ νίκης ὑποστρέψῃ, ἢ τῆς κλίνης ἐξαναστῇ, κλείει μὲν τὰς ἐκκλησίας, ἀνοίγει δὲ τοὺς τῶν εἰδώλων ναούς· καὶ ὁ ταῦτα βουλευσάμενος ἔζησε, καὶ τὰ εἴδωλα ἤνοιξεν. Ἕτερος δὲ τύραννος τοὐναντίον συνετάξατο, ὅτι ἐὰν τῆς κλίνης καὶ τῆς νόσου ἀπαλλαγῇ, ἀνοίγει μὲν τὰς ἐκκλησίας, κλείει δὲ τὰ εἰδωλεῖα, καὶ δίδωσιν εὐποιίας, ἐλευθεροῖ αἰχμαλωσίας· εἶτα καὶ τὴν διατύπωσιν πάντων τούτων τῶν ἀγαθῶν ἔγραψε, καὶ μάρτυρας ἀνατέθεικε· καὶ δὴ οὐκ ἀνέστη, ἀλλ' ἐν ἁμαρτίαις ὢν, ἐτελεύτησε, καὶ οὐδὲν τῶν τοσούτων ἀγαθῶν γέγονε· καὶ ἕτερα δὲ μυρία τ[οι]αῦτα ἔστι καθ' ἡμέραν εἴδεσθαι γινόμενα. Διὸ οἱ μὲν Ἕλληνες ἀποροῦνται, ἀπρονόητον εἶναι τὸν κόσμον ἐνόμισαν. Οἱ δὲ πιστοὶ δισταγμὸν πολλάκις τινὰ εἰς τὴν τοῦ Θεοῦ δικαιοκρισίαν κατὰ ψυχὴν ἔχοντες, τινὶ μὲν τοῦτο ἐξειπεῖν οὐ τολμῶσι μόνον δὲ ὅτι ἔσωθεν ἔσω σκανδαλιζόμενοι τὴν καρδίαν κατακαίονται. »

RESPONSIO.

Scripturæ lex et præceptum est : « Altiora te ne quæsieris, et fortiora te ne scrutatus fueris [92]. » Scimus etiam scriptum, « judicia Dei esse abyssum multam [93]. » Vicissim tamen non ignoramus illum qui dicit, « justitias et judicia sua manifestare Israeli [94]; » Israeli, inquam, spirituali in Christo : Israel vero, si interpreteris, est *mens cernens Deum*. Igitur qui Deum videt, potest, Spiritu sancto illustratus, nonnulla judicia et mysteria Christi percipere. Nam « Spiritus omnia scrutatur, etiam profunda Dei [95]. » Licet enim dictum sit : « Quis co-

ΑΠΟΚΡΙΣΙΣ.

Ὅτι μὲν νόμος ἐστὶ Γραφικὸς, ὁ λέγων· « Καὶ ἐπώτερά σου μὴ ἐκζήτει, καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε, » οἴδαμεν, ὅμως κἂν γέγραπται, ὅτι « Τὰ κρίματα τοῦ Θεοῦ ἄβυσσος πολλή. » Ἀλλ' ἔστι πάλιν ὁ λέγων, ὅτι « Γνωρίζει ὁ Θεὸς δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραὴλ, » λέγω δὴ τὸν πνευματικὸν κατὰ Χριστόν. Ἰσραὴλ δὲ ἑρμηνεύεται *νοῦς ὁρῶν τὸν Θεόν*. Οὐκοῦν ὁ τὸν Θεὸν ὁρῶν, δύναται παρ' αὐτοῦ ἐλλαμπόμενος τῷ ἁγίῳ Πνεύματι, μαθεῖν τινα τῶν κριμάτων καὶ μυστηρίων Χριστοῦ· « Τὸ γὰρ Πνεῦμα, φησὶ, πάντα ἐρευνᾷ. καὶ τὰ βάθη

[92] Eccli. III, 22. [93] Psal. XXXV, 7. [94] Psal. CXLVII, 19. [95] I Cor. II,

τοῦ Θεοῦ. » Εἰ γὰρ καὶ εἴρηται· « Τίς ἔγνω νοῦν Κυρίου; » ἀλλ' ὁ Παῦλος καὶ οἱ κατὰ Παῦλον λέγουσιν, ὅτι « Ἡμεῖς νοῦν Χριστοῦ ἔχομεν, » καθὰ καὶ Ἱερεμίας φησὶν, ὅτι οὐ μὴ ποιήσῃ Κύριος πρᾶγμα, ὅπερ οὐκ ἀποκαλύψει τοῖς δούλοις αὐτοῦ προφήταις.

Εἰ δὲ τοῖς ἐν νόμῳ ἐδήλου, ὥς φησιν ὁ Δαβὶδ, « Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς καρδίας σου ἐδήλωσάς μοι, » πολλῷ πλέον τοῖς ἐν τῇ χάριτι, οἵτινες ἔμαθον, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· οἵτινες καὶ εἰσῆλθον, καὶ ἀνεπαύσαντο, εἰς θεῖά τινα πράγματα, « εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι, » ὡς μαρτυρεῖ ἡ θεία Γραφή· οἵτινες ἔχοντες σὺν τῷ Πνεύματι καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα, κατὰ τὴν ὑπόσχεσιν Χριστοῦ τὴν λέγουσαν, ὅτι « Ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατήρ, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. » Καὶ πάλιν φησὶν, ὅτι « Οὐδεὶς γινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. » Εἰ οὖν καὶ αὐτὸς ὁ Θεὸς καὶ παντοκράτωρ Πατὴρ, τρόπῳ τινὶ πνευματικῷ ἀῤῥήτως ἀποκαλύπτεται τοῖς δικαίοις, πόσῳ γε μᾶλλον οἱ λόγοι καὶ τὰ μυστήρια τῶν κτισμάτων αὐτοῦ; Εἰ γὰρ τοῖς Ἕλλησι τοῖς ἀξίοις πρὸς ἐπιστροφὴν καὶ θεογνωσίαν, σχεδὸν εἰπεῖν, τοῦ οὐρανοῦ, καὶ γῆς, καὶ ἄστρων, καὶ ἡλίου, καὶ θαλάσσης, καὶ στοιχείων, καὶ σωμάτων, καὶ πνευμάτων, τὸ μυστήριον ἐκ μέρους ἐγνώρισε καὶ ἀπεκάλυψε αὐτὰ ὁ Θεὸς, πόσῳ γε μᾶλλον τοῖς ἔνοικον αὐτὸν ἔχουσι;

Πολλαὶ μὲν οὖν περὶ τούτων καὶ τῶν τοιούτων ζητημάτων ἐξ αἰώνων γεγόνασι ζητήσεις τε καὶ διερωτήσεις· καὶ οὐ περὶ τούτων μόνον, ἀλλὰ καὶ τίνος χάριν ἀνὴρ ὅσιος περιπατῶν ἐν ὁδῷ, ἄφνω ἐτελεύτησεν, ἕτερος ἐν βαλανείῳ ὁμοίως τὴν ψυχὴν παρέδωκεν, ἕτερος ἐν τραπέζῃ τὸ ποτήριον δεξάμενος, σὺν αὐτῷ καὶ τὸ ποτήριον τοῦ θανάτου ἔπιεν· ἄλλη γυνὴ τίκτουσα, ἄλλη ἐν τῷ θαλάμῳ ἀγνὴ καὶ παρθένος, τῇ ὥρᾳ τοῦ γάμου καὶ τῆς χαρᾶς ἐτελεύτησεν· ἄλλος εἰς ἱερωσύνην δικαίως προχειρισθεὶς, καὶ ψυχὰς δυνάμενος σῶσαι, τῇ τρίτῃ ἡμέρᾳ νοσήσας ἀπέθανε. Περὶ ὧν ἁπάντων, ὁ μετὰ πίστεως χωρῶν, χωρείτω, καὶ τὴν λύσιν ἀδιστάκτως κατὰ τὴν Πατέρων διδαχὴν ἀκουέτω.

Ἐν ἀρχῇ ποιήσας ὁ Θεὸς τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πᾶσαν ταύτην τὴν ὁρωμένην κτίσιν, ἐκ τεσσάρων στοιχείων αὐτὴν παραδόξως κατεσκεύασε, καθὼς καὶ ἤδη προλαβὼν εἶπον, ἐκ πυρὸς, καὶ ὕδατος, γῆς, καὶ ἀέρος· ἐξ ὧν καὶ τὸ σῶμα τὸ ἡμῶν καὶ τῶν ζώων σύγκειται. Δέδωκεν οὖν ὁ Θεὸς τούτοις τοῖς τέσσαρσι στοιχείοις, ὥσπερ τισὶ στρατηγοῖς καὶ ἡνιόχοις, καθὼς καὶ αὐτὸς βούλεται, διοικεῖν καὶ ἄγειν, κυβερνᾷν τὴν ἐξ αὐτῶν, ὥσπερ ἐκ πατέρων τινῶν γεννηθεῖσαν καὶ σχεδιασθεῖσαν τῶν σωμάτων φύσιν. Ὅθεν καὶ ἔστιν εἰδέσθαι ἀεὶ πάντα τὰ ἐπίγεια σώματα, καὶ φυτὰ, καὶ ζῶα, καὶ ἅπαν ἔμψυχόν τε καὶ ἄψυχον πρὸς τὴν τῶν ἀέρων καὶ τῶν στοιχείων κρᾶσιν ἀγόμενα καὶ ποιούμενα, καὶ μεταποιούμενα, καὶ παλαιούμενα, ἢ

A gnovit **398** sensum Domini [96]? » Paulus tamen et imitatores Pauli dicunt : « Nos sensum Christi habemus [97]; » quemadmodum etiam Jeremias testatur Deum non facturum aliquam rem quam non patefacturus sit servis suis prophetis [98].

Porro si his qui sub lege erant manifestavit occulta, Davide canente : « Incerta et occulta, cordis tui manifestasti mihi [99]; » multo magis patefaciet ea illis qui sub gratia degunt; qui didicerunt quæ oculus non vidit, nec auris audivit, nec in cor hominis ascenderunt [1]; qui ingressi sunt in divina quædam adyta, « in quæ angeli desiderant prospicere, » ut ait divina Scriptura [2] : qui cum sancto Spiritu Filium quoque et Patrem possident, juxta
B hanc Christi promissionem : « Ego et Pater veniemus ad eum, et mansionem apud eum faciemus [3]. » Et : « Nemo cognoscit Patrem, nisi Filius, et cui Filius voluerit revelare [4]. » Si igitur ipse Deus et omnipotens Pater modo quodam spirituali ineffabiliter justis revelatur, quanto magis iisdem quæ circa creaturas ipsius geruntur patefaciet? Et si olim Græcis hoc beneficio dignis, ad conversionem Deique agnitionem notificavit omnia ex parte quæ ad cœlum, terram, astra, solem, mare, elementa, corpora et spiritus spectant, quanto magis hoc beneficium præstabit illis in quibus, ceu indigena, habitat?

A condito mundo de his et id genus aliis quæ-
C stiones et variæ dubitationes, interrogationes, et controversiæ exstiterunt : nec de his solum, sed et de aliis : ut cujus gratia vir sanctus, dum deambularet, subito exstinctus est, alius in balneo exspiravit, alius in mensa, poculo accepto, simul cum illo poculum mortis ebibit; alia mulier in partu, alia in thalamo inviolata virgo, ipso nuptialis gaudii tempore, animam efflavit; alius sacerdotio initiatus, et multarum animarum lucro destinatus, tertia die, morbo contracto, moritur. De quibus omnibus, qui potest cum fide capere, capiat, et singulorum solutionem ex doctrina sanctorum Patrum audiat.

In principio, quando Deus cœlum et terram,
D mare, et universam hanc aspectabilem creaturam condidit, ex quatuor elementis eam mirifice coagmentavit, ut prius etiam dictum, ex igne, aqua, terra, aere. Ex quibus etiam corpus nostrum et animalium constat. Dedit igitur Deus his quatuor elementis velut ducibus **399** et aurigis, prout ipsius voluntas fert, potestatem administrandi, agendi, et gubernandi corpoream naturam ex ipsis, velut ex patribus quibusdam progenitam et compactam. Hinc videre est omnia terrestria corpora, plantas nimirum, et animalia, et omnia tam animata quam inanimata, ad aeris et elementorum misturam et temperamentum circumagi, transmutari, senescere, reviviscere, corrumpi. Si de his dubitas, cedo, unde

[96] ibid. 16, et Rom. xi, 34. [97] I Cor. ii, 16. [98] Jerem. xxv, 4, et alibi sæpe. [99] Psal. l, 8. [1] I Cor. i, 9. [2] I Petr. i, 12. [3] Joan. xiv, 23. [4] Matth. xi, 27.

lit, ut sæpe mortifera lues invadat bruta, volatilia A et pisces maris, qui nullo peccato sese obstrinxerunt?

ψυχούμενα, καὶ ζωογονούμενα, ἢ φθειρόμενα. Εἰ δὲ ἀμφιβάλλειν δοκεῖς τοῖς εἰρημένοις, εἰπέ μοι, πόθεν πολλάκις θανατικὰ συμβαίνει τοῖς ζώοις, καὶ τοῖ, πετεινοῖς, καὶ τοῖς ἰχθύσι τῆς θαλάσσης, τοῖς μηδὲν πρὸς Θεὸν ἁμαρτήσασιν;

Igitur et humanum corpus nostrum, ex terra sumptum, ejusdem cum illis substantiæ, mortale et corruptibile, ex illis ipsis elementis compositum, ex quibus etiam animalia constant, divino quodam et primævo mandato, ut mihi videtur, ab his elementis, velut a primogenitoribus quibusdam, nutu Dei, administratur, regitur, augescit, vivit, ægrotat, tandem moritur. Vitam vero et mortem appello, quæ divina virtute naturaliter ex elementorum conjunctione vel dissolutione oritur. Cæterum tres species mortis statuo, unam communem et vulgatam, qua plerique defunguntur; alteram spiritualem, qualis erat Corinthiorum indigne communicantium [7], quæ ipsis a Deo per comminationem immissa est; qualem subierunt quoque primogenita Ægypti [8]; neque enim naturali aeris vel elementorum ordine et constitutione, sed ex divina indignatione, mors eis illata est. Tertia est illa quæ inexplicabili judicio Dei tam justis quam injustis aliquando obvenit, dum præcipitantur, suffocantur, vel terra obruuntur ac defodiuntur, prout accidit filiis Job [9]. Similiter duas vitæ differentias agnoscimus: altera est communis et vulgata, quæ, ut sæpius dixi, Dei providentia, ex elementorum apta et bene temperata gubernatione exsistit; altera est C divinitus concessa, singulari munere Dei obveniens, qualis erat Ezechiæ, quindecim annorum vita post morbum, cœlitus impertita [8], qualis Lazari post resuscitationem [9], et quorumdam similium.

Οὐκοῦν καὶ τὸ ἀνθρώπινον ἡμῶν τὸ ἐκ τῆς γῆς ληφθὲν σῶμα, ὁμοούσιον αὐτοῖς ὑπάρχον, θνητὸν καὶ φθαρτὸν, ἐκ τῶν αὐτῶν στοιχείων καὶ τὴν σύστασιν ἔχον, ἐξ ὧν καὶ τὰ ζῶα συνέστηκεν, ὡς ἐμοὶ δοκεῖ, θείᾳ καὶ ἀρχεδότῳ προστάξει, ὑπὸ τῶν στοιχείων ὡσανεί τινων γεννητόρων αὐτοῦ, λόγῳ Θεοῦ διοικεῖται, καὶ ἄγεται, καὶ αὔξει, καὶ ζῇ, καὶ νοσεῖ, καὶ τελευτᾷ. Ζωὴν δὲ καὶ τελευτὴν λέγω τὴν θείᾳ δυνάμει φυσικῶς ἐκ τῆς τῶν στοιχείων ἑνώσεως καὶ διαιρέσεως συνισταμένην. Τρεῖς γὰρ οἶδα τάξεις λέγειν θανάτου· μίαν τὴν κατὰ κοινοῦ ἰδίῳ θανάτῳ B συνισταμένην· δευτέραν δὲ ὡς τὴν Κορινθίων πρὸ ἀναξίως κοινωνούντων, καὶ κατὰ θείαν ἀπειλὴν αὐτοῖς πεμπομένην, οἵαν καὶ εἰς τὸν πρωτότοκον Αἰγύπτου, οὐ κατὰ φυσικὴν ἀκολουθίαν ἀέρων ἢ στοιχείων γεγενημένην, ἀλλὰ καὶ κατὰ θείαν ὀργήν. Τρίτην δὲ τὴν τῶν κατὰ ἄῤῥητον κρῖμα Θεοῦ κρημνιζομένων, ἢ πνιγομένων, ἢ καταχωννυμένων, ἀδίκων τε καὶ δικαίων, ὡς ἐπὶ τῶν υἱῶν τοῦ Ἰώβ. Ὁμοίως καὶ ζωῆς δύο εἶναι διαφορὰς ἐπιστάμεθα. Μίαν μὲν τὴν κατὰ κοινοῦ φυσικῶς, ὡς πολλάκις εἶπον, ἐκ προνοίας Θεοῦ διὰ τῆς τῶν στοιχείων εὐτάκτου καὶ εὐκράτου διοικήσεως συνισταμένην. Ἑτέραν δὲ τὴν θεοδώρητον, λέγω δὴ τὴν ὑπὸ τοῦ Θεοῦ χαριζομένην, οἷα ἦν Ἐζεκίου κατὰ τὴν νόσον C ζωὴ τῶν πεντεκαίδεκα χρόνων, καὶ ἡ Λαζάρου μετὰ τὴν ἀνάστασιν, καὶ ἑτέρων τοιούτων.

Scire enim oportet Deum, tanquam Dominum vitæ et mortis, naturæ, elementorum, et omnium, interdum, quando et ubi lubet, vitæ vitam adjicere; et ubi etiam lubet, mortem inferre, justis quoque; prout ad Moysen ait: « Apponatur Aaron ad patres suos [10]; » et ad ipsum Moysen: « Ascende in montem, et morere [11]. » **400** Meo judicio, quemadmodum Nabuchodonosori, Davidi, et aliis quibusdam populorum patribus et gentium magnis regibus, ad populi dignitatem et splendorem accessiones et successiones, incrementa a D Deo obtigerunt: ita crebro justis itidem additiones annorum obveniunt; nam Deus supra naturalem vitam, vitam corporis apponit. Verum in præsenti non est nobis sermo de raris istis additionibus et subtractionibus, quibus vitam vel producere vel contrahere potest; sed disputatio est de communi vitæ et mortis cursu, cui corpora omnium ex elementis compacta subjacent: quomodo scilicet nonnullis in regionibus sana et diuturna subsistant; in aliis contra ægrotent, et exi-

Δεῖ γὰρ ἡμᾶς πρὸς τούτοις ἐπίστασθαι, ὅτιπερ ὡς δεσπόζων ὁ Θεὸς τῶν ζώων [u] καὶ τοῦ θανάτου, καὶ τῶν φύσεων, καὶ των στοιχείων, καὶ πάντων, ὅπου μὲν βούλεται, προστίθησι ζωήν. Ὅπου δὲ κελεύει, ἐπάγει καὶ ἐπὶ δικαίους θάνατον, ὡς φησὶ πρὸς Μωϋσέα· « Ὅτι προστεθήτω Ἀαρὼν πρὸς τοὺς πατέρας αὐτοῦ· » καὶ πάλιν αὐτῷ τῷ Μωϋσῇ· « Ἀνάβηθι εἰς τὸ ὄρος, καὶ τελεύτα. » Ἐμοὶ δοκεῖ, ὅτι ὥσπερ καὶ ὁ Ναβουχοδονόσορ, καὶ Δαβὶδ, καὶ ἄλλοι τινὲς πολλάκις πατέρες λαῶν, καὶ ἐθνῶν βασιλεῖς μεγάλοι, πρὸς τὴν τοῦ λαοῦ ἀξίαν καὶ προσθήκας καὶ ὑφαιρέσεις τῶν ἐκ Θεοῦ κομίζονται, πολλάκις δὲ καὶ δικαίοις τισὶν ἐπὶ πλείω προκοπαὶ διὰ τῆς προσθήκης τοῦ χρόνου μέλλουσι, προστίθησιν ὁ Θεὸς ὑπὲρ τὴν φυσικὴν ζωὴν, τὴν τοῦ σώματος ζωήν. Ἀλλ' οὐ περὶ τούτων ἡμῖν νῦν τῶν σπανίων ὑπὸ Θεοῦ ἐν τισι προσθηκῶν καὶ ὑφαιρέσεων ζωῆς καὶ θανάτου ὁ λόγος ἐστὶν, ἀλλὰ καὶ περὶ τῆς κατὰ κοινοῦ ἐν ὅλῳ τῷ γένει τῆς τῶν ἀνθρώπων φύσεως ζωῆς τε καὶ θανάτου τῶν ἡμετέρων σωμάτων. Πῶς ἔν τισι μὲν χώραις ὑγιεινὰ ταῦτα καὶ πολυχρόνια

[7] I Cor. xi, 18 seqq. [8] Exod. xii, 29. [9] Job. i, 19. [8] IV Reg. xx, 6. [9] Joan. xi, 44. [10] Num. xx, 24. [11] Num. xxvii, 11, 12.

VARIÆ LECTIONES.

[u] Lego ζωῶν a ζωή.

γίνονται, ἐν ἄλλαις δὲ, νοσερὰ καὶ ὀλιγοχρόνια. Πῶς τινὲς τόποι συχνῶς θανατικὰ ὑφίστανται· ἄλλαι δὲ χῶραι ἐθνῶν ἀσεβῶν οὐδόλως θανατικῶν πεῖραν γινώσκουσι. Καὶ πόθεν ἐν τῷ αὐτῷ πολλάκις Ἑλλήνων, ἢ Βαρβάρων, ἢ πιστῶν γένει τινὲς μὲν πολυτεκνοῦσι, πονηροὶ ὄντες, ἄλλοι δὲ ἀτεκνοῦσι, ἀγαθοὶ ὑπάρχοντες. Καὶ πάλιν τινὲς εὐσεβοῦντες ὀλιγοχρόνιοι γίνονται, ἕτεροι δὲ πονηροὶ, πολυχρόνιοι τελευτῶσι. Καὶ τίνος χάριν οἱ μὲν ἄφωνοι καὶ ἀδιάθετοι ἁρπάζονται καὶ θνήσκουσιν· ἄλλοι δὲ, ἐπὶ χρόνον ἀσθενοῦντες, οὐ τελευτῶσι.

A guo tempore durent, et quomodo quædam loca sint sanitati exitiosa, alia vero impiorum incolarum vix quidquam bonæ valetudini adversum ferant : qua insuper ratione contingat ut in eodem loco degentes non pauci et Græci et Barbari, impietatis studio dediti, liberis abundent; alii vero pietatis cultores omni prolis solatio destituantur. Item cur nonnulli probitatis studiosi exiguo tempore vivant; alii autem, iique scelerati, vitam ad multos annos prorogent. Ad hæc, qua de causa alii vocis experies, nulloque testamento condito, abripiantur et moriantur; alii autem diuturno morbo conflictati, vitam non finiant.

Καὶ ὅπως σαφεστέρα ἡ διάγνωσις καὶ ἡ ἀπόδειξις τῶν προκειμένων ζητημάτων Θεοῦ χάριτι γένηται, ὑποθώμεθα πάλιν τινὰ ἢ χώραν ἀσεβῆ καὶ παράνομον τῷ διαβόλῳ λατρεύουσαν, καὶ ὅλως, τί ἐστι Θεὸς, μὴ γινώσκουσαν, ἀλλὰ λίθοις, καὶ ξύλοις μυσαροῖς, καὶ μύαις [y], καὶ πιθήκοις προσκυνοῦσαν καὶ δουλεύουσαν· εἰπέ μοι λοιπὸν σὺ ὁ λέγων προορισμὸν τῆς ζωῆς ἑκάστου ἀνθρώπου προγεγραμμένον παρὰ Θεῷ πρὸς τὸ συμφέρον, πῶς καὶ διὰ τί τινὲς τῆς ἀσεβοῦς πόλεως ἐκείνης, οἱ μὲν ἑκατονταετεῖς τελευτῶσιν, οἱ δὲ πεντηκονταετεῖς; οἱ μὲν ἄτεκνοι, οἱ δὲ πολύτεκνοι; οἱ δὲ περιπατοῦντες, ἕτεροι δὲ ἐπὶ πέμπτῃ πολλάκις, ἢ καὶ δεκάτῃ ἡμέρᾳ ψυχομαχοῦντες, καὶ ταραττόμενοι, οὕτω τοῦ σώματος χωρίζονται; ἄλλοι δὲ εἰρηναίως καὶ γαληνῶς τὴν ψυχὴν παραδιδοῦσιν. Εἰπέ μοι λοιπὸν σὺ, πάντων αὐτῶν ἀσεβῶν καὶ πονηρῶν ὄντων, πόθεν τινὲς αὐτῶν ὑγιεῖς τὸν ἅπαντα χρόνον διῆξαν, οἱ δὲ νοσεροὶ καὶ πολυπαθεῖς; καὶ οἱ μὲν πολύτεκνοι, οἱ δὲ ἄτεκνοι; καὶ οἱ μὲν περιπαθοῦντες [x] ἀπέθανον, οἱ δὲ ἐπὶ χρόνον νοσήσαντες; καὶ οἱ μὲν ἑκατονταετεῖς, οἱ δὲ διακοσιονταετεῖς; ἄλλοι νήπιοι, καὶ ἕτεροι θηλάζοντες τοῦ βίου ἐπορεύθησαν; Ὁ γοῦν προορισμὸν ζωῆς χρόνων δοξάζων καὶ λέγων, ἐπ' αὐτοῖς προσκρούει τῷ Θεῷ. Εἰ γὰρ πρόγνωσίς ἐστιν, ὥσπερ οὖν ἔστι, τίνος χάριν, τούτῳ μὲν τῷ εἰδωλολάτρῃ ἀνθρώπῳ πεντακόσια ἔτη ζωῆς προώρισεν, ὡς λέγεις, τούτῳ δὲ πάλιν ἑκατόν; τοῦτο δὲ νήπιον καθαρὸν καὶ ἀθῶον τῆς πατρικῆς αὐτοῦ εἰδωλολατρείας ἐπῆρεν ἐκ τοῦ βίου; Εἰ γὰρ κατὰ προορισμὸν ταῦτα γέγονε, προσωπολήπτης εὑρεθήσεται ὁ Θεὸς, ὃς τὸν μὲν καθαρὸν λαβὼν ἀπὸ τοῦ βίου, τὸν δὲ προωρίσας πεντακοσίους χρόνους ζωῆς, προγινώσκων, ὅτι ἐν εἰδωλολατρείᾳ τοὺς τοσούτους καταναλώσει χρόνους.

Et, ut disquisitio ac demonstratio propositarum quæstionum dilucidior fiat, faciamus esse provinciam ab omni pietate et æquitate alienam, diabolico cultui mancipatam, verique Dei prorsus nesciam, sed lapides, detestanda ligna, muscas et simias adorantem, cedo age, tu qui singulis terminum vitæ, prout utile est, a Deo præstitui affirmas, quomodo et qua de causa alii ex impiæ illius civitatis indígenis centenarii hinc excedant, alii quinquagenarii; alii sine liberis, alii multa sobole ditati; alii obambulantes, alii crebro quinque vel etiam decem dies cum morte luctati, ægre animam efflent; alii e contrario placide et quiete exspirent. Illud præterea responde, quomodo, cum omnes æque impietatis rei sint, quidam totum vitæ spatium prospera valetudine, alii variis ægritudinibus obnoxii decurrant : et illi quidem multa prole relicta, isti nulla; illi inter ambulandum, isti sat longo tempore decumbentes; illi centum, isti ducentorum annorum; alii in infantia et matris sub ubere supremum diem obeant. Si enim prænotio seu præfinitio est, cur homini idololatriæ dedito quingentos annos vitæ præstituit, ut tu asseris, alteri centum; hunc vero infantili ætate, et paterni sceleris **401** purum innocentemque ex vitæ hujus statione educit? Nam si hæc ex præfinitione contingunt, Deus erit acceptor personarum, utpote qui hunc illibatum intactumque rebus humanis eximit, alteri quingentos annos admetitur, non ignarus omnes in idololatria consumptum iri.

Ἀλλ' οὐκ ἔστι ταῦτα, μὴ γένοιτο· οὐδέ ἐστι κακοῦ αἴτιος ὁ Θεὸς κατὰ τοὺς τῶν Μανιχαίων μύθους. Ἐκεῖνοι γάρ φασιν, ὅτι τοῖς μὲν ἀγαθοῖς καὶ δικαίοις ὁ ἀγαθὸς καὶ δίκαιος Θεὸς προώρισε τὴν ζωήν· τοῖς δὲ ἀσεβέσι καὶ πονηροῖς ἀνθρώποις ὁ πονηρὸς, φασὶ, Θεὸς ποιεῖ, καὶ τὴν γέννησιν, καὶ τὸν θάνατον. Ὁ δὲ ἱερὸς καὶ ἀποστολικὸς διδάσκαλος Κλήμης ἐν τῷ Περὶ προνοίας καὶ δικαιοκρισίας Θεοῦ πρώτῳ λόγῳ τοιοῦτόν τι λέγει· Ὥσπερ δυνατὸν καὶ νῦν ἄνθρωπον πλάττειν ἀνθρώπους κατὰ τὴν προτέραν τοῦ Ἀδὰμ διάπλασιν, οὐκ ἔτι οὕτω ποιεῖ διὰ τὸ

D Sed absit ut hæc ita se habeant! Non est Deus auctor malorum, ut Manichæi delirant, qui docent bonis et justis Deum bonum et justum vitæ terminos posuisse, impiis vero et sceleratis Deum malum tam ortus quam mortis effectorem esse. Cæterum sanctus et apostolicus doctor Clemens in primo de providentia et justo judicio Dei sermone, ejusmodi quid scribit : Quemadmodum fieri potest ut et nunc homo formet hominem, eo pacto quo Adam formatus est, id tamen non fit eo quod homini vim generandi homines concesserit, verbis

VARIÆ LECTIONES.

[y] μυΐαις. [x] Interpres legerit περιπατοῦντες.

illis ad naturam humanam prolatis : « Crescite, et multiplicamini, et replete terram [12] ; » ita, inquit, omnipotente et provida sua virtute, corporum resolutionem et corruptionem, naturali quadam serie et consecutione, elementorum mutationi permisit, et commisit secundum insitam essentiæ illius cognitionem et comprehensionem. Audivi quæ nos Pater Patrum doceat, nempe Deum bonitate et providentia sua naturæ nostræ essentialiter indidisse tam carnis generationem, ex elementorum virtute coalitam, quam resolutionem vitæque exstinctionem. Igitur, si videris aliquos ex impiorum numero ad summam ætatem provehi, alios autem pietati addictos paucis annis superesse, nihil absurdi de Deo in animum admitte; sed cogita divinam providentiam elementorum et aeris naturam et temperamentum secundum divinæ mentis momenta administrare et gubernare decrevisse; omnem, inquam, quæ sub aspectum cadit, pecorum, volucrum, piscium et hominum naturam, et tam ortum quam interitum corporum. Quocirca, quando humidum et liquidum elementum aliqua lue inficitur, pisces intereunt; quando terra, jumenta contabescunt. Si aer nimio frigore exasperetur, volucribus pernicies affertur, si elementum ignis, nutu Dei, nimis incalescat, hominibus fatale exitium paritur. Ergo propter elementorum divino nutu motiones, accessus, recessus, mistiones et **402** qualitates provinciæ nonnullæ mortiferis malis carent, cum fruantur aere sicco et puro, aquis itidem puris, et ad sanitatem conservandam accommodatis. Testantur hoc aquæ Jerichuntinæ temporibus Elisei prophetæ, quæ sterilitatem et mortem pariebant. Quare propheta curaturus illas aiebat : « Hæc dicit Dominus : Sanavi aquas has, et non erit in eis amplius mors neque sterilitas [13]. » Audis, tu, qui præfinitiones nobis affers, vocem propheticam et divinam, perspicue attestantem, mortem et sterilitatem ex aquis hominibus obtingere, sicut e contrario vitam et fecunditatem ex aqua provenire planum faciunt aquæ Ægyptiæ admodum feraces et fecundæ. Quod si ex aquis corpora, permissu Dei, intereunt, sequitur, idem ex reliquis elementis, secundum quædam incrementa, vel decrementa, accidere posse.

Si vero hæc aliter se habent, cedo, quare Deus scientiam medicinæ hominibus tradidit, herbasque et omnis generis alia ad curationem apta præparavit? Hinc, ut ego quidem arbitror, medici hominem sæpius, annuente Deo, a morte liberant. Itaque veterum sapientes diligenter apud philosophos et medicos instabant, ut quam accuratissime exponerent quæ in qualibet regione elementorum et ipsius terræ qualitates essent; quibus fit ut mancipia quæ in orientem transportantur,

[12] Gen. I, 28. [13] IV Reg. II, 21.

A ἅπαξ χαρίσασθαι τῷ ἀνθρώπῳ ἀνθρώπους γεννᾷν, εἰπὼν πρὸς τὴν φύσιν ἡμῶν τὸ, « Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε γῆν·» οὕτω, φησὶ, τῇ παντεξουσίῳ καὶ προνοητικῇ αὐτοῦ δυνάμει, καὶ τὴν τῶν σωμάτων διάλυσιν καὶ τελευτὴν, φυσικῇ τινι ἀκολουθίᾳ καὶ τάξει, τῇ τῶν στοιχείων μεταβολῇ ᾠκονόμησε γίνεσθαι, κατὰ τὴν οὐσιώδη αὐτοῦ θεογνωσίαν καὶ κατάληψιν. Ἤκουσα [y] φωνῆς ἱερᾶς Πατρὸς Πατέρων διδασκούσης, ὅτιπερ τῇ παναγάθῳ καὶ τῇ προνοητικῇ αὐτοῦ δυνάμει ὁ Θεὸς οὐσιωδῶς ἐντέθεικε τῇ ἡμετέρᾳ φύσει καὶ τὴν διὰ σαρκὸς γέννησιν, τὴν ἐκ στοιχείων δυνάμει Θεοῦ συνισταμένην· ὁμοίως καὶ τὴν διάλυσιν καὶ ἀποβίωσιν· οὐκοῦν ὁπηνίκα ἴδῃς τινὰς ἀνθρώπους ὑπεργηρῶντας ἀσεβεῖς ὄντας, τινὰς δὲ θεοσεβεῖς ὀλιγοχρονίους, μηδὲν ἀπρεπὲς περὶ Θεοῦ ἐννοησίας [z] μαθὼν, ὅτι τὴν τῶν στοιχείων καὶ ἀέρων φύσιν καὶ κρᾶσιν ᾠκονόμησεν ἡ τοῦ Θεοῦ πρόνοια διοικεῖν, καὶ κυβερνᾷν, κατὰ τὴν τοῦ Θεοῦ ῥοπὴν, πᾶσαν τὴν ὁρωμένην κτηνῶν τε καὶ πετεινῶν, καὶ ἰχθύων, καὶ ἀνθρώπων φύσιν, καὶ γέννησιν, καὶ διάλυσιν, καὶ σωμάτων θνῆσιν. Ὅθεν ὁρῶμεν, ὅτιπερ ἡνίκα περὶ τὸ ὑγρὸν στοιχεῖον ἡ φθορὰ περιγένηται, θνήσκουσιν ἰχθύων αὐτομάτων πλῆθη· ὅτε δὲ περὶ τὸ τῆς γῆς ξηρὸν, πίπτουσι τὰ κτήνη. Ἐὰν δὲ τὸ τοῦ ἀέρος ψυχρὸν πλεονάσῃ, φθείρει τὰ πετεινά· εἰ δὲ τὸ τοῦ πυρὸς ὑπερζέσει στοιχεῖον, συνειδήσει τοῦ ποιητοῦ τελευτῶσιν ὑπὸ θανατικοῦ ἄνθρωποι δι' αὐτῶν. Διὸ [a] λοιπὸν τὰς τῶν στοιχείων προνοίᾳ Θεοῦ κινήσεις, καὶ πλημμύρας, B καὶ ἐλαττώσεις, καὶ κράσεις, καὶ ποιότητας, τινὲς χῶραι ἀπείραστοι θανατικῶν τυγχάνουσι, ξηροτέρων πολλάκις καὶ καθαρῶν καὶ ἀρύπων [b], καὶ ὑγιεινῶν ἀέρων καὶ ὑδάτων ὑπάρχουσαι. Καὶ μαρτυροῦσι τὰ Ἱεριχούντια ἐπὶ Ἐλισαιὲ ἄγονα καὶ θανατηφόρα ὑπάρχοντα. Ὅθεν ἰώμενος αὐτὰ ὁ προφήτης ἔλεγε· « Τάδε λέγει Κύριος· Ἴαμαι τὰ ὕδατα ταῦτα, καὶ οὐκ ἔσται ἐν αὐτοῖς θάνατος, ἢ ἀτεκνοῦσα [c]. » Ἀκούεις, ὁ τοὺς προορισμοὺς ἡμῖν προβαλλόμενος, προφητικῆς καὶ θείας φωνῆς μαρτυρούσης, καὶ ὑδάτων γίνεσθαι τοῖς ἀνθρώποις θανάτους καὶ ἀτεκνίας, καθὰ πάλιν καὶ τὰ Αἰγύπτια ὕδατα μαρτυροῦσι πολύγονα καὶ εὔτεκνα τυγχάνοντα. Εἰ δὲ ἐξ ὑδάτων θνήσεις σωμάτων συνειδήσει Θεοῦ γίνονται, πάντως ἂν καὶ τῶν λοιπῶν στοιχείων κατά τινας αὐτοῦ πλεονασμοὺς, ἢ ἐλαττώσεις. D

Εἰ δὲ μὴ ταῦτα οὕτως, εἰπέ μοι, τίνος χάριν ὁ Θεὸς τὴν ἰατρικῆς ἐπιστήμην τοὺς ἀνθρώπους ἐσόφισε, καὶ τὰς βοτάνας, καὶ τὰ εἴδη πάντα θεραπευτικὰ προηυτρέπισε; Ὅθεν, καθάπερ ἐγὼ οἶμαι, καὶ σώζουσι πολλάκις, Θεοῦ προνοίᾳ οἱ ἰατροὶ ἐκ θανάτου ἄνθρωπον. Ἀμέλει γοῦν οἱ τῶν ἀρχαίων ἐπιστήμονες ἐπυγθάνοντο τοὺς φιλοσόφους, καὶ ἰατροὺς τοὺς ἐπιστήμονας εἰς ἀκρίβειαν αὐτοὺς [d] διαγγέλλειν τὰς ποιότητας, καὶ τῶν στοιχείων τῶν χωρῶν, καὶ ἐκ ποίας γῆς. Δι' ὧν εἴς τε τὰ εἰς ἀνατολὴν ὀφεί-

VARIÆ LECTIONES.

[y] f. ἤκουσας. [z] ἐννόησον. [a] διά. [b] f. ἀῤῥυπάρων. [c] LXX interp. ἀτεκνουμένη. [d] f. αὐτούς.

λοντα μεταπιπράσκεσθαι σωμάτια μὴ ταχέως, ἀποθνήσκειν· ἐκ πολίας δὲ πάλιν εἰς Βορρᾶν· καὶ οὕτω καθεξῆς περὶ πασῶν διηρώτων τῶν χωρῶν, ὡς ἐκ πείρας μαθόντες εἶναί τινας ἀστέρας, καὶ χώρας, καὶ ὕδατα συντόμως φθείροντα τὰ ἐξ ἑτέρων χωρῶν μετακομιζόμενα ἐκεῖσε σωμάτια. Καὶ γοῦν πρὸ ὀλίγων χρόνων παραγενόμενος εἰς τὴν νεκρὰν θάλασσαν εἰς τὰ μέρη Ζωηρῶν[f] καὶ Τετραπυρίας[g], ἔνθα χαλεποί τινες, καὶ φθοροποιοὶ καὶ καυσώδεις καὶ σηπτικοὶ καθ' ὁμοιότητα Κύπρου τυγχάνουσι οἱ ἀέρες, εὗρον πάντας τοὺς αἰχμαλώτους τῶν κατὰ σπορῶν τοῦ δημοσίου Κυπρίους τυγχάνοντας· κἀμοῦ θαυμάσαντος, καὶ τὴν αἰτίαν ἐρωτήσαντος, οἱ τὰ αὐτόθι διοικήσαντες, ταύτην πρός με τὴν ἀπόκρισιν δεδώκασιν, ὅτι οὐ προσδέχονται οἱ ἐνταῦθα ἀέρες ἕτερα σώματα, εἰ μὴ τὰ ἀπὸ Κύπρου. Καὶ γὰρ πολλάκις, φασὶ, πεμφθέντες ὧδε ἐκ διαφόρων χωρῶν αἰχμάλωτοι, ἐντὸς ὀλίγου χρόνου ἐφθάρησαν, καὶ ἀπέθανον.

A diu vivant; quæ itidem conditiones sint ejus terræ quæ est ad Boream, et ita ordine de singulis regionibus inquirebant, ut quasi experientia discerent esse stellas, provincias et aquas quæ breti tempore illuc delatos absumant. Atqui, cum non ita pridem ad mare Mortuum, præcipue ad partes Zoeroram et Tetrapyriæ profectus essem, ubi aer est exitiosus, æstuosus, et ad putrefactionem generandam idoneus, instar ejus qui est in Cypro, illic inveni omnes captivos et servos eorum qui publicis agris colendis præsunt, Cyprios esse; cumque ego admirarer, et causam hujus rei intelligere cuperem, ii qui rebus agendis præfecti erant, hoc responsum dederunt, aerem hujus loci non ferre alia corpora quam ex Cypro. Addebantque, B huc ex diversis aliis regionibus crebro captivos missos, intra breve temporis spatium vitam cum morte commutasse.

Οὐκοῦν ἐντεῦθέν ἐστι σαφῶς διαγνῶναι, ὅτι ὁ πάντων δημιουργὸς, καὶ ποιητὴς ὁ Θεὸς, ὁ ἀπ' ἀρχῆς δοὺς ἑκάστῃ φύσει τῶν κτισμάτων τὴν οἰκείαν ἐνέργειαν, αὐτὸς δέδωκε καὶ τοῖς στοιχείοις, κατὰ τὴν αὐτοῦ πρόνοιαν καὶ γνῶσιν καὶ ῥοπὴν, διοικεῖν τὴν τῶν ἡμετέρων σωμάτων γέννησίν τε καὶ αὔξησιν καὶ ζωὴν, καὶ τὸν θάνατον καὶ, διὰ τῆς αὐτῶν, λέγω δὴ τῶν τεσσάρων στοιχείων κινήσεως, ἢ ἐκλείψεως, ἢ αὐξήσεως, ἢ διαιρέσεως, ὁ τοῦ σώματος γίνεται θάνατος. Καθ' ἣν γὰρ ὥραν, καὶ ῥοπὴν, ἡ θερμὴ καὶ ζωογονικὴ τοῦ σώματος ἐνέργεια ἐκ τινος αἰτίας C ἐκλείψει ἐκ τοῦ σώματος, εὐθέως ἀποθνήσκει ὁ ἄνθρωπος ὁ ἐκ στοιχείων τὸ σῶμα συγκείμενος, καὶ ὑπὸ θείας δι' αὐτῶν δυνάμεως ζωοποιούμενος, καὶ λυόμενος λοιπόν. Διὰ τούτων καί τινες νήπιοι ἀποθνήσκουσι· διὰ τούτων καί τινα καὶ ἔμβρυα τελευτῶσι, κατά τινα φυσικὴν στοιχείου αἰτίαν καὶ ἀντιπάθειαν ἀσθενησάσης καὶ ἐκλειψάσης τῆς ζωτικῆς θέρμης τοῦ αἵματος ἐνεργείας, καὶ μὴ ἰσχυσάσης ἐπὶ πολὺ ζωογονῆσαι τὸ σῶμα. Ὡς γὰρ καὶ ἤδη προεῖπον, οἵᾳ ὥρᾳ ἐκλείψει ἡ ἐν τῷ αἵματι θερμὴ καὶ κινητικὴ ἐνέργεια, εὐθέως ἡ ζωὴ τοῦ σώματος χωρίζεται. Καὶ διὰ τοῦτό τινες ἐν ὁδῷ ἐξαίφνης πεσόντες ἐξέπνευσαν. Διὰ τοῦτο ἄλλοι ἐν τραπέζῃ τελευτῶσι. Διὰ τοῦτό τινες ἀσεβεῖς ὑπεργηρῶσι. Διὰ τοῦτό τινες ἀγαθὸν ποιῆσαι σκεψάμενοι οὐκ ἔφθασαν, ἀλλὰ προσεφθάρησαν. Διὰ τοῦτο καί τινες ὅσιοι παραπεσόντες οὕτως ἀπέθανον. Δοκεῖ γάρ μοι, ὅτι πᾶσαι χῶραι φυλάττουσι πολυχρόνια τὰ βρώματα, καὶ τὰ σπέρματα πάντως ὅτι καὶ τὰ ἀνθρώπινα σώματα, ὥσπερ καὶ τὸ ἐναντίον. Καὶ διὰ τοῦτό τινες ἀσεβεῖς τέκνα συντόμως θάπτουσι· τινῶν δὲ ἀσεβῶν τέκνα πολυχρονοῦσι. Διὰ ταῦτο ἐν ταύτῃ μὲν τῇ πόλει, θανατικοῦ γενομένου, τὰ νήπια τελευτῶσιν, ἐν ἑτέρᾳ δὲ πόλει οἱ τέλειοι ἄνθρωποι, καὶ πάλιν ἐν ἄλλῃ αἱ γυναῖκες, καὶ οἱ γέροντες· καὶ ποτὲ μὲν λοιμικὴ νόσος, ποτὲ δὲ πυρεκτική. Καὶ ἄλλοτε δὲ βρασμοῦ,

403 Ex his ergo manifestum evadit omnium conditorem et creatorem Deum, qui a principio cuilibet naturæ propriam operationem indidit, dedisse etiam ex sua providentia, scientia et nutu, elementis hoc, ut nostrum ortum, incrementum, vitam et mortem moderentur, ita ut per ipsorum quatuor elementorum motum, vel decrementum, vel augmentum, vel divisionem mors corpori obveniat. Quocunque enim tempore vel occasione calida et vitalis operatio corporis aliqua causa desinit, statim moritur ex elementis compositus homo, et quem elementa, vi quadam divina, vivificabant, eumdem postea dissolvunt ac dissipant. Quapropter nonnulli etiam in infantia obeunt, imo etiam embryones moriuntur, quando ex naturali elementi causa et antipathia vitalis calor debilitatur et deficit, sic ut corpus diu vivificare nequeat. Ut enim jam prædictum est, quandocunque calida illa et motrix operatio in sanguine evanescit, e vestigio vita cessat. Propterea quidam, dum in via essent, derepente corruentes exstincti sunt; alii in mensa animam efflant. Eam ob causam scelerati quidam ad summam senectutem provehuntur. Inde quoque fit ut quidam magna et præclara animo volutantes, prius vivendi finem fecerint, quam rem aggrederentur. Ideo nonnulli ex sanctis a virtutis D tramite cum excidissent, eo in statu hinc migrarunt. Mihi enim videtur cuilibet regioni suam esse vim et facultatem diu vel non diu conservandi esculenta, semina, atque adeo ipsa humana corpora. Hanc ob causam nonnulli præstantes pietate liberos suos immaturo funere mersos cito sepeliunt, cum contra improborum quorumdam liberi diuturnam vitam agant. Hinc itidem contingit ut, cum in hac urbe contagiosa lues exsistit, moriantur infantes, in alia homines adulti, in alia mulieres et senes; et aliquando quidem nascitur

[f] Ab urbe Zóης vel Zώης, de qua vide Orthelium in *Thesauro*. [g] f. Τετραπυργίας. Nam hujus nominis exstant loca quædam, ut videbis apud eumdem Orthelium.

pestis, aliquando febris. Interdum nimia inflammatione, interdum laterum dolore homines intereunt, morte orta ex aeris et aliorum elementorum motione, incremento et decremento, pro variarum regionum diversitate ac conditione; non tamen absque Dei scientia et nutu, absit! cum hæc omnia eveniant ex primæva illa elementorum motione et constitutione quam Deus illis indidit.

Ex qua fit, meo judicio, ut aliquando mulieres, pietatis cultrices eximiæ, sterilitate laborent, ut, exempli gratia, Sara, Rebecca, Anna; aliæ vero improbæ, numerosa sobole ditentur. Quanquam fortassis audax non fuero, si dicam illud contingere ex naturali quadam **404** et a Deo insita dispositione et causa. Sæpe enim mulier, decem viris successive nupta, illos omnes in tumulum intulit acerrimo et nimis actuoso humore et semine plena. Similiter et vir eadem de causa successive pluribus feminis matrimonio junctus, omnes sepelivit. Quidam volunt (89) eodem modo, scilicet ex temperamento et differentia elementorum accidere ut nonnulli sanctimonia conspicui multos dies cum morte luctentur, et ægre tandem animam a corpore abrumpant; alii vero multis sceleribus cooperti quiete et sine lucta animam exhalent. Testimonio sunt qui pleuritide moriuntur; isti enim sive pii sint, sive impii, absque violentia, edentes, bibentes et loquentes exstinguuntur. Cum enim morbus pleuriticus ex frigida materia constet, statim vitalem calorem sanguinis opprimit, et hac ratione faciliorem exitum animæ parat.

Quod vero, ut plurimum, mortiferæ causæ ex redundantia sanguinis enascantur, tribus vel quatuor documentis demonstrabo. Nam primo infantes, ut calidioris naturæ, frequenter moriuntur. Deinde, circa Paschale tempus, vere ineunte, quando sanguis nimium copiosus secta vena minuitur, varia mortis genera potissimum exsistunt. Tertio, quia complures morientium, occaso jam sole, sub noctem expirant, frigore hujus temporis vitalem sanguinis operationem expellente, et frigefaciente ægrotum. Hinc, si mortuum disseces, tria illa, phlegma, atram et nigram bilem reperies in corpore; at sanguinem non reperies.

Sed nolo hic invidus quispiam accurrat, nosque fatum introducere asserat. Adest enim qui dicit, neque unum passerculum cadere in terram inscio Patre nostro qui est in cœlis [15]; in manu enim ejus sunt fines terræ [18], fertque et transfert omnia et verbo virtutis suæ [16]. Sed iste ipse omnium administrator et provisor Deus, qui omnia potentiæ suæ nutu fert et gubernat, hominem ab initio condidit

[15] Matth. x, 29. [18] Psal. xciv, 4. [16] Hebr. i, 3.

A καὶ ἄλλοτε πλευριτικῇ διαθέσει οἱ ἄνθρωποι ἀποθνήσκουσιν ἐν τοῖς θανατικοῖς κατὰ τὴν τοῦ ἀέρος, καὶ τῶν στοιχείων κίνησιν, καὶ πλεονασμὸν, καὶ ἔκλειψιν τῶν τόπων, καὶ τῶν χωρῶν· καὶ οὐκ ἐκτὸς μὲν γνώσεως τοῦ Θεοῦ· ἄπαγε! ὅμως διὰ τῆς ἀρχεδότου παρ' αὐτοῦ στοιχείων κινήσεώς τε καὶ διοικήσεως.

Δι' ἧς πάλιν, ὡς ἐμοὶ δοκεῖ, πολλάκις καί τινες γυναῖκες εὐσεβεῖς στεῖραι εὑρίσκονται, καθάπερ ἡ Σάῤῥα, καὶ ἡ Ῥεβέκκα, καὶ Ἄννα· τινὲς δὲ πάλιν ἀσεβεῖς πολύτεκνοι. Τάχα δὲ τολμῶ λέγειν, ὅτι καὶ κατά τινα τοιαύτην φυσικὴν καὶ θεόκτιστον ἀκολουθίαν, καὶ αἰτίαν τῶν σωμάτων. Πολλάκις γὰρ γυνὴ δέκα ἀνδράσι συζευχθεῖσα κατὰ πρόσδασιν B πάντας αὐτοὺς ἔθαψε δριμυτάτου τινὸς καὶ δραστηρίου εὑρεθεῖσα χυμοῦ, καὶ σπορᾶς. Ὡσαύτως δὲ καὶ ἀνὴρ ἐκ τῆσδε τῆς αἰτίας κατὰ πρόσδασιν πολλάκις ἐνωθεὶς γυναιξὶ, τὰς πάσας ἔθαψε. Φασὶ δέ τινες, ὅτι τῷ αὐτῷ τρόπῳ, τουτέστι κράσει, καὶ αἰτίᾳ, καὶ διαφορᾷ τῶν στοιχείων, οἱ μὲν πολλάκις ἐπὶ πλείστας ὥρας καὶ ἡμέρας ψυχομαχοῦντες, ὅσιοι ὄντες, οὕτω τὴν ψυχὴν τοῦ σώματος ἀπορῥήσσουσιν· οἱ δὲ, πάλιν πονηροὶ ὄντες, εἰρηναίως καὶ ἀσιάντως [h] τοῦ σώματος χωρίζονται. Καὶ μαρτυρεῖ τοῦτο ὁ τῶν πλευριτικῶν θάνατος· οὗτοι γὰρ κἂν ἀσεβεῖς, κἂν θεοσεβεῖς ἔσονται, ἀσιάντως, ἐσθίοντες, καὶ πίνοντες, καὶ λαλοῦντες τελευτῶσι. Διὰ γὰρ τοῦ ψυχροῦ στοιχείου ἡ πλευριτικὴ νόσος συνισταμένη, συντόμως τὴν τοῦ αἵματός θέρμην τὴν ζωτικὴν ἀναστέλλουσα, ἀλυπότερον αὐτῶν τὸν χωρισμὸν τῆς ψυχῆς ἐργάζεται. C

Ὅτι δὲ κατὰ πλεονασμὸν ὡς ἐπὶ τὸ πλεῖστον τοῦ αἵματος τὰ πολλὰ τῶν θανατικῶν συνίσταται, ἐρῶ σοι καὶ τρίτην καὶ τετάρτην παράστασιν. Πρῶτον μὲν, ὅτι ὡς θερμότερα ὄντα τὰ νήπια πολλάκις αὐτὰ τελευτῶσι. Δεύτερον, ὅτι τοῦ ἀέρος [i] ἀρχομένου ἐπὶ τὸν τοῦ Πάσχα καιρὸν, ὅτε ὁ τοῦ αἵματος πλεονασμὸς, καὶ ἀφαιμάξεις γίνονται, τότε τὸ διάφορον τολμικὸν γίνεται τῆς φύσεως i. Τρίτον, ὅτι οἱ πολλοὶ τῶν τελευτώντων κλίνοντος τοῦ ἡλίου τῇ νυκτὶ ἀποθνήσκουσι, τῆς ψυχούσης τὸν ἄνθρωπον. Ὅθεν καὶ ἐὰν ἀνασχίσῃς τὸν ἀποθανόντα ἄνθρωπον, τὰ τρία στοιχεῖα τοῦ φλέγματος, τοῦ χυμοῦ, καὶ τῆς D χολῆς εὑρήσεις ἐν τῷ σώματι, αἷμα δὲ οὐχ εὑρήσεις.

Ἀλλὰ μὴ καταδράμῃ τοῖς εἰρημένοις ὁ φθονερὸς ἀκροατὴς, νομίσας ἡμᾶς, καὶ εἱμαρμένην διὰ τῶν εἰρημένων παρεισάγειν. Πάρεστι γὰρ ὁ λέγων, Οὐδὲ ἓν στρουθίον πεσεῖται ἐπὶ τῆς γῆς ἄνευ εἰδήσεως τοῦ Πατρὸς ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς· ἐν γὰρ τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ· καὶ φέρει καὶ μεταφέρει πάντα τῷ νεύματι καὶ ῥήματι τῆς δυνάμεως αὐτοῦ. Ἀλλ'

VARIÆ LECTIONES.

[h] Ita ms. Sed videtur legendum ἀδιάστως, *sine vi*. [i] Lego ἔαρος. [i] θνήσεως.

NOTÆ.

(89) Quæst 104 ad Antioch.

οὗτος δὴ αὐτὸς ὁ πάντων διοικητὴς καὶ προνοητὴς ὁ Θεὸς, ὁ φέρων καὶ διοικῶν τὰ πάντα τῷ νεύματι τῆς δυνάμεως αὐτοῦ, διττὸν τὸ ζῶον ἀπ' ἀρχῆς κατασκευάσας τὸν ἄνθρωπον, λέγω δὴ ἐκ ψυχῆς ἀθανάτου καὶ νοερᾶς, καὶ σώματος συνθέτου καὶ ὑλικοῦ, δύο αὐτῷ διοικήσεις φυσικὰς, καὶ οὐσιώδεις ἐντέθηκε· τὴν μὲν ψυχὴν κυβερνήτην δοὺς, τὴν αὐτεξούσιον προαίρεσιν, καθὼς ἂν βούληται, εἴτε ἐπὶ ἀρετὴν, εἴτε ἐπὶ κακίαν ἀπάγειν τὴν ψυχὴν, ἀναιτίου ὄντος τοῦ ἐν τούτῳ· τὸ δὲ σῶμα πρὸς ζωὴν διὰ τῶν στοιχείων αὐτῶν, συνειδήσει Θεοῦ κυβέρνησίν τε καὶ διοίκησιν. Καὶ, ὥσπερ δέδωκεν ὁ Θεὸς ἄνωθεν, καὶ ἀπ' ἀρχῆς, τῷ μὲν ἡλίῳ τὴν θερμοτικὴν ἐνέργειαν, τὴν δὲ σελήνην τῇ νυκτὶ φωτεινὴν δύναμιν, τῇ δὲ γῇ τὴν σπερμογονικὴν αὔξησιν, τοῖς δὲ φυτοῖς τὴν καρποφόρον τελείωσιν, τοῖς δὲ ζώοις τὴν διὰ συνουσίας σύστασιν, καὶ ἑκάστῃ ἁπλῶς φύσει τὴν οἰκείαν ἐνέργειαν· οὕτω δέδωκε καὶ στοιχείοις τὴν τῶν σωμάτων, ὡς ἐμοὶ δοκεῖ, κατὰ τὴν αὐτοῦ γνῶσιν, πρὸς ζωὴν καὶ θάνατον, διοίκησίν τε καὶ κυβέρνησιν.

Τοῦτο δὲ ἀναγκαῖον πάνυ ἐστὶν ὑμᾶς ἐπίστασθαι, ἵν' ὁπηνίκα θεάσῃ ἀσεβεῖς μὲν πολυχρονιοῦντας, ἢ πάλιν μὲν τοῦτον ἄφνω τελευτῶντα, τοῦτον δὲ ἐξαπίνης [k] τὴν ὁμιλίαν κρατηθέντα· τοῦ δὲ τοῦ ὁσίου νήπια πάντα τὰ τέκνα τελευτῶντα· τούτου δὲ τοῦ δυσσεβοῦς τοὺς υἱοὺς ὑπεργηρῶντας· καὶ τοῦτον ἂν τὸν θεάρεστον ἐπὶ πολλὰς τὰς ἡμέρας ψυχομαχοῦντα, τὸν δὲ Ἕλληνα εἰρηνικῶς καὶ ἀταράχως τελευτήσαντα· καὶ ταύτην μὲν τὴν ἁγίαν γυναῖκα στεῖραν οὖσαν, ταύτην δὲ τὴν Ἑλληνίδα πολύτεκνον· ἐν ταύτῃ μὲν τῇ θεοσεβεῖ χώρᾳ ἀδιάλειπτα θανατικὰ γινόμενα, ἐκείνῃ δὲ Ἑλληνικῇ ἐνορίᾳ οὐδέποτε λοιμικὸν καταφθάνοντα· καὶ ἁπλῶς ἡνίκα ταῦτα καὶ τὰ τοιαῦτα φοβερὰ καὶ παράδοξα θεάσῃ γινόμενα, μὴ θαμβηθῇς, μηδὲ μὴν ἀπρεπές τι ἢ βλάσφημον κατὰ Θεοῦ ἐννοήσῃς, μαθὼν ἀκριβῶς ἐκ τῶν προειρημένων, ὅτι πάντα ταῦτα καὶ τὰ τοιαῦτα οὐκ ἐκτὸς μὲν τῆς παντεπόπτου καὶ προνοητικῆς τοῦ Δημιουργοῦ, καὶ διαπράττοντος γνώσεως, ὅμως οὐχ ἑτέρῳ τινὶ τρόπῳ, ἀλλὰ διὰ τῆς τῶν θεοκτίστων στοιχείων ἀρχεδότου, καὶ θεοσδότου εὐτάκτου κυβερνήσεως, καὶ τάξεως, καὶ φυσικῆς διοικήσεως. Πλὴν οὐχ ὁριστικὸν, οὐδὲ ἐριστικὸν, ἀλλὰ γνωμικὸν καὶ εἰκασικὸν εἰρήκαμεν, δυσωποῦντες τοὺς γνωστικωτέρους, συγγνώμην διδόντας, καὶ ἀναπληροῦντας ἡμῶν ὑστερήματα.

A compositum; nam ex anima immortali et rationali, tum etiam ex corpore, ex elementis coagmentato et materiali constat. Cui duas administrationes naturales et essentiales attribuit, animam scilicet, ut sit gubernatrix, et liberum arbitrium, quod animam sive ad virtutem, sive ad vitium ducat, Deo hujus rei nullam penitus culpam sustinente; corpus insuper dedit ad vitam per elementorum, divina providentia, gubernationem et administrationem. Quemadmodum **405** autem Deus a primo rerum ortu soli indidit vim calefaciendi, lunæ ad illuminationem noctis vim illustrandi, terræ vim genitalem seu seminalem ad rerum incrementum, plantis vim fructus proferendi, animalibus, ut maris et femellæ congressu progenerentur, et, ut rem in compendium B conferam, sicuti cuilibet naturæ suam propriam agendi facultatem impertiit [17], ita quoque, mea sententia, dedit corporum elementis ut vitæ et mortis administrationem et gubernationem sub providentia sua habeant.

Hæc nosse valde necessarium est, ut quandocunque videris impios ad multos annos vitam producere, hunc velociter exstingui, illum in ipsa familiari colloeutione opprimi, hujus viri boni et pii, liberos omnes in infantia a morte abripi, alterius scelerati filios ætatem ferre; hunc Deo gratum et charum pluribus diebus cum leto luctari; ethnicum vero et a recta fide alienum, quiete et absque perturbatione animam efflare; hanc mulierem, vitæ innocentia spectabilem, sterilitate premi; illam, a C religione vera aversam, multa prole exhilarari; rursus in hac Deo dedita regione, omnis generis morbos assidue grassari; aliam autem provinciam, veræ fidei expertem, nulla contagione unquam infestari; uno verbo, cum hæc tam stupenda et admiranda videris, ne obstupescas, neve contra Deum indecens quid aut blasphemum animo concipias, accurate ex prædictis edoctus, hæc talia non fieri quidem absque Conditoris providentia et scientia; sed tamen non alio modo quam per elementorum primitus a Deo constitutam gubernationem, ordinem et naturalem administrationem. Cæterum ea quæ diximus, non definiendi aut contendendi studio protulimus, sed ceu probabilia, et in conjecturis posita adduximus, rogantes ut doctiores nobis ignoscant, et defectus nostros suppleant. D

ΕΡΩΤΗΣΙΣ ΚΖ'.

Τί ἐστιν ὑπερηφανία;

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ ὅλως ἔχειν τὸν ἄνθρωπον ἐν ἑαυτῷ, ὅ τι πράττειν ἀγαθὸν, μὴ νοουμένου τοῦ λέγοντος, ὅτι « Πᾶσα δικαιοσύνη ὑμῶν ἐνώπιον τοῦ Θεοῦ ὡς ῥάκος ἀποκαθημένης ἐστίν. »

QUÆSTIO XCVII.

Quid sit superbia?

RESPONSIO.

Est opinio, quasi quis quidquid boni in semetipso facit, a seipso id habeat; non in mentem revocato illo qui dicit: « Omnis justitia vestra est in conspectu Dei quasi pannus menstruatæ [18]. »

[17] Gen. I. [18] Isa. LXIV, 6.

VARIÆ LECTIONES.

[k] Videtur deesse κατὰ.

406 QUÆSTIO XCVIII.

Num omnis peccati et fornicationis diabolus auctor sit, et an illum culpare oporteat?

RESPONSIO.

Diabolus neminem cogit, sed tantum suggerit. At mala consuetudo cogit hominem, ita ut diabolo deterior et valentior sit. Quare nosmetipsos reprehendere oportet.

QUÆSTIO EXTRA ORDINEM.

Num decet ut qui recens est a congressu conjugis suæ, aut a nocturna illusione, aqua se abluat, et in ecclesiam intret?

RESPONSIO.

Verum Christiani lavacrum sunt lacrymæ : duo enim fluenta ex corpore manant, alterum quod sanctificat, alterum quod inquinat, hoc est, seminis effusio, et lacryma. Et quemadmodum omne peccatum quod homo fecerit est extra corpus ipsius, fornicator autem quasi ex propria carne, diabolo sacrificium immolat, semen nimirum suum : sic et bona quæ fecerit homo extra corpus sunt. At lacrymæ ex ipsa substantia nostra Deo in sacrificium educuntur, sicuti et sanguis martyrum. Quare, ut jam dixi, spirituale lavacrum sunt lacrymæ. Nihilominus aqua etiam ad corporis emundationem condita est. Qui igitur spirituali lavacro animam purgare negligunt, carnem aquis abluunt, et ita ad divina mysteria accedunt, ne ea penitus contemptui habere videantur.

QUÆSTIO EXTRA ORDINEM.

Num par sit ut qui illusionem nocturnam passus est, divina mysteria percipiat?

RESPONSIO.

Meo judicio, sæculares qui in mediis mundi fluctibus versantur, nihil damnationis inde contrahent, si cætera diligenter servent.

QUÆSTIO XCIX.

Cum in lege antiqua multi duas simul uxores habuerint, nec condemnati idcirco fuerint, an idem licitum erit Christianis (90)?

RESPONSIO.

Cum Apostolus dicat : « Mulier non habet potestatem sui corporis, sed vir; similiter vir non habet potestatem 407 sui corporis, sed mulier [19]; » perspicue conficitur, si viro fas sit aliam mulierem cum priore ducere, fas itidem esse mulieri alium

[19] I Cor. VII, 4.

ΕΡΩΤΗΣΙΣ ΚΗ'.

Ἆρα πάσης ἁμαρτίας καὶ πορνείας ὁ διάβολός ἐστιν αἴτιος, καὶ αὐτὸν χρὴ καταμέμφεσθαι;

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ μὲν διάβολός τινα οὐ βιάζεται, ἀλλὰ μόνον ὑποσπείρει. Ἡ δὲ κακὴ συνήθεια βιάζει τὸν ἄνθρωπον (ὥστε καὶ τοῦ διαβόλου πονηροτέρα καὶ ἰσχυροτέρα ὑπάρχει). Διὸ χρὴ ἑαυτοὺς μέμφεσθαι.

ΕΡΩΤΗΣΙΣ.

Εἰ ἆρα καλὸν τὸν ἀπὸ κοίτης τῆς ἰδίας γυναικὸς ἰόντα, ἢ πάλιν ἀπὸ ἐνυπνιασμοῦ λούσασθαι ὕδατι, καὶ εἰς τὴν ἐκκλησίαν εἰσέρχεσθαι;

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ μὲν ἀληθὲς τοῦ Χριστιανοῦ λουτρὸν, τὸ δάκρυον αὐτοῦ ἐστι· δύο γάρ εἰσι ῥύσεις [1] ἀνυπόστατοι ἐκ τοῦ σώματος, μία ἁγιάζουσα, καὶ μία μολύνουσα, τουτέστιν ἡ σπορὰ, καὶ τὸ δάκρυον. Καὶ ὥσπερ πᾶσα ἁμαρτία, ἣν ἂν ποιήσοι ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων, ὡς ἂν ἐκ τῆς οἰκείας σαρκὸς προσάγοι θυσίαν τῷ διαβόλῳ τὴν ἑαυτοῦ σπορὰν· οὕτως καὶ ὅσα ἂν ἀγαθὰ ποιήσει ὁ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστι. Τὸ δὲ δάκρυον ἐξ αὐτῆς τῆς οὐσίας ἡμῶν προσάγεται θυσία τῷ Θεῷ, καθάπερ καὶ τὸ τῶν μαρτύρων αἷμα. Διὸ ὡς προεῖπον, τὸ πνευματικὸν λουτρὸν τὸ δάκρυόν ἐστιν, ὅμως καὶ τὰ ὕδατα πρὸς τὸ καθαίρειν τὸ σῶμα γεγόνασιν. Οἱ γοῦν ἀπορροῦντες διὰ τοῦ πνευματικοῦ λουτροῦ τὴν ψυχὴν καθαρίζειν, ἀποπλύνουσι τὴν σάρκα κἂν τοῖς ὕδασι, καὶ εἶθ' οὕτως τῶν μυστηρίων μεταλαμβάνουσιν, ἵνα μὴ εἰς παντελῆ καταφρόνησιν ἔλθωσιν.

ΕΡΩΤΗΣΙΣ.

Εἰ ἆρα πρέπει τὸν ἐνυπνιαζόμενον μεταλαμβάνειν τῶν θείων μυστηρίων;

ΑΠΟΚΡΙΣΙΣ.

Ὡς ὑπολαμβάνω, οἱ ἐν μέσῳ κόσμῳ οἰκοῦντες οὐ κατακρίνονται ἐκ τούτου, εἴγε καὶ τὰ λοιπὰ φυλάξουσιν.

ΕΡΩΤΗΣΙΣ ΚΘ'.

Τῶν ἐν τῷ νόμῳ πολλάκις ἐχόντων δύο γυναῖκας ἅμα, καὶ μὴ κατακριθέντων, ἆρα ἔξεστι Χριστιανοῖς τοῦτο;

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Ἀποστόλου λέγοντος, ὅτι « Ἡ γυνὴ τοῦ ἰδίου αὐτῆς σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνὴρ αὐτῆς· ὁμοίως πάλιν καὶ ὁ ἀνὴρ, φησὶ, τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή· » εὔδηλον λοιπὸν, ὅτι ἐὰν ἐξὸν λαβεῖν τῷ ἀνδρὶ ἑτέραν σὺν αὐτῇ, ἔξεστιν

VARIÆ LECTIONES.

[1] ῥεύσεις ἀνυπόστατοι.

NOTÆ.

(90) Quæst. 97 ad Antioch.

ὁμοίως καὶ αὐτῇ λαβεῖν ἕτερον ἄνδρα σὺν αὐτῷ, καὶ οὐκ ἔτι ἔσονται οἱ δύο εἰς σάρκα μίαν, ἀλλ' ἢ τρεῖς, ἢ τέσσαρες. Οἱ δὲ βουλόμενοι κατὰ τοὺς ἐν τῷ νόμῳ ζῆν, τῆς Χριστοῦ χάριτος ἐκπίπτουσιν· ἐκεῖνοι μὲν γὰρ, ἐπειδὴ ἄκροι ἀσεβεῖς ὑπῆρχον, τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας θύοντες τοῖς δαιμονίοις, οὐδὲν πλέον ζητεῖ παρ' αὐτῶν ὁ Θεὸς, εἰ μὴ θεοσέβειαν, καὶ δικαιοκρισίαν, ὡς ἔστι γνῶναι ἐξ ὅλων τῶν τοῦ νόμου Γραφῶν. Ἡμεῖς δὲ, οἱ τῷ αἵματι τοῦ Χριστοῦ ἀγορασθέντες, χρεωστοῦμεν πᾶσαν ἐνδείξασθαι σωφροσύνην καὶ φιλοσοφίαν (91). Τύπος γὰρ πάσης τῆς ἀνθρωπότητος ὑπῆρχον ὁ Ἀδὰμ, καὶ ἡ Εὔα. Τὸ δὲ ἐπιθυμεῖν διαφόρων γυναικῶν ἀπὸ στρήνου καὶ ἀφοβίας Θεοῦ γίνεται.

A virtum cum priore accipere, et ita non erunt amplius duo in carne una [90], sed tres, aut quatuor. At qui vivere volunt ad normam illorum qui sub lege vixerunt, ii a gratia Christi excidunt; nam illi ad summum impietatis culmen provecti, filios suos et filias dæmoniis immolabant [91], a quibus Deus plus non exigit quam veram religionem et rectum judicium, prout ex tota lege liquet. Nobis vero, qui Christi sanguine redempti sumus, hoc incumbit, ut omnem temperantiam, sancteque vivendi rationem sectemur, et reipsa exhibeamus. Nam Adamus et Eva totius humani generis figuram gesserunt. Cæterum diversas feminas appetere, ex immodico voluptatis studio, divinique timoris penuria proficiscitur.

ΕΡΩΤΗΣΙΣ Ρ'.

Ἐὰν τις νηστόμενος τὸ στόμα, ἢ πάλιν ἐν βαλανείῳ καταπιεῖ ὕδωρ, μὴ θέλων; ὀφείλει κοινωνῆσαι, ἢ οὔ;

ΑΠΟΚΡΙΣΙΣ.

Ναί. Ἐπεὶ εὑρὼν ὁ Σατανᾶς ἀφορμὴν τοῦ κωλύειν αὐτὸν τῆς κοινωνίας, ποιεῖ αὐτὸν συχνῶς τὸ αὐτό [m]. Διὰ τοῦτον γὰρ τὸν τρόπον καὶ οἱ Πατέρες οὐκ ἀποκόπτουσιν, οὐδὲ τὸν ἐνυπνιασθέντα μεταλαμβάνειν. (Ὅμως προσερχόμενοι τοῖς μυστηρίοις, ἐν φόβῳ προσέλθωμεν, ὡς ἡ αἱμορροοῦσα τῷ Χριστῷ προσῆλθεν.)

B

QUÆSTIO C.

Si quis os ablnens, aut in balneo aquam invitus deglutiat, an communicare debet, an non?

RESPONSIO.

Utique. Alioqui diabolus hac occasione a communione avocandi arrepta, sæpius illum retrahet. Quocirca Patres talem, ut nec nocturno phantasmate inquinatum, a sacræ Eucharistiæ sumptione non arcent. Nihilominus ad divina mysteria cum timore accedamus, sicuti hemorrhoissa ad Christum accessit.

ΕΡΩΤΗΣΙΣ.

C

Ἆρα καλὸν τὸ κοινωνεῖν καθ' ἡμέραν, ἢ ἐκ διαλειμμάτων, ἢ κατὰ Κυριακὴν καὶ μόνον;

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦτο τὸ ἐρώτημα οὐκ ἔχει μίαν ἀπόκριαν. Εἰσὶ γάρ τινες, οἷς πρέπει τὸ καθ' ἡμέραν, καὶ εἰσὶν ἕτεροι, οἷς οὐχ ἁρμόζει τοῦτο, καὶ ἄλλοι, οἷς οὐ πρέπει ὅλως κοινωνεῖν.

QUÆSTIO

EXTRA ORDINEM.

An expediat communicare quotidie, an ex intervallo, an tantum diebus Dominicis?

RESPONSIO.

Hæc quæstio variam habet responsionem. Sunt enim quibus quotidiana communio convenit; sunt alii quibus non convenit; et sunt quibus communio penitus non convenit.

ΕΡΩΤΗΣΙΣ.

Ἀμφιβάλλουσί τινες λέγοντες ὅτι οὐκ ὠφελοῦνται οἱ νεκροὶ ἐκ τῶν γινομένων συνάξεων ὑπὲρ αὐτῶν.

ΑΠΟΚΡΙΣΙΣ.

Περὶ τούτου ἐρῶ σοι λόγον, οὐκ ἐμὸν, ἀλλὰ τοῦ Ἀποστολικοῦ πατρὸς Διονυσίου τοῦ Ἀρεοπαγίτου· οὕτω φησί· Ἐν τῷ μοναστηρίῳ (91*) τῶν κεκοιμη-

QUÆSTIO

EXTRA ORDINEM.

Quidam dubitantes aiunt mortuos nullam utilitatem ex sacrificiis quæ pro ipsis Deo offeruntur capere.

RESPONSIO.

D De hoc exponam tibi, non quid ego, sed quid Apostolicus Pater Dionysius Areopagita sentiat (92), cujus 408 sunt isthæc. Si quis in monasterio

[90] Gen. II, 24. [91] Psal. CV, 37.

VARIÆ LECTIONES.

[m] τοῦτο παθεῖν.

NOTÆ.

(91) *Φιλοσοφίαν*. Vox a sanctis Patribus varie translata ad Christianorum δίαιταν et πολιτείαν. Dionys. Areop. ad monachorum institutum τὴν τελειοτάτην ἐμφαίνει τῶν μοναχῶν φιλοσοφίαν. *Eccles. hier.* cap. 6. Soz. lib. I, cap. 12: Εἰς αὐτοὺς ἐλθοῦσα παρὰ Θεοῦ ἡ τοιαύτη φιλοσοφία. Asterius ad Christianorum religionem ἡ Παρθένος ἐν φαιῷ χιτῶνι καὶ ἱματίῳ τὴν φιλοσοφίαν σημαίνουσα. Greg. Naz. opponit gradui sacerdotali epist. 26. Idem epistola 36 vocat longo usu acquisitam virtutem. Epist. 38, φιλοσοφήσω τὸ καθυβρίζεσθαι. Vocem hanc apud eumdem et sanctum Basilium πολλαχοῦ leges et πολλαχῶς. (ALEMANN.)

(91*) *Ἐν τῷ μοναστηρίῳ*. perperam. Lege ἐν τῷ κεφαλαίῳ τῶν ὑδῶς [videtur σφάλμα] κεκοιμημένων, quod est ultimum *eccles. hierarchiæ*. (ALEMANN.)

(92) Vide quæst. 34, ad Antioch.

obeat, defunctique peccata fuerint levia et exilia, emolumentum utique ex synaxibus pro se celebratis (hoc est, ex sacrificiis pro se oblatis) capiet; si autem fuerint gravia et enormia, nihil utilitatis percipiunt, quia Deus jam iis quæ ad ipsos spectant, finem imposuit. Sed necesse non est ut de statu post mortem, nimia sollicitudine nos cruciemus.

μένων, ὅτι εἰ μὲν ψιλά τινα καὶ εὐτελῆ τυγχάνουσι, τὰ τοῦ τελευτήσαντος ἁμαρτήματα προσλαμβάνεταί τινα ὠφέλειαν ἐκ τῶν ὑπὲρ αὐτῶν τελουμένων συνάξεων· εἰ δὲ βαρέα καὶ χαλεπά εἰσι, συνέκλεισε τὰ κατ' αὐτοὺς ὁ Θεός. Πλὴν οὐ δεῖ ἡμᾶς φροντίζειν μετὰ θάνατον.

QUÆSTIO

EXTRA ORDINEM (93).

Si quis in flagitiis carnalibus jam in consuetudinem adductis consenescat; videatque se neque jejuniis, neque aliis exercitationibus, neque humicubationibus operam dare posse, quomodo salvari poterit jam senex?

RESPONSIO.

Cum Dominus dicat : « Jugum meum suave est, et onus leve [22], » planum fit senem quoque et imbecillum legi Christi satisfacere posse; neque enim præcepit nobis virginitatem, neque secessionem ab omnibus quæ in mundo sunt, neque abstinentiam a carne et vino; sed hoc, ut diligamus Deum et proximum, ut injuriæ acceptæ memoriam deponamus, ut humiles simus, ut aliis pro viribus compatiamur, ut ærumnas toleremus, ut mites et pacificos nos præstemus. Quæ omnia et infirmus, et senex, et matrimonio copulatus facere potest et faciendo salutem consequetur, licet omnia scelera regis Manassæ perpetrasset.

ΕΡΩΤΗΣΙΣ.

Ἐάν τις συνεθισθεὶς τῇ σωματικῇ ἁμαρτίᾳ, ἐν αὐτῇ καταγηράσῃ, καὶ θεωρήσῃ ἐν αὐτῷ, ὅτι οὔτε νηστεῦσαι, ἢ ἀσκῆσαι, ἢ χαμευνῆσαι δύναται, πῶς οὖν λοιπὸν δύναται σωθῆναι ἐν γήρᾳ ὑπάρχων;

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Κυρίου λέγοντος, ὅτι « Ὁ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν, » εὔδηλον, ὅτι ὁ γέρων, καὶ ἀδύνατος δύναται φυλάξαι τὸν νόμον αὐτοῦ· οὔτε παρθενίαν ἡμῖν ὥρισεν, οὔτε πάντων τῶν ἐν κόσμῳ ἀναχώρησιν· ἀλλ' οὔτε ἀποχὴν κρεῶν ἢ οἴνου· ἀλλ' ἀγαπᾷν τὸν Θεὸν, καὶ τὸν πλησίον, μὴ μνησικακεῖν, ταπεινοφρονεῖν, συμπαθεῖν τὸ κατὰ δύναμιν, ὑπομένειν τὰς θλίψεις, πρᾶον εἶναι καὶ εἰρηνικόν. Ταῦτα οὖν καὶ ὁ ἀσθενῶν, καὶ ὁ γέρων, καὶ ὁ ἐν κόσμῳ γυναιξὶ συνεζευγμένος δύναται ποιῆσαι, καὶ ποιήσας πάντως σωθήσεται, ἐὰν ἐποίησε τὰς ἁμαρτίας τοῦ Μανασσῆ ἐκείνου τοῦ βασιλέως.

QUÆSTIO CI.

Si quis duos vel plures homines occidat, captusque morte multetur, num remissionem obtinebit, an non?

RESPONSIO.

Cum lex et Deus dicant : « Oculum pro oculo; animam pro anima [23], » ego non possum dicere : Animam pro animabus multis. Est enim homo qui mille hominibus præstet, sive sit aliorum doctor, sive egenorum munificus nutritor : quem qui occidit, non unum hominem occidit, sed integrum populum, et mille homicidiorum reus est, quemadmodum Herodes, qui præcursorem interemit [24], et alii scelerati, qui apostolos interfecerunt; meliusque fuisset Neroni totam Romam a fide Christi aversam, quam Doctorem orbis, beatum Paulum, gladio percutere.

ΕΡΩΤΗΣΙΣ ΡΑ'.

Ἐάν τις δύο τινὰς, ἢ καὶ πλείονας ἄνδρας φονεύσῃ, εἶτα κρατηθῇ, καὶ ἀποθάνῃ, ἆρα συνεχωρήθη, ἢ οὔ;

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ νόμου, καὶ τοῦ Θεοῦ λέγοντος, « Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ψυχὴν ἀντὶ ψυχῆς, » ἐγὼ οὐ δύναμαι εἰπεῖν· Ψυχὴν μίαν ἀντὶ ψυχῶν πολλῶν. Ἔστι γὰρ ἄνθρωπος διαφέρων μυρίων ἀνθρώπων, εἴτε διδάσκαλος, εἴτε πτωχοτρόφος· ὅντινα ὁ φονεύων, οὐχ ἕνα ἄνθρωπον ἐφόνευσεν, ἀλλὰ λαὸν, καὶ μυρίων φόνων ἐστὶν ὑπεύθυνος λοιπὸν, ὥσπερ Ἡρῴδης φονεύσας τὸν Πρόδρομον, καὶ οἱ λοιποὶ ἄνομοι τοὺς ἀποστόλους ἀποκτείναντες· συνέφερε γὰρ Νέρωνα φονεῦσαι πᾶσαν Ῥώμην ἄπιστον οὖσαν, ἢ τὸν τοῦ κόσμου Διδάσκαλον, τὸν μακάριον Παῦλον.

409 QUÆSTIO CII.

Num Deo placeant munera quæ ipsi ex furtis et iniquitatibus offeruntur?

RESPONSIO.

Differt furtum a furto, et injustitia ab injustitia : aliud enim est rapere aliquid ex sacro, aliud ex proventibus terræ vel maris, hominum infidelium. Aliud est injuria afficere egenos, agricolas et men-

ΕΡΩΤΗΣΙΣ ΡΒ'.

Δεκτὰ εἰσιν ἆρα τῷ Θεῷ τὰ ἀπὸ κλεμμάτων προσαγόμενα αὐτῷ χρήματα;

ΑΠΟΚΡΙΣΙΣ.

Ἔστι κλέμμα, καὶ κλέμμα, καὶ ἀδικία, καὶ ἀδικία· ἄλλο γάρ ἐστι τὸ παράψασθαι ἀπὸ τοῦ ἱεροῦ, ἕτερον τὸ ἐκ προσοδιῶν γῆς, ἢ θαλάττης, ἀνδρῶν ἀπίστων. Καὶ ἄλλο τὸ ἀδικῆσαι ἀπόρους, γεωργοὺς,

[22] Matth. xi, 30. [23] Exod. xxi, 24. [24] Matth. xiv, 10; Marc. vi, 27.

NOTÆ.

(93) Quæst. 91 ad Antioch. Similis est quæstio quinta, superius jam posita.

καὶ πτωχούς· καὶ ἕτερον τὸ ἐπᾶραι ἀπὸ εὐπόρων, καὶ φιλαργύρων. Πλὴν οὐ τὰ πολλὰ ζητεῖ ὁ Θεὸς, ἀλλὰ μόνον τὴν πρόθεσιν. Εἰ δὲ ὅλως παρὰ τὸ ἀδικῆσαι οὐ δύνασαι, συμφέρει τὰ ἀπὸ κακοῦ εἰς καλὰ δαπανηθῆναι. Μέντοιγε τὰ ἀπὸ ἀδικίας πτωχῶν καὶ γεωργῶν ὑπάρχοντα, ἀπρόσδεκτα τῷ Θεῷ καὶ κατηραμένα ὑπάρχουσιν.

A dicos; aliud accipere aliquid ab opulentis et avaris. Cæterum Deus non multa exigit, sed solum propositum. Si autem nihil omnino, nisi ex injuste partis offerre potes, expedit ea in res bonas et honestas insumere. Attamen injuste rapta ab egenis et agricolis, Deo grata non sunt, sed detestabilia.

ΕΡΩΤΗΣΙΣ ΡΓ'.

Ἐπειδὴ συχνῶς ἀκούομεν τὸν λόγον τοῦ Θεοῦ, οὐ ποιοῦμεν δὲ τὸ ἔργον, ἆρα μὴ κατάκριμα ἡμῖν γέγηται;

ΑΠΟΚΡΙΣΙΣ.

[a] Εἰ καὶ οὐ ποιοῦμεν, ἀλλ' ὅμως οὐ· εἰ μὴ μεμψόμεθα ἑαυτοὺς, ὅτι ἀκούομεν καὶ παρακούομεν· καὶ γὰρ τὸ μέμψασθαι ἑαυτὸν μέρος σωτηρίας ἐστίν.

QUÆSTIO CIII.

Cum frequenter audiamus verbum Dei, nec opere compleamus, an non damnationem nobis inde asciscimus?

RESPONSIO.

Licet verbum Dei non faciamus, nihilominus (94), nisi reprehendamus nos ipsos quod audiamus, neB que opere perficiamus : nam seipsum reprehendere pars est salutis.

ΕΡΩΤΗΣΙΣ ΡΔ'

Πόσοι τρόποι εἰσὶ τῶν σωζομένων, καὶ συγχωρήσεις ἐκ Θεοῦ, ἁμαρτιῶν κομιζομένων;

ΑΠΟΚΡΙΣΙΣ.

Τρεῖς. Ὁ πρῶτος τὸ μηκέτι ἁμαρτῆσαι· ὁ δεύτερος, τὸ ἀξίως μετανοῆσαι. Ἔστι καὶ τρίτος τοῖς ἁμαρτήσασι σωτηρίας τρόπος, διὰ πειρασμῶν, καὶ θλίψεων, καὶ ὑπομονῆς κατὰ τὸ εἰρημένον, ὅτι « Ἐν κημῷ, καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄξαι, τῶν μὴ ἐγγιζόντων πρὸς σὲ, » ὅπερ ἔπαθεν ὁ Ναβουχοδονόσορ. Ἔστι γὰρ ὅτε ὁ Θεὸς τὸν ἁμαρτάνοντα, καὶ μὴ μετανοοῦντα περιβάλῃ εἰς πειρασμὸν, καὶ διὰ τῶν πειρασμῶν ἔρχεται εἰς ταπείνωσιν. Καὶ διὰ τῆς ταπεινώσεως σώζεται χωρὶς ἀσκήσεως, ὡς ὁ τελώνης καὶ ὁ ληστής.

QUÆSTIO CIV.

Quot sunt modi salutem adipiscendi, et impetrandi a Deo remissionem peccatorum?

RESPONSIO.

Tres. Primus est nunquam peccasse; secundus, dignam pœnitentiam egisse. Est et tertius salutis obtinendæ modus per tentationes, ærumnas et patientiam juxta illud : « In camo et freno maxillas eorum constringe, qui non approximant ad te [25]; » quod Nabuchodonosori accidit [26]. Aliquando enim Deus peccatorem qui non agit pœnitentiam conjicit in tentationes et afflictiones, quarum interventu C ad humilitatem pervenit, et ex humilitate ad salutem, sine multis asceticis actionibus ut videre est in publicano et latrone.

ΕΡΩΤΗΣΙΣ ΡΕ'.

Τί ποιήσωμεν, ὅτι πολλάκις ἱστάμενοι ἐν τῇ ἐκκλησίᾳ ἐπιθυμοῦμεν κλαῦσαι τὰς ἁμαρτίας ἡμῶν, καὶ οὐ δυνάμεθα;

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ κλαυθμὸς ὁ διὰ Θεὸν, δῶρον Θεοῦ ὑπάρχει, διὰ τοῦ Πνεύματος τοῦ ἁγίου διδόμενον τῷ ἀνθρώπῳ δεύτερον βάπτισμα, καὶ τολμῶ εἰπεῖν τοῦ τῆς κολυμβήθρας βαπτίσματος ἀναγκαιότερον. Τὸ πρῶτον γὰρ βάπτισμα, σχεδὸν πάντες αὐξοῦντες μολύνομεν, διὰ δὲ τοῦ δακρύου πάλιν, ὥσπερ ἐξ ὕδατος καὶ Πνεύματος, καθαιρόμεθα. Διόπερ καὶ ἐντεῦθεν πάλιν D ἐλέγχομεν Ἰουδαίους, καὶ Ἄραβας, ὅτι οὐκ ἔχουσι Πνεῦμα ἅγιον [a]. Οὐδεὶς γὰρ αὐτῶν ἐν τῇ προσευχῇ ποτε προχέει ὑπὲρ ἁμαρτιῶν δάκρυον. Εἰσὶ δὲ παρ' ἡμῖν φυσικῶς τινες καρδίαι σκληρότεραι καὶ ξηρότεραι, μάλιστα ὅσοι θυμώδεις, καὶ πικροὶ, καὶ μηνιασταὶ ὑπάρχουσι. Καὶ εἰσὶ πάλιν τινὲς καρδίαι ἁπαλότεραι φυσικῶς καὶ εὐκατάνυκτοι. Ὁ οὖν ἐκ φύσεως σληροκάρδιος, καὶ ἀκατάνυκτος ὑπάρχων,

RESPONSIO.

Fletus propter Deum donum Dei est per Spiritum sanctum homini concessum, alterum baptisma, ausimque **410** dicere, fere magis necessarium quam sit piscina baptismatis; nam primum baptisma ferme ab omnibus, ætatis progressione, maculatur; per lacrymas vero tanquam ex aqua et Spiritu mundamur. Quare hinc etiam Judæos et Arabas redarguimus, tanquam Spiritu sancto destitutos. Nullus enim eorum, dum preces fundit, vel unam lacrymulam pro sceleribus suis effundit. Sunt autem apud nos quidam peccatoribus a natura durioribus et siccioribus, præcipue illi qui sunt iracundi, amarulenti, et cholerici. Reperiuntur rursus nonnulli naturaliter corde tenero et flexibili præditi. Qui igitur a natura duro et ferreo

[25] Psal. xxxi, 9. [26] Dan. iv.

VARIÆ LECTIONES.

[a] Locus corruptus. [b] Vide quæst. 79, ad Antioch.

NOTÆ.

(94) Deest aliquid.

corde est, ita ut neque propter vita functos, neque propter proprios liberos, neque ob ullam aliam calamitatem lacrymari vel ad Deum gemere queat, hic pectus tundet, risum compescet, oculosque demittet, et hac ratione lacrymas a Deo impetrabit. Sciendum autem multo fructuosiorem esse orationem, in abdito conclavi institutam, quam quæ fit coram omnibus in ecclesia.

QUÆSTIO
EXTRA ORDINEM.

Num bonum est peccata confiteri?

RESPONSIO.

Bonum et admodum utile est confiteri, sed ita ut confessio non fiat cuilibet, quando neque tu utilitatem inde capis, et insuper audientes inficis. Si autem invenias virum spiritualem, qui tibi medicinam facere, et pro te preces ad Deum fundere possit, huic soli confiteberis.

QUÆSTIO CVI.

Unde cognoscit homo sibi a Deo peccata remissa esse, et se misericordiam in die judicii consecuturum?

RESPONSIO.

Ex propria conscientia, et ex libertate quam habet anima in oratione ad Deum. Quando enim homo est alicujus pœnæ reus, tunc astat Deo instar damnati, qui assistit judici, omnis fiduciæ expers: sic et anima in oratione assistit Deo, non jam ut damnationi obnoxia, sed ut homo debitor, qui debitum sibi condonari, et ab hoc ordine transferri cupit. Deo insuper astat, tanquam servus Domini amans et observans, et ab hoc gradu ulterius procedens colloquitur cum Deo instar mercenarii, ab omni debito soluti et liberi. **411** Tandem anima pondere quo premebatur, progressu temporis levata, loquitur et assistit Deo velut amicus amico, et ut sponsa proprio sponso, et ut filius suo patri, ubi nihil amplius loci relinquitur timori, neque ulla est de supplicio infligendo cogitatio, sed omnia aliud non sunt quam charitas, juge gaudium, libertas indefficiens, animæ lætitia, tripudium, et exsultatio interminata, prout nobis tradunt illi qui gratia Christi ad hoc fastigium evecti sunt.

QUÆSTIO CVII.

Si quod opus aggrediar, unde conjiciam, num Deo placeat, an non?

RESPONSIO.

Perfectorum et spiritualium virorum est omnia accurate dijudicare [27], ut ait Apostolus. Solidus enim cibus est perfectorum [28], qui propter habitum habent sensus ad dijudicationem boni et

A καὶ μήτε ἐπὶ νεκροῖς, μήτε ἐπὶ τοῖς ἰδίοις τέκνοις, μηδὲ ἐπ' ἄλλῃ συμφορᾷ δακρύσαι δυνάμενος, ἢ στυγνάσαι πρὸς τὸν Θεόν, τὸ στῆθος τύψει, τὸν γέλωτα περικόψει, ταῖς ὀφθαλμοῖς ταπεινώσει, οὕτως χαρίζεται αὐτῷ ὁ Θεὸς καὶ τὸ δάκρυον. Χρὴ δὲ ἐπίστασθαι, ὅτι πολὺ συμφέρει ἡ προσευχὴ ἡ ἐν τῷ ταμείῳ σου γενομένη, ὑπὲρ τὸν ἐν τῇ ἐκκλησίᾳ ἐνώπιον πάντων ἐπιτελουμένη.

ΕΡΩΤΗΣΙΣ.

Καλὸν ἄρα τὸ ἐξομολογεῖσθαι ἁμαρτίας;

ΑΠΟΚΡΙΣΙΣ.

Καλὸν, καὶ πάνυ ὠφέλιμον, ἀλλὰ μὴ τοῖς πᾶσιν, ἐπεὶ οὔτε σοι τοῦτο ὠφελεῖ, ἀλλὰ καὶ τοὺς ἀκούοντας μολύνεις. Ἐὰν οὖν εὕρῃς ἄνδρα πνευματικὸν δυνάμενόν σε ἰατρεῦσαι, καὶ εὔξασθαι ὑπὲρ σοῦ, ἐκείνῳ μόνῳ ἐξομολόγησον.

ΕΡΩΤΗΣΙΣ ΡΖ'.

Πόθεν γινώσκει ὁ ἄνθρωπος, ὅτι συνεχώρησεν ὁ Θεὸς τὰς ἁμαρτίας αὐτοῦ, καὶ ὅτι εὑρίσκει ἔλεος πάντως ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως;

ΑΠΟΚΡΙΣΙΣ.

Ἐκ τῆς ἰδίας συνειδήσεως, καὶ ἐκ τῆς παῤῥησίας, ἧς ἔχει ἡ ψυχὴ ἐν προσευχῇ πρὸς τὸν Θεόν. Ὅταν γὰρ ὁ ἄνθρωπος ὑπεύθυνός ἐστι κολάσεως, P δίκην καταδίκου τινὸς παριστάμενου τῷ ἄρχοντι μὴ ἔχοντος παντοίαν παῤῥησίαν, οὕτω καὶ ἡ ψυχὴ παρίσταται τῷ Θεῷ ἐν τῇ προσευχῇ, οὐκ ἔτι ὡς κατάδικος, ἀλλ' ὡς ἄνθρωπος χρεωστῶν, καὶ παρακαλῶν συγχωρηθῆναι ἀπὸ ταύτης τῆς τάξεως, ἐὰν φροντίσῃς αὐτοῦ. Πάλιν παρίσταται ὡς δοῦλος φιλοδέσποτος, καὶ ἀπὸ τούτου προκόπτων αὐλλαλεῖ τῷ Θεῷ ὡς μίσθιος, μὴ ἔχων χρέος ἐπάνω αὐτοῦ καὶ λοιπὸν κατὰ πρόσβασιν κουφιζομένη τοῦ βάρους ἡ ψυχὴ, συλλαλεῖ, καὶ παρίσταται ὡς φίλος πρὸς φίλον, καὶ ὡς νύμφη τῷ ἰδίῳ νυμφίῳ, καὶ ὡς υἱὸς τῷ ἰδίῳ πατρὶ, ὅπου οὐκ ἔστι φόβος λοιπὸν, οὐδὲ χρέος, οὐδὲ ἔννοια οἵας δήποτε κολάσεως, ἀλλὰ πᾶσα ἀγάπη, καὶ χαρὰ διηνεκὴς, καὶ παῤῥησία ἄπαυστος, καὶ ψυχῆς εὐφροσύνη καὶ σκιρτήματα, καὶ ἀγαλλίασις ἀκατάπαυστος, καθάπερ ἡμῖν διηγοῦνται οἱ τῇ χάριτι τοῦ Χριστοῦ εἰς τοιαῦτα καταντήσαντες μέτρα.

ΕΡΩΤΗΣΙΣ ΡΖ'.

Ἐὰν θελήσω πρᾶξαι πρᾶγμα, ὡς νομίζω, πόθεν ὀφείλω μαθεῖν, εἰ ἀρέσκει τῷ Θεῷ, ἢ οὔ;

ΑΠΟΚΡΙΣΙΣ.

Τῶν τελείων καὶ πνευματικῶν ἀνδρῶν ἐστι τὸ πάντα ἀκριβῶς διακρίνειν, καθὼς φησιν ὁ Ἀπόστολος. Τελείων γάρ ἐστιν ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια ἐχόντων γεγυμνασμένα πρὸς

[27] I Cor. II, 15. [28] Hebr. V, 14.

VARIÆ LECTIONES.

P Videntur hic desiderari hæc vel similia verba: παρίσταται τῷ Θεῷ.

NOTÆ.

(25) Similis quæst. 121 ad Antiochum, et quæst. 131.

διάκρισιν καλοῦ τε καὶ κακοῦ. Ὅσα οὖν ποιήσει ἄνθρωπος διὰ Θεὸν, ἐν ἁπλῇ καρδίᾳ καὶ ἀγαθῷ σκοπῷ οὐκ ἔχει κατάκριμα ἐξ αὐτῶν.

A mali exercitatos. Ex illis igitur quæ fecerit homo propter Deum simplici corde et bono fine, nihil damnationis subibit.

ΕΡΩΤΗΣΙΣ ΡΗ'.

Πρέπει ἄρα τὸν Χριστιανὸν ἀνοίγειν ἐν λαχνιστηρίῳ (96);

ΑΠΟΚΡΙΣΙΣ.

Οὐδαμοῦ εὑρίσκομεν ἐπιτροπὴν τοῦτο ποιεῖν, ἀλλ' οἱ Πατέρες διὰ τὸ μὴ εὑρίσκεσθαι πιστοὺς εἰς φαρμακεῖς καὶ μάντεις, ἀπενόησαν τὸ λαχνιστήριον. Ὁ οὖν βουλόμενος ἀνοῖξαι, πρῶτον δι' εὐχῆς παρακαλείτω τὸν Θεὸν, καὶ μετὰ τὴν εὐχὴν, ἀνοίξει ἐρωτῶν τὸν Θεὸν, εἰ ἄρα καλεῖ αὐτὸν ἀνοῖξαι περὶ τοῦ πράγματος αὐτοῦ· καὶ ἐὰν ἐπιτρέψῃ σοι, ἄνοιξον, εἰ δὲ ἀποτρέψει σε, μὴ ἀνοίξῃς.

B

QUÆSTIO CVIII.

Num deceat Christianum sortes ducere?

RESPONSIO.

Nuspiam invenimus hoc a Patribus permissum esse, quippe qui sortilegos, tanquam a fide vera alienos veneficis et fatidicis annumerent. Qui igitur sortes ducere cogitat, is ante omnia Deum invocet, precibusque finitis sortiatur, consulto tamen prius Deo, num id hujus vel illius negotii gratia faciendum sit: et si permiserit, sortieris; sin minus, abstinebis.

ΕΡΩΤΗΣΙΣ ΡΘ'.

Ἐὰν ἔχω ἄνθρωπον πιστὸν θλίψαντά με, καὶ οὐ δύναμαι διαλλαγῆναι, ἢ ἀσπάσασθαι αὐτὸν ἐξ ὅλης καρδίας, ἀλλὰ μόνον τῇ γλώττῃ, τί ποιήσω; Διαλλαγῶ αὐτὸν κἂν τῇ ἐξόδῳ, ἢ κόψων ἑαυτὸν ἐξ αὐτοῦ q;

ΑΠΟΚΡΙΣΙΣ.

Διαλλάγηθι αὐτῷ κἂν τῷ στόματι· πολλάκις γὰρ ἀπὸ τούτου κατὰ πρόσβασιν ἔχεται ἡ τελεία ἀγάπη. Συμφέρει γάρ σοι ἡμίξηρον εἶναι, ἢ ὁλόξηρον.

QUÆSTIO CIX.

Si quis sit fidelis qui me exagitet, nec possum illi reconciliari, neque eumdem ex toto corde salutare, sed solo ore, quid faciam? num reconciliabo eum etiam obiter solum, vel penitus me ab illo sejungam?

RESPONSIO.

Reconciliare ei etiam solo ore. Sæpe enim ab his initiis ad perfectam charitatem pervenitur. Satius enim est ut sis semiaridus, quam ut sis totus aridus.

ΕΡΩΤΗΣΙΣ'.

Κατὰ ποῖον τρόπον νοήσωμεν, ὅτι Ἐὰν δύο, ἢ τρεῖς ἐξ ἡμῶν συμφωνήσωσι περὶ παντὸς αἰτήματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς;

C

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ Κύριος τὸ πολυφάνταστον, καὶ ὑπερήφανον τοῦ ἀνθρώπου ἐπιστάμενος, βούλεται μὴ πεποιθέναι ἡμᾶς ἐφ' ἑαυτοῖς, κἂν ἐνάρετον βίον καὶ ἁγιωσύνην κεκτήμεθα, ἀλλ' ἐπὶ τοῖς αἰτήμασιν ἡμῶν τοῖς πρὸς αὐτὸν ἀξίοις λογιζομένους ἑαυτοὺς προσλαμβάνεσθαι, καὶ ἄλλους ὁμοψύχους ἐπὶ τὸ συμπαρακαλέσαι, καὶ συμφωνῆσαι ἡμῖν. Ὁ γὰρ καταμόνας αἰτῶν καὶ

412 QUÆSTIO

EXTRA ORDINEM.

Qua ratione intelligendum est illud: « Quia si duo vel tres ex vobis consenserint super terram, de omni re, quamcunque petierint, fiet illis a Patre meo »?

RESPONSIO.

Dominus, qui varias cogitationes et superbiam hominis probe novit, vult ut non habeamus fiduciam in nobis, licet virtuti deditam sanctamque vitam agamus, sed ut, cum quid petimus, indignos arbitremur nos qui voti compotes reddamur, ac proinde alios ejusdem mentis et sententiæ asciscamus. Nam qui solus orat et accipit, sæpe in ela-

[29] Matth. xviii, 19.

VARIÆ LECTIONES.

q Lego, ἢ κόψω ἐμαυτὸν ἐξ αὐτοῦ.

NOTÆ.

(96) Ἀνοίγειν ἐν λαχνιστηρίῳ est Psalmorum vel Evangeliorum codices non certo loco, sed ἐκ συντυχίας; aperire, ut ex occurrente prima fronte sententia intelligas, quid agendum, vel non agendum tibi sit ea in re de qua ambigis, anne desistendum ab ea quam aggrederis. Origenes, licet invitatus, prius destitit quam inchoavit concionem, ubi quærenti ἐκ συντυχίας in Psalmis concionis ὑπόθεσιν, illa venit obviam (post factum idolis suffitum): *Peccatori autem dixit Deus: Quare tu enarras justitias meas, et assumis testamentum meum per os tuum?* Nicetas Choniates in *Thesauro*. — Idem innuit Gregor. Naz. in orat. *Εἰς τὸ ἅγιον Πάσχα*, multique Græci doctores opinati sunt: D Jobius monach. apud Photium, pag. 330 editionis Hœschel.; Theod. Abucara, quæst. 1 in fin. et 17; Joannes Damascenus oratione *de defunctis* et lib. I *De imag.* et lib. III *De fide orthod.*; sed quid de hac opinatione sentiendum sit, explicatum invenies apud Card. Bellarm. lib. IV *De Christo*, cap. 16. (ALEMANN.) — Videtur legendum λαχμητήριον, quod Eustathius derivat a λαχεῖν, quod est sortiri; aut synonyma erunt hæc duo vocabula: nam λαχνὸς Græcis recentioribus sors est; unde forsan λαχνιστήριον, vel λαχνοστήριον, locus sortibus ducendis destinatus. Aperire ergo λαχνιστήριον, videtur esse ingredi locum ubi sortes ducuntur et consuluntur.

tionem incidit : pluribus autem orantibus, et accipientibus, intra humilitatis metam se continet. Hoc igitur cum crebro, adjunctis aliis, sociis præstitissem, obtinui quod volui, et suadeo vobis ut in vestris ad Deum precibus idem facultetis : quando enim duo vel tres ex toto animo orant, vel aliquando ad alterum tertiumque diem jejunant, omnino sive per visionem, sive alio modo is qui aliquid instituit agere certior fiet.

λαμβάνων, πολλάκις εἰς τῦφον ἐμπίπτει· πλειόνων δὲ εὐχομένων καὶ εἰσακουομένων ἐν ταπεινότητι μένουσι. Τοῦτο οὖν πολλάκις μεθ' ἑτέρων ποιήσας ἐπέτυχον, καὶ ὑμῖν τὸ αὐτὸ νῦν συμβουλεύω ἐπὶ τοῖς κατὰ Θεὸν αἰτήμασιν· ἡνίκα γὰρ δύο, ἢ τρεῖς ὁλοψύχως εὔχονται περὶ πράγματος, ἢ καὶ νηστεύουσι πολλάκις ἐπὶ δευτέραν καὶ τρίτην ἡμέραν, πάντως εἴτε δι' ὁράματος, εἴ τε [r] ἡ καρδία τοῦ βουλομένου πρᾶξαι πληροφορεῖται.

QUÆSTIO CX.

Quando principes nostri sunt Judæi, vel infideles, vel hæretici, num pro illis in ecclesia preces fundere oportet ?

RESPONSIO.

Utique. Quando enim Apostolus jussit orare pro regibus et omnibus illis qui sunt in sublimitate [30], principes mundi veræ religionis exsortes erant. Adde quod etiam in sacra oblatione sacerdos sic precatur : « Memento, Domine, omnis animæ cujus memoriam fecimus; omnium miserere, et omnibus veniam concede. »

ΕΡΩΤΗΣΙΣ ΡΙ'.

Ἐὰν εἰσιν οἱ ἄρχοντες ἡμῶν Ἰουδαῖοι, ἢ ἄπιστοι, ἢ αἱρετικοί, δεῖ εὔχεσθαι ὑπὲρ αὐτῶν ἐν τῇ ἐκκλησίᾳ, ἢ οὔ;

ΑΠΟΚΡΙΣΙΣ

Ναί. Ὅτι γὰρ ἔγραψεν ὁ Ἀπόστολος, προσεύχεσθαι ὑπὲρ βασιλέων, καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων. Πάντες οἱ βασιλεῖς, καὶ οἱ ἄρχοντες τοῦ κόσμου ἐλεεινοὶ ὑπῆρχον. Πλὴν ὅτι καὶ ἐν τῇ ἁγίᾳ προσκομιδῇ, ὁ ἱερεὺς οὕτω δυσωπεῖ τὸν Θεὸν λέγων· « Μνήσθητι, Κύριε, πάσης ψυχῆς ὧν ἐμνήσθημεν, καὶ πάντας ἐλέησον, καὶ πάντας συγχώρησον. »

QUÆSTIO CXI.

Quid igitur ? an et pro ethnicis, ante Christi adventum mortuis, orare oportet, eosque nequaquam diris devovere ?

RESPONSIO.

Nequaquam diris devovebis hominem qui ante Christi adventum defunctus est; nam et ad inferos prædicatio Salvatoris pervenit. Primum quidem Joanne præcursore Christum illic annuntiante; deinde ipso Christo prædicante, **413** de quo audi quid sanctus Petrus scribat : « In quo et his qui in carcere erant spiritibus, veniens prædicavit, qui increduli fuerant aliquando [31]. » Fertur antiqua traditio de scholastico quodam qui multa probra in Platonem philosophum jaciebat, cui secundum quietem apparuit Plato, eumque sic affatus est : Heus tu, desine a maledictis in me vibrandis, ne quid mali tibi accersas. Peccator fui, non nego. Cæterum, quando Christus ad inferos descendit, ante omnes alios ego in illum credidi. Hæc cum audis, ne censeas in inferno semper dari pœnitentiæ locum. Semel id accidit, quando Redemptor noster ad loca subterranea descendit, ut omnes qui a condito mundo obierant inviseret.

ΕΡΩΤΗΣΙΣ ΡΙΑ'.

Τί οὖν; καὶ τοῖς Ἕλλησι τοῖς τελευτήσασι πρὸ τῆς Χριστοῦ παρουσίας, δεῖ εὔχεσθαι, καὶ μὴ ἀναθεματίζειν;

ΑΠΟΚΡΙΣΙΣ.

Μηδαμῶς ἀναθεματίσῃς ἄνθρωπον πρὸ τῆς ἐπιδημίας Χριστοῦ τελευτήσαντα· καὶ ἐν τῷ ᾅδῃ προσάπαξ καὶ μόνον ἐγένετο τὸ Χριστοῦ κήρυγμα. Προλαβὼν γὰρ Ἰωάννης ὁ πρόδρομος ἐκήρυξε κἀκεῖσε τὸν Χριστόν· καὶ ἄκουσον τοῦ ἁγίου Πέτρου λέγοντος περὶ Χριστοῦ, ὅτι « Πορευθείς, φησὶν, ἐκήρυξε καὶ τοῖς ἐν ᾅδῃ [1] πνεύμασι τοῖς ποτε ἀπειθήσασι. » Καὶ νῦν φέρεται εἰς ἀρχαίας παραδόσεις, ὅτι τις σχολαστικὸς πολλὰ κατηράσατο τὸν Πλάτωνα τὸν φιλόσοφον. Φαίνεται οὖν αὐτῷ καθ' ὕπνους ὁ Πλάτων λέγων· Ἄνθρωπε, παῦσαι τοῦ καταρᾶσθαί με, σεαυτὸν γὰρ βλάπτεις, ὅτι μὲν ἄνθρωπος ἁμαρτωλὸς γέγονα· οὐκ ἀρνοῦμαι. Πλὴν κατελθόντος τοῦ Χριστοῦ ἐν τῷ ᾅδῃ, ὄντως οὐδεὶς ἐπίστευσε πρὸ ἐμοῦ εἰς αὐτόν. Ταῦτα δὲ ἀκούων, μὴ νομίσῃς εἶναι πάντοτε ἐν τῷ ᾅδῃ μετάνοιαν· ἅπαξ γὰρ καὶ μόνον τοῦτο γέγονεν, ὅτι Χριστὸς ἐν τοῖς καταχθονίοις κατελήλυθε, τοὺς ἀπ' αἰῶνος κεκοιμημένους ἐπισκέψασθαι.

QUÆSTIO CXII.

Num verum est mulierem illam pythonissam, Saulis rogatu, Samuelem vere excitasse [32] ?

RESPONSIO.

Utique, quia in potestate diaboli erant omnes tam justorum quam injustorum animæ, donec Christus ad inferos profectus, iis qui in vinculis attinebantur dixit : Exite. Audi Paulum, qui ait

ΕΡΩΤΗΣΙΣ ΡΙΒ'.

Ἆρα ἀληθὲς ὅτι τὸν Σαμουὴλ ἡ ἐγγαστρίμυθος ἀνήγαγεν ἐπὶ τοῦ Σαούλ;

ΑΠΟΚΡΙΣΙΣ.

Ναί, ὑπὸ τὴν χεῖρα τοῦ διαβόλου ὑπῆρχον πᾶσαι αἱ ψυχαὶ, τῶν ἁγίων καὶ τῶν ἁμαρτωλῶν, ἕως οὗ κατελθὼν ἐν τῷ ᾅδῃ ὁ Χριστὸς, εἶπε τοῖς ἐν δεσμοῖς, Ἐξέλθετε, καὶ τοῖς κατεχομένοις, Ἐλευθερώθητε. Καὶ

[30] I Tim. II, 2. [31] I Petr. III, 19. [32] I Reg. XXVIII.

VARIÆ LECTIONES.

Hic deest aliquid. [r] φυλαχῇ.

ἄκουσον Παύλου λέγοντος, ὅτι « Ἐβασίλευσεν ὁ θάνατος, » τουτέστιν ὁ διάβολος, « ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέος, ἦγουν τοῦ πληρώματος τοῦ νόμου, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐν τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδὰμ, » τουτέστι καὶ ἐπὶ τὰς τῶν ἁγίων ψυχάς.

A mortem, hoc est, diabolum, regnasse ab Adam usque ad Moysen, hoc est, usque ad complementum legis, etiam in illos qui non peccaverant in similitudinem prævaricationis Adæ [33], hoc est, etiam in animas sanctorum.

ΕΡΩΤΗΣΙΣ ΡΙΓ'.

Καλὸν τὸ βαστάζειν κοινωνίαν ἁγίαν ἐν σκευοφορίῳ, ἀπερχόμενόν τινα ἐπὶ ξένης, ἢ κοινωνεῖν, ὅπου δ' ἂν καὶ εὕρωμεν κοινωνίαν;

QUÆSTIO CXIII.

An consultum sit, cum quis peregre proficiscitur, Eucharistiam in vasculo secum deferre vel communicare ubique et a quocunque communio administratur?

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ μὲν πανάγιον σῶμα τοῦ Χριστοῦ οὐ καθυβρίζεται ἀπὸ τούτου περιαγόμενον καὶ περιφερόμενον· αὐτὸς γὰρ ἦν ὁ Χριστὸς πρὸς πάντας περιφερόμενος, καὶ ὡς εἶπον, οὐ καθυβρίζεται ἀπὸ τούτου, ἢ μὴ ἀπὸ ῥυπαρᾶς καρδίας· ὅτι δὲ οὐ δεῖ κοινωνεῖν παντὶ ἐκτὸς τῆς καθολικῆς Ἐκκλησίας, ὁ θεῖος Ἀπόστολος ἡμᾶς διδάσκει λέγων· Εἷς Κύριος, τουτέστιν ὁ ἀληθὴς Κύριος, μία πίστις, τουτέστιν, ἡ εὐσεβής· αἱ γὰρ λοιπαὶ οὐκ εἰσὶ πίστεις, ἀλλὰ θνήσεις· ὥσπερ οὖν ἀποδημοῦντες τῆς ἰδίας γαμετῆς, ἐὰν συγγενώμεθα ἄλλῃ, οὐκ ἔστι γάμος, ἀλλὰ πορνεία. Πολλῷ μᾶλλον φυλάξομεν τὴν σωφροσύνην ἡμῶν, καὶ τῆς ἁγίας ἡμῶν ἀμιάντου συζύγου τοῦ Χριστοῦ Ἐκκλησίας μὴ χωρισθῶμεν.

RESPONSIO.

Sanctissimum Christi corpus nulla injuria afficitur ex hoc quod circumfertur (97); nam ipse Christus olim ad omnes circuibat et circumferebatur: ergo nullam injuriam ex hoc patitur, ut dixi, sed tantum ex impuro corde. Porro communionem non esse accipiendam extra catholicam Ecclesiam, divinus Apostolus docet cum ait: « Unus Dominus, hoc est, verus Dominus, una fides [34], » hoc est, pia et religiosa; nam reliquæ non sunt fides, sed mortes. Quemadmodum igitur, si, dum a propria conjuge absumus, cum alia consuetudinem habeamus, id nequaquam matrimonium, sed scortatio censeri **414** debet: ita et hic danda opera est ut temperantiam custodiamus, et a sancta illibataque sponsa Christi Ecclesia non separemur.

ΕΡΩΤΗΣΙΣ ΡΙΔ'.

Ἔδοξέ τισι λέγειν· Ἀδύνατόν ἐστι φεύγοντά τινα ἀπὸ θανατικοῦ (97) τόπου εἰς ἕτερον τόπον διασωθῆναι ἐκ θανάτου.

QUÆSTIO CXIV (99).

Quibusdam visum est fieri non posse ut qui ex loco contagioso fugit ad alium, liberetur a morte.

ΑΠΟΚΡΙΣΙΣ

Ὁ τῶν θανατικῶν λόγος, καὶ τὸ τούτου μυστήριον, βαθὺ καὶ δυσκατάληπτον, καὶ ὀλίγοις χωρούμενόν ἐστιν, οὐ γὰρ πάντως ὅσα χωρεῖ ὁ νοῦς τοῦ διδάσκοντος, δύναται χωρῆσαι καὶ ὁ νοῦς τοῦ διδασκομένου λαοῦ. Ὅμως ἠκουσα παρὰ ἀνθρώπων [t] μυστήρια Θεοῦ καὶ παιδείαν τοῦ λαοῦ. Δεύτερος δὲ ἀπὸ φθορᾶς ἀέρων καὶ ἀτμῶν, καὶ ἀναθυμιάσεων τῆς γῆς, καὶ ὑδάτων καὶ [u] θνησιμαίων, καὶ κονιορτῶν, καὶ δυσωδίας, καὶ ῥύπου, καὶ τὸ μὲν κατὰ ἀπειλὴν Θεοῦ γινόμενον θανατικὸν, οὐδεὶς δύναται καταλαβέσθαι, ποίῳ καιρῷ γίνεται, καὶ μάλιστα ἐν ταῖς πολυανδρούσαις, καὶ καθύγροις χώραις, καὶ κατάλσει [v]· ὅθεν ἔστιν εἰδέσθαι, πολλὰς ἐθνῶν ἀσεβῶν καὶ δυσσεβῶν ἐρημικὰς, μηδέποτε πεῖραν θανατικοῦ ἐσχηκυίας. Τί οὖν; Ἆρα διὰ τὴν δικαιοσύνην αὐτῶν; Οὐδαμῶς· ἀλλὰ διὰ τὴν κρᾶσιν τῶν ξηροποιῶν, καὶ ὑγιοποιῶν ἀέρων. Νομίζω οὖν, δυνατὸν

RESPONSIO.

Quæstio de causis contagionis ardua est, comprehensu difficilis, paucisque pervia: neque enim omnia quæ magister capit, capit quoque populus auditor: nihilominus dicam quæ audivi. Prima hujus ratio ad occulta Dei judicia et ad instructionem populi pertinet. Secunda oritur ex corruptione aeris, vaporum et exhalationum letiferarum terræ et aquæ, ex pulveribus, ex fetore et sordibus. Et quidem quali tempore illa contagio quæ nascitur ex comminatione et indignatione Dei exsistat, nemo intelligere valet, præsertim in urbibus populosis et humidis, ac salsugine infectis regionibus. Quare videmus solitaria quædam impiorum et sceleratorum hominum domicilia pestiferæ luis penitus expertia esse. Quid igitur? An hoc fit propter justitiam qua pollent? Minime vero. Sed propter temperaturam sicci et salutiferi

[33] Rom. v, 14. [34] Ephes. iv, 5.

VARIÆ LECTIONES.

[t] Hic sine dubio aliqua desunt ut patet ex sequentibus. [u] Videtur delendum καὶ. [v] Lego καθαλμέσι.

NOTÆ.

(97) Ἀπὸ θανατικοῦ. Hodie Græcis τὸ θανατικὸν est ἡ λοιμικὴ νόσος, ἢ ὁ λοιμὸς, ad verbum, *mortalitas*. (ALEMANN.)

(98) Similis ad Antioch. quæst. 111.

(99) Ad Antioch. quæst. 102 et 103.

aeris. Arbitror igitur fieri posse ut quis, voluntate Dei, contagionem illam quæ est ex aere effugiat, quando se ad alia loca salubria transfert; illam vero quæ ex comminatione Dei infertur, non effugies quocunque fugias, etiamsi sub ima terræ penetres; sed moriendum erit. Si tamen mors necdum adversus illum decreta est, non morietur. Nemo vero cum audit nos asserere pestiferam contagionem ex aere oriri, existimet eam absque Dei nutu oriri. Scriptum est enim : « Duo passeres dipondio veneunt, et unus ex illis non cadit super terram absque voluntate Patris mei qui in cœlis est [35]. » Quamobrem omnia quæ stellæ et aliæ creaturæ naturaliter efficiunt, Dei nutu efficiuntur.

A πολλάκις βουλήσει Θεοῦ διαφυγεῖν ἐκ τόπου εἰς ἕτερους ὑγιποιοὺς ἀέρας καὶ τόπους, τὴν ἐκ φθορᾶς ἀέρων γινομένην θνῆσιν. Τὴν δὲ κατὰ Θεοῦ ἀπειλὴν ἐπιφερομένην, ἐὰν οὖν ἄρα καὶ εἰς θνήσκοντας κατετάγη ὁ φεύγων, ἀδύνατον αὐτὸν μὴ ἀποθανεῖν, ὅπου ἐὰν φύγῃ. Εἰ δὲ οὐκ ἐπεφάνθη [x] θάνατος νῦν κατ' αὐτοῦ, οὐκ ἀποθνήσκει. Μηδεὶς δὲ ἀκούσας ἡμῶν εἰρηκότων ἐξ ἀέρων γινομένην θνῆσιν, νομίσει χωρὶς Θεοῦ ταύτην γίνεσθαι. Εἰρήκαμεν γὰρ, ὅτι « Δύο, ὡς γέγραπται, στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τῆς γῆς ἄνευ τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. » Διόπερ, καὶ ἅπερ οἱ ἀστέρες καὶ ἡ κτίσις πᾶσα φυσικῶς ἐνεργεῖ, νεύματι Θεοῦ ἐπιτελεῖται.

QUÆSTIO CXV.

Num debet Christianus illo die quo Eucharistiam sumpturus est, a propriæ uxoris congressu abstinere?

RESPONSIO.

Quando David et socii ejus manducaturi erant panes propositionis, qui corporis Christi figuram gerebant, **415** hoc ante omnia ex Davide percontatus est Abiathar [Abimelech] pontifex : « Si munda sunt vasa puerorum a mulieribus? » Et quando munda esse cognovit, tunc impertiit illis panes [36]. Verum, quoniam res nostræ ad summam miseriam adductæ sunt, si ex itinere aut peregre rediit, fortassis veniam merebitur ob copulam, dummodo seipsum ob hoc damnet, et in cæteris emendet.

B

ΕΡΩΤΗΣΙΣ ΡΙΕ'.

Ἆρα ἀπαιτεῖται Χριστιανὸς τῇ ἡμέρᾳ ἐκείνῃ ἐν ᾗ μέλλει μεταλαμβάνειν παραφυλάξασθαι ἐκ τῆς ἰδίας γυναικὸς, καὶ μὴ προσεγγίσαι αὐτῇ;

ΑΠΟΚΡΙΣΙΣ.

Ὅτε ἔμελλεν ὁ Δαβὶδ, καὶ οἱ σὺν αὐτῷ ἐσθίειν τοὺς ἄρτους τῆς προθέσεως, οἵτινες ὑπῆρχον προτύπωσις τοῦ σώματος τοῦ Χριστοῦ, τοῦτο εὐθὺς ἠρώτησεν Ἀβιάθαρ [y] ὁ ἀρχιερεὺς τὸν Δαβὶδ λέγων, « Εἰ καθαροί εἰσιν ἀπὸ κοίτης γυναικός; » καὶ ὅτε ἔγνω, ὅτι ναὶ, τότε δέδωκεν αὐτοῖς τοὺς ἄρτους. Ὅμως ἐπειδὴ εἰς ἄκραν ταλαιπωρίαν κατήγησαν τὰ καθ' ἡμᾶς, εἰ μὲν ἀπὸ ὁδοῦ τινος καὶ ξένης ἐλήλυθεν, ἴσως συγγνώμης τινὸς, ἑαυτὸν κατακρίνων ἐπὶ τῷ συνδυασμῷ, ἀξιωθήσεται, ἐν τοῖς λοιποῖς ἑαυτὸν διορθούμενος.

C

QUÆSTIO CXVI.

Quid faciam, si ab hæreticis de fide interroger, nec valeam respondere?

RESPONSIO.

Loqui de fide non solum tibi, qui ignorans es, sed et eruditis periculum affert. Dic igitur sciscitanti aliquid ex te : Ego homo idiota et indoctus sum. Sed, si in veritate veritatem quæris, veni ad Ecclesiam, et ibi veram pietatem disces.

ΕΡΩΤΗΣΙΣ ΡΙϚ'.

Ἐὰν ἐρωτῶμαι περὶ πίστεως ὑπὸ αἱρετικῶν, καὶ οὐκ ἐπίσταμαι δογματίσαι, τί ποιήσω;

ΑΠΟΚΡΙΣΙΣ.

Οὐ μόνον σοι τῷ μὴ ἐπισταμένῳ κίνδυνος, ἀλλὰ καὶ τοῖς ἐπισταμένοις τὸ περὶ πίστεως λαλεῖν. Εἰπὲ οὖν τῷ ἐρωτῶντί σε· Ἐγὼ ἄνθρωπος ἰδιώτης εἰμὶ. Ἀλλὰ ἐὰν ἄρα καὶ ἐν ἀληθείᾳ τὴν ἀλήθειαν ἐπιζητῇς, ἐλθὲ πρὸς τὴν Ἐκκλησίαν, κἀκεῖ μανθάνεις τὴν εὐσέβειαν.

QUÆSTIO CXVII [1].

An non est aliqua compendiosa ratio qua homo rudis instructus hæretico occurrere possit?

RESPONSIO.

De hoc accipe brevem disputatiunculam, non ita pridem Alexandriæ institutam. Congregati enim Severiani, Gaianitæ et Barsanuphiani, apud quemdam indoctum quidem sermone, prudentem vero in Domino, catholicæ fidei sectatorem, cum eodem de fide disceptabant. Interrogavit igitur illos, si

D

ΕΡΩΤΗΣΙΣ ΡΙΖ'.

Εἶτα οὐκ ἔστιν ὅλως μέθοδός τις, δι' ἧς δυνήσεται ἰδιώτης ἀντειπεῖν τῷ αἱρετικῷ;

ΑΠΟΚΡΙΣΙΣ.

Περὶ τούτου ἄκουσόν τινος διαλέξεως συντόμου γενομένης ἐν Ἀλεξανδρείᾳ πρὸ ὀλίγου χρόνου. Συναθροισθέντες γὰρ οἱ ἀπὸ Σεβήρου, καὶ Γαϊανοῦ, καὶ Βαρσανουφίου πρός τινα ἰδιώτην μὲν τῷ λόγῳ, φρόνιμον δὲ ἐν Κυρίῳ, τὴν πίστιν τῆς καθολικῆς Ἐκκλησίας κηρύττοντα, διεμάχοντο πρὸς αὐτόν. Πρῶ-

[35] Luc. XII, 6. [36] I Reg. XXI.

VARIÆ LECTIONES.

x ἀπεφάνθη. y Ἀβιμέλεχ.

NOTÆ.

(1) Vide quæst. 44 ad Antiochum.

τησεν οὖν αὐτοὺς λέγων· Ἐὰν ἔχῃ ὁ βασιλεὺς ταμεῖα, καὶ οἴκους τιμίους, ἔνθα διαπράττονται τὰ ἀναγκαῖα μυστήρια αὐτοῦ, τίνι πιστεύει, αὐτοῖς τοῖς πιστοῖς ἀνθρώποις αὐτοῦ, ἢ τοῖς ἀπίστοις; Λέγουσι πρὸς αὐτὸν ἐκεῖνοι· Πρόδηλον, ὅτι τοῖς πιστοτέροις ὅλων τῶν ἀνθρώπων αὐτοῦ πιστεύει τοὺς τοιούτους οἴκους ὁ βασιλεύς. Τότε ἀποκριθεὶς ὁ ὀρθόδοξος, εἶπε πρὸς αὐτούς· « Ὥστε μάθετε, ὅτι οὐκ ἔστιν ἐπὶ γῆς πίστις ὀρθόδοξος, εἰ μὴ τῆς καθολικῆς Ἐκκλησίας. Καὶ διὰ τοῦτο ἐνεπίστευσεν ἡμῖν ὁ Θεὸς πάντας τοὺς ἁγίους καὶ ἀναγκαίους οἴκους αὐτοῦ, ἐν οἷς ἐπιδημήσας τὰ μυστήρια αὐτοῦ πεποίηκε· τουτέστι τὴν Ναζαρὲτ, τὸ Ταβὼρ, τὴν Βηθλεὲμ, τὸν Ἰορδάνην, τὴν Σιὼν, τὸ Γολγοθᾶ, τὴν Ἀνάστασιν, καὶ οὐ μόνον, ἀλλὰ καὶ τὸ Σινᾶ, καὶ ἁπλῶς πάντας τοὺς ἄλλους τόπους τῆς καινῆς, καὶ τῆς παλαιᾶς, οἱ τῆς καινῆς καὶ καθολικῆς Ἐκκλησίας κατέχομεν. Ἐὰν οὖν κακόδοξοί ἐσμεν, ὑμεῖς ὀρθόδοξοι ὑπάρχετε, οὐ καλῶς ἐποίησεν ὁ Θεὸς ἡμῖν πιστεύσας τοὺς ἁγίους τόπους αὐτοῦ. Κἂν εἴπητε, ὅτι χειρὶ βασιλικῇ καὶ τυραννικῇ τούτους κατέχομεν, ἐλέγχεσθε ψευδόμενοι. Ἰδοὺ γὰρ βαρβάρων κρατούντων τὴν χώραν τῶν ἁγίων τόπων, οὐκ ἐπῆρεν αὐτοὺς ἐξ ἡμῶν ὁ Θεός. Εἰ δὲ καὶ, ὡς εἰκὸς, δόξετε λέγειν, ὅτι ἐκράτησαν ποτὲ οἱ Ἀρειανοὶ πρὸ ὀλίγων χρόνων τοὺς ἁγίους τόπους, ἰδοὺ ἀληθῶς ἐκεῖνοι διὰ χειρὸς βασιλικῆς καὶ τυραννίας ἥρπασαν τοὺς ἁγίους τόπους, ἀλλ' οὐδὲν ἴσχυσαν· εὐθέως γὰρ πάλιν ὁ Θεὸς ἡμῖν τοῖς ὀρθοδόξοις παρέδωκεν αὐτούς. Ἰδοὺ λοιπὸν ἑπτακόσιοι χρόνοι, καὶ ταῦτα ἀκούσαντες οἱ αἱρετικοὶ, αἰσχυνθέντες ἀνεχώρησαν.

A quis rex haberet conclavia, domosque pretiosas, ubi peragerentur omnia ejus arcana consilia, quibus ea credet? Num sibi fidis, an infidis? Responderunt illi manifestum esse hujusmodi loca non nisi fidelibus a rege concreditum iri. Tunc ad illos orthodoxus: Discite ergo nullam in terris reperiri veram fidem, nisi illam quam catholica Ecclesia profitetur. Eapropter commisit nobis Deus omnia loca sancta, et domicilia necessaria, in quibus tempore peregrinationis suæ mysteria sua peregit. Hoc est, Nazareth, montem Thabor, Bethleem, Jordanem, montem Sion, Golgotham, Resurrectionem: neque hæc tantum, sed et montem Sina, uno verbo, omnes alios locos Novi et Veteris Testamenti, nos, qui catholicam Ecclesiam sequimur, B possidemus. Si igitur nos male de rebus divinis sentimus, vos autem bene, haud **416** recte egit Deus cum sancta sua loca nobis tradidit. Si oggeratis nos manu regia et tyrannica hæc loca obtinere, nullius negotii erat vos falsitatis redarguere. Ecce enim cum Barbari regionem in qua loca sancta sunt occupent, haud Deus ea a nobis auferri passus est. Si vero, ut probabile est, dicturi estis Arianos non ita pridem loca sancta tenuisse, respondemus hoc plane violentia tyrannica evenisse. Sed frustra fuere : continuo enim Deus nobis orthodoxis loca sancta restituit. Et jam septingentesimus annus agitur. His auditis, hæretici pudefacti recesserunt. C

ΕΡΩΤΗΣΙΣ ΡΙΗ'.

Τίνος χάριν οὐ πεποίηκεν ὁ Σατανᾶς τοσαύτας αἱρέσεις, καὶ σχίσματα, ἐν ἑτέρᾳ πίστει, εἰ μὴ ἐν τῇ τῶν Χριστιανῶν;

ΑΠΟΚΡΙΣΙΣ.

Ὅτι πᾶσαι αἱ λοιπαὶ τῶν ἀβαπτίστων ἐθνῶν πίστεις ἀγαπηταὶ τῷ διαβόλῳ εἰσὶ, καὶ οὐδεὶς αὐτῷ λόγος πολεμῆσαι ἰσχύσει αὐτὰς, εἰ μὴ τὴν πίστιν τοῦ Χριστοῦ ὡς ἀντικειμένην, καὶ πολεμοῦσαν, καὶ πολλάκις, καὶ κατάρχουσαν αὐτοῦ. Καὶ ὅτι ἀληθῶς οὕτως ἐστὶν, ἐκεῖθεν ἔστι μαθεῖν. Πρὸ τῆς ἐπιδημίας τοῦ Χριστοῦ οὐκ ἦν ἔθνος θεοσεβὲς, εἰ μὴ τὸ τοῦ Ἰσραήλ. Οὐκ ἴσχυσεν ὁ Σατανᾶς ἄλλο ἔθνος πολεμῆσαί ποτε, εἰ μὴ αὐτό. Ὅθεν καὶ αἱ φυλαὶ διῃρέθησαν, καὶ ἡ βασιλεία αὐτῶν, καὶ πολλάκις ἑαυτοὺς ἐπολέμησαν, καὶ μυρίας πίστεις, καὶ αἱρέσεις κέκτηνται, καὶ εἶθε [a] κἂν περὶ Θεοῦ ἐμάχοντο ἐν ταῖς αἱρέσεσι, καὶ ἐν τοῖς σχίσμασιν αὐτῶν, ἀλλὰ περὶ εἰδώλων, καθὼς ἔστιν ἐκ τῶν Βασιλειῶν, καὶ ἐκ τῶν προφητῶν μαθεῖν. Λέγει οὖν ὁ Ἱερεμίας, ὅτι « κατὰ τὸν ἀριθμὸν τῶν πόλεων Ἰσραὴλ ὑπῆρχον οἱ θεοὶ αὐτῶν » καὶ αἱ αἱρέσεις τῆς ματαίας πίστεως

QUÆSTIO CXVIII [2].

Cur Satanas in nulla alia professione tam multas hæreses et schismata excitavit, quam in fide christiana?

RESPONSIO.

Quia omnes sectæ gentium baptismo destitutarum diabolo gratæ sunt et acceptæ. Quocirca adversus illas pugnare supersedet. In solam Christi fidem, ceu sibi oppositam et adversariam sibique sæpe dominantem, spicula sua dirigit. Rem ita se habere, vel inde disces. Ante Christi adventum non erat gens quæ Deum coleret, D exceptis Israelitis. Hinc Cacodæmon non potuit bella movere, nisi in istos. Ea de causa tribus illorum divisas, regnum scissum, ipsosque sæpe mutuis bellis attritos, et in varias sectas ac hæreses dissectos novimus. Neque pro Deo pugnarunt in suis hæresibus et schismatis, sed pro idolis, ut apparet ex libris Regum, et ex prophetis, ex quibus Jeremias ait, « secundum numerum civitatum Israel multiplicatos esse deos eorum [aa], » vanasque hæreses et schismata. Propterea ut nunc, ita et

[aa] Jerem. II, 28 ; XI, 13.

VARIÆ LECTIONES.

[a] Leg. καὶ οὔτε.

NOTÆ.

(2) Quæst. 43 ad Antioch.

olim, cum quælibet impia gens unam fidem haberet, gens pia Israelitarum in complures sectas discissa est.

QUÆSTIO CXIX [3].

Cur Deus permisit ut diabolus oppugnaret homines? cur eum de medio non sustulit?

RESPONSIO.

Quando nullus hostis infestat, legitimi milites et regis amici non innotescunt. Si nulla sit pugna vel **417** lucta, nulla erit victoria, nulla corona, nulla merces.

QUÆSTIO CXX [4].

Unde somnia, et quomodo sæpe vera fiunt?

RESPONSIO.

Dictum est a Salomone: « Somnia extollunt imprudentes [37]. » Quocirca monemur ut neque credamus, neque assentiamur illis, ne dæmones circumveniendi nos ansam inde accipiant, prout nonnullis contigit. Porro somnia sæpe nascuntur ex actionibus et cogitationibus quibus interdiu occupati fuimus. Immittuntur etiam a dæmonibus; elevantur insuper ex stomacho vapores quibus variæ phantasiæ excitantur. Sed et Deum aliquando auctorem habent. Crebro quoque angeli per insomnia nos dirigunt, vel perterrefaciunt. Ad hæc anima tanquam rationalis et intellectualis creatura prænoscit et prænuntiat quædam homini, maxime si Spiritum sanctum possideat. Ait enim Deus: « Effundam de spiritu meo super omnem carnem fidelem, et prophetabunt filii vestri, et filiæ vestræ somniabunt [38]. » Sola igitur illa somnia amplectere et dilige, quæ te ad contritionem, emendationem, conversionem, Deique timorem inducunt.

QUÆSTIO CXXI.

Cum Apostolus dicat sanctificari virum infidelem per mulierem fidelem, et similiter mulierem infidelem per virum fidelem [39], num fas erit Christiano ducere mulierem infidelem vel ethnicam?

RESPONSIO.

Divinus Apostolus hæc non prænuntiavit de innuptis et liberis, sed de illis qui jam ante susceptam fidem matrimonium inierant. Si una pars baptizetur, et altera pars neque baptizari, neque separari velit, ne cogat illam aut exagitet fidelis; quia, sicut qui post baptismum meretrici adhæret, unum corpus cum illa efficitur [40], ita et qui adhæret infideli [fideli].

A αὐτῶν, καὶ τῶν σχισμάτων αὐτῶν. Διὸ καθάπερ νῦν, οὕτω καὶ τότε ἑκάστου ἔθνους ἀσεβοῦς μίαν πίστιν ἔχοντος, τὸ ἔθνος τὸ θεοσεβὲς τοῦ Ἰσραὴλ εἰς μυρίας πίστεις ὁ σατανᾶς ἔσχισεν.

ΕΡΩΤΗΣΙΣ ΡΙΘ'.

Διὰ τί δὲ τὸν Σατανᾶν ὅλως πολεμεῖν τοῖς ἀνθρώποις ὁ Θεὸς συνεχώρησε, καὶ τοῦτον οὐκ ἐξήλειψεν;

ΑΠΟΚΡΙΣΙΣ.

Ἐχθροῦ μὴ φαινομένου, οὐ φανεροῦνται οἱ δόκιμοι στρατιῶται, καὶ φίλοι τοῦ βασιλέως. Καὶ μάχης, καὶ πάλης μὴ γενομένης, οὐδὲ νίκη γίνεται, οὐδὲ στέφανοι, οὐδὲ μισθοὶ γίνονται.

B

ΕΡΩΤΗΣΙΣ ΡΚ'.

Πόθεν τὰ ἐνύπνια, καὶ πῶς πολλάκις γίνονται ἀληθινά;

ΑΠΟΚΡΙΣΙΣ.

Εἴρηται ἐν τῷ Σολομῶντι, ὅτι « Ἐνύπνια ἀναπτεροῦσιν ἄφρονας. » Καὶ διὰ τοῦτο παραγγελλόμεθα, μὴ πιστεύειν, μηδὲ καταδέχεσθαι αὐτὰ, ἵνα μὴ ἄδειαν ἐντεῦθεν οἱ δαίμονες λαβόντες πλανήσωσιν ἡμᾶς, ὥσπερ τινὲς ὑπέμειναν. Ὁμοίως συμβαίνουσι τὰ ἐνύπνια πολλάκις ἐκ τῶν πράξεων, ἢ λογισμῶν, ὧν ἐν ἡμέρᾳ ἔχομεν. Γίνονται δὲ καὶ ἀπὸ δαιμόνων· γίνονται δὲ καὶ ἀπὸ στομάχου φαντασίαι· γίνονται καὶ ἀπὸ Θεοῦ. Πολλάκις γὰρ οἱ ἄγγελοι δι' ἐνυπνίων ὑποτοῦσιν, ἢ ἐκφοβοῦσιν ἡμᾶς. Ἀλλὰ δὲ καὶ ἡ ψυχὴ ὡς λογικὴ καὶ νοερὰ προγινώσκει, καὶ προδείκνυσι τῷ ἀνθρώπῳ τινὰ, μάλιστα ἡ τὸ Πνεῦμα τὸ ἅγιον ἔχουσα. Φησὶ γὰρ ὁ Θεὸς, ὅτι « Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα πιστὴν, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. » Ὅσα οὖν ἐνύπνια ὄψει, ποιοῦντά σοι κατάνυξιν, διόρθωσιν, ἐπιστροφὴν, καὶ φόβον Θεοῦ, ταῦτα μόνα ἀγάπησον.

C

ΕΡΩΤΗΣΙΣ ΡΚΑ'.

Τοῦ ἀποστόλου λέγοντος ὅτι ἡγίασται ὁ ἀνὴρ ὁ ἄπιστος, ἐὰν ἐστὶν ἡ γυνὴ αὐτοῦ πιστὴ, ὁμοίως καὶ ἡ γυνὴ ἡ ἄπιστος, ἐὰν ἐστὶν ὁ ἀνὴρ αὐτῆς πιστὸς, ἆρα λοιπὸν ἔξεστι τῷ Χριστιανῷ λαβεῖν γυναῖκα ἄπιστον, ἢ ἐθνικήν;

D

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ θεῖος Ἀπόστολος οὐ περὶ ἀγάμων ταῦτα εἶπε, ἀλλὰ περὶ τῶν ἤδη πρὸ τοῦ πιστεῦσαί τινα ἐκ τῶν δύο συνεζευγμένων ἀλλήλοις, ἴσως [a] μέρους βαπτισθέντος, τὸ ἕτερον μέρος οὔτε βαπτισθῆναι, οὔτε χωρισθῆναι βούλεται, μὴ ἀναγκαζέτω δὲ, μηδὲ διωκέτω αὐτὸν ὁ πιστεύσας· ἐπεὶ μετὰ τὸ βάπτισμα ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμα γίνεται, ὁμοίως καὶ ὁ κολλώμενος τῷ ἀπίστῳ [b].

[37] Eccli. xxxiv, 1. [38] Isa. xliv, 3; Joel. ii, 38; Act. ii, 17. [39] I Cor. vii, 14. [40] I Cor. vi, 16.

VARIÆ LECTIONES.

[a] Lego εἰ ἑνὸς. [b] Videtur leg. πιστῷ.

NOTÆ.

(3) Quæst. 11 ad Antioch.

(4) Quæst. 98 et 99 ad Antioch.

ΕΡΩΤΗΣΙΣ ΡΚΒ'.

Εἰ ἄρα ἁμαρτάνει ὁ φεύγων ἐν καιρῷ διωγμοῦ;

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ μὲν Κύριος εἶπεν· « Ὅτε διώκουσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἄλλην. » Εἰ μὲν οὖν εἰς ἀπώλειαν τῆς ψυχῆς συντείνει ὁ διωγμὸς, ἐξουσίαν ἔχει ἕκαστος, πρὸς ὃ δοκιμάζεται, αὐτὸν ποιῆσαι. Εἰ δὲ περὶ σωματικὰς ζημίας ἐστὶν ὁ διωγμὸς ὑπὲρ Χριστὸν, ὀφείλομεν ἀπομεῖναι.

QUÆSTIO CXXII.

Num peccat qui tempore persecutionis fugit?

RESPONSIO.

Dominus dixit: « Si vos persecuti fuerint in una civitate, fugite in aliam [41]. » Si igitur persecutio tendit ad **418** perditionem animæ, cuilibet integrum est ut quod expedire videbitur agat. Si vero persecutio tantum corporales pœnas pro Christo infligat, manendum erit (5).

ΕΡΩΤΗΣΙΣ ΡΚΓ'.

Ἐπειδὴ ὁρῶμέν τινας καὶ ἐν αἰχμαλωσίᾳ ὑπαρχούσας δούλας παρεξερχομένας, τί χρὴ περὶ αὐτῶν λέγειν;

ΑΠΟΚΡΙΣΙΣ.

Ἕκαστον πρᾶγμα s ἴδιον ἔχει τὸν ὅρον. Τῷ γὰρ, « Μὴ γίνεσθε ἄφρονες, » ἐπιφέρει· « Ἀλλὰ συνιέντες, τί τὸ θέλημα τοῦ Θεοῦ· » καὶ τὸ, « Μὴ ἴσθη t φρόνιμος παρὰ σεαυτῷ, φοβοῦ δὲ τὸν Κύριον, » καί· « Ἔκκλινον ἀπὸ παντὸς κακοῦ· » ὥστε ἄφρων μέν ἐστιν ὁ μὴ συνιὼν τὸ θέλημα τοῦ Θεοῦ· φρόνιμος δὲ παρ' ἑαυτῷ πᾶς ὁ λογισμοῖς ἰδίοις χρώμενος, καὶ μὴ κατὰ πίστιν στοιχῶν τοῖς ῥήμασι τοῦ Κυρίου, καὶ « αἰχμαλωτίζων πᾶν νόημα εἰς τὴν ὑπακοὴν αὐτοῦ. » D

RESPONSIO.

Quodlibet mandatum proprio termino circumscribitur. Quare, cum dixisset : « Nolite fieri insipientes, » statim subjunxit : « sed intelligentes quæ sit voluntas Dei[84], » et : « Non esto sapiens apud temetipsum, time vero Dominum[85], » et : « Declina ab omni malo : » ut insipiens sit qui voluntatem Dei non intelligit; prudens autem apud semetipsum omnis ille qui suis cogitationibus ducitur, nec convenienter fidei ambulat in verbis Domini, « captivans omnem cogitationem in obsequium ejus[86]. »

[78] Isa. IX, 1, 2; Matth. IV, 16. [79] Matth. XVIII, 18. [80] Joan. XIII, 8. [81] Matth. XIV, 7; Marc. VI, 23. [82] Ephes. V, 15. [83] Rom. XII, 16. [84] Ephes. XV, 15, 17. [85] Rom. XI, 20. [86] II Cor. X, 5.

VARIÆ LECTIONES.

q τοῖς ἐν ἀνάγκαις, καὶ στενώσει διάγουσιν ὧν τὴν βίαν. r Index ἀπέχεσθαι. s πρόσταγμα t ἴσθι.

NOTÆ.

(10) *Εὐχολογίῳ.* Inter sacros ecclesiasticos libros Græcorum est Euchologium, respondetque iis quos Pontificale et Sacerdotale vocamus usu Romano. (ALEMANN.)

QUÆSTIO CXLIII.

Cum Apostolus dicat : « Sicut in Adam omnes moriuntur, sic et in Christo omnes vivificabuntur[87]*, » cur in Adamo patriam culpam expiantes, omnes morimur, in Christo autem vivificatus et a proprio delicto mundatus pater meus de puritate sua nihil ad me derivat?*

RESPONSIO.

Disquirere oportet quomodo primus parens irrogatam sibi damnationem, ob violatum Dei præceptum, ad nos transmiserit. Cui dictum est : « Terra es, et in terram ibis[88]; » qui ex incorruptibili corruptibilis mox evasit, mortisque leges subiit. Post hunc casum, cum liberos procreasset, illi, ut a corruptibili, corruptibiles prodierunt. Ita maledictionis in Adamum prolatæ hæredes facti sumus. Non enim punimur, quasi simul cum ipso mandatum illud Dei violaverimus, sed quia, ut dicebam, mortalis effectus, in semen suum transfudit peccatum. Mortales enim ex mortali nati sumus. At Dominus noster Jesus Christus, alter Adam nuncupatus, reformavit et reparavit nos ad incorruptionem, inque ipso vis et potestas antiquæ maledictionis soluta est. Unde ait : « Quemadmodum per hominem mors, sic et per hominem resurrectio vitæ[89]. » Igitur universalis et communissima damnatio nobis ob prævaricationem Adami inflicta, est corruptio et mors : sicuti per Christum contingit omnibus generatim, nemine excepto, perfecta redemptio; exuit enim in ipso natura nostra irrogatam sibi mortem, eo quod primus homo ex corruptione hominem genuerit.

431 At vero cujuslibet nostrum pater, licet per Spiritum sanctum sanctificetur, et remissionem peccatorum obtineat, non ideo ad nos donum hoc suum transmittit. Unus namque est, qui omnes sanctificat in incorruptionem, Dominus noster, per quem et a quo in omnes æqualiter donum hoc derivatur. Aliud porro est peccati remissio, aliud redemptio a morte. Quivis propriorum peccatorum remissionem in Christo per Spiritum sanctum consequitur. Communiter autem omnes ab antiqua corruptione liberamur. « Regnavit enim mors ab Adamo usque ad Moysem[90], » hoc est, usque ad legem viguit lata sententia mortis.

Capitulum synodale ex concilio Carthaginensi. (*Cap.* 109, 110.) (11)

Similiter placuit ut quicunque parvos et recens natos infantes, qui statim ab utero matris baptizantur, neget in remissionem peccatorum baptizari, neque ex primi parentis Adami peccato quidquam trahere, quod debeat lavacro regenerationis purgari, anathema sit. Neque enim aliter intelli-

ΕΡΩΤΗΣΙΣ ΡΜΓ'.

Τοῦ Ἀποστόλου λέγοντος· « Ὥσπερ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται, » διὰ τί ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκοντες, πατρικὴν εὐθύνομεν δίκην, ἐν δὲ τῷ Χριστῷ ζωοποιηθεὶς ὁ ἐμὸς πατὴρ, τῆς ἰδίας πλημμελείας οὐ μετέδωκέ μοι τῆς καθαρότητος ;

ΑΠΟΚΡΙΣΙΣ.

Ἐξετάσαι χρὴ, πῶς εἰς ἡμᾶς ὁ προπάτωρ παρέπεμψε τὴν ἐπενεχθεῖσαν αὐτῷ διὰ τὴν παράβασιν δίκην. Ἤκουσεν, ὅτι « Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. » Καὶ φθαρτὸς ἐξ ἀφθάρτου γέγονε, καὶ ὑπηνέχθη τοῖς τοῦ θανάτου δεσμοῖς. Ἐπειδὴ δὲ εἰς τοῦτο πεσὼν ἐπαιδοποίησεν, οἱ ἐξ αὐτοῦ γεγονότες ὡς ἀπὸ φθαρτοῦ φθαρτοὶ γεγόναμεν. Οὕτω γεγόναμεν τῆς ἐν Ἀδὰμ κατάρας κληρονόμοι. Οὐ γὰρ πάντως ὡς συν ἐκείνῳ παρακούσαντες τῆς θείας ἐκείνης ἐντολῆς τετιμωρήμεθα, ἀλλ' ὅτι, ὡς ἔφην, θνητὸς γεγονὼς, εἰς τὸ ἐξ αὐτοῦ σπέρμα παρέπεμψε τὴν ἁμαρτίαν. Θνητοὶ γὰρ γεγόναμεν ἐκ θνητοῦ. Ὁ δέ γε Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, χρηματίσας δεύτερος Ἀδὰμ, καὶ ἀρχὴ τοῦ γένους ἡμῶν, ἀνεμόρφωσεν ἡμᾶς εἰς ἀφθαρσίαν, καὶ λέλυται τῆς ἀρχαίας ἀρᾶς ἡ δύναμις ἐν αὐτῷ. Ὅθεν φησίν· « Ὥσπερ δι' ἀνθρώπου ὁ θάνατος, οὕτως καὶ δι' ἀνθρώπου ἀνάστασις ζωῆς. » Οὐκοῦν ἡ καθόλου καὶ γενικωτάτη δίκη διὰ τῆς ἐν Ἀδὰμ παραβάσεως, φθορὰ καὶ ὁ θάνατός ἐστιν· ὁμοίως [καὶ ἐν τῷ Χριστῷ] ἡ κατὰ πάντων καὶ γενικωτάτη λύτρωσις τελεῖται. Ἀπεδύσατο γὰρ ἐν αὐτῷ ἡ ἀνθρώπου φύσις τὸν ἐπιῤῥιφέντα αὐτῇ θάνατον διὰ τὸ γενέσθαι ἐκ φθορᾶς ἄνθρωπον τὸν πρῶτον ἄνθρωπον.

Ὁ δὲ ἕκαστος ἡμῶν πατὴρ, κἂν ἁγιασθῇ διὰ τοῦ ἁγίου Πνεύματος, καὶ κομίσηται τῶν πλημμελημάτων τὴν ἄφεσιν, οὐ παραπέμψει εἰς ἡμᾶς τὸ δῶρον. Εἷς γάρ ἐστιν ὁ πάντας ἁγιάζων εἰς ἀφθαρσίαν, ὁ Κύριος ἡμῶν, καὶ εἰς πάντας ἐν ἴσῳ δι' αὐτοῦ τὸ δῶρον ἔρχεται. Ἕτερον δέ ἐστιν ἁμαρτίας ἄφεσις, καὶ ἕτερον θανάτου λύτρωσις. Καὶ ἕκαστος μὲν τῶν ἰδίων πλημμελημάτων κερδαίνει τὴν ἄφεσιν ἐν Χριστῷ, διὰ τοῦ ἁγίου Πνεύματος. Κοινῇ δὲ ἅπαντες ἀπαλαττόμεθα τῆς ἀρχαίας φθορᾶς καὶ δίκης. « Ἐβασίλευσε γὰρ ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως· » μέχρι νόμου κεκράτηκεν ἡ τοῦ θανάτου δίκη.

Συνοδικὸν κεφάλαιον [u] (*ρθ', ρι'*).

Ὁμοίως ἤρεσεν, ἵνα ὅστις τὰ μικρὰ καὶ νεογέννητα [v] βαπτιζόμενα ἀρνεῖται, ἢ λέγει, μὴ βαπτίζεσθαι αὐτὰ εἰς ἄφεσιν ἁμαρτιῶν καὶ κάθαρσιν τῆς προγονικῆς ἁμαρτίας, ἀνάθεμα ἔστω. Ἐπεὶ οὐκ ἄλλως δεῖ νοῆσαι τὸ, « Δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον [καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνα-

[87] I Cor. xv, 22. [88] Gen. III, 19. [89] I Cor. xv, 13. [90] Rom. v, 14.

VARIÆ LECTIONES.

[u] τῆς ἐν Καρθαγένῃ. [v] νεογέννητα.

NOTÆ.

(11) Apud Balsamonem est cap. 111.

τος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους εἰσῆλθεν], ἐν ᾧ πάντες ἥμαρτον, » εἰ μὴ ὃν τρόπον ἡ καθολικὴ Ἐκκλησία ἐνόησε. Διὰ τοῦτο γὰρ καὶ οἱ μικροὶ οἱ μηδὲν ἁμαρτημάτων εἰς ἑαυτοὺς ἔτι πλημμελεῖν δυνάμενοι, εἰς ἄφεσιν ἁμαρτιῶν ἀληθῶς βαπτίζονται, ἵνα καθαρθῇ ἐν αὐτοῖς διὰ τῆς παλιγγενεσίας, ὅπερ εἵλκυσαν διὰ τῆς ἀρχαιογονίας:

A gere oportet quod ab Apostolo dictum est : « Per unum hominem peccatum introivit in mundum, et per peccatum mors, et sic in omnes homines pervasit, in quo omnes peccaverunt [91], » nisi quomodo catholica Ecclesia semper intellexit. Per hunc enim fidei canonem infantes quoque, qui nullum ex se peccatum committere potuerunt, vere in peccatorum remissionem baptizantur : ut per regenerationem in eis mundetur quod ab antiqua origine contraxerunt.

ΕΡΩΤΗΣΙΣ ΡΜΔ'.

Τί δήποτε οὔτε πλείονα, οὔτε ἐλάττονά εἰσι τὰ Εὐαγγέλια ;

ΑΠΟΚΡΙΣΙΣ.

Ἐπειδὴ τέσσαρα κλίματα τοῦ κόσμου, ἐν ᾧ ἐσμεν, εἰσὶ, καὶ τέσσαρα καθολικὰ πνεύματα, κατέσπαρται δὲ ἡ Ἐκκλησία ἐπὶ πάσης τῆς γῆς, στύλος δὲ καὶ στήριγμα Ἐκκλησίας, τὸ Εὐαγγέλιον, καὶ « πνεῦμα ζωῆς, » εἰκότως τέσσαρας ἐχρῆν στύλους πανταχόθεν πνέοντας τὴν ἀφθαρσίαν, καὶ ἀναζωπυροῦντας τοὺς ἀνθρώπους. Ἐξ ὧν φανερὸν, ὅτι ὁ τῶν ἁπάντων τεχνίτης Λόγος, « ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, » καὶ συνέχων τὰ πάντα, φανερωθεὶς τοῖς ἀνθρώποις ἔδωκεν ἡμῖν τετράμορφον τὸ Εὐαγγέλιον, ἑνὶ δὲ πνεύματι συνεχόμενον, καθὼς ὁ Δαβὶδ αἰτούμενος αὐτοῦ τὴν παρουσίαν, φησὶν, « Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, ἐμφάνηθι. » Καὶ γὰρ τὰ Χερουβὶμ τετραπρόσωπα · καὶ τὰ πρόσωπα αὐτῶν εἰκόνες τῆς πραγματείας τοῦ Υἱοῦ τοῦ Θεοῦ. Τὸ μὲν γὰρ πρόσωπον [x] ζῶον [y], φασὶ, λέοντι, τὸ ἐμπρακτον αὐτοῦ, καὶ ἡγεμονικὸν καὶ βασιλικὸν χαρακτηρίζον. Τὸ δὲ δεύτερον, ὅμοιον μόσχῳ, τὴν ἱερουργικὴν καὶ ἱερατικὴν τάξιν ἐμφαῖνον. Τὸ δὲ τρίτον ἔχον πρόσωπον ἀνθρώπου, τὴν κατὰ ἄνθρωπον αὐτοῦ παρουσίαν φανερώτατα διαγράφον. Τὸ δὲ τέταρτον ὅμοιον ἀετῷ πετομένῳ, τὴν τοῦ Πνεύματος ἐπὶ τὴν Ἐκκλησίαν ἐφιπταμένην δόσιν σαφηνίζον. Καὶ τὰ Εὐαγγέλια οὖν τούτοις σύμφωνα, ἐν οἷς ἐγκαθέζεται Χριστός. Τὸ μὲν γὰρ κατὰ Ἰωάννην τὴν ἀπὸ τοῦ Πατρὸς αὐτοῦ ἡγεμονικὴν καὶ ἔνδοξον γενεὰν διηγεῖται, λέγον · « Ἐν ἀρχῇ ἦν ὁ Λόγος. » Τὸ δὲ κατὰ Λουκᾶν, ὅτε ἱερεὺς [z] χαρακτῆρος ὑπάρχον, ἀπὸ τοῦ Ζαχαρίου τοῦ ἱερέως θυμιῶντος τῷ Θεῷ ἤρξατο. Ἤδει γὰρ, ὅτι σιτευτὸς ἑτοιμάζεται μόσχος ὑπὲρ τῆς ἀνευρέσεως [a] τοῦ νεωτέρου παιδὸς μέλλων θύεσθαι. Τὸ δὲ κατὰ Ματθαῖον τὴν κατὰ ἄνθρωπον αὐτοῦ γέννησιν κηρύττει λέγον · « Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ. » Τὸ δὲ κατὰ Μάρκον, ἀπὸ τοῦ προφητικοῦ πνεύματος, τοῦ ἐξ ὕψους ἐπιόντος τοῖς ἀνθρώποις τὴν ἀρχὴν ἐποιήσατο, λέγον · « Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ, ὡς γέγραπται ἐν Ἡσαΐᾳ τῷ προφήτῃ. » Καὶ αὐτὸς δὲ ὁ Λόγος τοῦ Θεοῦ τοῖς μὲν πρὸ Μωϋσέως πατριάρχαις, κατὰ τὸ θεῖκὸν καὶ ἔνδοξον ὁμιλεῖ [b] · τοῖς δὲ

QUÆSTIO CXLIV.

Cur nec plura nec pauciora sunt Evangelia quam quatuor ?

RESPONSIO.

B Cum mundi in quo vivimus quatuor plagæ sint, et quatuor universales venti, Ecclesia autem diffundatur per totam terram, cujus columna et firmamentum est Evangelium [94], et « spiritus vitæ [95] ; » merito quatuor columnæ erectæ sunt, ex quibus flans spiritus homines refocillet, et ad incorruptionem adducat. Hinc liquet, ab omnium conditore Filio Dei, « qui sedet super Cherubim [96], » et continet universa, cum se hominibus manifestasset, quadriforme Evangelium, uno spiritu comprehensum processisse : prout et David adventum Christi efflagitans ait : « Qui sedes super Cherubim, manifestare [97]. » Nam Cherubim quatuor faciebus constant, quorum facies rerum a Filio Dei C gerendarum imagines sunt. Prima facies similis leoni [98], qua significatur Christi in agendo **432** efficacitas, dominatio seu principatus, et regia potestas. Secunda facies similis vitulo [99], qua Christi sacerdotalis et pontificalis dignitas innuitur. Tertia, facies hominis [97], quæ præsentiam Christi in humana carne evidenter delineat. Quarta facies, similis aquilæ volanti [98], indicat Spiritus sancti super Ecclesiam volantis donum. Et Evangelia quidem, in quibus Christus residet, his consona sunt : nam illud secundum Joannem, principalem illam et gloriosam generationem ex Patre exponit : « In principio erat Verbum [99]. » Illud vero secundum Lucam, tanquam sacerdotalis ordinis, a Zacharia sacerdote incensum Deo adolente [1] inD choatur. Sciebat enim vitulum saginatum præparari, quem ob inventum juniorem filium immolaturi erant. Evangelium secundum Matthæum humanam ejus generationem annuntiat : « Liber generationis Jesu Christi, filii David, filii Abraham [2]. » Illud secundum Marcum exordium sumpsit a prophetico spiritu, qui ex alto hominibus supervenit : « Initium Evangelii Jesu Christi, sicut scriptum est in Isaia propheta [3]. » Quid quod ipsum Dei Verbum gloriosa sua divinitate conversabatur cum patriarchis, qui Moysem antecesserunt; illis vero

[91] Rom. v, 12. [94] I Tim. III, 15. [95] Ezech. I, 20. [96] Psal. XCVIII, 1. [97] Psal. LXXIX, 2. [98] Ezech. I, 10. [99] ibid. [97] ibid. [98] ibid. [99] Joan. I, 1. [1] Luc. I, 5. [2] Matth. I, 1. [3] Marc. I, 1, 2.

VARIÆ LECTIONES.

[x] πρῶτον. [y] pro ζῶον lege ὅμοιον. [z] ἱερατικοῦ. [a] ἀναιρέσεως. [b] ὡμίλει.

qui sub lege erant, sacerdotalem ordinem, leges et instituta præscripsit. Deinceps assumpta humana natura, Spiritus sancti dona in universam terram emisit, alis suis nos tegens et protegens. Qualis igitur est conversatio et ratio agendi Filii Dei, talis est et animalium figura. Et qualis est animalium species, talis etiam est Evangelii character. Quadriformia quippe animalia, quadriforme est etiam Evangelium, et Domini conversatio agendique ratio. Eapropter quatuor universalia testamenta homini data sunt : unum in arcu cœlesti temporibus Noetici diluvii; alterum Abrahamo per signum circumcisionis; tertium fuit legislatio per Moysem; quartum per Evangelium a Domino nostro Jesu Christo institutum. Cum hæc ita se habeant, vani prorsus, indocti, quin et audaces sunt, qui statam Evangelii formam aspernantur, et seu plures seu pauciores Evangeliorum facies introducunt : illi quidem, ut videantur plura quam veritas ferat invenisse, isti vero, ut œconomiam et dispensationem Dei despicatui habeant.

A

B

ἐν τῷ νόμῳ, ἱερατικὴν τάξιν ἀμένημε [c]. Μετὰ δὲ ταῦτα ἄνθρωπος γενόμενος τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος εἰς πᾶσαν ἐξέπεμψε τὴν γῆν, σκεπάζων ἡμᾶς ταῖς ἑαυτοῦ πτέρυξιν. Ὁποία οὖν [d] ἡ πραγματεία τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοιαύτη καὶ τῶν ζώων ἡ μορφή, καὶ ὁποία ἡ τῶν ζώων μορφή, τοιοῦτος καὶ ὁ χαρακτὴρ Εὐαγγελίου. Τετράμορφα γὰρ τὰ ζῶα, τετράμορφον καὶ τὸ Εὐαγγέλιον, καὶ ἡ πραγματεία τοῦ Κυρίου. Καὶ διὰ τοῦτο τέσσαρες ἐδόθησαν καθολικαὶ διαθῆκαι τῇ ἀνθρωπότητι· μία μὲν τοῦ κατακλυσμοῦ τοῦ Νῶε [e], ἐπὶ τοῦ τόξου· δευτέρα δὲ τοῦ Ἀβραὰμ, ἐπὶ τοῦ σημείου τῆς περιτομῆς· τρίτη δὲ ἡ τῆς νομοθεσίας διὰ Μωϋσέως· τετάρτη δὲ ἡ τοῦ Εὐαγγελίου, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Τούτων δὲ οὕτως ἐχόντων, μάταιοι πάντες καὶ ἀμαθεῖς, προσέτι δὲ καὶ τολμηροί, οἱ ἀθετοῦντες τὴν ἰδέαν τοῦ Εὐαγγελίου, καὶ εἴτε πλείονα, εἴτε ἐλάττονα τῶν εἰρημένων παρεισφέροντες Εὐαγγελίων πρόσωπα· οἱ μὲν, ἵνα πλείονα δόξωσι τῆς ἀληθείας ἐξευρηκέναι, οἱ δὲ, τὰς οἰκονομίας Θεοῦ [f] ἀθετήσωσιν.

433 QUÆSTIO CXLV.

Quid est circumcisum Domini præputium?

RESPONSIO.

Exponant nobis quoque illi qui obscura, scripto non tradita, et silentio involuta curiose scrutantur, cur Christus sublimi in stipite, et non sub tecto immolatus sit? An non ideo prorsus, ut aeris naturam sanctificaret? Et sicuti immaculatus ejus sanguis cum aqua, tempore passionis in terram destillans, eamdem mundavit; ita et abscissum præputium occultatum, eidem terræ sanctitatem impertiit. Omnino autem modis quos novit ipse qui voluntarie circumcisus est, præputium conservavit, ut illud in resurrectione sua resumeret : quo ut incorrupto, sic et integro, omnisque defectus experte corpore constaret : nam et nostrum corpus in resurrectione omnibus partibus absolutum erit.

C

ΕΡΩΤΗΣΙΣ ΡΜΕ΄.

Τί ἐστιν ἡ περιτμηθεῖσα τοῦ Κυρίου ἀκροβυστία;

ΑΠΟΚΡΙΣΙΣ.

Εἰπάτωσαν καὶ ἡμῖν οἱ τῶν ἀδήλων, καὶ ἀγράφων, καὶ σεσιωπημένων περιεργαζόμενοι, τίνος ἕνεκα ἐφ' ὑψηλοῦ τοῦ ἱκρίου θύεται Χριστὸς, καὶ οὐχ ὑπὸ στέγην; Ἢ πάντως ἵνα τοῦ ἀέρος τὴν φύσιν καθάρῃ; Καὶ ὥσπερ τὸ ἄχραντον αὐτοῦ αἷμα μετὰ τοῦ ὕδατος ἐν τῷ καιρῷ τοῦ πάθους ἐκάθηρε τὴν γῆν, στάξαν ἐν αὐτῇ, οὕτω καὶ ἡ περιτμηθεῖσα ἀκροβυστία κατορυχθεῖσα, ταύτην ἡγίασε. Πάντως δὲ καὶ οἷς οἶδε λόγοις, ὁ ἑκουσίως περιτμηθεὶς ἐφύλαξε τὸ περιτμηθὲν, ὅπως κατὰ τὸν καιρὸν τῆς ἀναστάσεως αὐτοῦ, καὶ κατὰ τοῦτο ἀνελλιπῶς ἔχων αὐτὸ ἀναστῇ· πλήρης ὑπάρχων καὶ ἄφθαρτος ὅλῳ τῷ σώματι· καὶ γὰρ καὶ ἡμεῖς ἐν τῇ ἀναστάσει τὸ ἡμέτερον σῶμα πλῆρες ἀπολῃψόμεθα.

QUÆSTIO CXLVI.

Quinam fuerunt illi quorum sanguinem Pilatus cum sacrificiis miscuit [h]?

RESPONSIO.

Galilæi, qui doctrinam Judæ Galilæi sectabantur, cujus etiam Lucas in apostolorum Actis meminit [g]. Docebat autem, ut et Josephus in postremo opere Judaicarum Antiquitatum testatur, multiplices phantasias prætextu pietatis eructans, neminem ne labiis quidem titulo *domini* afficiendum esse, et hoc neque honoris, nec civilitatis et decentiæ gratia. Ex quibus multi, quod Cæsarem *dominum* appellare detrectarent, gravissimas pœnas sustinuerunt; qui etiam docebant sacrificia Deo non

D

ΕΡΩΤΗΣΙΣ ΡΜϚ΄.

Τίνες ὑπῆρχον, ὧν τὸ αἷμα τῶν θυσιῶν ἔμιξεν ὁ Πιλάτος;

ΑΠΟΚΡΙΣΙΣ.

Οἱ Γαλιλαῖοι, οἱ καὶ τοῖς δόγμασιν ἐξακολουθήσαντες Ἰούδα τοῦ Γαλιλαίου, οὗ καὶ Λουκᾶς ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων μέμνηται. Ἦν δὲ δόγμα τοῦ Ἰούδα, ὡς καὶ Ἰώσηπος ἐν τοῖς τελευταίοις τῆς Ἰουδαϊκῆς Ἀρχαιογονίας [g] ἔδειξε, φαντασίαν ἐξαγγέλλων πολλὴν προφάσει δῆθεν εὐσεβείας, *κύριον* δὲ μηδὲ μέχρι στόματος ἔφασκε δεῖν τινα λέγειν, μήτε κατὰ τιμὴν, μήτε κατὰ φιλοσωφροσύνην. Καὶ πολλοί γε αὐτῶν περὶ τοῦ μὴ εἰπεῖν Καίσαρα *κύριον*, χαλεπωτάτας αἰκίας ὑπέμειναν· οἱ

[b] Luc. XIII, 1. [g] Act. v. 37.

VARIÆ LECTIONES.

[c] ἀπένειμε. [d] οἷα οὖν. [e] τῷ Νῶε. [f] Χριστοῦ. [g] ἀρχαιολογίας.

καὶ ἐδίδασκον, μηδὲ παρὰ τὰς διατεταγμένας ἐν τῷ Μωϋσέως νόμῳ θυσίας ἀναφέρειν [h] τῷ Θεῷ. Ὅθεν [καὶ] ἐκώλυον τὰς ὑπὸ τῆς γερουσίας τοῦ λαοῦ παραδεδομένας γίνεσθαι περὶ τῆς σωτηρίας τοῦ βασιλέως καὶ τῶν Ῥωμαίων ἔθνους θυσίας. Εἰκότως οὖν ἐπὶ τούτοις ἀγανακτοῦντα πρὸς Γαλιλαίους τὸν Πιλάτον κελεῦσαι [i] παρὰ ταῖς θυσίαις, αἷς ἐδόκουν κατὰ τὸν νόμον ἀναφέρειν, ἀναιρεθῆναι, ὥστε ἀναμιχθῆναι ταῖς προσφερομέναις θυσίαις τὸ αἷμα τῶν προσφερόντων.

A esse offerenda nisi ex præscripto legis Mosaicæ. Quapropter sacrificia a senatu pro salute imperatoris et Romanorum imperata prohibebant. Jure igitur Pilatus ob hæc Galilæis succensens, jussit eos inter sacrificia, quæ sibi videbantur ex Moysis instituto offerre, trucidari, ita ut cum oblatis hostiis sanguis quoque offerentium misceretur.

ΕΡΩΤΗΣΙΣ ΡΜΖ'.

Πῶς πᾶσα βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις; ἡ δὲ τοῦ Πνεύματος οὐκ ἀφεθήσεται;

ΑΠΟΚΡΙΣΙΣ.

Πολλὰ γάρ, φησὶ, κατ' ἐμοῦ εἰρήκατε, ὅτι πλάνος εἰμὶ καὶ ἀντίθεος. Ταῦτα οὖν φημι ὑμῖν, οὐκ ἐπαιτῶν δίκην ὑμᾶς. Ἔστω γὰρ, ἐμοὶ παραπαίετε διὰ τὴν σάρκα, ἣν περίκειμαι· διὰ τί καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον ἁμαρτάνετε; Μὴ γὰρ καὶ περὶ αὐτοῦ ἔχετέ τι εἰπεῖν, ὅτι Ἀγνοοῦμεν αὐτό; Διὰ δὴ τοῦτο καὶ ἐνταῦθα κολασθήσεσθε, καὶ ἐκεῖ. Ὅσα μὲν οὖν ἐβλασφημήσατε κατ' ἐμοῦ, φησὶ, πρὸ τοῦ πάθους, ἀφίημι ὑμῖν, καὶ αὐτὸ δὲ τοῦ σταυροῦ τὸ τόλμημα. Ὅσα δὲ εἰς τὸ Πνεῦμα τὸ ἅγιον ἁμαρτάνετε, ἐὰν μὴ μετανοήσητε, καὶ ὧδε κολασθήσεσθε, καὶ ἐκεῖ· καὶ γὰρ οἱ μὲν ἀνθρώπων καὶ ἐνταῦθα κολάζονται, καὶ ἐκεῖ, ὡς οἱ Σοδομῖται, καὶ οὗτοι αὐτοί. Καὶ γὰρ καὶ ἐνταῦθα ἔδωκαν δίκην, ἡνίκα ἔπαθον τὰ ἀνήκεστα ἐκεῖνα τῆς πόλεως αὐτῶν ἁλώσης, καὶ ἐκεῖ χαλεπωτάτην ὑπομενοῦσιν. Οἱ δὲ ἐκεῖ μόνον, ὡς ὁ πλούσιος. Οἱ δὲ ἐνταῦθα μόνον, ὡς ὁ πεπορνευκὼς παρὰ Κορινθίους. Οἱ δὲ οὔτε ἐνταῦθα, οὔτε ἐκεῖ, ὥς τινες προφῆται καὶ ἀπόστολοι.

QUÆSTIO CXLVII.

Quomodo omnis blasphemia remittetur hominibus? quæ vero in Spiritum sanctum est, non remittetur [6]?

RESPONSIO.

Multa, inquit Dominus, contra me dixistis, ut, me esse seductorem, et Deo contrarium. Hæc dico vobis, 434 non appetens ultionem. Esto enim, in me impegeritis, propter carnem qua indutus sum, qua de causa in ipsum quoque Spiritum sanctum delinquitis? Non enim dicere potestis eum a vobis ignorari. Quocirca et hic et illic puniemini. Quæ contra me blasphemastis, inquit, ante passionem, condono vobis, ipsum quoque crucis supplicium quo me affecistis. At delicta vestra in Spiritum sanctum, nisi resipiscatis, et hic et ibi luetis; nam et ex hominibus quidam hic et illic suppliciis mactantur, ut Sodomitæ, et isti ipsi; nam et hic dederunt pœnas, quando extrema [7] quæque perpessi sunt, capta eorum civitate, et ibi gravissima supplicia subibunt; alii vero ibi solum, sicut dives ille epulo [7]. Alii hic solum, sicut fornicator ille apud Corinthios [8]. Alii neque hic, neque ibi; quemadmodum prophetæ et apostoli.

Βασιλείου ἐκ τῶν Ἀσκητικῶν.

Ἐκεῖνος βλασφημεῖ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ὁ τὰς ἐνεργείας, καὶ τοὺς καρποὺς τοῦ ἁγίου Πνεύματος τὸ ἐναντίον ἐπιφημίζων, ὅπερ πάσχουσιν [j] οἱ πολλοί, τὸν μὲν σπουδαῖον πολλάκις ῥιψοκινδύνως κενόδοξον [καὶ νόθον] ἀποκαλοῦντες· τὸν δὲ ζῆλον ἀγαθὸν ἐπιδεικνύμενον, ὀργίλον, καὶ πολλὰ τοιαῦτα ἐν ὑπονοίαις καταψευδόμεθα.

Sancti Basilii ex Asceticis.

Ille blasphemat in Spiritum sanctum, qui operationes et fructus sancti Spiritus contrariis nominibus afficit; ut accidit illis qui sedulum et studiosum ambitiosum et spurium audacter nominant, illum vero qui bono zelo præditus est, iracundum, et qui multa alia hujus generis tacito sub pectore volvunt.

ΕΡΩΤΗΣΙΣ ΡΜΗ'.

Πῶς νοητέον ὃ εἶπεν ὁ Κύριος· « Ἐὰν μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται· » ἤδη δὲ τὸ Πνεῦμα δίδωσι τοῖς ἀποστόλοις διὰ τοῦ ἐμφυσήματος;

ΑΠΟΚΡΙΣΙΣ.

Διὰ μὲν τοῦ ἐμφυσήματος ἐξουσίαν καὶ χάριν πνευματικὴν παρέχει αὐτοῖς πρὸς τὸ ἀφιέναι ἁμαρτήματα· ἐπάγει γάρ, « Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται· ἄν τινων κρατῆτε, κεκράτηνται. » Διὰ δὲ τῆς ἐπιφοιτήσεως τῆς ἐν τῇ Πεντηκοστῇ, τὴν τοῦ βαπτίσματος αὐτοῦ χάριν, καὶ τὴν τῶν σημείων

QUÆSTIO CXLVIII.

Quomodo intelligendum illud Domini: « Si non abiero, Paracletus non veniet [9]; » cum tamen Spiritum sanctum apostolis per insufflationem impertiat?

RESPONSIO.

Per insufflationem præbet illis potestatem et gratiam spiritualem remittendi peccata: addit enim: « Quorum remiseritis peccata, remittentur; et quorum retinueritis, retenta erunt [10]. » Per descensum vero in Pentecoste gratiam baptismatis et signorum operationem illis largitus est [11]. Unde

[6] Luc. XII, 10. [7] Luc. XVI. [8] I Cor. V. [9] Joan. XVI, 7. [10] Joan. XX, 23. [11] Act. II, 43.

VARIÆ LECTIONES.

[h] ἀναφέρεσθαι. [i] κελεύσαντα. [j] πάσχουσιν.

ait : « Vos vero baptizabimini Spiritu sancto [12]. » Et : « Accipietis virtutem Spiritus sancti supervenientis in vos [13]. » Nam apostoli ante passionem beneficia sanitatis non conferebant Spiritu sancto, sed potestate et mandato Christi : « Nondum enim datus erat Spiritus sanctus, quia Jesus nondum erat glorificatus [14] ; » glorificatus autem est, quando a mortuis resurrexit.

Eusebii ad Marinum.

Spiritus sanctus apostolis a Christo inspiratus solvebat et remittebat omnia peccata. Quod vero promissum est, ipsos 435 baptizatum iri Spiritu sancto, et participaturos virtutem operationum, id indicat effectricem facultatem eorum quæ patraturi erant miraculosa, ut et futura pericula ipsis subeunda. Nam ante hanc virtutem noluit ut ethnicis seu gentilibus prædicarent, sed jussit ut virtutis ex alto adventuræ sese participes facerent. Hoc donum Apostolus proprie ab aliis Spiritus sancti operationibus distinctum esse, his verbis docet : « Alii dantur operationes virtutum [15], et Prophetia : Dominus dabit verbum evangelizantibus virtute multa [16] : » cujus virtutis cum nèdcum participes essent, negarunt illum cuncti, et tempore passionis scandalizati sunt. At, cum virtute hac induti ac roborati fuere, Christo libere, palam et intrepide testimonium perhibuerunt ; renovavit enim Dominus humanum genus, et cum gratiam ex spiraculo divino olim acceptam perdidisset, illam in discipulorum facies insufflans, restituit, dicens : « Accipite Spiritum sanctum [17]. »

A ἐνέργειαν παρέχει [k]. Διό φησιν· « Ἡμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ· » καὶ, « Λήψεσθε δύναμιν ἐπελθόντος ἐφ' ὑμᾶς. » Πρὸ γὰρ τοῦ πάθους, οὐ Πνεύματι ἁγίῳ τὰς ἰάσεις ἐποίουν οἱ ἀπόστολοι, ἀλλὰ τῇ παρὰ Χριστοῦ ἐξουσίᾳ καὶ προστάξει· « Οὔπω γὰρ, φησὶν, ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη, » δεδόξασται δὲ, ἐγηγερμένος ἐκ νεκρῶν.

Εὐσεβίου ἐκ τοῦ πρὸς Μαρῖνον [k].*

Τὸ μὲν ὑπὸ τοῦ Χριστοῦ ἐμπνευσθὲν [l] Πνεῦμα ἅγιον τοῖς ἀποστόλοις, λυτικὸν καὶ συγχωρητικὸν ἦν [l*] πάσης ἁμαρτίας. Τὸ δὲ ἐπαγγελτὸν [m] τὸ βαπτισθῆναι [n] αὐτοὺς ἁγίῳ Πνεύματι, καὶ μετασχεῖν δυνάμεως ἐνεργημάτων, ἐνεργητικὴν [o] μὲν τῶν μελλόντων δι' αὐτῶν ἀποτελεῖσθαι θαυμάτων· ἐνστατικῶς [p] δὲ καὶ μαρτυρικῶς [q] τῶν μελλόντων αὐτοῖς ἐπανίστασθαι κινδύνων. Πρὸ γὰρ ταύτης τῆς δυνάμεως κηρύττειν αὐτοὺς τοῖς ἔθνεσιν οὐκ ἐδοῦλετο, ἀλλ' ἐκδέχεσθαι καὶ περιμένειν αὐτὴν ἐξ ὕψους μετασχεῖν. Τοῦτο δὲ καὶ ὁ Ἀπόστολος τὸ χάρισμα ἰδίως ἀφορίζων τῶν λοιπῶν ἐνεργειῶν τοῦ ἁγίου Πνεύματος, ἐδίδασκε λέγων· « Ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων [r], » καὶ ἡ προφητεία φησί· « Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ· » ἧς δυνάμεως ὅτε μήπω μετεῖχον, ἠρνήσαντο αὐτὸν πάντες, καὶ ἐσκανδαλίσθησαν κατὰ τὸν καιρὸν τοῦ πάθους. Ὅτε δὲ μετέσχον αὐτῆς πάντες ἐπέστρεψαν [s] ταῖς ὑπὲρ αὐτοῦ [t] μαρτυρίαις τε καὶ ὁμολογίαις· ἀνακαινίζων γὰρ τὸ ἀνθρώπινον ὁ Κύριος, καὶ ἡ [u] ἀπώλεσε χάριν ἐκ τοῦ Θεοῦ [v], ταύτην πάλιν ἀποδιδοὺς ἐνεφύσησεν εἰς τὰ πρόσωπα αὐτῶν [x] μαθητῶν λέγων· « Λάβετε Πνεῦμα ἅγιον. »

B

C

QUÆSTIO CXLIX.

Quid est judex iniquitatis ?

RESPONSIO.

Respondeat David : « Deus judex justus, fortis, et longanimis [18]. » Et : « Neque ab oriente, neque ab occidente, neque a desertis montibus, quoniam Deus judex est [19]. » Judex erat in quadam civitate. In qua civitate ? An hæc civitas Ecclesiæ Dei imitatio et exemplar quoddam est ? « Gloriosa dicta sunt de te, civitas Dei [20]. » Hæc civitas imago est cœlestis civitatis, de qua dicit Apostolus : « Accessistis ad Sion montem, et civitatem Dei viventis, Jerusalem cœlestem [21]. » — « Judex quidam erat, neque Deum timens, neque hominem reverens [22] ; » nam Deus non habet Deum, quem timeat, neque hominem, quem revereatur : neque enim apud ipsum personarum acceptio locum habet. « Erat autem vidua in illa civitate [23]. » Omnis enim ani-

D

ΕΡΩΤΗΣΙΣ ΡΜΘ'.

Τί ἐστιν ὁ κριτὴς τῆς ἀδικίας ;

ΑΠΟΚΡΙΣΙΣ.

Λεγέτω Δαβίδ· « Ὁ Θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρὸς, καὶ μακρόθυμος· » καὶ ὅτι « Οὔτε ἀπὸ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν, οὔτε ἀπὸ ἐρήμων ὀρέων, ὅτι ὁ Θεὸς κριτής ἐστι. » Κριτής τις ἦν ἔν τινι πόλει. Ποίᾳ πόλει; ἢ τῆς Ἐκκλησίας τοῦ Θεοῦ [y] αὕτη ἡ πόλις μίμημά ἐστι ; « Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. » Αὕτη ἡ πόλις μίμημά ἐστι τῆς οὐρανίου πόλεως, περὶ ἧς φησιν [z] ὁ Ἀπόστολος· « Ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ. » — « Κριτής τις ἦν, μήτε τὸν Θεὸν φοβούμενος, μήτε ἄνθρωπον ἐντρεπόμενος· » ὁ γὰρ Θεὸς οὔτε Θεὸν ἔχει, ὃν φοβηθήσεται, οὔτε ἄνθρωπον, ὃν ἐντραπήσεται· προσωποληψία γὰρ παρ' αὐτῷ οὐκ ἔστι. « Χήρα δέ τις ἦν ἐν τῇ πόλει ἐκείνῃ. » Πᾶσα γὰρ ψυχὴ ἐξουσιαστικὴ, ποτὲ [z] μὲν τὸν διά-

[12] Act. II, 5. [13] ibid. 8. [14] Joan. VII, 39. [15] I Cor. XII, 6, 10. [16] Psal. LXVII, 12. [17] Joan. XX, 22. [18] Psal. VII, 12. [19] Psal. LXXIV, 7. [20] Psal. LXXXVI, 3. [21] Hebr. XII, 22. [22] Luc. XVIII, 2. [23] ibid. 3.

VARIÆ LECTIONES.

[k] παρεῖχεν. [k*] Verba, ἐκ τοῦ πρὸς Μαρῖνον, desunt in codice Columniensi. [l] ἐμπνεῦσαν. [l*] ἦν deest in cod. [m] Mai ἐπηγγελμένον. [n] Mai βαπτισθήσεσθαι. [o] Mai ἐνεργητικῆς. [p] Mai ἐνστατικῆς. [q] Mai μαρτυρικῆς. [r] ἐνεργητικῆς δυνάμεως. [s] Mai διέτρεψαν. [t] Mai Χριστοῦ. [u] Mai ἦν. [v] Mai ἐκ τοῦ ἐμφυσήματος τοῦ Θεοῦ. [x] Mai αὐτῶν. [y] τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ. [z] ἐκκλησιαστικὴ τόν ποτε.

δολον ἄνδρα ἔχουσα, καὶ [ὡς] ἀπορρίψασα, καὶ Χριστὸν ἐνστερνισαμένη, χήρα τυγχάνει· καὶ δεῖται καθ' ἑκάστην ἡμέραν καὶ νύκτα τοῦ κριτοῦ, λέγουσα· « Ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου. » Τίς δέ ἐστιν ὁ ἀντίδικος, καθ' οὗ ἐντυγχάνομεν πάντοτε, λεγέτω Πέτρος· « Τεκνία, γρηγορεῖτε, ὅτι ὁ ἀντίδικος ἡμῶν ὁ διάβολος, ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τίνα καταπίῃ [a]· « ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει. » Τί δὲ εἶπεν ὁ κριτής; « Εἰ καὶ τὸν Θεὸν οὐ φοβοῦμαι, οὔτε ἄνθρωπον ἐντρέπομαι· ἀλλ' οὖν γε ἀναστὰς ἐκδικήσω αὐτὴν, ἵνα μὴ ἐρχομένη ὑπωπιάζῃ με. » Καὶ ἐπιφέρει ὁ Κύριος λέγων· « Ἀκούεις, τί λέγει ὁ κριτὴς τῆς ἀδικίας, » καὶ οὐ δικαιοσύνης; Κριτής ἐστιν ἀδίκων, « Δικαίων [b] γὰρ νόμος οὐ κεῖται. »

ma sub potestatem redacta, cui aliquando diabolus maritus erat, et quæ illo repudiato Christum amplectitur, vidua est; oratque singulis diebus ac noctibus judicem : « Vindica me ab adversario meo [24]. » Quis est adversarius, adversus quem perpetue dimicamus? dicat sanctus Petrus : « Filioli, vigilate, quia adversarius vester diabolus tanquam leo rugiens circuit, quærens quem devoret; cui resistite fortes in fide [25] » Quid vero judex? « Etsi Deum non timeo, nec hominem revereor, vindicabo tamen illam, ne veniens suggillet me [26]. » Subjungit Dominus : « Audis quid dicat judex 436 iniquitatis » et non justitiæ? Judex est injustorum; nam « Justo non est lex posita [27]. »

B

ΕΡΩΤΗΣΙΣ ΡΝ'.

Πῶς νοητέον· « Ὁ ἔχων ἱμάτιον, πωλησάτω αὐτὸ, καὶ ἀγορασάτω μάχαιραν; »

ΑΠΟΚΡΙΣΙΣ.

Τὴν κατ' αὐτοῦ ἔφοδον τῶν Ἰουδαίων γνωρίσαι τοῖς ἀποστόλοις ὁ Κύριος βουλόμενος, δι' αἰνίγματος τῆς μαχαίρας ἐδήλωσεν. Εἰπὼν γὰρ, « Ἀγορασάτω μάχαιραν, » ἐπήγαγεν· « Ὅτι δεῖ τὰ γεγραμμένα περὶ ἐμοῦ τελεσθῆναι, ὅτι Μετὰ ἀνόμων ἐλογίσθη. » Οὔτε οὖν τελείως παρεσιώπησεν, ἵνα μὴ τῇ ἀθρόᾳ ἐφόδῳ ταραχθῶσιν, οὔτε πάλιν τελείως ἐγνώρισεν, ἵνα μὴ δειλίᾳ τινὶ κατασχεθῶσιν. Εἰπόντων δὲ τῶν μαθητῶν· « Ἰδοὺ ὧδε μάχαιραι δύο, » καὶ τὸ λεχθὲν μὴ συνιέντων, αὐτός φησιν· « Ἱκανόν ἐστι. » Καίτοι οὐκ ἦν ἱκανόν· εἰ μὲν γὰρ ἀνθρωπίνῃ βοηθείᾳ κεχρῆσθαι αὐτοὺς ἐβούλετο, οὐδὲ, εἰ ἑκατὸν ἦσαν μάχαιραι, ἱκανὸν ἦν. Εἰ δὲ μὴ τοῦτο, καὶ αἱ δύο περιττα[ί]. Καὶ ὅμως, οὐκ ἐξάλειψεν τὸ αἴνιγμα. Καὶ γὰρ πολλαχοῦ φαίνεται τοῦτο ποιῶν. Ἐπειδὰν δὲ μὴ νοήσωσι τὸ λεχθὲν, παρατρέχει τοῦτο, καὶ ἀφίησι τῇ τῶν πραγμάτων ἐκβάσει τὸ μετ' αὐτοῦ [c] τὴν κατανόησιν τῶν εἰρημένων ἐπιτρέπων λοιπὸν, ὥσπερ καὶ ὅτε εἶπεν· « Λύσατε τὸν ναὸν τοῦ Θεοῦ. »

QUÆSTIO CL.

Quomodo intelligendum illud : « Qui habet tunicam vendat illam, et emat gladium [28] ? »

RESPONSIO.

Cum Dominus discipulis suis Judæorum adversus se aggressionem et impressionem indicare vellet, ænigmate quodam gladii id fecit. Nam cum dixisset : « Emat gladium, » subdidit : « Quoniam adhuc hoc quod scriptum est, oportet impleri in me : Et cum iniquis deputatus est [29]. » Igitur neque omnino subticuit, ne improviso impetu turbarentur, neque omnino patefecit, ne formidine aliqua percellerentur. At cum discipuli dicerent : C « Eccē duo gladii hic [30], » nec dictum Christi intelligerent, respondit Dominus : « Satis est [31]. » Quanquam satis non erat; nam si humana ope uti voluisset, ne centum quidem gladii suffecissent. Si nec tot, etiam duo superflui erant. Nihilominus ænigma non dissolvit. Quod et alibi sæpius fecit. Nam cum sensum ejus, quod dictum erat, non assequerentur, præterit illud, et ipsi rerum eventui veram intelligentiam declarandam permittit; ut et tunc cum dixit : « Solvite templum hoc [32]. »

ΕΡΩΤΗΣΙΣ ΡΝΑ'.

Πῶς ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν;

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ μὲν φιλῶν τὴν ψυχὴν αὐτοῦ ἐστιν ὁ τὰς ἀτόπους ἐπιθυμίας αὐτῆς ποιῶν· ὁ δὲ μισῶν αὐτήν ἐστιν ὁ μὴ εἴκων αὐτῇ τὰ βλάπτοντα κελευούσῃ. Ὁ δὲ θέλων σῶσαι αὐτήν ἐστιν ὁ τὴν παρὰ τὸ δέον σωτηρίαν τὴν ἐκ τῶν κινδύνων διαφυγεῖν ἐφιέμενος· οὗτος ἀπολέσαι αὐτήν· ὥσπερ αὐτοῦ ἐν τοῖς κινδύνοις γινομένην ἀπώλειαν σωτηρίαν ὠνόμασεν. « Οὗτος γὰρ, φησὶν, εὑρίσκει [d] αὐτὴν εἰς ζωὴν αἰώνιον. »

D

QUÆSTIO CLI.

Quomodo qui amat animam suam perdet eam [33] ?

RESPONSIO.

Amat animam suam qui illicitis ejus cupiditatibus obsequitur. Odit illam qui noxia suadenti non obtemperat. Ille vero qui plusquam oportet animam suam ex periculis salvare nititur, perdet eam. Quemadmodum etiam mortem pro ipso in periculis obitam, salutem vocat. « Hic enim, inquit, inveniet eam in vitam æternam [34]. »

[24] Luc. xviii, 3. [25] I Petr. v, 8, 9. [26] Luc. xviii, 4. [27] I Tim. i, 9. [28] Luc. xxii, 26. [29] ibid. 37. [30] ibid. 38. [31] ibid. [32] Joan. ii, 19. [33] Joan. xii, 25. [34] ibid.

VARIÆ LECTIONES.

[a] καταπιεῖν. [b] δικαίῳ. [c] μετὰ ταῦτα. [d] εὑρήσει.

QUÆSTIO CLII.

Quomodo intelligenda sit triduana sepultura, et resurrectio Christi?

EX SEVERO ANTIOCHENO.

Quemlibet diem a vespera computare, et cum præcedente nocte ceu unum copulare solemus. Sic enim et Moyses, cum in Exodo cæremonias **437** Paschæ et Azymorum solemnitatem describeret, dixit : « Incipiente quarta decima die primi mensis a vespera, comedetis panes azymos[25]. » Ubi initium sequentis diei ab antegressa vespera numeravit, et vacationem a laboribus in Sabbato ita descripsit, ut et præcedente nocte, et sequenti die otium agerent. Testes do Judæos, qui usque in hodiernum diem id observant, quippe qui non illam noctem quæ Sabbatum subsequitur, sed illam quæ antegreditur, cessatione ab operibus et quiete colunt. Et nos in observatione Dominici diei, præcedentem noctem, tanquam cum die copulatam, et non sequentem noctem veneramur. Quodlibet enim noctis dieique intervallum est, ut ita loquar, unum corpus, et quidquid aliquis faciat illis viginti quatuor horis, id illo die fecisse dicitur. Exempli gratia, cum quis, modica peregrinatione finita, in patriam vel civitatem suam revertitur, sive secunda, sive tertia hebdomadis die aut hora, omnes dicunt hunc secunda vel tertia die rediisse, totamque diem quæ est una cum præcedente nocte, peregrinationi ejus deputant.

Oportet igitur nos tempus triduanæ sepulturæ desumere ab eo tempore quo incarnatus Dei Filius ad inferos descendit : abhinc enim vere et reipsa in corde terræ exstitit. At vero in corde terræ fuit, postquam in cruce exspiravit; tunc enim « descendit in inferiores partes terræ[26], » ut ait Apostolus. Igitur ab emissione spiritus numerandæ tres illæ dies et noctes. Porro spiritum emisit hora nona Parasceves, relictis adhuc ex illa die tribus horis. Quia igitur Parasceve cum antegressa nocte copulatur, secundum consuetudinem a sacris Litteris traditam, totam Parasceves diem et noctem Dominum in corde terræ peregisse cogitamus. Deinceps post solis occasum inchoatur Sabbatum et nox ejus, quam Judæi quoque religiose observant. Hac sola (tota et integra) cum subsequente die in locis subterraneis Dominus versatus est. Peracto Sabbato, et per solis occasum expleto, cœpit nox diei Dominicæ, cui nocti sequens dies ex consuetudine Scripturæ consequenter adnumeratur. Ita videbimus Dominum in noctiduo Dominicæ a mortuis resurrexisse : nam qui partem illius noctidui in corde terræ peregit, totum ibi peregisse censetur : a parte enim totum cognoscitur. Quapropter in Parasceve postremam noctidui partem in subterraneis peregit;

ΕΡΩΤΗΣΙΣ ΡΝΒ'.

Πῶς νοητέον τὴν τοῦ Κυρίου τριήμερον ταφὴν, καὶ ἀνάστασιν;

ΑΠΟΚΡΙΣΙΣ ΣΕΒΗΡΟΥ ΑΝΤΙΟΧΕΙΑΣ.

Ἑκάστην ἡμέραν ἀφ' ἑσπέρας ἀριθμεῖν εἰώθαμεν, καὶ μετὰ τῆς προλαβούσης νυκτὸς εἰς ἓν συνάπτειν. Οὕτω γὰρ καὶ ἐν τῇ ἐξόδῳ τὸ Πάσχα καὶ τὴν τῶν Ἀζύμων ἑορτὴν διατασσόμενος ὁ Μωϋσῆς ἔφησεν· « Ἀρχομένης τῆς τεσσαρεσκαιδεκάτης τοῦ πρώτου μηνὸς, ἀφ' ἑσπέρας ἔδεσθε ἄζυμα, » καὶ τὴν ἀρχὴν τῆς ἑξῆς ἡμέρας ἀπὸ τῆς προλαβούσης ἡμέρας ἠρίθμησε, καὶ τοῦ Σαββάτου δὲ τὴν ἀργίαν οὕτω παρέδωκεν, ὥστε τὴν προλαβοῦσαν νύκτα, καὶ τὴν ἐφεξῆς ἡμέραν σχολὴν ἄγειν· καὶ δηλοῦσιν Ἰουδαῖοι, μέχρι καὶ τήμερον τοῦτο φυλάττοντες, καὶ οὐ τὴν μετὰ τὸ Σάββατον, ἀλλὰ τὴν πρὸ τοῦ Σαββάτου νύκτα τῇ ἀργίᾳ καὶ τῇ σχολῇ τιμῶντες. Καὶ ἡμεῖς δὲ τὴν κατὰ τὴν Κυριακὴν ἡμέραν, τὴν προλαβοῦσαν νύκτα τιμῶμεν, ὡς τῇ ἡμέρᾳ τῇ μιᾷ συναπτομένην, καὶ οὐ τὴν ἐφεξῆς νύκτα. Ἑκάστου γὰρ νυχθήμερον ἓν, ὡς ἄν τις εἴπῃ [f], σῶμά ἐστι, καὶ ὅπερ ἄν τις ποιήσῃ ἐν μιᾷ τῶν εἰκοσιτεσσάρων ὡρῶν, ἐκείνῃ τῇ ἡμέρᾳ πάσῃ λέγεται πεπραχέναι τὸ πρᾶγμα. Οἷον ὅταν τις μικρὰν ἀποδημίαν στειλάμενος, εἰς τὴν ἰδίαν ἐπιστρέψοιεν πατρίδα καὶ πόλιν, ἢ ἐν τῇ δευτέρᾳ, ἢ τῇ τρίτῃ τῆς ἑβδομάδος ἡμέρᾳ, ἢ ὥρᾳ, πάντες λέγουσιν, ὡς Ὁ δεῖνα τῇ δευτέρᾳ παρεγένετο, ἢ τῇ τρίτῃ· καὶ τὴν πᾶσαν ἡμέραν, ἥτις ἐστὶ μία μετὰ τῆς προλαβούσης νυκτὸς, τὴν ἐπιδημίαν αὐτοῦ προσλογίζονται.

Χρὴ οὖν ἐκεῖνον τὸν καιρὸν ἡμᾶς σκοπεῖν τῆς τριημέρου ταφῆς, τῆς εἰς τὸν ᾅδην καταβάσεως τοῦ σαρκωθέντος Θεοῦ Λόγου· ἐξ οὗ κατὰ ἀλήθειαν γέγονεν ἐν τῇ καρδίᾳ τῆς γῆς. Γέγονε δὲ μετὰ τὴν ἐκπνευσιν « καταβὰς εἰς τὰ κατώτερα μέρη τῆς γῆς, » ὡς φησιν ὁ Ἀπόστολος. Ἀπὸ ἐκ πνεύσεως [g] τοίνυν ἀριθμητέον τὰ τρία νυχθήμερα· γέγονε δὲ ἡ ἐκπνευσις ἐν τῇ ἐννάτῃ ὥρᾳ τῆς Παρασκευῆς, λειπομένων τῶν τριῶν ὡρῶν τῆς ἡμέρας. Ἐπεὶ οὖν ἡ Παρασκευὴ τῇ προλαβούσῃ νυκτὶ συνάπτεται κατὰ τὴν ἐν τῇ Γραφῇ παραδεδομένην συνήθειαν, πᾶσαν τὴν τῆς Παρασκευῆς ἡμέραν καὶ νύκτα λογιζόμεθα τὸν Κύριον ἐν τῇ καρδίᾳ τῆς γῆς πεποιηκέναι. Λοιπὸν δὲ μετὰ τὴν τοῦ ἡλίου δύσιν ἀρχὴν λαμβάνει τὸ Σάββατον, καὶ ἡ αὐτοῦ νὺξ παραλαμβάνει τὸ Σάββατον. Καὶ ἡ αὐτοῦ νὺξ, ἣν καὶ Ἰουδαῖοι ἁγίαν τιμῶσιν. Ταύτην οὖν ὁ Κύριος μόνην μετὰ τῆς ἑξῆς συνημμένης ἡμέρας ἐν τοῖς καταχθονίοις πεποίηκε. Τοῦ δὲ Σαββάτου διαγενομένου, καὶ τῇ τοῦ ἡλίου δύσει περαιωθέντος, ἤρξατο λοιπὸν ἡ νὺξ τῆς Κυριακῆς. Τῇ δὲ νυκτὶ πάλιν, καὶ τῇ ἐφεξῆς ἡμέρᾳ [h] κατὰ τὴν αὐτῆς συνήθειαν τῆς Γραφῆς, ἀκολούθως προλογίζεται. Καὶ εὑρεθήσετσι ὁ Κύριος ἐν τῷ τοιούτῳ νυχθημέρῳ τῆς Κυριακῆς ἀναστὰς ἐκ νεκρῶν. Καὶ γὰρ ὁ τὴν ἀρχὴν τοῦ νυχθημέρου ποιήσας ἐν

[25] Exod. XII, 18. [26] Ephes. IV, 9.

VARIÆ LECTIONES.

[a] ἑσπέρας. [f] εἴποι. [g] videtur una vox in MS. [h] ἡ ἐφεξῆς ἡμέρα.

τῇ καρδίᾳ τῆς γῆς· τὸ πᾶν ἐκεῖ πεποιηκέναι νυχθήμερον λογισθήσεται· ἀπὸ μέρους γὰρ τὸ ὅλον γνωρίζεται. Διὰ τοῦτο τὴν μὲν Παρασκευὴν ἐκ τοῦ τελευταίου μέρους τοῦ νυχθημέρου πεποίηκεν ἐν τοῖς καταχθονίοις ὁ Κύριος, τὴν δὲ Κυριακὴν ἐκ τοῦ μέρους τοῦ πρώτου. Τὸ δὲ Σάββατον ὅλον, δι' ὅλου τῶν εἰκοσιτεσσάρων ὡρῶν πένθους ἀποτελῶν ἡμέραν τὴν Ἰουδαϊκὴν ἑορτήν.

A in Dominica primam; Sabbatum vero totam, per totum viginti quatuor horarum **438** luctum, ita ut Judaicam solemnitatem perfecte absolveret.

ΕΡΩΤΗΣΙΣ ΡΝΓ'.

Εἰ συμφωνοῦσιν οἱ τέσσαρες εὐαγγελισταὶ περὶ τῆς Χριστοῦ ἀναστάσεως, ἢ οὔ;

ΑΠΟΚΡΙΣΙΣ.

Τεσσάρων ὄντων [καὶ ὡρῶν [i]], καὶ τοσαύτων ἀφίξεων, καθ' ἣν ἐπὶ τὸ μνῆμα ἦλθον αἱ γυναῖκες, ἕκαστον εὐαγγελιστὴν ἕνα καιρὸν ᾠκονόμησε [k] γράψαι τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ ὁ μὲν Ματθαῖος τὰς ὀψὲ Σαββάτων παραγενομένας ἐπὶ τὸ μνῆμα ἱστόρησε, καὶ ἕνα ἄγγελον καταβεβηκότα ἐξ οὐρανοῦ, καὶ τὸν λίθον ἀποκυλίσαντα. Ὁ δὲ Ἰωάννης Μαρίαν τὴν Μαγδαληνὴν ἐν τῷ σκότῳ πρὸ τῆς ἕω ἐληλυθέναι μόνην συγγεγράφθαι [l], καὶ δύο ἀγγέλους ἔνδον τοῦ τάφου θεάσασθαι. Λουκᾶς δὲ, ἄλλας κατὰ [m] τὸν ὄρθρον. Μάρκος δὲ ἑτέρας ἀνίσχοντος τοῦ ἡλίου, συναναμεμιγμένων τινῶν καὶ τῶν ἤδη παραγενομένων· καὶ τὰς μὲν δύο ἄνδρας ἐπιστάντας αὐταῖς· τὰς δὲ καθήμενον ἐν τοῖς δεξιοῖς νεανίσκον ἰδεῖν· στολαῖς δὲ ἅπαντας ἠμφιεσμένους λευκαῖς. Ὥστε δύνασθαί τινα τῇ τῶν καιρῶν τάξει, τὰ παρ' ἑκάστῳ γεγραμμένα συνιέντα μίαν ἁρμονίαν, καὶ ἓν τὸ σῶμα πάσης ἱστορίας, καθάπερ ἑνὸς τὸ πᾶν γεγραφότος, καὶ οὐ πολλῶν. Εἰ μὲν γὰρ μιᾶς ἀφίξεως τῶν γυναικῶν ἑνὶ καιρῷ γενομένης, οἱ τέσσαρες ἐμνημόνευσαν, καὶ τοὺς αὐτοὺς εἶπον ἀγγέλους ἐπιφανῆναι, ἢ μίαν καὶ τὴν αὐτὴν ἐπιφάνειαν, ἦγουν ὀπτασίαν ἅπαντες εἰπόντες, ταύτην ἔφασαν ἐν διαφόροις καιροῖς γεγενῆσθαι, οὐχ ἑνὸς μνημονεύσαντες ἅπαντες χρόνου, διαφωνίας εἶχε μέμψιν ὁ λόγος. Εἰ δὲ καὶ οἱ καιροὶ διάφοροι καὶ τὰ πρόσωπα, καὶ αἱ τῶν ἐπιφανέντων ὄψεις οὐχ ἑαυταὶ [n], τοῦ Θεοῦ βουληθέντος διὰ πολλῶν τρόπων πιστώσασθαι τὸ θαῦμα τῆς ἀναστάσεως, καὶ τῷ ἄλλῳ μὴ λεχθὲν ἱστόρησεν ἕλλος [o] εὐαγγελιστὴς, πῶς οὐκ ἔστιν ἡ διήγησις ὅλη καθαρὰ, καὶ πάσης μέμψεως ἐλευθέρα;

Ἐπειδὴ δὲ πολλῶν Μαριῶν ἐν τοῖς Εὐαγγελίοις φέρεται μνήμη, τρεῖς εἶναι τὰς πάσας γινώσκειν ὀφείλομεν, ἃς Ἰωάννης συλλήβδην ἠρίθμησεν, εἰπών· « Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. » Μαρίαν γὰρ τὴν Ἰακώβου καὶ Ἰωσὴ μητέρα, παρὰ τοῖς ἄλλοις εὐαγγελισταῖς ὠνομασμένην τὴν Θεοτόκον εἶναι μεμαθήκαμεν. Ὥσπερ γὰρ τὴν οἰκονομίαν, καὶ τὸ ἐπισκιασθῆναι τὸν θεῖον τόκον, καὶ μὴ φανερωθῆναι τοῖς μιαιφόνοις Ἰουδαίοις, ὡς ἄνδρα τῆς Παρθένου χρηματίσαι τὸν Ἰωσήφ· ἀναγέγραπται

QUÆSTIO CLIII.

Num consentiant evangelistæ circa tempus Christi resurrectionis, an non?

RESPONSIO.

Cum quatuor sint tempora, et totidem adventus, quibus mulieres ad sepulcrum venisse memorantur, Spiritus sancti afflatu accidit ut singuli evangelistæ singula tempora describerent. Et Matthæus quidem sero Sabbati mulieres ad sepulcrum venisse, et angelum de cœlo descendisse, lapidemque a sepulcro revolvisse scripsit [37]. Joannes vero refert Mariam Magdalenam solam, cum adhuc tenebræ essent, ante auroram ad monumentum profectam esse, et intra sepulcrum angelos conspexisse [38]. Lucas vero alias venisse narrat circa ortum solis [39]; at Marcus alias, orto jam sole, adjunctis aliis quibusdam, quæ jam sepulcrum adierant; et his duos viros astitisse; illas vero juvenem a dextris sedentem vidisse, omnes candidis vestimentis indutos [40]; ita ut possit aliquis, qui, ordine temporum observato, intelligit quæ a quolibet evangelista scripta sunt, unum concentum et unum corpus totius historiæ conficere, quemadmodum quidquid scriptum est unius scriptoris est, et non plurium. Si enim quatuor evangelistæ unius mulierum ad sepulcrum adventus meminissent, eosdemque angelos apparuisse, vel unam eamdemque visionem diversis temporibus, nulla ejusdem temporis mentione facta, evenisse asseruissent, a dissonantia seu dissidio nequaquam excusari possent. Si autem et tempora diversa sunt, et personæ diversæ, itidem apparitiones atque visiones, Deo variis modis miraculum resurrectionis confirmante, et si, quod ab uno omissum est, alius evangelista exposuit, quomodo narratio non est penitus sincera et pura, nullique prorsus reprehensioni obnoxia?

Cæterum cum in Evangeliis crebra mentio fiat de Mariis, nosse oportet tres hujus nominis fuisse, quas sanctus Joannes breviter his verbis enumeravit: « Stabant autem juxta crucem Jesu mater ejus, et soror matris ejus Maria Cleophæ, et Maria Magdalene [41]. » Mariam enim Jacobi, et Joseph matrem, quam evangelistæ memorant [42], non aliam quam ipsam Deiparam esse arbitramur. Quemadmodum enim, ut mysterium incarnationis et divinus partus occultaretur, neque scelestis Judæis **439** patefieret, Josephus pro marito beatæ Virginis et pro patre Christi habitus est; sic mater Jo-

[37] Matth. XXVIII. [38] Joan. XX. [39] Luc. XXIV. [40] Marc. XVI. [41] Joan. XIX, 25. [42] Matth. XXVII, 56.

VARIÆ LECTIONES.

[i] καιρῶν] καθ' ἃς. [k] Plura hic σφάλματα. [l] συνέγραψε. [m] κατ' αὐτόν. [n] οὐχ αἱ αὐταί. [o] ἕτερος.

sephi et Jacobi, cum filii essent Josephi fabri ex defuncta uxore, Deipara appellata est, cujus occasione struxerunt Judæi contra Dominum hanc calumniam : « Nonne hic est fabri filius? Nonne mater ejus dicitur Maria, et fratres ejus Jacobus, Josephus, Simon et Judas [45]? » Idcirco Joannes eam, quæ juxta crucem stetit, libere appellavit matrem Domini. Alii vero evangelistæ, circa Domini œconomiam et dispensationem potissimum occupati, Mariam Jacobi et Joseph nominarunt : isti enim erant primi et illustres filii Josephi, tametsi apud evangelistas uno interdum duntaxat filio appellationem accipit, ita ut dicatur Maria Jacobi, et Maria Josephi. Marcus autem vocavit eam Jacobi minoris, et Josephi matrem [46], quia alius erat Jacobus Alphæi unus ex duodecim.

A καὶ πατέρα τοῦ Ἰησου· οὕτως καὶ Ἰωσὴ καὶ Ἰακώβου παίδων ὄντων τοῦ τέκτονος Ἰωσὴφ ἐκ πρώτης τελευτηκυίας γυναικὸς, μήτηρ ἡ Θεοτόκος προσηγορεύετό τε καὶ ὠνομάζετο· ταύτῃ τοι[p] καὶ βλασφημοῦντες οἱ Ἰουδαῖοι κατὰ τοῦ Κυρίου, ἔλεγον· « Οὐχ οὗτος ἐστιν ὁ τοῦ τέκτονος υἱός; οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαρία, καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος, καὶ Ἰωσὴ, καὶ Σίμων καὶ Ἰούδας; » Καὶ διὰ τοῦτο ὁ μὲν Ἰωάννης τὴν παρὰ τὸν σταυρὸν[q] ἑστῶσαν, οἷα δὴ μετὰ παῤῥησίας θεολογῶν, μητέρα τοῦ Κυρίου προσηγόρευσεν· οἱ δὲ λοιποὶ τῶν εὐαγγελιστῶν, τὰ πολλὰ περὶ τὴν οἰκονομίαν ἀσχοληθέντες, οἰκονομικῶς αὐτὴν Ἰακώβου καὶ Ἰωσὴ ἐπωνόμασαν· αὐτοὶ γὰρ ἦσαν οἱ πρῶτοι καὶ ἐπίσημοι παῖδες τοῦ Ἰωσήφ. Ἔστι δὲ αὐτὴν παρὰ τοῖς εὐαγγελισταῖς, καὶ

B ἐκ τοῦ ἑνὸς μόνου τῶν παίδων τοῦ Ἰωσὴφ ὀνομαζομένην εὑρεῖν Μαρίαν[r] τοῦ Ἰακώβου, καὶ Μαρίαν[s] τοῦ Ἰωσή. Ὁ δὲ Μάρκος Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσὴ μητέρα εἶπεν αὐτὴν, ἐπείπερ ἦν καὶ ἄλλος Ἰάκωβος τοῦ Ἀλφαίου ἐκ τῶν δώδεκα.

Ex Panurio sancti Epiphanii.

Joseph frater erat Cleophæ; uterque enim ex Jacobo, cui cognomentum erat Pantherus, prognatus est. Joseph uxorem habuit Salomen ex tribu Juda, ex qua sex liberos genuit, quatuor masculos, et duas femellas. Primogenitus erat Jacobus cognomine Justus; deinde Joseph, postea Simon, post quem Judas, tandem Maria et Salome. Maria, ducto in matrimonium Cleopha, soror Deiparæ Mariæ appellata est. Unde ait sanctus Joannes : « Stabant juxta crucem Jesu, mater ejus, et soror matris ejus Maria Cleophæ [45]. »

Τοῦ ἁγίου Ἐπιφανίου ἐκ τῶν Παναρίων.

Ὁ Ἰωσὴφ ἀδελφὸς ἦν τοῦ Κλωπᾶ· ἀμφότεροι γὰρ ἀπὸ Ἰακώβου τοῦ ἐπίκλην Πάνθηρος γεννηθέντες. Ἔσχε δὲ ὁ Ἰωσὴφ γυναῖκα Σαλώμην ἐκ φυλῆς Ἰούδα, ἐξ ἧς ἐτέχθησαν αὐτῷ παῖδες ἕξ, τέσσαρες μὲν ἄῤῥενες, καὶ δύο θήλειαι. Καὶ ἦν πρωτότοκος Ἰάκωβος, ὁ ἐπικληθεὶς δίκαιος [εἶτα Ἰωσὴ καλούμενος], ἔπειτα Σιμεὼν, μεθ' ὃν[t] ὁ Ἰούδας, καὶ εἶθ' οὕτως ἡ Μαρία καὶ ἡ Σαλώμη. Ἡ δὲ Μαρία λαβοῦσα τὸν Κλωπᾶν ἄνδρα, ὡς ἀδελφὴ ἐχρημάτιζε τῆς Θεοτόκου Μαρίας. Ὅθεν φησὶν ὁ Ἰωάννης, « Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μή-

C τηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητέρος αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ. »

Ex Eusebio ad Marinum.

In passione Domini tres Marias cum aliis mulieribus videre licet. Prima est Deipara; secunda, soror ejus Maria Cleophæ; tertia, Magdalena. Quidam dicunt duas esse Magdalenas, alteram quæ sero Sabbati ad sepulcrum se contulit, ut scribit Matthæus [46]; alteram, quæ, ut refert sanctus Joannes, mane sepulcrum adiit [47]. Hanc vero esse illam, Marcus quoque meminit, ex qua Dominus septem dæmonia ejecerat [48]; hoc enim addit, quasi et alia Magdalena sit. Vel hujus Magdalenæ meminit Marcus his verbis : « Surgens autem mane prima Sabbati apparuit Mariæ Magdalenæ, de qua ejecerat

D septem dæmonia [49]. » Et forte hæc illa ipsa est cui dictum : « Noli me tangere [50]; » non autem illa de qua Matthæus 440 scribit. Quamvis enim ipsa quam Magdalena vocitetur, at sacra Scriptura dissimilia de illis tradit. Quod si quis unam eamdemque Magdalenam esse contendat, nihilominus Scriptura sibi constabit, nec ullius dissidii argui poterit. Eamdem aiunt esse Magdalenam quæ Dominum

Εὐσεβίου ἐκ τῶν πρὸς Μαρῖνον.

Τρεῖς γοῦν τὰς πάσας Μαρίας τῷ πάθει τοῦ Χριστοῦ μετὰ τῶν ἄλλων γυναικῶν εὑρίσκομεν. Πρώτην μὲν τὴν Θεοτόκον· δευτέραν δὲ, τὴν ἀδελφὴν αὐτῆς Μαρίαν τὴν τοῦ Κλωπᾶ· καὶ τρίτην τὴν Μαγδαληνήν. Τινὲς δέ φασιν, ἐξ αὐτῶν δύο εἶναι Μαγδαληνὰς, μίαν μὲν, τὴν ὀψὲ Σαββάτων παρὰ τῷ Ματθαίῳ, ἑτέραν δὲ τὴν, παρὰ τῷ Ἰωάννῃ, πρωΐας ἐπὶ τὸ μνημεῖον ἐλθοῦσαν. Ταύτην δὲ εἶναι τὴν καὶ Μάρκῳ δηλουμένην, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια ὡς γὰρ οὔσας[u] καὶ ἑτέρας, φησὶν, οὐ τοιαύτης[v] Μαγδαληνῆς ἐτήρησεν ὁ Μάρκος τοῦτο εἰπών· « Ἀναστὰς δὲ πρωῒ τῇ μιᾷ τῶν Σαββάτων, ἐφάνη Μαρίᾳ πρῶτον τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια· » καὶ ταύτην ἴσως εἶναι τὴν ἀκούσασαν· « Μή μου ἅπτου, » ἀλλ' οὐ τὴν παρὰ τῷ Ματθαίῳ. Εἰ γὰρ καὶ τὰ μάλιστα κἀκείνη ἀπὸ τῆς Μαγδαληνῆς ὥρματο[x-y], ἀλλ' οὐ τὰ ὅμοια καὶ αὐτοῖς[z] ἡ θεία κατηγορεῖ Γραφή. Εἰ δὲ μίαν καὶ τὴν αὐτὴν Μαγδαληνὴν [a] φήσειέν τις, καὶ οὕτως ἀληθεύοι ἂν τὰ ἱερὰ Εὐαγγέλια, κατ' οὐδένα λόγον διαφωνοῦντα.

[45] Matth. XIII, 55. [46] Marc. XV, 40. [45] Joan. loc. cit. [46] Matth. XXVIII, 1. [47] Joan. XX, 1. [48] Marc. XVI, 9. [49] ibid. [50] Joan. XX, 17.

VARIÆ LECTIONES.

[p] ταύτη τοίνυν. [q] τῷ σταυρῷ. [r] τήν. [s] τήν. [t] μεθ' ὅν. [u] Mai οὔσης. [v] ἡ τοιαύτης. [x-y] ὥρμητο. [z] αὐταῖς. Mai αὐτῆς. [a] deest in cod. Column. Μαγδαληνήν.

Τὴν αὐτὴν δὲ Μαρίαν τὴν Μαγδαληνὴν εἰσάγονται μὴ ἁπτομένην πρότερον τοῦ Κυρίου, ὅτε ἔκλαιε, καὶ ἠπίστει· καὶ ἁπτομένην αὐτοῦ, ὅτε χαίρειν μετὰ τῆς ἄλλης Μαρίας ὑπ' αὐτοῦ κελεύεται. Ἐπειδὴ γὰρ ὡς Θεὸν αὐτὸν προσεκύνησε ἔσχατον, καὶ οὐχ ὡς ἄνθρωπον, ὡς πρότερον, ὅτε ἔκλαιε καὶ ἠπίστει.

Περὶ δὲ τοῦ ἐπαπορεῖν πάλιν, πως παρὰ μὲν τῷ Ματθαίῳ εἰς τὴν Γαλιλαίαν ὤφθαι τὸν Κύριον τοῖς μαθηταῖς ἐν τῷ ὄρει, παρὰ δὲ τῷ Ἰωάννῃ παρὰ τὴν θάλασσαν τῆς Τιβεριάδος, ἐροῦμεν, ὅτι οὐ μόνον ἅπαξ καὶ δίς, ἀλλὰ καὶ πολλάκις ὤφθαι αὐτόν. Διὸ τετάρτην ὀπτασίαν οὐκ ἂν [b] ἁμάρτοις τὴν παρὰ τῷ Ματθαίῳ φήσας εἶναι [c], ἣν οὐ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας [d οὐδὲ τοῖς ὀπτανομένης [e]], ἀλλ' ἐν τῷ ὄρει, τοῖς ἕνδεκα πεποιῆσθαι ἀνέγραψεν ὁ Ματθαῖος εἰπών· « Οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν. » Καὶ μετὰ τοῦτο οὐκ ἂν σφαλείης εἰπὼν, ὁμοῦ κατ' αὐτὸ συνηγμένοις αὐτοῖς τοῖς ἕνδεκα μαθηταῖς ἅμα καὶ τοῖς ἑβδομήκοντα ὤφθαι αὐτόν. Ὁ δὲ Ἀπόστολος καὶ ἔτι τοῦτον [f] πλείοσιν ἐωρᾶσθαι τὸν Κύριον μετὰ τὴν ἀνάστασιν ἱστορεῖ λέγων· « Ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς· καὶ ὤφθη Κηφᾷ, ἔπειτα τοῖς δώδεκα· ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφ' ἅπαξ. » Ὁρᾷς, ὁσάκις καὶ ὅσοις ὤφθη μετὰ τὴν ἀνάστασιν; Οὕτω καὶ τοῖς ἐν Ἱερουσαλὴμ κρυπταζομένοις διὰ τὸν φόβον τῶν Ἰουδαίων· καὶ πρό γε πάντων ἀνδρῶν Σίμωνι τῷ Πέτρῳ· γυναικῶν δὲ, ταῖς ἀμφὶ τῇ Μαγδαληνῇ [g-h]. Ὅθεν καὶ ὁ Λουκᾶς φησι, Δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος, καὶ συναλιζόμενος αὐτοῖς, τὰ τῆς βασιλείας τοῦ Θεοῦ παρεδίδου μαθήματα.

A non tetigit, quando flebat, et non credebat; tetigit autem, quando cum altera Maria a Domino audiit illud : « Avete [51] : » tunc nimirum quando illum adoravit ut Deum, et non amplius pro homine habuit, sicuti prius, cum fleret et necdum crederet.

Ad dubitationem illam, quomodo apud sanctum Matthæum Dominus discipulis appareat in Galilæa in monte [52], apud Joannem vero circa mare Tiberiadis [53]; respondemus, Christum non semel duntaxat, sed sæpius apparuisse. Quapropter haud aberraveris, si, quam Matthæus narrat, quartam apparitionem esse statuas, quam non juxta mare Galilææ, sed in monte undecim discipulis accidisse scribit his verbis : « Undecim autem discipuli B abierunt in Galilæam, in montem quem constituerat illis Jesus. Et videntes eum adoraverunt [54]. » Nec aberraveris, si dicas post hæc excitatum a mortuis undecim apostolis et septuaginta discipulis simul congregatis visum esse. Apostolus certe adhuc pluribus apparuisse testatur, cum ait : « Quia resurrexit tertia die secundum Scripturas, et quia visus est Cephæ, et post hoc undecim; deinde visus est plusquam quingentis fratribus simul [55]. » Vides quoties et quam multis post resurrectionem suam se spectandum præbuerit. Ita etiam apparuit illis qui Hierosolymis abscondebantur propter metum Judæorum, et ante omnes viros Simoni Petro, et ex mulieribus iis quæ cum Magdalena erant [56]. C Quocirca et Lucas dicit eum per dies quadraginta discipulis apparuisse, cibum simul sumpsisse, et documenta cœlestis regni tradidisse [57].

ΕΡΩΤΗΣΙΣ ΡΝΔ'.

Μαξίμου μοναχοῦ, τίνος τύπον καὶ εἰκόνα ἔχει ἡ καθολικὴ Ἐκκλησία;

ΑΠΟΚΡΙΣΙΣ.

Ἡ καθολικὴ Ἐκκλησία τύπος ἐστὶ τοῦ τε νοητοῦ κόσμου, καὶ τοῦ αἰσθητοῦ, καὶ τοῦ ἀνθρώπου. Καὶ τοῦ μὲν νοητοῦ κόσμου σύμβολόν ἐστι τὸ ἱερατεῖον, τοῦ δὲ αἰσθητοῦ ὁ ναός. Τοῦ δὲ ἀνθρώπου εἰκών ἐστι τὸ ἱερατεῖον μὲν τῆς ψυχῆς· ὁ δὲ ναὸς, τοῦ σώματος. Τῆς δὲ τελουμένης ἐν αὐτῇ ἁγίας συνάξεως, ἡ μὲν πρώτη εἴσοδος τοῦ ἱερέως δηλοῖ μὲν τὴν πρώτην τοῦ Χριστοῦ παρουσίαν· τὰ δὲ γινόμενα μετὰ ταύτην [i] ἀναγνώσματα, τὰ θεῖα θελήματα καθὰ [j] χρὴ τοὺς πάντας παιδεύεσθαι καὶ πολιτεύεσθαι σημαίνει. Τὸ δὲ ἅγιον Εὐαγγέλιον σύμβολόν ἐστι τῆς συντελείας τοῦ αἰῶνος τούτου, καὶ τοῦ παντελοῦς τῆς ἀρχαίας πλάνης ἀφανισμοῦ. Ἡ δὲ τοῦ ἀρχιερέως ἀπὸ τοῦ θρόνου κατάβασις, καὶ ἡ τῶν κατηχουμένων ἐκβολὴ μηνύει τὴν ἀπ' οὐρανοῦ Χριστοῦ δευτέραν παρ-

QUÆSTIO CLIV.

Ex Maximo monacho, cujus typum et imaginem Ecclesia gerat?

RESPONSIO.

Catholica Ecclesia est figura mundi intelligibilis, sensibilis, et hominis. Intelligibilis quidem mundi symbolum est sacrarium seu tabernaculum. Sensibilis, templum seu pars templi 441 extra sacrarium seu chorum, hominibus imago est quoad animam, sacrarium; templum, corporis. Quando sacra synaxis seu missa perficitur, primus introitus D sacerdotis repræsentat primam Christi præsentiam; lectiones, quæ postea instituuntur, divinam voluntatem, ad quam omnes informari et conformari oportet, significant. Sanctum Evangelium exhibet consummationem hujus sæculi, et vetusti erroris perfectam abolitionem. Episcopi de throno descensus, et catechumenorum expulsio, in mentem nobis revocat secundum Christi ex cœlo adventum et se-

[51] Matth. XXVIII, 9. [52] Ibid. 16. [53] Joan. XXI, 1. [54] Matth. XXVIII, 16, 17. [55] I Cor. XV, 4, 5. [56] Luc. XXIV. [57] Act. I.

VARIÆ LECTIONES.

[b] Mai ἂν abest. [c] ὀφθεῖσαν εἶναι. [d] Videntur intrusa. [e] Mai ὀπτανομένοις. [f] τούτων. [g-h] Mai τὴν Μαγδαληνήν. [i] μετ' αὐτήν. [j] καθ' ἃ.

paration peccatorum a sanctis, et dignam pro cujusque meritis retributionem. At vero januæ occlusio, sanctorum mysteriorum ingressus divina salutatio, et Symboli, quo fidem profitemur, recitatio, indicant sensibilium transitum, intelligibilium manifestationem, novam nobis traditi mysterii successionem; generalem omnium cum Deo et inter se concordiam, consensionem, charitatem et identitatem, et pro modis quibus salutem adepti sumus, gratiarum actionem. Sanctissimus Trisagii hymnus, ab angelis indesinenter decantari solitus, docet nos cœlestes et terrestres virtutes consonis vocibus in altera vita Deum laudaturas. Invocatio autem Dei Patris, et pronuntiatio illius : *Unus sanctus*, et quæ sequuntur, et sanctorum mysteriorum participatio, docet omnes fore filios et quasi cognatos Dei.

A ουσίαν, καὶ τὸν ἀπὸ τῶν ἁγίων ἀφορισμὸν τῶν ἁμαρτωλῶν, καὶ τὴν δικαίαν πρὸς τὴν ἑκάστου ἀξίαν ἀμοιβήν. Ἡ δὲ τῶν θυρῶν κλεῖσις, καὶ ἡ τῶν ἁγίων μυστηρίων εἴσοδος, καὶ ὁ θεῖος ἀσπασμός, καὶ ἡ τοῦ συμβόλου τῆς πίστεως ἐκφώνησις δηλοῖ τὴν τῶν αἰσθητῶν πάροδον, καὶ τὴν τῶν νοητῶν φανέρωσιν, καὶ τὴν καινὴν τοῦ περὶ ἡμᾶς θείου μυστηρίου διαδοχήν, καὶ τὴν πάντων πρὸς ἑαυτούς τε καὶ τὸν Θεὸν γενησομένην ὁμόνοιαν, καὶ ὁμογνωμοσύνην, καὶ ἀγάπην, καὶ ταυτότητα, καὶ τὴν ἐφ' οἷς ἐσώθημεν τρόπους εὐχαριστίαν. Ἡ δὲ τοῦ Τρισαγίου τὴν ἀπ' αὐτῶν [k] τῶν ἀγγέλων ἀγιαστικὴν δοξολογίαν ἐκφαίνει, καὶ τὴν γενησομένην κατὰ τὸν μέλλοντα αἰῶνα τῶν οὐρανίων καὶ ἐπιγείων δυνάμεων, ὡς ἦν [l], πολιτείαν καὶ ἀγωγὴν, καὶ συμφωνίαν τῆς δοξολογίας.

B Ἡ δὲ μακαρία τοῦ Θεοῦ καὶ Πατρὸς ἐπίκλησις, καὶ ἡ τοῦ *Εἷς ἅγιος*, καὶ τῶν ἑξῆς ἐκφώνησις, καὶ ἡ τῶν ἁγίων μυστηρίων μετάληψις, τὴν ἐπὶ πᾶσι καὶ ἐπὶ πάντων ἰσομένην υἱοθεσίαν καὶ οἰκειότητα δηλοῖ.

Isidori Pelusiotæ ex Epistolis (lib. I, 23, 122, 156).

Pacem sacerdos ex cathedræ fastigio Ecclesiæ annuntiat, Dominum scilicet imitans in cœlos assumptum, quando discipulis suis benedictionem et reliquit et dedit. Illud autem, quod a plebe respondetur : *Et cum spiritu tuo*, hanc habet sententiam : Pacem quidem nobis præbuisti, Domine, hoc est, mutuam concordiam : pacem autem nobis da, hoc est, ejusmodi tecum conjunctionem quæ nullo modo divelli possit, ut cum Spiritu tuo pacati, quem nobis in creationis initio indidisti, a tua charitate distrahi nequeamus.

Ἰσιδώρου ἐκ τῶν Ἐπιστολῶν.

Εἰρήνην ὁ ἱερεὺς ἀπὸ τοῦ ὕψους τῆς καθέδρας τῇ Ἐκκλησίᾳ ἐπιφθέγγεται· τὸν Κύριον [ἀπὸ] καθέδρας μιμούμενος, ἀναλαμβανόμενον, εἰρήνην τὴν οἰκείαν, καὶ ἀφιέντα, καὶ διδόντα. Τὸ δέ· *Καὶ τῷ πνεύματί σου*, παρὰ τοῦ λαοῦ ἀποκρινόμενον, τοῦτο δηλοῖ· Εἰρήνην μὲν ἡμῖν παρέσχες, Κύριε, τὴν ἐν ἀλλήλοις ὁμόνοιαν· εἰρήνην δὲ δὸς ἡμῖν, τὴν πρὸς σὲ ἀδιαίρετον ἕνωσιν, ἵνα τῷ πνεύματί σου εἰρηνεύοντες, ὃ ἡμῖν ἐν ἀρχῇ τῆς δημιουργίας ἐνέθηκας, ἀχώριστοι τῆς σῆς ἀγάπης τυγχάνωμεν.

Pura illa sindon quæ sub divinorum donorum ministerio expansa est, Josephi Arimathensis est ministerium. Ut enim ille Domini corpus sindone involutum sepulturæ mandavit [m], eodem modo nos propositionis panem in sindone sanctificantes, Christi corpus sine dubitatione reperimus. Linteum illud, cum quo 442 diaconi in sanctis mysteriis munus suum obeunt, humilitatem Domini, qui discipulorum pedes lavit et extersit, nobis in memoriam redigit. Illud autem amiculum quod episcopus numeris gestat, atque ex lana, non ex lino contextum est, ovis illius quam Dominus aberrantem quæsivit, inventamque humeris suis sustulit, pellem designat. Episcopus enim, qui Christi typum gerit, ipsius munere fungitur, ipso etiam habitu illud omnibus ostendit, se boni illius et magni pastoris imitatorem esse, qui gregis infirmitates sibi ferendas proposuit.

C Ἡ δὲ καθαρὰ σινδὼν ἡ ὑφαπλουμένη τῇ τῶν δώρων διακονίᾳ, ἡ τοῦ Ἀριμαθαίου ἐστὶν Ἰωσὴφ λειτουργία. Ὡς γὰρ ἐκεῖνος τὸ τοῦ Κυρίου σῶμα σινδόνι ἐνειλήσας τῷ τάφῳ παρέπεμψεν, οὕτω καὶ ἐπὶ σινδόνος ἡμεῖς τὸν ἄρτον τῆς προθέσεως ἁγιάζοντες, σῶμα Χριστοῦ ἀδιστάκτως εὑρίσκομεν. Ἡ δὲ ὀθόνη, μεθ' ἧς λειτουργοῦσιν ἐν τοῖς ἁγίοις οἱ διάκονοι, τὴν τοῦ Χριστοῦ ἀναμιμνήσκει ταπείνωσιν, νίψαντος τοὺς πόδας τῶν μαθητῶν καὶ ἐκμάξαντος. Τὸ δὲ τοῦ ἐπισκόπου ὠμοφόριον (12) ἐξ ἐρέας ὄν, ἀλλ' οὐ λίνου, τὴν τοῦ προβάτου δορὰν σημαίνει, ὅπερ πλανηθὲν ζητήσας ὁ Κύριος ἐπὶ τῶν ὤμων ἀνέλαβεν. Ὁ γὰρ ἐπίσκοπος εἰς τόπον ὢν τοῦ Χριστοῦ, τὸ

D ἔργον ἐκείνου πληροῖ, καὶ δείκνυσι πᾶσι διὰ τοῦ σχήματος, ὅτι μιμητής ἐστι τοῦ μεγάλου ποιμένος, καὶ τὰς ἀσθενείας πάντων φέρειν προβεβλημένος.

Sancti Basilii ex libro de Spiritu sancto (cap. 27).

Dogmata quæ in Ecclesia prædicantur, quædam habemus e doctrina scriptorum prodita, quædam rursus ex apostolorum traditione in mysterio, id est, in occulto tradita recepimus. Quorum utraque

Τοῦ μεγάλου Βασιλείου ἐκ τοῦ περὶ τοῦ ἁγίου Πνεύματος Λόγου.

Τῶν ἐν τῇ Ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων τὰ μὲν ἐκ τῆς ἐγγράφου διδασκαλίας ἔχομεν, τὰ δὲ ἐκ τῆς τῶν ἀποστόλων παραδόσεως διαδοθέντα ἡμῖν ἐν μυστηρίῳ παρεδεξάμεθα. Ἅπερ ἀμφότερα τὴν

[m] Luc. XXIII, 53.

VARIÆ LECTIONES.

[k] ἄπαυστον. [l] εἰς μίαν.

NOTÆ.

(12) *Ὠμοφόριον*. Non, ut alii, ἐπωμίδα, *superhumerale*, sed *pallium*. (ALEMANN.)

αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν εὐσέβειαν. Καὶ τούτοις οὐδεὶς ἀντερεῖ, ὅστις κἂν μικρὸν γοῦν θεσμὸν ἐκκλησιαστικὸν πεπείραται. Εἰ γὰρ ἐπιχειρήσαμεν τὰ ἄγραφα τῶν ἐθῶν ὡς μὴ μεγάλην ἔχοντα τὴν δύναμιν παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια ζημοῦντες [m] τὸ Εὐαγγέλιον, μᾶλλον δὲ εἰς τοὔνομα ψιλὸν περιστῶντες τὸ κήρυγμα.

Οἷον ἵνα τοῦ πρώτου καὶ κοινοτάτου πρῶτον μάθω [n], τῷ τύπῳ τοῦ σταυροῦ τοὺς εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἠλπικότας σημαίνεσθαι, τίς ὁ διὰ γράμματος διδάξας; Τὸ πρὸς ἀνατολὰς στρέφεσθαι κατὰ τὴν προσευχὴν ποῖα ἡμᾶς ἐδίδαξε Γραμμάτων; Τῆς ἐκκλησίας τὰ ῥήματα ἐπὶ τῇ ἀναδείξει τοῦ ἄρτου τῆς Εὐχαριστίας, καὶ τοῦ ποτηρίου τῆς εὐλογίας, τίς τῶν ἁγίων ἐγγράφως ἡμῖν κατέλιπεν; Οὐ γὰρ δὴ τούτοις ἀρκούμεθα, ὧν ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον ἐμνήσθη, ἀλλὰ καὶ προλέγομεν, καὶ ἐπιλέγομεν ἕτερα, ὡς μεγάλην ἔχοντα πρὸς τὸ μυστήριον τὴν ἰσχὺν ἐκ τῆς ἀγράφου διδασκαλίας παραλαμβάνοντες.

Εὐλογοῦντες δὲ καὶ τὸ ὕδωρ τοῦ βαπτίσματος, καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ προσέτι αὐτὸν τὸν βαπτιζόμενον, ἀπὸ ποίων ἐγγράφων; Οὐκ ἀπὸ τῆς σιωπωμένης καὶ μυστικῆς παραδόσεως; Τί δὲ αὐτὴν τοῦ ἐλαίου τὴν χρίσιν, τίς λόγος γεγραμμένος ἐδίδαξε; Τὸ δὲ τρὶς βαπτίζεσθαι τὸν αὐτὸν, πόθεν;

Ἄλλα δὲ, ὅσα περὶ τὸ βάπτισμα, ἀποτάττεσθαι τῷ Σατανᾷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἐκ ποίας ἐστὶ γραφῆς; οὐκ ἐκ τῆς ἀδημοσιεύτου ταύτης καὶ ἀπορρήτου διδασκαλίας, ἣν ἐν ἀπολυπραγμονήτῳ καὶ ἀπεριγράπτῳ σιγῇ οἱ Πατέρες ἡμῶν ἐφύλαξαν, καλῶς ἐκεῖνοι δεδιδαγμένοι, τῶν μυστηρίων τὰ σεμνὰ σιωπῇ διασώζεσθαι; Ἃ γὰρ οὐδὲ ἐποπτεύειν ἔξεστι τοῖς ἀμυήτοις, τούτων πῶς ἂν ἦν εἰκὸς τὴν διδασκαλίαν θριαμβεύειν ἐν γράμμασιν;

Ἄλλο τοίνυν δόγμα, καὶ ἄλλο κήρυγμα. Τὰ μὲν γὰρ δόγματα σιωπᾶται· τὰ δὲ κηρύγματα δημοσιεύεται. Σιωπῆς δὲ εἶδος καὶ ἡ ἀσάφεια, ᾗ χρῆται Γραφὴ, δυσθεώρητον κατασκευάζουσα τῶν δογμάτων τὸν νοῦν πρὸς τὸ τῶν ἐντυγχανόντων λυσιτελές. Τούτου χάριν πάντες μὲν ὁρμῶμεν κατὰ ἀνατολὰς ἐπὶ τῶν προσευχῶν, ὀλίγοι δὲ ἴσμεν, ὅτι τὴν ἀρχαίαν πάλιν ἐπιζητοῦμεν πατρίδα τὸν παράδεισον, ὃν ἐφύτευσεν ὁ Θεὸς ἐν Ἐδὲμ κατὰ ἀνατολάς. Καὶ ὀρθοὶ μὲν πληροῦμεν τὰς εὐχὰς ἐν τῇ μιᾷ τῶν Σαββάτων· τὸν δὲ λόγον οὐ πάντες οἴδαμεν. Οὐ γὰρ μόνον ὡς συναναστάντες τῷ Χριστῷ, καὶ τὰ ἄνω ζητεῖν ὀφείλοντες ἐν τῇ ἀναστασίμῳ ἡμέρᾳ τῆς δεδομένης ἡμῖν χάριτος, διὰ τῆς κατὰ τὴν προσευχὴν ἑαυτοὺς ὑπομιμνήσκομεν, ἀλλ' ὅτι δοκεῖ πᾶσι τοῦ προσδοκωμένου προσδιδομένου αἰῶνος εἶναι εἰκών. Διὸ καὶ ἀρχὴ οὖσα ἡμερῶν, οὐχὶ πρώτη παρὰ Μωσέως, ἀλλὰ μία ὠνόμασται. « Ἐγένετο γὰρ, φησὶν, ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία, » ὡς τῆς ἀνακαλουμένης πολλάκις.

A parem vim habent ad pietatem. Nec his quisquam contradicit, quisquis sane vel tenuiter expertus est quæ sint jura ecclesiastica. Nam si consuetudines quæ scripto proditæ non sunt, tanquam haud multum habentes momenti, conemur rejicere, imprudentes et ea damnabimus quæ in Evangelio necessaria ad salutem habentur; imo potius ipsam fidei prædicationem ad nudum nomen contrahemus.

Quod genus est, ut ejus, quod primum est et vulgatissimum primo loco commemorem: ut signo crucis eos qui spem collocarunt in Christum signemus, quis scripto docuit? Ut ad orientem versi precemur quæ nos docuit Scriptura? Invocationis verba, cum ostenditur panis Eucharistiæ et poculum benedictionis, quis sanctorum in scripto nobis B reliquit? Nec enim his contenti sumus quæ commemorat Apostolus aut Evangelium; verum alia quoque, et ante et post dicimus, tanquam multum habentia momenti ad mysterium, quæ ex traditione citra scriptum accepimus.

Consecramus autem aquam baptismatis, et oleum unctionis, præterea ipsum, qui baptismum accipit, ex quibus scriptis? Nonne a tacita secretaque traditione? Ipsam porro olei inunctionem quis sermo scripto proditus docuit? Jam ter immergi hominem unde est traditum?

Reliqua item quæ fiunt in baptismo, veluti renuntiare Satanæ et angelis ejus, 443 ex qua scriptura habemus? Nonne ex privata et arcana C hac traditione? Nonne ex doctrina quam Patres nostri in silentio, quod curiosos et otiosos submovet, servarunt? Pulchre quidem illi, nimirum docti, arcanorum venerationem silentio conservari. Nam quæ nec intueri fas est non initiatis, qui conveniebat forum doctrinam publicitus circumferri scripto?

Aliud autem est dogma, aliud edictum. Nam dogmata silentur, edicta vero publicantur. Est autem silentii species etiam obscuritas qua utitur Scriptura, mentem ad contemplationem dogmatum inhabilem exercens, idque ad utilitatem in Scripturis versantium. Hanc ob causam omnes spectamus ad orientem cum precamur. Pauci tamen, novimus, D quod id facientes antiquam requirimus patriam, videlicet paradisum, quem consevit Deus in Eden ad orientem. At in prima Sabbati erecti perficimus deprecationes, sed rationem non omnes novimus. Non solum enim quod veluti simul cum Christo resuscitati, quæ sursum sunt quærere debeamus, in die resurrectionis datæ nobis gratiæ stando, precantes nosmetipsos commonefacimus, sed quod is dies videatur aliquo modo imago venturi sæculi. Eoque cum sit principium dierum, non primus a Moyse, sed unus appellatus est. « Factum est, inquit, vespere et mane dies unus [o]: » tan-

[o] Gen. I, 5.

VARIÆ LECTIONES.

[m] ζυμοῦντες. [n] μνησθῶ.

quam qui sæpe recurrat, et unus sit idem octavus, unum illum singularem ac verum octavum, cujus Psalmista alicubi in Psalmis meminit, per se significans, diem, inquam, post horum temporum statum nunquam finiendum, ac vesperæ nescium, nec successori cedentem, hoc est æternitatem, quæ nec finem habet, nec senium novit. Necessarium igitur in hoc die Ecclesia suos alumnos docet stantes absolvere preces suas, ut assidua commonitione vitæ illius nunquam desituræ, non negligamus ad eam demigrationem parare viaticum. Quin et totum tempus usque ad Pentecosten, admonitio est resurrectionis quam in illo sæculo exspectamus. Nam unus ille et primus dies septies multiplicatus, septem sacræ Pentecostes hebdomadas absolvit. A primo enim incipiens in principium desinit, etc. Insuper quoties genua flectimus, et rursus erigimur, ipso facto ostendimus quod ob peccatum in terram delapsi sumus, et per humanitatem ejus qui creavit nos, in cœlum revocati sumus.

Deficiet me dies, si Ecclesiæ mysteria citra scriptum tradita pergam recensere. Omitto cætera, ipsam fidei professionem 444 qua credimus in Patrem, et Filium, et Spiritum sanctum, e quibus habemus scriptis? Etenim si quoniam ex baptismi traditione, juxta pietatis congruentiam, ut baptizamur, ita credere debemus, similem baptismo professionem exhibemus, concedant nobis ut juxta eamdem consequentiam similiter glorificemus Deum, ut credimus. Quod si glorificandi modum veluti scripto non traditum rejiciunt, proferant nobis et fidei professionis, et cæterorum quæ commemoramus, probationem e Scripturis. Illud dicimus : Si nihil aliud est receptum absque Scripturis, ne hoc quidem recipiatur. Sin plurima arcana citra scriptum recepta sunt nobis, cum aliis pluribus et hoc recipiamus. Arbitror autem apostolicum esse etiam non scriptis traditionibus inhærere. « Laudo, inquit, vos, quod omnia mea meministis, et quemadmodum tradidi vobis, traditiones obtinetis, quas accepistis sive per sermonem sive per epistolam [60]. »

Ejusdem ex libro de Spiritu sancto.

Vetus Testamentum palam prædicavit Patrem; Filium vero obscurius; quem Novum Testamentum manifestavit, et Spiritus sancti divinitatem ostendit. Non enim tutum erat, Patris divinitate necdum penitus concessa et propalata, de Filio aperte verba facere : nec Filii divinitate nondum recepta et promulgata, multum de Spiritu sancto, ut audacius aliquid dicam, laborare, ne, quod accidit illis qui delicils supra vires gravantur, in lucem solarem debilius oculos conjicerent, deque tota videndi facultate periclitarentur. Cæterum particularibus additamentis, et, ut David appellavit [61], ascensionibus et ex gloria in gloriam progressionibus et profectibus lumen Trinitatis illustrioribus illuxit.

[60] II Thess. II, 14. [61] Psal. LXXXIII, 6.

A καὶ μια λοιπὸν, ἡ αὐτὴ καὶ ὀγδόη τὴν μίαν ὄντως ἐκείνην καὶ ἀληθινὴν ὀγδόην, ἧς καὶ ὁ Δαυὶδ ἔν τισιν ἐπιγραφαῖς τῶν Ψαλμῶν ἐπεμνήσθη, δι' ἑαυτῆς ἐμφανίζουσα τὴν μετὰ τὸν χρόνον τοῦτον κατάστασιν, τὴν ἄπαυστον ἡμέραν, τὴν ἀνέσπερον, τὴν ἀδιάδοχον, τὸν ἄληκτον ἐκεῖνον καὶ ἀγήρω αἰῶνα. Ἀναγκαίως οὖν τὰς ἐν αὐτῇ προσευχὰς ἑστῶτας ἀποπληροῦν τοὺς ἑαυτῆς τροφίμους ἡ Ἐκκλησία παιδεύει, ἵνα τῇ συνεχεῖ ὑπομνήσει τῆς ἀτελευτήτου ζωῆς τῶν πρὸς τὴν μετάστασιν ἐκείνην ἐφοδίων μὴ ἀμελῶμεν. Καὶ πᾶσα δὲ ἡ Πεντηκοστὴ τῆς ἐν τῷ αἰῶνι προσδοκωμένης ἀναστάσεώς ἐστιν ὑπόμνημα. Ἡ γὰρ μία ἐκείνη καὶ πρώτη ἡμέρα ἑπτάκις ἑπταπλασιασθεῖσα, τὰς ἑπτὰ τῆς ἱερᾶς Πεντηκοστῆς ἑβδο-
B μάδας ἀποτελεῖ. Ἐκ πρώτης γὰρ ἀρχομένη, εἰς τὴν αὐτὴν καταλήγει. Καὶ καθ' ἑκάστην δὲ γονυκλισίαν καὶ διανάστασιν ἔργῳ δείκνυμεν, ὅτι καὶ διὰ τῆς ἁμαρτίας εἰς γῆν κατερρύημεν, καὶ διὰ τῆς φιλανθρωπίας τοῦ κτίσαντος ἡμᾶς εἰς οὐρανὸν ἀνεκλήθημεν.

Ἐπιλείψει με ἡ ἡμέρα τὰ ἄγραφα τῆς Ἐκκλησίας μυστήρια διηγούμενον. Ἐῶ τὰ ἄλλα· αὐτὴν δὲ τὴν ὁμολογίαν τῆς πίστεως πιστεύειν εἰς Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα, ἐκ ποίων γραμμάτων ἔχομεν; Εἰ μὲν ἐκ τῆς τοῦ βαπτίσματος παραδόσεως, κατὰ τὸ τῆς εὐσεβείας μυστήριον, ὡς βαπτιζόμεθα, οὕτως καὶ πιστεύειν ὀφείλοντες, ὁμοίαν τῷ βαπτί-
C σματι τὴν ὁμολογίαν κατατιθέμεθα· συγχωρησάτωσαν ἡμῖν ἐκ τῆς ἀκολουθίας ὁμοίαν τῇ πίστει τὴν δόξαν ἀποδιδόναι. Εἰ δὲ τρόπον τῆς δοξολογίας ὡς ἄγραφον παρωθοῦνται, δότωσαν ἡμῖν τῆς τε κατὰ τὴν πίστιν ὁμολογίαν, καὶ τῶν λοιπῶν, ὧν ἀπηριθμησάμεθα, ἐγγράφους τὰς ἀποδείξεις. Ἐκεῖνο λέγομεν, ὅτι εἰ μηδὲν ἕτερον ἄγραφον, μηδὲ τοῦτο παραδεχθήτω. Εἰ δὲ τὰ πλεῖστα τῶν μυστικῶν ἀγράφως ἡμῖν ἐμπολιτεύσται, μετὰ πολλῶν ἑτέρων καὶ τοῦτο κατεδεξάμεθα. Ἀποστολικὸν δὲ οἶμαι καὶ τὸ ταῖς ἀγράφοις παραδόσεσι παραμένειν. « Ἐπαινῶ γὰρ, φησὶν, ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις, ἃς παρελάβετε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς. »

D *Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τοῦ ἁγίου Πνεύματος.*

Ἐκήρυσσε φανερῶς ἡ Παλαιὰ τὸν Πατέρα· τὸν δὲ ἀμυδρότερον, ἐφανέρωσεν ἡ Καινὴ τὸν Υἱόν. ὑπέδειξε τοῦ Πνεύματος τὴν θεότητα. Οὐ γὰρ ἦν ἀσφαλὲς, μήπω τῆς τοῦ Πατρὸς θεότητος ὁμολογηθείσης, τὸν υἱὸν ἐκδήλως κηρύττεσθαι· μηδὲ τῆς τοῦ Υἱοῦ παραδεχθείσης τὸ ἅγιον Πνεῦμα, ἵν' εἴπω τι καὶ τολμηρότερον, ἐπιφορτίζεσθαι· μὴ καθάπερ τρυφῇ τῇ ὑπὲρ δύναμιν βαρυθέντες, καὶ ἡλιακῷ φωτὶ σαθροτέραν ἔτι προσβαλόντες τὴν ὄψιν, καὶ εἰς τὸ κατὰ δύναμιν κινδυνεύσωσι· ταῖς δὲ κατὰ μέρος προσθήκαις, καὶ ὡς εἶπε Δαυὶδ, ἀναβάσεσι, καὶ εἰς δόξαν προόδοις καὶ προκοπαῖς, τὸ τῆς Τριάδος φῶς ἐκλάμψει τοῖς λαμπροτέροις.

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Εὔβουλον, πῶς ὁ Υἱὸς καὶ Λόγος ἐκ τοῦ Πατρὸς ἐγεννήθη.

Ὥσπερ γὰρ ὁ ἡμέτερος λόγος τὸ ἀφανὲς τῆς ψυχῆς βουλευτήριον εἰς φῶς προσφέρει, οὕτω καὶ ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ τὸ ἀποκεκρυμμένον ἐν τῷ Πατρὶ πρὸ αἰώνων μυστήριον τῇ οἰκουμένῃ ἐφανέρωσε. Καὶ ὥσπερ ὁ λόγος προϊὼν, οὐδὲ τὸν λέγοντα γυμνοῖ καὶ τὸν ἀκούοντα πληροῖ· ἔρχεται γὰρ εἰς τὸν ἀκούοντα οὐκ ἀφιστάμενος τοῦ λέγοντος· οὕτω καὶ ὁ Θεοῦ Λόγος ὢν ἐν τῷ Πατρὶ, ἦλθε πρὸς ἡμᾶς σαρκὶ· οὔτε τοῦ Πατρὸς χωρισθεὶς διὰ τὴν φύσιν, καὶ ἡμῖν ἑνωθεὶς διὰ τὴν χάριν, Θεὸς ὢν τῇ φύσει, Λόγος δὲ τὴν προσωνυμίαν. Ὥσπερ γὰρ Ἰωάννης ἄνθρωπος ὢν τῇ φύσει, φωνὴ βοῶσα ἐκλήθη [a] διὰ τὸ ἀπαθὲς τῆς φύσεως. « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, » ἀλλ' οὐ λόγος ἀνυπόστατος· οἱ μὲν γὰρ ἄλλοι προστάγματα καὶ δικαιώματα τυγχάνουσι Θεοῦ. Ὁ δὲ μονογενὴς Υἱὸς Λόγος ἐστὶν, οὐ συλλαβαῖς καὶ ῥήμασιν ἐκφωνούμενος, ἀλλὰ Λόγος λόγον ζωῆς χαριζόμενος. Φησὶ γάρ· « Εἴ τις ἀκούει μου τὸν λόγον ἔχει ζωὴν αἰώνιον. »

Ejusdem ad Eubulum, quomodo Verbum ex Patre genitum sit.

Quemamodum verbum nostrum obscura et arcana mentis consilia in lucem profert, sic Filius et Verbum Dei absconditum in Patre ante sæcula mysterium orbi terrarum patefecit. Et sicuti verbum, quando profertur, loquentem non denudat, et tamen auditoris aures implet, venit enim ad auditorem, non abscedens ab eo qui loquitur : ita etiam Dei Verbum, quod est in Patre, venit ad nos in carne, nec separatum est a Patre propter naturam, nobis tamen conjunctum propter gratiam, Deus exsistens natura, Verbum vero appellatione. Quemadmodum enim Joannes, qui natura homo erat, appellatus est vox clamans [a]... propter impassibilitatem 445 naturæ : « In principio erat Verbum [b], » sed Verbum subsistens; alia enim verba sunt mandata et justificationes Dei. At unigenitus Filius Verbum est, non syllabis et dictionibus prolatum, sed Verbum, quod vitam suppeditat : « Si quis sermonem meum audit, habet vitam æternam [c]. »

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Εὐάγριον μοναχόν.

Ὃν τρόπον δὲ ὁ προφορικὸς λόγος ἀδιαίρετος μέν ἐστι τῆς προσενεγκαμένης ψυχῆς, καὶ ταῖς ψυχαῖς δὲ τῶν ἀκροωμένων οὐδὲν ἧττον ἐν ταυτῷ καθίσταται, κἀκείνης μὴ χωριζόμενος, καὶ τούτοις εὑρισκόμενος, ἕνωσιν δὲ μᾶλλον ἢ διαίρεσιν αὐτῶν τε καὶ τῶν ἡμετέρων ψυχῶν ἐργαζόμενος· οὕτω μοι νόει καὶ τὸν Υἱὸν τοῦ Πατρὸς μὴ χωρισθέντα πώποτε, καὶ τούτου δὲ πάλιν τὸ ἅγιον Πνεῦμα, ὁμοίως ὡς ἐν τῷ νῷ τὴν ἐνθύμησιν. Ὡς γὰρ οὐκ ἔστι μεταξὺ νοῦ καὶ ἐνθυμήσεως, καὶ ψυχῆς διαίρεσιν ἐπινοηθῆναί τινα καὶ τομὴν, οὕτως οὐδὲ τοῦ ἁγίου Πνεύματος, καὶ τοῦ Υἱοῦ Πατρὸς ἐν μέσῳ τομὴν, ἢ διαίρεσιν ἐπινοηθῆναί ποτε. Διότι τῶν νοητῶν καὶ θείων ἀδιαίρετος ἡ φύσις, ἢ καὶ ὃν τρόπον οὐχ οἷόν τε πάλιν ἐν μέσῳ τοῦ κύκλου, καὶ τῆς ἀκτῖνος τοῦ ἡλίου διαίρεσιν εὑρίσκεσθαι, ἀλλ' ἡ μὲν ἀκτὶς συνῆπται τῷ κύκλῳ, καὶ ὁ κύκλος οἷόν τις ὀφθαλμὸς ἀποστέλλει πανταχοῦ τὰς ἀκτῖνας, οὕτως οἷόν τινες τοῦ Πατρὸς ἀκτῖνες ἀπεστάλησαν ἐφ' ἡμᾶς, ὅ τε φθεγγώδης [p] Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα. Ὥσπερ γὰρ αἱ τοῦ φωτὸς ἀκτῖνες ἀμέριστον ἔχουσαι κατὰ φύσιν τὴν πρὸς ἀλλήλας σχέσιν, οὔτε τοῦ φωτὸς χωρίζονται, οὔτε ἀλλήλων ἀποτέμνονται, καὶ μέχρις ἡμῶν τὴν χάριν τοῦ φωτὸς ἀποστέλλουσιν, οὕτω καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἡ δίδυμος τοῦ Πατρὸς ἀκτὶς, καὶ μέχρις ἡμῶν διικνεῖται τῆς ἀληθείας τὸ φῶς, καὶ τῷ Πατρὶ συνήνωται. Ὃν τρόπον δὲ ἐπί τινος ὑδάτων πηγῆς, νεκταριώδες ἀφθόνως προϊεμένης ὕδωρ συμβαίνει ῥεύματι παμπληθὲς, καὶ ῥεῖθρον ἀκατάσχετον εἰς ποταμοὺς δύο τῷ ῥεύματι τέμνεσθαι· μίαν ἐξ ἑνὸς ὀφθαλμοῦ τὴν ῥοὴν ἐξ ἀρχῆς ἐσχηκότας, διὰ-

Ejusdem ad Evagrium monachum.

Quemadmodum sermo qui profertur indivisus est ab anima quæ profert, et nihilominus audientium animis illabitur, ita ut ab illa non separetur, et tamen in illis insit, potiusque inter animos nostros et illorum, unionem quam disjunctionem efficiat : sic cogita Filium a Patre penitus non esse separatum, ut nec Spiritum sanctum a Filio, prout nec a mente cogitatio sejungitur. Quemadmodum enim nulla est inter mentem, cogitationem et animam divisio seu sectio, ita nec inter Spiritum sanctum, Filium, et Patrem ulla distantia invenitur, quia intellectualium natura indivisa est. Rursus, quemadmodum inter orbem et radium solis nulla divisio intercedit, sed radius cum orbe conjunctus est, et orbis tanquam oculus quidam emittit quoquoversus radios, sic tanquam duo Patris radii ad nos transmissi sunt, Verbum, seu Filius, et Spiritus sanctus : sicuti enim lucis radii habent inter se mutuo indivisam habitudinem, ita ut nec a luce nec a se invicem segregentur, et ad nos usque splendorem suum transmittant, eodem modo Filius et Spiritus sanctus, geminus Patris radius, cum Patre intime uniuntur, et tamen veritatis lumen ad nos usque transfundunt. Et sicuti in fonte perpetuis aquis copioso perennis ille fluxus sæpe in duos fluvios abit, qui ab initio ex una scatebra scaturiunt; deinceps duos distinctos cursus tenent, nihil nocumenti substantiæ ex divisione illata, etsi enim cursu et situ facta est divisio, at, si liquoris qualitatem spectes, utrobique unam eamdemque prorsus invenies; et quamvis prædicti fluvii procul a se invicem dispescantur et ab ori-

[a] Joan. I, 3. [b] ibid. 1. [c] Joan. v, 24.

VARIÆ LECTIONES.

[a] Aliquid hic deest. [p] f. φεγγώδης.

gine distent, attamen in uno principio, tanquam in una matre conveniunt : ad eumdem igitur modum Pater, sempiternæ vitæ fons, geminum quasi fluvium, Filium scilicet et Spiritum sanctum emittit; quorum intellectualis adventus etiam ad nos usque pervenit, nec tamen a Patre separati sunt; nam supernorum natura indivisa est, ut diximus. τὴν γοῦν ἀρχὴν τῇ μητρὶ πρὸς τὸ διηνεκὲς τῆς πηγῆς συνηνωμένην ἔχει· παραπλησίως οὖν καὶ ὁ Πατὴρ, ἡ τῆς ἀειζωΐας πηγὴ, δίῤῥυτόν τινα τοῦ τε Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος ¶ τὴν νοητὴν εἰς ἡμᾶς ἐκείνων ἄφιξιν, καὶ μέχρις ἡμῶν προσεχώρησαν. Καὶ τοῦ Πατρὸς οὐδὲν ἧττον ἀχώριστοι καθεστήκασιν· ἀμερὴς γὰρ, ὡς ἔφημεν, καὶ τῶν κρειττόνων φύσις.

A ῥύτως δὲ τῶν ποταμῶν σχηματισθέντες τοῖς εἴδεσι, βλαβὲν δ' ὅμως οὐδὲν εἰς τὴν οὐσίαν ἐκ τῆς διαιρέσεως, πῇ μὲν τῶν ποταμῶν θέσει τὸ ῥεῖθρον διῄρηται· τὴν δὲ τοῦ χυμοῦ ποιότητα, μίαν καὶ τὴν αὐτὴν κέκτηνται· κἂν γὰρ ἀποτεμαχίζεσθαι πόῤῥω που τῶν ποταμῶν ἕκαστος τῶν προειρημένων καὶ τῆς πηγῆς ἀφεστάναι μακράν·

446 *De differentia substantiæ et naturæ secundum externos philosophos.*

Περὶ διαφορᾶς οὐσίας καὶ φύσεως κατὰ τοὺς ἔξω.

Substantiæ vocabulum significat simplicem entium exsistentiam, hoc est, ipsum esse quod omnes generatim participant. Naturæ vocabulum significat simplicem entium motionem; natura enim tota est in motu, et ex rebus creatis nihil motus expers est. Substantiam igitur vocant simplicem et absolutam entium subsistentiam, naturam autem motum eorum simpliciter, quam quintuplicem statuunt. Aut enim est intellectualis, aut rationalis, aut sensitiva, aut vegetativa, aut inanimata. Intellectualis in angelis reperitur, qui solis mentis notionibus simul agunt et loquuntur. Rationalis est in hominibus, qui arcanas cordis sui motiones per verba promunt, cumque aliis communicant. Sensitiva invenitur in brutis; nam præter facultatem nutriendi, augmentandi, vim quoque sensitivam possident. Vegetativa est in plantis; moventur enim et ipsæ secundum facultatem nutritivam, augmentativam et generativam. Inanimis natura est, qualis in lapidibus, cujus vi moventur et ipsi secundum qualitatem, et secundum ubi, seu locum : secundum qualitatem, cum calescunt, aut frigescunt; secundum ubi, cum de loco ad locum transferuntur. Et hæc est externorum philosophorum de his nominibus sententia. At Ecclesiæ doctores indifferenter his nominibus usi sunt, eamdemque substantiam appellarunt naturam, quemadmodum et hypostasin, personam. Cæterum Deo nostro, qui omnia complet, sit gloria nunc et semper et in sæcula sæculorum. Amen.

B Τὸ μὲν τῆς οὐσίας ὄνομα σημαντικὸν ὑπάρχει τῆς ἁπλῆς τῶν ὄντων ὑπάρξεως· τουτέστιν αὐτοῦ τοῦ ἁπλῶς εἶναι, οὗ κοινῶς πάντα μετέχει σημαντικόν ἐστι τὸ τῆς οὐσίας ὄνομα. [r] Δηλωτικὸν τυγχάνει τῆς ἁπλῶς τῶν ὄντων κινήσεως· πᾶσα γὰρ ἐν κινήσει ὁρᾶται, καὶ οὐδέν ἐστιν ἀκίνητον τῶν γεγονότων. Οὐσίαν οὖν καλοῦσι τὴν ἁπλῶς τῶν ὄντων ὕπαρξιν· φύσιν δὲ, τὴν ἁπλῶς τῶν ὄντων κίνησιν· πεντάτροπος δὲ αὕτη. Ἡ γὰρ νοερὰ τυγχάνει, ἢ λογικὴ, ἢ αἰσθητικὴ, ἢ φυτικὴ ἢ ἄψυχος. Καὶ νοερὰ μὲν, ὡς ἐπὶ τῶν ἀγγέλων ἐξ αὐτῶν τῶν νοημάτων, ἀλλήλοις συγγινομένων· λογικὴ δὲ, ὡς ἐπὶ τῶν ἀνθρώπων δι' ὀνομάτων καὶ ῥημάτων τὰ ἀφανῆ τῆς ψυχῆς κινήματα πρὸς τοὺς ἐκτὸς δημοσιεύουσα. Αἰσθητικὴ δὲ, ἡ ἐν τοῖς ἀλόγοις θεωρουμένη. C Πρὸς γὰρ τῇ θρεπτικῇ, καὶ αὐξητικῇ, καὶ γεννητικῇ δυνάμει, καὶ τὴν αἰσθητικὴν κέκτηνται. Φυτικὴ δὲ, ἡ ἐν φυτοῖς· κινοῦνται γὰρ καὶ αὐτὰ κατὰ τὴν τρεπτικὴν καὶ αὐξητικὴν, καὶ γεννητικὴν δύναμιν. Ἄψυχος δὲ, ὡς ἐπὶ τῶν λίθων, καθότι [s] αὐτοὶ κινοῦνται κατὰ τὸ πολὺ [t], καὶ κατὰ τὸ ποῦ, καὶ κατὰ τὸ ποιὸν μὲν, κατὰ τὸ θερμαίνεσθαι, καὶ ψύχεσθαι, κατὰ τὸ ποῦ δὲ, κατὰ τὴν ἐκ τόπου εἰς τόπον ἑτεροκίνητον μετάθεσιν. Καὶ αὕτη μὲν ἡ τῶν ἔξω περὶ τῶν ὀνομάτων δόξα. Οἱ δὲ τῆς Ἐκκλησίας διδάσκαλοι ἀδιαφόρως τοῖς ὀνόμασιν ἐχρήσαντο, καὶ τὴν αὐτὴν οὐσίαν καὶ φύσιν ὠνόμασαν, ὥσπερ καὶ τὴν ὑπόστασιν πρόσωπον. Ὁ δὲ πάντα πληρῶν Θεὸς ἡμῶν, δόξα σοι νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[q] Videtur hic aliquid deesse. [r] Hic videntur deesse hæc vel similia : τὸ δὲ φύσεως ὄνομα. [s] Lege καθ' ὃ καί. [t] ἴσως ποιόν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΑΝΑΣΤΑΣΙΟΥ

ΤΟΥ ΣΙΝΑΙΤΟΥ

ΛΟΓΟΣ ΠΕΡΙ ΤΗΣ ΑΓΙΑΣ ΣΥΝΑΞΕΩΣ

ΚΑΙ ΠΕΡΙ ΤΟΥ ΜΗ ΚΡΙΝΕΙΝ ΚΑΙ ΜΝΗΣΙΚΑΚΕΙΝ.

—

S. ANASTASII SINAITÆ

ORATIO DE SACRA SYNAXI

ET DE NON JUDICANDO, DEQUE INJURIARUM OBLIVIONE (1).

(Ex ms. cod. Bibliothecæ Bavaricæ.)

—

Εὐλόγησον, Πάτερ.

Ἀεὶ μὲν ἡ τοῦ ἁγίου Πνεύματος χάρις διὰ πάσης τῆς τοῦ Θεοῦ Γραφῆς, πρὸς ἐργασίαν τῶν θείων αὐτοῦ [a] ἐντολῶν ἡμᾶς προτρέπεται· μάλιστα δὲ ἡ διὰ τοῦ προφήτου Δαβὶδ καθ' ἡμέραν ταῖς ψαλμῳδίαις μελῳδουμένη παραίνεσις. Ἡ γὰρ τῶν Ψαλμῶν βίβλος θεοσέβειαν παιδεύει, περὶ πίστεως νομοθετεῖ, σωφροσύνην διδάσκει, εἰς Θεοῦ φόβον ὁδηγεῖ, περὶ κολάσεως διηγεῖται, περὶ κατανύξεως, περὶ ἐγκρατείας, περὶ μετανοίας, περὶ συμπαθείας, περὶ ἀγάπης Θεοῦ, περὶ ὑπομονῆς Θεοῦ [b], περὶ ἁγνείας, περὶ μακροθυμίας, περὶ νηστείας, περὶ εὐποιίας. Ἡ γὰρ προσεδρία καὶ σχολὴ τῆς προσευχῆς, καὶ τῶν θείων Γραφῶν, μήτηρ ὑπάρχει πασῶν τῶν ἀρετῶν. Διὰ μὲν γὰρ τῆς προσευχῆς πᾶν αἴτημα καὶ δώρημα παρὰ Θεοῦ κομιζόμεθα· « Ἐν ἐκκλησίαις γάρ, φησὶν, εὐλογεῖτε τὸν Θεὸν, καὶ, Ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. Ὅθεν ἡμῖν ὁ Προφήτης τὴν ἀδιάλειπτον πρὸς Θεὸν προσεδρίαν [c] σχολὴν ὡς ἐκ προσώπου τοῦ Θεοῦ ἀναγ-

A

B

C

447-449 *Benedic, Pater.*

Semper quidem sancti Spiritus gratia, per omnem divinam Scripturam, ad observationem mandatorum Dei nos cohortatur; maxime autem eo impellit et incitat ea, quæ quotidie in Psalmodiis decantatur, prophetæ Davidis commonitio. Nam liber Psalmorum pietatem docet: de fide instituit, legesque sancit; temperantiam tradit, ad timorem adducit; de punitione disserit, ut et de compunctione, de continentia, de pœnitentia, de compassione, de dilectione Dei, de patientia Dei, de castitate, de longanimitate, de jejunio, de beneficentia. Assiduitas enim orationis et divinarum Litterarum lectio mater est omnium virtutum. Nam per orationem omne bonum et donum a Deo obtinentur. Ait enim: *In ecclesiis benedicite Dominum* [1], et: *In medio ecclesiæ laudabo te* [2]. Unde propheta quasi ex persona Dei, indesinentem cum Deo familiaritatem et conversationem nobis his verbis ob oculos ponit: *Vacate et videte, quia ego sum Deus* [3]. Fieri

[1] Psal. LXVII, 27. [2] Psal. XXI, 23. [3] Psal. XLV, 11.

VARIÆ LECTIONES.

[a] τῶν τοῦ Θεοῦ. [b] Reg. Cod. sine Θεοῦ. [c] f. καί.

NOTÆ.

(1) Quanquam Henricus Canisius hanc orationem tom. III antiquæ lectionis ex Bavarico codice ediderat, haud tamen putavi actum omnino acturum me aut frustra laboraturum, edendo iterum ex uno ac altero Regio codice mihi repositam, ac diligenter cum editis collatam, qua collatione purior textus exiret, multisque locis restitutus et auctus, lacunis quibusdam, quæ vere lacunæ erant, tametsi non videbantur, expletis; excepta versione, quam novam damus, aut fere novam, multis aliter, ac majori expressione redditis. Chrysostomi oratio eodem fere arg. tom. I ac post orationes de Statuis, sive earum ultima, *De oblivione injuriarum*, pene nova perquam plurimis restitutis edi posset, ex antiquioribus codicibus a me collatis; sed pos-

stat modum adhibere. Porro oratio hæc ac sequens in psalm. VI, quam idem Canisius ex eodem Bavarico codice juris publici fecerat, tales omnino videri possent, ut non in paucis ac raris satis ejus exemplaribus apud librorum curiosiores delitescere debeant, sed ab omnibus morum magistris, ac maxime verbi Dei prædicatoribus, diurna ac nocturna manu versari; sic bonis, ac compunctioni congruis, fraternæque dilectioni, quæ est vinculum perfectionis, plenæ sunt ac refertæ. His ergo nostris qualibuscunque, lector, fruere, dum pleniora Anastasii, quæ sollicitant alii, operum ejus omnium, si quæ exstant, aut poterunt inveniri, nova editione exspectas. COMBEFIS.

enim non potest, nisi quis sedulam multamque operam orationi, sacræque Scripturæ lectioni impendat, ut aut postulata a Deo impetret, aut Deum vere cognoscat.

Si enim in pereuntibus artium scholis longo tempore quispiam interdum versatus, vix tandem vulgarem condiscit artem; quanto magis eum qui Dei cognitionem **450** acquirere eique placere studet, vacare oportet Deo, et usque ad finem vitæ animam suam ferventer et ardenter, quasi alis quibusdam ad eum elevare? Nonne vides quomodo illi qui temporale et caducum imperium adepti sunt, oblata rei gerendæ occasione, a propriis cogitationibus velut ab igne incitentur et impellantur, ita ut quilibet illorum dicat: Quantam nactus sum opportunitatem! Quam late dominor! Quam magno imperio potior! Quam lætis successibus omnia mihi eveniunt! Ditescam, exstruam, plantabo, rapiam, ampliabo, antevertam, antequam fortunæ et occasionis mutatio accidat. Non exspectabo, non cunctabor. Nescio enim quid postera ferat dies. Ab his et id genus aliis cogitationibus plurimi mortalium, quasi a dæmonibus agitati et instincti impelluntur, et in hujus vitæ sollicitudinibus præfocantur, absque ullo profectu. Nec ullam de anima curam suscipiunt. Nec de morte, nec de pœnis futuris, nec de judicio. Sed fere nos ipsos ignoramus, et decipimus. Et utinam hoc solum levius malum foret! quin et mutuo nos odio prosequimur, conviciis, insidiis, invidia, calumniis et scommatis appetimus, divexamus, et incessimus: nullusque nostrum ad peccata sua animum advertit: nullus de onere suo sollicitus est; sed proximorum nostrorum peccata curiose lustramus. Ad collum usque cœno obliti sumus, nec quidquam pensi habemus. Ad senectutem usque aliena curamus, neque in ipso senio mala propria expendimus. Minuta fratrum nostrorum errata intuemur; at trabem, quæ est in oculo nostro, non videmus. Pondere criminum nostrorum deprimimur et inflectimur. Et tamen curiose in aliorum defectibus delictisque indagandis occupamur. Neque vel hac ratione erubescimus. Nemini parcimus; neminem reveremur; sed omnes mordemus, omnes devorare nitimur, parvos, magnos, sontes, insontes, sacerdotes, doctores nostros, ductores nostros, admonitores, et qui nos ad meliora revocant. Propterea ira Dei nobis incumbit. Propterea affligimur, et in multas calamitates et angustias incurrimus, videlicet ob cæcitatem qua detinemur.

καίως ὑποτίθεται (2) λέγων· *Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός.* Ἐκτὸς μὲν γὰρ σχολῆς καὶ πολλῆς προσεδρίας τῆς ἐν ταῖς προσευχαῖς, καὶ ἐν ταῖς θείαις τῶν Γραφῶν ἀναγνώσεσιν, οὐκ ἔστιν οὔτε τὰ αἰτήματα λαβεῖν, οὔτε τὸν Θεὸν ἀληθῶς ἐπιγνῶναι.

Εἰ γὰρ ἐν ταῖς ἀπολλυμέναις τῶν τεχνῶν σχολαῖς πολλάκις τις χρόνους ἱκανοὺς πεποιημὼς, μόλις ποτὲ τὴν τυχοῦσαν ἡδυνήθη μαθεῖν τέχνην, πόσῳ μᾶλλον ὁ τὴν τοῦ Θεοῦ γνῶσιν, καὶ τὴν πρὸς αὐτὸν εὐαρέστησιν κατορθῶσαι βουλόμενος, ὀφείλει σχολάζειν ἐν Θεῷ, καὶ θερμῶς καὶ ἐμπύρως μέχρι τέλους ζωῆς τὴν ἑαυτοῦ ψυχὴν ἔχειν πρὸς αὐτὸν ἐπτερωμένην; Οὐχ ὁρᾷς τοὺς τὰς βιωτικὰς καὶ προσκαίρους λαμβάνοντας ἀρχὰς, πῶς ἐπειδὴν καιρῷ τινος δράξωνται, ὡς ὑπὸ πυρὸς ὠθούμενοι ὑπὸ τῶν ἰδίων λογισμῶν ἐλαύνονται καὶ συνωθοῦνται, ἕκαστος αὐτῶν καὶ λέγει· Ἐφ' ὅσον εὗρον καιρόν! Ἐφ' ὅσον κρατῶ! Ἐφ' ὅσον ἔχω τὸ ἐπιτάττειν καὶ εἰσακούεσθαι! Ἐφ' ὅσον τὰ πρὸς τὸν βίον πράγματά μοι εὐθέως ὑπακούει! Πλουτήσω, κτίσω, φυτεύσω, ἁρπάσω, πλατυνῶ, προλάβω, πρὶν ἢ γένηται καιροῦ παραλλαγή. Μὴ ἀναμενῶ, μὴ ἀμελήσω· οὐ γὰρ οἶδα, τί τέξεται ἡ ἐπιοῦσα. Ὑπὸ τούτων καὶ τῶν τοιούτων λογισμῶν οἱ πολλοὶ τῶν ἀνθρώπων, ὡς ὑπὸ δαιμόνων ἐλαυνόμενοι καὶ συνωθούμενοι, κατεπείγονται ἐν πειρασμοῖς καὶ μεριμναις βιωτικαῖς συμπνιγόμενοι, καὶ οὐ τελεσφοροῦντες. Καὶ οὐδεὶς αὐτοῖς λόγος περὶ ψυχῆς, περὶ θανάτου, περὶ κολάσεως, περὶ κρίσεως. Ἀλλὰ σχεδὸν ἑαυτοὺς ἀγνοοῦμεν, καὶ ἀπατῶμεν. Καὶ εἴθε μόνον τοῦτο· ἔλαττον ἂν ἦν τὸ κακόν· ἀλλὰ καὶ ἀλλήλους μισοῦμεν, καὶ λοιδοροῦμεν, καὶ ἐπιβουλεύομεν, καὶ φθονοῦμεν, καὶ διαβάλλομεν, καὶ σκώπτομεν· καὶ οὐδεὶς ἐξ ἡμῶν προσέχει ταῖς ἑαυτοῦ ἁμαρτίαις, οὐδεὶς μεριμνᾷ τὸ ἑαυτοῦ φορτίον· ἀλλὰ τὰ τῶν πλησίον ἡμῶν ἁμαρτήματα σκοποῦμεν ἀκριβῶς, ἕως τραχήλου γέμομεν βορβόρου, καὶ οὐδὲν περὶ τούτου διαμεριμνῶμεν. Ἕως γήρως τὰ τῶν ἑτέρων μεριμνῶμεν, καὶ οὐδὲ ἐν αὐτῷ τῷ γήρᾳ τὰ ἑαυτῶν κακὰ ἐρευνῶμεν. Καὶ τὰ μὲν μικρὰ ἐλαττώματα τῶν ἀδελφῶν ἡμῶν βλέπομεν, τὴν δὲ δοκὸν τὴν ἐν ὀφθαλμῷ ἡμῶν οὐ βλέπομεν. Ὑπὸ τοῦ φορτίου τῶν ἁμαρτημάτων ἡμῶν κατακαμπτόμεθα, καὶ τὰ τῶν ἄλλων ἐλαττώματα περιεργαζόμεθα· καὶ οὔθ' οὕτως αἰσχυνόμεθα, οὐδενὸς φειδόμεθα, οὐδένα εὐλαβούμεθα· ἀλλὰ πάντας δάκνομεν· πάντας κατεσθίομεν, τοὺς μικροὺς, τοὺς μεγάλους, τοὺς αἰτίους, τοὺς ἀναιτίους, τοὺς ἱερεῖς, τοὺς διδασκάλους ἡμῶν, τοὺς ὁδηγοῦντας ἡμᾶς, τοὺς νουθετοῦντας, καὶ ἐπιστρέφοντας. Καὶ διὰ τοῦτο ἡ ὀργὴ τοῦ Θεοῦ ἐπέρχεται ἐφ' ἡμᾶς. Διὰ τοῦτο παιδευόμεθα, καὶ παραδιδόμεθα εἰς πολλὰς θλίψεις καὶ περιστάσεις, διὰ τὴν κατέχουσαν ἡμᾶς πώρωσιν.

NOTÆ.

(2) *Ἀναγκαίως ὑποτίθεται τὴν τῆς πρὸς Θεὸν προσεδρείας σχολήν.* Non ita bene interpres, *nobis his verbis ob oculos ponit*; nulla aut præcepti aut necessitatis mentione, cum verba auctoris præceptum sonent, ac inducta auctoritas petat: *Vacate et cognoscite*, etc. Erat in Bavar. προσεδρείαν σχολήν· pro quo conjicit Canisius legendum προσεδρείαν καὶ σχολήν· quæ lectio cum superioribus congruit: ἡ γὰρ προσεδρεία καὶ σχολή. Combefis.

Πολλὴ γὰρ ἡ τυφλωσις ἡμῶν· πολλὴ ἡ ῥᾳθυμία· πολλὴ ἡ ἀμέλεια. Οὐκ ἔστι παρ' ἡμῖν κατάνυξις, οὐκ ἔστι φόβος Θεοῦ, οὐδὲ διόρθωσις, οὔτε μετάνοια· ἀλλ' ὅλος ἡμῶν ὁ νοῦς εἰς πονηρίας, καὶ τρυφὰς, καὶ μέθην. Καὶ πολλάκις μὲν διὰ πάσης τῆς ἡμέρας ἐν θεάτροις καὶ αἰσχρολογίαις, καὶ λοιποῖς τοῦ διαβόλου ἔργοις ἀσχολούμενοι, οὐκ ἀκηδιῶμεν, ἀλλὰ καὶ βρώσεως διὰ ταῦτα καταφρονοῦμεν, καὶ οἴκου, καὶ ἑτέρων ἀναγκαίων πραγμάτων· ἐν ἐκκλησίᾳ δὲ τοῦ Θεοῦ, καὶ προσευχῇ καὶ ἀναγνώσει, μίαν μόνην ὥραν παραστῆναι τῷ Θεῷ οὐ βουλόμεθα· ἀλλ' ὡς ἀπὸ πυρὸς, οὕτως τῆς ἐκκλησίας τοῦ Θεοῦ ἐξελθεῖν σπεύδομεν· καὶ τὸ θεῖον Εὐαγγέλιον, μείζονα περικοπὴν εἰ εἴπῃς [d] (3), ἀγανακτοῦμεν, καὶ περιστατούμεθα· καὶ ὁ τὰς εὐχὰς ποιῶν ἱερεὺς, ἐὰν ταῦτα σμικρὸν παρεκτείνῃ, στυγνάζομεν καὶ ὀλιγωροῦμεν· καὶ ὁ τὴν ἀναίμακτον θυσίαν προσφέρων, ἐὰν πρὸς βραχὺ βραδύνῃ, ἀκηδιῶμεν στυγνάζοντες, καὶ χασμώμενοι, καὶ ὡς ἀπὸ δικαστηρίου, οὕτως συντόμως τῆς προσευχῆς ἀποστῆναι σπουδάζομεν· καὶ ἐπὶ τὰ ταῖς ματαίαις πράξεσι καὶ ἀσωτίαις ἀπέρχεσθαι ὑπὸ τοῦ διαβόλου κατεπειγόμεθα· πολλὴ γὰρ ἡ ἡμετέρα ταλαιπωρία, ἀγαπητοί. Καὶ γὰρ ἐν πάσῃ προσευχῇ καὶ δεήσει θερμῶς καὶ συντόνως ὀφείλοντες διατίθεσθαι, ἐξαιρέτως δὲ ἐν τῇ θείᾳ ἱερουργίᾳ τῶν ἀχράντων μυστηρίων, τοῦτο ποιεῖν χρεωστοῦντες τὸ μετὰ φόβου καὶ τρόμου παρίστασθαι τῷ Δεσπότῃ ἐν τῇ τοιαύτῃ Συνάξει· οὐδὲ ταύτην προσφέρομεν παρ' αὐτῷ ἐν εἰλικρινεῖ δεήσει (4), καὶ *συντετριμμένῳ* [e] *καὶ κατατετριμμένῳ* φρονήματι· ἀλλὰ τὰ δικαστήρια ἡμῶν, καὶ τὰς διοικήσεις τῶν πολλῶν καὶ ματαίων ἡμῶν πραγμάτων, ἐν ταῖς τοιαύταις Συνάξεσι ἐπιτελοῦμεν.

Καὶ οἱ μὲν οὐ φροντίζουσι, οἵᾳ καθάρσει καὶ μετανοίᾳ τῇ ἱερᾷ τραπέζῃ προσέλθωσιν· ἀλλὰ ποίοις ἱματίοις καλλωπισθῶσιν. Οἱ δὲ ἐλθόντες, οὐ μέχρι τῆς συμπληρώσεως παρίστασθαι ἀξιοῦσιν· ἀλλὰ δι' ἑτέρων ἐρωτῶσι, τί τελεῖται ἐν τῇ Συνάξει, καὶ εἰ ὁ καιρὸς τῆς μεταλήψεως πάρεστι· καὶ τότε εἰσπηδῶντες δρομαίως ὡς κύνες, καὶ τὸν ἄρτον τὸν μυστικὸν ἁρπάζοντες ἐξέρχονται. Ἄλλοι δὲ παραγενόμενοι ἐν τῷ ναῷ τοῦ Θεοῦ, οὔτε μίαν ὥραν ἡρεμοῦσι, λογαλεσχοῦντες πρὸς ἀλλήλους, καὶ φλυαρίαις μᾶλλον, ἢ προσευχαῖς συγκροτούμενοι. Ἕτεροι δὲ τὴν μυσταγωγίαν τῆς θείας λειτουργίας καταλείφαντες, πρὸς τὰς τῆς σαρκὸς ἡδονὰς ἑαυτοὺς ἐκδιδόασιν. Ἄλλοι οὐ σχολάζουσι καὶ προσέχουσι τῷ ἑαυτῶν συνειδότι, καθαίροντες τοῦ ῥύπου τῶν

A Magna est cæcitas nostra, ingens socordia. Non reperitur apud nos compunctio, non timor Dei, non morum emendatio, non pœnitentia; sed tota mens nostra conversa est ad malitiam, ad voluptates, **451** ad ebrietatem. Et sæpe fit ut integros dies in theatris, et turpiloquiis, et reliquis diaboli operibus occupati non defatigemur, cibo, domo, cæterisque rebus necessariis propter vana illa et ludicra contemptui et neglectui habitis. At in ecclesia Dei ne unam quidem horam orationi et lectioni dare, Deoque astare volumus; sed ab ecclesia quamprimum, non secus ac ab ardente rogo, expediri contendimus, et si de divino Evangelio longior instituatur recitatio, indignabundi circumstamus. Et si sacerdos preces paulo diutius B protrahat, tristitia afficimur, socordesque efficimur; et si is qui incruentum sacrificium offert, vel paululum cunctetur, fastidimus, et oscitamus, et tam paucis ab oratione quam a tribunali liberari studemus, utque ad vanas actiones, voluptatesque nos recipiamus, a diabolo impellimur. Grandis est miseria nostra, charissimi. Etenim cum in omni oratione et obsecratione spiritu ardere, eximie autem tunc, cum immaculata mysteria peraguntur et immolantur, cum timore et tremore Domino assistere deberemus, in tali et tanta Synaxi; neque hoc, quod nostri officii ratio exigit, præstamus sinceris precibus in spiritu *contrito et humiliato*, sed res causasque nostras forenses, multarumque et inanium rerum administrationes, cum C ad sacram Synaxin accedendum est, perficimus.

Et multi quidem non laborant qua puritate et pœnitentia ad sacram mensam adeant, sed quibus vestimentis exornentur. Alii, qui veniunt, non dignantur usque ad finem adesse, sed per alios interrogant quidnam in Synaxi agatur, et num tempus Communionis adsit : et tunc præpropere, canum instar, insiliunt, et pane mystico rapto exeunt. Alii in templo Dei præsentes, ne una quidem hora quiescunt, mutuis colloquiis institutis, confabulationibus magis quam precibus intenti. Alii relicta sacra Liturgia seu Missa, carnis voluptatibus sese dedunt. Alii nihil curæ et operæ suæ D conscientiæ impendunt, ut a peccatorum sordibus expurgetur per pœnitentiam; sed plura peccatorum onera sibi comportant, dum pulchritudinem

VARIÆ LECTIONES.

[d] Basn. et Combef. περικοπὴν εἴπῃ. [e] Cod. Reg. καταβεβλιμμένῳ. Combef. καταβεβλημένῳ.

NOTÆ.

(3) *Μείζονα περικοπὴν εἴπῃς.* Putem legendum ἔχῃ. Vox Græca clarior, qua et Hieronymus sæpe utitur, ut lib. II adversus Jovinianum, et Epist. ad Pammach. Est sententia certo ambitu comprehensa. Hic περικοπὴ tota videtur Evangelii lectio recitanda, quæ vel brevior vel longior esse potest. Edita mendosa sunt, ut aliis multis locis. Combefis.

(4) Habent tam edita quam ms. codex ἐν δεήσει· quomodo reddit interpres: sed ego devorare non possum. De ipsa enim oratione est sermo inter Missæ sacrificia, quæ debeat in sincera ac pura conscientia fieri, juxta illud I Tim. II, vers. 8: *Volo viros in omni loco orare, levantes puras manus;* quod videtur auctor respicere. Sequentia sunt ex Dan. male in editis repræsentata. Combefis.—Combefisius legi vult συνειδήσει *conscientia*, quia hic agitur de ipsa oratione, quæ debeat in pura conscientia fieri. Sic inferius καθαρῷ συνειδότι Basn.

formasque mulierum contemplantur, et ex ecclesia Dei lupanar per effrenatas suas cupiditates efficiunt. Alii vero de negotiis aliis et 452 possessionibus suis conferunt, inque forum et emporium, locum illum, tremenda illa hora, vertunt. Alii in Synaxi aliis detrahunt et obloquuntur, etiam ipsis sacerdotibus qui sacrificium offerunt.

A ἁμαρτημάτων διὰ τῆς ἐπιγνώσεως, ἀλλὰ πλείονα ἁμαρτημάτων φορτία ἑαυτοῖς συνάγοντες, τὰ κάλλη καὶ τὰς μορφὰς τῶν γυναικῶν κατασκοποῦσι, πορνεῖον τὴν τοῦ Θεοῦ ἐκκλησίαν διὰ τῆς ἀλόγου αὐτῶν ἐπιθυμίας ἐργαζόμενοι. Ἕτεροι περὶ πραγμάτων καὶ κτημάτων συμφωνοῦσιν, ἐμπόριον, καὶ ἀγοράς, τόπον τὴν φρικωδεστάτην ἐκείνην ὥραν ποιούμενοι. Ἄλλοι εἰς καταλαλιὰς ἀλλήλων, ἢ καὶ αὐτῶν τῶν ἱερέων τὴν θυσίαν προσφερόντων ἐν τῇ Συνάξει ἀπασχολοῦνται.

Extra hunc censum collocandæ non sunt mulieres nonnullæ quæ non tantum vacant per orationem ecclesiæ Dei, quantum diabolo per hoc quod conspiciuntur, multosque ex simplicioribus seducunt. Cum igitur nostra hæc commonitio utrumque sexum, viros scilicet ac mulieres, comprehendat, redeo ad institutam initio orationis viam ac rationem, et ea queror et deploro, quæ nobis, qui Christiani videmur, propria desidia et contemptus peperit. Quid enim gravius more illo, quod, cum rapinis, improbitate omnique genere scelerum oppleti sumus, paucula aqua manus abluimus, sicque sacrum illud corpus, divinumque sanguinem, pro salute mundi effusum, immundi et sordidati percipimus?

Οὐκ ἔξω δὲ τῶν τοιούτων τινὲς τῶν γυναικῶν ἐφευρίσκονται, ἀλλὰ πρὸς τούτοις ὅσαι τῷ διαβόλῳ δουλεύουσιν, οὐ τοσοῦτον τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ σχολάζουσι δι' εὐχήν, ὅσον διὰ τὸ ὀφθῆναι, καὶ ἀποπλανῆσαι πολλοὺς τῶν ἀφελεστέρων. Τῆς οὖν παραινέσεως τὰ δύο γένη προσλαμβανούσης τῶν τε ἀνδρῶν καὶ γυναικῶν, ἐπὶ τὴν ἐξ ἀρχῆς μέθοδον τοῦ λόγου ἐπάνειμι, τοιαῦτα λέγων καὶ θρηνῶν, οἷα ἡμῖν τοῖς δοκοῦσιν εἶναι Χριστιανοῖς ἡ ἑαυτῶν ῥᾳθυμία καὶ καταφρόνησις εἰργάσατο. Τί γὰρ δεινότερον τοῦ τοιούτου τρόπου, ὅταν, ἁρπαγὰς καὶ πονηρίας καὶ πλήθη ἁμαρτημάτων ἐν ἑαυτοῖς ἔχοντες, ὕδατι μικρῷ τὰς χεῖρας ἀπονιπτόμενοι, οὕτω τὸ ἅγιον ἐκεῖνο σῶμα, καὶ τὸ θεῖον αἷμα τὸ ὑπὲρ τῆς τοῦ κόσμου ῥεῦσαν σωτηρίας, ἀκάθαρτοι καὶ ἐρρυπωμένοι ὄντες ἑαυτοῖς προσάγομεν;

Nonne vides quomodo Judas, indigne Christi corpore sumpto, statim damnatus est, plusque loci maligno suppeditavit? Dicit enim: *Et accepta buccella, statim introivit in ipsum Satanas*[b]; non quod diabolus panem illum despiceret, sed ut eum qui sumpserat redargueret; in judicium enim suum sumpserat. Qua enim conscientia, dic mihi, accedis ad hæc mysteria, qui in pectore habes conscientiam tui accusatricem? Dic age; si cœnum manibus gestares, auderesne regias vestes attingere? et quid dico? neque tuas vestes tangeres inquinatis manibus, sed lotis prius tersisque manibus, tunc primum vestes tuas attingeres. Cur igitur eum, quem vilibus vestimentis habes honorem, non itidem impertis Deo? Et quam veniam, oro, consequeris? Neque enim ingredi in ecclesiam divinasque sacrarum imaginum figuras, venerandasque cruces honorare et salutare per se Deo placitum est; neque etiam manuum ablutio, purgatio censeri debet. Sed istud Deo gratum ac-

Οὐχ ὁρᾷς, πῶς Ἰούδας ἀναξίως καὶ δολίως (5) τοῦ σώματος μεταλαβὼν τοῦ δεσποτικοῦ, εὐθέως κατεκρίθη, καὶ χώραν πλείονα δέδωκε τῷ πονηρῷ; Φησὶ γάρ· *Καὶ λαβὼν τὸ ψωμίον, εὐθέως εἰσῆλθεν εἰς αὐτὸν ὁ Σατανᾶς*· οὐ τοῦ ἄρτου καταφρονῶν ὁ διάβολος, ἀλλ' ἐκεῖνον τὸν μεταλαβόντα ἐλέγχων, ὅτι εἰς κατάκριμα ἑαυτοῦ μετέλαβεν. Ποίῳ γὰρ συνειδότι, εἰπέ μοι, προσέρχῃ τοῖς μυστηρίοις; ποίᾳ ψυχῇ, ποίῳ λογισμῷ, ἔχων ἔνδον τὸ σὸν συνειδὸς κατήγορον; Εἰπέ μοι, ἆρα εἰ κόπρον φέρων ἐν ταῖς χερσὶν ἐτόλμησας ἂν ἅψασθαι τῶν ἱματίων τῶν βασιλικῶν; καὶ τί λαλῶ τοῦτο, οὐδὲ τῶν σῶν ἱματίων ἥψω ῥυπαρὰς τὰς χεῖρας ἔχων, ἀλλὰ πρότερον ἀποπλυνάμενος καὶ ἐκμάξας αὐτάς, τότε ἂν τῶν σῶν ἱματίων ἥψω. Τί οὖν οὐδὲ ὡς ἱματίοις εὐτελέσι καὶ ἐνδύμασι προσάγεις τῷ Θεῷ [f] τὴν τιμήν; Καὶ ποίας ἀπολαύσεις συγγνώμης, εἰπέ μοι; οὐ γὰρ τὸ εἰσέρχεσθαι ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ, καὶ τὰς θείας μορφώσεις τῶν ἁγίων εἰκόνων (6), καὶ τοὺς τιμίους σταυροὺς ἀσπάζεσθαι, τοῦτο ἀρεστόν [g]· οὐδὲ τῷ ὕδατι ἐκπλῦναι τὰς χεῖρας,

[b] Joan. XIII, 27.

VARIÆ LECTIONES.

[f] Canis. Χριστῷ. [g] Can. ἄρεστον.

NOTÆ.

(5) *Δολίως*. Velit forte indicare, quam Græci multi opinionem tenent, ut Judas mysticum panem Judæis ostendendum servaverit, ad conflandam ei invidiam, qui eum, suum corpus diceret, et ut tale discipulis tradidisset. De buccella ac intincto pane, et an ille mysticus panis fuerit, quod videtur velle Anastasius, videndi sunt expositores. Combefis.

(6) Bis peccant hic interpretes. Canisius hunc locum sic reddidit: Neque venerandas cruces *honorari* et salutare *per se Deo placitum est*, Combefisius vero: Venerandas cruces honorare ac osculari. Græca vero sic habent: Venerandas cruces salutare. Hoc non sufficit, quia fugam et ablutionem sordium peccati postulabat; desunt igitur in Græco hæc verba, *osculari* et *honorare*; nam venerationem cruci exhibitam per salutationem, non per osculum et honorem, indicat Anastasius. Secundo, illud *per non placet Deo*, quod legitur apud Canisium, sive Turrianum, non apparet in Græco, et jure Combefisius omisit. Basn.

τοῦτο κάθαρσις, ἀλλὰ τὸ ἀποφυγεῖν καὶ ἀποπλῦναι τὸν ῥύπον τῶν ἁμαρτημάτων, καὶ ἐξομολογήσει, καὶ δάκρυσι, καὶ ψυχῇ τεταπεινωμένῃ ἀποσμήχειν τῶν ἁμαρτημάτων τὰς σειρὰς (7), καὶ οὕτως προσέρχεσθαι τοῖς ἀχράντοις μυστηρίοις.

A ceptumque est, ut quis fugiat, et emaculet peccati inquinamenta, et confessione, et lacrymis, animoque humiliato et demisso delictorum catenas solvat, sicque ad immaculata mysteria accedat.

Ἀλλ' ἴσως ἐρεῖ τις· Οὐκ εὐχαρές μοι τὸ δακρύειν καὶ θρηνεῖν ἑαυτόν. Διὰ τί; Ὅτι οὐ πονεῖς, ὅτι οὐκ αἰσθάνῃ, ὅτι οὐ λογίζῃ τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως· ὅμως εἰ οὐ δύνασαι δακρῦσαι, κἂν ἐπίπονα στέναξον, καὶ στύγνασον, καὶ τὸν γέλωτα περίκοψαι, κἂν τὴν ἔπαρσιν ἀπόῤῥιψον, καὶ μετὰ φόβου παράστηθι τῷ Δεσπότῃ, τοὺς ὀφθαλμοὺς πρὸς γῆν νενευκὼς, καὶ καταβεβλημένῳ τῷ φρονήματι αὐτῷ ἐξομολογούμενος. Οὐχ ὁρᾷς τοὺς τῷ ἐπιγείῳ βασιλεῖ παριστα μένους, πολλάκις δὲ καὶ ἀσεβεῖ ὄντι, πῶς B αὐτῷ παρίστανται μετὰ πάσης εὐλαβείας, μετὰ φρίκης πρὸς αὐτὸν ἐνατενίζοντες, μήτε φθεγγόμενοι, μήτε παρακινούμενοι, μήτε περισπώμενοι· ἀλλ' ἐν ἡσυχίᾳ καὶ φόβῳ αὐτῷ παριστάμενοι; Ἡμεῖς δὲ, ὡς ἐν θεάτρῳ ἢ βαλανείῳ, οὕτως ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ παριστάμεθα, γελῶντες, φλυαροῦντες, λογολεσχοῦντες, ἑαυτοὺς ἀπατῶντες, καὶ δακοῦντες (8) ὅτι ἐν ἐκκλησίᾳ παριστάμεθα.

Haud dubium esse vitiosam litteram, qua est: Ἀποσμήχειν σειράς· nec enim catenæ abstergunturr a corpore; idcirco legendum putavi σπίλους· ut urgeat Anastasius metaphoram, ac purgationem, cui insistit toto hoc numero. Interpres: *Delictorum catenas solvat;* sed est hoc alienum valde a verbi illius significatione, nec quidquam consequens: nihil enim hactenus de vinculis aut solutione ab eis, sed solum de puritate necessaria ad dignam communionem, deque peccatorum eluendis sordibus. Combefis.

(8) Hæc ex editis, lacuna in ms. Legendum vero μὴ δοκοῦντες· ac negative, liquet, quidquid interpres devoret: ex eo enim quod non reputemus esse nos in loco sacro, ac Deo assistere, tanta illa peccamus, ac nos decipimus, ita in eo habentes, ac haberemus in profano loco. Canis.

Οὐκ οἶδας, ὅτι ἰατρεῖον καὶ λιμήν ἐστιν ἡ τοῦ Θεοῦ ἐκκλησία; Ἐὰν οὖν ἐν τῷ ἰατρείῳ διαμένῃς νοσῶν, καὶ μὴ θεραπευόμενος, πότε λοιπὸν ἰαθήσῃ[h]; καὶ ἐὰν ἐν τῷ λιμένι χειμάζῃ, ποῦ λοιπὸν ἡσυχάσεις; Στήκετε, δυσωπῶ, μετ' εὐλαβείας. Στήκετε μετὰ φόβου ἐν τῇ φοβερᾷ ὥρᾳ τῆς ἀναφορᾶς· οἷᾳ γὰρ διαθέσει, καὶ οἵῳ λογισμῷ παρίσταται ἕκαστος ὑμῶν C κατ' ἐκείνην τὴν ὥραν, οὕτως καὶ προσαναφέρεται τῷ Δεσπότῃ. Ἀναφορὰ γὰρ λέγεται διὰ τὸ πρὸς Θεὸν ἀναφέρεσθαι. Παράστηθι οὖν τῷ Θεῷ [i] μεθ' ἡσυχίας καὶ κατανύξεως. Ἐξομολόγησαι τῷ Θεῷ διὰ τῶν ἱερέων τὰς ἁμαρτίας σου. Καταδίκασόν σου τὰς πράξεις, καὶ μὴ αἰσχυνθῇς· ἔστι γὰρ *αἰσχύνη ἐπάγουσα ἁμαρτίαν, καὶ ἔστιν αἰσχύνη δόξα καὶ χάρις.* Κατάκρινον σεαυτὸν ἐνώπιον ἀνθρώπων, ἵνα ἐνώπιον ἀγγέλων καὶ παντὸς τοῦ κόσμου ὁ κριτής σε δικαιώσῃ· αἴτησαι ἔλεος, αἴτησαι συγγνώμην, αἴτησαι ἄφεσιν τῶν παρελθόντων, καὶ λύτρωσιν τῶν μελλόντων, ἵνα πρεπόντως τοῖς μυστηρίοις προσέλθῃς, ἵνα καθαρῷ συνειδότι τοῦ σώματος καὶ τοῦ αἵματος μεταλάβῃς, ἵνα σου εἰς κάθαρσιν, καὶ μὴ εἰς κατάκριμα γένηται. Ἄκουσον τοῦ θείου Παύλου λέγοντος· D *Δοκιμαζέτω δὲ ἕκαστος* i *ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω.*

An ignoras ecclesiam Dei officinam medicam esse, et portum? Si igitur in domo medici a morbo tuo non libereris, ubi de cætero curaberis? Et si in portu fluctibus agiteris, ubi postea quiesces? State, obsecro, cum reverentia. State cum timore tremenda illa elevationis hora. Quo enim affectu, et quo animo, quisque illo tempore assistit; sic et ad Dominum sursum fertur. Ἀναφορὰ enim, sive elevatio dicitur, quia sursum ad Deum fertur. Assiste igitur Deo quiete et compuncto corde. Confitere Deo per sacerdotes peccata tua. Condemna actiones tuas, et ne erubescas. Est enim *pudor qui adduxit peccatum, et est pudor qui gloriam et gratiam* [s] parit. Condemna te in conspectu hominum, ut coram angelis totoque mundo Judex te justificet. Pete misericordiam, pete veniam, pete remissionem præteritorum, et liberationem a futuris, ut digne ad tanta mysteria accedas; ut pura conscientia corpus et sanguinem participes, ut tibi cedat ad emundationem et expiationem, non ad judicium. Audi divinum Paulum dicentem: *Probet autem seipsum homo, et sic de pane illo edat, et de calice bibat. Qui enim manducat et bibit indigne, judicium sibi manducat et bibit, non dijudicans cor-*

[s] Eccli. IV, 25.

VARIÆ LECTIONES.

[h] Cod. ἰατρεύσῃ. [i] Can. Χριστῳ. [i] ἄνθρωπος.

pus Domini. Ideo inter vos multi infirmi et imbecilles, et dormiunt multi [6]. Animadvertis infirmitatem et mortem crebro oriri ex hoc quod indigne ad divina mysteria aditur?

holocaustum et oblatio, unctio et per deificationem Dei, ejusdem consortes corporis, et conformes gloriæ imaginis Dei, participatio sancta, utpote a Deo assumpti, ipsique Deum assumentes in se, et domo excipientes. Ita ut certo liqueat solam panis participationem non esse manducationem ex qua manducans aliquis animæ vitam habet æternam. Nam corporum vitam æternam post resurrectionem (28*) adipiscimur fideles æque et infideles. Quare multa præsto erant (29) in paradiso a Deo data ut ex eis homo vesceretur, unum quidem quasi diceres (30) universale, ex quo manducans, non habebit vitam æternam : nempe illud ipsum de quo dictum fuit : Ab omni ligno quod est in paradiso manducabitis. Aliud prorsus de ligno vitæ et magis spirituale ; quicunque enim manducat de ligno vitæ vivet vitam æternam. Quænam autem ipsa manducatio ligni vitæ in Ecclesia est ? Audi ipsum viventem panem vitæ Christum, illam nobis in Evangelio secundum Joannem explanantem et dicentem : *Operamini non cibum qui perit, sed cibum qui permanet in vitam æternam* [r] ; et postea et cum audientes dubitarent quinam esset ille cibus de quo dicebat illis : *Pater meus dat vobis panem verum qui de cœlo descendit* [s]. *Ego sum panis vitæ, si quis manducaverit ex hoc pane vivet in æternum* [t]. *Patres manducaverunt manna in deserto et mortui sunt* [u] ; *hic est panis de cœlo descendens, ut qui ex illo manducaverit non moriatur* [v]. Dicens *panis descendens*, ostendit panem illum ex cœlo continue descendentem, ne forte putes eum de corpore suo dixisse et apud te censeas omnem manducantem ex illo, vel etiam improbum per eam manducationem habere vitam æternam, ab ea cogitatione te demovet ostendens tibi nos fieri mysteriorum participes duobus modis, digni scilicet ex pane illo manducant qui de cœlo descendit, is est inhabitatio, et fulgor sanctissimi Patris, divinitatis Christi, quippe divina et cœlestia cogitant. Terreni vero terrenaque sapientes, terrenæ meræque carnis Christi participant audacter et indigne, quæ manducatio a superiori prorsus aliena ; quare ut utramque nos doceat (31) postquam dixit, *Ego sum panis vitæ e cœlo descendens*, id est Deus Verbum, *et si quis manducet ex illo, vivet in æternum*, subjungit idem, *et panis quem ego dabo illi, caro mea est, quam ego dabo pro vita mundi* [x]. Vides quid intersit si quis manducet de pane illo qui de cœlo descendet, eum dixit habere vitam æternam ; de carne vero minime illud adjecit, unde cum de horrendis et ineffabi-

A ἡ μετάληψις · ἀλλὰ καλὸν ἦν, ἵνα μὴ ἐγενήθη ὁ ἄνθρωπος ἐκεῖνος ὁ ἐξ αὐτῶν τῶν ἀχράντων χειρῶν τοῦ Χριστοῦ μεταλαβὼν Ἰούδας. Πόσοι δὲ πάλιν ἐν ἐρήμοις ἀπε[ρ]χόμενοι τῆς τοῦ ἁγίου ἄρτου μεταλήψεως ἔχουσι ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχονται, ἀλλὰ μεταβεβήκασιν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν · αὐτοῦ ὅλοι δι' ὅλου ἄρτος Θεοῦ καὶ σῶμα γενόμενοι, καὶ αἷμα, καὶ οἶκος, καὶ ναός, καὶ θυσιαστήριον, καὶ ὁλοκαύτωσις, καὶ προσφορά, καὶ χρίσις, καὶ θεοὶ τῇ θεώσει, καὶ σύσσωμοι, καὶ σύμμορφοι τῆς δόξης τῆς εἰκόνος τοῦ Θεοῦ, καὶ μετάληψις ἁγία ὡς μεταληφθέντες ὑπὸ Θεοῦ, καὶ μεταλαμβάνοντες ἐν ἑαυτοῖς καὶ οἰκήσαντες τὸν Θεὸν, ὥστε πρόδηλον ὅτι οὐχ ἡ τοῦ ἄρτου μετάληψις μόνη ἐστὶν ἡ βρῶσις ἐξ ἧς φαγών τις ἔχει ζωὴν ψυ-
B χῆς τὴν αἰώνιον. Τὴν γὰρ τῶν σωμάτων αἰώνιον ζωὴν πάντες μετὰ τὴν σοὶ ὁμοίως ἔχομεν οἱ πιστοί τε καὶ ἄπιστοι · διὸ τοίνυν ὑπῆρχον βρώσεις ἐν τῷ παραδείσῳ θεόσδοτοι ἐξ ὧν ἐβούλετο ὁ Θεὸς μεταλαμβάνειν ἀνθρώπου, ὡς ἂν εἴποι τις, ἡ καθολικὴ, ἐξ ἧς ὁ φαγὼν οὐ πάντως ἕξει τὴν αἰώνιον ζωήν · αὕτη ἐκείνη περὶ ἧς εἴρηται τὸ ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ φάγῃ· ἑτέρα καὶ πνευματικωτέρα τοῦ ξύλου τῆς ζωῆς, ἐξ ἧς πᾶς ὁ ἐσθίων ζήσεται εἰς τὸν αἰῶνα, τὴν μακαρίαν ζωὴν τὴν αἰώνιον. Τίς ἐστιν ἡ βρῶσις ἡ ἐν τῇ Ἐκκλησίᾳ ; Ἄκουσον αὐτοῦ τοῦ ζῶντος ἄρτου ζωῆς Χριστοῦ, ταύτην ἡμᾶς ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ διηγοῦντος καὶ λέγοντος· *Ἐργάζεσθε, μὴ τὴν βρῶσιν*
C *τὴν μένουσαν εἰς ζωὴν αἰώνιον* · εἶτα διαπορησάντων τῶν ἀκουσάντων τὸ, ποία ἐστὶ βρῶσις ἣν λέγει πρὸς αὐτοὺς, ὅτι *Ὁ Πατήρ μου δίδωσιν ὑμῖν ἄρτου τοῦ ἀληθινοῦ ἐκ τοῦ οὐρανοῦ καταβαίνοντος. Ἐγώ εἰμι ἄρτος τῆς ζωῆς, ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου ζήσεται εἰς τὸν αἰῶνα. Οἱ πατέρες ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, καὶ ἀπέθανον. Οὗτός ἐστιν ὁ ἄρτος ἐκ τοῦ οὐρανοῦ καταβαίνων · ἵνα ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθάνηται.* Εἰπὼν δὲ *ὁ καταβαίνων*, δείκνυσι τὸν ἄρτον τοῦτον ἐκ τοῦ οὐρανοῦ καταβαίνοντα διηνεκῶς ἵνα μὴ νομίσῃς ὅτι περὶ τοῦ σώματος αὐτοῦ λέγει, καὶ δόξῃς ἑαυτῷ [ἐν ἑαυτῷ] ὅτι πᾶς ὁ μετέχων αὐτοῦ, οἷος δ' ἂν, καὶ ἔσται πονηρὸς, ἔχει διὰ τῆς μεταλήψεως ζωὴν τὴν αἰώνιον ἀπαλλάττει τῆς τοιαύτης ἐννοίας καὶ δείκνυσί σοι
D ὅτι διττῶς μετέχομεν τῶν μυστηρίων, οἱ μὲν ἄξιοι ἐκείνων ἀπολαύουσι τοῦ ἄρτου τοῦ καταβαίνοντος ἀεὶ ἐκ τοῦ οὐρανοῦ, τοῦτ' ἔστι, τῆς ἐνοικήσεως καὶ ἐκλάμψεως τοῦ παναγίου Πατρὸς τῆς θεότητος τοῦ Χριστοῦ, ὡς τὰ θεῖα καὶ οὐράνια φρονοῦντες. Οἱ δὲ γήϊνοι καὶ τὰ γήϊνα φρονοῦντες τῆς γηγενοῦς καὶ μόνης σαρκὸς

[r] Joan. VI, 27. [s] ibid. 32. [t] ibid. 35. [u] Joan. IV, 31. [v] Joan. VI, 50. [x] ibid. 52.

NOTÆ.

(28*) *Post resurrectionem.* Ita locum supplevi qui in ms. mutilus est, μετὰ τὴν σοὶ ὁμοίως, lege μετὰ τὴν ἀνάστασιν σοὶ ὁμοίως.

(29) *Præsto erant.* Sic integrum locum digessi qui corrupte in ms. Ὑπεἰρχου βρώσεις τῷ παραδείσῳ θεόσδοτοι ἐξ ὧν ἐβούλετο ὁ Θεὸς μεταλαμβάνειν ἀνθρώπου · lego ὑπῆρχον et in fine ἀνθρώπους vel ἄνθοωπον.

(30) *Unum quidem quasi diceres.* Ms. codex hic omnino fœdatus est : lego, μία μὲν, ὡς ἂν εἴποι τις, ἡ καθολικὴ, ἐξ ἧς ὁ φαγὼν οὐ πάντως ἕξει τὴν ζωὴν αἰώνιον. Αὕτη δὴ ἦν ἐκείνη περὶ ἧς εἴρηται τὸ ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ φάγητε, etc. ; sed non minus etiam me torquent quæ sequuntur.

(31) *Ut utrumque nos doceat.* Ms. ὅθεν διδάσκειν ἡμᾶς ἀμφοτέρας, legendum διδάσκων.

τοῦ Χριστοῦ μεταλαμβάνουσιν τολμηρῶς καὶ ἀναξίως· ἄλλη γὰρ αὐτὴ παρὰ τὴν μετάληψιν ἐκείνην· ὅθεν διδάσκων ἡμᾶς ἀμφοτέρας μετὰ τοῦ εἰπεῖν, ὅτι *Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς*, τοῦτ' ἔστιν ὁ Θεὸς Λόγος· καὶ, *Ἐάν τις φάγῃ ἐκ τοῦ ἄρτου τούτου ζήσεται εἰς τὸν αἰῶνα*· ἐπάγει λέγων· *Καὶ ἄρτος δὲ ἐγὼ δώσω αὐτῷ, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ* [τῆς] *τοῦ κόσμου ζωῆς*. Ἀκούεις περὶ διαφορᾶς βρώσεως ἐκ τοῦ ἄρτου τοῦ ἐξ οὐρανοῦ καταβαίνοντος, τοὺς ἐσθίοντας εἶπεν ἔχειν ζωὴν αἰώνιον· ἐπὶ δὲ τῆς σαρκὸς οὐ τέθεικε τοῦτο· ὅθεν περὶ φρικτῶν καὶ ἀπορρήτων μυστηρίων λαλῶν, ὅρα πῶς τοὺς αὐτοὺς πολλάκις ἄνω καὶ κάτω ἀναλαμβάνεται λόγους. Μαινομένων γὰρ πάλιν πρὸς ἀλλήλους τῶν Ἰουδαίων ἐπὶ τῇ ἀπορίᾳ καὶ ἀκαταληψίᾳ τῶν λόγων, λέγει ἀκολούθως πρὸς αὐτούς, *Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν*· καὶ δὶς λέγω τὸ *ἀμὴν* ἵνα γνῶτε ὅτι ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου μὴ παρέλθωσιν, ἀλλ' εἰς τὸν αἰῶνα ἑδραῖοι διαμενοῦσιν. *Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε τὸ αἷμα αὐτοῦ, οὐκ ἔχετε ζωὴν αἰώνιον ἐν ἑαυτοῖς· ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.* Αὐτὸς γάρ ἐστιν, ὡς πολλάκις εἶπον, τὸ ξύλον τῆς ζωῆς τὸ ζωοποιοῦν· εἰ δὲ οὐ πιστεύεις, ἄκουσον τοῦ ἐπαγομένου· λέγει γὰρ ἀκολούθως ὁ Θεὸς Λόγος· *Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ.* Οὐ περὶ τῆς ὁρωμένης αὐτῷ σαρκὸς καὶ αἵματος λέγει· μετέλαβε γὰρ καὶ Ἰούδας, καὶ Σίμων ὁ Μάγος τοῦ σώματος καὶ τοῦ αἵματος τῆς εὐχαριστίας, τοῦ ἄρτου καὶ τοῦ ποτηρίου, ἀλλ' οὐ κατῴκησεν, οὐδὲ μεμένηκεν ἐν αὐτοῖς ὁ Χριστὸς, οὐδὲ αὐτοὶ ἐν αὐτῷ.

libus mysteriis loquatur, vide ut supra et infra, sæpius idem resumat et revocet; disceptantibus autem invicem Judæis quod sermonem illum non caperent, pergit eis dicens: *Amen, Amen dico vobis*, et bis dico amen ut cognoscatis fore ut cœlum et terra prætereant, neque prætereant verba mea, sed firma maneant in æternum. *Amen dico vobis, nisi manducaveritis carnem Filii hominis et biberitis ejus sanguinem, non habebitis vitam æternam in vobis; qui manducat meam carnem et bibit meum sanguinem habebit vitam æternam, et ego resuscitabo eum in novissimo die* [y]. Ipse enim est, ut jam sæpius dixi, lignum vitæ, vivificans; nisi ita credis, audi quod sequitur, pergit enim idem Verbum Deus: *Qui manducat meam carnem, et bibit meum sanguinem, manet in me, et ego in illo* [z]. Non de præsenti carne et sanguine, quippe participes fuerunt Judas et Simon Magus corporis et sanguinis Eucharistiæ, nempe panis et calicis, neque tamen Christus mansit in eis neque ipsi in Christo.

Τίς δέ ἐστιν ἡ ἀληθὴς βρῶσις τῆς μυστικῆς σαρκὸς τοῦ Χριστοῦ, καὶ τί τὸ ἐν αὐτῇ κρυπτόμενον ἀπόρρητον αἷμα αὐτοῦ καταλιμπάνομεν τοῖς ἱκανωτέροις καὶ γνωστικωτέροις, οἷς χρὴ μεταδιδοῦσιν· ταῦτα ἡμῖν εἴρηται εἰς τὸ σαφέστερον βεβαιῶσαι τὸν ἀκροατὴν, ὅτι τὸ μὲν ξύλον τὸ λεγόμενον τῆς ζωῆς οὐδὲν ἕτερον ἦ, ἀλλ' ἢ ἡ τοῦ Θεοῦ μετάληψίς τε καὶ ἕνωσις ἐν τῷ ἀνθρώπῳ τῷ μεταλαμβάνοντι αὐτοῦ· τὸ δὲ ἕτερον ξύλον τὸ τοῦ θανάτου ποιητικὸν, ἡ ἀντικειμένη δύναμις τοῦ ὄφεως ὑπάρχει. Σὺ δὲ ὅταν ἀκούεις ὅτι ἔνδον ἐν τῷ παραδείσῳ καὶ μόνον ἐστὶ τὸ ξύλον τῆς ζωῆς ὁ Θεὸς, καὶ ὅτι ἔνδον σὺν αὐτῷ ἔμεινεν ἡ γυνὴ αὐτοῦ ἡ λεγομένη ζωὴ, γνῶθι ἀκριβῶς ὅτιπερ οὐκ ἔστιν ἐκτὸς τῆς Ἐκκλησίας ἑτέρα τις πίστις μεταλαμβάνουσα τοῦ Θεοῦ καὶ τῆς βρώσεως αὐτοῦ· καὶ ὅτι ὁ μὴ ἐκ ταύτης τρώγων καὶ πίνων, ὡς ὁ λόγος φησὶν, οὐκ ἔχει ζωὴν αἰώνιον, καὶ ὅτι οὐδαμοῦ ἐστιν ἡ ζωὴ καὶ ἡ ζῶσα πίστις, εἰ μὴ ἔσω ὅπου τὰ ζῶα ἐναπέμειναν, καὶ ἡ γυνὴ ἡ ζωὴ σὺν αὐτοῖς πλησίον τοῦ ξύλου τοῦ ζῶντος τῆς ζωῆς· περὶ ἧς γυναικὸς καὶ γέγραπται πάλιν· *Ἀδὰμ δὲ ἔγνω Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν υἱόν, καὶ εἶπεν· Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ, οὐ διὰ τοῦ ὄφεως*, οὐ διὰ τοῦ ξύλου, οὐ διὰ τῆς βρώσεως, οὐ διὰ τῆς παρακοῆς, οὐ διὰ τῆς κατάρας, οὐδὲ διὰ τῆς ἄλλης τῆς οἱασοῦν εὐλόγου καὶ ἀλόγου προφάσεως, καὶ ὁμοίας πράξεως· ἀλλ' ἐκτησάμην ἄνθρωπον ἐγὼ ἡ Ἐκκλησία διὰ τοῦ Θεοῦ, τοῦτ' ἔστι Χριστοῦ, ὅθεν οἱ ἄλλοι

Quæ autem vera sit manducatio mysticæ carnis Christi, quisve ineffabilis sanguis ejus in ea reconditus, illud omnino doctioribus et peritioribus relinquo, illud quibus par est omnino tradentibus, et hæc omnia a nobis dicta sunt, ut liquido pateat audientibus lignum quod vitæ dicitur nihil aliud fuisse quam manducationem Dei et ejus adunationem in homine eum manducante, alterum vero lignum mortem pariens, nihil aliud quam oppositam serpentis potentiam. Tuque igitur cum audies solum esse in paradiso lignum vitæ Deum, unaque cum eo mulierem quæ vita dicitur remansisse, certo scias extra Ecclesiam non esse aliam fidem quæ Dei particeps sit, et cibi ejus, simul etiam eum non habere vitam æternam qui ex eo non manducat et bibit, ut ait Verbum: tum denique nusquam alibi vitam exsistere et veram viventem fidem nisi intus, ubi animantia remanserunt et cum eis vita mulier, juxta lignum vivens vitæ. De qua muliere et adhuc scriptum est: *Adam vero cognovit uxorem suam Evam, quæ concepit et peperit Cain, dicens: Possedi hominem per Dominum, non per serpentem* [a], non per lignum, non per manducationem, non per delictum, non per maledictionem, neque tandem per aliam quamlibet causam sive justam, sive injustam, vel similem quamdam actionem, sed possedi hominem, ego Ecclesia per Deum, nempe Christum; unde alii interpretes qui secuti sunt Symmachum eximie hanc vocem reddi-

[y] Joan. VI, 54, 55. [z] ibid. 57. [a] Gen. IV, 1, 2.

dere. Nam pro *possedi hominem per Dominum*, unus scripsit *possedi hominem cum Domino*, id est, hominem adunatum Domino, nempe hominem ipsum simul et Deum. Alter vero interpres, *possedi hominem Dominum*, quasi diceres, hominem Deum, ut et Thomas dixit ei, *Domine mi, et Deus mi* [b]. τῶν ἑρμηνευτῶν, *Ἐκτησάμην ἄνθρωπον Κύριον*, ἔγραψεν, ἵνα εἴπῃς ἄνθρωπον Θεὸν καθὰ καὶ Θωμᾶς εἶπε πρὸς αὐτὸν, *Ὁ Κύριός μου, καὶ ὁ Θεός μου.*

A τῶν ἑρμηνευτῶν οἱ περὶ Σύμμαχον θαυμασίως ἐκδεδώκασι τὴν τοιαύτην φωνήν. Ἀντὶ γὰρ τοῦ εἰπεῖν· *Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ*, ὁ μὲν εἶπεν· *Ἐκτησάμην ἄνθρωπον σὺν Κυρίῳ*, τοῦτ' ἔστιν ἄνθρωπον ἡνωμένον τῷ Κυρίῳ, Θεὸν ὄντα ὁμοῦ τε αὐτὸν καὶ ἄνθρωπον. Ὁ δὲ ἕτερος πάλιν

Benedicta tu in posterum inter mulieres, sola vita, et genitrix vitæ, mater fidelium, illustris Christi mater Ecclesia, conjux spiritualis Adæ Dei, et benedictus fructus ventris tui, multitudo nationum viventium, tu enim sola possedisti hominem per B Deum, nempe Verbum sine semine, per se subsistens, quando cognovit mulierem suam, quam prius condidit (32) quasi ignotam sibi et sese in eum minime convertentem. Tu costa et pars Adæ Dei, cum quælibet alia fides ab eo extranea sit et peregrina. Te ædificavit sibi in domum et mulierem, reliquis omnibus mulieribus tibi dissimilibus ecclesiis, quæ in orbe sunt, relictis, in errore manentibus. Tu sola os ex ossibus solidæ divinitatis ejus, et caro ex carne humanitatis ejus in qua abscondit divinitatem suam incomminutam, os enim non comminuetur ex eo. Tu sola a viro tuo accepta ab eo concepisti et peperisti, nullaque alia, quasi omnia alia quælibet fides ex viro suo serpente concipiat atque pariat. Tui amore correptus amator C tuus bellacem Judæorum populum, et eorum matrem adulteram synagogen reliquit tibique adhæsit, et agglutinatus est mulieri suæ omnino incorruptæ, factique estis in unam carnem, in unum corpus, in unum sanctum corpus, in unum Christum, in unam fidem, in unum gregem, in unum pastorem, reliquis omnibus gregibus et populis multos pastores et impostores habentibus. Te Deus utpote venustam ad Filium suum mulierem adduxit, cum reliquæ omnes mulieres, quasi meretrices et adulteræ, foras vagentur et inquinentur. Tibi soli evangelizavit dicens, te ad virum tuum Christum conversum iri; quasi reliquæ synagogæ eum minime respiciant et ad eum minime convertantur. Quare benedicta iterum inter mulieres tu sola, o multis coronis redimita, multos filios enixa et multa luce fulgens Ecclesia Dei Christi, tu sola inter mulieres benedicta, nulla alia, tu enim sola a Domino tuo dominaris, reliquis omnino populis sub imperio draconis manentibus. Tu hostis et propugnatrix (33) invicta, et interfectrix serpentis, cum reliqua quævis alia fides ei amica sit propria et dilecta. Te solam vitam vocavit vitam ferentem matrem nostrum omnium per te viventium, quasi

Εὐλογημένη λοιπὸν σὺ ἐν γυναιξὶν, μόνη ζωὴ, καὶ ζωητόκος μήτηρ τῶν πιστῶν, πολύφατε μῆτερ Χριστοῦ Ἐκκλησία, ἡ σύζυγος τοῦ πνευματικοῦ Ἀδὰμ τοῦ Θεοῦ· καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὁ λαὸς τῶν ζώντων ἐθνῶν· σὺ γὰρ καὶ μόνη ἐκτήσω ἄνθρωπον ἄσπορον διὰ τοῦ Θεοῦ, Λόγον, ὑποστάντα δι' ἑαυτοῦ, ἡνίκα ἔγνωσε τὴν γυναῖκα αὐτοῦ ἣν τὸ πρὶν ἔκτισεν ὡς ἀγνοοῦσαν καὶ οὔπω ἐπιστρέφουσαν πρὸς αὐτόν. Σὺ πλευρὰ, καὶ μέρος τοῦ Ἀδὰμ Θεοῦ, τῶν λοιπῶν πασῶν πίστεων, ξένων αὐτοῦ καὶ ἀλλοφύλων οὐσῶν σὲ ᾠκοδόμησεν εἰς ἑαυτοῦ οἶκον καὶ γυναῖκα τῶν λοιπῶν γυναικῶν τῶν Ἐκκλησιῶν τῶν ἐν κόσμῳ τῶν μὴ τοιούτων καταλελειμμένων μεινασῶν τῇ πλάνῃ. Σὺ καὶ μόνη ὀστοῦν ἐκ τῶν ὀστέων τῆς στερρᾶς θεότητος αὐτοῦ, καὶ σὰρξ ἐκ τῆς σαρκὸς τῆς ἀνθρωπότητος αὐτοῦ ἐν ᾗ ἔκρυψε τὴν θεότητα αὐτοῦ ἀσύντριπτον· τὸ ὀστοῦν γὰρ αὐτοῦ οὐ συντριβήσεται. Σὺ καὶ μόνη ἐκ τοῦ ἀνδρός σου ἐλήφθης, καὶ συνέλαβες καὶ ἔτεκες ἐξ αὐτοῦ, καὶ ἄλλη οὐδεμία, ὡς τῶν πίστεων ἐκ τοῦ ἀνδρὸς αὐτῶν ὄφεως συλλαμβανουσῶν καὶ τικτουσῶν. Σοῦ ἐρασθεὶς ὁ σὸς ἐραστὴς Ἰησοῦς κατέλιπε τὸν πολέμιον λαὸν Ἰουδαίων, καὶ τὴν μοιχαλίδα μητέρα αὐτοῦ Συναγωγὴν, καὶ πρὸς σὲ ἐκολλήθη, πρὸς σὲ τὴν πανάφθορον γυναῖκα αὐτοῦ, καὶ γεγόνατε οἱ δύο εἰς σάρκα μίαν, εἰς ψυχὴν μίαν, εἰς καρδίαν μίαν, εἰς ἓν σῶμα, εἰς ἓν ἅγιον σῶμα, εἰς ἕνα Χριστὸν, εἰς μίαν πίστιν, εἰς μίαν ποίμνην, εἰς ἕνα ποιμένα· τῶν λοιπῶν πασῶν ἀγελῶν καὶ λαῶν πολλοὺς ποιμένας καὶ πλάνους ἐχόντων, ἤγαγεν ὁ Θεὸς ὡς ὡραίαν πρὸς τὸν Υἱὸν αὐτοῦ εἰς γυναῖκα, τῶν λοιπῶν πασῶν γυναικῶν ὡς πορνάδων καὶ μοιχαλίδων ἔξω ῥεμβομένων καὶ μολυνομένων. Σοὶ καὶ μόνῃ εὐηγγελίσατο, λέγων ὅτι πρὸς τὸν ἄνδρα σου Χριστὸν D ἔσται ἡ ἀποστροφή σου, ὡς τῶν λοιπῶν συναγωγῶν μὴ ἐπιστρεφουσῶν ποτε πρὸς Θεὸν, διὸ εὐλογημένη, πάλιν λέγω, σὺ ἐν γυναιξὶ, σὺ μόνη, ὦ πολυστέφανε καὶ πολύτεκνε καὶ πολύφωτε Θεοῦ Ἐκκλησία Χριστοῦ, σὺ μόνη εὐλογημένη ἐν γυναιξί· ἡ ἄλλη οὐδεμία· ὅτι σὺ μόνη ὑπὸ Κυρίου τῶν Κυρίων ἐκυριεύθης, πάντων τῶν ἄλλων λαῶν ὑπὸ τοῦ δράκοντος κυριευομένων. Σὺ εἶ ἐχθρὰ καὶ μάχη τῆς ἀκαταγώνιστος καὶ ἀναιρέτης τοῦ ὄφεως, πασῶν τῶν ἄλλων πίστεων φίλων καὶ ἰδίων καὶ ἀγαπητῶν αὐτῷ οὐσῶν,

[b] Joan. xx, 28.

NOTÆ.

(32) *Quam prius condidit.* Ita hunc locum correxi qui sic in ms. ἣν τὸ πρὶν ἡ κτίσις ὡς ἀγνοοῦσαν· unde certe nil elici unquam potest : lego ἣν τὸ πρὶν ἔκτισεν, etc.

(33) *Et propugnatrix.* Fœde Ms. μάχη τῆς· unica voce legendum μαχητής.

σὲ καὶ μόνην ζωὴν ζωηφόρον, μητέρα πάντων ἡμῶν τῶν διὰ σοῦ ζώντων ὠνόμασεν, ὡς τῶν λοιπῶν πίστεων νεκρῶν, τεθανατωμένων τῇ ἁμαρτίᾳ. Οὕτως καὶ σὲ μόνην ἐνέδυσε καὶ ἐκοίμησεν ὡς οἰκείαν νύμφην· τὰς δὲ λοιπὰς ῥεμβάζει συναγωγὰς γυμνὰς καὶ ἀπεριχαλύπτους καὶ ἀσχήμονας τῆς οὐρανίου σκέπης κατέλιπε, μὴ προσφυγούσας ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου, καὶ μόνης, ὦ πανάφθορε, τὸ θεόσπορον τοῦ λόγου σπέρμα, ἀντίδικον καὶ ἀναιρετικὸν τοῦ ὀφιγεννήματος τοῦ δράκοντος ὑπάρχει· καὶ ἐξ οὗ συλλαβοῦσαι αἱ λοιπαὶ πίστεις, τίκτουσιν ὄφεις καὶ ἀσπίδας καὶ σκορπίους, λαοὺς πικροὺς ὡς γεννήματα ὄντες ἐχιδνῶν. Σὺ καὶ μόνη τηρεῖς, καὶ ἀποτηρεῖς, καὶ συνθάπτεις καὶ θανατοῖς τὴν κεφαλὴν τοῦ πολυκεφαλαίου δράκοντος, ἐπὶ τοῦ ὕδατος τοῦ βαπτίσματος αὐτὸν ἀποπνίγουσα καὶ ἀπολλῦσα· σὲ γὰρ ὁ σὸς ἀνὴρ μόνην κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν αὐτοῦ πεποίηκε, σύμμορφον τῆς δόξης τοῦ Θεοῦ· ὡς τῶν ἄλλων πασῶν συναγωγῶν συμμόρφων οὐ σῶν τῆς εἰκόνος τοῦ ἐχθροῦ σου· μόνην σὲ ηὐλόγησε τοῦ αὐξάνεσθαι καὶ πληρῶσαι τέκνων τὴν γῆν, τὰς δὲ ἀστείας τῇ φύσει ἑταιρίδας ἀνευλογήτους κατέλιπεν. Σὲ Χριστὸς πασῶν δέσποιναν, καὶ ἄρχουσαν, καὶ τύραννον, καὶ βασιλίδα τῶν πετεινῶν τοῦ οὐρανοῦ, ἁγίων ἀγγέλων, καὶ τῶν θηρίων τῆς γῆς, τῶν ἐθνῶν, καὶ τῶν ἰχθύων τῶν πάντη ἀλόγων κατέστησε, καὶ ὑποχειρίους ἀνδραποδώδεις τοὺς ἀπίστους, πιστοὺς καθυπέταξε. Τοιγὰρ καὶ μόνῃ τὴν ἀκήρατον καὶ ἄῤῥευστον ἀπόλαυσιν ἐχαρίσατο τῆς τρυφῆς καὶ τοῦ ξύλου τῆς ζωῆς· τῶν ἄλλων γυναικῶν οἰμωττουσῶν ὡς κυνῶν, καὶ ἀγεύστων τοῦ οὐρανίου ἄρτου ὑπαρχουσῶν. Σὺ ἐργάζῃ μόνη καὶ φυλάττεις καλῶς τὸν σὸν παράδεισον· τοῦ ἀμπελῶνος πόῤῥω διώκουσα τοὺς λύκους καὶ ἀλώπεκας, τοὺς ἀφανίζοντας ὡς ἀφυλάκτους τὰς ἀνεργάστους καὶ καρποζιζανηφόρους ἀρούρας τῶν κακοπίστων. Ὦ τοῦ θαύματος! σὺ μόνη γέγονας βοηθὸς τῷ ἀνθρώπῳ, τῷ βοηθῷ καὶ σκεπαστῇ σου Θεῷ, κοπιῶσα, διδάσκουσα, κηρύττουσα, φωτίζουσα, ἐπιστρέφουσα, καλοῦσα πρὸς αὐτὸν, ὡς πρὸς φῶς τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις· ἀναγυμνῶσα καὶ γεννῶσα, καὶ τρέφουσα τῷ ἄρτῳ, καὶ ποτίζουσα τῷ ποτηρίῳ, καὶ αὔξουσα, καὶ καρποφοροῦσα, καὶ ἐγ-

reliqua quævis alia fides in peccato mortua et sepulta. Sic etiam te solam vestivit et ornavit quasi propriam nympham, reliquasque vagabundas (34) synagogas, retectas, inornatas, nudasque cœlesti velamento deseruit, quippe quæ sub umbram alarum ejus (35) non confugerunt. Tui solius, o incorrupta, divinum Verbi semen hostis est et interfector draconis e serpente geniti, ex quo omnis alia fides concipiens, serpentes parit, viperas et scorpios; populum acerbum utpote genimina viperarum. Tu sola custodis, et observas (36), et interficis, et sepelis caput multicipitis draconis in aqua baptismi, suffocans et interficiens eum, solam quippe te vir tuus ad imaginem suam et similitudinem fecit conformem gloriæ Dei, veluti reliquis omnibus synagogis ad imaginem inimici serpentis formatis et effectis; tibi soli benedixit Deus ut crescores et multiplicareris, et repleres terram filiis, formosaque reliqua per naturam scortilla absque benedictione reliquit. Te dominam, principem et reginam constituit avium cœli, sanctorum angelorum, pecorum, nationum, mutorumque piscium (37), subditaque mancipia infidelia, fidelia concinnavit (38). Te solam frui donavit immortali et incorrupta voluptate et ligno vitæ, aliis omnino mulieribus foras canum instar ejulantibus (39) et æterni panis expertibus. Tu sola pulchre colis et custodis paradisum tuum, e vineæ sulcis fugans lupos et vulpes qui infidelium arva inculta et zizaniorum feracia velut incustodita corrumpunt. Tu sola (40) adjutrix facta es homini, adjutori et protectori tuo, Deo, laborans, docens, prædicans, illuminans, convertens, ad illum vocans quasi ad lucem, omnes eos qui jacent in tenebris et in umbra mortis gignens et pariens, pane nutriens et calice potans, augens et fructificans, inserens, plantans et quotidie (41) curans hortum tuum et paradisum, tuique gregis parvulos. Quapropter cum talis sis industria, domicustos, viri amans, pia, fortis, adjutrix, armata, pugnatrix, semperque prompte et ultro pro viro tuo Ada Christo animam ponere parata sis et ejus causa periclitari, ideo tibi quasi reginæ statuit Cherubim flammeis gladiis et minime versatilibus

NOTÆ.

(34) *Vagabundas.* Ms. ῥεμβάδας, corrupte, lege ῥεμβώδεις, ut supra dixit ἕξω ῥεμβομένων, etc.

(35) *Alarum ejus.* Ejus, ex conjectura adjeci, quæ omnino supplenda est in ms. τῶν πτερύγων αὐτοῦ· pro προσφυγούσης legendum etiam προσφυγούσας.

(36) *Custodis et observas.* Ms. τηρεῖς καὶ ἀποτηρεῖς, quæ si vera lectio, innuit eam in custodia semper habere draconem, ita ut nihil moliri possit nisi ei laxas habenas det: tamen cum ait τηρεῖς τὴν κεφαλήν, mihi potius ita intelligendum videtur, Observas et insidiaris ut illud conteras, scilicet *teris* et *conteris caput*: nam procul dubio respicit ad illud III. Genes. αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. Ipsa conteret caput tuum et tu insidiaberis calcaneo ejus.

(37) *Mutorumque piscium.* Ἰχθύων τῶν πάντη ἀλόγων· dicit ἀλόγους quos Sophocl. ἐλλούς.

Ἔφῆκεν ἐλλοῖς ἰχθῦσιν διαφθοράν.

Ἔλλοπας ἰχθῦς Hesiod., id est mutos.

(38) *Subditaque mancipia infidelia, fidelia, concinnavit.* Scriptam lectionem secutus sum τοὺς ἀπίστους πιστοὺς καθυπέταξε. Sed ne quid dissimulen in ms. scriptum etiam videri possit τὰς ἀπίστους πιστοῖς καθυπέταξε, fidelibus subjecit, quod non ita placet.

(39) *Ejulantibus.* Ms. αἰμωττουσῶν, lego οἰμωττουσῶν, etc.

(40) *Tu sola.* Τῷ τοῦ θαύματος σὺ μόνη γέγονας βοηθὸς τῷ ἀνθρώπῳ, ubi illud τῷ τοῦ θαύματος mihi sane negotium facessit. Forte hoc tantum sensus sit, nempe τῷ τοῦ θαύματος σὺ γέγονας, et ἀντὶ τοῦ θαυμασίως σύ.

(41) *Et quotidie.* Ita hunc locum supplevi.

armaturis, instructa, quæ tibi immortalem et incorruptam vitam æternam custodiant. Te Seraphim tueantur, te sex alæ tegant, throni, cessent, multis oculis prædita cernant, tibi principatus serviant, potentiæ ministrent, virtutes ancillentur. Te reges adorent, sacerdotes glorificent, ut hominum choreæ te celebrent, te nationes exornent, te linguæ dilaudent. Quoniam igitur tu sola, neque ulla alia, a viro tuo Christo talem et tantam gloriam et honorem sortita es, oro te et obtestor utpote matrem meam et nutricem a teneris unguiculis et a majoribus, ne desinas purum verbum tuum lac e mammis tuis mihi largiri ut inde te tuosque agnos discipulos lactem. Ne desinas incorrupta columba sancti Spiritus, Ecclesia Dei, in corde meo manere, et inambulare, ibique multos per me pullos parere. Ne dedigneris, o viri amans et uno viro contenta, Christi turtur ex ore tuo cibum sationis in os meum infundere, ut inde te tuique niduli pullos vicissim nutriam : ne cesses, o cœlestis luscinia, suavi cantu tuo et modulatione aures meas demulcere, ut semper nidulo tuo circumvolitans, *pullos tuos oblectem* (42.) Ne moreris, o perennis fons vitæ paradisi, e speculatione tui Edem scaturire nobis æternos et limpidos tuos latices (43), ut aqua viva saturare possint rationales istos et animatos ovium greges. O pulchra et coronis redimita horti cultrix, ne defatigeris nos inoculando et emplastrando, ut vicissim propagines tuas pulchre disponere et inoculare possimus.

A κεντρίζουσα, καὶ φυτεύουσα, καὶ ὁσημέραι τῆς ˙ κήπους καὶ παραδείσους, καὶ σὰς ἀγγελ... τέκνα. Διὸ δὴ ὡς τοιαύτῃ φιλεργῷ καὶ οἰκουρῷ καὶ φιλάνδρῳ, καὶ φιλοστόργῳ καὶ ἀνδρείῳ, καὶ βοηθῷ, καὶ ὁπλίτῃ, καὶ μαχήτιδι ὑπαρχούσῃ καὶ ἀεὶ ἑτοίμως τε καὶ προθύμως τὴν ψυχὴν ὑπὲρ τοῦ σοῦ ἀνδρὸς Ἀδὰμ Χριστοῦ τιθείσῃ καὶ προκινδυνευούσῃ ἔταξε, καὶ ὑπέταξέ σοι ὡς βασιλίδι τὰ Χερουβὶμ ὡπλισμένα ταῖς φλογιφόροις καὶ ἀπεριστρόφοις ῥομφαιομόρφοις πανευχίαις, ὅπως σοι ἀδλαβῆ τε καὶ ἀθάνατον τὴν ζωὴν ἀείζωον τὰ Χερουβὶμ φυλάττωσι, τὰ Σεραφὶμ περιέπωσι, τὰ ἐξαπτέρυγα σκέπωσιν, οἱ θρόνοι διαναπαύωσι, τὰ πολυόμματα ἐπιβλέπωσι, αἱ ἀρχαὶ δουλεύωσιν, αἱ ἐξουσίαι διακονῶσιν, αἱ δυνάμεις λατρεύωσι, βασιλεῖς προσκυνῶσιν, οἱ ἱερεῖς ἀνυμνῶσι, τὰ ἔθνη κατακοσμῶσιν, αἱ γλῶσσαι ἐπαινῶσιν. Ἐπεὶ οὖν σὺ μόνη, καὶ οὐδέ τις ἄλλη τοιαύτης καὶ τοσαύτης δόξης καὶ τιμῆς παρὰ τοῦ σοῦ ἀνδρὸς ἀπέλαυσας Χριστοῦ, δέομαί σου καὶ ἀντιβολῶ ὡς ἐμῆς ἐξ ἀπαλῶν ὀνύχων, καὶ ἐκ προγόνων ὑπαρχούσης μητρὸς καὶ τροφοῦ, μὴ παίσῃ τὸ σὸν μένος τοῦ καθαροῦ καὶ ἀδόλου τοῦ λόγου γάλακτος ἐπιδιδοῦσα πλουσίως μοζῶν, ὅπως ἐκ σοῦ τε καὶ τοὺς σοὺς καλῶς θηλάσω ἄρνας διδασκάλους. Μὴ πάντη τοῦ ἁγίου Πνεύματος ἄσπιλος περιστερὰ Ἐκκλησία Θεοῦ ἐν τῇ ἐμῇ καρδίᾳ ἐνοικοῦσα, καὶ ἐμπεριπατοῦσα· καὶ πολλοὺς νεοσσοὺς δι' ἐμοῦ γεννῶσα. Μὴ ἀπαξιώσῃς, ὦ φίλανδρε καὶ μόνανδρε τοῦ Χριστοῦ τρυγών, ἐκ τοῦ σοῦ στόματος, ἐν τῷ στόματί μου χορηγεῖν

B

C τὴν βρῶσιν τοῦ σπόρου, ὅπως ἐξ αὐτοῦ ἀντιτρέφω σε καὶ τοὺς σοὺς ἐν τῇ σῇ καλιᾷ νεοττούς· μὴ σιγήσῃς, ὦ οὐρανία ἀηδών, ἀεὶ ᾄδουσα καὶ ἐνηχοῦσά μου τοῖς ὠσὶ τὰ θεῖα λιγυρίσματα εἰς τὸ ἀεὶ περιίπταμαι τῇ σῇ νοσσιᾷ καὶ καταθηλύειν τὰ στρουθία σου τὰ ἐν αὐτῇ· μὴ ἀναβάλῃς, ὦ ἀένναε πηγὴ τῆς ζωῆς, ζῶντα τοῦ παραδείσου ἀναβλύζουσα ἡμῖν ἐκ τῆς Ἐδὲμ θεωρίας, τὰ διειδῆ σου καὶ ἄθολα τὰ νάματα, εἰς τὸ πληροῦν ὕδατος ζῶντος ταύτας σου τὰς λογικὰς καὶ ἐμψύχους τῶν προβάτων ἀγέλας δεξαμένας, μὴ ἀποκάμῃς ἡμᾶς ὀφθαλμίζουσα, ὦ καλὴ καὶ στεφανῖτις κηπουρὸς, καὶ ὀμματίζουσα πρὸς τὸ καλῶς καλλιεργεῖν καὶ ὀφθαλμίζειν τὰ φυτὰ τὰ ἐν σοί.

O luna semper lucida, ne cesses præire nobis et facem lucere per noctem impietatis (44) et Scripturarum tenebras et difficultates. O conjux et comes te circumradiantis viri tui solis Christi, ne desinas radios ex eo nobis infundere, ut ita per te multis luminaribus accensis, ea tibi rursus appendam (45). Io Dei thesaure, oro te et obtestor, purum et regium veræ tuæ imaginis argentum abunde nobis porro suppedita, ut illud in trapezitarum tuorum animas (46) demittens, ita te divitiis abundantem, per eos ditem. Denique ut te iterum vero nomine compellem, o quæ (47) adjutrix viro tuo a Deo facta es et cognita, perge, precor, nos tueri, nobisque in omni-

Μὴ λίποις ἡ ἐκλείψῃς, ὦ ἀειφανὴς σελήνη, καθοδηγοῦσα ἡμᾶς ἐν τῇ νυκτὶ τῆς ἀθεΐας τῶν Γραφῶν πανυχίας καὶ ἀκαταληψίας· μὴ καταδήσῃς, ὦ σύζυγε καὶ σύνδρομε τοῦ σοῦ ἀμφιφώτου σεληνάνδρου ἡλίου Χριστοῦ, μὴ τὴν ἐξ αὐτοῦ ἀκτῖνα ἡμῖν καταπέμπουσα ὅπως ἐξ αὐτοῦ διὰ σοῦ καταφωτίσας πολλοὺς φωστῆρας ἐκ σοῦ ἐξανάψω σοι. Ἰὼ ὡς Θεοῦ θησαυρὸς, μὴ παίσῃ πλουσίως ἡμῖν χορηγοῦσα τὸ ἀκίβδηλον καὶ βασιλικὸν τῆς ἀληθοῦς σου εἰκόνος ἀργύριον· ὅπως τοῦτο καταβαλὼν ἐν ταῖς ψυχαῖς τραπεζιτῶν σῶν ἄρρων σε δι' αὐτῶν τὴν θεόπλουτον καταπλουτήσω. Μετὰ δὲ ταῦτα πάντα, καὶ πρὸ τούτων ὡς βοηθῷ τῷ ἀνθρώπῳ γενομένῃ ὑπὸ Θεοῦ, καὶ

NOTÆ.

(42) *Pullos tuos oblectem.* Ms. Εἰς τὸ καταθηλύειν τὰ στρουθία σου τοῦ ἐν αὐτῇ, lege εἰς τὸ καταθηλύνειν τὰ στρουθία σου τὰ ἐν αὐτῇ.

(43) *Limpidos latices.* Ms. καὶ ἀθόλῳ τὰ νάματα· lege καὶ ἄθολα τὰ νάματα.

(44) *Per noctem impietatis.* Corrupte ms. ἐν τῇ νυκτὶ τῆς ἀθεΐας τῶν Γραφῶν πανυξίας καὶ ἀκαταληψείας necessario legendum, ἐν τῇ νυκτὶ τῆς ἀθεΐας καὶ τῶν Γραφῶν πανυχίᾳ καὶ ἀκαταληψίᾳ.

(45) *Ea tibi rursus appendam.* Ms. ἐξαναψῶν σοι, rescribendum ἐξανόψω σοι.

(46) *In trapezitarum tuorum animas.* Ms. ἐν ταῖς ψυχαῖς τραπεζιτῶν τῶν σῶν ἄρρων σε, etc. putabam σῶν ἀρνῶν, ut supra.

(47) *O quæ.* Puto me hunc locum egregie sanasse qui in ms. corrupte ita legitur : ὡς βοηθῷ ζῷ ἀνθρώπῳ γενομένη ὑπὸ Θεοῦ, etc.

γνωριζομένη, μὴ παύσῃ προϊσταμένη καὶ βοηθοῦσα ἐν παντὶ καιρῷ καὶ τόπῳ καὶ πράγματι τοῖς ὑπὲρ σοῦ πρεσβεύουσι, καὶ ψυχὴν καὶ σάρκα τὴν ἑαυτῶν διὰ σοῦ ἑτοίμως τιθεῖσι, καὶ ὅση δύναμις ᾗ τῇ βοηθῷ ἀσμένως βοηθοῦσι καὶ καθ' ἡμέραν ὑπὲρ σοῦ ἀποθνήσκουσι, καὶ τὸν ἴδιον τράχηλον ξίφει τείνουσι, καὶ τὸ αἷμα ὑπὲρ σου εὐψύχως κενοῦσι, καὶ τόνδε ἅπαντα τὸν τοῦ ἀγῶνος δρόμον, καὶ τὸν οὐ κατὰ τῶν σῶν ἐχθρῶν ὑπὲρ τῆς σῆς ἀπολογίας οἵας ἴσασιν εἰς τὸ σὸν κέρας ἀνυψῶσαι· τοὺς σοὺς ἀντιδίκους τοῖς δυσὶ κέρασι τοῦ σοῦ ἀμνοῦ καὶ Θεοῦ ταῖς φύσεσιν ἡ ἐνεργείαις.

A bus auxiliari, nobis, inquam, qui legatorum tuorum munere fungimur; qui corpus et animam nostram propter te ultro ponere parati sumus; qui, quantum pote est, alacriter adjutrici nostræ succurrimus; nobis qui quotidie propter te mortem oppetimus, qui propriam cervicem gladio objicimus, qui propter te proprium sanguinem nostrum strenue fundimus, quique adeo omnem hunc certaminis cursum generose obeuntes conficimus (48).

NOTÆ.

(48) *Obeuntes conficimus.* Ea præterire mihi satius duxi quam in iis me male dedere; præsertim cum sint manca et mutila. Hic igitur vim suam experiantur quibus est κυνὸς εὔρινος βάσις, ut ait ille.

ΤΟΥ ΑΥΤΟΥ ΑΝΑΣΤΑΣΙΟΥ

ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΕΚΤΟΝ ΨΑΛΜΟΝ.

EJUSDEM ANASTASII

ORATIO (1) IN SEXTUM PSALMUM (2).

(Canisius, *Thesaurus monumentorum*, t. III, 480.)

Εὐλόγησον, Πάτερ.

Πρέπουσαν τῆς τῶν νηστειῶν ἀρχῆς [a] εἰλικρινοῦς μετανοίας ὑπόθεσιν τῇ Ἐκκλησίᾳ περιέχει ἐν τῷ ἕκτῳ ψαλμῷ ἡ τοῦ Πνεύματος τοῦ ἁγίου παραίνε-

B

Benedic, Pater.

Congruam admodum jejuniorum initio (3), sinceræ pœnitentiæ materiam, Ecclesiæ usui continet psalmo sexto, sancti Spiritus adhortatio. In eo enim doce-

[a] Leg. τῇ τῶν. ἀρχῇ.

NOTÆ.

(1) Hæc oratio multo locupletior oratione in Psalmum VI, quæ reperitur inter Opera Chrysostomi, Edit. Nov. t. V, col. 543, et quam Anastasii Sinaitæ esse contendit Salmonius. Edit.

(2) Hanc orationem edidit bis Combefisius Auctarii Bibl. tom. I, p. 908 et 943, propterea quod Regii codices, quibus usus erat, ita variabant a nostris, ut non modo diversæ lectiones non possent ad marginem reponi, sed quia videtur Anastasius bis illum psalmum enarrasse, et prout postulabant circumstantiæ temporis, vel memoria suggerebat, verba vel etiam integra commata tum omisit tum mutavit; quod sæpius concionatoribus hodiernis evenire solet. Sic Tertullianus ipse Apologiam limatiorem edidit quam antea sub alio titulo vulgaverat. Basn. — Satis fore putaveram, ut ex Regio codice novam ederem, ac margini, quæ nova ac diversa in editis occurrissent, ascriberem. Verum, facta aliqua collatione, sic plerisque locis diversa comperi ac immutata, ut visum sit impossibile eam inire rationem, ac necesse putaverim id ipsum hic præstare, ac Savilius præstitit in Chrysostomi homilia in proditionem Judæ; nempe, ut utramque editionem ederem; quod præcipue, quam repræsentat Regius codex, longe præstet tota phrasi ac judicio, sententiarumque connexione, datis in lucem a Canisio, tom. III, interprete Philippo Suevenzellio, Societatis Jesu, minus plane accurato, ut sunt fere, si qui Belgæ reddendis Græcis manum admovere. Cum ergo ejus retexam versionem, textusque editi menda, quæ devorat, nonnulla judicabo ac emendabo, tum novam ex Regio codice proferam. Nihil vetat suis usum Anastasium, semel et iterum hunc psalmum enarrasse, proque auditorum ratione, vel ut suggerebat memoria, verba plurima, ipsaque tota commata, qua mutasse, qua omisisse. Combefis.

(3) *Congrua admodum jejuniorum initio.* Indicat his verbis Anastasius hanc se homiliam habuisse initio Quadragesimæ, quod et Niceph. tradit lib. XVIII *Histor.* cap. 44, haud plane aliunde quam ex isto exordio. Quid si alius pauculas has voces inseruit: is nimirum, qui hunc tractatum in librum homiliarum pro initio Quadragesimæ intulit? Regius codex non agnoscit, sive istam enarrationem nedum initio Quadragesimæ, verum etiam alio tempore peroraverit. Combefis.

mur quo modo Deum placaturi simus. Habet enim vere pœnitentium nihil fictam humilitatem, confessionem, lacrymas, luctum, conversionem, gemitum, conscientiæ turbationem, infirmitatem, conceptam ab innumerabilibus peccatis contritionem, salutem ex Dei misericordia partam, nocturnam cum Deo assiduitatem, frequens in lecto ac strato interdiu gestorum perceptum sensum, ac per eum veri Spiritus sancti lacrymarum obtentu visitationem. Nec modo hæc veræ pœnitentiæ certa argumenta, sed etiam inde provenientem remissionem, ac perfectam veniam, insuperque increpationem (4), vimque orationis apud Deum, ac dæmonibus illatam per eam confusionem; hominis denique in peccatis inveterati salutem ac reformationem.

A σις. Ἐν γὰρ τούτῳ τῷ ψαλμῷ διδασκόμεθα ποίῳ τρόπῳ τὸν Θεὸν ἐξιλεωσόμεθα. Ἔχει γὰρ τὴν τῶν μετανοούντων ἀληθῶς ἀψευδῆ ταπείνωσιν, τὴν ἐξομολόγησιν, τὰ δάκρυα, τὸ πένθος, τὴν ἐπιστροφήν, τὸν στεναγμὸν, τὴν τοῦ συνειδότος ταραχὴν, τὴν ἀσθένειαν, τὴν ἐξ ἀμυθήτων πταισμάτων συντριβὴν, τὴν ἐξ ἐλέους Θεοῦ σωτηρίαν, τὴν ἐν νυκτὶ πρὸς Θεὸν προσεδρείαν, τὴν ἐν τῇ κλίνῃ καὶ στρωμνῇ γινομένην πολλάκις (τῶν καθ' ἡμέραν πραττομένων) συναίσθησιν, καὶ τὴν δι' αὐτῆς τοῦ ἀληθοῦς Πνεύματος τοῦ ἁγίου διὰ δακρύων ἐπίσκεψιν. Καὶ οὐ ταῦτα μόνον τῆς ἀληθοῦς μετανοίας τεκμήρια, ἀλλὰ καὶ τὴν ἐκ τούτων προσγινομένην ἄφεσιν, καὶ τὴν τελείαν συγχώρησιν, καὶ τὴν πρὸς αὐτοὺς ἐπιτίμησιν, καὶ τὴν τῆς εὐχῆς παρὰ Θεοῦ ἰσχὺν, καὶ τὴν ἐκ ταύτης γινομένην τοῖς δαίμοσιν αἰσχύνην, καὶ τὴν τοῦ παλαιωθέντος ἀνθρώπου ἐν ἁμαρτίαις σωτηρίαν καὶ ἀνάπλασιν.

Sic porro psalmi inscriptio continet : *Psalmus Davidis, de Octava.* Octavam solet vocare Scriptura vitam illam quæ post septimam hujus sæculi subsequetur : quam et octavo die facta circumcisio præsignificavit. Jam de Octava etiam ipse sapientissimus Salomon nos admonet, dicens : « Da partem septem, nec non octo [1] ; » quasi dicat : Sollicitus sis in hac vita septimæ, boni illius millenarii (5) futuræ vitæ ac manentis, id est æternæ. Sed jam videamus ipsius psalmi exordium.

B Περιέχει δὲ ἡ ὀγδόη τοῦ ψαλμοῦ ἐπιγραφὴ οὕτω, *Ψαλμὸς τῷ Δαβὶδ, περὶ τῆς ὀγδόης.* Ὀγδόην ὀφείλει ἡ Γραφὴ ὀνομάζειν τὴν κατὰ τὴν ἑβδόμην τοῦ παρόντος αἰῶνος ζωὴν καὶ διαγωγήν· ἣν προεμήνυσεν ἡ ὀκταήμερος περιτομή. Περὶ τῆς Ὀγδόης καὶ ὁ σοφὸς Σολομὼν ἡμᾶς νουθετεῖ λέγων· « Δὸς μερίδα τοῖς ἑπτὰ, καί γε τοῖς ὀκτώ. » Ὡσανεὶ λέγων· Φρόντισον ἐν τῷ βίῳ τούτῳ τῆς ἑβδόμης χιλιοντάδος ἀγαθῆς τῆς μελλούσης καὶ μενούσης ζωῆς αἰωνίου. Ἀλλ' ἴδωμεν αὐτοῦ τοῦ ψαλμοῦ τὸ προοίμιον.

« Domine, ne in furore tuo arguas me. » Mentis sese oculis propheta, tanquam nudum ac resupinum ante terribile illud futurum tribunal constituens, ac ipsos Dominicos complexus pedes : velut aliquis fiduciam non habens, sed præ verecundia vultum demittens, nec audens aspicere, omnique excusatione, qua sua peccata defendat, carens : nihil jam a judice postulat; sed hoc tantum profert : « Domine, ne in furore tuo arguas me. » Scio, Domine, nihil non grave ac horrendum manere me, cum in conspectu angelorum et archangelorum, omnisque creaturæ posito tribunali, inque terribili ac elevato solio tuo ad judicium præsidens, commissa a nobis peccata omnia manifestabis ac reteges. Nec audeo, Domine, aut pro mea apud te gratia præsumo, integram plurimorum meorum peccatorum

C Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. » Ὥμμασι νοεροῖς ὁ προφήτης ὡσανεὶ καὶ τετραχιλισμένος πρὸς τὸ φοβερὸν ἐκεῖσε παρεστὼς δικαστήριον, καὶ αὐτῶν τῶν τοῦ Κυρίου ποδῶν ἐφαπτόμενος ὡς οἷά τις ἀπαρρησίαστος καὶ κατηφὴς καὶ ἀπρόσωπος ὑπάρχων, καὶ μηδεμίαν ἀπολογίαν ὑπὲρ τῶν ἰδίων πλημμελημάτων εὐπορῶν· οὐδὲν λοιπὸν, μετὰ τὸν δικαστὴν ἐξαιτεῖ, ἀλλ' ἢ τοῦτο λέγων, « Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. » Οἶδα, Δέσποτα, ὅτι πᾶν δεινὸν καὶ φρικτὸν ἀναμένει με, ὅτε συστήσασθαι μέλλεις δικαστήριον ἐνώπιον ἀγγέλων καὶ ἀρχαγγέλων [b] προκαθήμενος, καὶ πάντων τῶν πεπραγμένων ἡμῖν ἁμαρτημάτων φανέρωσιν, καὶ ἀποκάλυψιν ποιούμενος. Καὶ οὐ τολμῶ, οὐδὲ εὐπροσωπῶ τελείαν τὴν συγχώρησιν τῶν πολλῶν μου ἁμαρτιῶν παρὰ σοῦ αἰτήσασθαι, Δέσποτα, ὅτι μείζων ἡ ἁμαρ-

[1] Eccle. II, 2.

[b] Codex Reg. addit : Καὶ πάσης κτήσεως, ἐπὶ τοῦ φοβεροῦ καὶ ἐπηρμένου θρόνου εἰς κρίσιν

NOTÆ.

(4) *Insuperque increpationem.* Καὶ τὴν πρὸς αὐτοὺς ἐπιτίμησιν. Respicit istud versum 8 : *Discedite a me, omnes,* etc., quo significatur animi veniam consecuti justa in dæmones ac malos reliquos increpatio, ut priora ponantur quæ sunt merita, posteriora autem quæ sunt præmia. Male interpres ac contra auctoris mentem : *Sui ipsius reprehensionem;* tanquam hoc ad priora, ac veniam præceden tia spectaret, non veniæ ac remissionis peccatorum cumulo adjectum esset. In Regio deest. COMBEFIS.

(5) *In hac vita septimæ, boni illius millenarii.* Φρόντισον ἐν τῷ βίῳ τούτῳ τῆς ἑβδόμης, χιλιοντάδος ἀγαθῆς. *Hac vita septimæ :* quam designat Septima, uti Octava designat futuram ; nec non beatus ille sanctorum cum Christo millenarius clara hæc, to-

D taque Anastasii mens ac allusio ad Christi illud regnum mille annorum Apoc. xx, quod est ejus regnum æternum in sanctis ac cum sanctis, eorumque Octava. Nullo sensu reddiderat interpres, aut plane absono : *Sollicitus in hac vita septimi millenarii boni esto de futura et permanentis æternæ vitæ.* Quære, lector, quid hæc velint; mihi sane sunt plusquam Arabica ; nec ista habuit codex Regius. Expositio hæc ejus loci Eccles. moralis est, nec ignota aliis Patribus. Litteralis videtur, ut jubeat Salomon, seu per eum Spiritus sanctus, dare cuique indigenti juxta quod Dominus ait Luc. VI : *Omni petenti te tribue :* sumpto numero determinato pro indeterminato, ut passim solet. Videnda ibi Pineda et alii. COMBEFIS.

τία μου τοῦ ἀφεθῆναί με· ὅτι (6) ἐνώπιον παντὸς ἀνθρώπου εἰς σὲ ἐπλημμέλησα· ὅτι ὑπὲρ μέτρον τὸ ὄνομά σου τὸ ἅγιον παρώξυνα· ὅτι ὑπὲρ τὸν ἄσωτον ἐγὼ ὁ ἄσωτος ἐβίωσα· ὅτι ὑπὲρ τὸν τὰ μύρια τάλαντά σοι χρεωστοῦντα χρεωφειλέτης σοι γέγονα. Ὑπὲρ τὸν Τελώνην ὁ ἐχθρὸς κακῶς με ἐτελώνησεν· Ὑπὲρ τὸν λῃστὴν ὁ φονοκτόνος ἐμὲ κακῶς ἐθανάτωσεν. Ὑπὲρ τὴν πόρνην ἐγὼ ὁ φιλόπορνος, ἐκ Θεοῦ ἐπόρνευσα. Ὑπὲρ τὴν Νινευῆ ἀμετανόητα ἐπλημμέλησα. Ὑπὲρ τὸν Μανασσῆ « αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου. » Ὑπὲρ τὴν Χαναναίαν, « ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμὲ, καὶ ταλαιπωρήσας κατεκάμφθην ἕως τέλους. » Τὸ ὄνομά σου τὸ ἅγιον παρώργισα· τὸ Πνεῦμά σου τὸ ἅγιον ἐλύπησα· τῶν ἐντολῶν σου παρήκουσα. Τὸν πλοῦτόν σου κακῶς διεσκόρπισα, τὸν θησαυρόν σου κακῶς ἐδαπάνησα· τὸν ἀῤῥαβῶνα, ὃν μοι δέδωκας, εἰς ἀνομίας ἀνήλωσα· τὸν ναόν σου τοῦ σώματός μου ἐσπίλωσα· τὴν κατ' εἰκόνα σου ψυχήν μου μολύνας ἐχρείωσα· τὸν χρόνον ὃν μοι δέδωκας, μετὰ τῶν ἐχθρῶν σου ἐβίωσα· τὴν φωνὴν τῆς ἐντολῆς σου οὐκ ἐφύλαξα· τὸν χιτῶνα ὃν με ἐνέδυσας, ῥυπώσας ἐσπίλωσα· τὴν λαμπάδα, ἣν μοι ἑτοιμάσας, νυστάξας, ἀπέσβεσα· τὸ πρόσωπόν μου ὃ ἐφαίδρυνας, ἁμαρτήσας κατῄσχυνα· τοὺς ὀφθαλμούς μου οὓς ἐφώτισας, κακῶς πάλιν ἐτύφλωσα, τὰ χείλη μου ἅπερ ἡγίασας, πάλιν ἐῤῥύπωσα. Καὶ οἶδα ὅτι πάντως τὰ πεπραγμένα μοι ἐλέγξεις, καὶ παρὰ τοῦτο οὐκ ἔστιν οὗ διαφεύξομαι, ἀλλὰ πάντως ἐλεγχθήσομαι· καὶ εἰ ὅλως ἐλέγχομαι, « Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με· » κἀγὼ κερδήσω παρὰ σοῦ τοῦτο τοῦ μόνου

veniam abs te petere : nam major est mea iniquitas, quam ut mihi condonari debeat : quippe coram omnibus in te deliqui (7) : supra modum omnem nomen sanctum tuum irritavi : supra prodigum prodigus ego prodige ac luxuriose vixi [1]. Supra eum qui decem talentorum millia debebat, debitor tibi factus sum [2]. Supra Publicanum (8), me male hostis vectigalem fecit [3]. Supra latronem, me ille homicida male vulneravit ac cecidit [4]. Supra meretricem, fornicarius ego, deficiens a Deo fornicatus sum [5]. Supra Ninivem impœnitenti animo peccavi [6]. Super Manassem « iniquitates meæ supergressæ sunt caput meum [7] ; et super Chananæam [8], « sicut onus grave gravatæ sunt : ac miser factus, curvatus sum usque in finem. » Nomen sanctum tuum irritavi : mandatis tuis non obtemperavi; divitias tuas male dissipavi; thesaurum tuum male expendi; pignus quod mihi dedisti, in peccata consumpsi; templum tuum, quod est corpus meum, contaminavi; animam meam, quam ad imaginem tuam creaveras, commaculans infeci (9) : tempus a te mihi concessum, cum hostibus tuis traduxi; tui vocem præcepti non observavi; tunicam quam me indueras, sordibus conspurcavi; lampadem abs te mihi præparatam, dormitans exstinxi; vultum illum meum, quem tu ornaveras, ego peccatis fœdavi; oculos meos, quod illustraras, male iterum excæcavi; labia mea, quæ sanctificaveras, ego rursum infeci sordibus. Scio autem fore ut a me commissa omnino arguas ; nec ab hoc ullum mihi effugium est, sed plane fiet ut arguar. Ac siquidem ita prorsus futu-

[1] Luc. xv, 4 seqq. [2] Matth. xviii, 24. [3] Luc. xviii, 10. [4] Luc. x, 30. [5] Luc. vii, 37. [6] Jonæ iii, 4. [7] IV Reg. xxi, 16; Psal. xxxvii, 5. [8] Matth. xv, 22.

NOTÆ.

(6) Codex Regius habet πλείω, quod probat Combefisius, ut non publicum peccatum, sed peccatorum maximus cumulus designetur. Sed nihil mutandum. Perinde est Davidi si publice peccasse confiteatur, ac si dicat se magis cæteris hominibus peccasse. Publica sunt regum peccata, nec ea publice confiteri Davidem puduit, ut patet ex psalmo LI. Basn.

(7) *Coram omnibus in te deliqui.* Ἐνώπιον παντὸς ἀνθρώπου. Velit auctor Davidis peccatum aggravare ex facti notorietate, ut vocant : tametsi enim putabat ipse rem in occulto esse, haud tamen erat, juxta prophetæ Nathan ad eum increpationem : *Quoniam blasphemare fecisti inimicos Domini :* dato utique tanto scandalo : quanquam nihil cogit ut dicta hic omnia ex persona humilis pœnitentis, in Davidem referenda sint. Regius codex loco ἐνώπιον, habet πλείω, ut non publicum peccatum designetur, sed peccatorum maximus cumulus, seu etiam gravitas, quam subinde variis exemplis exaggerat, quæ mihi littera magis placet. Combefis.

(8) *Supra Publicanum.* Non videtur istud membrum satis omnino præcedentibus cohærere, quibus peccator pœnitens suam exaggerat culpam : forte videatur illa vox ἐτελώνησε aliter hic usurpata, quam vel usurpet Gregorius, vel Plutarch. cum scribunt, Ἐτελώνησεν Αἴγυπτον. — Οὓς κακῶς ἐτελώνησας, διασκόρπισον, non, tributis diripuit ac telonii lucris : sed publicanum fecit, ac inhiantem ejusmodi lucris iniquis. Sequenti membro, quo item editis significatur passus peccator a dæmone seu latrone, velut is quem Lucas ab eis spoliatum ac semivivum relictum narrat : melius ms. cod. peccator ipse latro, ac prior latrone describitur : Οἶδα ἐμαυτὸν ὑπὲρ τὸν λῃστὴν λῃστρικῶς ζήσαντα. *Vixisse latronum more plusquam latronem.* In ms. ubi est particula rationalis, possit accipi illa a dæmone ut publicano exactio, ut ratio grandis illius debiti plusquam decem millium talentorum, tanquam nihil Domino possit reddere, qui sic est diabolo vectigalis. Verum hæc forte scrupulosius. Combefis.

(9) *Commaculans infeci.* Lego μολύνας ἐχροίωσα, tanquam a χροιά, *color;* non ἐχρείωσα, tanquam a χρεία, *debitum.* Quid enim infectioni cum debito et obligatione, quod reddit interpres? *animam meam, quam ad imaginem tuam creaveras, commaculans obligavi.* Inscitus plane metaphoris Anastasius, ut sic vel voluisset. Idem plane videtur hic voluisse iis verbis, atque paulo post similibus istis : Τὸν χιτῶνα, ὃν με ἐνέδυσας ῥυπώσας ἐσπίλωσα, *sordibus aspergens commaculavi.* Gregor. dixit ἐχροίησα. Nec aliud vult Regii codicis editio : τὴν κατ' εἰκόνα σου ἀξίαν καθύβρισα, *dignitatem imaginis violavi.* Nempe eam inficiendo. Vel etiam scriptum sit ἠχρείωσα· ab ἀχρειόω. Quæ vox hic aptissima est. *Commaculans perdidi, abolevi, inutilem reddidi, deturpavi :* sic Regia editione, de vultus decore ac munditia, quæ est regeneratione, κατηχρείωσα· ubi edit. κατῄσχυνα, *deturpavi, exterminavi, abolevi.* Combefis.

rum est : « Domine, ne in furore tuo arguas me : » hocque ego a te lucri reportem, qui solus clemens ac benignus es. Scis ipse accurate meas omnes quantumvis occultas offensiones, sed ne arguas me, ne me traducas : ne eas palam omnibus proferas, angelis pariter ac hominibus, ad confusionem meam ac probrum meum.

« Domine, ne *in* furore tuo arguas me. » Nam si perituri regis furorem nemo sustinere potest, quanto magis Dei furorem sustinere non poterit universitas creaturarum? « Neque in ira tua corripias me. » Dignus quidem ego omni castigatione et pœna ; sed cum castigaveris, « ne in ira tua castigaveris me. » Memini latronem a te veniam petiisse ac obtinuisse [9]. Memini peccatricem ex animo accessisse, ac pœnituisse, nec venia frustratam esse [10]. Memini Publicanum ingemuisse et justificatum esse [11]. Verum sum ego illis miserior. Nam neque illis sum similis. Non enim habeo propensas lacrymas ; non veram confessionem, non ex imo corde gemitum, non mundam animam, non sincerum jejunium, non fraternum amorem, non paupertatem spiritus, non assiduam orationem, non commiserationem, ut dignus ipse commiseratione habear (10) : non compunctionem, ut mihi condonetur, non puritatem cogitationum, non propositum Deo placens. Qua igitur fronte, qua licentia veniam postulabo? Frequenter, Domine, acturum me pœnitentiam spopondi, sed fidem tibi datam fefelli. Tibi in Ecclesia frequenter procido, ac statim egressus in peccata incido. Frequenter te mei misertum est, et ego sprevi te. Frequenter me sustinuisti, sed nihil me emendavi. Sæpe me erexisti, sed ego rursus concidi. Quot me modis adjuvisti, et ego tibi ingratus fui? Quoties in me humanitatem habuisti, tibique ego nequaquam servivi? Quam multis me tu honorasti, et ego te inhonoravi? Quoties peccantem me tanquam pater adhortatus es? tanquam bonus tolerasti; tanquam filium exosculatus es? tanquam charissimum pignus me es allocutus; tanquam pater corripuisti ; tanquam infantem vocasti ; ulnas expandisti ; lapsum me tenuisti, atque dixisti : Ne metue, erigere, rursum consiste, rursum veni, rursum ne metue : non persequor te, non aversor, non exprobro, non abominor meum figmentum, non abdico meum opus, non obduro viscera mea ad meum filium. Non enim odisse possum hominem, quem meis ipse manibus effinxi ; cujus causa memet humiliavi ; pro quo sanguinem meum fudi. Quomodo non suscipiam ad me conversum, ac mihi

A φιλανθρώπου. Οἶδας αὐτὸς ἀκριβῶς ἅπαντα τὰ κρύφια πταίσματα, ἀλλὰ μὴ ἐλέγξῃς με, μὴ δημοσιεύσῃς με, μὴ φανερώσῃς αὐτὰ πᾶσιν, ἀγγέλοις καὶ ἀνθρώποις, εἰς ἐμὴν αἰσχύνην καὶ ἐμὸν ὄνειδος.

« Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. » Εἰ γὰρ φθαρτοῦ βασιλέως θυμὸν οὐδεὶς δύναται ὑποφέρειν, πόσῳ γε μᾶλλον Θεοῦ θυμὸν οὐχ ὑποστήσεται πᾶσα κτίσις ; « Μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. » Αἴτιος γὰρ ἐγὼ εἰμι πάσης παιδεύσεως καὶ κολάσεως· ἀλλὰ παιδεύων « μὴ τῇ ὀργῇ σου παιδεύσῃς με. » Οἶδα λῃστὴν αἰτησάμενον καὶ κομισάμενον συγχώ-
B ρησιν παρὰ σοῦ. Οἶδα πόρνην ὁλοψύχως προσελθοῦσαν καὶ μετανοήσασαν [c] · οἶδα τελώνην στενάξαντα καὶ δικαιωθέντα. Οὐ γάρ εἰμι ὡς αὐτοί. Οὐ γὰρ ἔχω δάκρυον ἐκτενὲς, οὐκ ἔχω ἐξομολόγησιν ἀληθινὴν, [d] οὐκ ἔχω ἐκ βάθους καρδίας στεναγμὸν, οὐκ ἔχω καθαρὰν τὴν ψυχὴν, οὐκ ἔχω νηστείαν εἰλικρινῆ, οὐκ ἔχω ἀγάπην πρὸς ἀδελφὸν, οὐκ ἔχω πτωχείαν πνευματικὴν, οὐκ ἔχω προσευχὴν διηνεκῆ, οὐκ ἔχω συμπάθειαν, ἵνα συμπαθηθῶ, οὐκ ἔχω κατάνυξιν, ἵνα συγχωρηθῶ, οὐκ ἔχω καθαρότητα λογισμῶν, οὐκ ἔχω προαίρεσιν θεοπρεπῆ. Ποίῳ λειπὸν προσώπῳ, ποίᾳ παῤῥησίᾳ αἰτήσω συγχώρησιν; Πολλάκις σοι, Δέσποτα, μετανοεῖν συνεταξάμην, καὶ ψεύστης πρὸς σὲ τῆς συνταγῆς ἐγενόμην. Πολλάκις σοι ἐν Ἐκκλησίᾳ προσπίπτω, καὶ εὐθέως ἐξερχόμενος ἐν ἀνο-
C μίαις ἐμπίπτω. Πολλάκις μὲ ἠλέησας, κἀγώ σε ἠθέτησα. Πολλάκις με ἐβάστασας, κἀγὼ οὐκ ἐπέστρεψα. Πολλάκις με ἀνέστησας, κἀγὼ πάλιν κατέπεσον. Πόσα με συνεκρότησας, κἀγώ σε ἠγνωμόνηκα; Ποσάκις μου εἰσήκουσας, κἀγώ σου παρήκουσα ; Ποσάκις μοι συνεπάθησας, καὶ οὐδαμῶς σοι ἐδούλευσα ; Πόσα δέ με ἐτίμησας, ἐγὼ δέ σε ἠτίμασα ; Ποσάκις ἁμαρτήσαντός μου, ὡς πατὴρ παρεκάλεσας; ὡς ἀγαθὸς ἐβάστασας, ὡς υἱὸν κατεφίλησας, ὡς τέκνῳ μοι ἐλάλησας, ὡς πατὴρ ἐνουθέτησας, ὡς νήπιον ἐκάλεσας, τὰς ἀγκάλας ἀφήπλωσας, καὶ πεσόντα με ἐκράτησας, καὶ εἶπάς μοι, Μὴ φοβοῦ, ἐγείρου· πάλιν στῆθι, πάλιν δεῦρο, πάλιν μὴ φοβοῦ, οὐ διώκω σε, οὐκ ἀποστρέφω σε,
D οὐκ ὀνειδίζω σε, οὐ βδελύσσομαι τὸ ἐμὸν πλάσμα, οὐκ ἀπορρίπτομαι τὸ ἐμὸν ποίημα, οὐ σκληρύνῃ τὰ σπλάγχνα μου πρὸς τὸ ἐμὸν τέκνον. Οὐ γὰρ δύναμαι μισῆσαι ὃν ταῖς χερσὶ ταῖς ἐμαῖς διέπλασα ἄνθρωπον, ὑπὲρ οὗ ἐμαυτὸν ἐταπείνωσα · ὑπὲρ οὗ τὸ ἐμὸν ἐξέχεα αἷμα. Πῶς οὐ προσδέξομαι πρὸς ἐμὲ ἐπιστρέφοντα καὶ προσπίπτοντα ; Ἐγὼ δὲ τὴν

[9] Luc. XXIII, 43. [10] Luc. XII, 37. [11] Luc. XVIII, 10.

[c] Codex Reg. addit : Καὶ τῆς συγχωρήσεως μὴ ἀποτυχοῦσαν. [d] Τούτων ἐγὼ ἀθλιώτερος.

NOTÆ.

(10) *Ut dignus ipse commiseratione habear.* Ἵνα συμπαθηθῶ. Exponit editio Regia, ἵνα συμπαθείας ἀξιωθῶ : quam expositionem ut vidisset interpres, non reddidisset, *ut doleam alienis incommodis* : tanquam esset, ἵνα συμπαθήσω · tametsi vox edita συμπαθηθῶ, expressa satis est. Paulo inferius eamdem vocem incongrue reddit interpres, ubi est, ποσάκις μοι συνεπάθησας. *Quotius mihi consensisti?* potius, *impensiori quadam benignitate ignovisti:* quomodo altera, ac Regii cod. editio, ποσάκις μοι συνέγνως. COMBEFIS.

ἀκοὴν βαρύνας οὐ προσέσχον, οὐδὲ ἐπεστράφην. Διὸ, Δέσποτα, ὡς ἔμφυτον καὶ ἀχάριστον (11) ἔχων τῆς φιλανθρωπίας τὴν ἄβυσσον, καὶ τῆς μακροθυμίας τὸ πέλαγος, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με, » ἀλλ' ἔτι καὶ ἔτι μακροθύμησον ἐπ' ἐμοί. Μὴ σπεύσῃς τοῦ ἐκκόψαι με ὡς τὴν συκῆν τὴν ἄκαρπον· ἀλλ' ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, Δέσποτα, μετὰ πάντων καὶ τὸ ἔτος τοῦτο ἔασόν με πρὸς τὴν μετάνοιαν, καὶ μὴ ἀκηδιάσῃς βαστάζων τὴν ἀδικίαν μου καὶ τὴν ῥαθυμίαν μου. Μὴ ἁρπάσῃς με ἀνέτοιμον ὑπάρχοντα, μὴ λάβῃς με τὴν λαμπάδα μὴ ἅψαντα, μὴ λάβῃς με μὴ ἔχοντα ἔνδυμα γάμου, μὴ παραστήσῃς γυμνὴν τὴν ψυχήν μου τῷ βήματί σου στηλίτευμα, μὴ λάβῃς με τέως μηδὲν προενέγκαι σοι ἔχοντα· ἀλλὰ μακροθύμησον, ἀλλὰ ἀνάμεινον, ἀλλὰ φιλανθρωπεύθητι, ἀλλὰ συμπάθησον κάμοὶ τῷ πτωχῷ, τῷ γυμνῷ, τῷ ῥαθύμῳ, τῷ ἀμελεῖ, τῷ ἐλεεινῷ, τῷ ἀπόρῳ, τῷ πόρνῳ, τῷ ῥυπαρῷ, τῷ ἀσώτῳ, τῷ ἀγνώμονι, τῷ ἀσπλάγχνῳ, τῷ πεπωρωμένῳ, τῷ βεβυθισμένῳ, τῷ κατακεκριμένῳ καὶ ἀπροσώπῳ καὶ ἀπαῤῥησιάστῳ, καὶ ἀναπολογήτῳ, τῷ ἀναξίῳ πάσης φιλανθρωπίας· τῷ ἀναξίῳ τοῦ οὐρανοῦ καὶ τῆς γῆς· τῷ ἀξίῳ πάσης τιμωρίας, καὶ γεέννης, καὶ κολάσεως.

(23) *Atque a Dei angelo.* Antiqui scriptores, a quibus hanc narrationem Anastasius accepisse ait, haud alii videantur quam Clemens Romanus in apostolicis Constitutionibus, ac si qui ab eo acceperunt: apud Josephum enim non occurrit modus iste mirabilis ac portentosus, sed suavior alius, ut nimirum Deus inflexerit animum regis Babylonis, a quo Manasses dimissus sit, ac regno restitutus. Sic Joseph. lib. x *Antiquit.* cap. 4: Ὁ δὲ Μανασσῆς τότε συνεὶς ἐν οἷοις κακοῖς ἐστι, καὶ πάντων αἴτιον ἑαυτὸν νομίζων, ἐδεῖτο τοῦ Θεοῦ παρασχεῖν αὐτῷ φιλάνθρωπον καὶ ἐλεήμονα τὸν πολέμιον. Χαρίζεται δὲ τοῦτο τῆς ἱκεσίας; ἐπακούσας ὁ Θεὸς αὐτῷ· καὶ πάλιν εἰς τὴν οἰκείαν ὁ Μανασσῆς ἀπολυθεὶς, ὑπὸ τῶν Βαβυλωνίων βασιλέως ἀνασώζεται. *Tum demum Manasses, intelligens in quantis versaretur malis, seque eorum omnium causam agnoscens, ut hostem humanum ac clementem experiretur a Deo precibus petiit. Nec se Deus inexorabilem præbuit, sed misertus exaudiit supplicem; quem rursum Babylonius domum remissum, in pristinum principatum restituit.* Clemens vero citatus, l. II, cap. 21, ita eam liberationem describit, post ejus recitatam orationem, quam merito Ecclesia inde acceptam a Canone exclusit: Καὶ ἐπήκουσε τῆς φωνῆς αὐτοῦ ὁ Κύριος, καὶ ᾠκτείρησεν αὐτόν· καὶ ἐγένετο περὶ αὐτὸν φλὸξ πυρὸς, καὶ ἐτάκησαν πάντα τὰ περὶ αὐτὸν σίδηρα, καὶ ἴασατο Κύριος τὸν Μανασσῆν ἐκ τῆς θλίψεως αὐτοῦ, καὶ ἐπέστρεψεν αὐτὸν εἰς Ἱερουσαλὴμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ. *Et exaudivit Dominus vocem ejus, et misertus est ejus, et exstitit flamma ignis circa eum, et liquefacta sunt omnia vincula ferrea circum eum, et sanavit Dominus Manassen ex afflictione ejus, et reduxit eum Jerusalem in regnum ejus.* Atque, ut fere solet, ut auctiores prodeant historiæ, quo antiquiores, præter dicta a Clemente, novum aliud addit Canisiana editio Anasta-

C sii, nimirum Manassen ὑπὸ ἀγγέλου Θεοῦ εἰς Ἱερουσαλὴμ σωθῆναι· *a Dei angelo salvum perductum esse in Jerusalem;* quasi angelo miraculose transferente, ut ita liberatus sit duplici miraculo, altero fractionis carceris ac machinæ æneæ qua tenebatur, seu etiam liquefactionis catenarum; altero miraculosæ illius translationis: quorum alterum nihil alteri necessario connexum est: sic enim legimus in Actis, solutum a vinculis Petrum, ac liberatum a carcere per angelum, humana postmodum cautione ac prudentia, fuga lapsum, saluti prospexisse. Videor mihi in hac Manassis historia idipsum deprehendere, atque in historia liberationis Caroli II, regis Siciliæ ac Provinciæ comitis, quem antiquiores scriptores, indulgentia regis Aragonum, datis quoque obsidibus, liberatum testentur; nostri autem aliqui Sammaximinenses, seu etiam Provinciales alii, nedum vinculis absolutum ac extractum e carcere, verum etiam pene momento, ad Narbonam Occitaniæ per Magdalenam D translatum, instar fere Habacuc, ac mirabilius Petro, comminiscantur: improbando certe commento, quod non parum rei gestæ, ac veræ per Magdalenam ejus liberationis fidem elevet. Describit pluribus Joannes noster a Rechac, in ejus conventus fundatione ac historia, ex Bernardo Guidonis auctore æquali, cujus in multis nostrorum conventuum exstant historica, ut hæc habuerint, ac Magdalenæ patrocinio Carolus liberatus sit mitiore in eum facto Aragonum rege, haud secus ac Josephus describit in Manasse. Utque Manasses, pio prudentique consilio, suam in Deum liberationem retulit, tametsi videbatur fuisse liberatus humano modo; sic et Carolus: quod præsertim ea regum captivos tenentium miraculo proxima mutatio, ac delinitio, concepta in Deum vota ac in Carolo, Magdalenæ patronæ Provinciæ invocationem, seu

θρώπου Θεοῦ, τοῦ σώζοντος καὶ ἐλεοῦντος δωρεὰν τοὺς εἰς αὐτὸν καταφεύγοντας, δωρεὰν ἀληθῶς. Τί γὰρ, εἰπέ μοι, καὶ προσήγαγε Μανασσῆς τῷ Θεῷ ἀντάξιον τοῦ κρίματος, καὶ τῆς ἀπωλείας τῶν τοσούτων μυριάδων ψυχῶν τῶν ἐν γεέννῃ κατακριθέντων καὶ ἀπολωλότων; Οὐδέν. Καὶ προσέφυγε καὶ ἔρριψεν ἑαυτὸν εἰς τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ, καὶ ἠξιώθη φιλανθρωπίας παρ' αὐτοῦ.

A illic pœnitentem ac confitentem, diem extremum clausisse. Hic mihi observa inenarrabile pelagus miserationum ejus, qui solus bonus ac benignus est, Dei, qui salvos facit, ac misericordia gratis prosequitur confugientes ad ipsum. Plane gratis. Nam quid mihi Manassen obtulisse Deo dicere possis, quod ulla ex parte conferendum sit cum damnatione ac interitu tot millium animarum, quæ in gehenna damnatæ perierunt? Nihil sane. Confugit ad Deum, seque in ejus miserationes conjecit, ejusque benignitatem ac clementiam experiri meruit.

Εἰ δὲ βούλει, καὶ ἔτι τάξομαί σε ἱστορικὰς διηγήσεις διεγειρούσας ἡμᾶς πρὸς μετάνοιαν, καὶ ἐπιστροφὴν πρὸς Θεόν. Γράφει γὰρ Κλήμης ὁ ἱστορικὸς Ἀλεξανδρείας, περὶ Ἰωάννου τοῦ Θεολόγου, ὅτι

Quod si velis, adhuc etiam historica alia, quæ nos ad pœnitentiam ac conversionem ad Deum excitent, tibi afferam. Scribit enim Clemens Alexandrinus (24) historicus de Joanne Theologo, cum

NOTÆ.

etiam apparitionem, visione nocturna, qua Deus non raro per angelos suos impertit homines, secuta esset. Scriptura ipsa de Manasse, II Paral. XXXIII: *Deprecatus est eum* [Deum], *et obsecravit intente: et exaudivit orationem ejus, reduxitque eum Jerusalem in regnum suum, et cognovit Manasses quod Dominus ipse esset Deus:* ex quibus Scripturæ verbis, et quia dicat Deum liberasse Manassen, prodigia ejusmodi in modo liberandi a posterioribus conficta sint. Atque utinam in aliis quoque maluissent sinceriores, quam fusiores ac integriores historias ad nos transmittere. Præstaret sane pauca admodum bene certa scire, quam plura illa sic aucta, in quibus cum aliqua fide nutent, nullis omnino indubitata potest haberi, uti bene admonet cardinalis Baronius in *Annal.*, occasione Actorum Catharinæ sive Hecatharinæ martyris Alexandrinæ sub Maximino, cujus ne nomen æqualis seu suppar Eusebius potuerit scire; cum nos singula quæque ejus sciamus, si tamen vere scimus, ex *Actis* locupletibus, certamina. Interpres, semel ac iterum, ubi Græca habent annos *quinquaginta duos;* septuaginta duos substituit: quo, nedum auctori, sed et facto textui contrarius est, quo habetur regnasse solum annis quinquaginta quinque; ut juxta Anastasii computum, duobus de quinquaginta scelestissime in regno transactis, tres residuos in pœnitentia, ac regum sanctissimus, instaurando Dei cultu, ac abolenda idololatria, cui ita deditus fuisset, peregerit: ut ne vitæ anni omnes, ad duos illos de septuaginta Anastasiani interpretis ascendant, cum sacer textus duodecim annorum regnum capessivisse dicat: postmodumque duos illos de quinquaginta regnasse, ac sic pœnitentem ac religiosum ex perditissimo idololatra consummatum esse. Conferis.

B καὶ οὕτως αὐτὸν ἐπὶ τὰ πρότερα ἐπανήγαγε. *Quæ autem gesta sunt cum illo juvene, qui prius discipulus fuit Joannis filii Zebedæi: postmodum vero, longo tempore ducem egit latronum; iterumque a sanctis beati viri manibus ceu venatu interceptus, in superiorem virtutem, e lustro, e spelunca latronum penetravit, ipse non ignoras: nosti enim non minus quam ego. Nec te raro admirantem audivi, multæ illam benignitatis inclinationem, utque prior ipse cruentam dexteram sit deosculatus, hærens in adolescentis amplexu, eaque via ad amissam virtutem reduxerit.* En tibi compendio, quam sic multis Anastasius post Eusebium enarrat historiam: ac forte pluribus quam par esset, ut adjecta aliqua, minus forte senem Joannem decentia: citatus nimirum ille cursus, ac equitatio, ejus apud quosdam, ingenii ad judicium severioris; qualis est noster Canus, elevent fidem. Historia pœnitentis monachi, cujus Dominus precibus imbrem concesserit, quam Chrysostomus illi adolescentis a Joanne C conversi eodem capite præmittit, ipsa eadem videtur ex maxima omnium affinitate, quam Amphilochius Hom. de pœnitentia retulit: cumque Chrysostomus alioqui junior magno Amphilochio ac seniori, ceu rem recentis memoriæ narret, Amphilochius autem, ut quid ex Patrum antiqua historia acceptum referat, argumento sit, excepto stylo et aliis ibi indicatis, alterius esse a magno illo Amphilochio, ac longe sequioris. Baron. ann. 89, præter Chrysostomum et Antiochum, etiam Cassianum pro historia ista citat, *Collat.* XXIV, cap. 22, nec non Henr. Canisius ex ipso: sed id nimia oscitantia, cum eo capite, nihil Cassianus exemplum hoc pertractet, sed quoddam Joannis *Apophthegma* edisserat, cum a quodam venatore deprehensus esset, perdicem manibus molliter demulcens: cujus exemplo docet D. Thomas 2-2, quæst. 168, art. 2, etiam viris gravibus actiones ludicras interdum convenire. Verum error hic, ut crassus, haud tamen magni D adeo momenti videri debet: ut magis displiceat, quod tanquam ex interprete approbat pro sacramento confirmationis: Sic enim exscribit: *Postea vero ubi sigillo Domini* (nempe sacramento confirmationis, inquit, ut addit interpres) *tanquam perfecta tutaque ejus animæ custodia obsignasset, non nihil de cura et observatione in eo instituendo suscepta remisit.* Sic revera interpres; at liberior, suaque ingerens, non dicta ab auctore, ac Eusebio. Verba Eusebii sunt: Ὁ δὲ πρεσβύτερος ἀναλαβὼν οἴκαδε τὸν παραδοθέντα νεανίσκον, ἔτρεφε, συνεῖχεν, ἐθάλπε, τὸ τελευταῖον, ἐφώτισε· καὶ μετὰ τοῦτο ὑφῆκε τῆς πλείονος ἐπιμελείας καὶ παραφυλακῆς, ὡς τὸ τέλειον αὐτῷ φυλακτήριον ἐπιστήσας, τὴν σφραγῖδα τοῦ Κυρίου. *Presbyter autem traditum sibi adolescentem in domum recipiens, educavit, con-*

(24) *Scribit Clemens Alexandrinus.* Hanc historiam tribuit Antiochus monachus, serm. 122, Irenæo Lugdunensi, tametsi non exstat in ejus, quæ exstant, opusculis, uti etiam ibi interpres ascripsit margini: sive præfatus Antiochus vidit alia Irenæi opera, ut constat aliqua excidisse; sive lapsus est memoria; ac Irenæum posuit pro Clemente, cui tribuit Eusebius, ex quo accepit Anastasius noster. Chrysostomus lib. I ad Theodorum lapsum cap. 1, perstringit quidem historiam, nullum tamen ejus refert antiquiorem scriptorem. Τὰ μὲν κατὰ τὸν νέον ἐκεῖνον, τὸν πρότερον μὲν Ἰωάννου τοῦ Ζεβεδαίου γενόμενον μαθητὴν, ὕστερον δὲ ἐπὶ πολὺν λησταρχήσαντα χρόνον, καὶ πάλιν ὑπὸ τῶν ἁγίων τοῦ μακαρίου θηρευθέντα χειρῶν, ἀπὸ τῶν καταδύσεων τῶν ληστριῶν καὶ σπηλαίων, καὶ ἐπὶ τὴν προτέραν ἐπανελθόντα ἀρετὴν, οὐδὲ αὐτὸς ἀγνοεῖς, ἀλλ' οἶσθα ἡμῶν οὐχ ἧττον ἅπαντα ἀκριβῶς. Καί σου πολλάκις ἠκουσα θαυμάζοντος τὴν πολλὴν, καὶ ὅτι τὴν αἱμα-χυείσαν πρῶτον ἐφλησε δεξιάν, τῷ νέῳ περιχυθεὶς,

aliquando præfatus Christi discipulus, Joannes, in- A πρὸ ἐπί τινα τόπον τῆς Ἀσίας ἐλθὼν ἐν ταῖς αὐτοῦ
quam; lustrando provinciam ad Asiæ quemdam lo- περιόδοις ὁ μαθητὴς τοῦ Χριστοῦ Ἰωάννης, καί τινα
cum venisset, atque in juvenem quemdam, elegan- νεανίαν εὑρὼν, κάλλει τε καὶ ἰσχύϊ καὶ μεγέθει κε-
tiori specie, corporisque viribus ac magnitudine κοσμημένον, τῆς τούτου ψυχῆς ἐρασθεὶς, νουθετεῖ
præstantem incidisset, ejus animæ amore captum, τοῦτον γενέσθαι πιστόν. Καὶ δὴ πεισθέντος αὐτοῦ,
hortatum esse ut Christo nomen daret, fideique ac- τοῦτον τὸν νέον προσάγει εἰς τὸ κατηχεῖσθαι αὐτὸν
cederet; persuasumque adolescentem, fidei rudi- ὑπὸ τοῦ ἐπισκόπου τῆς πόλεως ὁ Ἰωάννης, λέγων·
mentis imbuendum civitatis episcopo obtulisse, in- « Τοῦτόν σοι παρακατατίθημι τὸν ἄνδρα, ὦ ἐπί-
que hunc modum affatum esse: « Hunc tibi virum, σκοπε, μαρτυροῦντος τοῦ Θεοῦ καὶ ταύτης πάσης τῆς
episcope, Deo teste, ac universa hacce Ecclesia, Ἐκκλησίας· » καὶ τοῦτο ὁ Ἰωάννης εἰπὼν ἐξῆλθε
deposito trado; » hisque dictis, Joannem, aliis quo- καὶ ἐπὶ τὰς ἑτέρας χώρας, ποιούμενος τὸ τῆς πί-
que regionibus fidem prædicaturum, abiisse. Epi- στεως κήρυγμα. Ὁ δὲ ἐπίσκοπος τὸν παῖδα παραλα-
scopum autem assumptum puerum hortari cœpisse, βών, ἐνουθέτει καὶ κατήχει· ἐφρούρει, ἐδίδασκεν
ac instruere; illi cavere, docere, ejus curam agere: ἐπεμελεῖτο· καὶ δὴ μετά τινα χρόνον ἐβάπτισε, καὶ
postque demum aliquantum tempus, baptizasse, ac Χριστιανὸν αὐτὸν ἐποίησε. Καὶ λοιπὸν, ὡσανεὶ τῷ B
Christianis hominem cooptasse; deinceps vero, βαπτίσματι τοῦτον ἀσφαλισάμενος, καὶ περιτειχί-
tanquam baptismate, res ejus in tuto collocasset, σας, οὐκ ἔτι ταῖς προτέραις κέχρηται πρὸς αὐτὸν
ac abunde adolescenti cavisset, non amplius moni- νουθεσίαις. Καὶ δὴ ἄδειαν λοιπὸν λαβόντος τοῦ παι-
tiones solitas adhibuisse. Itaque, libertatem na- δὸς, προσκαλοῦνται αὐτὸν τινὲς νεωτεριστὰι, φθόροι
ctum adolescentem, factiosos quosdam, exitiososque τε καὶ ἐξώλεις, καὶ ἐθελόκακοι ἄνδρες· καὶ πρῶτον
ac nefarios viros sibi adjunxisse. Ac principio qui- μὲν ἐπὶ δεῖπνα πολυτελῆ καὶ νοῦς, καὶ ἐπί τίνας
dem, ad sumptuosa convivia ac nocturnas sodalita- πορνικοὺς σπίλους καὶ διανυκτερεύσεις· εἶτα καὶ
tes, depravatum animo pellexisse; post etiam ad ἐπὶ κλοπάς τινας, καὶ λωποδυσίας αὐτὸν παραφθεί-
furta quædam, ac grassationes: postremo in mon- ραντες· τὸ δὲ δὴ πέρας, ἐπὶ τὰ ὄρη αὐτὸν παραλα-
tes eductum, tanquam virum procera statura, ac βόντες ὡς παμμεγέθη ὄντα τῷ σώματι καὶ τῇ δυνά-
forti robore, latronum principem creantes, immi- μει, λῃσταρχον αὐτὸν χειροτονήσαντες, ὅλον ἀνελεῆ
tem plane ac inhumanum, planeque acerbum, tru- καὶ ἀπάνθρωπον, ὅλον πικρὸν καὶ δεινὸν, καὶ ἄθεον
culentumque ac impium fecisse. Post multos autem αὐτὸν ἀποκατέστησαν. Εἶτα χρόνοι ἐν τῷ μέσῳ δι-
inde elapsos annos, cum Joannes Theologus rediret ἱπτασαν πλεῖστοι· καὶ ἐπανελθὼν Ἰωάννης ὁ Θεολό-
Ephesum, sub omnium oculis episcopo dixisse: C γος, ἐπὶ Ἐφεσίων πόλιν, φησὶν ἐπὶ πάντων τῷ ἐπι-
« Age jam, episcope, profer depositum quod tibi σκόπῳ· « Ἄγαγε δή μοι, ὦ ἐπίσκοπε, τὴν παρακατα-
a me, Deo teste, universaque tua Ecclesia, consi- θήκην, ἣν παρεθέμην σοι, τοῦ Θεοῦ προσμαρτυροῦντος
gnatum est. » Episcopum vero hoc verbo percul- καὶ πάσης τῆς Ἐκκλησίας σου. » Ὁ δὲ ἐπίσκοπος,
sum, putare abs se repeti pecuniæ aliquid, quod ille ἐπὶ τῷ ῥήματι θαμβηθεὶς, ἐνόμιζε χρήματός τινος
deposito dedisset. Joannem, ut vidisset episcopum παρατεθέντος παρὰ Ἰωάννου εἰσπράττεσθαι. Ὡς
dubitatione hærentem, dixisse: « Age adhuc juve- οὖν εἶδεν αὐτὸν ἀπορούμενον ἐν ἀμηχανίᾳ, ὁ Ἰωάν-
nem illum, episcope, quem tibi tanquam fideli cu- νης, φησὶ πρὸς αὐτόν· « Ἄγαγε δή μοι, ὦ ἐπί-
stodi curandum tradidi. » Episcopum, audito hoc, σκοπε, τὸν νεανίαν, ὃν σοι ὡς πιστῷ κατεπίστευσα. »

NOTÆ.

tinuit, fovit humaniter: ad extremum, baptizavit; tumque, tanquam perfecta tutaque ejus animi custodia, Domini adhibito signaculo, multum illam in eum curam ac observationem remisit. Ut plane idipsum Eusebius dicat, *sigillum Dominicum, ac illuminationem seu baptismum*, qui et σφραγὶς dicitur a Gregorio, orat. 40, σφραγῖδα δὲ, ὡς συντήρησιν, καὶ τῆς δεσποτείας σημείωσιν. *Sigillum quia conservatio est, et dominationis significatio:* divini scilicet in nos dominii velut quidam character, ex gratia adoptionis quam facit. Sic post aliqua.: Εἰπέ, τῇ σφραγῖδι θαῤῥήσας, εἰκὼν εἰμι καὶ αὐτὸς Θεοῦ· *Dic, signaculo fretus, ipse quoque Dei imago sum.* Sic Amphilochius Orat. in Peccatr. τὴν σφραγῖδα ponit, pro signaculo quo primum Dei gregis ,ceu oves efficimur, cum de Zachæi prima conversione ait: Ὡς πρόβατον ἐκ στόματος λύκου ἀφῆρπασε, καὶ τῇ μάνδρᾳ συνέμιξε, καὶ σφραγῖδος ἠξίωσε. *Velut ovem ex ore lupi abripuit, caulæque admiscuit, ac signaculo impertivit.* Male ergo Eusebii interpres, longa sæpe paraphrasi, auctoris detorquens, obscurans, ac mutans sensum, incautumque, ac Græci idiomatis rudem lectorem, in errorem mittens, ac risui exponens: dum putant magnum quid ex Eusebio pro- D ferre stabiliendis dogmatis, cum revera nihil ille pro eis faciat, uti hic Baronio accidit, indicanti facere Eusebium pro sacramento confirmationis distincto a baptismo, cum nihil ille hoc velit. Cujus sacramenti probandi solidior ratio a manuum impositione apostolorum, ac Spiritus sancti per eam datione, quam Ecclesia, jugi traditione ceu mysterium, ac gratiæ statum signum, a Christo institutum, ejusque ordinatione per apostolos ac successores episcopos, dispensandum, constanti traditione acceperit, ac teneat hactenus. Clare editio Regia Anastasii, pro eo atque Eusebius, ὡς τὸ τέλειον αὐτῷ φυλακτήριον ἐπιστήσας, τὴν σφραγῖδα τοῦ Κυρίου· ὡσανεὶ τῷ βαπτίσματι τοῦτον ἀσφαλισάμενος· aperte synonyma habens τὸ, βάπτισμα καὶ σφραγῖδα. In Regia editione ipso statim initio videtur lapsus memoriæ Anastasius: cum citat ex uno librorum, quos de diversis contextos, Στρωματεῖς vocant: cum non exstet in libris *Stromaticis*, quos octo Eusebius refert, qui hactenus exstent, citetque ille ex libro alio, quem etiam seorsim in Catalogo refert: sed videtur nobis excidisse: eo titulo, Τίς ὁ σωζόμενος πλούσιος· *Quis ille dives sit qui salvatur?* Combefis.

Ὁ δὲ ἐπίσκοπος ἀκούσας, στενάζει μέγα ἐκ βαθους, εἶτα δακρύει εἰπὼν πρὸς Ἰωάννην· « Τέθνηκεν ἐκεῖνος, » φησίν. Ὁ δὲ Ἰωάννης πρὸς αὐτόν· « Πῶς, φησὶν, ἢ ποίῳ θανάτῳ; » Ὁ δὲ ἐπίσκοπος· « Τὸν τῆς ψυχῆς τέθνηκε θάνατον· ἀπέβη γὰρ πονηρὸς ἐξωλέστατος· καὶ τὸ δὴ πέρας, λῃστὴς ἀπεινὴς κατέστη. » Καὶ πρὸς ταῦτα ὁ Ἰωάννης τῷ ἐπισκόπῳ φησί· « Καλόν σε, ὦ ἐπίσκοπε, φύλακα τῆς τοῦ παιδὸς ψυχῆς κατεπίστευσα· καλόν σε ποιμένα τοῦ προβάτου τοῦ Χριστοῦ πεποίηκα; Ἀλλὰ εἰ πάρεστιν ὑμῖν νῦν ἵππος, καὶ τῆς ὁδοῦ τινες ὁδηγοὶ, τῆς ἀπαγούσης ἕνεκεν τοῦ παιδός; » Λοιπὸν ὡς εἶχεν Ἰωάννης αὐτόθι ἀπὸ τῆς Ἐκκλησίας τῷ ἵππῳ ἐπιβὰς, ἀκρατῶς ἤλαυνε, τὸ πλανηθὲν πρόβατον ἀνακαλούμενος. Καὶ δὴ φθάσας τὰ ὄρη ἔνθα τὸ λῃστήριον ὑπῆρχε, κρατεῖται ὑπὸ τῆς φυλακῆς μηδὲν ἀντιλέγων, μηδὲ λυπούμενος, ἀλλὰ βοῶν· « Ἐπὶ τοῦτο ἐλήλυθα, πρὸς τὸν ἄρχοντα ὑμῶν ἀγάγετέ με. » Ὁ δὲ εἱστήκει ὡπλισμένος· καὶ ὡς μόνον ἐθεάσατο τὸν Ἰωάννην πρὸς αὐτὸν ἐρχόμενον, αἰδεσθεὶς εἰς φυγὴν ἐτρέπετο. Ὁ δὲ Ἰωάννης ὥσπερ τοῦ γήρως ἐπιλαθόμενος, ἀκρατῶς τὸν παῖδα κατεδίωκε λέγων· « Τί φεύγεις, τέκνον, τὸν σὸν πατέρα; Τί μοι κόπους παρέχεις; Ἐλέησόν με τὸν ξένον, τὸν γυμνὸν, τὸν γέροντα, τὸν ἀδύνατον, τὸν πτωχόν. Στῆθι, μὴ φοβοῦ· ἔχεις ἐλπίδα σωτηρίας· ἐγὼ ὑπὲρ σοῦ ἀπολογήσομαι· ἐγὼ τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω, ὡς ὁ Κύριος ὑπὲρ ἡμῶν. Μὴ φοβοῦ, τέκνον, στῆθι· Πίστευσόν μοι· ὁ Χριστός με ἀπέστειλεν, ἄφεσίν σοι ἐπιφερόμενον. Ἐγὼ ὑπὲρ σοῦ ὑπομένω θάνατον. Ἐπ' ἐμοὶ τὸ αἷμα ὅπερ ἐξέχεας· ἐπ' ἐμοὶ τὸ φορτίον τῶν ἁμαρτιῶν σου ἐπὶ τὸν τράχηλον. » Εἶτα ἔστη ὁ παῖς· ἔῤῥιψε τὰ ὅπλα τρέμων ὁμοῦ τε καὶ σφοδρῶς κλαίων· καὶ δὴ προσελθὼν τῷ Ἰωάννῃ ἠσπάζετο, ταῖς οἰμωγαῖς τῶν δακρύων αὐτοῦ μηδὲν πρὸς ἀπολογίαν φθέγξασθαι δυνάμενος, μόνον δὲ τὴν δεξιὰν αὐτοῦ χεῖρα ἔτι αὐτὴν ἡμαγμένην ἐκράτει. Ὁ δὲ Ἰωάννης παρὰ τῷ ἑαυτοῦ στόματι τὴν δεξιὰν τοῦ λῃστοῦ κατεφίλει, ὡς ἤδη βαπτισθεῖσαν τοῖς δάκρυσι· καὶ οὐ πρότερον ἀπέστη ἕως ἂν τὸν παῖδα μεθ' ἑαυτοῦ ἐν τῇ Ἐκκλησίᾳ συνήγαγεν· διδοὺς πᾶσιν ὑπόδειγμα μετανοίας εἰλικρινοῦς, καὶ τρόπαιον ἀναστάσεως βλεπομένης.

A alto ex corde ducto suspirio, subindeque flentem, Joanni dixisse : « eum jam mortuum esse. » Ad quem Joannem : « Quomodo, inquit, aut qua tandem morte? » Ad quem episcopum : « Mortuus, inquit, est morte animæ ; quippe factus est improbus ac perditissimus: ac tandem in immanem latronem promovit. » Ad hæc Joannem episcopo : « Egregium scilicet te, inquit, o episcope, animæ pueri custodem præfeci ; egregium te pastorem ovis Christi feci? Sed nunquid equum, inquit, nunc aliquem habetis, et itineris duces, qui me ad juvenem deducant? » Mox vero Joannem ibidem ab ecclesia conscenso equo, vi tota impulisse requirentem errantem ovem. Cum jam autem ad montes pervenisset, in quibus latronum latibula erant, correptum ab B excubiis esse nihil invitum, aut se captum dolentem; sed clamantem, eo usque venisse atque ad eorum ducem adduci velle. Stabat autem ille in armis; utque tantum aspexisset accedentem ad eum Joannem, senis faciem reveritum, in fugam versum esse. Joannem, tanquam suæ ætatis oblitum, citato cursu juvenem persecutum, in hæc verba affantem : « Quid fugis, fili, patrem tuum? Quid mihi laborem facis? Te mei misereat peregrini, nudi, senis, imbellis, pauperis. Siste gradum, ne timeas: superest tibi salutis spes; ego pro te excusabo; ego animam meam pro te ponam, sicut Dominus pro nobis posuit. Ne metuas, fili; siste : crede mihi; me Christus misit, ut tibi peccatorum inferrem veniam. Ego C pro te mortem subire paratus sum. In me sit sanguis quem effudisti; in me onus suscipio tuorum peccatorum, ac cervicem meam ». Tum stitisse juvenem : tremoreque ac grandi luctu, arma projecisse : atque ad Joannem accedentem, amplexatum esse, cum permisti lacrymis gemitus (25), ne verbum quidem ad defensionem proferre sinerent. Tumque ubi tantum dexteram ejus manum etiamnum sanguine cruentatam tenuisset, Joannem eamdem ori admotam, tanquam lacrymis jam intinctam atque purgatam, osculatum esse, nec prius destitisse, quam secum juvenem in Ecclesiam induxisset : dato omnibus sinceræ pœnitentiæ exemplo, subjectæque oculis ac corporum resurrectionis (26) velut quodam erecto tropæo.

NOTÆ.

(25) *Cum permisti lacrymis gemitus*, etc., Mala D interpres interpunctione, τὸ ταῖς οἰμωγαῖς τῶν δακρύων αὐτοῦ, jungens vero ἠσπάζετο, absonum sensum reddit : *Salutabat illum gemitu lacrymarum suarum ;* quasi vero lacrymis ac singultibus amplectamur, aut salutemus. Eusebius : Ἀπολογούμενος ταῖς οἰμωγαῖς, ὡς ἠδύνατο· *Excusans ac satisfaciens gemitibus, prout poterat :* prohibentibus iisdem loqui, ac verbis excusare, ut bene exprimit Anastasii paraphrasis, ut hic a nobis expressa est, et clarius altera editio Regii codicis : Τρέμων ὁμοῦ καὶ κλαίων σφοδρῶς, ὡς μηδὲ φθέγγεσθαι ὑπὸ τῶν δακρύων ἰσχύειν, μάλιστα τῷ ἐκ τοῦ πένθους λυγμῷ τῆς φωνῆς ἐπικοπτομένης. *Tremore ac fletu valido, ut nec præ lacrymis quidquam effari posset, singultu, quem luctus ac mœror faceret, vocem intercidente :* quam passim affectionem graviori aliquo luctu, experimur. Combefis.

(26) *Subjectæque oculis ac corporum resurrectionis.* Τρόπαιον ἀναστάσεως βλεπομένης. Quam bene glossat Anastasius Regio codice, pro βλεπομένης substituens ἐλπιζομένης· *resurrectionis in spe positæ*, ac futuræ illius resurrectionis corporum, qua omnino immutabimur statu immortali ; tam male, quod passim solet, Eusebii interpres, dum ita reddit : *Illustre denique tropæum a peccatis resurrectionis, per exteriora pœnitentiæ signa*, etc., velut ipsa a peccatis resurrectio per pœnitentiam. sui tropæum dicatur, non alterius ; sitque ea resurrectio βλεπομένη, *oculis subjecta ac conspicua ;* non νοουμένη, seu νοητή· *intellectu solo ac mente cognoscibilis ;* qualis et ipsa anima est, cujus resurre-

Quam autem vere digna fide sint, quæ jam dixi- A mus, testantur, tum qui in cruce latro per verbum fidele salutem est consecutus; tum alii improbi plures per pœnitentiam item salvati: in quibus, nostra ipsa ætate sub Mauritio Christianorum imperatore, latronum quidam princeps in Thraciæ finibus, crudelis ac inhumanus emersit. Is talis erat, ut et ea itinera infesta admodum redderet. Hunc cum frustra multi milites ac latrunculatores omnibus adhibitis machinis comprehendere tentassent, eo audito divinissimus imperator Mauritius, per quemdam adolescentem, latronum duci sua ipse mandata (27) misit. Is vero, tanquam divina quadam instinctus virtute, imperatoris sermonem reveritus, abjectis latronis moribus, in modum ovis mansuetæ, ad imperatoris pedes scelerum confessione B accidit.

Dehinc vero post non multos dies, febre tentatus latro, in valetudinario, quod Sampsonis vocant decumbebat, ubi ex vini potu, in phrenesim incidit. Cum autem compos mentis effectus ad se redisset, jamque occupante nocte, vehementius se premi sentiret, ad Dei se misericordis supplicationem convertit, cum lacrymis pœnitens, ac suorum criminum veniam petens, dicensque : « Nihil peto novi a te, benignissime Domine. Ut enim in alium quemdam ante me latronem, sic in me æque latronem mirifica tuam misericordiam, ac suscipe meas has lacrymas, quas hic morti vicinus mitto, in lectulo jacens. Qua vero ratione illos, qui post horam undecimam venientes nihil magnum fecerant, admisisti; eadem quoque meas suscipe exiguas lacrymas; meque in eis emunda, ac tanquam in baptismo, plenaria pro morte indulgentia dona : ut nihil a me ulterius exigas : non enim hora patitur, proximis jam ac ingruentibus qui animam exigant (28). Verum ne mihi relucteris : ne confertum in me bonum exigas. Præoccupaverunt enim me ini-

Καὶ ὅτι ἀξιόπιστον ἀληθῶς τὸ εἰρημένον, μαρτυρεῖ μὲν καὶ ὁ ἐπὶ τοῦ σταυροῦ λῃστὴς διὰ πιστοῦ ῥήματος σωθείς· μαρτυροῦσι δὲ καὶ ἕτεροι πλείονες διὰ μετανοίας σωθέντες πονηροὶ, ἐν οἷς καὶ ἐπὶ τῆς ἡμετέρας γενεᾶς ἐπὶ Μαυρικίου τοῦ τῶν Χριστιανῶν βασιλέως γεγονότος, ἐγένετό τις ἀρχιλῃστὴς περὶ τὰ μέρη τῆς Θράκης ὠμὸς καὶ ἀπάνθρωπος, καὶ τοιοῦτος ἦν ὡς καὶ τὰς ὁδοὺς ἐκείνας ἀβάτους ἐποίησε. Τοῦτον χειρώσασθαι πολλῶν στρατιωτῶν καὶ λῃστοδιωκτῶν πάσῃ μηχανῇ ἐπιχειρησάντων, καὶ μὴ δυνηθέντων, ἀκούσας ὁ θειότατος βασιλεὺς Μαυρίκιος, διά τινος νεανίσκου παιδὸς τὰ ἴδια φυλακτὰ ἀπέστειλε τῷ ἀρχιλῃστῇ, καὶ ὥσπερ ἐξ ἐνεργείας Θεοῦ αἰδεσθεὶς τὸν λόγον τοῦ βασιλέως, ἀποβαλὼν τὸ ἦθος τὸ λῃστρικὸν, ἐν πραΰτητι δίκην προβάτου κατελθὼν ἐν τοῖς ποσὶ τοῦ βασιλέως μετ' ἐξομολογήσεως προσέπεσεν.

Εἶτα μικρῶν τινων ἡμερῶν διελθουσῶν, εἰς ἀσθένειάν τινα ὁ λῃστὴς πυρετικὴν περιπεσὼν, ἔκειτο ἐν τῷ νοσοκομείῳ τῷ λεγομένῳ τοῦ Σαμψῶ· καὶ χρησάμενος οἰνοποσίῳ, εἰς φρενιτικὴν ἔκστασιν μετέπεσεν. Εἶτα ἀνανήψας καὶ εἰς ἑαυτὸν ἐλθὼν, καταλαβούσης λοιπὸν τῆς νυκτὸς, ἤδη ὡς εἶδεν ἑαυτὸν βαρούμενον, εἰς οἰκεσίαν[k] τοῦ πανοικτίρμονος Θεοῦ ἐτρέπετο σὺν δάκρυσιν ἐξομολογούμενος, καὶ συγχώρησιν τῶν αὐτοῦ ἁμαρτημάτων αἰτούμενος, καὶ λέγων· « Οὐ ζητῶ τι ξένον παρὰ σοῦ, Δέσποτα φιλάνθρωπε· ὡς γὰρ εἰς ἕνα τῶν πρὸ ἐμοῦ λῃστῶν, οὕτως καὶ εἰς ἐμὲ τὸν λῃστὴν τὰ ἐλέη σου θαυμάστωσον, καὶ δέξαι μου τοῦτον τὸν ἐπιθανάτιον κλαυθμὸν, ὃν ἐν τῇ κλίνῃ κατακείμενος ποιοῦμαι. Καὶ ὡς ἐκείνους τοὺς μετὰ τὴν ἑνδεκάτην ὥραν μηδὲν ἄξιον ἐργασαμένους, οὕτως καὶ ἐμοῦ τὰ μικρὰ πρόσδεξαι δάκρυα, καθαίρων με καὶ βαπτίζων ἐν αὐτοῖς· ἐνθανάτιον συγχώρησιν ὡς βάπτισμα, μὴ ἀπαιτῶν μέ τι πλέον. Οὐ γὰρ ἔχει ἡ ὥρα, τῶν ἐκσπηλευτῶν μου ἐγγισάντων. Ἀλλὰ μὴ ἀντιτείνῃς, μὴ στιβαρήσῃς ἐν ἐμοὶ τὸ ἀγαθόν. Προκατέλαβον

VARIÆ LECTIONES.

[k] Leg. ἱκεσίαν.

NOTÆ.

ctio illa affectio sit. Plane male habent sacri veteres scriptores Græci, quos sic Latini interpretes Latinius pleniusque loqui affectantes, ac velut liberiori paraphrasi reddere, ita depravent. COMBEFIS.

(27) *Sua ipse mandata.* Τὰ ἴδια φυλακτὰ ἀπέστειλεν. Interpres eodem sensu atque φυλακτήρια· *sacra, quæ de collo ferebat misit.* Verum cum statim subjungat Anastasius, reveritum latronem non amuleta aliqua, sed *imperatoris sermonem;* haud plane aliud sint τὰ φυλακτὰ, quam sermo ille, ac mandatum imperatoris, jubentis ut ad ejus clementiæ thronum, sceleratus adeo homo accederet. Sic in vet. Lexico τὸ φύλαγμα huic affine, exponitur, præceptum, mandatum; velut scilicet a servando, seu observando : quod ideo ponatur ut servetur. Favet altera Regii codicis editio, quæ sic exprimit : Διά τινος τῶν οἰκείων τῷ βασιλεῖ ἐπὶ τοῦτο αὐτὸν ἐξαποσταλέντος, τὰ λῃστρικὰ ὅπλα ῥίψαι πεισθεὶς, καὶ ἐλθεῖν πρὸς αὐτόν. *Cum per aliquem imperatoris familiarium ad hoc ipsum missum, persuasus esset, arma, quæ latro ferebat, abjicere, ac imperatorem adire* : promissa scilicet venia, ac aliis commodis, quomodo passim videmus uti principes in ejusmodi negotiis, haud vero, ut amuleta sua, ac reliquias, seu talia sacra pignora, ad tales personas mittant : quanquam nec exempla missorum ejusmodi pignorum in reconciliationis ac fidei argumentum in Græcorum recentioribus imperatoribus desint : atque adeo haud admodum repugnarim, ut quis contendat hic quoque tale quid a Mauritio factitatum siguificari; ita revera sonante voce Græca, ut præcipue in usu vulgi ac sequioris Græciæ est. COMBEFIS.

(28) *Qui animam exigant.* Τῶν ἐκσπηλευτῶν μου ἐγγισάντων. Interpres eam vocem inexplicatam reliquit : ac vere talis videtur, in qua divinandum sit. Expono ego juxta quod habet editio regii Codicis, ubi habetur : Οὐδὲ γὰρ ἄλλο τι πλέον ποιεῖν, οἱ ἀπαιτοῦντες τὴν ψυχὴν συγχωροῦσιν. *Non sinunt aliud quidquam facere qui animam exigunt* : de qua animæ per angelos exactione hora mortis, passim Patres. Videtur auctor ea voce alludere ad feras in lustris ac cavernis latitantes, quas inde canes extrudant. COMBEFIS. — Ἐκσπηλευτὴς est compulsor seu exactor publicus, qui obnoxios solvere cogit, Justin. Novell. 128, c. 6. BASN.

γάρ με αἱ ἀνομίαι μου πρὸς ἑσπέραν φθάσαντα καλῶς· ὅτι ἀμύθητά μου τὰ χρέη. Ἀλλ' ὡς ἐδέξω Πέτρου τοῦ ἀποστόλου σου τὸν πικρότατον κλαυθμὸν, οὕτως πρόσδεξαι καὶ τὸν ἐμὸν, φιλάνθρωπε, ἐπιχέων ταῦτα τὰ δάκρυα ἐπὶ τὸ τῶν ἁμαρτιῶν μου χειρόγραφον, καὶ τῷ σπόγγῳ τῆς εὐσπλαγχνίας σου ἐξαλείφων τὰ ἀνείκαστά μου πλημμελήματα. »

Ταῦτα καὶ τὰ τοιαῦτα ἐπὶ πλείστας ὥρας ὁ λῃστὴς ἐξομολογούμενος, καὶ τῷ ἰδίῳ φακιολίῳ τὰ δάκρυα ἐκμάσσων, παρέδωκε τὸ πνεῦμα, καθὼς καὶ οἱ πλησίον αὐτοῦ κοιμώμενοι διηγήσαντο. Ἀρχιατρὸς δέ τις ἐκεῖνον τὸν ξενῶνα ἐπισκεπτόμενος ἐν τῷ οἴκῳ αὐτοῦ καθεύδων, ὁρᾷ κατ' ὄναρ κατ' αὐτὴν τὴν ὥραν ἐν ᾗ ὁ λῃστὴς ἐτελεύτησε, τινὰς Αἰθίοπας πολλοὺς ἐλθόντας πρὸς τὴν κλίνην τοῦ λῃστοῦ, μετὰ πλείστων χαρτῶν περιεχόντων τὰ ἁμαρτήματα τοῦ λῃστοῦ· εἶτα καὶ δύο τινὰς φωτεινοὺς ἄνδρας. Ἤνεγκαν οὖν ζυγὸν, βαλόντων τῶν Αἰθιόπων πάντα τὰ χειρόγραφα τοῦ λῃστοῦ, κατεβάρησεν ἡ μία πλάστιγξ· ἡ δὲ ἑτέρα ἐφ' ὕψους ἦν ἀνακεκουφισμένη. Λέγουσιν οὖν οἱ διὰ τοῦ φωτὸς ἄγγελοι· « Εἶτα ἡμεῖς οὐδὲν ἔχομεν ὧδε; » Λέγει ὁ εἷς πρὸς τὸν ἄλλον· « Τί ἔχομεν ἔχειν; οὔπω δεκάτην ἡμέραν ἔχει ἐλθὼν ἐκ τῶν φόνων καὶ τοῦ λῃστηρίου αὐτοῦ, καὶ τί ἀγαθὸν ζητοῦμεν ἐκ τούτου; » Καὶ ὡς ταῦτα ἔλεγον, προσεποιήσαντο ψηλαφᾷν ἐν τῇ κλίνῃ αὐτοῦ. Εἴ πως εὕρωσι καὶ αὐτοί τι ἀγαθόν. Καὶ εὑρὼν εἷς τὸ φακιόλιον ἔνθα τὸν κλαυθμὸν ἐξέμασσεν ὁ λῃστὴς, λέγει πρὸς τὸν ἕταῖρον αὐτοῦ, « Ὄντως τὸ φακιόλιον τῶν δακρύων αὐτοῦ ἦν. Ἀλλὰ βάλωμεν αὐτὸ εἰς τὴν ἑτέραν πλάστιγγα, καὶ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ σὺν αὐτῷ, καὶ πάντως γίνεταί τί ποτε. » Καὶ ὡς μόνον ἔβαλον αὐτὸ εἰς τὴν πλάστιγγα τὴν ἀνακεκουφισμένην, κατεβάρησε, καὶ ἐσκορπίσθησαν ὅλα τὰ χειρόγραφα τὰ ὄντα εἰς τὴν ἄλλην πλάστιγγα. Καὶ ἐβόησαν μιᾷ φωνῇ οἱ ἄγγελοι λέγοντες· « Ἐνίκησεν ἡ φιλανθρωπία τοῦ Δεσπότου. » Καὶ λαβόντες τὴν ψυχὴν τοῦ λῃστοῦ, ἀπήγαγον αὐτὴν μεθ' ἑαυτῶν. Οἱ δὲ Αἰθίοπες ἔφυγον, καταισχυνόμενοι. Καὶ ταῦτα ἰδὼν ὁ ἰατρὸς, εὐθέως ἐξυπνος γενόμενος, ἐνεδύσατο τὰ ἱμάτια αὐτοῦ· καὶ δρομαίως ἦλθεν εἰς τὸν ξενῶνα· καὶ ἐλθὼν εἰς τὴν κλίνην τοῦ λῃστοῦ, εὗρε μὲν σῶμα αὐτοῦ ζέον, τὴν δὲ ψυχὴν αὐτοῦ ἀπελθοῦσαν πρὸς Κύριον. Τὸ δὲ φακιόλιον ἐπὶ τῶν ὀφθαλμῶν αὐτοῦ κείμενον μεστὸν τῶν δακρύων. Καὶ δὴ μαθὼν παρὰ τῶν πλησίον κοιμωμένων τὴν ἐξομολόγησιν ἣν ἐποίησεν ὁ λῃστὴς πρὸς Θεόν· λαβὼν τὸ φακιόλιον εἰσῆλθε πρὸς τὸν εὐσεβέστατον βασιλέα, δεικνὺς αὐτῷ καὶ διηγούμενος ἅπερ κατ' ὄναρ ἐθεάσατο, καὶ

quitates meæ[29], qui jam male ad vesperam venerim : siquidem mea debita majora sunt quam ut cogitari possint. Enimvero, uti apostoli tui Petri amarissimum admisisti luctum, ita et meum, tu benigne ac clemens, suscipiens, hasce meas lacrymas in meorum peccatorum chirographum effunde; tuæque illa miserationis spongia, incomparabilia mea delicta dele. »

Hæc, et his similia ad multas horas confitens latro, ac sudario suo lacrymas extergens, efflavit animam, quemadmodum narraverunt qui prope eum jacebant. Insignis autem medicus quidam, valetudinarium illum visitare solitus, domi suæ dormiens videt in somnis, ipsa hora qua latro mortuus est Æthiopes multos ad ejus venientes lectum cum multis chartis, quibus ipsius continerentur scelera : tum quoque videt duos splendidos viros. Cum itaque allata statera, in eam Æthiopes universa latronis conjecissent chirographa, depressa est una lanx, altera in altum sublevata. Aiunt autem duo lucis angeli : « Sic ne hic nihil ipsi habebimus? » Respondit alter ad alterum : « Quid enimvero habere possemus? Vix decimus dies est, cum cædes ac latronum lustra reliquit : quid boni ex illo requirimus? » Hæc ut dixerunt, visi sunt vestigare in ejus lecto, si forte et ipsi boni aliquid invenirent. Cum autem unus sudarium invenisset, quo latro lacrymas suas deterserat; ait ad socium suum : « Profecto lacrymarum ejus sudarium erat. Agedum in alteram hoc lancem mittamus, addita illi Dei clementia ac benignitate; ac tandem fiet aliquid. » Porro ut tantum unum illud in lancem elevatam misissent, mox ea depressa est, et chirographa, quæ in altera erant, universa sunt dissipata. Exclamarunt itaque junctis vocibus angeli : « Vicit Domini benignitas ac clementia. » Assumentes autem animam latronis, secum abduxerunt. Ac Æthiopes cum ignominia fugerunt. Hæc ubi vidisset medicus, cum primum evigilasset, assumptis vestibus, festinus ad domum hospitalem venit : accedensque ad latronis lectum, reperit ejus quidem corpus adhuc calidum, animam autem jam profectam ad Dominum, sudariumque plenum lacrymis super oculos positum. Ubi autem ab iis qui prope decumbebant, quam latro ad Deum fecisset confessionem, intellexisset, accepto sudario, ad piissimum Imperatorem recta ingressus est, ostendens ac narrans quæcunque in somnis vidisset, ac a decumbentibus in vicino ei loco audisset, in hæc verba eum alloquens : Gratias agimus Deo, pientissime domine. Audivimus latronem salutem consecutum per confessionem, dum interim Rex

[29] Psal. XXXIV, 13.

NOTÆ.

(29) *Qui jam male ad vesperam venerim.* Cogor sic mutare, cogente sensu ac tota serie : nec enim bene ac feliciter, quod reddit interpres, ad vesperam venit ac vitæ metam, qui sic venit, uti latro deplorat, ac præoccupantibus iniquitatibus, a quibus ægre se sub id tempus expediat. Porro facilis est unius litteræ in alteram currente calamo permutatio, utque ex καλῶς, antiquarius, seu ex eo exscribens, fecerit καλῶς. Combefis.

cœlestis in cruce penderet, vidimusque nihilominus latronem alium imperii tui temporibus per confessionem adeptum salutem.

ἅπερ παρὰ τῶν κοιμωμένων ἀκήκοεν, λέγων τῷ βασιλεῖ· Εὐχαριστοῦμεν τῷ Θεῷ, εὐσεβέστατε δέσποτα. Ἠκούσαμεν λῃστὴν σωθέντα δι' ἐξομολογήσεως ἐπὶ τοῦ σταυροῦ τοῦ οὐρανίου βασιλέως, καὶ ἴδομεν λῃστὴν σωθέντα δι' ἐξομολογήσεως ἐπὶ τῆς σῆς βασιλείας.

Hæc etsi audientes vera esse credimus, consultum tamen putamus terribilem mortis horam prævenire, ac matura nos ipsos pœnitentia præparare. Quam enim multi, putas, de repente abripiuntur, qui neque loqui, neque flere, neque testamentum condere possunt? Quisnam etiam pro te sponsor erit, inventurum te illa hora lacrymas ea copia offerendas Deo, qua latro ille obtulit? Quocirca ne exspectemus, nec in mortis horam differamus Deo confiteri peccata nostra; quin potius præveniamus faciem ejus in confessione. Neque vero isthæc a me eo scripta sunt, ut molliores ac remissiores animos vestros efficiam, sed ut magis vos excitem; non ut negligentiores reddam, sed ut alacriores: quod postquam in jejuniorum curriculo (30) egregie certaverimus, victores facti, peccatorum remissione ac regno cœlorum digni habeamur: gratia et benignitate Domini nostri Jesu Christi; cum quo sit Patri gloria, simulque sancto ac vivifico Spiritui, nunc et semper, et in sæcula sæculorum: Amen.

Καὶ ταῦτα μὲν ἀκούοντες πιστεύομεν ἀληθῆ εἶναι· ὅμως καλὸν τὸ προλαβεῖν τὴν φοβερὰν ὥραν θανάτου καὶ προετοιμάσαι ἑαυτοὺς διὰ μετανοίας. Πόσοι γὰρ, εἰπέ μοι, ἐξαίφνης ἁρπάζονται, μήτε λαλῆσαι; μήτε δακρῦσαι, μήτε διαθήκην ποιῆσαι ἰσχύοντες. Τίς δέ σε καὶ ὁ ἀντιφωνῶν, ὅτι εὑρήσεις δάκρυα μετὰ τὴν ὥραν ἐκείνην τῷ Θεῷ προσαγαγεῖν, ὅσα ἐκεῖνος ὁ λῃστὴς προσήγαγε; Διὸ μὴ ἀναμείνωμεν μηδὲ ἐκδεξώμεθα ἐν τῷ θανάτῳ τῷ Θεῷ ἐξομολογήσασθαι. Ἀλλὰ μᾶλλον προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει. Οὐ γὰρ ἵνα χαυνώσω τὰς ὑμετέρας ψυχὰς ταῦτα συνέγραψα, ἀλλὰ μᾶλλον, ἵνα διεγείρω. Οὐχ ἵνα ἀμελεστέρους ποιήσω, ἀλλὰ προθυμοτέρους, ὅπως ἐν τῷ σταδίῳ τῶν νηστειῶν καλῶς ἀγωνισάμενοι, στεφανῖται γενόμενοι, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἀξιωθῶμεν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

NOTÆ.

(30) *In jejuniorum curriculo.* Ἐν τῷ σταδίῳ τῶν νηστειῶν. Sic jam initio jejuniorum meminerat, ac sub eorum initium hanc se Psalmi ad pœnitentiam compositi enarrationem orare significaverat: altera tamen Regii cod. editio nihil tale indicat: cumque stylo fere puriori, minusque ad barbariem ac sequioris Græciæ idioma vergenti, tota decurrat; conjectura sit, dictam semel homiliam, qualis edita est a Canisio, ipsum postmodum Anastasium per otium retractasse; ejus pleraque purius reddidisse; nonnulla qua addidisse, qua sustulisse, ac in eis, quæ ad certum tempus, nempe jejuniorum ac quadragesimæ, restringebant. COMBEFIS.

ΤΟΥ ΑΥΤΟΥ

ΟΜΙΛΙΑ ΕΙΣ ΤΟΝ ΕΚΤΟΝ ΨΑΛΜΟΝ.

EJUSDEM

HOMILIA DICTA IN SEXTUM PSALMUM.

EX ALIO CODICE EDITA.

Congrua admodum sinceræ pœnitentiæ doctrina est, sexti Psalmi complexio. Idcirco ab Spiritu sancto scripta, quo qui peccatorum rei ad Deum adeunt, scire possint, quomodo id eos præstare oporteat, ex animo confitentes, ac veniam poscentes, pro iis quæ peccaverunt. In hoc siquidem psalmo ambo hæc docemur, quatenus ille, et pœnitentium humilitatem complectitur, veramque conver-

Πρέπουσα διδασκαλία μετανοίας εἰλικρινοῦς, ἡ τοῦ Ψαλμοῦ τοῦ ἕκτου περιοχή. Διὰ τοῦτο παρὰ τοῦ ἁγίου Πνεύματος συγγραφεῖσα, ὥστε τοὺς ἐν ἁμαρτίαις προσιόντας Θεῷ, εἰδέναι ἔχειν, πῶς δεῖ τοῦτο ποιεῖν, ἐκ ψυχῆς ἐξομολογουμένους, καὶ τὴν τῶν ἡμαρτημένων αἰτοῦντας συγχώρησιν. Ἐν τούτῳ γὰρ τῷ ψαλμῷ, διδασκόμεθα ἀμφότερα ταῦτα, καθὸ τήν τε ταπείνωσιν τῶν μετανοούντων περιέχει, τήν τε

γνησίαν ἐπιστροφήν, τὰ δάκρυα, τὸν ἐκ βάθους A στεναγμὸν, τὴν τοῦ συνειδότος ταραχὴν, τὴν ἀσθένειαν, τὴν ἐν νυκτὶ πρὸς Θεὸν ὁμιλίαν, τὴν ἐν τῇ στρωμνῇ γινομένην συναίσθησιν τῶν μεθ' ἡμέραν πραττομένων, καὶ διὰ τῆς τοῦ ἁγίου Πνεύματος παρουσίας ἐπισκοπήν· οὐ ταῦτα δὲ μόνον ἐνταῦθα περιεχόμενά τις εὑρήσει, ἀλλὰ τὴν ἀπὸ τῆς τοιαύτης μετανοίας προσγινομένην τῶν ἁμαρτιῶν ἄφεσιν. Τὴν τῶν δαιμόνων αἰσχύνην, καὶ τὴν τοῦ παλαιωθέντος ἀνθρώπου ταῖς ἁμαρτίαις ἀνάπλασιν.

Ἀλλ' οὗτος μὲν ὁ σκοπὸς τοῦ ψαλμοῦ. Ἔστι δὲ ἡ αὐτοῦ ἐπιγραφὴ ἐπὶ λέξεως ἔχουσα οὕτως. « Ψαλμὸς, φησὶ, τῷ Δαβὶδ περὶ τῆς ὀγδόης. » Ὀγδόην, σύνηθες τῇ Γραφῇ ὀνομάζειν, τὴν μετὰ τὴν ἑβδόμην· τουτέστι, τὴν τοῦ παρόντος αἰῶνος ζωὴν καὶ διαγωγὴν, ἧς τύπος, ἡ ὀκταήμερος περιτομή. Ὅ B τε σοφὸς Σολομὼν, « δὸς μερίδα τοῖς ἑπτὰ » παραινῶν, « καί γε τοῖς ὀκτὼ, » τὴν ἐκεῖθεν ἀποκατάστασιν, καὶ τὸν ἐνταῦθα βίον ἡμῖν ὑπαινίττεται. Ἴδωμεν δὲ καὶ αὐτὴν λοιπὸν τοῦ ψαλμοῦ τὴν ἀρχήν.

« Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. » Ὅμμασι νοεροῖς ὁ προφήτης τὸ φοβερὸν ἐκεῖνο δικαστήριον προθεωρῶν, οἷονεὶ ἀπαρρησίαστος ὢν, καὶ μηδὲν ἀπολογίαν ἔχων ὑπὲρ ὧν ἥμαρτε προβάλλεσθαι, μήτε ἐξ ἔργων ἔχων τὸ σώζεσθαι, οὐδὲν ἄλλο τὸν Δικαστὴν ἐξαιτεῖ, ἀλλ' ἢ τοῦτο λέγων· « Κύριε, μὴ τῷ θυμῷ σου ἐξελέγξῃς με. » Οἶδα, Δέσποτα, ὅτι φρικτὸν περιμένει με δικαστήριον· ὅτε προκαθίσας ἐπὶ θρόνου ἀστέκτου, ἐνώπιον ἀγγέλων καὶ πάσης κτί- C σεως, τὰ κρυφῇ πεπραγμένα, πᾶσιν ἀνθρώποις ἀποκαλύπτεις, καὶ τὰ τέως λανθάνοντα ποιεῖς φανερά. Ὅθεν οὐδὲ τολμῶ συγχώρησιν τῶν ἐμῶν ἁμαρτιῶν ἐξαιτήσασθαι· ὅτι μείζους αὗται, ὑπὲρ τὸ ἀφεθῆναί με· ὅτι πλείω παντὸς ἀνθρώπου εἰς σὲ ἐπλημμέλησα· ὅτι ὑπὲρ τὸν ἄσωτον ἥμαρτον· ὅτι ὑπὲρ ἐκεῖνον τὸν τὰ μυρία σοι ὀφείλοντα τάλαντα, ὀφειλέτης σοι κατέστην ἐγώ. Οἶδα γὰρ ἐμαυτὸν πλέον ἢ τὸν Τελώνην παρὰ τοῦ ἐχθροῦ τελωνηθέντα· ὑπὲρ τὸν Λῃστὴν λῃστρικῶς ζήσαντα, καὶ ὑπὲρ τὴν Πόρνην σοι πταίσαντα. Οἶδα ὅτι καὶ τὸν Μανασσῆν, ἀνομήσας παρήλασα. Ὅθεν « αἱ ἀνομίαι μου τὴν κεφαλήν μου ὑπεράρασαι, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ· καὶ ταλαιπωρήσας, κατεκάμφθην ἕως τέλους. » Τὸ ὄνομά σου τὸ ἅγιον παρώρ- D γισα, τὸ Πνεῦμά σου ἐλύπησα, τῶν ἐντολῶν σου παρήκουσα, τὸν πλοῦτόν σου κακῶς διεσκόρπισα, καὶ ὃν μοι δέδωκας ἀρραβῶνα, ἐν ἀσωτίαις ἀνήλωσα, τὸν τοῦ σώματος ναὸν ἐσπίλωσα, τὴν κατ' εἰκόνα σου ἀξίαν καθύβρισα, ὃν ἐνέδυσάς με ἐρρύπωσα χιτῶνα, τὸ πρόσωπον ὃ μοι τῇ ἀναγεννήσει ἐφαίδρυνας, κατηχρείωσα, τοὺς ὀφθαλμοὺς οὓς ἐφώτισας, πάλιν ἐτύφλωσα, τὰ χείλη μου ἅπερ ἡγίασας, πάλιν ἐμόλυνα. Τούτων ἁπάντων εὐθύνας με ἀπαιτῶν, οἶδα ἂτι παραστήσεις με γυμνὸν τῷ βήματί σου, καὶ τὰ πεπραγμένα μοι πάντα ἐλέγξεις, καὶ

sionem, lacrymas, gemitum ex imo pectore; conscientiæ turbationem, infirmitatem, nocturnum cum Deo colloquium, rerum interdiu gestarum perceptum in strato sensum, ac eam, quæ est sancti Spiritus adventu, inspectionem : nec ea tantum quis hoc loco videat comprehensa, verum etiam ex tali pœnitentia accedentem peccatorum remissionem; dæmonumque confusionem ac hominis inveterati in peccatis reformationem.

Enimvero, hic quidem psalmo finis est. Sic autem ejus ad verbum habet inscriptio : « Psalmus Davidi de octava. » Consuevit Scriptura *octavam* appellare eam, quæ subsequitur septimam, hoc est, vitam præsentem; cujus octavæ figura fuit circumcisio diei octavæ. Sed et sapiens Salomon, dum « partem dare septem, quin et octo [70], » admonet, illam in integrum ævo futuro restitutionem, ac præsentis sæculi vitam nobis innuit. Jam vero ipsum quoque videamus psalmi initium.

« Domine, ne in furore tuo arguas me. » Prospiciens propheta oculis animi terribile illud tribunal, tanquam omni destitutus fiducia, nec habens quid proferat defensionis pro iis quæ peccavit, neque ex operibus salvari valens, nihil aliud a Judice postulat, quam istud dicens : « Domine, ne in furore tuo arguas me. » Scio, Domine, me manere terribile judicium, quando in sede majestatis excelso præsidens, coram angelis ac omni creatura, quæ sunt commissa in occulto, omnibus hominibus es revelaturus, ac palam facturus, quæ hactenus fuerunt abscondita. Quamobrem, ne quidem meorum veniam peccatorum audeo postulare : quippe illa majora sunt, quam ut mihi remitti debere videantur. Etenim omni gravius homine in te deliqui. Supra Prodigum peccavi [71] : supra illum qui debitor erat decem miliium talentorum [72], tibi ego debitor constitutus sum. Scio enim supra Publicanum graviora mihi ab hoste imperata tributa [73] : supra Latronem, vixisse latronum more [74]; ac supra Meretricem, tete offendisse [75]. Sed et hoc scio, Manassen me iniquitate vicisse [76]. Unde « iniquitates meæ supergressæ caput meum, sicut onus grave gravatæ sunt super me : miserque effectus, curvatus sum usque in finem [77]. » Nomen sanctum tuum irritavi, Spiritum tuum contristavi, mandatis tuis non obtemperavi, tuas opes male dissipavi, ac quam mihi arrham dedisti in luxuriis consumpsi, templum corporis contaminavi, dignitatem tuæ imaginis violavi, quam me indueras tunicam sordibus fœdavi, vultum quem mihi regeneratione perornaras, turpiter deformavi : oculos quos illuminaveras, iterum excæcavi; labia mea quæ sanctificaveras, rursus pollui. Horum omnium a me exigens pœnas, fore scio ut nudum me ante tuum statuas tribunal, ac

[70] Eccle. II, 2. [71] Luc. V, 13. [72] Matth. XVIII, 24. [73] Luc. XVIII, 10. [74] Luc. X, 30. [75] Luc. VII, 7. [76] IV Reg. XXI, 16. [77] Psal. XXXVII, 5.

omnia mihi commissa arguas; nec esse aliquid, cujus ope effugere possim. Verum enim cum me argues, Domine, « Ne in furore tuo arguas me. » Id a te lucri, qui solus clemens ac benignus est, consequar. Scis ipse omnia occulta mea, pro quibus etiam rogo, ut ne coram angelis et hominibus traducantur ac publicentur, ad opprobrium meum, ac confusionem æternam.

« Domine, ne in furore tuo arguas me. » Si perituri regis furorem nemo sustinere potest, multo magis Dei furorem creatura aliqua sustinere possit. « Neque in ira tua corripias me. » Non deprecor corripi : quippe qui supplicio omni ac pœna dignus sim ; sed hoc rogo, ut corripiens, « ne in ira tua corripias me. » Novi latronem cum tantum preces obtulisset, paradisi statim ingressum accepisse [78]. Novi meretricem accessisse cum lacrymis, nec venia frustratam esse [79]. Novi Publicanum ex imo ingemuisse, et justificatum esse [80]. Illis ego miserabilior sum. Nec enim uti illi habeo. Nam non habeo propensas lacrymas, non veram confessionem, non ut ex corde gemitus profundam, non sincerum jejunium, non paupertatem spiritus, non assiduam ac intentam orationem, non servavi dilectionem ad proximum, non habeo cor miserans, ut merear ipse miserationem, non habeo compunctionem, ut indulgentiam consequar, non sobrietatem aut puritatem cogitationum. Qua jam fronte, qua licentia veniam postulabo? Frequenter, Domine, acturum me pœnitentiam pollicitus sum, sed fidem tibi datam fefelli. Sæpe in ecclesia coram te procido, moxque egressus in scelera incido. Sæpius mei misertus es, ego autem sprevi te. Sæpe tolerans in me fuisti, exspectans pœnitentiam meam, ego autem pœnitentiam non egi. Sæpe me erexisti, ipseque rursus per socordiam concidi. Quoties me exaudisti, egoque tibi auscultare nolui? Quoties mihi veniam tribuisti ; ego autem tibi nunquam servivi? Quoties peccantem me haudquaquam aversatus es? Sed tanquam pater ulnas expandens : Convertere, inquis, ne timeas. Cecidisti? Erigere. Fugiens procul recessisti? Iterum redi. Non te aversor : non exsecror meum figmentum. Non claudo viscera ad meum filium. Non enim possum eum odisse, quem meis ipse finxi manibus ; pro quo meipsum humiliavi ; pro quo effudi sanguinem meum. At ego aggravans aurem, non adhibui animum, nec sum conversus. Tanquam ergo cui cognata sit clementiæ ac benignitatis abyssus, ac longanimitatis pelagus, « ne in furore tuo arguas me, neque in ira tua corripias me : » sed adhuc longanimis sustine me. Ne cito ante confessionem, accusans non ferre fructum, excideris : sed tanquam bonus ac clemens, hunc quoque mihi annum ad pœnitentiam largire. Ne me adhuc imparatum abripias, ac cum necdum virtutum lampadem secceperim, aut oleum, quo lumen nutriatur, præparaverim. Ne me acceperis destitutum veste

A οὐδὲν ἔσται ὃ με ποιήσει διαφυγεῖν. Ἀλλὰ ποιῶν μοι τὸν ἔλεγχον, Δέσποτα, « Μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. » Τοῦτο κερδήσω παρὰ σοῦ τοῦ μόνου φιλανθρώπου. Οἶδας αὐτὸς πάντα μου τὰ κρύφια, ὑπὲρ ὧν καὶ δέομαι, μὴ δημοσιευθῆναι, μηδὲ φανερωθῆναι αὐτὰ ἐνώπιον ἀγγέλων καὶ ἀνθρώπων, εἰς αἰσχύνην καὶ ὀνειδος αἰώνιον.

« Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. » Εἰ φθαρτοῦ βασιλέως οὐδεὶς δύναται θυμὸν ἐνεγκεῖν, πολλῷ μᾶλλον Θεοῦ θυμὸν οὐχ ὑποστῆναι δυνήσεται πᾶσα κτίσις. « Μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. » Οὐκ ἀξιῶ μὴ παιδευθῆναι· ἄξιος γὰρ ἐγὼ πάσης κολάσεως καὶ τιμωρίας· ἀλλὰ παιδεύων, « μὴ τῇ ὀργῇ σου παιδεύσῃς με. » Οἶδα λῃστὴν αἰτησάμενον B μόνον, καὶ λαβόντα εὐθέως παραδείσου τὴν εἴσοδον. Οἶδα πόρνην μετὰ δακρύων προσελθοῦσαν, καὶ τῆς συγχωρήσεως μὴ ἀποτυχοῦσαν. Οἶδα Τελώνην ἐκ βάθους στενάξαντα, καὶ δικαιωθέντα. Τούτων ἐγὼ ἀθλιώτερος. Οὐ γάρ εἰμι ὡς αὐτοί· οὐ γὰρ ἔχω δάκρυον ἐκτενὲς, οὐκ ἔχω ἐξομολόγησιν ἀληθῆ· οὐ κέκτημαι στεναγμὸν ἐκ καρδίας, οὐκ ἔχω νηστείαν εἰλικρινῆ, οὐκ ἔχω πτωχείαν πνευματικὴν, οὐκ ἔχω διηνεκῆ προσευχὴν, ἀγάπην πρὸς τὸν πλησίον οὐκ ἐφύλαξα, συμπάθειαν οὐκ ἔχω ἵνα συμπαθείας ἀξιωθῶ, κατάνυξιν οὐκ ἔχω, ἵνα συγχωρηθῶ, σωφροσύνην οὐκ ἔχω οὐδὲ καθαρότητα λογισμῶν. Ποίῳ λοιπὸν προσώπῳ, ποίᾳ παῤῥησίᾳ αἰτήσω συγχώρησιν; Πολλάκις σοι, Δέσποτα, μετανοεῖν συνεταξάμην, καὶ ψεύστης τῆς ὑποσχήσεως ἐγενόμην. Πολ- C λάκις ἐν ἐκκλησίᾳ σοι προσπίπτω, καὶ εὐθέως ἐξερχόμενος ἐν ἀνομίαις ἐμπίπτω. Πολλάκις με ἠλέησας, ἐγὼ δέ σε ἠθέτησα· πολλάκις ἐμακροθύμησας εἰς ἐμὲ περιμένων μου τὴν μετάνοιαν, ἀλλ' ἐγὼ οὐ μετενόησα. Πολλάκις με ἀνέστησας, καὶ πάλιν ἐγὼ ῥᾳθυμήσας κατέπεσον. Ποσάκις μου εἰσήκουσας, ἐγὼ δέ σου παρήκουσα; Ποσάκις μοι συνέγνως· ἐγὼ δέ σοι οὐδέποτε ἀθεράπευσα; Ποσάκις με ἁμαρτάνοντα οὐκ ἀπεστράφης, ἀλλ' ὡς πατὴρ τὰς ἀγκάλας ἐφαπλώσας; Ἐπιστράφηθι, ἔφης, μὴ φοβοῦ. Ἔπεσες; Στῆθι. Φεύγων ἀπεμακρύνθης, πάλιν ἐλθέ. Οὐκ ἀποστρέφομαί σε, οὐκ ὀνειδίζω, οὐ βδελύσσομαι τὸ ἐμὸν πλάσμα, οὐ κλείω τὰ σπλάγχνα πρὸς τὸ ἐμὸν τέκνον, οὐ γὰρ δύναμαι μισῆσαι, D ὃν ταῖς χερσὶ ταῖς ἐμαῖς διέπλασα· ὑπὲρ οὗ ἐμαυτὸν ἐταπείνωσα· ὑπὲρ οὗ τὸ ἐμὸν ἐξέχεα αἷμα. Ἐγὼ δὲ τὴν ἀκοὴν βαρύνας, οὐ προσέσχον, οὐδὲ ἐπεστράφην. Ὡς ἔμφυτον οὖν ἔχων τῆς φιλανθρωπίας τὴν ἄβυσσον, καὶ τῆς μακροθυμίας τὸ πέλαγος, « Μή με τῷ θυμῷ σου ἐλέγξῃς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς. » Ἀλλ' ἔτι μακροθύμησον ἐπ' ἐμοί. Μὴ σπεύσῃς τῆς ζωῆς πρὸ καιροῦ ἐκθερίσαι με· μὴ σπεύσῃς ἐκκόψαι με πρὸ ἐξομολογήσεως, ἐγκαλῶν μοι τὸ ἄκαρπον· ἀλλ' ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, χάρισαί μοι πρὸς μετάνοιαν καὶ τοῦτο τὸ ἔτος. Μὴ ἁρπάσῃς με ἀνέτοιμον ἔτι ὄντα, καὶ τὴν τῶν ἀρετῶν λαμπάδα μήπω λαβόντα, μηδὲ προετοι-

[78] Luc. XXIII, 43. [79] Luc. VII, 37. [80] Luc. XVIII, 10.

μάσαντα τὸ ἔλαιον, τὴν τροφὴν τοῦ φωτός. Μὴ λάβῃς με γάμου μὴ ἔχοντα ἔνδυμα, μηδὲ πρὸς καρποφορίαν προσενεγκεῖν σοί τι ἔχοντα· ἀλλὰ φιλανθρωπεύθητι, ἀλλὰ τῆς χρηστότητός σου τὸν πλοῦτον ἐπίδειξον, ἀλλὰ μακροθύμησον ἔτι μοι [1], τῷ ἀμελεῖ, τῷ ἁμαρτωλῷ, τῷ ἀσώτῳ, [τῷ] ἀγνώμονι, τῷ ἀσπλάγχνῳ, τῷ ταλαιπώρῳ, τῷ ἀναξίῳ φιλανθρωπίας, καὶ πάσης τιμωρίας ἀξίῳ.

« Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι. » Ἀσθενεῖ μου ἡ γνώμη, ἀσθενεῖ μου ὁ λογισμός. Ἐξέλιπεν ἡ ζωή μου. « Ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι μου, » καὶ τὸ τέλος ἐγγίζον. Ἀλλ' ἔκτεινόν μοι χεῖρα, βυθῷ χειμαζομένῳ τῷ τῶν ἁμαρτιῶν. Ἄνοιξον κἀμοί, Δέσποτα, τὴν θύραν τοῦ ἐλέους σου. Ἄνοιξον κρούοντι ἀναξίως, καὶ μὴ κλείσῃς αὐτὴν ἀπ' ἐμοῦ. Ἐὰν γὰρ σὺ κλείσῃς, τίς ἀνοίξει; Ἐὰν σὺ μὴ σπεύσῃς, τίς λοιπὸν βοηθήσει; Αὐτὸς ὡς φύσει φιλάνθρωπος, δὸς καιρὸν μετανοίας, δὸς ἐπιστροφῆς λογισμόν. Ὅσα ἂν ἐγὼ ποιήσω, ἀδύνατα καὶ εὐκατάλυτα μένουσιν. Εἰς ὅσα ἂν ἐπιχειρήσω, ἄπρακτα καὶ ἀτελῆ γίνονται. Μὴ ἀναβάλλῃς, Δέσποτα, τὴν ἀκοήν, ἀλλὰ σώζων τὸ πλάσμα σου πρόφθασον. Σὺ εἶπας, ὅτι « Οὐ δύνασθε χωρὶς ἐμοῦ ποιεῖν οὐδέν. » Πρόλαβε τῇ ἐπιστροφῇ τῆς ψυχῆς μου τῆς παροδικῆς ζωῆς τὸν χρόνον. Ὑπὸ τῆς φύσεως τυραννοῦμαι, ὑπὸ τῆς κακῆς προαιρέσεως ἐκβιάζομαι, ὑπὸ τῆς πονηρᾶς ἀναγκάζομαι συνηθείας· διὸ « Ἐλέησόν με, ὅτι ἀσθενής εἰμι. » Ἐκνευρίσας γάρ με ὁ ἐχθρός μου, ἀσθενῆ καὶ τεταπεινωμένον ἐποίησεν. Ὁ ἀσθενὴς ἰάσασθαι οὐ δύναται ἑαυτόν· ὁ συντετριμμένος, βοηθῆσαι ἑαυτῷ ἐν ἰσχύει· ὁ πεπτωκώς, οὐκ ἀνίστησιν ἑαυτόν. « Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι. » Ὁ ἀσθενῶν οὐ δύναται ἐργάσασθαι· ὁ κάμνων πάσης ἐνεργείας ἀπείργεται. « Ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου. » Ἐταράχθη καὶ συντρίβη μου τὰ ὀστᾶ τῆς ψυχῆς· ὁ δὲ τὰ ὀστᾶ ἔχων συντετριμμένα, οὐ δύναται ἀναστὰς ἐπιζητῆσαι ἰατρόν· οὐ δύναται δραμεῖν, καὶ ῥυσθῆναι τῶν ἐχθρῶν. Λοιπόν, « Σὺ ζήτησον, Δέσποτα, ὁ ἐλθὼν ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός. » Σὺ πάλιν ἐλθὲ πρὸς ἐμὲ τὸν περιπεσόντα λῃσταῖς, καὶ οὐχ ἡμιθανῆ, ἀλλὰ νεκρὸν ὅλον πεποιηκόσιν. « Ἴασαί με, Κύριε, καὶ ἰαθήσομαι. » Ἴασαί με, ὅτι ὁ πονηρὸς ὄφις, ἀσθενῆ με διέθηκεν. Ὁ ἀσθενὴς ὅλως ἔρριπται πτῶμα, ὅλος ἀργεῖ, μόνον τῇ φωνῇ καλεῖ τὸν ἰατρόν, μόνον βοᾷ, καὶ τὸν ῥύομενον ζητεῖ. Μόνον τοὺς ὀφθαλμοὺς αἴρει, καὶ πότε ἥξει περισκοπεῖ, καὶ ἐπισκέψεται αὐτόν, ὁ τοὺς συντετριμμένους δεσμεύων, καὶ ἀνορθῶν τοὺς κατερραγμένους, καὶ σώζων τοὺς κατεγνωσμένους.

Μαρτύρει μου τῷ λόγῳ τῆς μετανοίας, καὶ ὁ ἐπὶ τοῦ Δεσποτικοῦ σταυροῦ λῃστής, ῥήματι μόνῳ τὸν παράδεισον μισθὸν λαβὼν ἄξιον τῆς πρὸς τὸν Δεσπότην εὐγνωμοσύνης. Μαρτυρήσει καὶ ἕτερος λῃστὴς κατὰ τοὺς χρόνους Μαυρικίου τοῦ εὐσεβοῦς βασιλέως γεγονὼς, ὡς μυρίους ἐργαζόμενος φόνους, ὡς σχεδὸν καὶ τὰς κατὰ τὴν Θράκην ἀβάτους ποιεῖν ὁδούς. Ἐπεὶ ἐν γὰρ τῶν ταύτης ὀρέων οἰκῶν, τοὺς παριόντας ἐλῄστευσε. Διά τινος (οὖν) τῶν οἰκείων τῷ βασιλεῖ ἐπὶ τοῦτο αὐτὸ ἐξαποσταλέντος, τὰ λῃστρικὰ B ὅπλα ῥίψας πεισθείς, καὶ ἐλθεῖν πρὸς αὐτὸν, ἐπὶ καὶ εἰς ὄψιν ἦλθε τοῦ βασιλέως, φιλανθρωπίας ἔτυχε ἅμα καὶ δεξιώσεως παρ' αὐτοῦ. Ἡμερῶν ὀλίγων αὐτῷ χρόνος ἀναμετρεῖται τρυφῶν τινὰς βασιλικὰς δωρεάς· καὶ δὴ νόσῳ περιπεσὼν χαλεπῇ τῷ τοῦ Σαμψὼν ἀνακλίνεται Ἰατρείῳ. Εἶτα ὡς εἶδεν ἑαυτὸν ὑπὸ τῆς περιεχούσης ἀῤῥωστίας κατατεινόμενον, θάνατον τῇ σφοδρότητι ἀπειλούσης, καὶ ἔξοδον τῆς παρούσης ζωῆς, εὐθὺς τρέπεται πρὸς μετάνοιαν· καὶ θερμοῖς τοῖς δάκρυσιν ἀρξάμενος ἐξομολογεῖσθαι, συγχώρησιν τῶν αὐτῷ πεπραγμένων ᾐτεῖτο, τοιαῦτα πρὸς τὸν Θεὸν ἐντυγχάνων, καὶ λέγων· « Οὐ ζητῶ, Δέσποτα, ἀλλότριον ὧν οὐκ οἶδας ποιεῖν. Ὡς τὸν πρὸ ἐμοῦ λῃστὴν δι' ἐξομολογήσεως ἔσωσας, οὕτω κἀμὲ σῶσαι, σπλαγχνίσθητι, δεξάμενος τὸν εἰς αὐτὴν τὴν ἔξοδον C ποιούμενον κλαυθμόν. Ὡς τοῖς περὶ τὴν ἑνδεκάτην ὥραν συνέγνως μηδὲν ἄξιον ἐργασαμένοις, οὕτω κἀμοὶ σύγνωθι τῷ πολλά σοι καὶ ἁμετρα ἐπταικότι· μόνα ἔχων εἰς παράκλησιν τῆς σῆς ἐμφύτου φιλανθρωπίας, τὰ ἐπιχεόμενά μοι ταῦτα ὀλίγα καὶ πικρὰ δάκρυα. Οὐδὲ γὰρ ἄλλο τι πλέον ποιεῖν οἱ ἀπαιτοῦντες τὴν ψυχὴν συγχωροῦσιν. Ἀλλὰ μὴ ἀνάνευσῃς τὴν χάριν, μηδὲ ἀναβάλλῃς σου τὴν χρηστότητα, ἣν ἀεὶ ἐπιδείκνυσαι πρὸς τοὺς τὰ ὅμοια ἐμοὶ ἐπταικότας ἁμαρτωλούς. Πρὸς ἑσπέραν ἤδη κατελήφθην ὑπὸ τῶν πολλῶν μου ἀνομιῶν. Μὴ οὖν ἀποστραφῇς με, τὸν ἐκ ψυχῆς σοι μετανοοῦντα, ἀλλ' ὡς προσεδέξω Πέτρον πικρῶς σοι κλαύσαντα, οὕτω κἀμὲ πρόσδεξαι, μετὰ τῆς ὁμοίας ἐκείνῳ γνώμης· τὸν φιλάνθρωπόν σε Θεὸν ἱκετεύοντα, ἐπιβάλλων τῷ σπόγγῳ τῆς D σῆς εὐσπλαγχνίας πρὸς ἐξάλειψιν παντελῆ τῶν πολλῶν μου ἁμαρτιῶν. »

NOTÆ.

(32) Apud Canisium legitur vox ἐκσπηλευτῶν, ἐγγισάντων. Hanc vocem Latinam facere noluit Turrianus : divinandam judicat Combefisius; ideoque ex codice Regio reponit : Οἱ ἀπαιτοῦντες τὴν ψυχὴν συγχωροῦσι, *Neque enim qui animam exigunt aliquid amplius præstare permittunt.* Videturque ipsi, auctorem alludere ad feras in lustris ac cavernis latitantes, quas inde canes extrudant. Sed retineri debet vox ἐκσπηλευτῆς, nec immutari debet lectio Canisii, quæ legitimum reddit sensum; verbum enim illud *compulsorem* significat. Sic Justinianus in novella 128, cap. 6 : Εἰ δὲ ἀνεπιτήδειος εὑρέθη Κανονικάριος μὴ ἐκσπηλευτὴς πεμπέσθω. Erant autem compulsores ii qui publicis functionibus vel fiscalibus oneribus obnoxios solvere cogebant. Alludit igitur Anastasius ad principum ministros potius quam ad canes, qui feras latitantes in antris extrudunt. Adveniunt angeli a Deo missi qui animam sibi debitam repetant, nec debitorem differre patiantur. Sic igitur reddi debet ille locus accuratissimus apud Canisium : nec *aliud sinit hora, appropinquantibus me compulsoribus.* Basn.

Ταῦτα καὶ πλείονα τούτων ταῖς ἐξοδίαις ὥραις ὁ ληστὴς ἐξομολογούμενος, καὶ τὰ δάκρυα οἷς ἱλεούμενος τὸν Θεὸν, ἑαυτὸν περιέῤῥει, τῷ τῆς ἑαυτοῦ κεφαλῆς περικαλύμματι ἀπομάσσων, παρέδωκε τὸ πνεῦμα· ὡς ὕστερον παρὰ τῶν συμπαρακειμένων αὐτῷ, ἀκριβῶς ὁ τοιοῦτος θάνατος διεγνώσθη. Ὁ δὲ φιλάνθρωπος Θεὸς καὶ Σωτὴρ τοῦ γένους ἡμῶν, κηδόμενος τῶν εἰς βάθος ἐλθόντων κακῶν, καὶ ἀπογινωσκόντων τὴν ἑαυτῶν σωτηρίαν, ὡς ἂν ἔχειν ἀκούοντες, καὶ ἀπὸ τῆς τελευτῆς τοῦ ληστοῦ ὠφελεῖσθαι, καὶ τὴν ἐπιστροφὴν μὴ ἀπογινώσκειν, ἰατρόν τινα εὐλαβείᾳ συζῶντα ἰδεῖν οἰκονομεῖ, κατὰ τοὺς ὕπνους ἐν ἐκείνῃ τῇ νυκτὶ καθ' ἣν καὶ ὁ ληστὴς ἐτελεύτησεν, Αἰθίοπας ἐλθόντας πρὸς αὐτὸν, καὶ οἷς ἐπεφέροντο χάρταις ἐγγράφοις, τὰ αὐτῷ ἡμαρτημένα πάντα ἐπιδεικνύοντας. Εἰδίδου δὲ τῷ ταῦτα θεωροῦντι τὸ ὄναρ, καὶ δύο τινὰς φωτοειδεῖς ἄνδρας ὁρᾷν, πρὸς οὓς καὶ τοὺς Αἰθίοπας ἐκείνους, τοὺς ἐπιφερομένους χάρτας ἐπιδεικνῦναι, καὶ βούλεσθαι μεθ' ἑαυτῶν λαμβάνειν τὸν ληστήν· τοὺς δὲ φωτεινοὺς ἄνδρας τῶν ἄλλων ἀποροῦντας, ζητεῖν ἐν ᾗ κατέκειτο κλίνῃ, εἴ πως εὕρωσί τι καὶ αὐτοὶ, πρὸς τὴν τῶν Αἰθιόπων ἀποτροπήν· οἳ καὶ εὑρόντες τὸ τῆς κεφαλῆς τοῦ ληστοῦ περικάλυμμα πλῆρες ὂν δακρύων ὧν ἐξέχεε μετανοῶν ἐν τῷ μέλλειν αὐτὸν τελευτᾷν, τοῦτο καὶ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ βαλόντες εἰς τὴν μίαν πλάστιγγα τῆς τρυτάνης· ἣ καὶ διὰ τὸ μηδὲν ἔχειν εἰς τὸ ἀντισταθμίζεσθαι, καὶ τοῖς τιθεμένοις βαρύνεσθαι, ἐφ' ὕφους ἦρετο καὶ ἀνεκουφίζετο· καὶ γὰρ τὴν ἑτέραν οἱ Αἰθίοπες τοῖς ἐγγράφοις εἶχον πεπληρωμένην καὶ καθελκομένην εἰς ἔδαφος· « Νικᾷ ἡ φιλανθρωπία τοῦ Θεοῦ, » ἐν μεγάλῃ φωνῇ ἐξεβόησαν· καὶ εὐθὺς οἱ μὲν Αἰθίοπες κατηχουμένοι ὑπέστρεφον· οἱ δὲ τοῦ φωτὸς ἄγγελοι λαβόντες τὴν ψυχὴν τοῦ ληστοῦ, εἰς οὐρανοὺς μεθ' ἑαυτῶν συνανήγαγον.

Hæc ac iis plura confitens latro hora exitus, ac lacrymas, quibus se ipse Deum placans perfundebat, capitis linteo abstergens, efflavit animam, ut postmodum per eos qui vicini eodem decumbebant loco, accuratius cognitum est. Clemens autem Deus ac Salvator humani generis, eorum curam agens qui venerunt in peccatorum profundum, ac suæ salutis abjiciunt spem, quo, ex latronis morte audientes commodum reportent, nec desperent de conversione, piis quemdam moribus medicum, ipsa nocte qua latro decessit, in somnis videre facit venientes ad eum Æthiopes, ac chartis, quas scriptas inferebant, ejus scelera omnia ostentantes. Videbat quoque horum spectator per somnium, duos quosdam viros lucidos, eisque præfatos Æthiopes illatas proferentes chartas ac contendentes, ut latronem secum abriperent : illos vero viros, inquam, luce splendidos, cum alia deessent, quærentes in lecto, quo is jacebat, num et ipsi aliquid fugandæ turbæ illi Æthiopum invenire possent : cumque ii latronis illud capitis linteum lacrymis adhuc, quas pœnitens in mortis procinctu effudisset, plenum invenissent, in unam stateræ lancem, ac simul Dei mittentes clementiam ; quæ quidem lanx, quod nihil esset quod ex adverso pondere gravaret, altera illatis per Æthiopes scriptis plena, ac in solum depressa, in sublime levis sublata erat : magna exclamarunt voce : « Vincit Dei clementia ; » mox autem Æthiopes quidem confusi abierunt; lucis vero angeli, acceptam latronis animam in cœlos secum collegerunt.

Ταῦτα ὁ εἰρημένος ἰατρὸς ὄναρ ἰδὼν, εὐθέως ἀναστὰς ὡς εἶχε τάχους ἔρχεται εἰς τὸ νοσοκομεῖον· καὶ προσεγγίσας τῇ κλίνῃ τοῦ ληστοῦ, αὐτὸν μὲν εὑρίσκει ἤδη ἐκπνεύσαντα· τὸ δὲ περικάλυμμα παρὰ τὴν κλίνην ὁρᾷ κείμενον διάβροχον ὅλον ἐκ τῶν δακρύων· καὶ δὴ μαθὼν παρὰ τῶν πλησίον κατακειμένων ἀσθενῶν τοῦ θανάτου τὸν τρόπον, τὴν μετάνοιαν, αὐτὰ τὰ ῥήματα ἃ πρὸς Θεὸν ἐξομολογούμενος ἔλεγεν, ἅπεισι πρὸς τὸν εὐσεβῆ καὶ πιστότατον βασιλέα, ἔχων ἐπὶ χεῖρας τὸ περικλυσθὲν κεφαλόδεσμον τῆς μετανοίας τοῖς δάκρυσι· καὶ ἐπιδεικνὺς αὐτῷ τὸ ἐπιφερόμενον, καὶ διηγούμενος ἅπερ κατὰ τοὺς ὕπνους ἐθεάσατο, καὶ ἅπερ μαθεῖν ἴσχυσεν, « Εὐχαριστοῦμεν τῷ Θεῷ, λέγων, εὐσεβέστατε βασιλεῦ, ὅτι ἀκούοντες ληστὴν σωθέντα δι' ἐξομολογήσεως ἐπὶ τοῦ σταυροῦ παρὰ τοῦ οὐρανίου βασιλέως, νῦν εἴδομεν ἐπὶ σοῦ τοῦ ἐπιγείου βασιλέως, ληστὴν ἕτερον σεσωσμένον δι' ἐξομολογήσεως ἴσης καὶ μετανοίας. »

Ubi porro præfatus medicus hæc in somnis vidisset, surgens statim, quam cito potuit, ad domum eam infirmorum venit : propiusque ad latronis accedens lectum, ipsum quidem jam animam exhalasse invenit. Videt vero in lecto sudarium totum lacrymis madidum ; cumque a simul e propinquo decumbentibus infirmis, ejus mortis intellexisset modum, pœnitentiamque, ac ipsa verba quæ confessione ad Deum prolocutus esset, abit statim ad pientissimum ac Christianissimum imperatorem, udum undique pœnitentiæ lacrymis ferens manibus capitis illud sudarium : ostentansque ipsum, ac quæ vidisset in somnis, quæque discere potuisset, narrans : « Gratias, inquit, pientissime imperator, agamus Deo, quod latronem audientes, a cœlesti Rege in cruce per confessionem consecutum salutem ; alium nihilominus latronem, tuis modo terreni imperatoris temporibus, æquali exhibita confessione ac pœnitentia, salutem item adeptum videamus. »

Ταῦτα μὴ μόνον ἀκούωμεν ἁπλῶς, ἀγαπητοὶ, ἀλλὰ καὶ πιστεύωμεν ἀληθῆ εἶναι· μᾶλλον δὲ μὴ μόνον ἀκούωμεν, ἀλλὰ καὶ προπαρασκευαζώμεθα πρὶν ἐπιστῇ τὸ τέλος, προφθάνοντες τὸ πρόσωπον τοῦ Θεοῦ δι' ἐπιστροφῆς καὶ ἀληθοῦς μετανοίας· δι'

Nedum hæc, charissimi, simpliciter audiamus, verum etiam vera esse credamus ; quinimo nedum audiamus, verum etiam mature, priusquam finis instet, præparemur, præoccupantes faciem Domini per conversionem ac veram pœnitentiam :

per confessionem a contrito profectam corde; per gemitus ex imo submissos; per lacrymas jugiter manantes ab oculis; per eleemosynam large in pauperes cum pietate exhibitam; per vitam virtutibus ornatam, religiosamque ac accuratam conversationem. Operæ enim pretium est, ut præparemur, necessariumque ad illud iter commeatum comparemus; nec dicamus fore ut tunc pœnitentiam agamus, cum ab hac vita migrandum habebimus. Quippe incertum est num vel suprema verba ad domesticos loqui poterimus, celerius rapiente qui compellat animam e corpore egredi. Quam multi, putas, de repente abrepti, nec lacrymas fundere potuerunt, nec de rebus propriis testamento quidquam statuere? Quis vero spopondit, aut certiorem fecit, fore ut omnino tunc pœnitens veniam consequaris? utve qualem latro pœnitentiam exhibeas, tantasque lacrymas in promptu habeas, quantas obtulit ille? Quare ne coactam ejusmodi pœnitentiam, quæ in morte est, exspectemus, incertum enim est, num et ejus simus futuri domini; quinimo, quandiu vita superat, quandiu stadium propositum est quandiu adhuc licet vivere, quandiu necdum abscissio imminet, mature Judicem, in quem nulla personarum acceptio cadat, placemus: ut et vita hac, ejus in nos opem attrahamus, inque futura, blande in nos intuentem inveniamus, ac repromissum regnum cum sanctis omnibus nobis largientem: quippe quem deceat gloria, una cum Patre ac Spiritu sancto, in infinita sæculorum sæcula. Amen.

A ἐξομολογήσεως ἀπὸ συντετριμμένης καρδίας κατασκευαζομένης· διὰ στεναγμῶν ἐκ βάθους ἀναπεμπομένων· διὰ δακρύων ἐξ ὀφθαλμῶν ἀεννάως προχεομένων· δι' ἐλεημοσύνης μετὰ δαψιλείας σὺν εὐσεβείᾳ πρὸς τοὺς πένητας ἐπιδεικνυμένης· δι' ἐναρέτου ζωῆς καὶ πολιτείας θεοφιλοῦς καὶ βίου ἠκριβωμένου. Καλὸν γὰρ τὸ προευτρεπίζεσθαι, καὶ προετοιμάζειν τὰ τῆς ἐντεῦθεν ἀποδημίας ἐφόδια· καὶ μὴ λέγωμεν ὅτι τότε μετανοήσομεν, ὅτε μέλλομεν ἐξιέναι τοῦ βίου. Ἄδηλον γὰρ εἰ πρὸς τοὺς οἰκείους ἡμῶν κἂν τὰ τελευταῖα ἰσχύσομεν ἐπιφθέγξασθαι ῥήματα ὑπὸ τοῦ κατεπείγοντος προαρπαζόμενοι. Πόσοι, εἰπέ μοι, ἐξαίφνης γεγονότες ἀνάρπαστοι, οὔτε δακρύσαι, οὔτε διαθέσθαι τι τῶν καθ' ἑαυτοὺς ἠδυνήθησαν; Τίς δὲ καὶ ἐγγυώμενος, ἢ βεβαιῶν, ὅτι B ὅλως τότε μετανοήσας συγχωρηθήσῃ; ἢ τὴν ὁμοίαν τῷ λῃστῇ μετάνοιαν ἐπιδείξῃ, ἢ τοσαῦτα δάκρυα ἕξεις, ὅσα ἐκεῖνος προσήγαγε; Διὸ μὴ περιμένωμεν τὴν ἐν τῷ θανάτῳ κατηναγκασμένην μετάνοιαν· ἄδηλον γὰρ εἰ καὶ τῆς τοιαύτης γενώμεθα κύριοι· ἀλλ' ἕως ὁ βίος ἔστι, ἕως τὸ στάδιον πρόκειται, ἕως ἔτι τὸ ζῆν ἔχομεν, ἕως οὐκ ἐφίσταται ἡ τομή, προφθάσωμεν ἐξιλεούμενοι τὸν ἀπροσωπόληπτον Δικαστήν· ἵνα καὶ ἐνταῦθα τὴν παρ' αὐτοῦ ῥοπὴν ἐπισπασώμεθα, καὶ κατὰ τὴν μέλλουσαν ζωὴν, εὕροιμεν αὐτὸν εὐμενὲς ἡμῖν ἐπιβλέποντα, καὶ τῆς ἐπηγγελμένης βασιλείας καταξιοῦντα μετὰ πάντων τῶν ἁγίων· ὅτι αὐτῷ πρέπει ἡ δόξα, ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν. C

ΑΝΑΣΤΑΣΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΑΝΤΙΟΧΕΙΑΣ

ΕΚ ΤΟΥ *ΚΑΤ' ΕΙΚΟΝΑ* (1).

ANASTASII PATRIARCHÆ ANTIOCHENI

E SERMONE: *SECUNDUM IMAGINEM*, FRAGMENTUM.

(Ang. Mai, *Script. Veter. Nov. Collectio*, t. IX, 619.)

Non unam tantum imaginem ac similitudinem (Dei) in se habet (homo), sed et alteram quoque, et tertiam, et quartam, adhuc et quintam: in se scilicet, velut in speculo quodam aut in pictura, non quidem typica, sed naturali, trinæ Divinitatis mysterium repræsentans; neque illud solum, sed etiam unius e sancta Trinitate incarnationem dilu- D

Οὐ μίαν τινὰ εἰκόνα καὶ ὁμοίωσιν κέκτηται, ἀλλὰ καὶ δευτέραν, καὶ τρίτην, καὶ τετάρτην, καὶ πέμπτην· ἐξεικονίζων ὥσπερ ἐν ἐσόπτρῳ τινὶ καὶ ἀκιαγραφίᾳ φυσικῇ, οὐ τυπικῇ, τῆς τρισυποστάτου Θεότητος τὸ μυστήριον· οὐ μόνον, ἀλλὰ καὶ τὴν ἐνανθρώπησιν τοῦ ἑνὸς τῆς αὐτῆς Τριάδος Θεοῦ Λόγου, σαφῶς προδιαγράφων· καὶ τάχα κατ' εἰκόνα

NOTÆ.

(1) Gulielmus Caveus in *Hist. litt.* tit. Anastasii, ita scribit: « Inter codices Baroccianos in biblioth. Bodleiana, cod. 197, fol. 263, habetur Sermo Anastasii patriarchæ Antiocheni Περὶ τοῦ κατ' εἰκόνα, id est, ut arbitror, *De illo*: *Quod homo ad imaginem Dei conditus sit.* Incipit Ἀλλά γε δεῖ ἐπὶ τὸ, etc. » Hujus ergo sermonis, seu Opusculi, nos Fragmentum ex Vaticano codice nunc divulgamus.

μέν ἐστι γυμνὴ ἡ ψυχὴ, τῆς γυμνῆς θεότητος · καθ' ὁμοίωσιν δὲ τῆς τοῦ Λόγου σαρκώσεως, τὸ σύνθετον ἡμῶν τῆς ψυχῆς καὶ τοῦ σώματος. Μᾶλλον δὲ πάλιν ἐπ' αὐτὴν τοῦ λόγου τὴν ἀρχὴν ἀναδράμωμεν · ἐκεῖθεν ὥσπερ ἔκ τινος πηγῆς πρῶτον ζητοῦντες, τὸ, τί δήποτε μὴ καθ' ὁμοιότητα τῶν λοιπῶν λογικῶν, ἤγουν τῶν ἀγγέλων, ἢ πάλιν κατ' ἰσότητα τῶν ἐμψύχων ζώων ὁμοιοτρόπως τὰς προπατορικὰς καὶ κορυφαίας ἡμῶν ὁ Θεὸς ὑποστάσεις, τοῦ Ἀδὰμ, λέγω, καὶ τῆς Εὔας, καὶ τοῦ προελθόντος ἐξ αὐτῶν υἱοῦ, πεποίηκεν · ἀλλὰ τὸν μὲν Ἀδὰμ, ἀναιτίως καὶ ἀγεννήτως ὑπέστησε · τὸν δὲ δεύτερον αὐτοῦ ἄνθρωπον, τὸν υἱὸν, γεννητόν · τὴν δὲ Εὔαν, οὔτε γεννητῶς, οὔτε πάλιν ἀναιτίως, ἀλλὰ ληπτῶς ἤτοι ἐκπορευτῶς, ἐκ τῆς οὐσίας τοῦ ἀναιτίου Ἀδὰμ ἐξελθοῦσαν ἀῤῥήτως οὐσίωσεν · καὶ μήπως ἄρα αἱ τρεῖς αὗται τῶν προγόνων κεφαλαὶ, πάσης τῆς ἀνθρωπότητος ὁμοούσιοι ὑποστάσεις, κατ' εἰκόνα τινὰ, ὡς καὶ Μεθοδίῳ δοκεῖ, τυπικῶς γέγοναν τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος · τοῦ μὲν ἀναιτίου καὶ ἀγεννήτου Ἀδὰμ, τύπον καὶ εἰκόνα ἔχοντος, τοῦ ἀναιτίου καὶ πάντων αἰτίου παντοκράτορος Θεοῦ καὶ Πατρός · τοῦ δὲ γεννητοῦ αὐτοῦ υἱοῦ, εἰκόνα προδιαγράφοντος τοῦ γεννητοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ · τῆς δὲ ἐκπορευτῆς Εὔας, σημαινούσης τὴν τοῦ ἁγίου Πνεύματος ἐκπορευτὴν ὑπόστασιν. Διὸ οὐδὲ ἐνεφύσησεν αὐτῇ ὁ Θεὸς πνοὴν ζωῆς, διὰ τὸ τύπον αὐτὴν εἶναι τῆς τοῦ ἁγίου Πνεύματος πνοῆς καὶ ζωῆς · καὶ διὰ τὸ μέλλειν αὐτὴν δι' ἁγίου Πνεύματος δέξασθαι Θεὸν, τὸν ὄντως ὄντα πάντων πνοὴν καὶ ζωήν. Ὅθεν καὶ ἔστιν ἰδέσθαι καὶ θαυμάσαι, ὅτι ὁ μὲν ἀγέννητος Ἀδὰμ, ἄλλον ἀγέννητον ἢ ἀναίτιον ἐν ἀνθρώποις οὐκ ἔσχεν ὅμοιον · ὥσπερ οὐδὲ ἡ ἐκπορευτὴ Εὔα · ὡς τύποι ἀληθεῖς ὑπάρχοντες τοῦ ἀγεννήτου Πατρὸς, καὶ τοῦ ἁγίου Πνεύματος · ὁ δὲ γεννητὸς Υἱὸς πάντας ἀνθρώπους, γεννητοὺς υἱοὺς ὄντας, ἀδελφοὺς ὁμοίως ἔσχεν ὡς κατ' εἰκόνα καὶ ὁμοίωσιν τυπικὴν ὑπάρχων Χριστοῦ τοῦ γεννητοῦ Υἱοῦ, ὃς ἐγένετο ἄνθρωπος, πρωτότοκος ἄνευ σπορᾶς ἐν πολλοῖς ἀδελφοῖς. Εἰ δὲ μὴ οὕτω, καὶ κατὰ τοῦτο τὸ κατ' εἰκόνα ταῦτα, τί δή ποτε μὴ τέσσαρες, δύο, ἢ πλείονες ὑποστάσεις τῶν προπατόρων γέγοναν, παρηλλαγμένας ἔχουσαι τὰς ὑποστατικὰς αὐτῶν ἰδιότητας, λέγω δὴ τὸ ἀγέννητον καὶ τὸ γεννητὸν, καὶ τὸ ἐκπορευτὸν, ἀλλὰ τρεῖς καὶ μόνας; Οὐκοῦν ἔχεις τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν, τυπικὴν Τριάδα ἐν μονάδι, ἐν τρισὶν ὑποστάσεσιν.

Ἀκόλουθόν σε μαθεῖν καὶ μονάδα ἐν Τριάδι · πῶς δὲ τοῦτο καλῶς διαγνῶναι δυνήσῃ, ἄκουσόν τινος τῶν σοφῶν σοι παραινοῦντος, καὶ λέγοντος · Εἰ βούλει γνῶναι Θεὸν, προλαβὼν γνῶθι σαυτὸν, ἐκ τῆς σαυτοῦ, φησὶ, κατασκευῆς, ἐκ τῆς σαυτοῦ συνθέσεως, ἐκ τῶν ἐντὸς ἑαυτοῦ · εἴσιθι ὑποδὺς ἐν σαυτῷ · διάβλεψον ἐν ἐσόπτρῳ τινὶ ἐν τῇ ψυχῇ ἑαυτοῦ · διάκρινον τὴν ταύτης κατασκευὴν, καὶ ὄψῃ σαυτὸν κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ τυγχάνοντα. Ἀνώνυμός σου γὰρ καὶ ἄγνωστος, καὶ νοερὰ, καὶ ἀθάνατος τῆς ψυχῆς ἡ οὐσία κατ' εἰκόνα καὶ ὁμοίωσιν τυπικὴν τοῦ ἀνωνύμου καὶ ἀγνωρίστου καὶ ἀθανάτου Θεοῦ καθέστηκεν · οὔτε γὰρ Θεοῦ, οὔτε ψυχῆς

A cide præfigurans : forsan autem anima seorsim sumpta est ad imaginem meræ Divinitatis, totum vero ex anima nostra et corpore coalescens, ad similitudinem Verbi divini incarnationis. Sed potius ad sermonis principium revertamur, inde, quasi ex fonte quodam, primum inquirentes quare non ad similitudinem cæterorum spiritualium entium, seu angelorum, vel etiam ad instar animalium primarias majorum nostrorum personas Deus fecerit, Adami dico Evæque, et filii ex ipsis orti, sed Adamum quidem absque parente et ingenitum condiderit, secundum autem ab eo hominem, id est, ejus filium genitum, Evam vero neque genitam neque ingenitam, sed desumptive, sive per processionis modum, ex ipsius ingeniti Adami substan-
B tia egressam ineffabiliter finxerit; item quomodo illæ tres parentum nostrorum personæ, universæ humanitati consubstantiales, typice ad imaginem sanctæ et consubstantialis Trinitatis, ut Methodio placet, sint effectæ, Adamo siquidem ut ingenito, ingeniti et universorum Factoris, Patris omnipotentis, typum et imaginem referunt; filio autem ejus genito, Verbi divini, Filii geniti, imaginem præfigurante; procedente vero Eva, sancti Spiritus procedentem personam significante, unde animam vitæ Deus in eam non inspiravit, ut typus fieret sancti Spiritus qui anima et vita est, et quia per Spiritum sanctum esset Deum receptura, omnium vere animam et vitam. Ex quo videre est
C et mirari quod ingenitus Adamus nullum inter omnes homines sibi similem, seu ingenitum, habuerit, neque procedens Eva, eo quod essent vere typi Patris ingeniti et Spiritus sancti, filius autem genitus omnes homines sibi similes, ut genitos, habuerit et fratres, quia ad imaginem et similitudinem typicam erat Christi, Filii geniti, qui homo factus est, primogenitus sine semine in multis fratribus. Quod si ita non esset, neque eo sensu ad imaginem Dei facti essent protoparentes, cur non quatuor, aut duo, aut plures fuerunt personæ, personales singulæ et diversas habentes proprietates, ingenitum scilicet et genitum sed procedens, et tres tantum? Sic in hoc ad imaginem et similitudinem habet in tribus personis typicam Trinitatem, in unitate.

D Sequitur ut discas et unitatem in Trinitate : quod ut perspicue intelligas, audi aliquem e sapientibus tibi dicentem : Si vis Deum cognoscere, teipsum prius nosce, hoc est ex tua essentia, ex tua compositione, ex tuis interioribus; in teipsum descende; in animam tuam velut in quoddam speculum oculos fige; ejus discerne essentiam, et te ad imaginem et similitudinem Dei creatum videbis : innominata, ignota, spiritualis immortalisque animæ tuæ substantia est ad imaginem et similitudinem typicam innominati, inintelligibilis et immortalis Dei : neque enim Dei neque spiritualis animæ naturam novit unquam homo in hoc sæculo degens; quæ

corpus e quatuor elementis constans vivificat, colligit et conservat, anima est ad imaginem Dei universæ providentis creaturæ infra et supra : quapropter nescimus ubi Deus habitet, sed tantum credimus eum in omnibus esse; neque pariter scimus ubi habitet anima in corpore, novimus autem tantum eam in eo esse et agere.

A λογικῆς οὐσίαν ἔγνω τῶν ἐν αἰῶνί τις γεγενημένων ἀνθρώπων· ζωοποιὸς καὶ συστατικὴ καὶ προνοητικὴ ἡ ψυχὴ ὑπάρχει τῆς τετραστοίχου τοῦ σώματος φύσεως, κατ' εἰκόνα Θεοῦ τοῦ προνοητοῦ πάσης τῆς τετραπεράτου καὶ τῆς ἄνω κτίσεως. Διόπερ οὔτε τὸν τοῦ Θεοῦ τόπον ἔνθα κατοικεῖ, ἀλλὰ μόνον πιστεύομεν, ὅτι ἐν παντί ἐστιν· οὔτε μὴν τὸν τόπον τῆς ψυχῆς οἴδαμεν ἔνθα οἰκεῖ ἐν τῷ σώματι· ἀλλὰ μόνον ἐπιστάμεθα, ὅτι ἐν τῷ παναγίῳ σώματί ἐστι καὶ ἐνεργεῖ.

Altero etiam modo anima tua est ad imaginem Dei, siquidem diversæ est naturæ ac omnis creatura; quod vero mirabilius est, neque potest mens humana Dei exsistentiæ probationes evertere, neque magis animæ nostræ, quoquo modo ad exsistentiam venerit. Sed, age, veniamus nunc ad supremum B imaginis et similitudinis modum, ad ostendendum in anima, quod sumus polliciti, unitatem Divinitatis in Trinitate : manifestum est autem tria esse, animam scilicet, spirituale ejus verbum et mentem, quam spiritum vocat Apostolus, cum admonet ut simus sancti anima et corpore et spiritu[1]. Porro ingenita est anima nostra in typum ingeniti Dei et Patris; non autem ingenitum ejus spirituale verbum, sed ab ea genitum ineffabiliter, invisibiliter, inenarrabiliter, sine labore, in typum geniti Filii; mens vero neque ingenita, neque genita, sed procedens, omnia discurrens, omnia scrutans, invisibiliter considerans, ad imaginem et similitudinem sanctissimi et procedentis Spiritus, de quo dicitur quod omnia scrutatur, etiam profunda Dei[2]. Non C est procedens anima usquedum est in corpore, alioquin, si procederet, in momento moreremur; non est ingenitum verbum nostrum, alioquin stupidi et bruti essemus; quod autem est quam maxime mirabile, animam quidem simplicem habemus, mentem quoque unam et inconcretam, verbum vero duplex, duplicem habens generationem, licet unum et indivisum maneat : generatur enim verbum in corde, incomprehensibili et incorporea generatione, intus quoque manet invisibile; denuo autem corporaliter per labia generatur et omnibus manifestum fit; nec tamen a generante anima recedit, ut ex duplici verbi nostri generatione, pro quadam imagine et similitudine, duplicem Verbi divini generationem cognosceremus, qui invisibiliter et ineffabiliter a Patre est genitus ante sæcula et in Patre, quasi in anima latenter manet, donec ex sancta Virgine, velut ex corde quodam, incorruptibiliter et absque dolore, secundum carnem nasceretur et nobis corporaliter ex altera generatione appareret.

Ἔχει σου καὶ ἕτερον κατ' εἰκόνα Θεοῦ ἡ ψυχή· λέγω δὴ τὸ ἑτεροούσιον αὐτὴν εἶναι πάσης κτιστῆς φύσεως· τὸ δὲ πάντων παραδοξότερον τοῦ ἐν ἡμῖν κατ' εἰκόνα, ἐκεῖνό ἐστιν, ὅτι οὔτε τῆς τοῦ Θεοῦ ὑπάρξεως τοὺς λόγους, ἀνθρώπινος νοῦς κατασβέσαι δύναται, οὔτε τῆς ψυχικῆς ἡμῶν οὐσίας, πῶς εἰς ὕπαρξιν πέφυκέ τε καὶ παραγίνεται. Ἀλλ' ἄγε δὴ ἐπ' αὐτὸ τὸ κυριώτατον τοῦ κατ' εἰκόνα καὶ ὁμοίωσιν ἔλθωμεν, ὅπως κατὰ τὰς ὑποσχέσεις δείξωμεν τὸ μοναδικὸν τῆς ἐν Τριάδι θεότητος· ποῖον δέ ἐστι τοῦτο, εὔδηλον ὅτι ἡ ἡμετέρα πάλιν ψυχή, καὶ ὁ ταύτης νοερὸς λόγος, καὶ ὁ νοῦς· ὄντινα ὁ Ἀπόστολος πνεῦμα προσηγόρευσεν, ὅτε διακελεύεται ἁγίους ἡμᾶς εἶναι τῇ ψυχῇ καὶ τῷ σώματι καὶ τῷ πνεύματι. Ἀγέννητος μὲν γὰρ πάλιν ἐστὶν ἡ ψυχὴ καὶ ἀναίτιος εἰς τύπον τοῦ ἀγεννήτου καὶ ἀναιτίου Θεοῦ καὶ Πατρός· οὐκ ἀγέννητος δὲ ὁ νοερὸς αὐτῆς λόγος, ἀλλ' ἐξ αὐτῆς γεννώμενος ἀῤῥήτως καὶ ἀοράτως, ἀνερμηνεύτως καὶ ἀπαθῶς, εἰς τύπον τοῦ γεννητοῦ Υἱοῦ· ὁ δὲ νοῦς οὐδὲ ἀναίτιός ἐστιν, οὐδὲ γεννητός, ἀλλ' ἐκπορευτός, πάντη διατρέχων, καὶ τὰ πάντα διασκοπῶν· καὶ ἀοράτως ψηλαφῶν, κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ παναγίου καὶ ἐκπορευτοῦ Πνεύματος. Περὶ οὗ εἴρηται, ὅτι τὸ Πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ. Οὐκ ἔστιν ἐκπορευτὴ ἡ ψυχή, ἕως οὗ ἐστιν ἐν τῷ σώματι· ἐπεὶ εἰ ἐκπορευτὴ ἦν, ἅρα ἂν καθ' ὥραν ἀπεθνήσκομεν. Οὐκ ἔστιν ἀγέννητος ὁ λόγος ἡμῶν, ἐπεὶ ἄλογοί τινες καὶ κτηνώδεις ὑπήρχομεν· τὸ δὲ παραδοξότερον τῶν παραδόξων τούτων, ἐκεῖνό ἐστιν, ὅτι ψυχὴν μὲν ἁπλῆν τινα ἔχομεν, ὁμοίως καὶ νοῦν μοναδικὸν καὶ ἀσύνθετον, λόγον δὲ διπλοῦν, διπλῆν ἔχοντα τὸ αὐτὸ τὴν γέννησιν, καὶ ἕνα καὶ ἀμέριστον φυλαττόμενον. Γεννᾶται γὰρ ὁ λόγος ἐν τῇ καρδίᾳ, D γέννησίν τινα ἀκατάληπτον καὶ ἀσώματον· καὶ μένει ἔνδον ἀγνώριστον· καὶ γεννᾶται δευτέραν γέννησιν τὴν σωματικὴν διὰ χειλέων, καὶ τότε τοῖς πᾶσι γνωρίζεται, τῆς δὲ γεννησάσης αὐτὸν ψυχῆς οὐ χωρίζεται· ἵνα διὰ τῶν δύο τοῦ λόγου ἡμῶν γεννήσεων, σαφῶς τὰς δύο τοῦ Θεοῦ Λόγου γεννήσεις κατ' εἰκόνα τινὰ καὶ ὁμοίωσιν μάθωμεν. Γεγέννηται γὰρ ἀοράτως καὶ ἀνερμηνεύτως πρὸ τῶν αἰώνων ἐκ Πατρὸς, καὶ μένει ἄγνωστος, ὡς ἔν τινι ψυχῇ πρὸς τὸν Πατέρα· ἕως, ὥσπερ ἐκ καρδίας τινὸς, τῆς ἁγίας Παρθένου ἀφθόρως καὶ ἀπόνως γεγέννηται τὸ κατὰ σάρκα, καὶ ἐνεφανίσθη ἡμῖν σωματικῶς διὰ δευτέρας γεννήσεως.

Cernitur etiam in homine, quasi in imagine et typo, duplex vis in imaginem et typum Christi : quemadmodum enim ejus divinitas egit theandrice,

Ὁρᾶται πάλιν ὡς ἐν εἰκόνι τινὶ καὶ τύπῳ, λέγω ἐν τῷ ἀνθρώπῳ, καὶ διττή τις ἐνεργείας ἔμφασις εἰς εἰκόνα καὶ τύπον Χριστοῦ· καθάπερ γὰρ ἡ αὐτοῦ

[1] Coloss. I, 22. [2] I Cor. II, 10.

θεότης ἐνήργει, καὶ θεανδρικῶς ἐνήργει καὶ θεϊκῶς ἐν οὐρανῷ πρὸ τῆς τοῦ σώματος ἀναπλάσεως, ὡς ἀπερίγραπτος, καὶ μὴ περιγραφεῖσα ἐν τῷ σώματι, οὕτω καὶ ἡ ψυχὴ ἡ κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ ἀοράτου Θεοῦ Λόγου ὑπάρχουσα, ἐνεργεῖ μὲν καὶ ψυχανδρικῶς, τουτέστι σωματοψύχως, εἰς τύπον τοῦ θεανδρικῶς Χριστοῦ. Ἐνεργεῖ δὲ καὶ ψυχικῶς μόνον πλεῖστά τινα, μὴ συνεργοῦντος αὐτῇ τοῦ οἰκείου σώματος, εἰς τύπον τοῦ ἀοράτου Θεοῦ Λόγου, τοῦ πολλὰ ἀοράτως ἐνεργήσαντος καὶ ἐνεργοῦντος ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, διὰ τῆς ἀπεριγράπτου αὐτοῦ καὶ παγκοσμίου θεϊκῆς ἐνεργείας. Ἡ οὖν ἀγάπη ἡ περὶ Θεὸν κατὰ ψυχικὴν καὶ μόνην ἐπιτελεῖται ἐνέργειαν, οὐ χρῄζουσα ἐν τούτῳ τῆς συνεργείας τοῦ σώματος· ὁμοίως καὶ ἡ πίστις, ψυχικῆς καὶ μόνης ἐνεργείας ἐστὶν ἔνδειξις· ὡσαύτως καὶ ἡ ἐλπὶς, κατὰ ψυχικὴν καὶ μόνην ἐπιτελεῖται ἐνέργειαν· ὥσπερ καὶ ταπεινοφροσύνη, δι' ἐνεργείας ψυχῆς ἐνεργεῖται καὶ ὑφίσταται· καὶ περιληπτικῶς εἰπεῖν, πᾶσαι αἱ ἀναγκαῖαι καὶ πνευματικαὶ ἀρεταὶ ὧν ῥίζα καὶ θεμέλιός ἐστιν ἡ καθαρότης τῆς καρδίας, κατὰ τὴν νοερὰν καὶ μόνην τῆς λογικῆς ἡμῶν ψυχῆς ἐνέργειαν ἐπιτελοῦνται, οὐ χρῄζουσαι τοῦ σώματος εἰς τὴν ἑαυτῶν ἐκπλήρωσιν. Ὅθεν καὶ οἱ πηροὶ καὶ ἀσθενεῖς, καὶ ἀκίνητοι ὄντες τῇ σαρκὶ, δύνανται διὰ τῶν τοιούτων ἀρετῶν τῇ κατὰ ψυχὴν ἐνεργείᾳ εὐαρεστῆσαι τῷ Θεῷ. Καὶ ἐν τῷ ὕπνῳ δὲ μάλιστα τῷ καθ' ἡμᾶς δείκνυται τὸ διττὸν τῆς καθ' ἡμᾶς ἐνεργείας· τοῦ γὰρ σώματος ὥσπερ νενεκρωμένας καὶ σχεδὸν ἀνενεργήτους τὰς αἰσθήσεις ἔχοντος, ἡ νοερὰ καὶ λογικὴ τῆς ψυχῆς ἐνέργεια, ἀκοίμητός τε καὶ ἀσίγητος τὰ πάντα περιπολεῖ. Ἐπεὶ, πῶς καὶ χωριζομένη τοῦ σώματος ἐν τῷ θανάτῳ, συνίσταται ἡ λογικὴ ψυχὴ, εἰ μὴ διὰ τῆς νοερᾶς αὐτῆς, καὶ ζωτικῆς, καὶ ἀειζώου ἐνεργείας; Πᾶσα μὲν ἡ θεόπνευστος Γραφὴ, καὶ εὐαγγελικαὶ καὶ ἀποστολικαὶ διδασκαλίαι, ἐν οὐρανοῖς λέγουσιν εἶναι τὸν τὰ πάντα πληροῦντα Θεόν· διὸ κἀκεῖθεν καταβεβηκέναι τὸν Θεὸν Λόγον ἐγνώκαμεν, καὶ ἐν οὐρανοῖς πάλιν μετὰ σαρκὸς ἀναβεβηκέναι πιστεύομεν. Οὐκοῦν εἰ ἄνω ἐστὶ τὸ θεῖον φῶς, ὁ Πατὴρ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, καὶ ἄνω ὁ Θεὸς Λόγος τὸ ἐκ τοῦ φωτὸς φῶς, καὶ ἄνω ἐν ὑψίστοις τὸ Πνεῦμα τὸ ἅγιον, ἴσως κατ' εἰκόνα ταύτης τῆς ὑψίστου ἁγίας Τριάδος ἐν τοῖς ὑψηλοτέροις ὅλον τοῦ σώματος ἔχομεν τὸ φῶς, καὶ τὸν λόγον, καὶ τὸ πνεῦμα τῶν ῥινῶν, πλησιόχωρά τε καὶ ἐν τῷ ἅμα ἐν τῇ ἡμετέρᾳ κεφαλῇ τυγχάνοντα, κἀκεῖθεν ὡς ἐξ οὐρανοῦ τινος ὑψηλοῦ, τὸν κόσμον τοῦ σώματος διοικοῦντα καὶ φωτίζοντα τοῦτο τὸ τριαδικὸν πλήρωμα.

A agebat autem et divine in cœlis, ante corporis sui creationem, ut incircumscripta, cum non in corpore circumscriberetur, ita et anima ad imaginem et similitudinem Verbi divini facta agit psychandrice, id est cum corpore in typum Christi Dei et hominis, agit autem quoque et ut plurimum ex se sola, quin concurrat proprium corpus, in typum invisibilis Verbi Dei, quod invisibiliter multa fecit et facit in cœlo et in terra, propter suam incircumscriptam et immensam actionem divinam : charitas siquidem in Deum vi sola animæ perficitur, nec indiget corporis auxilio ; similiter et fides animæ solius vim ostendit, non secus ac spes et humilitas; et ne plura dicam, omnes necessariæ et spirituales virtutes, quarum radix et fundamentum est cordis munditia, vi solum spirituali animæ nostræ perficiuntur, non corporis auxilio pro sua perfectione egentes : ideoque trunci et infirmi et qui se corporaliter movere non possunt, per illas tamen virtutes animæ actione Deo possunt placere. In somno vero præsertim nostra se ostendit vis duplex : dum enim corpus velut mortuos et fere immobiles habeat sensus suos, spiritualis et rationalis animæ vis vigilantissima et ingenita omnia perlustrat; deinde, quomodo a corpore morte disjuncta subsisteret spiritualis et rationalis anima, nisi per suam spiritualem, vitalem et immortalem vim? Omnis quidem Scriptura divinitus inspirata, Evangeliorum et apostolorum documenta dicunt in cœlo esse Deum qui omnia replet, propterea que scimus inde descendisse Verbum Dei et iterum cum corpore ad cœlos ascendisse credimus; si igitur sursum lumen divinum, Pater noster qui est in cœlis, si sursum Verbum Dei, lumen de lumine, si sursum in altissimis Spiritus sanctus, forsan ad imaginem illius altissimæ et sanctissimæ Trinitatis omne corporis nostri lumen in altioribus habemus, verbum et spiritum narium simul congregata in capite, unde, quasi ex altissimo quodam cœlo, corporis nostri mundum regit et illuminat illud trium pleroma.

B

C

MONITUM IN SEQUENTEM SERMONEM.

(Bandin. *Anecdota Græca*, p. xvii.)

Accedit Anastasii presbyteri Sinaitæ, qui sæculo vixit vii, sermo 3 in quo declarat, quare duos sermones in illud dictum, *Ad imaginem* conscripserit; ostenditque qua de causa, atque unde initium duxerit de operationibus atque voluntatibus in Christo disputatio : deinde vero proponit, quinam recte vel secus hæc in Christo docuerint. Eruditæ antiquitatis studiosos latere minime arbitramur Anastasium Si-

(1) Operum Chrysost. tom. XIII, p. 185.

naitam, præter cætera (2) scripsisse Περὶ τοῦ κατὰ εἰκόνα, *De homine ad imaginem Dei condito.* Hujus opusculi Sermones duo priores Græce, et Latine sub ejus nomine prodierunt ad calcem Philocaliæ Origenis cura Joannis Tarini, Paris. 1618, 4. Idem Tractatus etiam inter Gregorii Nysseni opera cusus fuerat (3) cum Frontonis Ducæi versione, cum qua lucem viderat Ingolstadii anno 1596. Incipit : Οἱ τὴν ἑαυτῶν ἁπλανῶς τοῦ προσώπου (4). Auctorem certe Nysseno Juniorem vix quidquam suadeat. Videndus Tillemontius (5), qui scriptum hoc putat esse particulam majoris operis, quo difficiliora S. Scripturæ loca auctor illustrabat, quod neutiquam verisimile videtur Clariss. Jo. Alberto Fabricio *Biblioth. Græcæ* tom. IX, pag. 331. Illud certum est, ejusmodi Opus Anastasio ascribi in antiquo nostro codice pl. 7, n. 1, pag. 310, et quidem in tres Sermones divisum, quorum primus est : Ἀναστασίου πρεσβυτέρου τοῦ ἐν τῷ Σινᾷ ὄρει, περὶ τοῦ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν τῆς τοῦ ἀνθρώπου ὑπὸ Θεοῦ κατασκευῆς. *Anastasii presbyteri montis Sina, De hominis creatione a Deo, ad imaginem et similitudinem suam.* Incipit : Οἱ τὴν ἑαυτῶν ἁπλανῶς τοῦ προσώπου θεόκτιστον ὡραιότητα κατανοεῖν βουλόμενοι. *Des.* γέγονε μεταδοτικὸς τῆς ἑαυτοῦ εἰκόνος· τῷ Θεῷ ἡ δόξα, κ. λ. Secundus : Τοῦ αὐτοῦ ἀκολούθως εἰς τὸ *κατ' εἰκόνα*, καὶ ἀπόδειξις, ὅτι δι' οὐδὲν ἕτερον ἐποίησε τὸν ἄνθρωπον ὁ Θεὸς σύνθετον ἐκ θνητῆς καὶ ἀθανάτου φύσεως, εἰ μὴ εἰς τύπον καὶ εἰκόνα τῆς ἐνανθρωπήσεως καὶ συνθέσεως τοῦ Χριστοῦ. *Ejusdem item in illud :* Ad imaginem, *ubi demonstratur nullam aliam ob causam, hominem ex mortali et immortali natura Deum composuisse, nisi ut figura et imago esset Christi carne induti, ejusque compositionis.* Incipit : Ὅμμασι τοῖς νοεροῖς ὁμοῦ καὶ προφητικοῖς. *Des.*. τιθοῦντα τὴν ἰδίαν ψυχὴν ὑπὲρ τῶν προβάτων· αὐτῷ ἡ δόξα, κ. λ. Hic secundus in cit. *Origenis Philocalia*, duas circiter paginas longior est ; post enim verba, ὑπὲρ τῶν προβάτων, sequuntur alia, quorum initium : Καὶ ἐν τῷ ὕπνῳ δὲ μᾶλλον τὸ καθ' ἡμᾶς δείκνυται, κ. λ. Videtur autem cum superiori, qui ibidem inscribitur Liber, ita conjungi, ut alteram veluti ejusdem partem constituat. Sequitur deinde sermo 3, cujus titulus est : Τοῦ αὐτοῦ ἀκολούθως λόγος γ'. Ἐν τούτῳ τῷ λόγῳ δηλοῖ ὁ ἐξηγητὴς τὴν αἰτίαν, δι' ἣν αὐτῷ οἱ δύο λόγοι εἰς τὸ *κατ' εἰκόνα* πεποίηνται· φανεροῖ δὲ καὶ τὴν αἰτίαν, τὸ πόθεν τὴν ἀρχὴν ἔσχεν ἡ περὶ ἐνεργειῶν καὶ θελημάτων κίνησις. Εἶθ' οὕτως ἐξῆς δείκνυσι, τίνες μὲν εὐσεβῶς, τίνες δὲ οὐκ ὀρθῶς ταῦτα ἐν Χριστῷ δογματίζουσιν. *Ejusdem sermo 3, consequens. Hoc sermone declarat interpres causam, quare duos sermones in illud dictum,* Ad imaginem *conscripserit. Idemque ostendit causam, unde initium duxerit disputatio de facultatibus et voluntatibus (in Christo). Deinde docet, quinam pie, vel minus recte ista in Christo esse docuerint.* Hæc porro homilia, quæ adhuc in Medicea Bibliotheca delituit, digna profecto visa est, quæ in gratiam studiosorum ecclesiasticæ eruditionis publica luce donetur. Hanc autem Latine vertendi cuidam Græculo, qui id sæpius efflagitaverat, onus a nobis fuerat impositum : verum cum sex mensium intervallo, vix quidquam rei difficultate perterritus, attigisset, nobis præsto fuit clarissimum Dominicanæ familiæ decus, Fr. Dominicus Stratico, ac 12 diebus, quam hic subjecimus versionem, feliciter elucubratus est,

(2) Plura scripsit, de quibus consule Cl. Fabricium *Biblioth. Græc.* tom. IX, p. 312 seq.

(3) Tom. I Oper. Paris. A. 1615, p. 854, 866 et A. 1638, tom. II, p. 22.

(4) Exstat inter Opera S. Gregorii Nysseni, hujus *Patrologiæ* t. XLIV, col. 1327. Edit.

(5) Tom. IX *Memor.*, p. 741 et 605.

ΑΝΑΣΤΑΣΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΤΟΥ ΕΝ ΤΩ ΣΙΝΑ ΟΡΕΙ

ΛΟΓΟΣ Γ'.

ANASTASII PRESBYTERI SINAITÆ

SERMO III.

(Bandinius, *Anecdota Græca*, p. 27.)

Hoc sermone declarat interpres causam, quare duos sermones in illud dictum, Ad imaginem, *conscripserit. Ostendit quoque pariter, quam ob causam, atque unde initium duxerit disputatio de operationibus, atque voluntatibus, in Christo : deinde vero proponit, quinam recte, vel secus hæc in Christo docuerint.*

Solent sapientes medici egregieque versati in institutionibus de curatione morborum, haud primum adversus hos præparata adhibere remedia, quam fæces ægritudinum causas, atque radices prius intenta meditatione pernoverint. Simili prorsus ratione, qui pestiferos hæresum morbos, corruptionumque causas errores impedire, atque funditus eradicare facile admodum pleneque voluc-

Ἐν τούτῳ τῷ λόγῳ δηλοῖ ὁ ἐξηγητὴς τὴν αἰτίαν, δι' ἣν αὐτῷ οἱ δύο λόγοι εἰς τὸ κατ' εἰκόνα πεπόνηνται, Φανεροῖ δὲ καὶ τὴν αἰτίαν τοῦ πόθεν τὴν ἀρχὴν ἔσχεν ἡ περὶ ἐνεργειῶν καὶ θελημάτων κίνησις· εἶθ' οὕτως ἐξῆς δείκνυσι, τίνες μὲν εὐσεβῶς, τίνες δὲ οὐκ ὀρθῶς ταῦτα ἐν Χριστῷ δογματίζουσιν.

Ἰατρῶν ἐχέφρονες, καὶ σοφῶν γνωμόνων ἐπιστήμονες, ἐπὶ τὰς θεραπευτικὰς ὁρμῶντες τῶν νόσων ἐπιστήμας, οὐ πρότερον τὰς τούτων ἀλεξιφαρμάκους κατασκευὰς ἀπεργάζονται, ἄχρις ἂν τὰς αἰτιοποιοὺς ὕλας προῤῥίζους διαγνόντες καταμάθωσιν. Ταύτῃ τοι καὶ οἱ τὰς τῶν αἱρέσεων λοιμώδεις νόσους τε καὶ φθοροποιοὺς βλάβας ἀναστέλλειν καὶ ἐκριζοῦν εὖ μάλα ῥᾳδίως βουλόμενοι, τὰς προῤῥίζους αὐτῶν καὶ

οἱονεὶ προβεμελίους καταβαλὰς ἀνορύττοντες, καὶ γυμνοῦντες, καὶ προκατασείοντες, τηνικαῦτα εὐμαρῶς, ὡς ἄριστα διαγνόντες, ἄριστα καὶ ἰατρεύειν δυνήσονται. Οὐκ εἰσὶ τοίνυν λαλιαὶ, οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν· ἀλλὰ μὴν καὶ εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ἐκείνων, λέγω, τῶν πολεμικῶν, Περσικῶν τε καὶ Ῥωμαϊκῶν παρατάξεων, ἡνίκα τὸν νικητικὸν τρόπαιον τοῦ Σταυροῦ συνεργείᾳ Θεοῦ ἐπανῆλθε μεθ' Ἡρακλείου τοῦ βασιλέως ἐν Ἱερουσαλήμ.

Οὗτος δὴ ὁ τῆς Ῥωμαϊκῆς κατ' ἐκείνου καιροῦ σκηπτοῦχος βασιλείας Ἡράκλειος ἐπὶ τὰ Χαλδαϊκά τε καὶ Περσικὰ μέλεθρα τὰς πορείας ποιούμενος κατὰ τὴν Ἀντιοχέων πόλιν, περιτυγχάνει τινὶ Ἀθανασίῳ πατριάρχῃ λεγομένῳ τῆς τῶν Ἰακωβιτῶν μισιεραρχίας, δεινῷ τινι ὄντι περὶ λόγους, καὶ κακούργῳ τῇ τῶν Σύρων ἐμφύτῳ πανουργίᾳ. Καὶ κινήσας πρὸς αὐτὸν τοὺς περὶ πίστεως τῶν δύο Χριστοῦ φύσεων λόγους, ὁ βασιλεὺς ὑπισχνεῖτο, ὡς εἰ πεισθείη αὐτῷ, καὶ δέξηται τὴν ἁγίαν σύνοδον Χαλκηδόνος, πατριάρχην αὐτὸν καθιστᾷν τῆς αὐτόθι ἁγίας καθολικῆς Ἐκκλησίας. Εἴτε οὖν ἐν ὑποκρίσει, εἴτε καὶ καθ' ἕτερον τρόπον ὅμως ἐδέξατο τὴν σύνοδον ὁ Ἀθανάσιος, ὁμολογήσας τὰς δύο ἐν Χριστῷ ἡνωμένας φύσεις. Καὶ τούτων στοιχηθέντων ἠρώτησε τὸν βασιλέα περὶ τῆς ἐνεργείας, καὶ τῶν θελημάτων τὸ, πῶς δεῖ ταῦτα λέγειν ἐν τῷ Χριστῷ, διπλᾶ, ἢ μοναδικά; Ὁ γοῦν βασιλεὺς ξενοφωνηθεὶς ἐπὶ τῇ ἐρωτήσει, ἅτε δὴ οὔπω κατὰ τοὺς ἡμετέρους καιροὺς κινηθείσῃ, γράφει πρὸς Μαρτῖνον τὸν πάπαν Ῥώμης περὶ τούτου· ὁμοίως καὶ πρὸς Σέργιον τὸν ἐπίσκοπον Κωνσταντινουπόλεως. Καὶ ὁ μὲν πάπας ἐσήμανεν αὐτῷ κατὰ τὴν παράδοσιν τῶν ἁγίων Πατέρων, λέγων, ὅτι ἔνθα δύο φύσεις γνωρίζονται, κτιστὴ ὁμοῦ τε καὶ ἄκτιστος, ἀνάγκη πᾶσα ἔχειν αὐτὰς καὶ τὰς δύο αὐτῶν φυσικὰς ἰδιότητας, λέγω δὴ τὰ θελήματα, καὶ τὰς ἐνεργείας· ὧν γὰρ ἡ θέλησις καὶ ἡ ἐνέργεια μία, τούτων πάντως καὶ ἡ φύσις μία, καὶ οὐ δύο τυγχάνουσι. Ταῦτα καὶ τὰ τοιαῦτα Μαρτίνου τὰ γράμματα.

Ὁ δὲ Κωνσταντινουπόλεως Σέργιος, ἅτε δὴ Συρογενὴς ὑπάρχων, ὡς δὴ λόγος, καὶ γονέων Ἰακωβιτῶν ἔγγονος; τὰ ἐναντία Μαρτίνου ἐπέστελλε πρὸς Ἡράκλειον, μίαν τε φυσικὴν θέλησιν, καὶ ἐνέργειαν ἐν Χριστῷ ὁμολογήσας. Δεξάμενος οὖν ὁ βασιλεὺς ἐξ ἀμφοτέρων τὰ γράμματα ἐστοίχησε μᾶλλον τοῖς ὑπὸ Σεργίου γραφεῖσιν· ἅπερ καὶ Ἀθανάσιος ὑπτίαις χερσὶν ἀσμένως ἐδέξατο, ὡς κακοῦργος γινώσκων, ὅτι ἔνθα μία ἐνέργεια εἴρηται, ἐκεῖ πάντως καὶ μία φύσις γνωρίζεται. Εἶτα ἀποστέλλεται ὁ πάπας Κύρος ἐν Ἀλεξανδρείᾳ, ποιεῖ καὶτὸς ὁμοίως κἀκεῖ τὴν ὑδροβαφῆ ἐκείνην διὰ Θεοδώρου τοῦ Φαρανίτου ἕνωσιν, μᾶλλον δὲ κένωσιν μίαν, καὶτοι αὐτόθι γράψαντες ἐν Χριστῷ φυσικὴν τὴν ἐνέργειαν. Τούτων δὴ λοιπὸν οὕτω κατὰ τῶν Ἀντιοχέων καὶ Ἀλεξανδρέων παρακολουθησάντων, εἰς μέγα ὄνειδος ἡ σύν-

A rint, iis primum radices eorum, cardinumque fundamenta, eruenda sunt, denudanda ab imoque concutienda : tunc quippe facile, cum ipsos optime cognorint, eis quoque poterunt egregie mederi. Non igitur nugas, aut inania verba proferemus, quorum non audiantur voces : sed in omnem etiam terram exivit sonus eorum, et in fines orbis terræ verba eorum. Eorum, inquam, militarium ordinum, Persicarum Romanarumque classium, cum victoriosum Crucis tropæum divino adjutorio, cum Heraclio rege in Jerusalem reversum est.

Hic scilicet Romani imperii ea tempestate moderator Heraclius, cum post Chaldæos, Persasque superatos iter ad Antiochenorum civitatem instituisset, in Athanasium quemdam incidit odibilis Jacobitarum hierarchias patriarcham nuncupatum, hominem sermone promptum, et improbum nativa Syrorum calliditate. Cumque sibi invicem de duplicis Christi naturæ fide communicassent sententias, id tandem pollicitus est imperator, si sibi morem gereret, sanctamque Chalcedonensem synodum susciperet, ipsum ejus sanctæ catholicæ Ecclesiæ patriarcham fore constituturum. Sive igitur simulatione, sive alio quovis modo suscepit synodum Athanasius, simulque duas in Christo unitas naturas esse confessus est. His ita compositis, ipse de operationibus, et voluntatibus percontatur a rege, unicamne tantum an duplices has pariter in Christo oporteat profiteri. Quæstionis utriusque novitate commotus rex (nunquam etenim ad nostra hæc usque tempora excitata fuerat), de his ad Martinum scribit papam Romanum, itidemque ad Sergium Constantinopolis episcopum. Atque a papa quidem responsum accipit, quo videlicet sibi significabatur juxta sanctorum Patrum traditionem, ubi duæ esse noscuntur naturæ, creata nimirum, atque increata simul, ibi necesse pariter esse, unamquamque naturales suas habere proprietates; duas, inquam, voluntates, atque operationes : quorum namque voluntas, operatioque una est, horum pariter unicam omnino, non duplicem censendam esse naturam. Hanc prorsus sententiam Martini litteræ complectebantur.

Sergius vero Constantinopolita, qui scilicet ex Syria traxerat genus, atque ex Jacobitis prognatis stirpe dimanabat, litteras ad Heraclium dedit in adversam Martino sententiam conscriptas, quibus unicam naturalem voluntatem, operationemque in Christo confitebatur. Litteris in hunc quem diximus modum ab utroque acceptis imperator, Sergii potius sententiæ adhærere constituit, quam epistola expresserat, quamque Athanasius gaudio elatus resupinis exoeperat manibus, qui scilicet callidus norat, ibi omnino unicam naturam intelligi oportere, ubi unica esse operatio diceretur. Cyrus interea pontifex Alexandriam mittitur, quo loci et ipse similiter per Theodorum Pharanitem eo unitatis, sive potius inanitatis dogmate inficitur; quare utrique unicam hanc naturalem operationem in

Christo scriptis propugnant. His igitur in hac postea permanentibus sententia adversus Antiochenos, atque Alexandrinos, in magnam incidit Chalcedonensis synodus, et Catholica Ecclesia vituperationem. Jacobi namque sectatores in Syria, Alexandriæque Theodosii discipuli in ipsius dedecus gloriabantur aientes. Non nos Chalcedoni, sed Chalcedonem potius nobiscum convenisse, quæ videlicet ob unicam Christi operationem unicam quoque naturam ejus fateatur.

A ὁδος Χαλκηδόνος καὶ ἡ καθολικὴ περιέπεσεν Ἐκκλησία. Κατεκαύχοντο γὰρ οἱ τὰ Ἰακώβου ἐν Συρίᾳ φρονοῦντες, καὶ οἱ τὰ Θεοδοσίου ἐν Ἀλεξανδρείᾳ φάσκοντες, ὅτι Οὐχ ἡμεῖς τῇ Χαλκηδόνι, ἀλλ' ἡ Χαλκηδὼν μᾶλλον ἡμῖν ἐκοινώνησε, διὰ τῆς μιᾶς ἐνεργείας μίαν ὁμολογήσασα φύσιν Χριστοῦ.

His auditis Heraclius erubuit; cæterum quanquam quæ animo proposuerat repudiare nollet, neque tamen ferendam esse contumeliam existimavit. Itaque veluti magnum aliquid facere excogitasset, illud quod edictum nuncupatur publicavit, quo continetur, neque unicam deinceps, neque duplicem in Christo fas fore, confiteri operationem. Quod cum ad Severi sectatorum notitiam pervenisset, per cauponas continuo, atque per balnea Catholicam sannis lacerare cœperunt Ecclesiam, in hunc fermo modum dicentes non ita pridem Nestorii discipulos Chalcedonenses sorde ablutos fuisse conversos ad veritatem, conjunctos nobis in unius Christi naturæ fide, ob unicam operationem; nunc vero quæ recte

Εἶτα ἀκούσας ταῦτα Ἡράκλειος ἠσχύνθη, καὶ καταλῦσαι μὲν τὰ οἰκεῖα οὐκ ἤθελε, καὶ πάλιν τὸν ὀνειδισμὸν οὐχ ὑπέφερε. Τότε δὴ ὡς μέγα τι νομίζων ποιεῖν, ἐκτίθεται τὸ λεγόμενον ἰδικτον τὸ περιέχον, μήτε μίαν, μήτε δύο ἐνεργείας ὁμολογεῖν ἐν Χριστῷ· ὅπερ δὴ ἀναγνόντες οἱ τὰ Σεβήρου φρονοῦντες, ἐπὶ κατηλείων καὶ βαλανείων διέσυρον τὴν καθολικὴν Ἐκκλησίαν, λέγοντες· Πρώην μὲν τὰ Νεστορίου φρονοῦντες οἱ Χαλκηδονῖται ἀνένηψαν ἐπιστρέψαντες εἰς τὴν ἀλήθειαν, ἑνωθέντες ἡμῖν διὰ τῆς μιᾶς ἐνεργείας εἰς τὴν μίαν τοῦ Χριστοῦ φύσιν· νῦν δὲ καταγνόντες τοῦ καλῶς ἔχοντος ἀπώλεσαν ἀμφότερα, μήτε μίαν, μήτε δύο ἐν Χριστῷ ὁμολογοῦντες. instituta fuerant condemnantes, utramque sustulisse, cum neque unicam jam, neque duplicem in Christo confiteantur.

Hæc audiens, animadvertensque Romanorum antistes Martinus, cum minime pati posset adeo impudenter dedecore affectam Ecclesiam prospicere, plurium sanctorum episcoporum Romæ synodum cogit, in qua ex sanctorum Patrum testimoniis, duas indivisas Christi proprietates, hoc est divinam et humanam voluntatem ejus, atque operationem palam profitetur. Post hæc decessit Heraclius : pellitur exsilio Martinus ab Heraclii nepote : statimque surrexit solitarius Amalec nos Christi populum percutiens.

Ταῦτα δὴ ἀκούσας, καὶ θεωρῶν ὁ τῆς Ῥωμαίων πρόεδρος Μαρτῖνος, καὶ μὴ φέρων οὕτως αἰσχρῶς ὁρᾶν ὀνειδιζομένην τὴν Ἐκκλησίαν, ποιεῖ ἐν τῇ Ῥώμῃ σύνοδον πλειόνων ὁσίων ἐπισκόπων, κηρύξας ἐκ Πατερικῶν μαρτυριῶν δύο ἀδιαιρέτους Χριστοῦ τὰς ἰδιότητας, τουτέστι τὴν θείαν καὶ τὴν ἀνθρωπίνην θέλησιν αὐτοῦ καὶ ἐνέργειαν. Εἶτα τελευτᾷ Ἡράκλειος· ἐξορίζεται Μαρτῖνος ὑπὸ τοῦ ἐγγόνου Ἡρακλείου· καὶ θᾶττον ἀνέστη ὁ ἐρημικὸς Ἀμαλὴκ τύπτων ἡμᾶς τὸν λαὸν τοῦ Χριστοῦ.

Prima ea fuit terribilis, atque insanabilis Romani exercitus clades : illa, inquam, ad Gabitham, et Hiermuchani, et Dathemon sanguinis fusio, ad quam Palæstinorum, et Cæsareensium, et Hierosolymitarum secutæ sunt capturæ et incensiones. Inde Ægypti pernicies, post vero continuo Mediterraneorum, et Insularum, et Romaniæ universæ captivitates, insanabilesque vastationes contigerunt. Verum neque propterea pacem Romani principes et dominatores consensionemque firmarunt; verum captis iis, qui in Romana synodo effulserant, linguarum sectionibus, manuumque abscissionibus in ipsos animadverterunt. Sed quid? horum nobis a Deo concessa retributio fuit; illa nimirum in Phœnicia totalis pene Romani exercitus, militariumque ordinum pernicies, atque in hujus accessum pariter omnis Christiani populi locorumque vastatio : quæ non prius cessavit, quam Martini persecutor in Sicilia gladio peremptus est. Hujus porro filius Constantinus pius, œcumenica congregata synodo, sanctas conjunxit Ecclesias, in qua divina simul et humana Jesu Christi Dei nostri voluntas, atque potestas communi confessione constituta est. Quæ sancta synodus, veluti acceptabile sacrificium, et ut Aaron illud thymiama, a Deo

Ἐκείνη ἦν ἡ πρώτη καὶ φοβερὰ καὶ ἀνίατος τοῦ Ῥωμαϊκοῦ στρατοῦ πτῶσις· ἡ κατὰ τὴν Γαβιθᾶν λέγω, καὶ Ἱερμουχᾶν, καὶ τὴν Δαθεμῶν αἱμοχυσία, μεθ' ἣν αἱ Παλαιστινῶν, καὶ Καισαραίων, καὶ Ἱεροσολύμων ἁλώσεις καὶ ἐμπρήσεις. Εἶτα ὁ Αἰγύπτιος ὄλεθρος, καὶ καθεξῆς αἱ τῶν μεσογείων, καὶ νήσων, καὶ Ῥωμανίας πάσης αἰχμαλωσίαι καὶ ἀνίατοι ἐρημώσεις. Ἀλλ' οὐδ' οὕτως εἰς συναίσθησιν ἦλθον οἱ Ῥωμαίων ἄρχοντες καὶ κυριεύοντες· ἀλλὰ δὴ μεταστειλάμενοι τοὺς ἐν τῇ Ῥωμαίων συνόδῳ διαλάμψαντας, γλωσσοτομίαις καὶ χειροκοπίαις εἰς αὐτοὺς ἐχρήσαντο. Τί δέ; καὶ ἡ τούτων ἡμῖν ἐκ Θεοῦ ἀντίδοσις· ἐκείνη ἡ ἐν τῇ Φοινίκῃ μικροῦ δεῖν παντελὴς τοῦ Ῥωμαϊκοῦ στρατοῦ, καὶ τοῦ στόλου ἀπώλεια, καὶ ἡ κατὰ πρόσδασιν πάλιν πάντων τῶν Χριστιανικῶν λαῶν, καὶ τόπων ἐρήμωσις· ἥτις οὐκ ἐπαύσατο, ἄχρις ἂν ὁ Μαρτίνου διώκτης ἐν Σικελίᾳ ὑπὸ μαχαίρας ἀπέθανεν. Ὁ δὲ τούτου υἱὸς Κωνσταντῖνος ὁ εὐσεβὴς δι' οἰκουμενικῆς συνόδου τὰς ἁγίας Ἐκκλησίας ἥνωσε, θείαν τε ὁμοῦ καὶ ἀνθρωπίνην ἐν Χριστῷ τῷ Θεῷ ἡμῶν κατὰ τοὺς ἁγίους Πατέρας ὁμολογήσας θέλησίν τε καὶ ἐνέργειαν. Ἥτις ὁσία σύνοδος, ὥσπερ θυσία εὐπρόσδεκτος, καὶ ὡς ἐκεῖνο τὸ τοῦ Ἀαρὼν θυμίαμα προσδεχθεῖσα παρὰ τῷ Θεῷ ἐπὶ εἴκοσι χρόνους τὸν ὄλεθρον

τοῦ ἡμετέρου λαοῦ ἔπαυσε, τὴν μάχαιραν τῶν ἐχθρῶν κατ' ἀλλήλων αὐτῶν ἤγαγε, τὰς χώρας ἀνέπαυσε, τὴν θάλατταν πλόϊμον ἐποίησε, τὰς αἱχμαλωσίας διεκώλυσε, καὶ πάσῃ τῇ Ῥωμανίᾳ ἄνεσιν καὶ παράκλησιν καὶ εἰρήνην οὐ μετρίαν πεποίηκεν. Ἀλλὰ δὴ ταῦτα πάντα οἱ ματαιόφρονες οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται, ἐπὶ καπηλείων, καὶ βαλανείων, καὶ κορασίων, καὶ ἑταιρίδων ἡμᾶς διασύροντες, καὶ φάσκοντες, ὅτι οἱ δύο θελήματα λέγοντες ἐν τῷ Χριστῷ, πάντως τὸ ἓν ἀγαθὸν λέγουσι, τὸ δὲ ἕτερον πονηρὸν, τὸ ἓν θεῖκὸν, τὸ δὲ ἕτερον διαβολικόν. Πῶς γὰρ δυνατὸν ὅλως λέγειν ἀνθρώπινον θέλημα ἐν Χριστῷ; τοῦ Ἀποστόλου λέγοντος, ὅτι « Τὸ θέλημα τῆς σαρκὸς νόμῳ Θεοῦ οὐχ ὑποτάσσεται· » καί· « Τὸ θέλημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν· » καί· « Ἡμέν ποτε καὶ ἡμεῖς ἀπειθεῖς, ποιοῦντες τὰ θελήματα τῆς σαρκός· τὸ γὰρ θέλημα τῆς σαρκὸς θάνατος. »

excepta, viginti annorum spatio, cessare omnino fecit gentis nostræ perniciem, gladiosque inimicorum in ipsos invicem convertit: civitatibus requiem contulit, placidum fecit mare, sanguinis effusiones valide cohibuit, universæque Romaniæ requiem, relaxationem, consolationem, pacemque incredibilem comparavit. Verum hæc sane omnia insipientes non cognoverunt, neque intellexerunt; in tenebris ambulant, atque per cauponas, per balnea, interque muliercularum agmina, et lupanaria nobis calumniantur, aientes eos qui duas esse in Christo voluntates affirmant, alteram bonam omnino ponere, alteram iniquam, unam divinam, alteram vero diabolicam. Qua enim, inquiunt, ratione fieri potest, ut humana esse in Christo dicatur voluntas, aiente Apostolo quod « voluntas carnis Deo non subjicitur[1] » et: « Voluntas carnis inimicitia in Deum[2] » et « Fuimus aliquando etiam nos Deo inobedientes carnis voluntatem facientes: voluntas namque carnis mors est[3]? »

Ταῦτα καὶ τὰ τοιαῦτα οἱ τῆς ἀληθείας ἐχθροὶ καθ' ἡμῶν ὑλακτοῦσιν, ὡς κύνες, καὶ ἵπποι, καὶ ἡμίονοι, οἷς οὐκ ἔστι σύνεσις, συκοφαντοῦντες ἡμᾶς, ὡς δύο πρόσωπα, καὶ δύο ὑποστάσεις λέγοντας ἐν Χριστῷ, καὶ δύο διορισμοὺς, καὶ δύο ἐναντίας ἐξουσίας, καὶ ἀρνουμένους τὴν *Θεοτόκον* φωνὴν, καὶ πάντα διπλᾶ, καὶ διῃρημένα ἐπὶ αὐτοῦ δογματίζοντας, καὶ δύο ἐνεργείας, ἀγαθήν τε καὶ πονηρὰν ἐπ' αὐτοῦ κηρύττοντας. Δι' ὧντινων φλυαριῶν τε καὶ συκοφαντιῶν ἔβλαψαν λαοὺς, ἔσχισαν Ἐκκλησίας, ἐτάραξαν χώρας, ἐνύβρισαν τὴν πίστιν, ἱερεῖς ἀπέσχισαν, μονάζοντας ἐπλάνησαν, ἄρχοντας ἐμίαναν, τὰ πάντα ἐσάλευσαν, πᾶσαν πόλιν, πᾶσαν κώμην, πᾶσαν ἐπαρχίαν, διωγμοὺς ποιήσαντες, αἰχισμοὺς, ἐτασμοὺς, ἀφορισμοὺς, ἐξορίας, καταδίκας, οἷας οὐδὲ Ἀρειανοὶ κατὰ τῆς Ἐκκλησίας, μῖσός τε τοιοῦτον πρὸς ἡμᾶς ἔχοντες, οἷον οὔτε πρὸς Ἰουδαίους, ἢ Σαμαρεῖς, ἢ Μανιχαίους, ἢ Ἕλληνας, ἢ ἀποστάτας ἔχουσιν· αἱρούμενοι δὲ μᾶλλον συνδυάζειν καὶ συναυλίζεσθαι τοῖς τὰ εἴδωλα προσκυνοῦσιν, ἢ ἡμῖν τοῖς τὰς δύο Χριστοῦ ἰδιότητας ἀδιαιρέτως λέγουσι, καὶ συνεύχεσθαι μᾶλλον σὺν Ἰουδαίοις ἐκλεγόμενοι, ἢ σὺν ἡμῖν τοῖς ὁμολογοῦσιν ἐν Χριστῷ θείαν τε καὶ ἀνθρωπίνην ἀδιαιρέτως θέλησίν τε καὶ ἐνέργειαν· μὴ βουλόμενοι, τάχα δὲ μήτε δυνάμενοι διακρίναι, τί μέν ἐστι τὸ θεῖκὸν καὶ ἄκτιστον θέλημα, τί δέ ἐστι τὸ θεόκτιστον καὶ θεόσδοτον τῆς λογικῆς ἡμῶν ψυχῆς θέλημα, δι' οὗ θελήματος ἐργάζεται τὸ ἀγαθὸν καὶ εὐάρεστον τοῦ Θεοῦ θέλημα· τί δὲ πάλιν ἐστὶ τὸ σαρκικὸν, ἤγουν διαβολικὸν καὶ ὑλικὸν θέλημα, ὅπερ ὁ θεῖος Ἀπόστολος, καὶ πᾶσαι αἱ Γραφαὶ διαβάλλουσι καὶ ἀποβάλλονται.

Hæc, horumque similia adversus nos latrant veritatis hostes, ut canes, et equi, et muli, quibus non est intellectus, calumniati nobis, tanquam duas personas, duasque subsistentias diceremus in Christo, duplexque item discrimen distinctionis, duasque contrarias potestates; et *Theotocon Deiparæ* vocem negaremus, omniaque diversa, atque distincta statueremus in ipso, duplicem denique operationem, bonam et malam in eo constitueremus. Quibus dicteriis, et calumniis maximum intulerunt populis damnum, scisserunt Ecclesias, turbarunt urbes, injuria fidem affecerunt, schismate diviserunt sacerdotes, deceperunt solitarios, contaminarunt principes, omnia concitarunt, in omni urbe, in omni incolatu, principatuque persecutionem commoventes, injurias, inquisitiones, sententias, exsilia, condemnationes, quales neque Ariani commoverunt uspiam adversus Ecclesiam, tanto nos odio prosecuti, quantum neque adversus Judæos, vel Samaritas, vel Manichæos, vel Græcos, vel recessores, sive apostatas animo concepissent, commorari potius, copularique eligentes cum idolorum cultoribus quam nobiscum, qui duas indivise Christi proprietates profitemur; et præferentes cum Judæis oratione convenire, quam nobiscum, qui divinam humanamque indivise in Christo fatemur voluntatem, atque operationem; cum nolint, neque vero possint continuo discernere, quænam sit divina, atque increata voluntas, quænam vero ea sit voluntas, quæ a Deo creata est, donoque tributa rationali nostræ naturæ, qua videlicet voluntate bonum operamur, atque sanctissima divina voluntas a nobis adimpletur: quidque rursus carnalis, sive diabolica, atque materialis voluntas sit, quam sanctus Apostolus, universæque divinæ Litteræ improbant atque rejiciunt.

Ὅτι γὰρ τὴν ἁμαρτίαν πολλάκις σάρκα ὀνομάζει ὁ Παῦλος, ἄκουσον αὐτοῦ λέγοντος, ὅτι « Σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι, καὶ οἱ ἐν

Quod autem peccatum appellet Paulus sæpe sæpius carnem, audi ipsum dicentem quod « Caro, et sanguis regnum Dei non possidebunt[4]; » et: « qui

[1] Rom. VIII, 7. [2] ibid. [3] ibid. 6. [4] I Cor. XV, 50.

in carne sunt, Deo placere non possunt [5]; » Et « qui seminat in carne, de carne etiam metet corruptionem [6]; » et : « Si secundum carnem ambulaveritis, futurum est ut pereatis [7]; » carnem peccatum nominans, non autem carnis nostræ naturam. Injuria quippe etiam Christum afficeret dicentem : « Palpate me, et videte, quia spiritus carnem et ossa non habet, sicut me videtis habere [8]. » Ita ut carnalem voluntatem alienam a Christo, extraneamque definiant sancti Ecclesiæ Patres, et carnalem, atque peccato subjectam operandi facultatem ; non eam, quæ naturæ est, non eam, quæ creata a Deo est, non eam, quæ ad imaginem et similitudinem Dei nobis concessa est, immaculatam et irreprehensibilem naturalem voluntatem, atque operationem.

A σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται · » καί · « Ὁ σπείρων εἰς τὴν σάρκα, ἐκ τῆς σαρκὸς θερίσει φθοράν · » καί · « Ἂν κατὰ σάρκα περιπατῆτε, μέλλετε ἀποθνήσκειν · » σάρκα τὴν ἁμαρτίαν ὀνομάζων, ἀλλ' οὐ τὴν φύσιν τῆς ἡμετέρας σαρκός. Ἐπεὶ εὑρίσκεται τὸν Χριστὸν ἐνυβρίζων τὸν λέγοντα· « Ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. » Ὥστε τὸ σαρκικὸν θέλημα ἀλλότριον καὶ ξένον τοῦ Χριστοῦ οἱ ἅγιοι Πατέρες ὁρίζουσι, καὶ τὴν σαρκικὴν, καὶ ἐμπαθῆ τῆς ἁμαρτίας ἐνέργειαν, οὐ τὴν φυσικὴν, οὐ τὴν θεόκτιστον, οὐ τὴν κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ ὑπάρχουσαν, ἡμῶν ἄμωμον καὶ ἀδιάβλητον φυσικὴν θέλησιν καὶ ἐνέργειαν.

Sed qui vere diaboli potestate intus aguntur, et carnis concupiscentiis, et incendiis subjecti manent, subque carnali voluntate deprimuntur, in ipsis contaminati, et obvoluti, cum discernere nequaquam valeant inter superinductam voluntatem et malam, et operationem, quæ præter naturam est, et inter eam, quæ a Deo originem sortitur, atque a Deo data est animæ, essentialiter rationalem, et desideriis aptam voluntatem : neque quid rursus sit vitalis ejus, et subsistens facultas corporis, ut perlti Manethis discipuli improbant naturalem a Deo creati hominis voluntatem, utque Manichæi carnem nostram a Deo ipso editam damnant, injuriaque afficiunt datam a Deo nobis vivificantem operationem, intellectualemque a Deo nobis pariter datam desiderandi facultatem incusant, per quam scilicet elevati divinam nanciscimur salvationem : hoc scilicet eorum dogmate per omnia ipsum impetunt Creatorem.

B 'Αλλ' οἱ ἀληθῶς ὄντως ὑπὸ τῆς ἐνεργείας τοῦ διαβόλου ἐνεργούμενοι, καὶ εἰς τὰς πυρώσεις καὶ ἐκκαύσεις τῆς σαρκὸς ἐκμαινόμενοι, καὶ ὑπὸ τοῦ σαρκικοῦ θελήματος καταχαμπτόμενοι, καὶ μολυνόμενοι, καὶ βορβορούμενοι, μὴ ἰσχύσαντες διακρίναι, τί μέν ἐστι τὸ ἐπείσακτον καὶ πονηρὸν θέλημα, καὶ ἡ παρὰ φύσιν ἐνέργεια, τί δέ ἐστι τὸ θεόφυτον καὶ θεόσδοτον τῆς ψυχῆς λογιστικὸν καὶ ἐπιθυμητικὸν οὐσιῶδες θέλημα, καὶ τί πάλιν ἡ ζωτικὴ αὐτῆς καὶ συστατικὴ τοῦ σώματος ἐνέργεια, ὡς γνήσιοι τοῦ Μάνεντος μαθηταὶ διαβάλλουσι τὸ τῆς φύσεως τοῦ θεοκτίστου ἀνθρώπου θέλημα, κακίζουσιν ὡς οἱ Μανιχαῖοι τὴν ἡμῶν θεόκτιστον σάρκα, ὑβρίζουσι τὴν ζωοποιὸν θεόσδοτον ἡμῶν ἐνέργειαν, μέμφονται τὴν C νοερὰν ἡμῶν θεόσδοτον ἐπιθυμίαν, δι' ἧς ὀρεγόμενοι τῶν θείων τυγχάνομεν τῆς σωτηρίας, διὰ παντὸς αὐτῶν τοῦ δόγματος τῷ Κτίστῃ προσκρούοντες.

Si autem iniqua hæc ingenita animæ voluntas est, quomodo David inquit : « Quoniam ex voluntate mea confitebor Domino [9]? » Quomodo autem omnino anima posset divinum aliquod velle, nisi rationali præstaret voluntate? vel quomodo ad ea, quæ optima sunt, et intellectualia, posset animum adjicere, vel ad ipsa conari, nisi rationalem haberet facultatem? quibus nimirum duabus proprietatibus in ea manifeste exprimitur id, quod est ad imaginem et similitudinem Dei. Propterea itaque, et hæc una de causa duo a nobis prædicti sermones D conscripti sunt in illud, ad imaginem, ut ostenderemus, in homine veluti in figura et imagine quadam, non modo duplicis Christi essentiæ imaginem, verum etiam duarum operationum voluntatumque indivisarum exemplar. Verumenimvero patrem, matremque honorare, fratres, atque consanguineos diligere humanæ procul dubio naturæ naturalis est, essentiæ indita, atque ab anima indivisa voluntas : cum patrem ipsum, atque matrem, fratresque propter Deum derelinquere, atque abnegare divina sit, laude digna voluntas, excedensque naturæ conditionem. En itaque duas indivisas voluntates; humanæ naturæ alteram, alteram super naturam ipsam, atque divinam.

Εἰ δὲ πονηρὸν ἦν τὸ ἔμφυτον τῆς ψυχῆς θέλημα, πῶς φησιν ὁ Δαβίδ· « Ὅτι καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι τῷ Θεῷ; » Πῶς γὰρ ἂν ὅλως καὶ δυνήσεται ἡ ψυχὴ θελῆσαί τι τῶν θείων, εἰ μὴ ἔχει θέλησιν λογικήν; ἢ πῶς νοήσει τι τῶν κρειττόνων καὶ νοερῶν, ἢ ἐνεργήσει, μὴ ἔχουσα ἐνέργειαν νοερὰν, δι' ὧν δύο ἰδιοτήτων ἐξεικονίζει σαφῶς ἐν ἑαυτῇ τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ; Διὰ γὰρ τοῦτο καὶ μόνον ἡμῖν πεπόνηνται οἱ προκείμενοι εἰς τὸ, κατ' εἰκόνα, λόγοι, εἰς τὸ δεῖξαι, ὡς ἐν τύπῳ τινὶ καὶ εἰκόνι τῷ ἀνθρώπῳ οὐ μόνον τῶν δύο τοῦ Χριστοῦ οὐσιῶν τὴν προδιατύπωσιν, ἀλλὰ καὶ δύο ἐνεργειῶν καὶ θελημάτων ἀδιαβλήτων, ὡς ἐν τύπῳ τινὶ ἀμυδρῷ προδιάγραψιν. Καὶ γὰρ τὸ τιμᾷν πατέρα καὶ μητέρα, καὶ ἀδελφοὺς ἀγαπᾷν, καὶ συγγένειαν, φύσεως ἀνθρωπίνης φυσικόν ἐστιν οὐσιῶδες θέλημα, ψυχῆς ἀδιάβλητον · τὸ δὲ καταλεῖψαι, καὶ ἀρνήσασθαι διὰ Θεὸν πατέρα, καὶ μητέρα, καὶ ἀδελφοὺς, ὄντως θεῖον καὶ ὑπὲρ φύσιν θέλημα ἀξιέπαινον. Ἰδοὺ δύο θελήματα ἀδιάβλητα, τὸ μὲν φύσει ἀνθρώπινον, τὸ δὲ ὑπὲρ φύσιν καὶ θεῖον.

[5] Rom. VIII, 8. [6] Galat. VI, 8. [7] Rom. VIII, 13. [8] Luc. XXIV, 39. [9] Psal. XXVII, 7.

Λοιπὸν ὅτε εἶδῃς Ἰησοῦν ὑποτασσόμενον καὶ βουλεύοντα, ὡς φησιν ὁ Λουκᾶς, τῷ Ἰωσὴφ, καὶ τῇ μητέρι, καὶ προστρέχοντα καὶ περιπλεκόμενον, ὡς παιδίον, ταῖς ἀγκάλαις καὶ τοῖς ἁγίοις κόλποις αὐτῆς, μὴ διστάσῃς εἰπεῖν θελήματι καὶ στοργῇ τῆς καθ' ἡμᾶς φύσεως ποιοῦντα, καὶ δεικνύντα αὐτὸν ταῦτα, καὶ τέλειον, καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα ἑαυτὸν ἐμφανίζοντα κατὰ πάντα τρόπον, ὡς φησιν ὁ Παῦλος, δίχα μόνης τῆς ἁμαρτίας. Ὅταν δὲ πάλιν πρὸς τὴν μητέρα λέγει, « Τί ἐμοὶ, καὶ σοὶ, γύναι; » καί· « Τίς ἐστί μου πατὴρ, ἢ μήτηρ, εἰ μὴ ὁ ποιῶν τὸ θέλημα τοῦ πέμψαντός με; » ἐνταῦθα παιδεύει ἡμᾶς τὸ θεῖον καὶ ὑπὲρ φύσιν θέλημα. Δι' ἡμᾶς γὰρ πάντα ἐποίει καὶ ἔπραττεν, ἐν πᾶσιν αὐτὸς τέλειος, καὶ προτέλειος, καὶ ἀεὶ πλήρης ὑπάρχων, νομίζων δὲ μᾶλλον ἀκριβεστέραν ὑπάρχειν τὴν ἑτέραν ἐκδοχὴν τὴν φάσκουσαν, ὅτι διὰ τῆς θελήσεως τῆς λογιστικῆς, καὶ βουλευτικῆς, καὶ διανοητικῆς τῆς νοερᾶς ψυχῆς τῆς τοῦ δούλου μορφῆς ἐπλήρου ὁ Χριστὸς τὴν ὑπακοὴν, καὶ τὸ θέλημα τοῦ Πατρὸς, καὶ τὴν ἐντολὴν, καὶ τὸ πρόσταγμα, καὶ τὸν νόμον· διὰ δὲ πάλιν τῆς ζωτικῆς, καὶ ζωοποιοῦ θεοσδότου, αὐτῆς, λέγω δὴ, τῆς ψυχῆς τῆς νοερᾶς ἐνεργείας συνεκράτει, καὶ ἐζωοποίει, καὶ ἠὔξει τὸ οἰκεῖον σῶμα ὁ Θεὸς Λόγος κατὰ τὸν ὅρον καὶ νόμον, ὃν δέδωκε τῇ λογικῇ ψυχῇ ζωοποιεῖν, καὶ συγκρατεῖν, καὶ αὔξειν, καὶ κινεῖν τὴν τῶν σωμάτων φύσιν. Ὅθεν καὶ ψυχὴ δι' οὐδὲν ἕτερον εἴρηται, εἰ μὴ ἐκ τοῦ ψύχειν, ἤγουν ζωοποιεῖν τὸ σῶμα. Ἐκ τούτου καὶ ἀποψύχειν τὸ ἀποθνήσκειν εἴρηται· ὥσπερ πάλιν τὸ ἀναψύχειν τὸ ζῆν.

Ὥσπερ δὲ διττῆς Χριστοῦ φύσεως, ὡσαύτως καὶ θελήσεως εἰκόνας ἐδείξαμεν εἰς τὸν κατ' εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ ὑπ' αὐτοῦ γενόμενον σύνθετον ἄνθρωπον· οὕτω πάλιν ὡς ἐν εἰκόνι τινὶ καὶ τύπῳ, λέγω, ὁρᾶται ἐν τῷ ἀνθρώπῳ καὶ διττή τις ἐνεργείας ἔμφασις εἰς εἰκόνα καὶ τύπον Χριστοῦ. Καθάπερ γὰρ ἡ αὐτοῦ θεότης ἐνήργει καὶ θεανδρικῶς, ἐνήργει δὲ καὶ θεϊκῶς ἐν οὐρανῷ πρὸ τῆς τοῦ σώματος ἀναλήψεως, ὡς ἀπερίγραπτος, καὶ μὴ περιγραφεῖσα ἐν τῷ σώματι· οὕτω καὶ ἡ ψυχὴ ἡ κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ ἀοράτου Θεοῦ Λόγου ὑπάρχουσα, ἐνεργεῖ μὲν καὶ ψυχανδρικῶς, τουτέστι σωματοψύχως εἰς τύπον τοῦ θεανδρικῶς Χριστοῦ· ἐνεργεῖ δὲ καὶ ψυχικῶς μόνον, πλείστά τινα μὴ συνεργοῦντος αὐτῇ τοῦ οἰκείου σώματος, εἰς τύπον τοῦ ἀοράτου Θεοῦ Λόγου τοῦ πολλὰ ἀοράτως ἐνεργήσαντος, καὶ ἐνεργοῦντος ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, διὰ τῆς ἀπεριγράπτου αὐτοῦ, καὶ παγκοσμίου, καὶ ὑπερκοσμίου θεϊκῆς ἐνεργείας.

Ἡ οὖν ἀγάπη ἡ πρὸς Θεὸν κατὰ ψυχικὴν καὶ μόνην ἐπιτελεῖται ἐνέργειαν, οὐ χρῄζουσα ἐν τούτῳ τῆς συνεργείας τοῦ σώματος· ὁμοίως καὶ ἡ πίστις ψυχικῆς καὶ μόνης ἐνεργεία; ἐστὶν ἔνδειξις· ὡσαύτως καὶ ἡ ἐλπὶς κατὰ ψυχικὴν καὶ μόνην ἐπιτε-

A Cæterum cum Jesum prospicis subditum, et inservientem, ut inquit Lucas [10], Josepho, et matri, ipsis accurrentem, et ut puerulum sancti gremii ejus complexu circumdatum, ne dubites dicere voluntate, et ingenito nostræ naturæ amore hæc ab ipso præstari, demonstrarique, sequé eum nobis perfecte humanitate consubstantialem ostendere omni, ut inquit Paulus, ratione, si unicum exceperis peccatum. Cum rursus autem matri dicit: « Quid mihi est, et tibi, mulier [11]? » et: « Quis Pater meus est, et mater, nisi is, qui facit voluntatem ejus, qui misit me [12]? » Nobis iis locis divinam supernaturalemque suam indicat voluntatem. Omnia quippe propter nos fecit, et operatus est perfectus ipse in omnibus, et summe perfectus, semperque B exsistens in plenitudine, et statuens alteram, quæ mox dicta est subjectionem multo esse meliorem, quoniam per rationalem, atque deliberativam voluntatem, et discretivam intellectualis animæ, quam in forma servi acceperat, implevit Christus voluntatem, præceptum, imperium, et legem patris; atque pariter per vitalem, et vivificantem, a Deo sibi datam, eam, inquam, animæ intellectualis facultatem, rexit, vivificavit, auxitque corpus suum Deus Verbum, iis sane limitibus, ac legibus, quæ rationali animæ sunt a Deo præscriptæ, ut informet, vivere faciat, augeat, et moveat corporis ipsius naturam. Quamobrem non alia de causa spiritus dicitur, nisi eo quod corpus vivificet, sive faciat spirare; exindeque pariter mori, non spirare nuncupatur, similiterque vivere, respirare. C

Quemadmodum autem duplicis Christi naturæ imaginem voluntatisque similiter in proposito ab ipso ad imaginem et similitudinem suam formato homine demonstravimus; sic pariter veluti in imagine quadam, inquam, atque figura prospicitur in homine duplex facultatis vigor secundum typum et imaginem Christi. Etenim sicut divinitas ejus theandrice, sive deiviriliter operabatur, et pariter ante corporis assumptionem divinitus etiam operabatur in cœlo, ut incircumscripta, neque corporis coercita limitibus; ita anima quoque ad imaginem et similitudinem invisibilis Dei Verbi exsistens, facultatem operationis habet psychandricæ, hoc est in corpus vitaliter agentis, quod theandricæ operationis Christi figura exprimitur, et facultatem habet rursus operationis spiritalis tantum, cum ipsa permulta haudquaquam cum proprio simul corpore operetur; quod figura exprimitur Dei invisibilis Verbi, plura invisibiliter operari potentis, facientisque in cœlo, et in terra, incircumscripta sua, perfectissimaque, et superexcellenti divina virtute. D

Amor itaque, quo in Deum ferimur, spiritali tantum animæ virtute perficitur, quin omnino corporis cooperatione ad hoc egeat. Fides similiter unius tantum spiritalis hujus facultatis est vigor: spes eodem quoque modo sola spiritali facultate

[10] Luc. II, 51. [11] Joan. II 4. [12] Matth. XII, 46-49.

peragitur : quemadmodum humilis etiam animi demissio per spiritalem facultatem exercetur, atque consistit, et ut summatim dicamus, necessariæ omnes, et spiritales virtutes, quarum radix, fundamentum, ac mater est puritas cordis, per solam intellectualem rationalis animi nostri facultatem perficiuntur, quin omnino corpore indigeant, ut ipsarum actus impleantur. Quamobrem ii quoque qui carne tumentes, et infirmi sunt, et immobiles, ejusmodi virtutibus, quæ ex animi facultate sunt Deo beneplacentes fieri possunt. Cæterum in somno potissimum nostro duplex hæc nostra facultas eleganter ostenditur. Corpore enim habente tunc velut mortuas, agendique propemodum incapaces sensuum facultates, intellectualis tantum, rationalisque animæ actio, nec quietis patiens, nec silentii, omnia administrat.

Quomodo vero etiam separata a corpore per mortem rationalis subsistit anima, præter quam ob intellectualem sui, vitalemque, atque perpetuo viventem virtutem? Ac justorum animæ potissimum quomodo Deum nunc laudibus extollunt? quanam actione lucem ab eo, et claritatem accipiunt? quomodo pro mundo rogant? rem enim sibi cognatam quidlibet proprie respicit, et ad eam tendit. Corpus namque, ceu ex stupida, et mortua, et immobili, insensibilique terra formatum, mortuum, animo, sensu, ac motu destitutum, atque actioni cuique ineptum fit per mortem, juxta divinam sententiam adversus corpus in Adamum pronuntiatam, quoniam « terra es, et in terram iterum reverteris, ejus terræ similem, ex qua etiam plasmatus es [12]. » Anima porro non de terra facta est, non ex aere, non ex aquis, non ex igne, non ex luce, non ex sole, non ex nubibus, neque ex alia quavis creata aspectabili substantia, sive natura, vel excogitabili essentia; verum ex ipsa immaculata, æterna, incomprehensibili, inexplicabili, invisibili, figuræ experte, immortali, incorruptibili, intacta, defluxum non patiente, incorporeaque Dei natura creationem, subsistentiam, et ortum per divinum illum afflatum, Deo similis, a Deo data, Deo affinis, a Deo creata anima nostra habuit, ut ex fonte vitæ quodam vita, et vivificans progressa, utque ex lucis thesauro creata fax, utque pariter ex quadam sempiterni aromatis abysso odoris divino ex ore respiratio genita, et egressa, atque in Adam habitatione locata : utque fidenter dicam, ab omnium conditore Dei Verbo rationalis nobis traditus est animus, ex immaculato ipsius ore in nosmetipsos inspiratus, ex divino corde in nostrum collocatus cor, ex Dei

[12] Gen. III, 19.

A λεῖται ἐνέργειαν· ὥσπερ καὶ ἡ ταπεινοφροσύνη δι' ἐνεργείας ψυχικῆς ἐνεργεῖται, καὶ ὑφίσταται, καὶ περιληπτικῶς εἰπεῖν, πᾶσαι αἱ ἀναγκαῖαι καὶ πνευματικαὶ ἀρεταὶ, ὧν ῥίζα, καὶ μήτηρ, καὶ θεμέλιός ἐστιν ἡ καθαρότης τῆς καρδίας, κατὰ τὴν νοερὰν καὶ μόνην τῆς λογικῆς ἡμῶν ψυχῆς ἐνέργειαν ἐπιτελοῦνται, οὐ χρῄζουσαι τοῦ σώματος εἰς τὴν ἑαυτῶν ἐκπλήρωσιν. Ὅθεν καὶ οἱ πληροὶ, καὶ ἀσθενεῖς, καὶ ἀκίνητοι ὄντες τῇ σαρκὶ, δύνανται διὰ τῶν τοιούτων ἀρετῶν τῇ κατὰ ψυχὴν ἐνεργείᾳ εὐαρεστῆσαι τῷ Θεῷ· καὶ ἐν τῷ ὕπνῳ δὲ μάλιστα τῷ καθ' ἡμᾶς δείκνυται τὸ διττὸν τῆς καθ' ἡμᾶς ἐνεργείας· τοῦ γὰρ σώματος ὥσπερ νενεκρωμένας καὶ σχεδὸν ἀνενεργήτους τὰς αἰσθήσεις ἔχοντος, ἡ νοερὰ καὶ λογιστικὴ τῆς ψυχῆς ἐνέργεια B ἀκοιμήτως καὶ ἀσιγήτως τὰ πάντα περιπολεῖ.

Ἐπεὶ πῶς καὶ χωριζομένη τοῦ σώματος ἐν τῷ θανάτῳ συνίσταται ἡ λογικὴ ψυχὴ, εἰ μὴ διὰ τῆς νοερᾶς αὐτῆς, καὶ ζωτικῆς, καὶ ἀειζώου ἐνεργείας; Καὶ μάλιστα αἱ τῶν δικαίων ψυχαὶ πῶς νῦν Θεὸν αἰνοῦσι; κατὰ ποίαν ἐνέργειαν τὴν παρ' αὐτοῦ εἰσδέχονται Ἐλλαμψιν; πῶς ὑπὲρ κόσμου πρεσβεύουσιν; Ἕκαστον γὰρ πρὸς τὴν οἰκείαν συγγένειαν τὴν ἰδιότητα ἔχει. Τὸ μὲν σῶμα ὡς ἐξ ἠρεμούσης, καὶ νεκρᾶς, καὶ ἀκινήτου, καὶ ἀναισθήτου γῆς ὑφεστὼς νεκρόν τε καὶ ἄψυχον, καὶ ἀναίσθητον, καὶ ἀκίνητον, καὶ πάντη ἄπρακτον ἐν τῷ θανάτῳ γίνεται, κατὰ τὴν θείαν ἀπόφασιν τὴν περὶ τοῦ σώματος πρὸς τὸν Ἀδὰμ ῥηθεῖσαν, ὅτι « Γῆ εἶ, καὶ εἰς γῆν C ὡς γῆ ἀπελεύσῃ, ἐξ ἧς καὶ ἐπλάσθης. » Ἡ δὲ ψυχὴ οὐκ ἐκ γῆς γέγονεν, οὐκ ἐξ ἀέρος, οὐκ ἐξ ὑδάτων, οὐκ ἐκ πυρὸς, οὐκ ἐκ φωτὸς, οὐκ ἐξ ἡλίου, οὐκ ἐκ νεφέλης, οὐδὲ ἐξ ἑτέρας τινὸς ὑποστάσεως, ἢ οὐσίας κτιστῆς ὁρωμένης, ἢ νοουμένης· ἀλλ' ἐξ αὐτῆς τῆς ἀχράντου, καὶ ἀΐδίου, καὶ ἀκαταλήπτου, καὶ ἀνερμηνεύτου, καὶ ἀοράτου, καὶ ἀσχηματίστου, καὶ ἀθανάτου, καὶ ἀφθάρτου, καὶ ἀψηλαφήτου, καὶ ἀῤῥεύστου, καὶ ἀσωμάτου φύσεως τοῦ Θεοῦ τὴν κτίσιν, καὶ τὴν ὕπαρξιν, καὶ τὴν πρόοδον διὰ τοῦ θείου ἐκείνου ἐμφυσήματος ἡ θεοείκελος, καὶ θεόσδοτος, καὶ θεόμοιος, καὶ θεόκτιστος ἡμῶν ψυχὴ ἔσχεν, ὥσπερ ἔκ τινος πηγῆς ζωῆς ζωὴ καὶ ζωοποιὸς προελθοῦσα, καὶ ὡς ἐκ θησαυροῦ φωτὸς λαμπηδὼν D δημιουργηθεῖσα, καὶ ὡς ἔκ τινος ἀβύσσου ἀΐδίου ἀρώματος εὐωδίας πνοὴ διὰ τοῦ θείου στόματος γεννηθεῖσα, ἐξελθοῦσα, καὶ τῷ Ἀδὰμ ἐνοικισθεῖσα (1)· καὶ ὅπως ἀποτολμήσας εἴπω, ἐκ τοῦ δημιουργοῦ τῶν ἁπάντων Θεοῦ Λόγου ἡ λογικὴ ἡμῖν μετεδόθη ψυχὴ, ἐκ τοῦ ἀχράντου στόματος εἰς ἡμᾶς ἐμπνευσθεῖσα, ἐκ Θεοῦ καρδίας ἡμῖν καρδιωθεῖσα,

NOTÆ.

(1) Notandum quæ leguntur hic a verbis καὶ ἐν τῷ ὕπνῳ, κ. λ. quæ sunt initio hujus paginæ usque ab hanc vocem ἐνοικισθεῖσα, et ea, quæ mox subduntur a verbis καὶ ἐποίησε παρ' ἑαυτοῦ, κ. λ. pag. sequentis, usque ad voces διαφέρει ὁ ἄνθρωπος inclusive, haberi in fine libri ejusdem Anastasii, qui inscribitur : *De hominis creatione a Deo ad imaginem, et similitudinem suam*, impressi in calce *Philoculiæ Origenis* edit. Paris. 1624 4, p. 695.

ἐκ Θεοῦ ψυχῆς ἡμῖν ἐμψυχωθεῖσα, ἐκ Θεοῦ νοὸς ἡμῖν νοερωθεῖσα· ὅθεν ὡς ἐξ αὐτοῦ τοῦ Θεοῦ τοῦ ἀκινήτου διὰ τοῦ στόματος (2) καὶ τοῦ ἐμφυσήματος τοῦ θείου προελθοῦσα, καὶ γεννηθεῖσα ἀεικίνητος ὑπάρχει, καὶ μόνην παρὰ πᾶσαν τὴν κτίσιν κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ ὑπάρχει, καὶ προσηγορεύθη, ὡς ἔχουσα ἐν ἑαυτῇ κατὰ χάριν τὰ τῆς θείας φύσεως ἰδιώματα τυπικῶς· λέγω δὴ τὸ ἀκατάληπτον, τὸ ἀόρατον, τὸ ἀσώματον, τὸ ἀσχημάτιστον, τὸ καθαρὸν, τὸ ἀθάνατον, τὸ αἰώνιον, τὸ ἄφθαρτον, τὸ αὐτεξούσιον, τὸ ἀναμάρτητον, τὸ ζωοποιὸν, τὸ σοφιστικὸν, τὸ πνευματικὸν, τὸ δημιουργητικόν.

Ὥσπερ γὰρ ὁ Θεὸς ἐκ γῆς ἄνθρωπον, οὕτω καὶ ἄνθρωπος ἐκ γυναικὸς κατὰ χάριν δημιουργεῖ ἄνθρωπον· καὶ ὥσπερ ἐπὶ τῆς πρώτης πλάσεως τὸ μὲν σῶμα ἐκ τῆς γῆς ἔσχεν ὁ ἄνθρωπος, τὴν δὲ ψυχὴν ἐξ αὐτοῦ τοῦ Θεοῦ γεννηθεῖσαν· οὕτω καὶ νῦν τὸ μὲν σῶμα ἐκ τῆς γυναικείας γῆς καὶ αἵματος συνίσταται, ἡ δὲ ψυχὴ διὰ τῆς σπορᾶς ὥσπερ διά τινος ἐμφυσήματος ἐκ τοῦ ἀνθρώπου ἀῤῥήτως μεταδίδοται. Ἐπὶ μὲν οὖν τῆς τῶν ἀγγέλων καὶ τῶν Χερουβὶμ καὶ Σεραφὶμ δημιουργίας εἴρηται ὅτι αὐτὸς, τουτέστιν ὁ Θεὸς, « Εἶπε, καὶ ἐγεννήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν· » ἐπὶ δὲ τοῦ ἀνθρώπου τοῦ κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ ὄντος, οὐχ οὕτως· ἀλλὰ τὸ μὲν σῶμα διὰ τῶν οἰκείων καὶ θείων χειρῶν αὐτοῦ ἔπλασεν ὁ Θεὸς, τὴν δὲ ψυχὴν ὡς ἀόρατον ἐκ τῆς παναοράτου αὐτοῦ ψυχῆς διὰ τοῦ ἐμφυσήματος προήγαγε καὶ ἐποίησε παρ' ἑαυτοῦ, καὶ οὐκ ἐκ τῶν ἐκτὸς ἑαυτοῦ ταύτην ἡμῖν ἐνθεὶς, ὡς Γρηγορίῳ δοκεῖ

Οὐκοῦν εἰ ἐκ στόματος καὶ πνοῆς Θεοῦ προῆλθεν ἡ ψυχὴ, ἐκ πνοῆς Θεοῦ προῆλθον, καὶ συμπροῆλθον πάντα τὰ τῆς ψυχῆς οὐσιώδη ἰδιώματα, τουτέστι, τὸ λογιστικὸν, τὸ νοερὸν, τὸ θελητικὸν, τὸ ἐνεργητικὸν, τὸ ζωοποιόν; ὄντινων ἀναιρουμένων οὐδὲ ἔστιν, οὐδὲ γνωρίζεται ψυχὴ λογική· καθάπερ γὰρ τὰ στοιχεῖα συστατικὰ καὶ συμπληρωτικὰ τοῦ σώματος ὑπάρχει, οὕτω καὶ ἡ ψυχὴ διὰ τῶν οἰκείων ἕξεων, καὶ ἰδιοτήτων συνίσταται καὶ γνωρίζεται, καὶ τῶν ἀλόγων ὡς λογικὴ διακρίνεται. Κατὰ γὰρ τὸ νοερὸν, καὶ λογιστικὸν, ἤτοι βουλευτικὸν, καὶ θελητικὸν, καὶ μόνον τῶν ἀλόγων διαφέρει ὁ ἄνθρωπος· σχεδὸν ἐν πᾶσι τοῖς λοιποῖς, καὶ μάλιστα τοῖς τοῦ σώματος κοινωνικὸς, καὶ ὅμοιος, καὶ ὁμοούσιος τῶν ἀλόγων καθέστηκε· καὶ γὰρ ἐκ τῆς αὐτῆς γῆς ὄντα, ὅθεν καὶ τὸ ἡμέτερον σῶμα γέγονε, καὶ θυμὸν ἔχουσι, καὶ κίνησιν ἔχουσι, καὶ ψυχὴν ἄλογον καὶ ἀθέλητον ἔχουσι, καὶ ζωὴν ἔχουσι, καὶ φωνὴν, καὶ πνοὴν ἔχουσι, καὶ σάρκα, καὶ αἷμα, καὶ χυμὸν, καὶ ὀστᾶ, καὶ πάντα τὰ ἐν σώματι ἡμῶν ἔχουσι, καὶ μνήμην ἔχουσι, ὡς φησιν ὁ Θεὸς πρὸς τὸν Ἰὼβ, καὶ ὄρεξιν ἔχουσι, καὶ πεῖναν, καὶ δίψαν, καὶ κόπον, καὶ ἱδρῶτα, καὶ

spirita in nos spiratione diffusus, ex divina mente nobis intellective concessus; quapropter tanquam ex ipso Deo immobili per divinum os, divinamque spirationem, profluens, et originatus, perpetuo mobilis manet, solusque præter reliquas omnes creaturas ad imaginem, similitudinemque divinam exsistit et denominatur, ut in semetipso figurative per gratiam habens divinæ ipsius naturæ proprietates, quod videlicet, inquam, incomprehensibilis sit, invisibilis, corporis expers, figura carens, purus, immortalis, æternus, incorruptibilis, a se ipso subsistens, peccati labe non pollutus, vivificans, sapiens, spiritalis, operativus.

Quemadmodum namque Deus hominem de terra formavit, sic homo de muliere per gratiam hominem generat; ac sicuti in prima illa formatione sortitus est homo de terra corpus, animum autem ex Deo ipso originatum: ita nunc pariter corpus ex muliebri terra, sanguinibusque consistit, animus autem per semen, veluti per quamdam ex homine spirationem, ineffabiliter ex homine traditur. Enimvero de angelorum, deque Cherubim et Seraphim opificio dictum est, quia ipse, Deus scilicet, « dixit, et facta sunt; ipse mandavit, et creata sunt [14]: » non ita porro de homine, qui est ad Dei imaginem atque similitudinem editus: verum hujus quidem corpus propriis suis divinis manibus plasmavit Deus: animam autem, ut invisibilem, ex summa invisibili spiritu suo per inspirationem produxit, atque, ut Gregorio visum est, ex semetipso fecit, non autem ex eorum aliquo, quæ extra ipsum essent formatam eam nobis contulit Dominus.

Nonne igitur, si divino ex ore, atque spiritu processit animus, simul etiam cum ipso omnes animi essentiales proprietates processere, rationalis videlicet, intellectiva, volitiva, operativa, vivificansque potestas? quibus nempe sublatis, neque amplius est, neque rationalis anima cognoscitur. Quemadmodum enim corpus elementa componunt, atque perficient, ita pariter suis dotibus, proprietatibusque perficitur, et dignoscitur animus, ac tanquam rationalis a brutis discernitur ratione destitutis. Namque intellectu, rationeque solum, vel deliberativa volitivaque facultate ab animantibus brutis discrepat homo: in reliquis autem, iisque potissimum, quæ corpus spectant, æqualis, similis, consubstantialis quoque brutis ipsis constitutus esse prospicitur: ex eadem quippe terra formata, ex qua nostrum quoque corpus compactum est, et iram habent, et motum habent, et anima rationis voluntatisque experte non carent, et vitam, et vocem, et respirationem habent, et carnem, et sanguinem, et succum, et ossa, et omnia quæ in nostris corporibus prospiciuntur, habent, et memoria ipsa,

[14] Psal. XXXII, 9.

NOTÆ.

(2) In marg. litteris majoribus sequens scholium est ascriptum : εὑρίσκομεν γὰρ ἐν τῇ Γραφῇ καὶ καρδίαν, καὶ ψυχὴν, καὶ νοῦν, καὶ στόμα, καὶ ἀκοὴν Θεοῦ.

ut apud Jobum inquit Dominus, præstant, et appetitus habent, et fami, et sitî, et doloribus subjiciuntur, atque sudoribus : omnia denique corporea nostra sunt ipsis æque communia : hoc uno tamen carent, rationali scilicet, et intellectuali, ac deliberativa animi immortalis nostri a Deo procedentis facultate.

πάντα τὰ σωματικὰ ἡμῶν ἔχουσι· μόνον δὲ τὸ λογιστικὸν, καὶ νοερὸν, καὶ βουλευτικὸν τῆς ἀθανάτου ἡμῶν ψυχῆς τὸ ἐκ Θεοῦ προελθὸν οὐκ ἔχουσιν.

Age nunc vero, amabo, cæcitatem et errorem aspice hæreticorum, qui omnia nobis cum brutis animantibus communia, quin quidpiam detrahant, in Christo confitentur, corpus scilicet, materiem, corruptionem, succum, sanguinem, lacrymas, sputum, ossa excrementa, fluores, famem, sitim, dolores, sudores, mortem, interitum, quæ natura sua extranea ab eo sunt, Deoque minus digna, propterea quod jumentis, et feris, et serpentibus communia sint : immortalis vero, intellectualisque animæ attributiones, quæ ad Dei sunt imaginem, atque similitudinem, et ex ejus immaculato ore procedentes, et propemodum dicerem, cognationem quamdam per gratiam cum Deo ipso, et similitudinem habentes ; has, inquam, tanquam malas in Christo fateri impii hi non patiuntur : quibus universa nostra, sive humana natura vitam habet, atque servatur. Sublata quippe vitali hac et vivificante spiritus nostri facultate, deducitur continuo ad mortem homo, corpore nimirum ea virtute animali destituto, qua regitur, atque vivificatur : rursusque si ab animo rationalis ejus tollatur vis, volitivaque, atque appetitiva detrahatur potestas, nihil jam erit reliqui, quo ab irrationali, cogitationisque experte equi animo discernatur.

Ὅρα μοι λοιπὸν τὸ τυφλὸν καὶ πεπλανημένον τῶν αἱρετικῶν· πάντα τὰ συγγενῆ ὄντα τῶν ἀλόγων ἀνελλιπῶς ὁμολογοῦσιν ἐν τῷ Χριστῷ, τουτέστι, σῶμα, ὕλην, φθορὰν, χυμὸν, αἷμα, δάκρυον, πτύσμα, ὀστᾶ, κόπρον, ῥύσιν, πεῖναν, δίψαν, κόπον, ἱδρῶτα, θάνατον, νέκρωσιν, ἅπερ εἰσὶ κατὰ φύσιν ἀλλότρια ὄντως καὶ ἀνάξια Θεοῦ, ὡς ἴδια ὄντα κτηνῶν, καὶ θηρίων, καὶ ἑρπετῶν· τὰ δὲ τῆς νοερᾶς καὶ ἀθανάτου ψυχῆς ἰδιώματα, τὰ κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ ὑπάρχοντα, καὶ ἐκ τοῦ ἀχράντου αὐτοῦ στόματος προελθόντα, καὶ σχεδὸν εἰπεῖν, συγγένειάν τινα Θεοῦ κατὰ χάριν καὶ ὁμοίωσιν ἔχοντα, ταῦτα ὡς πονηρὰ ὄντα ὁμολογεῖν ἐν Χριστῷ οἱ μιαροὶ οὐκ ἀνέχονται· δι' ὧν πᾶσα ἡμῶν, ἢ τῶν ἀνθρώπων φύσις ζωοποιεῖται καὶ σώζεται. Ἀναιρουμένης γὰρ τῆς ζωτικῆς καὶ ζωοποιοῦ τῆς ψυχῆς ἡμῶν ἐνεργείας, εὐθέως ὁ ἄνθρωπος θανάτῳ παραπέμπεται, χωριζομένου τοῦ σώματος τῆς συγκρατούσης, καὶ ζωοποιούσης αὐτὸ ψυχικῆς ἐνεργείας· στερουμένης δὲ πάλιν τῆς λογικῆς ἡμῶν ψυχῆς, καὶ ἀναιρουμένης τῆς θελητικῆς αὐτῆς καὶ ἐπιθυμητικῆς δυνάμεως, οὐδὲν διαφέρει τῆς ἀλόγου καὶ ἀδιανοήτου τοῦ ἵππου ψυχῆς.

Quomodo porro fieri poterit, ut Deo beneplacens sit, nisi volitiva, operativaque hac sui motionis atque potestate? Quomodo autem divinam ipsam implere poterit voluntatem, nisi per inditam sibi essentialem voluntatem? Quam voluntatem sæpius in sacris Litteris variis appellationibus designatam reperimus : dictam scilicet bonam voluntatem, concupiscentiam, desiderium, dilectionem, amorem. Cujus sane rei breve aliquod testimonium referre non pigebit. Dicitur itaque quod « voluntatem timentium se faciet Dominus [18] » et beati hominis voluntatem esse in lege Domini [19] ; et « Quemadmodum desiderat cervus ad fontes aquarum, ita desiderat anima mea ad te, Deus [17] et « concupiscit, et deficit anima mea in atria Domini [18] ; » et « concupivi salutare tuum, Domine [19]. » De dilectione autem dicitur : « Diligam te, Domine, fortitudo mea [20]. » et « Dilexi, quoniam exaudiet Dominus vocem orationis meæ [21], » et « quomodo dilexi legem tuam, Domine [22], et « Diliges Dominum Deum tuum ex toto corde tuo, et ex tota anima tua. » Quomodo igitur diligere Deum poterit animus, qui in seipso essentia inditam non habeat volendi, diligendi, desiderandi, concupiscendi, amandique naturalem, bonamque potestatem ? qua scilicet præstans Ignatius aiebat : « Amor meus crucifixus

Πῶς γὰρ ἂν καὶ εὐαρεστήσῃ τῷ Θεῷ, εἰ μὴ διὰ τῆς θελητικῆς καὶ ἐνεργητικῆς αὐτῆς κινήσεως καὶ δυνάμεως ; Πῶς δὲ καὶ τελέσῃ τὸ τοῦ Θεοῦ θέλημα, εἰ μὴ διὰ τοῦ ἐμφύτου αὐτῆς καὶ οὐσιώδους θελήματος ; Ὑπερ πολλάκις ἐν τῇ Γραφῇ διαφόρως ὀνόμασιν εὑρίσκομεν ὀνομαζόμενον, τουτέστι, θέλημα ἀγαθὸν, ἐπιθυμίαν, ἀγάπην, ἔρωτα. Εἰ δὲ δεῖ καὶ μικρὰς μαρτυρίας ἐνθεῖναι, οὐκ ὀκνητέον. Εἴρηται γοῦν, ὅτι « Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει ὁ Κύριος· » καὶ « Ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα τοῦ μακαρίου ἀνδρός· » καὶ « Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ, ὁ Θεός· » καὶ « Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου· » καὶ « Ἐπεπόθησα τὸ σωτήριόν σου, Κύριε. » Περὶ δὲ ἀγάπης· « Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου· » καὶ « Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος· » καὶ « Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε· » καὶ « Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου. » Πῶς οὖν δυνήσεται ἀγαπῆσαι τὸν Θεὸν ἡ ψυχὴ, μὴ ἔχουσα οὐσιωδῶς ἐν ἑαυτῇ τὴν δύναμιν τὴν θελητικὴν, καὶ ἐπιθυμητικὴν, καὶ ἀγαπητικὴν, καὶ ἐρωτικὴν, φυσικήν τε καὶ ἀγαθήν ; ἣν ἔχων Ἰγνάτιος ἔφασκεν, ὅτι Ὁ ἐμὸς ἔρως ἐσταύρωται· ὄντινα ἔρωτα Θεοῦ, καὶ ἀγάπην Θεοῦ, καὶ πόθον, καὶ ἐπι-

[18] Psal. CXLIV, 19. [19] Psal. I, 2. [17] Psal. XLI, 2. [18] Psal. LXXXIII, 3. [19] Psal. XVII, 2. [20] Psal. CXIV, 1. [21] Psal. CXVIII, 97. [22] Deut. VI, 5 ; Matth. XXII, 37.

θυμίαν Θεοῦ, καὶ θελητικὴν ὄρεξιν πρὸς Θεὸν μὴ ἔχοντες, οὗτοι τὸ θέλημα τὸ διαβολικὸν ἔχοντες, καὶ τὰ θελήματα τῆς σαρκὸς αὐτῶν πράττοντες, παραιτοῦνται ὡς πονηρὸν τὸ θεόσδοτον, καὶ θεόκτιστον, καὶ θεόμοιον τῆς νοερᾶς καὶ θεοχαράκτου ἡμῶν ψυχῆς ὁμολογεῖν ἐν Χριστῷ, καὶ τὴν ζωοποιὸν αὐτῆς καὶ συστατικὴν θεῆπνουν ἐνέργειαν· ὧν χωρὶς ἡ νοερὰ, καὶ θεόσδοτος, καὶ θεόστομος τοῦ ἐμφυσήματος τοῦ θείου ἡμῶν ψυχὴ, οὔτε θελῆσαι, οὔτε ἐνεργῆσαί τι τῶν θείων ἐντολῶν δύναται. Εἰ δὲ ἀλλοτρία ἐστὶν ἡ νοερὰ ἡμῶν ψυχὴ ἀγαθῆς καὶ θεομιμήτου θελήσεως καὶ ἐνεργείας, πῶς πρὸς ἀνθρώπους λέγει ὁ Θεὸς, ὅτι « Ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε; » Πῶς ποιήσει τὸ θεῖον θέλημα ἡ ψυχὴ, εἰ μὴ ἔχει δύναμιν θελητικὴν καὶ ἐνεργητικήν; Πῶς δὲ ἐπετράπη εὐθέως, ἡνίκα γέγονεν ὁ Ἀδὰμ, ἐργάζεσθαι καὶ φυλάττειν τὸ Δεσποτικὸν πρόσταγμα;

A est; » quem quidem amorem Dei, Divinamque dilectionem, Dei desiderium, atque concupiscentiam, et voluntatis appetitum ad ipsum qui non habent, hi diabolicam habentes voluntatem, et voluntates carnis suæ perficientes, divinum hoc donum, a Deo creatum, Deique simile intellectualis, a Deoque formati animi nostri, tanquam malum in Christo confiteri recusant, atque vivificantem etiam ejus, et consistentem, a Deo spiratam ipsi adimunt facultatem: quibus si destituatur intellectualis animus noster a Deo datus, divinæque ipsius naturæ particula, jam neque velle, neque conari ad aliquod poterit divinorum mandatorum. Si vero intellectualis noster hic animus bona hac caret, Deumque imitata voluntate operationeque, quomodo inquit hominibus Deus, « Si volueritis, et audieritis me, bona terræ comedetis? » Quomodo Divinam implebit voluntatem animus, si careat volitiva atque operativa facultate? » Quomodo permissus est Adam, continuo ac genitus est, operari, divinumque præceptum custodire?

Ἀλλὰ παρετράπη φύσιν ὁ ἄνθρωπος, καὶ πάντα τὰ τοῦ ἀνθρώπου πάντως, ἐροῦσι πρὸς ἡμᾶς οἱ αἱρετικοὶ, καὶ τούτου χάριν ἀλλότριον καὶ ἀνάξιόν ἐστι τὸ λέγειν ἐπὶ Χριστοῦ ἀνθρώπινον θέλημα, ἢ ἀνθρωπίνην ἐνέργειαν. Οὐχ οὕτως· οὐ γὰρ ὁλοτελῶς τῇ φύσει ἐτράπη, ἦγουν ἠλλοιώθη ἐξ ἀφθαρσίας εἰς φθορὰν ὁ Ἀδάμ· ἀλλὰ τὸ σῶμα, ὡς ἐκ γῆς καὶ τρεπτῆς φύσεως γεγονὸς καὶ πλασθὲν, τοῦτο τὴν τροπὴν ἐξ ἀφθαρσίας καὶ ἀθανασίας ὑπέμεινε, φθαρτὸν καὶ θνητὸν γενόμενον διὰ τῆς παραβάσεως. Οὕτω γάρ ἐστιν ὁ περιπεσὼν τοῖς λῃσταῖς, καὶ γενόμενος, ὥς φησι τὸ Εὐαγγέλιον, ὑπὸ τῶν πληγῶν αὐτῶν ἡμιθανὴς, οὐ μὴν καὶ ὁλοθανής. Ἡ γὰρ ψυχὴ, ὡς ἐξ ἀθανάτου οὐσίας Θεοῦ καὶ ἀτρέπτου διὰ τοῦ ἐμφυσήματος κτισθεῖσα, εἰ καὶ τῇ προσβολῇ τοῦ ξύλου συγκατῆλθεν, ἀλλ' ὅμως ἔμεινεν ἐν τῇ οἰκείᾳ τῇ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν Θεοῦ ἀφθαρσίᾳ καὶ ἀθανασίᾳ, οὐ χρῄζουσα οὐσιώδους ἀναπλάσεως, καθάπερ τὸ σῶμα, ἀλλὰ μόνης λογιστικῆς τινος διορθώσεως καὶ ἐξομολογήσεως, οὐκ ἀναιρέσεως θελήσεως, ἵνα μὴ ἄλογος γένηται, οὐκ ἐξαλείψεως ἐνεργείας, ἵνα μὴ νεκρὰ καὶ ἀνενέργητος, ὡς τὰ ἄψυχα γένηται.

B At vero deflexit homo a natura, unaque omnia quæ ad hominem ipsum pertinebant omnino, dicent adversus nos hæretici; atque ea de causa indignum est alienumque, ut dicatur esse in Christo humanam voluntatem atque facultatem. Minime vero gentium. Non enim undique natura conversus, vel ex incorruptione in corruptionem mutatus est Adam; sed corpus, ut ex terra editum, mutabilique natura plasmatum, hac conversione ex incorruptibilitate atque immortalitate qua gaudebat, corruptibile mortaleque factum est per prævaricationem. Hoc videlicet is designat, qui incidit in latrones, et semivivus plagis effectus est, ut in Evangelio narratur, non autem exstinctus. Animus siquidem, tanquam ex immortali immutabilique divinaque essentia per inspirationem creatus, licet certamini illi, casuique ligni subjectus fuerit, mansit is tamen in propria ad Dei Imaginem et similitudinem incorruptione et immortalitate, quin nova egerit suæ essentiæ reformatione, ut corpus, sed quadam rationali correctione tantum, et expiatione, minime vero sublationem passus est voluntatis, ne rationis fieret expers, neque facultatis operativæ deletionem, ne mortuus actionisque incapax, ut inanimatus efficeretur.

C

D

Ἐπιδημήσας οὖν ὁ τοῦ Θεοῦ Λόγος ἐπὶ τὸ ἀνακαινίσαι τὸν Ἀδὰμ, τοιαύτην ἑαυτῷ ψυχὴν ἐδημιούργησεν, οἵαν ἀπαρχῆς ἐξ ἑαυτοῦ διὰ τοῦ ἐμφυσήματος τῷ Ἀδὰμ μετέδωκεν, ἤγουν ἐνέπνευσε κατ' εἰκόνα αὐτοῦ τοῦ Θεοῦ Λόγου οὖσαν, καὶ καθ' ὁμοίωσιν, ὥς φησιν ἡ Γραφὴ, κατ' εἰκόνα αὐτοῦ ὅλην ὑπάρχουσαν, καθ' ὁμοίωσιν αὐτοῦ τὴν ὕπαρξιν ἔχουσαν, κατ' εἰκόνα αὐτοῦ τὴν θέλησιν, κατ' εἰκόνα αὐτοῦ τὴν ἐνέργειαν διαγράφουσαν, καθαρὰν, ἄμωμον, ἄῤῥητον, ἀναμάρτητον, μὴ δεομένην οὐσιώδους ἀναπλάσεως, ὥσπερ τὸ σῶμα, καὶ τὰ τοῦ σώματος, μὴ χρῄζουσαν τῶν οἰκείων μερῶν, καὶ μελῶν ἀλλοίωσιν, καὶ ἀνάκτισιν, μὴ ἔχουσαν θέλησιν ἀφανισμοῦ δεομένην, μὴ ἔχουσαν ἐνέργειαν καταλύσεως χρῄζουσαν. Τί γὰρ

Adveniens itaque Dei Verbum, ut Adam renovaret, talem sibi ipsi condidit animam, qualem ab initio ex se ipso Adæ tradiderat per inspirationem, sive eam inspiravit ad Dei Verbi ipsius imaginem exsistentem atque ad similitudinem, ut inquiunt divinæ Litteræ, ad imaginem scilicet ejus totam, ac ad similitudinem ejus essentia donatam, ad imaginem ejus voluntate, ad imaginem ejus facultate designatam, puram, immaculatam, ineffabilem, peccato carentem, essentiæ reformatione, ut corpus, non egentem, partium, membrorumque, quæ corpus spectant, varietati, et reformationi non subjectam, voluntate interitui subdita carentem, neque suæ destructionis habentem potestatem. Quid enim es-

sentiæ reformatione indiguisset, quæ ex Deo processit, et ad imaginem et similitudinem Dei est, anima præsertim Verbi Dei summe immaculati?

Enimvero Adæ anima esse a Deo per inspirationem sortita est : Emmanuel autem anima in Deo, et cum Deo, et Dei similem habuit essentiam, ex ipso, et per ipsum, et cum ipso, et in ipso per hypostasim concorporaliter in immaculato Deique susceptivo utero subsistens ; ita ut (et si forte hoc audax dictu sit, dicam tamen) quemadmodum Dei Verbum ineffabiliter olim ex seipso produxit, creavitque rationalis animæ essentiam : ita etiam ex Virgineis femoribus in seipso eam fecerit inhabitare. Quænam ergo reliqua ei naturæ inesse macula potest, quæ initio ex Deo creatione procedens, nunc porro in Deo metipso habitaculum habet, cum Deo subsistens, tanto honorabiliorem nacta voluntatem operationemque, quo tunc quidem a Deo separatas suas habuit potentias atque facultates, nunc vero ex hypostatica unione Deo ipsi conjunctas, et aliqualiter Dei similes, atque cum Deo ipso subsistentes? Quæ cum ita se habeant, ridiculus, rursus inquam, est procul dubio stultitiæ hæreticorum error, quod passiones animantibus brutis communes corporis et carnis, mutationibus obnoxias in Christo fateantur : animæ vero tabiles essentia, in ipso dicere recusent.

Atque ne hæc nostris sententiis, sermonibusque dicta esse existimet, et contra eos disputata : age Deo adjuvante ex ipsa Scriptura argumenta proferamus.

Constitutus in vinculis Divus præcursor Joannes, oculisque mentis fore prospiciens, ut ab Herode sublatus ad inferos proficisceretur, mittens duos ex discipulis suis, a Christo percontatus est, dicens : « Tu es qui venturus es, » nempe ad inferos descensurus, « an alium exspectamus [23] ? » quemadmodum Petrus quoque in Catholica Epistola sua de Christo inquit quod « in infernum adveniens, et illis qui in carceribus erant spiritibus, incredulis aliquando, prædicavit [24], » quam quidem descensionem Dominus ipse apud Jobum prænuntiat dicens : « Numquid in profundum maris venisti, et in novissimis abyssi deambulasti? Nunquid apertæ sunt metu tibi portæ mortis, et janitores inferni te videntes exhorruerunt [25] ? » Ipse igitur Christi descensus ad inferos, præsentiaque, ac prædicatio ejus qua ratione facta sunt? Deum nemo vidit unquam, neque videre potest : sanctissimum etiam Christi corpus post mortem super terram jacebat in monumento. Quomodo igitur turbati sunt inferi? qua ratione videntes exhorruerunt inferorum custodes? quis a sæculis, vinculis ligatas animas dormientium hominum visitavit? Constat autem Domini Dei Jesu Christi summe immaculatam animam sibi consubstantiales animas rationales visitione sua esse dignatam : ipsa ad illas cum divini-

ἂν καὶ χρῄζῃ οὐσιώδους ἀναπλάσεως ἡ ἐκ Θεοῦ προελθοῦσα, καὶ ἐν εἰκόνι Θεοῦ καὶ ὁμοιώσει ὑπάρχουσα, καὶ μάλιστα ἡ παναχράντου τοῦ Θεοῦ Λόγου ψυχή;

Ἡ μὲν γὰρ τοῦ Ἀδὰμ ψυχὴ ἐκ Θεοῦ τὴν ὕπαρξιν διὰ τοῦ ἐμφυσήματος ἔσχεν· ἡ δὲ τοῦ Ἐμμανουὴλ ψυχὴ ἔνθεον, καὶ σύνθεον, καὶ ὁμόθεον τὴν οὐσίωσιν ἔσχεν, ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ σὺν αὐτῷ, καὶ ἐν αὐτῷ καθ' ὑπόστασιν συσσώμως ἐν τῇ παναχράντῳ καὶ θεοδόχῳ μήτρᾳ ὑποστᾶσα, ὥστε εἰ μὴ τολμηρὸν τὸ λέγειν, εἶπον ἄν, ὅτι ὥσπερ πάλαι ὁ Θεὸς Λόγος ἐξ ἑαυτοῦ ἀῤῥήτως προήγαγε καὶ ἔκτισε λογικῆς ψυχῆς οὐσίαν, οὕτω καὶ ἐκ παρθενικῶν λαγόνων εἰς ἑαυτὸν εἰσῴκε. Καὶ ποῖον λοιπὸν μῶμον δύναται ἔχειν οὐσία ἡ ἀπαρχῆς ἐκ Θεοῦ προελθοῦσα εἰς κτίσιν, καὶ νῦν ἐν αὐτῷ τῷ Θεῷ εἰσοικισθεῖσα, καὶ σύνθεος ὑπάρξασα, καὶ τιμιωτέραν τὴν φύσιν καὶ τὴν ἐνέργειαν ἔχουσα, ὅσῳ τότε μὲν χωριστὰς Θεοῦ τὰς ἑαυτῆς δυνάμεις καὶ ἰδιότητας ἔσχε, νῦν δὲ συναπτὰς Θεοῦ, καὶ οἱονεὶ ὁμοιοθέους, καὶ συνθέους τῇ καθ' ὑπόστασιν ἑνώσει; Καὶ τούτων οὕτως ἐχόντων, ὄντως, πάλιν λέγω, γέλως ὁ πλατὺς τῆς τῶν αἱρετικῶν ἀφροσύνης, ὅτι τὰ ὅμοια πάθη τῆς κτηνώδους φύσεως τῆς σαρκὸς τῆς τραπείσης, πάθη λέγουσιν ἐν Χριστῷ· τὰ δὲ τῆς κατ' εἰκόνα αὐτοῦ ψυχῆς ἰδιώματα τὰ οὐσιωδῶς μὴ τραπέντα παραιτοῦνται εἰπεῖν. proprietates, quæ ad imaginem Dei sunt immuta-

Καὶ ὅπως μὴ δόξωσιν ἐξ οἰκείων ἡμῶν ἐννοιῶν καὶ μύθων πρὸς αὐτοὺς διαλέγεσθαι, φέρε τῇ συνεργείᾳ τοῦ Θεοῦ Γραφικῶς τὰς παραστάσεις ποιήσωμεν.

Κατακλεισθεὶς ἐν τῷ δεσμωτηρίῳ ὁ θεῖος Ἰωάννης ὁ Πρόδρομος, καὶ ὄμμασι τοῖς νοεροῖς προγνοὺς, ὅτι ὑπὸ Ἡρῴδου ἀναιρούμενος ἐν ᾅδῃ πορεύεται, ἀποστείλας δύο τῶν ἑαυτοῦ μαθητῶν ἠρώτησε τὸν Χριστὸν, λέγων· « Σὺ εἶ ὁ ἐρχόμενος, » τουτέστιν ἐν τῷ ᾅδῃ κατερχόμενος, « ἢ ἕτερον προσδοκῶμεν; » καθὰ καὶ ὁ Πέτρος περὶ Χριστοῦ ἐν τῇ Ἐπιστολῇ τῇ Καθολικῇ λέγει, ὅτι « Πορευθεὶς ἐκήρυξε καὶ τοῖς ἐν φυλακῇ πνεύμασι τοῖς ποτε ἀπειθήσασιν, » ἤντινα κατάβασιν αὐτὸς ὁ Κύριος πρὸς τὸν Ἰὼβ προκαταγγέλλει λέγων· « Ἦλθες δὲ ἐπὶ τριβους θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας; ἀνοίγονταί σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔφριξαν; » Αὕτη δὴ οὖν ἡ κατάβασις Χριστοῦ ἡ ἐν τῷ ᾅδῃ, καὶ ἡ παρουσία, καὶ τὸ κήρυγμα πῶς γέγονε; Θεὸν οὐδεὶς ἑώρακε πώποτε, ἀλλ' οὔτε ἰδεῖν δύναται· πάλιν τε τὸ πανάγιον σῶμα Χριστοῦ ἐν τῷ θανάτῳ αὐτοῦ ἐν τῷ μνήματι ἄνω ἐπὶ γῆς ἔκειτο. Πῶς οὖν ὁ ᾅδης ἐσκυλεύθη; ποίαν μορφὴν οἱ πυλωροὶ τοῦ ᾅδου ἰδόντες ἔφριξαν; τίς τὰς ἀπ' αἰῶνος δεσμίους ψυχὰς τῶν κεκοιμημένων ἀνθρώπων ἐπεσκέψατο; Πρόδηλον, ὅτι ἡ πανάχραντος τοῦ Δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ψυχὴ τὰς ὁμοουσίους αὐτῆς ψυχὰς τὰς λογικὰς ἐπεσκέψατο· αὕτη πρὸς αὐτὰς κατελήλυθε σύνθεος· αὕτη τὸ δεσμωτήριον ἐσκύλευσεν· αὕτη τὸν τύραννον ἔδησε, καὶ

[23] Matth. xi, 3. [24] I Petr. iii, 19. [25] Job xxxviii, 16.

τοὺς δεσμίους ἀπέλυσε, βοήσασα τοῖς ἐν δεσμοῖς, Ἐξέλθετε, ὡς τόπον ἀναπληροῦσα τελείου ἀνθρώπου τοῦ ἐκ ψυχῆς συνισταμένου καὶ σώματος, λογιστικῶς τε ὡς λογική, καὶ θελητικῶς, καὶ ἐνεργητικῶς ἐν τῷ ᾅδῃ κηρύττουσα, καὶ ἐπιτρέπουσα, καὶ σκυλεύουσα, ἡ νοερὰ τὰς νοερὰς ἐπιβλέψασα, ψυχὴ τὰς ψυχάς, ἡ λογικὴ τὰς λογικὰς, ἡ ζωτικὴ τὰς ζωτικὰς, ἡ ἀθάνατος τὰς ἀθανάτους, ἡ ἐνεργητικὴ τὰς ἐνεργητικὰς, ἡ ἐνθελὴς τὰς θελητικάς. Πῶς γὰρ ἂν καὶ ἐδέξαντο τὸ τῆς ἁγίας ψυχῆς κήρυγμα, εἰ μὴ διὰ τῆς νοερᾶς αὐτῶν λογικῆς θελήσεως; οὐ γὰρ ἀναγκαστικῶς καὶ ἀκουσίως ἐπίστευσαν καὶ ἐσώθησαν, οὐδ' ἀπροαιρέτως, ἀλλ' ἑκουσίως καὶ γνώμῃ θελήσεως, καὶ ἐνεργείᾳ συγκαταθέσεως.

A tate descendit : ipsa carceri noxam intulit, atque molestiam ; ipsa ligavit tyrannum, vinctosque dissolvit, iis qui in vinculis jacebant proclamans, Exite, ut locum sustinens perfecti homiuis ex anima et corpore subsistentis, rationaliter, veluti rationalis, voluntarie, et operative in inferis prædicans et opem ferens, et molestiam inferens, intellectualis intellectuales prospieiens, anima animas, rationalis rationales, vitalis vitales, immortalis immortales, operativa operativas, volens volendi prædita facultate. Quomodo namque, nisi intellectuali, rationalique sua voluntate ii, qui in inferis erant, sanctæ illius animæ prædicationem susceperunt? non enim quippe coacte, sive involuntario credidere, salvique facti sunt : non temere inconsultoque, verum sponte deliberataque sententia voluntatis, et compositi ipsorum operatione, fidem susceperunt.

Πιστοῦται δέ μου τὰ λεγόμενα ὁ τῆς θεολογίας θεοφόρος Γρηγόριος, οὕτω πως φάσκων περὶ τῆς ἐν τῷ ᾅδῃ τοῦ Χριστοῦ καταβάσεως ἐν τῷ Λόγῳ τῷ εἰς τὸ ἅγιον Πάσχα· « Ἐὰν ἐν σταυρῷ Χριστὸς ἀνέρχεται, συνάνελθε· ἐὰν ἐν τῷ ᾅδῃ κατέρχεται, συγκάτελθε. Γνῶθι τὰ ἐκεῖ μυστήρια, τὴν διπλῆν κατάβασιν· πάντας ἁπλῶς σώζει ἐπιφανείς, ἢ κἀκεῖ τοὺς πιστεύοντας; » Ἰδοὺ οὐ πάσας λέγει Γρηγόριος τὰς ἐν τῷ ᾅδῃ ψυχὰς σωθείσας, ἀλλὰ μόνας τὰς Χριστῷ πιστευσάσας ἐξ οἰκείας προαιρέσεως καὶ θελήσεως. Πῶς γὰρ καὶ πιστεῦσαι εἶχον χωρὶς λογιστικῆς θελήσεως καὶ ἐνεργείας; Ἀνθρώπους μὲν γὰρ τοὺς ἐν σαρκὶ καὶ ψυχῇ ἄνω ἐπὶ γῆς ζῶντας, διὰ σαρκὸς ὁ Χριστὸς καὶ ψυχῆς ἐπεσκέψατο, καὶ ἔσωσε, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων, ὡς Γρηγόριός φησι, τοῖς ὁρατοῖς δι' ὁρατῆς φύσεως λαλῶν, καὶ ἐπιδημῶν· ψυχὰς δὲ σωμάτων ἀπηλλαγμένας διὰ ψυχῆς ἀχράντου σώματος ἀπηλλαγμένης ἐπεσκέψατο.

B Quæ porro dicta a me sunt, theologiæ signifer ille Gregorius confirmat, de Christi ad inferos descensu, in Sermone de sancto Paschate hæc habens : « Si in crucem ascendit Christus, simul ascende ; si in infernum descendit, descende simul. Quæ illic mysteria sunt cognosce, duplicem nimirum descensum; utrum omnes sine ulla exceptione adventu suo salvos fecerit, an et illic eos solum qui crediderunt? » Ecce non omnes ait Gregorius in inferis exsistentes animas salvas factas, sed eas tantum, quæ in Christum propria electione crediderant atque voluntate. Quomodo vero credere potuissent rationali voluntate, atque operatione destitutæ? Homines quippe hic super terram in carne animaque viventes per carnem et animam C visitavit Christus, servavitque, simile per simile repurgans, ut ipse inquit Gregorius, visibilibus visibili in natura locutus, cum iisque conversatus : animas autem jam a corporibus alienas per immaculatam animam corporis expertem visitavit.

Εἰ δὲ ἀθελὴς ἐστὶν ἡ πανάχραντος τοῦ Κυρίου ψυχή, πρόδηλον, ὅτι ἀκουσίως δίκην ἀλόγου ὑπετάττετο τῷ Θεῷ Λόγῳ, ὡς Ἀπολινάριος ληρῳδεῖ· εἰ ἀθελὴς ἦν, εὔδηλον, ὅτι δίκην τινὸς ἀστέρος, ἢ νεφέλης ἀλογίστου καὶ ἀδιανοήτου ἐν τῷ ᾅδῃ κατῆλθε, καὶ ὑπὸ τῆς Θεότητος, ὥσπερ ἄψυχον ὄργανον καὶ ἄλαλον, ἐλάλει, καὶ ἐκήρυττε, μήτε λόγον ἐνδιάθετον κατὰ τὴν οὐσίαν τῶν ψυχῶν ἔχουσα, μήτε νόησιν, μήτε διάνοιαν, μήτε περιγράπτην, ἢ ἐκπορευτικὴν ἐνέργειαν, καὶ τοπικὴν μετάστασιν. Καὶ ποίᾳ λοιπὸν ἐνεργείᾳ τοῦ σώματος ἐχωρίσθη, καταλιποῦσα αὐτὸ νεκρὸν, καὶ ἄψυχον, καὶ ἀκίνητον, καὶ ἀνενέργητον τὰς τῶν μελῶν κινήσεις, καὶ ἐνεργητικὰς πράξεις ἔχοντα; Ποίᾳ ἐνεργείᾳ ἐξελθοῦσα ἐκ τοῦ δεσμωτηρίου τοῦ ᾅδου ἐπανῆλθεν εἰς τὸ ἴδιον σῶμα; Ἡ γὰρ θεία ἐνέργεια ὡς ἀπερίγραπτος οὖσα, καὶ τὰ πάντα πληροῦσα, οὔτε ἐκ τόπου εἰς τόπον πορεύεται, οὔτε χώραν ἐκ χώρας ἀμείβεται, οὔτε ἀφίσταται, καὶ πάλιν τοπικῶς ἐπανέρχεται. Εἰ δὲ ἀθελὴς, καὶ ἀνενέργητος ἦν ἐν τῷ ᾅδῃ ἡ Κυριακὴ ψυχὴ, πάντως ὅτι καὶ ἀλογίαν καὶ ἄγνοιαν εἶχε, καὶ εὐρεθήσεται τιμιωτέρα αὐτῆς ἡ ψυχὴ τοῦ Σαμουὴλ ἀνελθοῦσα ἐκ τοῦ ᾅδου διά τινα οἰκονομίαν,

Si itaque voluntate caret immaculata Domini anima, sequitur manifeste ipsam necessario irrationalium instar Deo Verbo fuisse subjectam, quemadmodum inepte comminiscitur Apollinarius : rursusque voluntatis expers si sit, jam consequens palam est ipsam irrationalis sideris, sive nubis ad instar ad inferna descendisse, et sub Divinitate veluti inanimatum, et mutum organum, sese sermonibus, et prædicationi præstitisse, neque D interno sermone, sicuti animæ essentiæ convenit, neque intelligentia, neque cogitatione donatam ; circumscripta, procedentique operatione, et locali translationis facultate destitutam. Cæterum quanam actione a corpore separata est, ipsum mortuum, inanimatum et immobile relinquens, ipsa privatum etiam motus membrorum facultate, minimeque operativi actus virtute roboratum? Quanam actione ex inferni carceribus egressa in proprium corpus rediit? Divina quippe operatio incircumscripta cum sit, omniaque complens, non de loco procedit ad locum, neque de civitate in civitatem pertransit; non recedit, rursus localiter adventura. Itaque si voluntatis, si operationis expers in infe-

ris Dominica anima fuit, quoniam ratione, intellectioneque omnino destitueretur, dignior ipsa esse judicabitur Samuelis anima, ex inferis olim per dispensationem regressa, atque cum Saül collocuta, ipsique in crastino futurum interitum prænuntians, tum sui, tum filiorum; quod sane dæmon, neque prænoscere, neque prædicere potuisset, quanquam nonnulli sint, quibus hæc magis opinio placuerit.

A καὶ λαλήσασα τῷ Σαοὺλ, καὶ προειποῦσα αὐτῷ τὸν αὔριον θάνατον, καὶ αὐτοῦ, καὶ τῶν τέκνων αὐτοῦ· ὅπερ δαίμων οὔτε ἐγίνωσκεν, οὔτε προεἰπεῖν ἠδύνατο, κἂν τινες οὕτω νομίζουσιν.

Opportune autem hic tempus invitat, ut eam Athanasii sententiam in medium proferamus, quæ de intacta Dominica anima sic habet : « Jam vero non in sæculis, et nunc actionis expertes, otiosæque sunt divini Verbi cogitationes, neque ipsi per hypostasim conjunctæ, animæ rationalis : constituere namque quod volitione operationeque careat, idem est, atque ipsius non-existentiam pronuntiare. » Audistis, qui desipitis, rationeque, atque opere destituimini, quemadmodum nolle, neque deliberare intellectualem Dominicam animam, entitatis, sive essentiæ ejus non-subsistentiam designet?

Εὔκαιρον δὲ καιροῦ καλοῦντος ἐκείνην τὴν τοῦ μακαρίου Ἀθανασίου προαγαγεῖν φωνὴν τὴν περὶ τῆς ἀχράντου ψυχῆς τοῦ Κυρίου λέγουσαν οὕτως· « Ἀλλ' οὔτε μὴν εἰσέτι καὶ νῦν ἄπρακτοί τε καὶ ἀργαί εἰσιν αἱ τοῦ θείου Λόγου νοήσεις, οὔτε τῆς καθ' ὑπόστασιν αὐτῷ ἡνωμένης ψυχῆς λογικῆς· εἴγε τὸ μὴ θέλειν αὐτὴν, μήτε βούλεσθαι ἀνυπαρξίαν ἀπειλῇ. » Ἠκούσατε, οἱ ὄντως ἄλογοι, καὶ ἀνενέργητοι, ὅτι τὸ μὴ θέλειν, μηδὲ βούλεσθαι τὴν νοερὰν τοῦ Κυρίου ψυχὴν, ἀνυπαρξίαν τῆς οὐσίας δηλοῖ;

Itaque, cum vel laudatum sanctum Doctorem, vel alium quempiam ex Patribus audieris aientem, occultasse Christum carnalem voluntatem, humanasque non adimplevisse volitiones, subsitisseque sine humanis cogitationibus, carnalibusque voluntatibus, humanamque repudiasse operationem, nonnisi hoc recte intelligito, non eam, quæ ad imaginem et similitudinem ejus est voluntatem, atque operationem intellectualis animæ, quæ ex immaculato et incorporeo ejus ore processit, vel dissimulasse, vel recusasse; quoniam tunc improbans, et rejiciens, et ut mala condemnans, et ab rectitudine dissona sibique adversa reperiretur ea quæ ab ipsomet facta fuissent : quamobrem reliquum esset, ut in ipsum querela verteretur, quod malam voluntatem, operationemque una cum anima condidisset : quod absit ut unquam esse dicatur. Eam ergo diabolicam recusavit voluntatem, sive Satanicam operationem repudiavit Christus, quam sæpe divinæ Litteræ carnalem appellant, sanctusque Apostolus, ac beati Patres ex serpentis ore in hominem derivatam esse, in eoque inhabitasse denuntiant; non autem eam, quæ ad imaginem, et similitudinem Dei est, operationem, atque voluntatem, ex divino ore nobis inspiratam; hæc enim unica est a Deo tributa nobis voluntas, atque operatio, universæ salutis nostræ causa et effectrix. Spontanea enim animæ voluntate in Deum credimus; spontanea voluntate virginitatem servamus; spontanea voluntate studia, humilitatem, charitatem opere exercemus : voluntate diligimus proximum; utque summatim dicam, spirituales omnes divinæque visiones, illustrationes, revelationes, atque profectus in intellectuali nostra animi voluntate, atque operatione a Deo perficiuntur in nobis, et operantur, et accedunt.

Οὐκοῦν. ὅτε ἀκούσῃς τοῦ αὐτοῦ ὁσίου Πατρὸς, ἢ ἑτέρου τινὸς τῶν Πατέρων λέγοντος, ὅτι ἠφάνισεν ὁ Χριστὸς τὸ σαρκικὸν θέλημα, καὶ κατήργησε τὰ ἀνθρώπινα θελήματα, καὶ ὅτι χωρὶς ἀνθρωπίνων λογισμῶν, καὶ σαρκικῶν θελημάτων ὑπῆρχε, καὶ ὅτι παρῃτήσατο τὴν σαρκικὴν ἐνέργειαν, γνῶθι ἀκριβῶς, ὅτι οὐ τὴν κατ' εἰκόνα, καὶ καθ' ὁμοίωσιν αὐτοῦ θέλησίν τε καὶ ἐνέργειαν τῆς νοερᾶς ψυχῆς τῆς ἐκ τοῦ ἀχράντου καὶ ἀσωμάτου αὐτοῦ στόματος προελθούσης ἠφάνισεν, ἢ ἐξήλειψεν, ἢ κατήργησεν· ἐπεὶ εὑρεθήσεται τὰ ὑπ' αὐτοῦ γεννηθέντα, καὶ ἐξ αὐτοῦ προελθόντα καταλύων, καὶ ἀφανίζων, καὶ ἀνατρέπων, ὡς πονηρὰ, καὶ ἀσύμφωνα, καὶ ἀντίδικα αὐτοῦ· λοιπὸν δὲ καὶ εἰς αὐτὸν ἡ αἰτία καὶ ἡ μέμψις ἀνατρέχει, ὡς πονηρὰν θέλησίν τε καὶ ἐνέργειαν σὺν τῇ ψυχῇ δημιουργήσαντα. Ἀλλ' οὐχ οὕτω· μὴ γένοιτο· οὐκοῦν τὸ διαβολικὸν θέλημα, καὶ τὴν Σατανικὴν ἐνέργειαν ἐξήλειψε καὶ ἠφάνισεν ὁ Χριστὸς, ἣν πολλάκις σαρκικὴν ὀνομάζει ἡ θεία Γραφὴ, καὶ ὁ θεῖος Ἀπόστολος, καὶ οἱ μακάριοι Πατέρες, τὴν ἐκ τοῦ στόματος τοῦ ὄφεως τῷ ἀνθρώπῳ εἰσοικισθεῖσαν, οὐ τὴν κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ θέλησιν καὶ ἐνέργειαν, τὴν ἐκ τοῦ στόματος τοῦ Θεοῦ ἡμῖν ἐμπνευσθεῖσαν· αὕτη γὰρ καὶ μόνη ἡ θεόσδοτος ἡμῶν θέλησις καὶ ἐνέργειά ἐστιν αἰτία, καὶ ἐργάτις πάσης τῆς σωτηρίας ἡμῶν. Θελήματι γὰρ ἐκουσίῳ τῆς ψυχῆς εἰς Θεὸν ἐπιστεύσαμεν· θελήματι ἐκουσίῳ παρθενίαν ἐνεργοῦμεν· θελήματι ἐκουσίῳ ἄσκησίν τε καὶ χαμευνίαν, καὶ ἀγάπην πράττομεν· θελήματι τὸν πλησίον ἀγαπῶμεν· καὶ, ὅπως συντόμως εἰπω, πᾶσαι αἱ πνευματικαὶ καὶ θεῖαι ὁράσεις, καὶ ἐλλάμψεις, καὶ ἀποκαλύψεις, καὶ προκοπαὶ ἐν τῇ νοερᾷ ἡμῶν θελήσει καὶ ἐνεργείᾳ τῆς ψυχῆς ἐνεργοῦνται ὑπὸ Θεοῦ ἐν ἡμῖν, καὶ ἐπιτελοῦνται, καὶ προσγίνονται ἡμῖν.

Ac quanquam de hoc a nobis, paucis in præcedentibus dictum sit, nunc iterum expressius dicemus : duo denique esse præcepta, juxta Domini, Apostolique sententiam, in quibus universa præcepta

Καὶ εἴρηται μὲν ἡμῖν περὶ τούτου διὰ βραχέων ἐν τοῖς ἔμπροσθεν, καὶ νῦν δὲ πάλιν πλατυτέρως ἐροῦμεν. Δύο τοίνυν ἐντολάς φησιν ὁ Κύριος, καὶ ὁ Ἀπόστολος, ἐν αἷς περιέχεται, καὶ συνδέδεται πᾶσα

ἐντολὴ καὶ ἀρετὴ τουτέστι τὸ, « Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν· » καὶ αἱ δύο αὗται ἐντολαὶ κατὰ ψυχὴν λέγονται, καὶ ἐνεργοῦνται. Ἀγάπη γάρ ἐστιν, ὥς φησι Διονύσιος, ἑνωτικὴ καὶ συναπτικὴ τῆς ψυχῆς διάθεσις πρὸς τὸ ποθούμενον. Ὡσαύτως καὶ οἱ μακαρισμοὶ τοῦ Κυρίου, κατὰ τὴν νοερὰν θέλησίν τε καὶ ἐνέργειαν τῆς ψυχῆς ἐπιτελοῦνται· τὸ γάρ, « Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, » ψυχικῇ ἀρετῇ καθέστηκεν· ὁμοίως καὶ τὸ, « Μακάριοι οἱ πενθοῦντες, » ἐκ ψυχικῆς συνανθρωπότητος καὶ θελήσεως ἐνεργεῖται· καθὰ καὶ τὸ, « Μακάριοι οἱ πραεῖς, » καὶ τὸ, « Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, » καὶ τὸ, « Μακάριοι οἱ εἰρηνοποιοί. » Οὐ μόνον δὲ, ἀλλὰ καὶ πίστις, ἐλπὶς, ἀγάπη, ψυχικαὶ ἀρεταὶ, καὶ οὐ σωματικαὶ τυγχάνουσι· καθάπερ πάλιν κἀκεῖναι, ἃς ὁ αὐτὸς Ἀπόστολος ἀπαριθμεῖται λέγων, ὅτι « Οἱ καρποὶ τοῦ Πνεύματός εἰσιν ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθοσύνη, » καὶ τὰ ἑξῆς. Κατὰ νοερὰν θέλησίν τε καὶ ἐνέργειαν ἐν τῇ ψυχῇ προσγίνονται.

virtutesque continentur, atque colliguntur, videlicet, « Diliges Dominum Deum tuum ex toto corde tuo, et ex tota anima tua, et diliges proximum tuum, sicut teipsum [26] : » hæcque duo ipsa præcepta juxta animi facultatem proponi, et exerceri. Amor namque, ut Dionysius docet, unitiva est, et conjunctiva animi dispositio ad desideratum objectum. Sicut etiam beatitudines Dominicæ intellectuali voluntate, animique facultate perficiuntur : quod enim dicitur : « Beati pauperes spiritu [27], » ad animi virtutem pertinet : haud secus pariter atque illud : « Beati qui lugent [28], » ex spirituali hominis parte voluntateque adimpletur : quemadmodum et quæ subduntur, « Beati mansueti, » et « Beati mundo corde, » et « Beati pacifici [29].» Neque hæc sola tantum, verum etiam fides, spes, charitas, spirituales virtutes, minime vero corporeæ esse proculdubio judicantur. Cujus sane generis etiam eæ sunt, quas Apostolus ipse gentium enumerat, inquiens, « Fructus Spiritus esse charitatem, gaudium, pacem, longanimitatem, bonitatem, benignitatem [30], » et cætera. Per intellectualem quippe voluntatem, et operationem adsunt præsentes animo.

Καὶ ἐπειδὴ δίκην ἵππων καὶ ἡμιόνων ἀσυνέτων πτύρωνται οἱ τὰς τοῦ Κυρίου ἀπαρνούμενοι συστατικὰς τῆς ἡμετέρας φύσεως ἰδιότητας, λέγω δὴ τὴν οὐσιώδη τῆς ψυχῆς θέλησιν ἀκούοντες καὶ ἐνέργειαν, ἐροῦμεν σαφέστερον, τὴν τούτων ὥσπερ διερμηνεύοντες καὶ σαφηνίζοντες δύναμιν· θέλησις ψυχῆς λογικῆς ἐστιν, ὡς πρὸ βραχέως καὶ ὁ μέγας Διονύσιος εἴρηκε, « δύναμις λογιστικὴ καὶ ἐπιθυμητικὴ πρὸς τὸ συνάπτεσθαι τῷ Θεῷ τὴν ψυχὴν, ὑπὸ Θεοῦ οὐσιωδῶς αὐτῇ δεδωρημένη, δι' ἧς εἰργάζετο, καὶ ἐφύλαττεν ὁ πρῶτος ἄνθρωπος τὰ θεῖα προστάγματα, ἐκ θελήσεως ψυχικῆς εἰς ἐνέργειαν τῶν ἐντολῶν τοῦ Θεοῦ ἐρχόμενος. » Ἀλλὰ ταῦτα μὲν ἐπὶ τοῦ Ἀδάμ· εἴρηται δὲ ἐπὶ Χριστοῦ τοῦ Υἱοῦ, καὶ ὅτι μορφὴν δούλου, ἤγουν οὐσίαν δούλου, ἑκουσίως ἔλαβεν. Αὕτη τοίνυν ἡ κατὰ τὸν Χριστὸν μορφὴ, καὶ οὐσία τοῦ δούλου, κατά τί ἀκούει μορφὴ δούλου, κατὰ ποίαν δουλείαν, καὶ ὑπουργίαν, καὶ ὑποταγήν; ἆρα κατὰ τὴν Δεσποτικὴν θέλησιν, καὶ ἐνέργειαν, καὶ μορφὴν τοῦ Θεοῦ Λόγου, ἀπό γε τῆς Ἀρείου μανίας;

Quoniam vero equorum, aut mulorum insipientium instar consternantur, qui subsistentes naturæ nostræ proprietates negant in Domino esse : quarum sane nomine voluntatem, operationemque animo essentialem designant : clarius hæc ipsa exponemus, earum interpretando veluti, atque expendendo vim, ac facultatem. Est itaque rationalis animæ voluntas, ut perpaucis etiam magnus Dionysius diffinivit, « facultas rationalis, qua desiderio conjungendi nosmetipsos Deo ferimur, a Deo essentialiter animæ ipsi donata, per quem operatus est, servavitque primus homo divina præcepta, ex animali voluntate progressus in operationem divinorum mandatorum. » Hoc vero ad Adamum spectat. De Christo autem Dei Filio dicetur, quod formam servi, seu servi substantiam sponte susceperit. Ea igitur quæ in Christo fuit forma, sive substantia servi quodnam habuit servitutis specimen, seu qua servitute, subjectione, actionisque famulatu constituta esse censetur, nisi sub Dominica voluntate, et operatione et forma Dei Verbi, ut ab Arii amentia recedamus?

Ἀλλ' ἐπειδὴ διὰ τῆς παρακοῆς τοῦ πρώτου ἀνθρώπου, ἁμαρτωλοὶ κατέστημεν οἱ ἄνθρωποι, παρακούσαντος τοῦ Ἀδὰμ τῶν ἐντολῶν τοῦ Θεοῦ, τούτου χάριν διὰ τῆς οἰκείας αὐτοῦ ὁ Χριστὸς ὑπακοῆς δικαίους ἡμᾶς κατέστησεν, ἐν τῇ μορφῇ τοῦ δούλου τελέσας τὰ προστάγματα τοῦ Δεσπότου, ἃ οὐκ ἐφύλαξεν ἀπαρχῆς ὁ δοῦλος. Ὥσπερ γὰρ τὸν θάνατον, ὃν ἐχρεώστει ὁ δοῦλος, διὰ τῆς μορφῆς τοῦ δούλου τῆς θνητῆς ἐπλήρωσεν ὁ Δεσπότης, ὑπήκοος γενόμενος μέχρι θανάτου σταυροῦ· οὕτω καὶ τὴν παρακοὴν τοῦ νόμου, καὶ τοῦ θελήματος τοῦ Θεοῦ,

Verum quoniam per primi hominis inobedientiam et casum, peccatores constituti homines fuerant, transgresso Adam Dei præcepta, hujus rei causa, propria Christus ipse obedientia nos in justitiam restituit, in forma servi Dominica exsecutus mandata, quæ olim servus ab initio non custodierat. Quemadmodum namque mortem, cui obnoxius factus fuerat servus, per mortalem servi formam sustinuit Dominus, factus obediens usque ad mortem crucis [31] : ita legis quoque, voluntatisque divinæ transgressionem, quam perpetrarat servus, ipse in

[26] Deut. VI, 5; Matth. XXII, 37, 39. [27] Matth. V, 3. [28] ibid. 5. [29] ibid. 7, 8. [30] II Tim. III, 10. [31] Philipp. II, 7, 8.

forma servi reparavit, implevitque Dominus; quamobrem quoque dixit: « Quia descendi de cœlo, non ut faciam voluntatem meam, sed voluntatem Patris, et ut impleam opus ejus, et ut custodiam præcepta ejus [32]. » Hanc videlicet divinorum mandatorum custodiam, hancque mittentis se Patris voluntatem, secundum quam voluntatem, vel potius per quam voluntatem operatus est Christus, nisi omnino in servi forma intellectualis animi voluntatem habuisset? Secundum Divinitatem quippe unica est Patris, et Filii dominatrix præcipiensque voluntas. Quænam est igitur Christi voluntas, divinam impiens voluntatem? Manifestum est scilicet præcipientem voluntatem a subjecta et obtemperante discerni oportere. Itaque si secundum divinam voluntatem perfecit ministerium, consequens nimirum erit, ut secundum divinam pariter naturam servus, et administer exstiterit, quod Arianorum deliramenta fabulantur. Verum et hoc continuo demonstrare conabor..... (*cætera desiderantur*).

[32] Joan. VI, 38.

A ἣν ἐχρεώστει ὁ δοῦλος, ἐν τῇ μορφῇ τοῦ δούλου ἐτέλεσε, καὶ ἀνεπλήρωσεν ὁ Δεσπότης· διὸ καὶ ἔλεγεν, ὅτι « Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ Πατρὸς, καὶ ἵνα πληρώσω αὐτοῦ τὸ ἔργον, καὶ ἵνα φυλάξω αὐτοῦ τὰς ἐντολάς. » Ταύτην τὴν φυλακὴν τῶν ἐντολῶν τοῦ Θεοῦ, καὶ τοῦτο τὸ θέλημα τὸ τοῦ πέμψαντος αὐτὸν Πατρὸς, κατὰ ποῖον θέλημα, μᾶλλον δὲ διὰ ποίου θελήματος εἰργάσατο ὁ Χριστὸς, ἐὰν μὴ ἔχῃ ὅλως θέλημα νοερᾶς ψυχῆς τῆς τοῦ δούλου μορφῆς; Κατὰ γὰρ τὴν θεότητα ἓν ἐστι δεσποτικὸν καὶ ἐπιτρεπτικὸν τὸ θέλημα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Ποῖον οὖν λοιπόν ἐστι τὸ θέλημα τοῦ Χριστοῦ τὸ πληρῶσαν τὸ θεῖον θέλημα; Δῆλον γὰρ, ὅτι ἕτερόν ἐστι τὸ ἐπιτρεπτικὸν θέλημα, καὶ ἕτερον τὸ ὑποτακτικὸν καὶ ὑπακουστικόν. Εἰ οὖν κατὰ τὴν θείαν B θέλησιν τὴν ὑπουργίαν τελεῖ, πάντως ὅτι καὶ κατὰ τὴν θείαν φύσιν δοῦλος καὶ ὑπουργὸς ὑπάρχει, κατὰ τοὺς τῶν Ἀρειανῶν μύθους· καὶ τοῦτο εὐθέως κατάδηλον ποιῆσαι πειράσομαι....

ΧΡΗΣΕΙΣ

ΑΧΡΗΣΤΟΙ ΜΙΑΡΩΝ ΔΥΣΣΕΒΩΝ ΑΡΕΙΑΝΩΝ ΑΘΕΤΟΥΣΑΙ

Τὴν ὁμοούσιον θεότητα τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ κτίσμα τὸν κτίστην τῶν ἁπάντων λέγουσι.

RELATIONES

IMPURARUM IMPIARUMQUE ARII SENTENTIARUM

Quæ consubstantialem Filii Dei deitatem negant et creaturam creatorem omnium dicunt.

(Ang. Mai, *Script. Vet.* t. VII, p. 202.)

Arii immundi hæresiarchæ; Arianorum impietatis ex oratione de Trinitate.

Sic igitur accipienda sunt hæc evangelica verba, quæ dicunt: Non quæro voluntatem meam, et quia, Descendi de cœlo non ut faciam voluntatem meam, sed voluntatem qui misit me Patris, quasi non omnino consentiente et congruente cum paternis consiliis Filii voluntate. Ex quo commode cum suæ præfert Patris sui voluntatem, dicens: *Non mea, Pater, fiat voluntas, sed tua* [1].

Ejusdem Arii, in interpetatione quam in symbolum edidit 318 Nicænorum Patrum.

Eramus enim olim nos quoque, ait, *increduli, facientes voluntatem carnis* [2]. Quæ et in alio loco vi-

[1] Luc. XXII, 42. [2] Ephes. II, 3.

C *Ἀρείου τοῦ μιαροῦ αἱρεσιάρχου τῆς τῶν Ἀρειανῶν δυσσεβείας ἐκ τοῦ περὶ Τριάδος λόγου.*

Οὕτω γοῦν νοητέον ἐκείνας τὰς εὐαγγελικὰς φωνὰς τὰς λεγούσας, ὅτι Οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, καὶ ὅτι Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρὸς, ὡς οὐ πάντη ἐφεπομένου καὶ συναινοῦντος τῇ Πατρικῇ βουλῇ τοῦ θελήματος τοῦ Υἱοῦ· ὅθεν χρησίμως ὡς τὸ ἑαυτοῦ προτιμᾷ θέλημα τοῦ Πατρὸς, λέγων· *Μὴ τὸ ἐμὸν, Πάτερ, γενέσθω θέλημα, ἀλλὰ τὸ σόν.*

Τοῦ αὐτοῦ Ἀρείου ἐκ τῆς ἑρμηνείας ἧς ἐξέθετο κατὰ τοῦ συμβόλου τῶν ἐν Νικαίᾳ τιη' Πατέρων.

D *Ἦμεν γάρ ποτε καὶ ἡμεῖς*, φησὶν, *ἀπειθεῖς, ποιοῦντες τὰ θελήματα τῆς σαρκός·* ἅπερ καὶ

ἐν ἑτέρῳ τόπῳ καταμέμφεται λέγων· *Τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος, καὶ τὸ θέλημα αὐτῆς νόμῳ Θεοῦ οὐχ ὑποτάσσεται· οὔτε γὰρ δύναται, ἔχθρα ὂν εἰς Θεόν.* Ὡς οὖν σαρκὸς καὶ αἵματος κοινωνήσας ὁ Ἰησοῦς, καὶ σπέρματος καὶ θελήματος Ἀβραὰμ ἐπιλαβόμενος, παραιτεῖται τὸ οἰκεῖον θέλημα, λέγων· *Πλὴν μὴ τὸ ἐμὸν θέλημα γενέσθω.* — *Καὶ μεθ' ἕτερα.* Μίαν τοίνυν Υἱοῦ κτιστὴν φύσιν αἱ θεῖαι ἡμᾶς ἐκπαιδεύουσι Γραφαὶ, καθ' ἃ καὶ ἐν αὐταῖς τὸ θέλημα ἐπιστάμεθα, ὥσπερ καὶ τὴν ἐνέργειαν.

A tuperat dicens : *Cogitatio enim carnis mors, et voluntas ejus legi Dei non est subjecta ; neque enim potest, cum Deo sit inimica* [3]. Sicut enim carnis et sanguinis factus particeps Jesus, necnon semen et voluntatem Abrahami assumpsit, propriam deprecatur voluntatem dicens : *Verumtamen ne fiat voluntas mea.* — *Et post alia :* Unam igitur Filii creatam naturam divinæ nos edocent Scripturæ, juxta quæ et in ipsis voluntatem novimus sicut et efficacitatem.

Ἀετίου αἱτίου πάσης Ἀρειανῆς θεομάχου αἱρέσεως ἐκ τοῦ περὶ Υἱοῦ λόγου.

Aetii auctoris omnis Arianæ adversus divinitatem hæreseos, ex oratione de Filio.

Οὐκουν διθελὴς ὁ τῆς Μαρίας Υἱὸς, ἵνα μὴ κατὰ τοὺς Μανιχαίων νόμους σαρκικῷ θελήματι ἀντιστρατεύηται τὸ θέλημα τοῦ Θεοῦ.

Non igitur duplicis voluntatis est Mariæ Filius, ne secundum Manichæorum leges contra carnalem B voluntatem obluctetur Dei voluntas.

Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου.

Ejusdem, ex eadem oratione.

Αὐτὸς γὰρ ἑαυτῷ ἑρμηνεύει ὁ Υἱὸς τὴν τῆς οἰκείας φύσεως ὑπόστασιν καὶ ἀνομοιότητα, παραιτούμενος τὴν πρᾶξιν τοῦ οἰκείου θελήματος. Εἰ οὖν τὸ θέλημα παραιτητέον, τρεπτὴ πάντως καὶ ἡ φύσις· ὅθεν οὐδὲ ἀπαξιοῖ ὁ Υἱὸς Θεὸν ἑαυτοῦ καὶ ποιητὴν ὁμολογεῖν τὸν Πατέρα· μόνον γὰρ ἀγαθὸν τὸ θέλημα τοῦ Πατρός· διάφοροι γοῦν αἱ φύσεις Υἱοῦ καὶ Πατρὸς, καὶ δύο ἀνόμοια αὐτῶν τὰ θελήματα.

Ipse enim sibimetipsi interpretatur Filius propriæ naturæ hypostasin et dissimilitudinem, cum deprecatur propriæ voluntatis exsecutionem. Si igitur deprecanda est voluntas, flexibilis omnino et natura. Unde Filius Deum suum et auctorem confiteri Patrem non veretur. Solum enim bona voluntas Patris. Differentes igitur naturæ Filii et Patris, et duo dissimiles eorum voluntates.

Εὐνομίου πρωτοστάτου τῆς Ἀρείου θυμελικῆς ὀρχήστρας ἐκ τῆς περὶ Υἱοῦ τρίτου λόγου, κεφ. ιθ'.

Eunomii præsidis. Arii sceneci theatri, ex tertia oratione de Filio, cap. 19.

Καταβέβηκα γὰρ, φησὶν, *ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ Πατρός.* Ὅρα τὸν κατελθόντα ἄνωθεν Λόγον ἀκυροῦντα τὸ ἴδιον θέλημα ὡς μὴ συμφωνοῦν τῷ ἀκτίστῳ θελήματι τοῦ Πατρὸς, διὰ τὸ κτιστὴν ἔχειν τὸν Λόγον καθάπερ τὴν φύσιν, οὕτω καὶ τὸ θέλημα.

Descendi enim, ait, *e cœlo, non ut faciam voluntatem meam, sed voluntatem Patris* [4]. Ecce Verbum C cœlo descendens atque renuntians propriæ voluntati, ut quæ increatæ Patris voluntati haud conveniat, propterea quod Verbum ut naturam, sic et voluntatem habeat creatam.

Τοῦ ἁγίου Εὐσταθίου ἐπισκόπου Ἀντιοχείας καὶ μάρτυρος ἀνατροπὴ τοῦ Κέλσου ἐκ τοῦ λόγου τοῦ κατὰ Ἰωάννην κεφ. κς'.

Sancti Eustathii episcopi Antiocheni atque martyris confutatio Celsi ex Commentario in Evangelium Joannis cap. XXVI.

Ὑποτάττει καὶ μᾶλλον κυροῖ ὑπὲρ τὸ ἑαυτοῦ ὁ Χριστὸς τὸ τοῦ Πατρὸς θέλημα ἐν διαφόροις τόποις, οὐχ ὅτι θέλημα ἦν ἐν αὐτῷ δεόμενον καταλύσεως, οὔτε θεϊκὸν, οὔτε μὴν τὸ τῆς αὐτοῦ ἀνθρωπήσεως (καθάπερ ἂν γὰρ τὴν φύσιν καὶ τὰ τῆς φύσεως ἀπειργάσατο)· ἀλλὰ πρὸς Ἰουδαίους λαλῶν τοὺς νομίζοντας αὐτὸν ἀντίθεον τοῦ Πατρὸς εἶναι, οἰκονομικῶς D ταῦτα ἔφασκε λέγων, ὅτι *Οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός.*

In diversis Scripturæ locis Christus submittit, vel potius Patris voluntati subordinatam esse dicit suam voluntatem, non quod voluntas in ipso esset abolenda, aut non humanæ congruens naturæ (agebat enim naturæ suæ convenienter), sed verba faciens ad Judæos qui eum Dei Patris adversarium haberent, ex dispensatione dixit : *Non quæro meam voluntatem, sed Patris qui me misit* [5].

Ἀπολιναρίου τοῦ δυσσεβοῦς ἐκ τοῦ περὶ ἑνώσεως λόγου πρώτου.

Ex impii Apolinarii primo libro de unione.

Ἐπεὶ γὰρ ἄριστα Παῦλος βοᾷ, *Ἐν τῷ παντοκράτορι Θεῷ καὶ μόνῳ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμὲν*, ἤρκει καὶ μόνον τὸ αὐτοῦ θέλημα διὰ τοῦ ἐν τῇ σαρκὶ σκηνώσαντος Λόγου πρὸς τὸ ταύτην ζωοποιεῖν καὶ κινεῖν, ἀναπληρούσης τῆς θείας ἐνεργείας τὸν τῆς ψυχῆς τόπον καὶ τοῦ ἀνθρωπίνου νοός· ὅθεν καὶ σκήνωσιν ὁ Ἰωάννης τὴν ἐπιδημίαν αὐτοῦ τὴν ἐξ οὐρανῶν ὀνομάζει. Εἰπὼν γὰρ, ὅτι

Cum Paulus optime dicat : *In omnipotente ac solo Deo vivimus, et movemur, et sumus* [6], sufficiebat etiam sola ejus voluntas ad carnem, in qua Verbum habitabat, vivificandam et movendam, siquidem divina efficacia animæ mentisque humanæ locum obtinebat. Quapropter ejus descensum e cœlis Joannes vocat inhabitationem. Postquam enim dixit : *Verbum caro factum est* [7], non addidit, et

[3] Rom. VIII, 6, 7. [4] Joan. VI, 38. [5] Joan. V, 30. [6] Act. XVII, 38. [7] Joan. I, 14.

anima : fieri enim nequit, ut duæ mentes et duæ voluntates simul in aliquo habitent, ne alterum contra alterum propria voluntate et efficacia pugnet. Itaque Verbum non assumpsit animam humanam, sed solummodo semen Abrahami. Templum enim corporis Jesu præfiguratum fuit per templum Salomonis, quod neque animam, neque mentem, neque voluntatem habebat.

Tales nefandus Apollinarius evomuit blasphemias, carnemque Domini et anima et voluntate caruisse asseruit : atque eadem sentiunt impius Eunomius et qui cum eo ab Arii stant partibus, novi illi sophistæ qui, inspectis scurrilibus illorum libris haustaque ex iis voluptate, adversum nos dimicant. Idem porro Apollinarius ad illum locum : *Pater, transeat a me calix iste; verumtamen non mea fiat, sed tua voluntas* [8], sic dicit : « Si eadem, qua Pater, potentia et paternæ essentiæ particeps erat qui ad passionem et crucem accedebat, quomodo, in agone constitutus, orabat ut calix iste transiret, et ut non sua, sed Patris voluntas fieret? Quid etiam opus erat loqui de orantis voluntate, nisi qua ab Deo abhorrebat eique contraria fuit? »

Ad has impias Apollinarii nugas confutandas Gregorius Nyssenus in libris contra illum conscriptis, hoc syllogismo utitur : « Si fit voluntas orantis, id est hominis qui in Servatore intelligitur, apparet propriam habuisse voluntatem qui secundum dispensationem deprecatus est mortem : contra si non fit ejus voluntas, vel sic voluntas ejus facta est. Hoc enim volebat, ut ne fieret ipsius voluntas. Ergo, et exaudita oratione ei non exaudita humana Christi voluntas demonstrata est atque impleta. »

Ex S. Basilii libro contra Arianos.

Cum igitur unam voluntatem habens, respectu Patris, etiam humanam assumpserit, ideo jure meritoque dicit : *Non mea, sed tua fiat voluntas.*

Ex ejusdem eodem libro.

Voluntatem vitæ amantem habebat caro Domini, utpote quæ particeps erat atque consors animæ immortalis ac Dei Verbi vivificantis, et inde immortalitatis desiderium hauriebat.

Ex Ambrosii episcopi Mediolanensis commentario in locum : « *Pater, transeat a me calix iste.* »

Etiamsi Servator, secundum humanam ipsius voluntatem, deprecatur mortem, ne offendaris. Cum enim caro naturalem vitæ fontem immortalemque Deum Verbum in sese haberet ejusque immortalitatis velut particeps esset, jure merito detrectabat mortem, quam non metuebat, sed aversabatur, et cui, quia erat sine peccato, haud erat obnoxius.

[8] Luc. XXII, 42.

A Ὁ Λόγος σὰρξ ἐγένετο, οὐ προσέθηκε, Καὶ ψυχή· ἀδύνατον γὰρ δύο νοερὰ καὶ θελητικὰ ἐν τῷ ἅμα κατοικεῖν, ἵνα μὴ τὸ ἕτερον κατὰ τοῦ ἑτέρου ἀντιστρατεύηται διὰ τῆς οἰκείας θελήσεως καὶ ἐνεργείας. Οὐκοῦν οὐ ψυχῆς ἀνθρωπίνης ἐπελάβετο ὁ Λόγος, ἀλλὰ μόνου σπέρματος Ἀβραάμ· τὸν γὰρ τοῦ σώματος Ἰησοῦ ναὸν προδιέγραψεν ὁ ἄψυχος καὶ ἄνους καὶ ἀθελὴς τοῦ Σολομῶντος ναός.

Ταῦτα τοῦ θεοστυγοῦς Ἀπολιναρίου δυσφημήσαντος, καὶ ἄψυχον καὶ ἀθελῆ τὴν τοῦ Κυρίου σάρκα λέγοντος· καθ' ἃ καὶ Εὐνόμιος ὁ ἄνομος καὶ οἱ σὺν αὐτῷ Ἀρειανίζοντες φαίνονται οἱ νέοι σοφισταὶ ὅτι ταῖς τούτων θυμελικαῖς ἐγκύψαντες βίβλοις, καὶ ὥσπερ ἁρσθέντες καὶ κατατερφθέντες ἐξ αὐτῶν ἡμῖν παρατάττονται. Λέγει γὰρ πάλιν ὁ αὐτὸς Ἀπολινάριος B εἰς τὸ, *Πάτερ, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, πλὴν μὴ τὸ ἐμὸν θέλημα γενέσθω, ἀλλὰ τὸ σόν*, οὕτως· « Εἰ δὲ ἰσοσθενὴς καὶ κοινωνὸς τῆς Πατρικῆς οὐσίας ὁ ἐπὶ τὸ πάθος καὶ τὸν σταυρὸν ἐρχόμενος ἦν, πῶς ἐν ἀγωνίᾳ γενόμενος προσηύχετο παρελθεῖν αὐτὸν τὸ ποτήριον, καὶ μὴ γενέσθαι αὐτοῦ τὸ θέλημα, ἀλλὰ μᾶλλον τὸ τοῦ Πατρός; τί δὲ καὶ προαγορεύειν ἐχρῆν τὸ τοῦ εὐχομένου θέλημα, ἀλλ' ἢ ἀσύμφωνον Θεοῦ καὶ ἐναντίον; »

Ταῦτας τὰς παναθέους Ἀπολιναρίου ληρῳδίας ἀνατρέπων ἐν τοῖς συγγράμμασι τοῖς κατ' αὐτοῦ ὁ τῆς Νυσσαέων ἄγγελος Γρηγόριος, τοιούτῳ τινὶ συλλογισμῷ κέχρηται κατ' αὐτοῦ, ὅτι « Κἂν γένηται τὸ θέλημα τοῦ προσευχομένου, τουτέστι τοῦ κατὰ τὸν Σωτῆρα νοουμένου ἀνθρώπου, ἰδοὺ ἐδείχθη ἔχων C οἰκεῖον θέλημα οἰκονομικῶς παραιτούμενον τὸν θάνατον· κἂν δὲ πάλιν μὴ γένηται αὐτοῦ τὸ θέλημα, καὶ οὕτως θέλημα αὐτοῦ γέγονε· τοῦτο γὰρ ἤθελεν ἵνα μὴ γένηται αὐτοῦ τὸ θέλημα. Ὥστε καὶ εἰσακουομένης τῆς προσευχῆς καὶ μὴ εἰσακουομένης, τὸ ἀνθρώπινον Χριστοῦ ἐδείκνυτο καὶ ἐπληροῦτο θέλημα. »

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ κατὰ Ἀρειανῶν λόγου.

Ἐπεὶ οὖν ἓν θέλημα ἔχων πρὸς τὸν Πατέρα, εἴληφε καὶ τὸ ἀνθρώπινον, τούτου χάριν ἐκ πολλῆς παρρησίας λέγει· *Μὴ τὸ ἐμὸν θέλημα γενέσθω, ἀλλὰ τὸ σόν.*

Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου.

D Τὸ φιλόζωον θέλημα εἶχεν ἡ σὰρξ τοῦ Κυρίου, ὡς κοινωνὸς οὖσα καὶ σύμβιος ψυχῆς ἀθανάτου καὶ Θεοῦ Λόγου ζωοποιοῦ παναθανάτου, καὶ ἐξ αὐτῶν ὥσπερ μεταλαβοῦσα τὸν τῆς ἀθανασίας πόθον.

Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων ἐκ τοῦ λόγου εἰς τό· « *Πάτερ, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο.* »

Εἰ δὲ καὶ παραιτεῖται τὸν θάνατον κατὰ τὸ ἀνθρώπινον αὐτοῦ θέλημα ὁ Σωτήρ, μὴ σκανδαλίζου. Φύσει γὰρ τὴν πηγὴν τῆς ζωῆς ἐν αὐτῇ ἔχουσα ἡ σὰρξ καὶ τῆς ἀθανασίας τὸν Θεὸν Λόγον, τῆς αὐτοῦ ὥσπερ ἀθανασίας μεταλαβοῦσα, δικαίως ἀπεστρέφετο τὸν θάνατον, οὐ δειλιῶσα, ἀλλὰ μισοῦσα καὶ, ὡς ἀναμάρτητος θανάτῳ μὴ ὑποκειμένη.

Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου.

Ὁ γὰρ τῇ οἰκείᾳ φωνῇ πᾶσαν τὴν τῶν ἀνθρώπων φύσιν ἐκ τῶν τάφων ἀναστῆσαι μέλλων, πῶς ἐδεδοίκει θάνατον; Οὐκοῦν πιστούμενος τὸ ἀνθρώπινον ἑαυτοῦ τὰς τῶν αἱρέσεων ἀπιστίας, τούτου χάριν καὶ πράγμασι καὶ ῥήμασιν ἐπὶ τὸ πάθος ἐρχόμενος, ἀνθρωπίνοις κέχρηται. Διὸ καὶ προσεύχεται, καὶ ἱδρῶ τοὺς αἱματώδους θρόμβους, καὶ ὑπὸ ἀγγέλου ὁ τῶν ἀγγέλων Ποιητὴς ἐνισχύεται καὶ θρασοποιεῖται, καὶ παρελθεῖν αὐτὸν τὸ ποτήριον αἰτεῖ, καὶ τὸ ἀνθρώπινον αὐτοῦ θέλημα ὑποκλίνει τῷ πατρικῷ καὶ θείῳ αὐτοῦ θελήματι λέγων· *Πλὴν μὴ τὸ ἐμὸν θέλημα γενέσθω, ἀλλὰ τὸ σόν*· οὐ διαίρεσιν καὶ ἐναντιότητα θελημάτων δεικνὺς, ἀλλὰ τὸ τέλειον ἐν ἀνθρωπότητι. Ὁ γὰρ τὴν φύσιν καταδεξάμενος, πάντως καὶ τὰ τῆς φύσεως οἰκειώσατο.

Τοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ λόγου τοῦ εἰς τό· « Κύριος ἔκτισέ με, » καὶ κατὰ Ἀρειανῶν.

Καὶ γοῦν ἐπὶ τὸν σταυρὸν ἐρχόμενος, ἐκτενῶς προσεύχεται καὶ τὸ γόνυ κλίνει, λέγων· *Πάτερ, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν μὴ τὸ ἐμὸν θέλημα γενέσθω, ἀλλὰ τὸ σόν*· ἴδιον αὐτοῦ θέλημα λέγων τὸ τῆς σαρκός· ὅτιπερ καὶ αὐτὴν τὴν ἡμετέραν σάρκα ἐν ἑαυτῷ οἰκειώσατο.

Ἀντιπάτρου ἐπισκόπου Βόστρων (4). Ἐκ τοῦ λόγου τοῦ εἰς τὸν σταυρόν.

Τοῦ γὰρ ἀνθρωπίνου τῆς ἡμετέρας φύσεως θελήματος ἐν Χριστῷ, περὶ οὗ φησι· *Μὴ τὸ ἐμὸν θέλημα γενέσθω, ἀλλὰ τὸ σόν*, ἴδιον ἦν ἡ τοῦ θανάτου παραίτησις· προεμήνυε γὰρ ὡς Θεὸς ὅτι παρέρχεται αὐτὸν τὸ ποτήριον. Ἀνέστη γὰρ τριήμερος, ἀθανατίσας τὴν σάρκα, καὶ συντρίψας τὸ τοῦ θανάτου ποτήριον.

Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου κατὰ Ἀπολιναρίου.

Ὁ γοῦν ὑπὲρ ἡμῶν παθὼν οὐ μόνον ἁμαρτίαν οὐκ ἐποίησεν, ἀλλὰ καὶ τὰς ῥίζας τῆς ἁμαρτίας ἐκ θεμελίων ἀνέτρεψεν. Οὐκοῦν οὐχ ὡς ἐναντίος Θεῷ ὢν λέγει, *Μὴ τὸ ἐμὸν θέλημα γενέσθω*, ἀλλ' ὑποτυπώσεις ἡμῖν παρέχων πῶς ἐν τοῖς πειρασμοῖς προσεύχεσθαι Θεῷ. Εἰ δὲ διὰ τὸ λέγειν, *Μὴ τὸ ἐμὸν θέλημα γενέσθω*, ἀναιρεῖ αὐτοῦ τὸ νοερὸν τῆς ψυχῆς ὁ Ἀπολινάριος, ἄψυχον αὐτοῦ καὶ ἄνουν κηρύττων τὴν σάρκωσιν, πολλῷ πλεῖον τοῦ φιλοζώου θελήματος ἐφύβριστόν ἐστι λέγειν τὸν Χριστὸν γενόμενον κατάραν καὶ ἁμαρτίαν, καὶ πειρασθέντα ὑπὸ τοῦ Σατανᾶ τεσσαράκοντα ἡμέρας, καὶ φυγόντα ἀπὸ Ἡρῴδου ἐν Αἰγύπτῳ, καὶ ὑποταττόμενον Ἰωσὴφ τῷ τέκτονι, καὶ ἐνισχυόμενον ὑπὸ ἀγγέλου ὡς δειλιῶντα τὸν θάνατον.

Ἐφραὶμ τοῦ ἁγιωτάτου ἐπισκόπου Ἀντιοχείας ἐκ τοῦ κατὰ Σεβήρου τρίτου λόγου.

Ὅπερ οὖν ἐν τῇ θείᾳ φύσει διάφορα λέγομεν φύσεως ἴδια, τοὐτέστι τὸ ἄκτιστον, τὸ ἄναρχον, τὸ ἀναλλοίωτον, τὸ ἀπερίγραπτον, τὸ ἄτρεπτον καὶ τὰ τούτοις ἀδελφά τε καὶ σύμφωνα καὶ τῇ θείᾳ οὐσίᾳ μόνῃ ἁρμόζοντα· οὕτω καὶ ἐν τῇ θελητικῇ τοῦ Θεοῦ δυνάμει πολλὰ Θεοῦ ἐν ταῖς θείαις Γραφαῖς λέγον-

A *Ejusdem, ex eodem commentario.*

Qui voce sua universum hominum genus e sepulcris resuscitaturus est, quomodo timuerit mortem? Ut igitur, ob hæreticorum incredulitatem, humanæ ipsius naturæ fidem astrueret, ideo, cum ad passionem se accingeret, humano more et egit et locutus est. Quapropter etiam orat, et sanguinis guttas desudat, et ab angelo, angelorum Creatore, robore ac fiducia imbuitur, et ut calix transeat precatur, et humanam ipsius voluntatem submittit paternæ divinæque voluntati dicens: *Cæterum non mea fiat, sed tua voluntas*, sic ostendens non divisionem aut contrarietatem voluntatum, sed perfectam humanitatem. Qui enim naturam (humanam) induerat, omnino etiam quæ naturæ essent, sibi B appropriavit.

E. S. Athanasii commentario in illud : « Dominus creavit me, » et contra Arianos.

Cum in eo est ut crucis mortem subeat, intense ac genibus flexis orat hunc in modum: *Pater, transeat a me calix iste; verumtamen non mea voluntas, sed tua fiat*, suam dicens voluntatem carnis, siquidem ipsam nostram carnem induit.

Antipatri Bostrensis episcopi, ex dissertatione in crucem.

Secundum humanam voluntatem qua sicut nos præditus erat Christus, unde dicit: *Non mea, sed tua fiat voluntas*, mortem detrectavit; etenim, C qua Deus prædixit calicem ipsum esse præteritu- rum. Nimirum post tres dies resurrexit, postquam carnem immortalitate donaverat et mortis calicem confregerat.

Ejusdem, ex tractatu adversus Apollinarium.

Qui igitur pro nobis passus est, non tantum peccatum non fecit, verum etiam peccati radices funditus evulsit. Quare haud velut Deo retractans dicit, *Non mea fiat voluntas*; sed ut nobis rationem ostendat quomodo in tentationibus precari debeamus. Si vero Apollinarius propterea quod Christus dixit, *Non mea fiat voluntas*, rationabile ejus animæ tollit, et, mente capti instar, inhumanationem ejus sine anima et mente fuisse contendit, multo magis D quam quod de voluntate vitæ amante habetur, contumeliosum erit dicere, Christum factum esse abominationem et peccatum, et tentatum a Satana per quadraginta dies, et ab Herode fugisse in Ægyptum, et subjectum fuisse Josepho fabro lignario, et corroboratum ab angelo ut qui mortem reformidaverit.

E. S. Ephræmi episcopi Antiocheni tertio libro contra Severum.

Quemadmodum in divina natura diversas dicimus naturæ proprietates, verbi gratia, quod non creata sit, quod initio careat, quod non immutetur, quod incircumscripta et immobilis sit. atque his similia quæ soli divinæ essentiæ conveniunt, ita etiam in divina volendi facultate multæ in Scriptura sa-

cra Dei voluntates esse dicuntur. Eodem modo cogita etiam de anima ad imaginem Dei facta. Unam enim eamdemque intellectualem ac rationalem habet essentialiter volendi facultatem quam accepit ad amplectenda et exsequenda divina præcepta. Hæc facultas, quatenus secundum naturam exsistit, neque peccatum neque justitia dicitur, sed animæ habitus ad volendum aptus. Jam ex hac animæ facultate, quæ libero gaudet arbitrio, duæ voluntatis enascuntur species, divina nimirum et mala. Quod si ad Dei præceptum inclinamus, divina appellatur voluntas, non secundum essentiam, sed secundum actum : ubi vero ad obedientiam mali abripitur, tum carnalis merito vocatur voluntas. Exempli causa, naturæ nostræ intellectualis voluntas fert ut vitam diligamus ; carnalis autem voluntas, ut cum affectu diligamus ; divina denique voluntas, ut vitam contemnamus eique renuntiemus.

A ται εἶναι θελήματα. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῆς κατ' εἰκόνα Θεοῦ γεγενημένης νόησον ψυχῆς· μίαν γὰρ καὶ αὐτὴν νοερὰν καὶ λογικὴν ἔχει τὴν ἐπιθυμητικὴν οὐσιωδῶς δύναμιν, ἣν εἴληφε πρὸς τὸ ἐμφύεσθαί τε καὶ πράττειν τὰ θεῖα προστάγματα· ἥτις δύναμις κατὰ φύσεως ἑστῶσα, οὔτε ἁμαρτία λέγεται οὔτε δικαιοσύνη, ἀλλ' ἕξις ψυχῆς θελητική. Ταύτης τοίνυν τῇ αὐτεξουσίῳ τῆς ψυχῆς δυνάμει, θελημάτων προβολαὶ γίνονται δύο, λέγω δὲ, θεϊκοῦ τε καὶ πονηροῦ· καὶ ὅτε μὲν τὴν ῥοπὴν δῶμεν πρὸς τὴν ἐντολὴν τοῦ Θεοῦ, θεϊκὸν ὀνομάζεται ἡμῶν τὸ θέλημα, οὐ κατ' οὐσίαν, ἀλλὰ κατὰ τὴν πρᾶξιν· ὅταν δὲ πάλιν πρὸς τὴν ὑπακοὴν τοῦ πονηροῦ κατασύρηται, τότε σαρκικὸν εἰκότως προσαγορεύεται θέλημα· οἷον φέρε εἰπεῖν, τῆς φύσεως τῆς λογικῆς B ἡμῶν ἐστι θέλησις τὸ ἀγαπᾷν τὴν ζωήν· σαρκικὴ δὲ πάλιν βούλησις τὸ ἐμπαθῶς ζῆν· θεϊκὸν δὲ θέλημα, τὸ καταφρονεῖν καὶ ἀρνεῖσθαι τὴν ζωήν.

Ejusdem, de oratione in hoc Apostoli verbum : « Omnia expertus absque solo peccato [9]*. »*

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸ ἀποστολικὸν ῥητὸν λόγου τὸ φάσκον· « Πεπειρασμένον δὲ κατὰ πάντα δίχα μόνης τῆς ἁμαρτίας. »

Exinde Patres unanimi voce venerantur perfectum Christum sicut in divinitate, sic et in humanitate; quippe consubstantialem nobis omni modo præter solum peccatum. Et sicut una erat et indivisa Sinaitidis rubi substantia omni ex parte igne innocuo circumdata, neque arbusti cespite virtus ignis obscuraretur, neque ipsa vis flammæ quidquam arbusto noceret, ita igitur in unica persona Christi manifeste divinam humanamque proprietatem intelligo. *Et post alia...* Quapropter similitudo et prototypus C Filii Dei in puerorum camino præfigurata sunt. Quemadmodum enim humana horum puerorum natura prope tota conjuncta cum virtute et natura flammæ, corporis robore cum motu et deambulatione sese habebat, et spiritali voluntate psallebat, neque ullis nocebat ignis corporis aut animæ proprietatibus, sed perfectus erat Azarias in igne et in humanitate, ita nobis de Emmanuel reputandum est divinitatis ejus ignem sicut quemdam vitæ spiritum cum anima et corpore conjuncto, ea quidem sanctificavit, non autem quidquam imminuit secundum essentiam animæ et corporis.

Ἐντεῦθεν δὲ ὁρώμενος ὁ τῶν Πατέρων χορὸς, τέλειον τὸν Χριστὸν πρεσβεύει ὥσπερ ἐν θεότητι, οὕτω καὶ ἐν ἀνθρωπότητι· ὁμοούσιον ἡμῖν ὄντα κατὰ πάντα τρόπον δίχα μόνης τῆς ἁμαρτίας. Καὶ ὥσπερ μία ἦν καὶ ἀδιαίρετος ἡ τῆς Συναΐτιδος βάτου ὑπόστασις πάντοθεν ἀβλαβῶς περιειλημμένη τῷ πυρὶ, μήτε τῆς τοῦ φυτοῦ πόας ἀμαυρούσης τὴν ἐνέργειαν τοῦ πυρὸς, μηδ' αὐτῆς ἐνεργείας τῆς φλογὸς λυμαινομένης τῷ φυτῷ· οὕτω δὴ ἐν τῷ ἑνικῷ προσώπῳ Χριστοῦ ἀμαχεί μοι νόει τὴν θείαν καὶ ἀνθρωπίνην ἰδιότητα. *Καὶ μεθ' ἕτερα·* Διὰ τοῦτο ὁμοίωμα καὶ προτύπωμα τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐν τῇ καμίνῳ τῶν παίδων προεξεικονίσθη. Ὥσπερ γὰρ τῶν παίδων ἐκείνων ἀνθρωπίνη φύσις σχεδὸν συγκεκραμένη ὅλη τῇ ἐνεργείᾳ καὶ φύσει τῆς φλογὸς τῇ τοῦ σώματος κινητικῶς καὶ μεταστατικῶς περιεπάτει ἐνεργείᾳ, καὶ τῇ θελήσει τῇ νοερᾷ ἐξετέλει τὴν ὑμνῳδίαν, καὶ οὐδὲν ἐμίανε τὸ πῦρ τῶν σωματικῶν ἢ ψυχικῶν αὐτῶν ἰδιωμάτων, ἀλλὰ τέλειος ἦν Ἀζαρίας ἐν πυρότητι καὶ ἐν ἀνθρωπότητι· οὕτω καὶ ἐπὶ τοῦ Ἐμμανουὴλ νοητέον τὸ τῆς θεότητος αὐτοῦ πῦρ ὥσπερ τινὰ πνοὴν ζωῆς συγκε-

κραμένον τῇ ψυχῇ καὶ τῷ σώματι, ἡγίασε μὲν ταῦτα, οὐ μὴν ἐμείωσέ τι τῶν κατ' οὐσίαν τῆς ψυχῆς τοῦ σώματος.

Procli archiepiscopi Constantinopolis, ex oratione in Christi proditionem.

Πρόκλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως ἐκ τοῦ λόγου τοῦ εἰς τὴν προδοσίαν τοῦ Χριστοῦ.

Cœpit, ait, contristari et mœstus esse. Tristitia autem, et mœror, et stupor, propria sunt animæ spiritalis naturaliter, ei adhærentia. Solius enim peccati immunis erat spiritalis Salvatoris anima. *Et post alia.* Namque cum dixit in oratione : *Non mea voluntas fiat*, sicut homo vere locutus, humanam voce ostendit voluntatem suam. Neque conturberis videns eum consentientem propria carne mortis agoniam subire. Agonia enim humilius est aliquid, scilicet post resurrectionem suam, mani-

Ἤρξατο, φησὶ, λυπεῖσθαι καὶ ἀδημονεῖν. Λύπη δὲ καὶ ἀδημονία καὶ θάμβος, ἴδιά εἰσι ψυχῆς λογικῆς φυσικῶς προσόντα αὐτῇ· μόνης γὰρ ἁμαρτίας ἦν ἀπηλλαγμένη ἡ νοερὰ τοῦ Σωτῆρος ψυχή. *Καὶ μεθ' ἕτερα·* Εἰπὼν δὲ ἐν τῇ προσευχῇ, *Μὴ τὸ ἐμὸν θέλημα γενέσθω*, ὡς ἄνθρωπος ἀληθῶς χρηματίσας, τὸ ἀνθρώπινον αὐτοῦ διὰ τῆς φωνῆς ἐσήμανε θέλημα. Καὶ μὴ θαμβηθῇς ὁρῶν αὐτὸν συγχωροῦντα τῇ ἰδίᾳ σαρκὶ ἀγωνιᾷν τὸν θάνατον· τῆς γὰρ ἀγωνίας πτωχέστερόν τί ἐστι τὸ μετὰ τὴν ἀνάστασιν αὐτοῦ τραυ-

[9] Hebr. IV, 15.

ματιᾷν τὰς χεῖρας καὶ τὴν πλευρὰν, καὶ τεσσαράκοντα ἡμέρας σωματικῆς καὶ φθαρτῆς μεταλαμβάνειν τροφῆς.

A bus et latere vulnera gerere et quadraginta dies corporalis et corruptibilis cibi esse participem.

Ἀμφιλοχίου, ἐπισκόπου Ἰκονίου, ἐκ τοῦ εἰς τὰ Γενέθλια Λόγου.

Πάντων μὲν γὰρ τῶν ἐκ παρακοῆς ἡμῖν προσγινομένων ἀπήλλαξε, καὶ ἀνεκάθηρε τὴν ἡμετέραν φύσιν ὁ Λόγος· ἅπερ δὲ αὐτὸς κατ' εἰκόνα τὴν οἰκείαν ἐποίησε, ταῦτα παραλλαγῆς οὐκ ἔχρῃζεν, οἷαν τὸ φθαρὲν σῶμα διὰ τὸ μὴ συμφθαρῆναι, ἀλλὰ φθαρτὸν διαμεῖναι, ὡς εἰκόνα Θεοῦ τὴν ψυχήν.

Amphilochii, episcopi Iconii, ex oratione in nativitatem.

Omnibus enim quæ nobis ex inobedientia nostra acciderunt liberavit, naturamque nostram purificavit Verbum. Quæ quidem ipse ad propriam imaginem fecit, iis non mutatione opus fuit, ita ut corruptum scilicet corpus non fuerit corruptum, sed corruptibile permanserit, cum sit imago Dei anima.

Ὀλυμπιοδώρου τοῦ μεγάλου φιλοσόφου διακόνου Ἀλεξανδρείας, ἐκ τοῦ δευτέρου λόγου τοῦ κατὰ Σεβήρου, ἐν ᾧ παραγαγὼν τὴν χρῆσιν τοῦ ἁγίου Ἀθανασίου τὴν λέγουσαν τὰ δύο θελήματα ἐπὶ Χριστοῦ, οὕτω πως διεξέρχεται λέγων· B

Olympiodori magni philosophi, diaconi Alexandriæ, ex secunda adversus Severum oratione, in qua sententiam sancti Athanasii proferens duas voluntates in Christo ostendentem, ita disserit dicens :

Καὶ γοῦν οὐκ οἶδ' ὅπως οὐκ ἐξειθισμένος κατὰ σαυτὸν εὐθύτητα διαρυθμίζει κανόσι τοῖς ἄλλοις ὁ Σεβῆρος, τὸ παρὸν οὐκ ἀπεικὸς τοῦ διδασκάλου διαπηύθυνεν οὐκ ἐθελοντὴς θεώρημα φάσκων κατὰ τὰ προλεγόμενα καὶ ἑφεπόμενα εὐαγγελικὰ ῥήματα, ἃ ταυτότητι κανόνος ὁ Ἀθανάσιος ταλαντεύσας, τῷ ἀνθρωπίνῳ τοῦ Σωτῆρος τὰ μὴ πρὸς ὕψος ὁρῶντα προσήρμοσε, δῆλός ἐστι καὶ τὸ μὴ θέλων ἀποθανεῖν θέλημα ἐπὶ τὸν ἐν μορφῇ ἀνθρώπου τυγχάνοντα ἀναπεμπόμενος.

Atque igitur nescio quomodo non assuefactus juxta te ipsum rectam sequi viam, aliis cum canonibus consentire possit Severus; præsentem non absurdam domini correxit invitus propositionem dicens juxta prædicta et in sequentia evangelica verba, quæ canonis identitate Athanasius perpendens, humanitati Salvatoris quæ propter sublimitatem non videntur, accommodavit; manifestum est et cum noluerit mori illud esse voluntatem in illo qui in forma hominis erat.

Ἑρμηνεία τῆς χρήσεως.

Ἐν τῷ λόγῳ τῷ κατὰ Ἀρειανῶν ἐν ᾧ τὰ δύο θελήματα ὁ ἅγιος Ἀθανάσιος εἶπε, πολλὰς χρήσεις εὐαγγελικὰς πτωχοπρεπεῖς εἰς τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ ἁρμοζούσας παρήγαγεν, οἷον τὸ, *Ὁ Πατήρ μου μείζων μού ἐστι·* καὶ, *Δόξασόν με Πάτερ·* καὶ, *Ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου·* καὶ, *Προέκοπτεν ὁ Ἰησοῦς σοφίᾳ καὶ ἡλικίᾳ·* καὶ πάντα τὰ τοιαῦτα παραγαγὼν, εἰς τὴν σάρκα τοῦ Κυρίου ταῦτα ἐξέλαβε καὶ ἡρμήνευσεν· ἐξ ὧν ἐστι καὶ τὸ, *Πάτερ, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν μὴ τὸ ἐμὸν θέλημα γενέσθω, ἀλλὰ τὸ σόν.* Ἐπειδὴ οὖν τινές φασιν ὅτι περὶ ἰδίου θελήματος λέγει ὁ Χριστὸς, *Μὴ τὸ ἐμὸν*, ἀλλὰ περὶ τοῦ θελήματος τοῦ ἀνθρώπου τοῦ ἐμπαθοῦς, ἠθέλησε παραστῆσαι ὁ Ὀλυμπιόδωρος ὅτι ἐκ τῶν προηγουμένων φαίνεται Ἀθανάσιος καὶ ἐκ τῶν ἑφεπομένων, ὅτι εἰς τὸ ἀνθρώπινον τοῦ Χριστοῦ ἐνόησε τὸ, *Μὴ τὸ ἐμὸν θέλημα·* διὸ ἐπάγει λέγων, ὅτι *Τὸ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.* Ὥσπερ οὖν τὸ Πνεῦμα τοῦ Χριστοῦ νοοῦμεν, οὕτω καὶ τὴν σάρκα εἰς τὸ προφητικὸν ῥητὸν τὸ περὶ τοῦ ἀνθρώπου πρὸς Θεὸν φάσκον, *Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους·* ὅπερ ὁ Ἀπόστολος εἰς Χριστὸν ἀναφέρων φησὶ, *Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου.*

Interpretatio hujus loci.

In oratione adversus Arianos, in qua duas voluntates sanctus Athanasius dixit, multas citationes evangelicas humillimas in Christi humanitatem consentientes protulit, e quibus hæc : *Pater meus major me est* [10] ; et : *Glorifica me, Pater* [11] ; et, *Venit hora ut glorificetur Filius hominis* [12] ; et : *Crescebat Jesus sapientia et ætate* [13] ; atque hæc omnia proferens, in carnem Domini accipiebat atque interpretabatur. Ex quibus et illud, *Pater, recedat a me calix iste ; verumtamen non mea voluntas fiat, sed tua* [14]. Cum igitur nonnulli dicunt quod de propria voluntate dicit Christus *non mea*, attamen de voluntate hominum affectiva, deducere voluit Olympiodorus quod ex principiis Athanasius atque ex consequentiis videtur, quia in Christi humanitatem intellexit *non mea voluntas*. Ideoque pergit dicens quod *spiritus promptus, caro autem infirma* [15]. Quemadmodum igitur Christi Spiritum intelligimus, ita et carnem in propheticum verbum de homine ad Deum dicens : *Minorem faciem cum angelis* [16] ; quod Apostolus in Christum referens ait : *Paulo minorem angelo factum videmus Jesum propter mortis passionem* [17].

Sequuntur in codice prolixa aliquot capita, quorum nunc exscribendorum, nedum divulgandorum, otium non est, videlicet 1. Κεφάλαιον πέμπτον ἀποδεικτικὸν διὰ πραγμάτων ὅτι ἄλλο τὸ φυσικὸν, ἄλλο τὸ σαρκικὸν, καὶ ἕτερον πάλιν τὸ θεῖκὸν θέλημα. 2. Κεφάλαιον ἕκτον ἐν ᾧ αἱ ἀντιθέσεις τῶν ἐναντίων εὐσεβῶς σαφηνίζονται ὑφ' ἡμῶν. 3. Τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου χρήσεις δεικνῦσαι ὅτι καὶ χωρὶς τῆς ἀνθρωπότητος ὁ Χριστὸς διαφόρους ἐνεργείας ἔχει κατὰ τὴν τοῦ Λόγου θεότητα. Subsequitur Anastasii co-

[10] Joan. XIV, 28. [11] Joan. XVII, 1. [12] Joan. XII, 23. [13] Luc. II, 52. [14] Luc. XXII, 42. [15] Matth. XXVI, 41. [16] Psal. VIII, 5. [17] Hebr. II, 9.

piosa Dionysianorum dicterum explicatio. 4. Περὶ τῆς θεανδρικῆς ἐν Χριστῷ ἐνεργείας, Διονυσίου. 5. Κεφάλαια δεικνύντα σαφῶς ὅτι εἷ καθ' ὑπόστασιν ἀδιαίρετος ἦν ὁ Θεὸς Λόγος ἐν τῇ οἰκείᾳ σαρκὶ καὶ ψυχῇ, ἀλλ' ὅμως οὐ πάντως, ὅτι ἔπαθεν εἰς ἰδίαν φύσιν τὰ τῆς σαρκὸς ἴδια, εἰ καὶ τὰ μάλιστα ὑπ' αὐτοῦ ταῦτα αὐτῇ προσεγίνοντο, οὔτε θεανδρικὰ ἐγνωρίζοντο ὅλα, καθὼς οἱ κενολόγοι φαντάζονται. 6. Κεφάλαιον δι' οὗ ἐλέγχονται οἱ δι' ἐναντίας μίαν ἁπλῆν φύσιν ὁμολογοῦντες ἐν Χριστῷ, ὡς οἱ Μάνεντος νόμοι.

In alio codice vaticano legebam Anastasii presbyteri et apocrisarii Romæ ad monachos ascalonenses opusculum contra Monophysitas ac Monothelitas. Initium est hujusmodi : Ἀναστασίου πρεσβυτέρου καὶ ἀποκρισιαρίου Ῥώμης πρὸς μοναχοὺς Ἀσκαλωνίτας. Πρὸς μάθησιν τῶν θείων δογμάτων ὀρεκτικῶς διακειμένην τὴν εὐλαβῆ ὑμῶν ἀδελφικὴν ἀγάπην κατειληφώς, etc. Sequuntur Ὅροι δογματικοὶ διάφοροι. Deinde Ἰωάννου . . . περὶ τῶν φυσικῶν καὶ ἀδιαβλήτων παθῶν. Ὁμολογοῦμεν δὲ ὅτι πάντα τὰ φυσικὰ καὶ ἀδιάβλητα πάθη τοῦ ἀνθρώπου ἀνέλαβεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, πλὴν τῆς ἁμαρτίας. Αὕτη γὰρ οὐ φυσική ἐστιν οὐδὲ ὑπὸ τοῦ Δημιουργοῦ ἡμῖν ἐνσπαρεῖσα, ἀλλ' ἐκ τῆς τοῦ διαβόλου ἐπισπορᾶς ἐν τῇ ἡμετέρᾳ αὐτεξουσίῳ προαιρέσει ἑκουσίως συνισταμένη, οὐ βίᾳ ἡμῶν κρατοῦσα, etc. Ἔπίλυσις ἤτοι ἀνατροπὴ τῆς τῶν Μονοφυσιτῶν προτάσεως τῆς λεγούσης ὅτι ἡ τελεία θεότης σαρκωθεῖσα τοῦ Θεοῦ Λόγου ὑπόστασις, καὶ ἐν αὐτῇ ὁρᾶται πᾶν τὸ πλήρωμα τῆς Τριάδος, etc. Ἀπορίαι καὶ συνεξετάσεις κατὰ πεῦσιν καὶ ἀπόκρισιν, ὅτι οὐ ταυτὸν πρόγνωσις καὶ θέλησις, καὶ ὅτι ἡ κατὰ θέλησιν πρόγνωσις οὐκ αἰτία τῶν προεγνωσμένων περὶ κακίαν καὶ ἀρετήν. Ἐρώτησις τῶν ἐναντίων -- Ἀπόκρισις ὀρθοδόξου. Multis interjectis sequitur in codice Ἀναστασίου μοναχοῦ τοῦ Σινᾶ ὄρους περὶ βλασφημίας ὅθεν ἐπέρχεται. Incipit : Ἀδελφοί, ὅτι πολλάκις ἡ ψυχὴ τοῦ ἀνθρώπου λαλεῖ τινας ἔνδοθεν λογισμοὺς αἰσχροὺς καὶ ἀκαθάρτους καὶ βλασφημίας ἀθέους καὶ ῥήματα ἀπρεπῆ κατά τε τοῦ Θεοῦ καὶ ἁγίων καὶ ζωοποιῶν καὶ φρικτῶν μυστηρίων, etc. Sermo videlicet haud valde prolixus.

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΝΑΣΤΑΣΙΟΥ ΤΟΥ ΣΙΝΑΙΤΟΥ

ΛΟΓΟΣ ΕΙΣ ΚΟΙΜΗΘΕΝΤΑΣ ΠΑΝΥ ΩΦΕΛΙΜΟΣ.

SANCTI PATRIS NOSTRI

ANASTASII SINAITÆ

SERMO IN DEFUNCTOS PERUTILIS.

(Descriptus est ex vol. quod F. C. Matthæi ed. hoc titulo : *Glossaria Græca minora et alia anecdota Græca.* 4° Mosquæ 1774, p. 51-58.)

Quid hodie, dilecti, diligenter simul ac decenter congregati sumus? Convocaverunt enim nos universos ex nobis ad Christum vocati fratres. Ideo festinanter accedamus ad Christum, hymnos modulantes. Suscitaverunt enim nos qui carne nos reliquerunt, ut glorificemus eos in terra, dum in cœlis cum angelis glorificant, chorosque exercent, et mensam nobis spiritalem apponunt; paradisi deliciis satiati, et vinum nobis porrigentes compunctionis; cœlestibus solatiis fruentes, lumenque accendentes, cordaque sua illuminantes, atque ad lumen invium ambulantes. Traxerunt enim a nobis sanctos qui ad Christum sancti sunt; translati sunt a nobis qui quondam nobiscum erant; deseruerunt nos orphanos, et ad propriam patriam ambulaverunt. Dereliquerunt corruptionem, et ad incorruptibilia cesserunt; e mundo delapsi ad Christum surrexerunt; egressi sunt ex umbra, et in

Τί τοῦτο σήμερον, ἀγαπητοί, σπουδαίως ὁμοῦ τε καὶ ἀξίως συνήχθημεν; συνεκάλεσαν γὰρ ἡμᾶς ἅπαντας οἱ πρὸς Χριστὸν ἀφ' ἡμῶν κληθέντες ἀδελφοί. Διὸ καὶ προσέλθωμεν προθύμως πρὸς Χριστὸν ὑμνῳδίαν (1). Διανέστησαν γὰρ ἡμᾶς οἱ σαρκὶ καταλιπόντες ἡμᾶς, ποιῆσαι αὐτοῖς δοξολογίαν ἐπὶ τῆς γῆς, οἱ μετὰ ἀγγέλων δοξολογοῦντες ἐν οὐρανοῖς καὶ χοροὺς παριστάμενοι, καὶ τράπεζαν ἡμῖν πνευματικὴν παραθέμενοι (2), οἱ τῆς τρυφῆς τοῦ παραδείσου κορεννύμενοι, καὶ οἶνον ἡμῖν προθέμενοι κατανύξεως, οἱ τῆς ἐκεῖσε ἀπολαύοντες παρακλήσεως, καὶ φῶτα ἀνάψαντες, οἱ τὰς ἑαυτῶν καρδίας φωτίσαντες, καὶ πρὸς τὸ φῶς τὸ ἄδυτον ὁδοιπορήσαντες. Εἶλκυσαν γὰρ ἀφ' ἡμῶν τοὺς ὁσίους οἱ πρὸς Χριστὸν ὅσιοι. Μετέστησαν ἀφ' ἡμῶν οἱ ποτε ὄντες μεθ' ἡμῶν. Κατέλιπον ἡμᾶς ὀρφανούς, καὶ πρὸς τὴν οἰκείαν πατρίδα ἐβάδισαν. Κατέλιπον τὴν φθοράν, καὶ πρὸς τὴν ἀφθαρσίαν ἐχώρησαν. Ἔδυσαν ἀπὸ (3)

(1) *Ὑμνῳδίαν.* Post hoc vocabulum videtur excidisse προτάγοντες aut tale quid.

(2) *Παρατιθέμενοι.* Medium hoc loco pro activo, ut mox οἶνον ἡμῖν προθέμενοι.

(3) *Ἔδυσαν ἀπό.* Nec ἔδυσαν, junctum ἀπό, est satis usitatum. Excusatur tamen hoc loco, quia concinnitati operam dedit, et opposuit τῷ, ἀπὸ κόσμου, τὸ, πρὸς Χριστόν.

κόσμου, καὶ πρὸς Χριστὸν ἀνέτειλαν. Ἐξῆλθον ἐκ τῆς σκηνῆς, καὶ ᾤκησαν εἰς τὴν ἄνω Ἱερουσαλήμ. Κατέλιπον ἡμᾶς ἐν τῇ τοῦ βίου ματαιότητι, καὶ ἔφθασαν τὴν (4) ἄνω μακαριότητα. Ἀφῆκαν γὰρ ἡμᾶς ἐν τοῖς ματαίοις θορύβοις, καὶ ὧδευσαν πρὸς ἀθορύβους τόπους. Ἐξῆλθον τοῦ χειμῶνος καὶ κλύδωνος τοῦ κόσμου, καὶ εἰς παγγαλήνους προσώρμισαν λιμένας. Καὶ γὰρ ὄντες μεθ' ἡμῶν, οὐκ ἦσαν μεθ' ἡμῶν, ἀλλὰ τὸν νοῦν εἶχον πρὸς τὸν Θεόν. Καὶ ὄντες ἐπὶ τῆς γῆς, τὸ πολίτευμα εἶχον ἐν οὐρανοῖς. Οὐ γὰρ εἶχον ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν ἐπουράνιον (5). Οὐκ εἶχον ὧδε πρόσκαιρον πλοῦτον, ἀλλὰ τὸν ἐπουράνιον (6) πλοῦτον, ξένοι (7) καὶ παρεπίδημοι ὄντες, καθὼς καὶ οἱ πατέρες αὐτῶν, ξένοι κόσμου καὶ τῶν ἐν κόσμῳ, καὶ κατὰ κόσμον, ὅλῃ τῇ ψυχῇ τὰ ἄνω ἐν οὐρανοῖς σκοποῦντες, τὰ ἄνω φρονοῦντες, τὰ ἄνω μελετῶντες, τὰ ἐκεῖ κάλλη ἐπιθυμοῦντες, τὰς ἐκεῖσε μονὰς καὶ σκηνάς, τὰς ἄνω χοροστασίας (8), τὰς ἄνω ὑμνῳδίας, τὰς ἐκεῖ ἑορτάς, τὰ ἀΐδια ἀγαθά. Πρὸς ἐκεῖνα ἐσκόπουν, πρὸς ἐκεῖνα ἔβλεπον, πρὸς ἐκεῖνα ἔτρεχον· διὸ καὶ ἐπέτυχον. Ἔσπευδον· διὸ καὶ εἰσῆλθοσαν (9), εἰς τὴν παστάδα καὶ εἰς τὸν νυμφῶνα. Ἐπόνεσαν· διὸ καὶ εὐφραίνονται. Οὐκ ἠμέλησαν· διὸ καὶ ἀγάλλονται. Ἐξῆλθον καὶ ἀπῆλθον εἰς τὴν χώραν τὴν ἁγίαν καὶ ἀϊδιον. Ἐξῆλθον καὶ ἀπῆλθον τὴν ὁδὸν αὐτῶν, τὴν καλὴν καὶ Θεῷ εὐάρεστον. Ἐξῆλθον ἐξαίφνης, καὶ ἐπετάθησαν (10) ὡς χελιδόνες εὔλαλοι. Ἐπετάθησαν ὡς τρυγόνες ἐρημικαὶ καὶ πάναγνοι· μετέστησαν τῆς μάνδρας, καὶ στυγνάζει τὰ πρόβατα. Κατέλιπον τὴν ἡμετέραν νοσσιάν, καὶ βοῶμεν νεοσσοί. Ἐχωρίσθη τὸ μέλος, καὶ ὀδυνῶνται τὰ μέλη. Διὰ τοῦτο δακρύομεν, ὅτι τῆς ὑμετέρας καλῆς διαθέσεως ἐστερήθημεν. Στενάζομεν, ὅτι τοὺς χαρακτῆρας ὑμῶν οὐ βλέπομεν. Ὀδυρόμεθα, ὅτι οὕτως ἐξαίφνης ἁρπαζόμεθα. Στυγνάζομεν, ὅτε τῆς ἀρετῆς ὑμῶν μνημονεύσομεν, ὅτε τὸ ὄμμα περιστρέψομεν καὶ τὴν ὑμῶν ἀγάπην οὐ βλέπομεν. Δακρύομεν, ὅτι καὶ ζῶα δακρύει ἐπὶ τῷ χωρισμῷ τοῦ ὁμοφύλου αὐτῶν, ὅτι καὶ βόες μυκῶνται ἐκζητοῦντες τὸν ὁμόζυγον αὐτῶν. Εἰ γὰρ καὶ ὑμῖν εἰς συμφέρον ἐγένετο, ἀλλ' ἡμῖν ἀθυμίαν ἐποιήσατε· τοῦτο ὑμῖν μὲν ἐπιθυμητὸν γέγονεν, ἡμῖν δὲ (11) θλιβερόν. Τίμιος (12) μὲν γὰρ ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ, ἀλλ' ὁ θάνατος ἡμῶν τῶν ἁμαρτωλῶν πονηρός. Διὸ καὶ ἔλεγεν ὁ Προφήτης· « Ἵνα τί (13) φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; ἡ ἀνομία τῆς πτέρνης μου ἐκύκλωσέν με. »

A supernam Hierosolymam migraverunt. Nos in vitæ vanitate reliquerunt, et ad supernam beatitudinem festinaverunt. Dimiserunt enim nos inter inanes tumultus, et ad loca tumultus expertia accesserunt. Egressi sunt e tempestate mundique procellis, et ad portus perpetua serenitate præditos appulerunt. Etenim dum nobiscum essent, non erant nobiscum, sed animum ad Deum habebant; dumque in terra erant, domicilium habebant in cœlis. Non enim habebant hic permanentem civitatem, sed cœlestes divitias inquirebant, peregrini et hospites, sicut et patres eorum, peregrini mundi et eorum quæ sunt in mundo, et secundum mundum, tota vero anima quæ sursum sunt in cœlis intuentes, quæ sursum sunt sapientes, quæ sursum sunt meditantes, cœli pulchritudines concupiscentes; hic solitudines atque inania, illic saltationes et psalmodias, illic festa, bonaque æterna. Ad illa igitur aspiciebant, illa contemplabantur, ad illa currebant. Ideoque proficiebant, festinabant; ideoque in thalamum, in genialem torum ingressi sunt; laboraverunt, ideoque lætantur; non negligentes fuerunt, ideoque exsultant; egressi sunt et abierunt in regionem sanctam atque æternam; egressi sunt, et ambulaverunt viam suam, pulchram et Deo acceptam; exierunt repente, atque evolaverunt sicut hirundines garrulæ. Evolaverunt ut palumbæ solitariæ et immaculatæ; recesserunt ex ovili, et inviderunt pecora. Nidum nostrum reliquerunt, et clamitamus pulli; separatum est membrum, et dolore afficiuntur membra; ideoque flemus, quoniam pulchra dispositione vestra privati fuimus. Gemimus, quoniam characteres vestros, non videmus; lugemus, quoniam tam subito exuimur; invidemus, cum virtutis vestræ recordabimur, cum oculos circumferemus, neque dilectionem vestram videbimus. Lacrymamus, quoniam et animalia lacrymant in necessariorum suorum separatione, quoniam et boves mugiunt, conjugem suum requirentes. Etenim id vobis utilitati contigit, sed nobis fregistis animos; id vobis exoptandum contigit, nobis vero molestissimum. Pretiosa enim in conspectu Domini mors sanctorum ejus; sed mors nostri peccatorum mala. Quapropter dixit Propheta : « Cur timebo in die mala? Iniquitas calcanei mei circumdabit me[1]. »

[1] Psal. XLVIII, 6.

(4) *Ἔφθασαν τήν*. Possit quis putare, hic excidisse ἐπί. Ita tamen infra : τὴν πρώϊαν οὐκ ἔφθασαν, et in Catena inedita in Matthæum, in duobus codd. ὁ γὰρ μὴ φθάνων τὸ ἄκρον τῆς ἀρετῆς. τὴν ἐκούσιον πενίαν, τὸν ἀδίκως συναχθέντα πλοῦτον καλῶς διοικείτω.

(5) *Τὴν ἐπουράνιον*. Hic rursus videtur excidisse, ἐζήτουν, aut ἐπεζήτουν. Nec enim dubium est quin respexerit Apostolum Hebr. XIII, 14. Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν.

(6) *Ἐπουράνιον πλοῦτον*. Etiam hic puto deesse, ἐπεθύμουν, aut aliud quid tale.

(7) *Ξένοι καὶ παρεπίδημοι*. Hebr. XI, 13.

(8) *Χοροστασίας*. Vocabulum, quod in plerisque lexicis omissum est, occurrit tamen apud Gregor. Nazianz., p. 97, 146, 148, 186, 258.

(9) *Εἰσῆλθοσαν*. Corrige εἰσῆλθον.

(10) *Ἐπετάθησαν*. Videtur respexisse Psal. LIV, 7. Τίς δώσει μοι πτέρυγας περιστερᾶς, καὶ πετασθήσομαι, καὶ καταπαύσω.

(11) *Θλιβερόν*. Id est, θλῖψιν ἐπιφέρον. Vocabulum minus usitatum.

(12) *Τίμιος μὲν γὰρ ἐναντίον*. Ex Psal. CXV, 5.

(13) *Ἵνα τί φοβοῦμαι*. Ex Psal. XLVIII, 5.

Veniet enim hora diesque nostra, fratres. Veniet profecto, nec præteribit; quando relinquet homo cuncta, abibitque solus, desertus, humiliatus, nudus, inops, sine ullo viæ vel duce vel comite, imparatus, diffidens, sive in negligentia vixerit; in die quam nescit, et in hora quam non exspectat, dum luxuriat, dum diffluit deliciis, dum feliciter vivit, dum nullis agitatur curis, veniet subito una hora, et omnia cessaverunt; parva febris, et omnia in nihilum; parvus labor, et omnia in vana et inania; una nox profunda, et tenebrosa, et flebilis, et abducitur, tanquam damnatus, quo abducunt abducentes. Multis tibi tunc, o homo, ductoribus opus est; multis tibi auxiliantibus, multis precibus, multis adjutoribus, in hora separationis animæ. Magnus tunc timor, magnus tunc tremor, magnum mysterium, magna mutatio, cum subimus eo, unde nemo reversus est. Sola hora, et non alia hora: solum iter et non aliud iter; solus pons, cujus non est transitus; omnium finis, omniumque tributum; molestus trajectus, sed quem omnes trajicimus; acerbus potus, sed quem, non autem alium, bibimus omnes; magnum obscurumque mortis mysterium, quod nemo unquam exponere poterit. Quæ horrenda atque formidanda tunc anima existimat! sed nemo ex nobis illa novit, nisi soli qui illuc transierunt, qui illuc trajecerunt, qui experimentum fecerunt. Nonne vides, dic mihi, cum ad fratres defunctos aut moribundos assidemus, quæ formidanda tunc videmus? quomodo manibus astantium contineantur; quomodo conturbentur; quomodo gemiscant; quomodo frigidum et acerbum transsudent, tanquam messores in agro; quomodo alii quidem dentibus strideant, alii vero horrescant et conturbentur, quomodo lecto exsiliant, fugere dum volunt et nequeunt. Videntes quæ nunquam viderunt, et audientes e potestatibus quæ nunquam audierunt, et patientes quæ nunquam passi sunt. Quærunt redemptorem et consolatorem, et nemo audet.

Quos videntes nos tunc tremiscímus, et flemus, et continentes eorum manus atque complectentes, in lacrymis perfundimus, vultusque eorum sudorem abluimus. Abstergimus eorum oculos, ardentem linguam rigamus aqua, aurem nostram admovemus ut verborum eorum audiamus hæsitationem. Deinde interrogamus dicentes: Quomodo tete nunc habes; ne timeas, auxiliatur Deus; ho-

Ἐλεύσεται γὰρ καὶ ἡ (14) ἡμετέρα ὥρα καὶ ἡμέρα, ἀδελφοί. Ἐλεύσεται πάντως καὶ οὐ παρελεύσεται, ὅτε καταλείψει ἄνθρωπος πάντα, καὶ ἀπελεύσεται μόνος, μεμονωμένος, τεταπεινωμένος, γυμνὸς, ἀβοήθητος (15), ἀπροστάτευτος (16), ἀσυνόδευτος, ἀνέτοιμος, ἀπαρρησίαστος, εἴπερ ἐν (17) ἀμελείᾳ φθάσει ἐν ἡμέρᾳ ᾗ οὐ γινώσκει, καὶ ἐν ὥρᾳ ᾗ οὐ προσδοκᾷ, ἐν ὅσῳ τρυφᾷ, ἐν ὅσῳ σπαταλᾷ, ἐν ὅσῳ εὐημερεῖ, ἐν ὅσῳ ἀμεριμνεῖ, ἐλεύσεται ἐξαίφνης μία ὥρα, καὶ πάντα ἤργησαν (18), μικρὸς πυρετὸς, καὶ πάντα εἰς οὐδέν. Μικρὸς πόνος, καὶ ὅλα εἰς κενὰ καὶ μάταια. Μία νὺξ βαθεῖα καὶ σκοτεινὴ καὶ ὀδυνηρὰ, καὶ ἀπάγεται, ὡς κατάδικος, ὅπου ἀπάγουσιν οἱ ἀπάγοντες. Πολλῶν σοι τότε, ὦ ἄνθρωπε, ὁδηγῶν χρεία. Πολλῶν σοι τῶν βοηθῶν, πολλῶν τῶν εὐχῶν, πολλῶν τῶν συνεργῶν, ἐν τῇ ὥρᾳ τοῦ χωρισμοῦ τῆς ψυχῆς. Μέγας ὁ τότε φόβος, μέγας ὁ τότε τρόμος, μέγα τὸ μυστήριον, μεγάλη ἡ περίστασις (19), ὅτε ὑπάγωμεν, ὅθεν οὐδεὶς ἐπανέλυσεν. Ἡ μόνη ὥρα, καὶ οὐκ ἄλλη ὥρα· ἡ μόνη ὁδὸς, καὶ οὐκ ἄλλη ὁδὸς, ἡ μόνη γέφυρα, καὶ πάροδον οὐκ ἔχουσα. Τὸ πάντων τέλος, καὶ πάντων φόρος. Χαλεπὸν τὸ πέραμα, ἀλλὰ πάντες δι' αὐτοῦ περαιούμεθα. Πικρὸν τὸ ποτήριον, ἀλλὰ πάντες αὐτὸ, καὶ οὐκ ἄλλο πίνομεν. Μέγα καὶ ἄδηλον τὸ τοῦ θανάτου μυστήριον, καὶ οὐδεὶς αὐτὸ ἡμῖν διηγήσασθαι δύναται. Φρικτὰ καὶ φοβερὰ ἅπερ τότε ἡ ψυχὴ (20) ὑφίσταται, ἀλλ' οὐδεὶς ἐξ' ἡμῶν ταῦτα ἐπίσταται, εἰ μὴ μόνοι οἱ ἐκεῖ προλαβόντες (21), οἱ ἐκεῖ περάσαντες, οἱ τὴν πεῖραν λαβόντες. Οὐχ ὁρᾷς, εἰπέ μοι, ἡνίκα πρὸς τοὺς ἀδελφοὺς τοὺς τελευτῶντας ἢ ψυχορράγοῦντας παρακαθήμεθα, οὐ φοβερὰ τότε ὁρῶμεν; πῶς (22) ἀνέχονται, πῶς ταράττονται, πῶς στενάζουσιν, πῶς ἱδρῶσι ψυχρὸν καὶ πικρὸν, ὡς οἱ ἐν (23) ἀγρῷ θερισταί; πῶς οἱ μὲν τοὺς ὀδόντας τρίζουσιν, οἱ δὲ θαμβοῦνται καὶ ταράττονται; πῶς τῆς κλίνης ἀναπηδῶσιν, φεύγειν βουλόμενοι, μὴ δυνάμενοι δέ; Ὁρῶντες, ἅπερ οὐδέποτε ἑωράκασι, καὶ ἀκούοντες ὑπὸ τῶν (24) ἐξουσιῶν, ἅπερ οὐδέποτε ἤκουσαν, καὶ πάσχοντες [πάσχοντες], ἅπερ οὐδέ ποτε ἔπαθον. Ζητοῦντες τὸν ῥυόμενον, ζητοῦντες τὸν παρακαλοῦντα, καὶ οὐδεὶς ὁ τολμῶν.

Οὓς θεωροῦντες ἡμεῖς τότε τρέμομεν, καὶ κλαίομεν, καὶ κρατοῦντες αὐτῶν τὰς χεῖρας (25) ἀσπαζόμενοι, τοῖς δάκρυσι βρέχομεν, ἀπαλείφομεν τὸν ἱδρῶτα τοῦ προσώπου αὐτῶν, ἐκμάσσομεν τοὺς τούτων ὀφθαλμοὺς τὴν γλῶσσαν φλεγομένην δροσίζομεν (26) ὕδατι, τὸ οὖς ἡμῶν προστιθέντες, ἵνα τὸν ψελισμὸν (27) τῶν αὐτῶν ἀκούσωμεν ῥημάτων. Εἶτα ἐπερωτῶμεν λέγοντες, Πῶς βλέπεις σεαυτὸν ἄρτι;

(14) *Ἡ ἡμετέρα ὥρα.* Sic dedi, pro ἡ ἡμέρα ὥρα, quod erat in cod.

(15) *Ἀπροστάτευτος.* Sic Antoninus philosophus, xii, 13. Adde Chrysost. de sacerdot., p. 132 (vol. 182), 298, edit. Bengelii.

(16) *Ἀσυνόδευτος.* Id est, ἄνευ συνοδευτοῦ. Et hoc vocabulum rarum.

(17) *Εἴπερ ἐν ἀμελείᾳ φθάσει.* Nescio, adhuc addendum sit βεβιωκώς, aut aliud simile.

(18) *Ἤργησαν.* Cessare solent.

(19) *Μεγάλη ἡ περίστασις.* Magna mutatio.

(20) *Ὑφίσταται.* Lusit in similitudine ὑφίστατται, ἐπίσταται.

(21) *Προλαβόντες.* Id est, φθάσαντες.

(22) *Ἀνέχονται.* Manibus astantium.

(23) *Ὡς οἱ ἐν ἀγρῷ θερισταί.* Aptissima similitudo.

(24) *Ἐξουσιῶν.* Easdem mox, ni fallor, δυνάμεις δεσποτικὰς, et φοβερὰς appellat.

(25) *Ἀσπαζόμενοι.* Forte, καὶ ἀσπαζόμενοι.

(26) *Δροσίζομεν.* Sic Gregor. Nazianz. p. 96, 310; et Diog. Laert. p. 189.

(27) *Ψελισμόν.* Imo, ψελλισμόν.

μὴ φοβοῦ, βοηθεῖ ὁ Θεός. Φιλάνθρωπος γάρ ἐστιν. Ταῦτα πρὸς αὐτὸν λέγομεν, καὶ τὰ στήθη τοῖς δάκρυσι βρέχομεν, καὶ τὴν καρδίαν κατακαιόμεθα, καὶ οὐκ ἔστι παρ' ἡμῶν τότε ἔρως πονηρὸς, οὐδὲ χρημάτων φροντὶς, οὐδὲ βρωμάτων μέριμνα, ἀλλ' ὁρῶμεν τὸ μέγα καὶ φοβερὸν τοῦ θανάτου μυστήριον, καὶ τρέμομεν. Καὶ τὰς κεφαλὰς κινοῦντες, ἑαυτοὺς ταλανίζομεν· Οὐαὶ ἡμῖν γέγονε, εἰς ποῖα κακὰ διὰ τὴν παρακοὴν ἡμῶν ἐνεπέσαμεν! εἰς ποίας θλίψεις! ὦ βίος ταλαίπωρος! Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσει. Ὦ πικροτάτη ἀπόφασις, ἣν οὐδεὶς δύναται διαδρᾶναι. Τότε ὁ προπορευόμενος πᾶσιν ἡμῖν κατασπαζόμενος λέγει· Ἐρρῶσθε, ἀδελφοί μου καλοὶ, ἐρρῶσθε, καὶ ὑπὲρ ἐμοῦ τῇ ὥρᾳ ταύτῃ ἐκτενῶς προσεύξασθε. Εἰς ὁδὸν νῦν μακρὰν πορεύομαι, ἣν οὐδέποτε ὄντως ἐβάδισα, καὶ εἰς χώραν ξένην, ὅπου οὐδεὶς ὁ γνωρίζων με· καὶ εἰς κόσμον φοβερὸν, ὅθεν οὐδεὶς ἐπανέλυσεν· καὶ εἰς τὴν σκοτεινὴν (28), ὅπου οὐκ οἶδα, τί ἀπαντήσει μοι· καὶ εἰς ᾅδην βαθὺν, ὅθεν οὐδεὶς ἀνελήλυθεν.

Λοιπὸν σώζεσθε, ἀδελφοί μου ἀγαπητοὶ, σώζεσθε. Ἐμοῦ γὰρ τοῦ λοιποῦ οὐκέτι ἐστὶν ἀδελφός. Σώζεσθε, φίλοι· ἐγὼ γὰρ οὐκέτι φίλος, ἀλλὰ ξένος. Σώζου ἡ καλὴ συνῳδία (29), ἀλλ' οὐκέτι συνῳδία, ἀλλὰ θρηνῳδία. Σώζεσθε, οἱ συγγενεῖς, νῦν ἀλλογενεῖς. Ἐρρῶσθε· μικρὸν, καὶ δεῦτε καταλάβετε (30). Ἀναμένομεν ὑμᾶς, ἵνα ἔλθητε πρὸς ἡμᾶς. Ἡμεῖς γὰρ οὐκέτι ἐρχόμεθα πρὸς ὑμᾶς, εἴ τι ἑωράκαμεν, ἑωράκαμεν, καὶ εἴ τι ἐπράξαμεν, ἀπολαμβάνομεν. Νῦν εἴ τι ἀγαθὸν ἔπραξα, αὐτὸ καὶ ἐκέρδησα· καὶ εἴ τι προέπεμψα, αὐτὸ καὶ ἀπαντήσει μοι. Ἐάν τινα ἠλέησα, τῇ ὥρᾳ ταύτῃ βοηθήσει μοι, ὅτι στενή μοι καὶ βαρεῖα ἡ παροῦσα ὥρα τῆς ψυχῆς ὑπὲρ πᾶσαν ὥραν. Ὦ, τί ποιήσω ὁ τάλας; Ἀνέτοιμος γὰρ (31) προκατελείφθην. Σκοτεινή μοι ἡ παροῦσα νύξ. Ἄκαρπος γὰρ ἐξεκόπην. Ἀλλὰ δακρύσατέ μοι πικρῶς καὶ θρηνήσατε. Ἐλεήσατε, ὦ φίλοι, ἐλεήσατε καὶ βοηθήσατε. Συμπαθήσατέ μοι καὶ προσεύξασθε, ἵνα εὕρω ἐκεῖ μικρὰν ἄφεσιν, ἵνα λάβω μικρὸν ἐκεῖ ἔλεος. Οὐ ζητῶ πολὺ ὅτι ἥμαρτον πολύ. Οἴμοι πῶς ἐμαυτὸν ἠπάτησα! Πῶς ἐμαυτὸν ἐνέπαιξα λέγων, Νέος εἰμὶ ἔτι, τέως ἀπολαύσω τῶν τοῦ βίου. Ἐντρυφήσω τῷ κόσμῳ. Θεραπεύσω μου τὴν σάρκα, καὶ ἐν ὑστέρῳ μετανοῶ. Φιλάνθρωπος γάρ ἐστιν ὁ Θεὸς, καὶ πάντως συγχωρήσει μοι. Ταῦτα ἐννοῶν καθημέραν τὴν ἐμαυτοῦ ζωὴν κακῶς ἐδαπάνησα. Ἐδιδασκόμην, καὶ οὐ προσεῖχον· ἐνουθετούμην, καὶ κατεγέλων· ἤκουον τῶν Γραφῶν, ὡς μὴ ἀκούων· ἤκουον περὶ κρίσεως, καὶ ἐξεμυκτήριζον· ἤκουον περὶ θανάτου, καὶ ὡς ἀθάνατος διεκείμην, καὶ ὡς αἰώνιος κατεφρόνουν. Καὶ ἰδοὺ, ὡς ἀμετανόητος ἐφθάθην (32), καὶ οὐδεὶς ὁ λυτρούμενος. Ἰδοὺ δέο-

A mines enim amat. Hæc ad eum dicimus, et pectus lacrymis madefacimus, et ardet cor nostrum, neque tunc est apud nos amor malus, neque divitiarum sollicitudo, neque ciborum cura, sed videmus magnum et formidandum mortis mysterium, et contremiscimus; et quatimus caput; miseriam nostram dolemus: Væ nobis! In qualia mala per contumaciam nostram incidimus! In quantas tribulationes! O vitam infelicem! « Pulvis es, et in pulverem reverteris [1]. » O acerbissimam sententiam, quam nemo potest effugere! Tunc qui nobis omnibus præcessit, complexus dicit: Valete, fratres mei dilecti, valete, et pro me assiduo hac hora precamini. Viam nunc magnam incedo, in quam reipsa nunquam ambulavi, et in regionem exteB ram, ubi nemo qui me cognoscat; et in formidandum mundum, unde nemo reversus est; et in tenebrosam noctem, ubi quid mihi obviam erit nescio; et in profundum infernum, unde nemo exiit.

Reliquum salvamini, fratres mei dilecti, salvamini. Mei enim reliqui non jam est frater; salvamini, amici, ego enim non jam amicus, sed hospes; salvetur optimus concentus, at non jam concentus, sed comploratio. Salvamini, consanguinei, nunc alienigenæ. Valete, valete, modicum et venite, consequimini id quod vos manet, ut veniatis ad nos. Nos enim non jam venimus ad vos, si quid vidimus, vidimus, et si quid perfecimus, recipiC mus. Nunc si quid boni feci, hoc et lucratus sum; et si quid præmisi, hoc et mihi erit obvium. Et si quem miseratus sum, is hora illa auxiliabitur mihi, quia angusta mihi et gravis præsens hora animæ super omnem horam. Quid faciam infelix! Impartus enim oppressus sum. Tenebrosa mihi præsens nox; sine fructu enim avulsus sum. Sed lacrymate super me amare, et lugete. Miseremini, amici, miseremini et auxiliamini. Compatimini mihi et precamini, ut ibi inveniam parvam absolutionem, ut accipiam ibi parvam misericordiam. Non quæro multum quia multum peccavi. Eheu quam meipsum decepi! Quam me ipsum ludificavi dicens: Junior sum adhuc, usquedum vitæ bonis fruar. Mundi deliciis diffluam, carnem meam curabo, ad posteD rius pœnitentiam agam. Hominem enim amat Deus, et protinus indulgebit mihi. Hæc quotidie reputans vitam meam pessime degi. Docebar, neque attendebam; admonebar et irridebam. Audiebam Scripturas, quasi non audiens; audiebam de judicio, et in ludibria vertebam; audiebam de morte, et tanquam immortalis vivebam, et tanquam æternus meditabar. Et ecce impœnitens præoccupatus

[1] Gen. III, 19.

(28) *Εἰς τὴν σκοτεινήν.* Forte excidit νύκτα, aut χώραν, ut paulo post, σκοτεινὴ μοι ἡ παροῦσα νύξ.

(29) *Συνῳδία.* Ex vocabulo θρηνῳδίας possit quis conspicere, bis hoc loco legendum esse συνῳδία. Non minus tamen probabile est συνῳδία.

(30) *Καταλάβετε.* Καταλαμβάνειν hoc loco videtur esse pervenire, quo sensu dicitur τόπον τινὰ καταλαβεῖν.

(31) *Προκατελείφθην.* Corrige, προκατελήφθην.

(32) *Ἐφθάθην.* Id est, κατελήφθην.

fui; et nemo est qui me liberet; ecce supplex preor, et nemo est qui me audiat. Vere justum judicium Dei. Quoties enim ei pœnitentiam promisi, et rursum pejora faciebam! Quoties mei misertus est, et rursum iram ejus concitavi!

Hæc plerumque moribundo ad nos præsentes dicente, subito ejus vincitur lingua, avertitur mens, turbantur oculi, donec infernæ potestates deinceps supervenerint; quoniam non invocati exactores ad tribunal nos trahentes deferunt, quos et intuens miser homo, etsi rex sit, vel potens, vel tyrannus, totus concutitur, et domus, tanquam e terrarum quassatione, tota tremiscit, tota conturbatur, tota stupet, et excitatur formidolosas videns potestates, videns formas exteras et violentas, videns cohortes, quas nunquam contemplatus est. Hæc tunc obiens videt, nos vero jam non videt; sed ad vocantes eum potestates exsurgit stupefactus. Forte et nonnullas preces ad eas fundit mussitans, quantum lingua loqui valet. Ex quibus verbis et rebus præsentes plerumque conjicimus quod tyrannicus potestates vidit, et omnes tremore aborto horrescimus; et inter nos innuimus dicentes: Precemur, fratres, in magno enim certamine versatur. Meditemur et de illa hora cogitemus. Quid enim est homo? Nihil. Quid homo? vermis, cinis, umbra, somnium. Ecce transiit, ecce abiit, ecce cessavit, ecce requievit. Hic magnus, invictus, potens, validus, jacet ovi mitior; conspicuus, quasi non conspicuus, factus est invisibilis; superatus est qui superabat, et ecce abducunt quo abducunt abducentes, in quo loco stant potestates et dominationes, acerbi nostrum accusatores in aere; in quo terribiles publicani, et inquisitores, et collectores sunt obvii, qui scrutantur inquirunt, insimulant, proferunt hominis peccata, et chirographa, sive in juventute, sive in senectute, sive libenter, sive invite facta, sive verbo, sive opere, sive cogitatione. Multus timor ibi, multus miseræ animæ tremor. Infanda necessitas, quam ab inimicis sustinet, impedientibus obstantibusque, ne ascendat in cœlum, ne in viventium regionem ingrediatur. Verum sancti angeli, animam excipientes, tunc abducunt. Nos autem, justis mortuo corpori persolutis, ad tumulum diligenter defunctum efferimus; quem ibi relinquentes, domum revertimur mœsti et abjecti, excipientes et ipsi ineluctabilem mortis horam; Ne igitur nos quoque inveniamur imparati, fratres, in hac necessitate, curramus, properamus, præcaveamus, ne ex improviso abripiamur. Ingrediamur, ne foris maneamus; abjiciamus vanam istam ignaviam; abjiciamus socordiam nostram, in qua usque ad hoc tem-

μαι, καὶ οὐδεὶς ὁ εἰσακούων. Ἀληθῶς δικαία ἡ κρίσις τοῦ Θεοῦ. Ποσάκις γὰρ αὐτῷ μετανοεῖν συνετασσόμην (33), καὶ πάλιν τὰ χείρω διεπραττόμην! Ποσάκις με ἠλέησε, καὶ πάλιν παρώργισα;

Ταῦτα πολλάκις τοῦ τελευτῶντος πρὸς ἡμᾶς τοὺς παρόντας διαλεγομένου, ἐξαίφνης δεσμεῖται ἡ γλῶσσα, ἀναπολεῖ ὁ νοῦς, ἀλλοιοῦνται οἱ ὀφθαλμοί, ἡνίκα αἱ δεσποτικαὶ δυνάμεις λοιπὸν παραγένωνται. Ὅτι οἱ ἀπαράκλητοι ἀπαιτηταὶ εἰς τὸ δικαστήριον ἡμᾶς ἕλκοντες ἀποφέρουσιν, οὓς καὶ θεασάμενος ὁ ταλαίπωρος ἄνθρωπος, κἂν βασιλεύς ἐστι, κἂν δυνάστης, κἂν τύραννος, ὅλος δονεῖται, καὶ ὁ οἶκος, ὡς ἀπὸ σεισμοῦ, ὅλος τρέμει, ὅλος ταράττεται, ὅλος θαμβεῖται καὶ ἐξίσταται ὁρῶν δυνάμεις φοβερὰς, ὁρῶν μορφὰς ξένας καὶ κραταιὰς, ὁρῶν τάξιν (34), ἣν οὐδέποτε ἐθεάσατο· ταῦτα τότε ὁ ἀπαγόμενος ὁρᾷ, ἡμᾶς δὲ οὐκέτι καθορᾷ, ἀλλὰ πρὸς τὰς καλούσας δύναμεις θαμβηθεὶς ἐξίσταται. Ἴσως δὲ καί τινας δεήσεις πρὸς αὐτὰς ποιεῖται ψιθυρίζων, καθὼς ἡ γλῶσσα λαλεῖν δύναται. Ἐξ ὧν ῥημάτων καὶ χρημάτων οἱ παρόντες πολλάκις νοοῦμεν, ὅτι τὰς δεσποτικὰς δυνάμεις ἐθεάσατο, καὶ πάντες σύντρομοι (35) γενόμενοι, φρίττομεν, καὶ πρὸς ἀλλήλους διανεύομεν λέγοντες· Προσευξώμεθα, ἀδελφοί· εἰς γὰρ ἀγῶνα μέγαν παρίσταται. Σκοπήσωμεν, καὶ τῆς ὥρας ταύτης φροντίσωμεν. Τί γάρ ἐστιν ἄνθρωπος; οὐδέν· τί ἄνθρωπος; σκώληξ καὶ τέφρα καὶ σκιὰ καὶ ὄναρ. Ἰδὲ διέβη, ἰδὲ ἀπῆλθε, ἰδὲ κατέπαυσεν, ἰδὲ ἡσύχασεν. Ἐκεῖνος ὁ πολὺς (36), ὁ ἀήττητος, ὁ δυνάστης, ὁ κραταιὸς κεῖται προβάτου πραότερος. Ὁ φαινῆς, ὡς μὴ φαινῆς, γέγονεν ἀφανής. Ὁ κρατῶν κεκράτηται, καὶ ἰδοὺ ἀπάγουσιν, ὅπου ἀπάγουσιν οἱ ἀπάγοντες, ἐν (37) ᾧ ἵστανται αἱ ἀρχαὶ καὶ ἐξουσίαι, οἱ πικροὶ ἡμῶν κατήγοροι ἐν τῷ ἀέρι. Ἐν ᾧ οἱ δεινοὶ τελῶναι καὶ λογοθέται καὶ φορολόγοι συναντῶντες, λογοθετοῦντες, κρατοῦντες, κατηγοροῦντες, προφέροντες τὰ τοῦ ἀνθρώπου ἁμαρτήματα καὶ χειρόγραφα, τὰ ἐν νεότητι, τὰ ἐν γήρει (38), τὰ ἑκούσια, τὰ ἀκούσια, τὰ δι' ἔργων, τὰ διὰ λόγων, τὰ δι' ἐνθυμήσεων. Πολὺς ὁ φόβος ἐκεῖ, πολὺς τῆς ἀθλίας ψυχῆς ὁ τρόμος. Ἀδιήγητος ἡ ἀνάγκη, ἣν ὑπὸ τῶν ἐχθρῶν ὑφίσταται, κωλυόντων, ἐμποδιζόντων, ἵνα μὴ ἐν τῷ οὐρανῷ (39) ἀνέλθῃ, ἵνα μὴ ἐν τῇ χώρᾳ τῶν ζώντων εἰσέλθῃ. Ἀλλ' οἱ μὲν ἅγιοι ἄγγελοι τὴν ψυχὴν παραλαβόντες ἀπάγουσι τότε. Ἡμεῖς δὲ, τὸ θνητὸν σῶμα κηδεύσαντες, πρὸς τὸν καιρὸν κομίζομεν μετὰ σπουδῆς τὸν τεθνεῶτα. Καὶ ἐκεῖσε κατακλιπόντες, οἴκαδε ἀναστρέφομεν, στυγνάζοντες καὶ κατηφεῖς, ἐκδεχόμενοι καὶ αὐτοὶ τὴν ἀπαραίτητον τοῦ θανάτου ὥραν. Ἵν' οὖν καὶ ἡμεῖς μὴ ἀνέτοιμοι εὑρεθῶμεν, ἀδελφοὶ, ἐν τῇ ἀνάγκῃ ἐκείνῃ, δράμωμεν, σπεύσωμεν, προλάβωμεν,

(33) *Συνετασσόμην*. Promisi.
(34) *Ὁρῶν τάξιν*. Ἤγουν, τάγματα.
(35) *Σύντρομοι*. i. e. ἔντρομοι.
(36) *Ὁ πολύς*. Πάνυ περιβόητος. V. Syncs. t. II, p. 24, 60, 61.
(37) Τόπῳ. *Ἐν ᾧ*.
(38) *Ἐν γήρει*. Sic alibi sæpe, ut psal. xci, 14. Ἐν γήρει πίονι, quomodo reperi etiam Luc. i, 36, in aliquot vetustissimis et magnæ auctoritatis codicibus.
(39) *Ἐν τῷ οὐρανῷ*. Pro, εἰς τὸν οὐρανόν.

ἵνα μὴ ἄφνω προαναρπασθῶμεν. Εἰσέλθωμεν, ἵνα A pus viximus; spes exuamus quæ nos de die in
μὴ ἔξω μείνωμεν, ἀποθώμεθα τὰς ματαίας ὀκνηρίας diem deludunt; ne nos deinceps decipiat impura
ἐκείνας. Ἀποθώμεθα τὴν ῥᾳθυμίαν ἡμῶν, ἐν ᾗ πε- et prava ratiocinatio, quia multi multa cum con-
ριεζήσασεν (40) ἕως τοῦ νῦν. Ἀπορρίψωμεν τὰς stituissent in crastinam, non consecuti sunt, sed
χλευαζούσας ἡμᾶς ἡμέρᾳ τῇ ἡμέρᾳ (41) ἐλπίδας. repente ablati sunt, sicut turtur a milvio, sicut
Μὴ ἐμπαίζῃ ἡμῖν τοῦ λοιποῦ ὁ μιαρὸς καὶ πονηρὸς agnus a lupo; neque loqui omnino valentes, neque
λογισμὸς, ὅτι πολλοὶ πολλὰ βουλευσάμενοι εἰς τὴν testamenta facere. Hi quidem dormientes, a ve-
αὔριον οὐ κατέλαβον, ἀλλ' ἐξαίφνης ἁρπάγησαν, spere adhuc plane valentes, ad matutinum non
ὡς (42) στρουθίον ὑπὸ ἱέρακος, ὡς ἀρνίον ὑπὸ λύ- pervenerunt; illi vero mensæ accumbentes, in ea
κου. Μήτε λαλῆσαι ὅλως ἰσχύοντες, μήτε διαθήκας exspiraverunt; alii ambulantes et cadentes subito
ποιήσασθαι. Οἱ μὲν καθεύδοντες, ἀπὸ ἑσπέρας mortui sunt. Et hæc omnia vidimus et cognosci-
ὑγιεῖς, τὴν πρωΐαν οὐκ ἔφθασαν. Οἱ δὲ ἐπὶ τραπέ- mus. Ideo nullam veniam a Deo habemus; quoniam
ζης καθήμενοι, ἐν αὐτῇ ἀπέπνευσαν. Οἱ δὲ περιπα- non inscii, sed conscii erramus; audientes quidem
τοῦντες καὶ πεσόντες, ἐξαίφνης ἀπέθανον. Καὶ ταῦ- divinas Scripturas, et quæ nobis dicta sunt nobi-
τα πάντα εἴδαμεν καὶ γινώσκομεν. Διὸ οὐδεμίαν scum reputantes, neque vero facientes.
συγγνώμην παρὰ Θεοῦ ἔχομεν· ὅτι οὐκ ἐν ἀγνωσίᾳ, ἀλλ' ἐν γνώσει πλανώμεθα. Ἀκούοντες μὲν τῶν
θείων Γραφῶν, καὶ ἐννοοῦντες τὰ λεγόμενα, μὴ ποιοῦντες δέ.

Διὸ παρακαλῶ, μὴ μόνον ἀκροαταὶ γενώμεθα τῆς B Itaque precor, ne tantummodo doctrinæ audi-
διδαχῆς, ἀλλὰ καὶ ποιηταί. Εἴ τις οὖν μετὰ τὴν tores, sed et observatores fiamus. Si quis igitur
ἀκρόασιν τῶν νῦν εἰρημένων συνήθειαν πονηρὰν post auditionem eorum quæ dicta sunt, pravam
πορνείας ἔχων ταύτην ἀπέκοψεν, οὗτος ἀκροατὴς fornicationis consuetudinem habens, eam præci-
καλός. Εἴ τις μνησικακίαν ἔχων πρὸς τὸν πλησίον derit, is auditor bonus. Si quis veterem in proxi-
καὶ διαλλαγῇ αὐτῷ, οὗτος καλὸς ἀκροατής. Εἴ τις mum simultatem habens ignoverit ei, is auditor
κατανυγεὶς ἐπὶ τοῖς παροῦσι λόγοις ἐλεήμων καὶ bonus; si quis præsentibus sermonibus compun-
εὐμετάδοτος γένηται, οὗτος καλὸς ἀκροατής. Ἵνα ctus misericors et liberalis factus sit, is auditor
μὴ εἰς κρῖμα ἡμῶν καὶ αὕτη ἡ ἀνάγνωσις γένηται· bonus. Ne et nobis crimini vertatur hæc admoni-
ἀκούομεν γὰρ, καὶ οὐ ποιοῦμεν. Εἰ μὴ γὰρ ὁ θάνα- tio; audimus enim et non agimus. Etenim si te
τος τοῦ ἀδελφοῦ σου σωφρονίσει σε, οὐδεὶς δύναταί mors fratris tui non emendaverit, nemo tibi pro-
σε ὠφελήσειν. Εἰ μὴ νεκρὸν βλέπων μετανοήσεις, desse poterit. Si mortuum videns non hæc animo
πότε λοιπὸν ἐπιστρέψεις; εἰ μὴ ἐπὶ τοῖς νῦν εἰρημέ- circumspicis, quando deinceps converteris? Si non
νοις κατενύγης, πότε τῆς ἁμαρτίας ἀποστήσῃ; Ταύ- his quæ nunc dicuntur fueris compunctus, quando
τὴν ἀγαπητοὶ, τὴν τῶν θείων λογίων πρᾶξιν οἱ πρὸς a peccato descisces? Hanc igitur, dilecti, divino-
Χριστὸν προλαβόντες ἡμῶν ἀδελφοὶ ἡμῖν παρέθηκαν. C rum sermonum observantiam fratres nostri, qui ad
Ταῦτα τὰ ζωοποιὰ ἐδέσματα ἡμῖν ἡτοίμασαν. Τοῦτον Christum præcesserunt, has vivificantes escas no-
ἡμῖν τὸν τῆς διδασκαλίας οἶνον ἐκέρασαν, bis paraverunt. Hoc nobis doctrinæ vinum fude-
ὅπως ταῦτα μελετῶντες ἐν νυκτὶ, ἐν ἡμέρᾳ, ἐν ἐκ- runt, ut hæc meditantes, nocte, die, in ecclesia,
κλησίᾳ, ἐν οἴκοις, ἐπὶ τραπέζης, ἐν κλίναις, δυνη- in domo, ad mensam, in lecto pravas possimus
σόμεθα τῆς πονηρᾶς καὶ ματαίας συνηθείας καὶ vanasque consuetudines et negligentias abjicere,
ἀμελείας ἀποστῆναι, καὶ τὴν ψυχὴν ἡμῶν ἐπιστρέ- animamque nostram convertere, et ad pœniten-
ψαι καὶ πρὸς μετάνοιαν, κἂν ἀπὸ τοῦ νῦν, κλίναι, tiam, etiam nunc, inclinare et tyrannum pudore
καὶ τὸν Δεσπότην δυσωπῆσαι, καὶ τῆς βασιλείας τῶν confundere, et ad regnum cœlorum pervenire,
οὐρανῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ gratia et humanitate Domini nostri Jesu Christi,
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι αὐτῷ πρέπει δόξα quem decet gloria cum æterno Patre et vivificante
σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ ζωοποιῷ καὶ ἁγίῳ sancto Spiritu, nunc et semper, et in infinita sæ-
Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους cula sæculorum. Amen.
αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(40) *περιεζήσασεν*. Forte, περιεζήσαμεν, aut προεζήσαμεν.

(41) *Ἡμέρᾳ τῇ ἡμέρᾳ*. Fortasse scripserat ἡμέρα καὶ ἡμέρα ut est II Cor. IV, 16, et psal. LXIII, 19.

(42) *Ὡς στρουθίον ὑπὸ ἱέρακος*. Et hæc similitudo placet.

ΑΝΑΣΤΑΣΙΟΥ ΑΒΒΑ
ΔΙΑΛΕΞΙΣ ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ (1)

ANASTASII ABBATIS
ADVERSUS JUDÆOS DISPUTATIO.

(Ang. Mai, *Script. Vet. collect.* VII, p. 207.)

Christianus ante omnia Judæum interrogabit : Curnam audis Judæus et Hebræus et Israelita? et quænam est horum trium nominum interpretatio? Et quando Judæus responderit : Hebræi nomen duco ab Abrahamo, Judæi a Juda, Israelita vocor ex quo Jacob a Deo vocatus est Israel dic ei : Non hoc rogavi te, sed ut mihi indices quid significet Judæus et Hebræus et Israelita. Quod ubi explicare potuerit, ei dices : Propterea Judæi nomen nactus es, et postmodum incipe verba facere de prophetarum testimoniis, quorum paulo infra mentionem injiciemus. Si vero explicare non potuerit, noli amplius cum eo colloqui, sed dicas : Abi, disce nominis significationem, et tunc revertere ut de fide tua loquamur. Jam trium illorum nominum hæc est interpretatio : Hebræus significat *transitorem* seu *trajicientem*, quia Jordanem et mare trajecit. Judæus interpretatur *confessio*. Israelita exponitur *mens Deum videns*, siquidem illi (Israelitæ) ante omnes populos Deum cognoverunt. Abraham quoque interpretatur *transitor*, quoniam e Mesopotamia discedens Jordanem transiit. Jerusalem significat *pacis visionem*, et Sabaoth idem est ac *pacificator*, *exercituum Dominus*. Mons Sina interpretatur *mons rubi*, et Sina, *rubus*. Moses autem, *fiscella Ægyptiaca*, *aqua* et *lignum*, siquidem in aqua repertus est in fiscella lignea. Aaron interpretatur *montanus*, Selem autem *locus Dei*. Raithu interpretatur, Saracenorum lingua, *vidi eum*. Joannes, *in quo est gratia*, et *Domino obediens*, siquidem ipse præcurrere atque Dominum annuntiare debebat. Jesus interpretatur *Salvator*. Bethleem, *domus panis*, siquidem illic natus est panis cœlestis, Christus Dominus noster. Jordanes, *condescensio ejus*, quoniam descendit Dominus, et baptizatus est ipse Christus, Filius Dei viventis,

Ὁ Χριστιανὸς πρὸ πάντων τοῦτο θέλει ἐρωτῆσαι τὸν Ἰουδαῖον· Διὰ τί ἀκούεις Ἰουδαῖος καὶ Ἑβραῖος καὶ Ἰσραηλίτης; καὶ τίς ἐστιν ἡ ἑρμηνεία τῶν τριῶν ὀνομάτων; Καὶ ὅταν ἀποκριθῇ ὁ Ἰουδαῖος· Ἑβραῖος μὲν ἀκούω ἐκ τοῦ Ἀβραάμ, Ἰουδαῖος δὲ ἐκ τοῦ Ἰούδα, Ἰσραηλίτης δὲ ἐκ τοῦ κληθῆναι τὸν Ἰακὼβ ἐκ τοῦ Θεοῦ Ἰσραήλ, εἰπὲ αὐτῷ· Οὐκ ἠρώτησά σε οὕτως, ἀλλ' ἵνα μοι εἴπῃς τί ἑρμηνεύεται Ἰουδαῖος καὶ Ἑβραῖος καὶ Ἰσραηλίτης. Εἰ μὲν εὕροι εἰπεῖν, εἰπὲ αὐτῷ· Διὰ τοῦτο Ἰουδαῖός ἐστι τὸ ὄνομά σου· καὶ εἶθ' οὕτως ἄπαρξον τὰ μέλλοντα κάτωθεν λεχθῆναι ἀπὸ τῶν μαρτυριῶν τῶν προφητῶν. Εἰ δὲ μὴ εὕροι εἰπεῖν, μὴ λαλήσῃς αὐτῷ ῥῆμα, ἀλλ' εἰπὲ αὐτῷ· Ὕπαγε, μαθητεύου τί καλεῖ σε, καὶ τότε ἐλθὲ καὶ λαλῶ μετὰ σοῦ περὶ τῆς πίστεώς σου. Ἔστι δὲ ἡ ἑρμηνεία τῶν τριῶν ὀνομάτων αὕτη· Ἑβραῖος ἑρμηνεύεται *περάτης*, τουτέστι *διαβάτης*, διότι ἐπέρασε τὸν Ἰορδάνην καὶ τὴν θάλασσαν. Ἰουδαῖος ἑρμηνεύεται *ἐξομολόγησις*. Ἰσραηλίτης ἑρμηνεύεται *νοῦς ὁρῶν τὸν Θεόν*, ἐπειδὴ αὐτοὶ πρὸ ὅλων τῶν ἐθνῶν τὸν Θεὸν ἐγνώρισαν. Καὶ Ἀβραὰμ δὲ *περάτης* ἑρμηνεύεται, ἐπειδὴ ἐπέρασεν ἀπὸ Μεσοποταμίας τὸν Ἰορδάνην. Ἱερουσαλὴμ ἑρμηνεύεται *ὅρασις εἰρήνης*, καὶ Σαβαὼθ ἑρμηνεύεται *εἰρηνευτὴς, Κύριος στρατιῶν*. Ὄρος τὸ Σινὰ ἑρμηνεύεται *ὄρος βάτου*. Σινὰ ἑρμηνεύεται *βάτος*. Μωσῆς δὲ *Αἰγυπτιακὴ θίβη, ὕδωρ*, καὶ *ξύλον*, ἐπειδὴ εἰς τὸ ὕδωρ εὑρέθη ἐν ξιλίνῃ θίβῃ. Ἀαρὼν ἑρμηνεύεται *ὀρειφός*. Σελὴμ ἑρμηνεύεται *τόπος Θεοῦ*. Ῥαιθοῦ ἑρμηνεύεται Σαρακηνιστὶ, *εἶδον αὐτόν*. Ἰωάννης ἑρμηνεύεται, *ἐν ᾧ ἡ χάρις*, καὶ *Κυρίῳ ἐπήκοος*, ἐπειδὴ αὐτὸς ἔμελλε προτρέχειν καὶ κηρύσσειν τὸν Κύριον. Ἰησοῦς ἑρμηνεύεται *σωτήρ*. Βηθλεὲμ, *οἶκος ἄρτου*, ἐπειδὴ ἐκεῖ ἐγενήθη ὁ οὐράνιος ἄρτος Χριστὸς ὁ Κύριος ἡμῶν. Ἰορδάνης *συγκατάβασις αὐτοῦ*, ἐπειδὴ κατῆλθεν ὁ Κύριος, καὶ ἐβαπτίσθη αὐτὸς

(1) Hoc Anastasii Abbatis opusculum Latine tantummodo, et quidem aliquot paginis initio mutilum, passim insuper hians, exstabat, F. Turriano interprete apud Canisium antiq. lect. t. II, part. III. p. 12. ed. Basnagii. Nunc demum Græcus textus lucem aspicit, cum interpretatione nova.

ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ ζῶντος, Χριστιανῶν σωτηρία, Ἰουδαίων τε καὶ Ἑλλήνων κατάλυσις, εἰδώλων καθαίρεσις.

Εἶτα μετὰ τὸ ὁμολογῆσαι τὸν Ἰουδαῖον εἰδέναι τὰ προειρωτηθέντα, ἄρξον πρὸς αὐτὸν εἰπεῖν οὕτως· ὅτι, Ὦ Ἰουδαῖε, ἅπερ σοι μέλλω εἰπεῖν, οὐχ ἡμεῖς μόνον αὐτὰ λέγομεν, ἀλλὰ καὶ αἱ Γραφαὶ ὑμῶν τὰ αὐτὰ μαρτυροῦσι καὶ λέγουσι. Πρὸς τίνα οὖν εἶπεν ὁ Θεὸς, « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν; » Καὶ εἰ μὲν εἴποι, ὅτι Πρὸς τοὺς ἀγγέλους, εἰπὲ αὐτῷ, ὅτι Πῶς; ἐγὼ γὰρ λέγω σοι, ὅτι Πρὸς τὸν Υἱὸν τοῦτο εἶπε· σὺ δὲ τὸν ἕνα μὴ θέλων παραδέξασθαι, μυρίους εἰσάγεις· καὶ τὸν Υἱὸν ἀθετῶν, οἰκέταις τὸ τῆς συμβουλῆς ἀξίωμα περιάπτῃ· καὶ τοὺς ὁμοδούλους ἡμῶν, κυρίους ποιεῖς τῆς ἡμετέρας δημιουργίας. Εἰπὲ, οὐχὶ ὁ ἄνθρωπος τελειούμενος διὰ πολιτείας ἀγαθῆς, πρὸς τὴν τῶν ἀγγέλων ἀξίαν ἀνάγεται; καὶ ποῖον δημιούργημα ἴσον εἶναι τῷ Κτίσαντι δύναται; Σκόπει δὲ καὶ τὰ ἑφεξῆς, « Κατ' εἰκόνα ἡμετέραν. » Τί λέγεις πρὸς τοῦτο; Μὴ εἰκὼν μία Θεοῦ καὶ ἀγγέλων; Οὐδαμῶς. Ἡ οὐ μὲν γὰρ καὶ Πατρὸς πᾶσα ἀνάγκη τὴν αὐτὴν εἶναι μορφὴν, θεοπρεπῶς δηλονότι τῆς μορφῆς νοουμένης, οὐκ ἐν σχήματι σωματικῷ, ἀλλ' ἐν τῷ ἰδιώματι τῆς θεότητος; Ἄκουε δὲ τί λέγει, « Κατ' εἰκόνα ἡμετέραν. » Τίνι ἄλλῳ γε ἢ τῷ ἀπαυγάσματι τῆς δόξης, καὶ χαρακτῆρι τῆς ὑποστάσεως αὐτοῦ, τῷ Υἱῷ καὶ Λόγῳ αὐτοῦ, ὅς ἐστιν εἰκὼν τοῦ ἀοράτου Θεοῦ; Τῇ ἰδίᾳ τοίνυν εἰκόνι τῇ ζώσῃ, τῇ εἰπούσῃ· « Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· » καὶ, « Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα· » ταύτῃ λέγει· « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν. » Ὅπου μία εἰκὼν, ποῦ τὸ ἀνόμοιον; « Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, » οὐχὶ, Ἐποίησαν. Ἔφυγε ταῦτα τὸν πληθυσμὸν τῶν προσώπων· διὰ μὲν τοῦ εἰπεῖν, « Ποιήσωμεν ἄνθρωπον, » σὲ τὸν Ἰουδαῖον παιδεύων· διὰ δὲ τοῦ εἰπεῖν, « Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, » τὸν Ἑλληνισμὸν ἀποκλείων. Ἀσφαλῶς ἀνέδραμε πρὸς τὴν μονάδα, ἵνα καὶ Υἱὸν νοῇς μετὰ Πατρὸς, καὶ τῆς πολυθεΐας ἐκφύγῃ τὸ ἐπικίνδυνον.

Τῷ δὲ εἰπεῖν, « Καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν, » οὐ φανερόν ἐστιν, ὅτι τοῦ ἁγίου Πνεύματος τὴν θείαν ἐνέργειαν ἐδήλωσε; Τοῦτο καὶ διὰ τῶν προφητῶν ἐκηρύχθη, ὡς ἐν τῷ, « Πνεῦμα Κυρίου ἐπ' ἐμέ· » καὶ, « Πνεῦμα Κυρίου ὡδήγησεν αὐτούς· » καὶ, « Πνεῦμα ἐπιστήμης ἐνέπλησεν τὸν Βεσελεὴλ, » τὸν ἀρχιτέκτονα τῆς σκηνῆς· καὶ, « Πνεῦμα παροξυνόμενον· » καὶ « Πνεῦμα ἐξᾶραν Ἠλίαν ἐν ἅρματι καὶ ζητηθὲν παρὰ Ἐλισσαίου διπλάσιον· » Πνεύματι ἀγαθῷ καὶ, ἡγεμονικῷ Δαβὶδ ὁδηγούμενός τε καὶ στηριζόμενος. Ἐπηγγέλθη δὲ ὑπὸ μὲν Ἰωὴλ πρότερον, « Καὶ ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγοντος, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, » δηλαδὴ τὴν πιστεύσασαν, « καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν, Christianorum salus, Judæorum ac gentilium dissolutio, idolorum abolitio.

Jam vero, ubi Judæus iis quæ modo dicta sunt, consenserit, hunc in modum eum alloquaris: Quæ tibi, o Judæe, dicturus sum, ea non solum nos asserimus, sed etiam vestri Libri testantur atque asserunt. Ad quemnam igitur dixit Deus: « Faciamus hominem secundum imaginem nostram et similitudinem [1]? » Quod si responderit: Ad angelos, dic ei: Quid ita? Equidem ad Filium hæc eum dixisse affirmo; tu vero, quandoquidem unum rejicis, innumeros introducis, et Filium respuens, servis consilii honorem attribuis, atque conservos nostros facis dominos creationis nostræ. Nonne, quæso, homo bona vitæ ratione consummatus ad angelorum evehitur dignitatem? Quænam autem creatura Creatori par esse poterit? Cæterum considera quæ sequuntur, « Ad imaginem nostram. » Quid ad hæc dices? Num una est Dei et angelorum imago? Nequaquam. Nonne imago Patris necessario est una eademque, si nimirum sensu Deo digno imaginem acceperis, non secundum corporis formam, sed secundum divinitatis naturam? Jam vero si dicit, « Secundum imaginem nostram, » cuinam alii dixerit quam splendori gloriæ et characteri substantiæ suæ, Filio ac Verbo suo, qui est imago invisibilis Dei? Ad suam igitur ipsius imaginem viventem, quæ dixit: « Ego et Pater unum sumus [2], » et: « Qui me vidit, vidit etiam Patrem [3], » ad hanc, inquam, dixit: « Faciamus hominem secundum imaginem nostram. » In quo autem una imago, ubi erit dissimile? « Et fecit Deus hominem, » non, « fecerunt. » Hoc modo personarum pluralitatem evitavit: nimirum dicendo: « Faciamus hominem, » te Judæum edocens, dicendo autem: « Et fecit Deus hominem, » gentilium errorem rejiciens. Atque sic probe demonstravit unitatem, ut Filium simul cum Patre agnoscas, et periculosam multorum deorum opinionem declines.

Cum autem dicitur: « Et inspiravit in faciem ejus spiraculum vitæ, et factus est homo in animam viventem [4], » nonne manifesto Spiritus sancti efficacia his verbis indicatur? Hoc etiam prophetarum testimonio confirmatur, ut in illis: « Spiritus Domini super me [5], » et: « Spiritus Domini duxit eos, » et: « Spiritus cognitionis replevit Beseleel architectum tabernaculi [6], » et: « Spiritus irritatus; » et: « Spiritus sustollens Eliam in curru, et desideratus dupliciter ab Elisæo [7]; » et David Spiritu bono et principali conductus et suffultus [8]. » Promissus est etiam ab Joele prius, ubi dixit « Et ultimis diebus effundam de Spiritu meo super omnem carnem, » scilicet credentem, « et super filios vestros et super filias vestras [9], » et cætera,

[1] Gen. I, 26. [2] Joan. X, 30. [3] Joan. XIV, 9. [4] Gen. II, 7. [5] Isa. LXI, 1; Luc. IV, 18. [6] Exod. XXXV, 31. [7] IV Reg. II, 15. [8] I Reg. XVI, 13. [9] Joel. II, 28.

Et : « Spiritus divinus fecit me, et halitus Omnipotentis me docuit [10]. » Et rursus : « Emittes Spiritum tuum, et creabuntur, et renovabis faciem terræ [11]. » Similiter Deus etiam de Adamo dicens : « Ecce factus est Adam ut unus e nobis [12], » Patrem, Filium atque Spiritum sanctum innuit. His adjice et considera quod a Deo in lege promulgatur : « Audi, Israel, Dominus Deus tuus, Dominus unus est [13]. » Nonne hac voce ter repetita apparet sanctam Trinitatem esse unum Deum? Patrem autem ac Filium et Spiritum sanctum esse unum Deum, tum dictis tum dicendis probatur. Porro hinc quoque illud intelliges, quod Filium appellamus eum, de quo Propheta dixit : « Verbo Domini cœli firmati sunt [14]. » Quomodo autem dicimus Spiritum sanctum? « Et Spiritu oris ejus omnis virtus eorum [15]; » ita enim in Trinitate unum Deum colimus. Jam quæso, o Judæe, cuinam Scriptura vestra dicit hæc : « Dominus ad me dixit : « Filius meus es tu, ego hodie te genui [16]? » Ubi psalmum de Salomone verba facere responderit, interroga eum : Quotuplicem terræ partem gubernavit Salomo? Scilicet nec dimidiam, nec tertiam partem terræ, sed solam Judæam. Cæterum probe attendas, o Judæe, ut intelligas psalmum non de Salomone, sed de Christo agere. Sic enim habet : « Dominus dixit ad me : Filius meus es tu, ego hodie te genui. Pete a me, et dabo tibi gentes hæreditatem tuam, et possessionem tuam fines terræ. Pasces eos in virga ferrea, velut vasa figuli conteres eos [17]. » Jam vero cum certum atque extra omnem dubitationis aleam positum sit, Salomonem, uti diximus, neque dimidiam, neque tertiam terræ partem, sed solam terram Judaicam gubernasse, quo tempore, quæso, o Judæe, fines terræ possedit Salomo? Quando pavit eos in virga ferrea? Quando velut vasa figuli contrivit hostes suos? Nunquam omnino.

Ad Judæi autem objectionem : Si Filius est Dei, uti asseritis, quomodo dixerit Deus quasi ad servum : « Pete a me, et dabo tibi? » Et rursus : « Ego hodie te genui, » similiter quasi ad servum qui petat atque accipiat, et de hodierno die, cum dicat : « Ego hodie te genui; » vos Christiani enim ante mundum omnino eum natum esse dicitis : ad hanc, inquam, objectionem ei sic respondebis : De eo quod Pater ad Filium dixerit : « Pete a me, et dabo tibi, » noli offendi. Sæpe enim rex quoque, animi benevolentia ductus, ad filium dicit : Roga me, et concedam tibi quidquid volueris. Quod autem addidit : « Ego hodie te genui, » id de generatione ejus secundum carnem intelligendum est, siquidem Patris benignitate e sancta Deipara et semper virgine Maria natus est. Ad quem

A καὶ ἐπὶ τὰς θυγατέρας ὑμῶν,» καὶ τὰ ἑξῆς. Καὶ, « Πνεῦμα τὸ θεῖον τὸ ποιῆσάν με, πνοὴ δὲ Παντοκράτορος ἡ διδάσκουσά με.» Καὶ πάλιν, « Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. » Ὁμοίως δὲ καὶ τῷ εἰπεῖν τὸν Θεὸν περὶ τοῦ Ἀδάμ, ὅτι « Ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν,» Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα δηλοῖ. Ἀρίθμησον δὲ καὶ τοῦτο, καὶ ἴδε τὸ ὑπὲρ τοῦ Θεοῦ εἰρημένον διὰ τοῦ νόμου λέγοντος· « Ἄκουε, Ἰσραὴλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν.» Οὐχὶ φανερὸν ὑπάρχει διὰ τῆς τρισαρίθμου λέξεως ταύτης ὅτι ἡ ἁγία Τριὰς Θεὸς εἷς ἐστιν; Ὅτι δὲ Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα Θεὸς εἷς ἐστι, καὶ ἀπὸ τῶν ῥηθέντων καὶ ὧν ὀφείλομεν λέγειν, δῆλον. Καὶ ἐντεῦθεν καὶ πρόσχες. Ἐκεῖνον γὰρ καλοῦμεν Υἱὸν, περὶ B οὗ ὁ προφήτης εἶπε· « Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν. » Εἰς δὲ λέγομεν Πνεῦμα ἅγιον; « Καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν· » οὕτω γὰρ ἡμεῖς ἐν Τριάδι Θεὸν ἕνα σέβομεν. Εἰπὲ δὲ σὺ, ὦ Ἰουδαῖε, πρὸς τίνα ἡ Γραφὴ ὑμῶν λέγει, ὅτι « Κύριος εἶπε πρός με· Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε; » Καὶ εἰ μὲν εἴπῃ, ὅτι περὶ Σολομῶντος λέγει ὁ ψαλμὸς, εἰπὲ αὐτῷ· Καὶ πόσον μέρος τοῦ κόσμου ἐκυρίευσεν ὁ Σολομών; Δηλονότι οὐδὲ τὸ ἥμισυ, οὐδὲ τὸ τρίτον τοῦ κόσμου, ἀλλ' ἢ μόνον τὴν Ἰουδαίαν. Καὶ ἄκουσον νουνεχῶς, ὦ Ἰουδαῖε, καὶ μάθε ὅτι περὶ τοῦ Χριστοῦ ὁ ψαλμὸς λέγει, καὶ οὐχὶ περὶ Σολομῶντος. Λέγει γάρ· « Κύριος εἶπε πρός με· Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον C γεγέννηκά σε· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς· ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. » Εἰπέ μοι οὖν σὺ ἄρτι, Ἰουδαῖε, πάντως δῆλον καὶ ὁμολογούμενόν ἐστιν, ὡς εἴπομεν, ὅτι ἥμισυ τῆς γῆς Σολομὼν οὐ κατέσχεν, οὐδὲ τὸ τρίτον, ἐκτὸς καὶ μόνον τὴν Ἰουδαίαν γῆν. Λοιπὸν, πότε κατέσχεν ὁ Σολομὼν τὰ πέρατα τῆς γῆς; Πότε δὲ ἐποίμανεν αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ; Πότε δὲ ὡς σκεύη κεραμέως συνέτριψε τοὺς ἐχθροὺς αὐτοῦ; Πάντως οὐδέποτε.

Εἰ δὲ εἴπῃ ὁ Ἰουδαῖος· Εἰ Υἱός ἐστι τοῦ Θεοῦ, ὡς λέγετε, πῶς εἶπεν ὁ Θεὸς ὡς πρὸς δοῦλον· « Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι; » καὶ πάλιν· « Ἐγὼ σήμερον γεγέννηκά σε; » Τάχα ὡς πρὸς δοῦλον, διὰ τὸ D αἰτεῖν καὶ λαμβάνειν· καὶ ὡς ἐφήμερον, διὰ τὸ, « Ἐγὼ σήμερον γεγέννηκά σε· » καὶ γὰρ ὑμεῖς οἱ Χριστιανοὶ πρὸ τοῦ κόσμου ὅλου λέγετε ὅτι ἐγεννήθη· εἰπὲ αὐτῷ οὕτως· Περὶ τοῦ εἰπεῖν τὸν Πατέρα πρὸς τὸν Υἱὸν, ὅτι « Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι, » μὴ σκανδαλίζου· πολλὰ γὰρ καὶ βασιλεὺς πρὸς τὸν αὐτοῦ υἱὸν λέγει ἀπὸ πολλῆς ἀγάπης· Αἴτησαί μοι, καὶ παρέχω σοι εἴ τι θέλεις. Καὶ πάλιν περὶ τοῦ εἰπεῖν, « Ἐγὼ σήμερον γεγέννηκά σε, » περὶ τῆς κατὰ σάρκα γεννήσεως αὐτοῦ λέγει· εὐδοκίᾳ γὰρ τοῦ Πατρὸς, ἐτέχθη ἐκ τῆς ἁγίας Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας. Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων,

[10] Job xxxiii, 4. [11] Psal. ciii, 30. [12] Gen. iii, 22. [13] Deut. vi, 4. [14] Psal. xxxii, 6. [15] ibid. [16] Psal. ii, 7. [17] ibid 8 9.

« Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε; » — « Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα; » Καὶ πάλιν ὀλλαχοῦ· « Ἐγὼ ἔσομαι εἰς Πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς Υἱόν. » Ταῦτα γὰρ κατὰ τὸ ἀνθρώπινον καὶ τὴν ἔνσαρκον αὐτοῦ οἰκονομίαν εἴρηκεν, οὐ τὴν αἰώνιον γέννησιν δηλοῖ, ἀλλὰ τὴν τῶν χρόνων συνεζευγμένην. Ὁ γὰρ φύσει Υἱὸς Θεοῦ γέγονε καὶ φύσει ἄνθρωπος διὰ τὴν ἡμῶν σωτηρίαν, οὐ κατὰ χάριν τοῦτο λαμβάνων (ἔχει γὰρ αὐτὸ κατὰ φύσιν· καὶ λαμβάνει τοῦτο πάλιν ὡς ἄνθρωπος, ὅπερ εἶχεν, ὡς Θεός. Ὕψιστος γὰρ ὢν, Θεὸς ἐγένετο)· ἀλλ' ὡς μὲν Θεὸς, Δεσπότης ἦν τῶν ὅλων ἀεί· ὡς δὲ ἄνθρωπος, προσελάβετο δόξαν ἣνπερ εἶχεν ὡς Θεός· καὶ ᾔτησεν οὐ λαβεῖν ἅπερ οὐκ εἶχεν, ἀλλ' ἅπερ εἶχε δειχθῆναι, καθὼς γέγραπται, ὅτι « Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, » ἥτις ἐστὶν ἡ τῶν Ῥωμαίων βασιλεία· ταύτην γὰρ πιστοῖς καὶ Χριστιανοῖς βασιλεῦσι δοὺς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, ἐπιστατεύει καὶ συμβασιλεύει αὐτοῖς. Δι' αὐτοῦ τὰ πιστὰ ἔθνη εἰς κατάσχεσιν κληρωθέντα πιστεύειν ποιμαίνονται αὐτόν. Ὅθεν καὶ πάντα τὰ ἔθνη συγκρούοντα μετὰ τῆς τῶν Χριστιανῶν βασιλείας, εἰ καὶ ἠττηθῶσιν, πλὴν ταύτην οὐ μετέστησαν, οὔτε μὴν μεταστήσωσι· καθὼς γέγραπται ἐν βίβλῳ Ψαλμῶν περὶ τῆς βασιλείας τοῦ Χριστοῦ, ὅτι « Ἡ ἀλήθειά μου, καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ· καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ· καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ· αὐτὸς ἐπικαλέσεταί με, Πατήρ μου εἶ σὺ, Θεός μου, καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου· κἀγὼ πρωτότοκον θήσομαι αὐτὸν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς· εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου, καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ· καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ. Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου, » ἤτοι οἱ Χριστιανοὶ, « καὶ τοῖς κρίμασί μου οὐ πορευθῶσιν· ἐὰν τὰ δικαιώματά μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσι, ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν· τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἐπ' αὐτῶν, οὐδ' οὐ μὴ ἀδικήσω τὴν διαθήκην μου. Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου. Ἢ τῷ Δαβὶδ ψεύσομαι; τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μένει, » ὃς ἐστι Χριστὸς τὸ κατὰ σάρκα σπέρμα τοῦ Δαβὶδ, « καὶ ὁ θρόνος αὐτοῦ ὡς ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα, καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός. »

Διὰ δὲ τὸ μὴ ὑπολαβεῖν σε Ἰουδαῖον ὅτι διὰ Δαβὶδ ταῦτα ἐῤῥέθη καὶ τὴν αὐτοῦ βασιλείαν, ἤγουν τοὺς Ἰουδαίους, καὶ οὐχὶ διὰ τὸν Χριστὸν, ἐπάγει τὸ γεγονὸς διὰ τὸ ἀποθανεῖν μὲν τὸν Δαβὶδ, καὶ παρελθεῖν τὴν βασιλείαν τῶν Ἰουδαίων, καὶ τὴν παλαιὰν διαθήκην βεβηλῶσθαι, λέγει οὕτως· « Σὺ δὲ ἀπώσω καὶ ἐξουδενώσας ἀνεβάλλου τὸν χριστόν σου, κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου· ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ· καθεῖλες πάντας

enim angelorum dixit aliquando : « Filius meus es tu, ego hodie te genui? » — « Nonne omnes sunt administratorii spiritus, in ministerium missi [18]? » Et rursus alio in loco : « Ego ero ei in Patrem, et ipse erit mihi in Filium [19]? » Hæc enim secundum humanam naturam et corpoream ejus dispensationem protulit, ita ut non æternam generationem, sed eam quæ temporum decursu facta est, indicet. Qui enim natura est Filius Dei, factus est etiam natura homo propter nostram salutem, non secundum gratiam hoc accipiens, quod habet secundum naturam. Et rursus ut homo accipit illud quod habebat qua Deus est. Altissimus enim cum sit, Deus fuit, et quatenus Deus est, semper universorum Dominus fuit, ut homo autem assumpsit gloriam quam habuit ut Deus, et petiit, non ut acciperet quæ non habebat, sed ut quæ habebat, manifestarentur, quemadmodum scriptum est : « Pasces eos in virga ferrea [20], » quæ est Romanorum imperium. Postquam enim Christus hoc regnum fidelibus et Christianis imperatoribus largitus est, eis præest atque conregnat. Per eum fideles populi huic regno ascripti pascuntur et in fide continentur. Quapropter licet omnes gentes Christianorum regnum impugnaverint et ad tempus victoriam reportarint, illud neque nunc, neque in posterum evertere valebunt, uti in libro Psalmorum de Christi regno scriptum legitur : « Veritas mea et misericordia mea cum eo, et in nomine meo cornu ejus exaltabitur. Ponam in mari manum ejus, et in fluviis dextram ejus. Ipse invocabit me : Pater meus es tu, Deus meus, et susceptor salutis meæ. Et ego primogenitum ponam illum, excelsum præ regibus terræ. In æternum servabo illi misericordiam meam, et testamentum meum fidele ipsi. Et ponam in sæculum sæculi semen ejus, et thronum ejus sicut dies cœli. Si autem dereliquerint filii ejus (id est Christiani) legem meam, et in judiciis meis non ambulaverint : si justitias meas profanaverint, et mandata mea non custodierint, visitabo in virga iniquitates eorum, et in verberibus peccata eorum, misericordiam autem meam non dispergam ab eis, neque profanabo testamentum meum. Semel juravi in sancto meo, si David mentiar : semen ejus in æternum manebit (id est Christus semen Davidis secundum carnem); et thronus ejus sicut sol in conspectu meo, et sicut luna perfecta in æternum, et testis in cœlo fidelis [21]. »

Ne autem tu, Judæe, hæc de Davide ejusque regno, sive de Judæis accipienda autumes, sed potius de Christo, addit (quod etiam evenit) Davidem mortuum, Judæorum regnum eversum, et vetus testamentum abolitum esse, dicens : « Tu vero repulisti et despexisti : distulisti christum tuum. Evertisti testamentum servi tui : profanasti in terra sanctuarium ejus. Destruxisti omnes sepes ejus, » et quæ sequuntur usque ad illud : « Perfudisti eum

[18] Hebr. I, 14. [19] II Reg. VII, 14; Hebr. I, 5. [20] Psal. II, 9. [21] Psal. LXXXVIII, 26-38.

confusione [22]. » Ac profecto bene Spiritus sanctus per prophetam hæc elocutus est. Neque enim fieri potest ut Deus mentiatur, sed jurejurando interposito inconcussam veritatem innuit, secundum illud : « Semel juravi in veritate mea, si David mentiar [23]. » Davidis enim semen secundum carnem est Christus Dei Filius, siquidem e Davidis genere secundum carnem prodiit Deipara semper Virgo mater Christi Dei nostri. Regnum autem quod accepit ut homo, manet in perpetuum. David enim et mortuus et sepultus est, regnum ejus Judaicum interiit.

Regnum vero quod promisit Deus secundum hominem dare incarnato Christo Deo nostro, manet in æternum ; quod commisit imperatoribus Christianis, et cum ipsis regnat, ut diximus : non est enim aliud regnum vel imperium illo splendidius. Quod si vis veritatem perspicere, sume mihi Moysis populum, qui tantis miraculis profundique maris transitu Ægyptios effugit. Considera mihi Jesum, filium Nave, per quem sol stetit contra Gabaon, et luna contra vallem, et alia quædam omnem modum superantia miracula ; imo, ut uno verbo dicam, Hebræorum dominationem perpende. Totam nonne mille annis dominati sunt, et ablatum est eorum imperium? Quomodo sub Romanorum dominatione defecit? Nonne Titus et Vespasianus omnes conciderunt? Nonne templi diruti vestigia aratro deleverunt? Nonne Babyloniorum, Medorum et Persarum a Barbaris illis Turcis absorptum est? Qui et ipsi aliquando excidentur. Nonne etiam Macedonum dominatio transilit? At vero Romanorum imperium, sive Christianorum, quippe quod una cum Domino nostro Jesu Christo administretur, usque ad mundi consummationem non pertransibit : imo vero Christus, ut est Rex regum et Dominus dominantium [24], imperio illo utitur ad pascendum populum suum, usque ad secundum ipsius adventum; quod imperium non alii populo relinquetur; sed tunc ipse Dominus, ut qui sit Pater futuri sæculi [25], illud obtinebit, cum scilicet omnes resurgemus, sicut scriptum est [26]. Resurgent mortui et excitabuntur qui dormiunt in monumentis, et astabimus tribunali incorrupti judicii ejus; et inimicos ejus, id est, qui noluerunt credere ei, neque ipsum regnare super eos, dissipabit, in inferno æterno puniendos ; qui vero crediderint et præcepta ejus recte servaverint, illi conregnabunt in sæculo, » sicut scripsit Salomo in Proverbiis [27], et « Dominus regnabit super eos in sæcula [28] : » — « Et ecce (inquit Daniel) cum nubibus cœli veniebat, et usque ad Antiquum dierum pervenit; et ipsi data est potestas, et honor, et omnes tribus servient ei : re-

τοὺς φραγμοὺς αὐτοῦ, σὺν τοῖς λοιποῖς, καὶ [τὸ] κατέχεας αὐτῷ αἰσχύνην. » Καὶ ἀληθῶς καλῶς Πνεῦμα τὸ ἅγιον διὰ τοῦ προφήτου ταῦτα εἶπεν· ἀδύνατον γὰρ τὸν Θεὸν ψεύσασθαι, ἀλλὰ δι' ὅρκου ἐμεσίτευσε τὸ ἀμετάθετον τῆς ἀληθείας, καθὼς εἴρηται, ὅτι « Ἅπαξ ὤμοσα ἐν τῇ ἀληθείᾳ μου. Ἢ τῷ Δαβὶδ ψεύσομαι ; » Σπέρμα γὰρ τοῦ Δαβὶδ τὸ κατὰ σάρκα ἐστὶν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ. Ἐκ γένους γὰρ τοῦ Δαβὶδ τὸ κατὰ σάρκα ὑπῆρχεν ἡ Θεοτόκος Ἀειπαρθένος Μήτηρ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· καὶ ἣν βασιλείαν ὡς ἄνθρωπος ἔλαβεν, μένει διηνεκῶς. Ὁ γὰρ Δαβὶδ καὶ ἐτελεύτησε καὶ ἐτάφη, καὶ ἡ βασιλεία αὐτοῦ, ἡ τῶν Ἰουδαίων, ἀφῃρέθη (1).

Ἣν δὲ ὁ Θεὸς βασιλείαν ὑπέσχετο δοῦναι κατὰ τὸ ἀνθρώπινον τῷ σαρκωθέντι Χριστῷ τῷ Θεῷ ἡμῶν, μένει διηνεκῶς, ἣν καὶ παρέθετο πιστοῖς βασιλεῦσι, καὶ συμβασιλεύει αὐτοῖς, ὡς εἴπομεν· οὐ γάρ ἐστί τις ἑτέρα βασιλεία ἢ δυναστεία ταύτης περιφανεστέρα. Καὶ εἰ βούλει σκοπῆσαι τὸ ἀκριβὲς, λάβε μοι τὸν τοῦ Μωσέως λαὸν τὸν τοσούτοις σημείοις καὶ βυθῷ θαλάσσης τοὺς Αἰγυπτίους ἐκστείλαντα· ἴδε μοι Ἰησοῦν τὸν Ναυὴ ἀφ' οὗ καὶ ὁ ἥλιος κατὰ Γαβαὼν ἵσταται, καὶ ἡ σελήνη κατὰ φάραγγα, καὶ ἄλλα τινὰ ἐξαίσια θαύματα· καὶ ἁπλῶς ἅπαν τὸ τῶν Ἑβραίων νόησον κράτος. Οὐ χίλια ἔτη ἐβασίλευσαν, καὶ ἐξεκόπη ἡ βασιλεία αὐτῶν; Πῶς ὑπὸ τῆς τῶν Ῥωμαίων βασιλείας ἐξέλιπε ; Οὐ Τίτος καὶ Οὐεσπασιανὸς κατέκοψαν ἅπαντας ; οὐκ ἀρότρῳ τὸν ναὸν ἐκπορθήσαντες ; οὐχὶ τῶν Βαβυλωνίων, καὶ οὐχὶ τῶν Μήδων, οὐχὶ τῶν Περσῶν βασιλεία κατεπόθη ὑπὸ τῶν Βαρβάρων τούτων τῶν Τουρκῶν ; Ἀλλὰ καὶ αὐτοὶ ἐκκοπήσονται. Οὐχὶ τῶν Μακεδόνων παρῆλθεν, ἡ δὲ τῶν Ῥωμαίων βασιλεία, ἤτοι τῶν Χριστιανῶν, ὡς συμβασιλευομένη παρὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἕως τῆς συντελείας τοῦ κόσμου οὐ παρελεύσεται, ἀλλ' ὡς Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, δι' αὐτῆς ποιμαίνει τὸν λαὸν αὐτοῦ, μέχρι τῆς δευτέρας αὐτοῦ παρουσίας, ἥτις λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσεται ; Καὶ τότε ταύτην ὡς Πατὴρ τοῦ μέλλοντος αἰῶνος καθέξει, ὅτε πάντες ἀναστησόμεθα, καθὼς γέγραπται· Ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ παραστησόμεθα τῷ βήματι τῆς ἀδεκάστου κρίσεως αὐτοῦ· καὶ τοὺς ἐχθροὺς αὐτοῦ, ἤγουν τοὺς μὴ θελήσαντας νῦν πιστεῦσαι αὐτῷ καὶ βασιλεῦσαι αὐτὸν ἐπ' αὐτοὺς, σκορπίσει ἐν τῷ ᾅδῃ αἰωνίῳ κολασθησομένους, καὶ συμβασιλεύσουσιν αὐτῷ εἰς αἰῶνας οἱ πιστεύσαντες καὶ γνησίως τὰς ἐντολὰς αὐτοῦ τηρήσαντες· καθὰ Σολομὼν λέγει ἐν Παροιμίαις· « Καὶ βασιλεύσει αὐτῶν Κύριος, εἰς τοὺς αἰῶνας. »—« Καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ἐρχόμενος ἦν, καὶ ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν ἔφθασε· καὶ αὐτῷ προσηνέχθη ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πᾶσαι αἱ φυλαὶ αὐτῷ δουλεύσουσιν· ἡ

[22] Psal. LXXXVII, 39-46. [23] ibid. 36. [24] Apoc. XIX, 16. [25] Isa. IX, 6. [26] I Cor. XV, 52. [27] Sap. III, 8. [28] Mich. IV, 7.

(1) Hinc incipiunt edita Latine tantummodo, et quidem acephala, mutila, et sæpe deficientia, apud Canisium Basnag. *loc. cit.*

βασιλεία αὐτοῦ βασιλεία διηνεκής, καὶ ἐξουσία αὐτοῦ εἰς γενεὰς καὶ ἔτη, ἥτις οὐ παρελεύσεται. »

A gnum ejus, regnum æternum, et potestas ejus in generationes et generationes et annos, quæ non pertransibit [29]. »

Εἰ δὲ λέγεις, ὦ Ἰουδαῖε· Ἀκμὴν οὐ παραγέγονεν ὁ Χριστὸς, ἀλλὰ περὶ τὰ τελευταῖα τοῦ χρόνου αὐτὸν ἔρχεσθαι, τί ἔτι ἵνα ποιήσῃ ἀφανιζομένων τῶν χρόνων; Ἀλλ' ἴσως ἐρεῖς, ὅτι Τὰ ἐξαφανιζόμενα ἵνα ἀνακτήσηται, ἤγουν τὰ ἔθνη τῶν Ἰουδαίων. Καὶ πῶς ἔχει τοῦτο λόγον, ἃ τῇ προστάξει αὐτοῦ καὶ βουλῇ ἀφανίζεται, ταῦτα πάλιν ἀνακτίζειν; Οὕτως ἀσύστατον τὸ διήγημα τὸ τοιοῦτον. Οὐδαμῶς γὰρ εἴρηται, ὅτι μετὰ τὴν τοῦ κόσμου τούτου κατάλυσιν, ἑτέρα τις πάλιν τῶν Ἰουδαίων τοιαύτη κατασκευὴ ἀνίσταται. Τοῦτο δὲ ὁ προφήτης ὑμῖν λέγει· « Πέμψω ὑμῖν Ἠλίαν τὸν Θεσβίτην, πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην, καὶ [add. μὴ] ἐλθὼν πατάξω τὴν γῆν ἅρδην. » Εἰ μὲν οὗτος ὃν προσδοκᾶτε Χριστὸν Ἠλίας ἐστὶν ὁ μὴ ἀνακτῆσαι ἐρχόμενος, ἀλλὰ πατάξαι· λοιπὸν νοήσατε πῶς οὐ λέγεται Χριστὸς, ἀλλὰ Ἠλίας· καὶ οὐκ ἐκ Βηθλεὲμ γεννᾶται, ὡς προφήτης ὑμῖν ἐμήνυσεν, ἀλλ' ἐκ Θεσβῶν γεννηθείς. Ὁ γὰρ εἰπὼν, « Πέμψω ὑμῖν Ἠλίαν, » ἕτερός ἐστι παρὰ τὸ πεμπόμενον· καὶ ὅτι εἶπε, « Μὴ ἐλθὼν πατάξω τὴν γῆν ἅρδην, » δι' ἐκείνου πρῶτον διαμαρτύρεται, ἤγουν τοῦ Ἠλίου, καὶ τότε ἐξαίρει πᾶν τὸ συνεστηκὸς τοῦτο, ἤγουν ποιεῖ τὴν συντέλειαν. Τί οὖν τῷ Χριστῷ λοιπὸν ὄφελος γεννᾶσθαι τότε; ἵνα τίνι ἀρέσῃ ἢ χρησιμεύσῃ τῆς συντελείας γενομένης; Καὶ γὰρ ἄλλος ἐστὶν ὁ Χριστὸς καὶ ἄλλος Ἠλίας. Ὁ γὰρ προφήτης Δανιὴλ λίθον αὐτὸν ἐθεώρησε τῷ βασιλεῖ τῶν Βαβυλωνίων, ὃς καὶ ἐγένετο ὄρος μέγα. Λέγει γὰρ οὕτως· « Καὶ ἐν ταῖς ἡμέραις ἐκείναις τῶν βασιλέων ἐκείνων ἀναστήσει ὁ Θεὸς βασιλείαν, ἥτις εἰς τὸν αἰῶνα οὐ διαφθαρήσεται· καὶ αὕτη, φησὶν, ἀναστήσεται εἰς τοὺς αἰῶνας· » καὶ ὅτι « Εἶδεν ὁ βασιλεὺς ὅτι ἐξ ὄρους ἐτμήθη λίθος ἄνευ χειρῶν καὶ ἐπάταξε τὴν εἰκόνα· ἐγενήθη δὲ ὁ λίθος εἰς ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν. » Τέσσαρας δὲ βασιλεῖς λέγει τὰ ἔνδοξά τε καὶ ἐπίσημα Βαβυλωνίων, Μήδων, καὶ τὸ τρίτον ληστρικὸν καὶ δυσεπιχείρητον τὸ Μακεδονικὸν Ἀλεξάνδρου, ἤγουν τῶν Ἑλλήνων. Ταῦτα τὰ τρία τὰ δυνατά· καὶ τὸ τέταρτον τοῦτο τὸ θρασὺ συνηριθ[μη]μένον τοῖς τρισί. Μετὰ γὰρ ταύτας τὰς βασιλείας ἀνεφύη αὕτη, ἤγουν ἡ Χριστοῦ βασιλεία, ἣν ὁ Δανιὴλ ἄφθαρτον καὶ ἀδιάδοχον ἔφησεν. Εἰ δὲ εἴπῃς τὴν σιδηρᾶν Αὐγούστου Καίσαρος, τίνα ἐλέπτυνεν ἢ ἐδάμασεν ἡ Αὐγούστου καὶ τῶν λοιπῶν βασιλέων, οἵτινες καὶ ἐνίκησαν καὶ ἡττήθησαν; Εἰ γὰρ ὑμᾶς τοὺς Ἰουδαίους καὶ ἄλλα πολλὰ ἔθνη ἐνίκησαν, ἀλλὰ πάλιν ἡττήθησαν· καὶ παρῆλθεν ἡ τοῦ Αὐγούστου Καίσαρος ἀρχή· ἡ δὲ τοῦ Χριστοῦ βασιλεία εἰς τὸν αἰῶνα τέλος οὐχ ἕξει. Τὸ γὰρ λεπτύνον, ἀήττητον καὶ ἀδάμαστον μένει καὶ ἀδιάδοχον, ὅπερ ἐστὶ τὸ ὄνομα καὶ ἡ βασιλεία τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ πίστις ἡμῶν ἡ εἰς αὐτόν. Πόσοι Ἕλληνες καὶ κακόδοξοι βασιλεῖς καὶ ἔθνη ἐπολέμησαν τὴν πίστιν ἡμῶν τῶν

Quod si dixeris, o Judæe : Nondum venit Christus, ipsum contendens in consummatione temporis venturum, quid igitur facturus veniet, cum jam abolebuntur tempora? Sed forte respondebis ideo venturum ut abolita tempora, id est, nationem Judæorum, restituat. Quam vero rationem haberet, ea quæ ipsius jussu et consilio abolita sunt, renovare? Talis itaque explicatio subsistere non potest. Minime enim dictum est, quod post hujus mundi dissolutionem, talis Judæorum constitutio resurrectura sit; imo propheta vobis dicit: « Mittam vobis Eliam Thesbiten, ne veniens percutiam terram penitus [30]. » Porro si ille, quem exspectatis, Christus est Elias, Elias, inquam, qui non restituturus, sed percussurus veniet, perpendite jam, non *Christum*, sed Eliam illum vocari, neque in Bethleem nasci, sicut de Christo vobis a propheta significatum est, sed Thesbis. Cui enim dixit: « Mittam vobis Eliam, » alius sane est ab eo quod mittitur. Dicendo autem: « Ne veniens percutiam terram penitus, » per illum, Eliam videlicet, primum testificatur, et tunc universi hujus compaginem dissolvit, id est, consummationem facit. Cui jam bono tunc temporis natus fuisset? Cui gratificandi aut quem juvandi gratia, consummatione facta? Et enim alius est Christus, et alius est Elias. Christum enim interpretatus est Daniel lapidem a rege Babyloniorum visum, qui mons magnus factus est. Sic enim loquitur: « In diebus illis regum illorum suscitabit Deus regnum, quod in sæculum non corrumpetur, et ipsum suscitabitur in sæcula; et vidit, inquit, rex lapidem e monte excisum sine manibus et percussit statuam, et factus est lapis in montem magnum, et replevit universam terram [31]. » Quatuor porro reges regna gloriosa et celebria interpretatur regnum, scilicet Babyloniorum, Medorum; tertium vero prædatorium fuit et indomitum, Macedonicum, inquam, Alexandri, sive Græcorum, regnum: hæc tria sunt potentissima; quartum regnum hoc ipsum est, invictum, quod tribus præcedentibus connumeratum est. Hoc enim, post illa regna natum est, Christi scilicet regnum, quod nec corruptioni nec successioni obnoxium esse pronuntiavit Daniel. Et si dixeris regnum ferreum Cæsaris Augusti fuisse, quem aliorum regum comminuit et perdomuit Augusti regnum, quem, inquam, aliorum regum qui modo vicerunt, modo victi sunt? Si enim vos Judæos et multas alias gentes vicerunt, sed et vicissim victi sunt, et transiit Augusti Cæsaris imperium; Christi vero dominatio in sæculum non habebit finem: quod enim comminuit, invictum manet, indomitumque, nec successionem recipit: quale est nomen et regnum Domini nostri Jesu Christi,

[29] Dan. VII, 13, 14. [30] Malach. IV, 5. [31] Dan. II, 44, 45.

nec non et fides nostra in ipsum. Quot gentiles et pessimis erroribus imbuti principes, gentesque fidem nostram, Christianorum dico, impugnarunt, et non potuerunt illam exstinguere? Quin potius illi interierunt et evanuere, illa autem quotidie magis splendet et dilatatur. Et si velis accurate intelligere tempus, illud, « In diebus illis suscitabit Dominus regnum, » de regno inter illa quatuor ostenso accipe: non enim postea reperietur. Quemadmodum enim patres vestri impletæ promissionis exputationem retinentes, illam salutis opportunitatem amiserunt, sic et vos facietis. Si ergo creditur esse Christum, abhinc illum quærite, postea enim non reperietur.

Jam demonstravi, Judæe, Scripturarum testimonio ipsaque rerum evidentia, hæc verba: « Dominus dixit ad me: Filius meus es tu, ego hodie genui te [32]; » Et: « Postula a me, et dabo tibi gentes hæreditatem tuam [33], » de œconomia incarnationis Filii Dei dicta esse, quæ ad effectum perducta sunt, et tum ab ipsa rerum evidentia, tum a prophetis vestris declarantur. At, si velis, ostendam tibi Christum ante mundi constitutionem genitum fuisse, esseque Deum; sed prius vos interrogare velim: David, qui rex et propheta fuit, quemnam habuit Dominum? Manifestum omnino et in confesso est, quod nullum habeat Dominum præter Creatorem cœli et terræ. Ecce itaque David de Christo dicit Dominum suum esse, et ante sæcula genitum. Equidem David in cœlum non ascendit; dicit tamen ipse in libro Psalmorum, psalmo nempe CIX, 1.: « Dixit Dominus Domino meo: Sede a dextris meis: » Ecce igitur Filium Dei, Dominum suum vocat: ipsum enim Pater, post sanctam ejus ex Virgine secundum carnem generationem, post salutarem passionem, resurrectionemque a mortuis et ascensionem, sic alloquitur: « Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum. » Sed forsan dices, o Judæe, Christum sedere ad dexteram Patris, usque ad extremum illum et principalem ejus adventum, quem per prophetas prænuntiavit, quasi videlicet nondum venerit. Sed quomodo hoc sit rationi consentaneum, dic mihi: Quare jam sedenti dicit iterum: *Sede?* Quomodo autem inimici infensi sint illi qui nondum venerit? Hoc enim dicens, *Sede*, Christum e terra in cœlos redeuntem, rursus sedere jubet, sicut prius sedebat super inimicos suos. Vos itaque, Judæi, inimici ejus estis, sub pedibus Christianæ gentis conculcati usque ad extremam horam. Unde et merito conculcamini, et justum est quod passuri estis: tempus enim illud quod jactatis et exspectatis, ictu oculi citius vobis superveniet, quo scilicet vos, cum deceptore illo cui creditis, æterni ignis supplicium, cui estis reservati, recipietis.

Rursus idem rex et propheta, in eodem psalmo, quasi Dei et Patris personam accipiens, de Filio

[32] Psal. II, 7. [33] ibid. 8.

A Χριστιανῶν, καὶ οὐκ ἠδυνήθησαν ταύτην σβέσαι! Ἀλλ' ἐκεῖνοι μὲν ἀπώλοντο καὶ παρῆλθαν, αὕτη δὲ καθ' ἑκάστην λάμπει καὶ πλατύνεται. Καὶ εἰ μὲν βούλει τὸ ἀκριβὲς τοῦ οὐρανοῦ [leg. καιροῦ] μαθεῖν, τό, « Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστήσει ὁ Θεὸς βασιλείαν, » τὴν μεταξὺ αὐτῶν τῶν δηλωθεισῶν τεσσάρων βασιλειῶν ἀναδειχθεῖσαν λάμβανε· μετέπειτα γὰρ οὐχ εὑρήσεται. Ὡς γὰρ οἱ πατέρες ὑμῶν τὴν παρελθοῦσαν προσδοκίαν κρατοῦντες, τῆς εὐκαιρίας ταύτης ἐξέπεσαν· οὕτως καὶ ὑμεῖς. Εἰ οὖν πιστεύετε εἶναι Χριστὸν, ἀπεντεῦθεν ζητεῖτε· μετέπειτα γὰρ οὐχ εὑρίσκεται.

B Ἤδη ἔδειξα, Ἰουδαῖε, ἀπὸ τῶν Γραφῶν καὶ αὐτῆς τῆς ἀληθείας τὸ, « Κύριος εἶπε πρός με· Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. » Καὶ, « Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, » καὶ τὰ ἑξῆς, ὅτι περὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Υἱοῦ τοῦ Θεοῦ εἴρηται, ἅπερ καὶ ἐγένοντο καὶ μαρτυροῦνται ὑπὸ αὐτῆς τῆς ἀληθείας καὶ τῶν προφητῶν ὑμῶν. Εἰ δὲ θέλεις, δείξω σοι ὅτι καὶ πρὸ τοῦ κόσμου ἐγεννήθη, καὶ ὅτι Θεός ἐστιν ὁ Χριστός. Πλὴν πρῶτον θέλω μαθεῖν ἐξ ὑμῶν· Ὁ Δαβὶδ βασιλεὺς ὢν καὶ προφήτης, τίνα Κύριον καὶ Δεσπότην εἶχε; Πάντως δῆλον καὶ ὁμολογούμενον, οὐδένα Κύριον εἶχε, εἰ μὴ τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἰδοὺ οὖν αὐτὸς ὁ Δαβὶδ λέγει περὶ τοῦ Χριστοῦ, ὅτι Κύριος αὐτοῦ ἐστι, καὶ ὅτι καὶ πρὸ τῶν C αἰώνων ἐγεννήθη. Καὶ Δαβὶδ μὲν οὐκ ἀνέβη εἰς τὸν οὐρανόν· λέγει δὲ ὁ αὐτὸς ἐν βίβλῳ τῶν Ψαλμῶν, ἤγουν ρθ', οὕτως· « Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου. » Ἰδοὺ οὖν τὸν Υἱὸν τοῦ Θεοῦ, Κύριον ἑαυτοῦ καλεῖ· πρὸς αὐτὸν γὰρ εἶπεν ὁ Πατὴρ μετὰ τὴν ἁγίαν αὐτοῦ ἐκ Παρθένου κατὰ σάρκα γέννησιν, καὶ τὸ σωτήριον πάθος, καὶ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν, καὶ τὴν ἀνάληψιν· « Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. » Ἀλλ' ἴσως ἐρεῖς, ὦ Ἰουδαῖε, ὅτι Χριστὸς κάθηται ἐν δεξιᾷ τοῦ Θεοῦ, ἄχρις ἂν τὴν ἐσχάτην καιρίαν ἔλευσιν ποιήσηται, ἣν διὰ τῶν προφητῶν ἐπηγγείλατο, ὡς δῆθεν ἀκμὴν μὴ ἐλθόντος. Καὶ πῶς ἔχει τοῦτο λόγον, εἰπέ; τί τῷ καθημένῳ λέγει πάλιν· *Κάθου;* Τίνι δὲ ἠχθρευσαν οἱ ἐχθρά- D νοντες τῷ μήπω ἐθέλοντι [leg. ἐλθόντι]; Καὶ γὰρ τοῦτο ὃ λέγει, *Κάθου*, τῷ ἀπὸ τῆς γῆς ἐπὶ τοὺς οὐρανοὺς ἀνελθόντι, καθίσαι πάλιν λέγει, καθὼς πρὶν ἐπάνω ἦν τῶν ἐχθρῶν αὐτοῦ· ὡς εἶναι ὑμᾶς τοὺς Ἰουδαίους ἐχθροὺς αὐτοῦ καὶ πατουμένους ὑπὸ τοὺς πόδας τοῦ Χριστιανικοῦ φύλου ἕως τελευταίας ὥρας. Ὅθεν καὶ δικαίως πατεῖσθε, καὶ τὸ ἀποβησόμενον ὑμῖν δίκαιον· τὸν γὰρ καιρὸν ὃν λέγετε καὶ ἐκδέχεσθε φθάνειν ὑμᾶς βλέμματος γοργοτέρου παρέχεται· μεθ' οὗ καὶ ὑμεῖς καὶ ᾧ πιστεύετε πλάνῳ, εἰς αἰωνίαν πυρὸς ἐκδοχὴν δέδοσθε.

Καὶ πάλιν ὁ αὐτὸς προφήτης καὶ βασιλεὺς ἐν τῷ αὐτῷ ψαλμῷ ὡς ἐκ προσώπου τοῦ Θεοῦ καὶ Πατρὸς

περὶ τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ οὕτως λέγει· « Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. » Ὁ γὰρ ἑωσφόρος τῇ τετάρτῃ ἡμέρᾳ ἐγένετο· ὁ δὲ Ἀδὰμ τῇ ἕκτῃ ἡμέρᾳ ἐπλάσθη. Λοιπὸν, ὦ Ἰουδαῖε, εἰπὲ, τίνα πρὸ παρασκευῆς τῆς κτίσεως ἐγέννησεν ὁ Θεός. Ἆρα περὶ τοῦ Ἀδὰμ λέγει; Οὐδαμῶς· μετὰ γὰρ δύο ἡμέρας τοῦ ἑωσφόρου καὶ τῶν ἀστέρων ἐπλάσθη. Ἀλλὰ περὶ τοῦ *ἠλειμμένου* ὑμῖν λέγει; ἀλλὰ υἱὸν Δαβὶδ αὐτὸν οὐ λέγετε εἶναι· ὁ δὲ Δαβὶδ μετὰ πολλοὺς χρόνους τοῦ Ἀδὰμ ἐγεννήθη· ὁ γὰρ Ἀδὰμ τῇ ἕκτῃ ἡμέρᾳ ἐπλάσθη, ὡς εἴρηται, καὶ οἱ ἑωσφόροι τῇ τετάρτῃ ἡμέρᾳ ἐγένοντο· ὁ δὲ Θεὸς περὶ τοῦ ἰδίου Υἱοῦ λέγει, ὅτι « Πρὸ ἑωσφόρου ἐγέννησά σε· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ, » τουτέστιν ἱερεὺς τῶν ἐθνῶν. Ὁ γὰρ Μελχισεδὲκ οἶνον καὶ ἄρτον προσέφερε τῷ Θεῷ, καθὼς καὶ ὁ Χριστὸς, ὁ ἀρχιερεὺς ἡμῶν, παρέδωκεν ἡμᾶς θύειν αὐτῷ ἀναιμάκτους θυσίας κατὰ τὴν τάξιν Μελχισεδέκ. Ἄκουσον δὲ καὶ Σολομῶντος λέγοντος περὶ τῆς πρὸ αἰώνων γεννήσεως τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ· « Πρὸ τοῦ τὰ ὄρη γενέσθαι, πρὸ τοῦ τὰς πηγὰς προελθεῖν, πρὸ δὲ πάντων βουνῶν, γεννᾷ με. » Δεῖξόν μοι οὖν τίνα ὁ Θεὸς πρὸ πάσης τῆς κτίσεως ἐγέννησεν. Ὡσαύτως δὲ καὶ πάλιν ὁ Δαβὶδ ἐν βίβλῳ Ψαλμῶν οϛ' λέγει· « Ὁ Θεὸς, τὸ κρῖμά σου τῷ βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως. » Καὶ μὴ εἴπῃς περὶ Σολομῶντος λέγειν· εἶπε γὰρ μετὰ ὀλίγους στίχους, ὅτι « Κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ, καὶ πρὸ τῆς σελήνης, γενεὰς γενεῶν. » Ἰδοὺ ἔδειξά σοι σαφῶς καὶ διὰ Δαβὶδ καὶ διὰ Σολομῶντος, ὅτι πρὸ πάσης τῆς κτίσεως ἐγεννήθη ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς, ὡς οἶδεν αὐτὸς μόνος.

et Verbo Dei sic loquitur : « Ex utero ante Luciferum genui te [33]; » Lucifer porro quarta die creatus est, Adam vero sexta die formatus est. Nunc, o Judæe, dic mihi : Quem ante creationis primordia genuerit Deus. Num de Adamo loquitur ? Minime; siquidem post secundum diem quo Lucifer et astra creata sunt, formatus est. Forsan de *Uncto* vestro loquitur ? Sed illum, de quo sermo est, Filium esse Davidis non dicitur; cæterum David longo tempore, post Adamum et astra natus est : Adamus enim, ut dictum est, sexta creationis die formatus est, astra quarta die facta sunt; Deus autem de proprio Filio dicit : « Ante Luciferum genui te; tu es sacerdos in æternum secundum ordinem Melchisedec, » id est, sacerdos gentium : Melchisedec enim vinum et panem Deo obtulit, sicut et Christus, pontifex noster, nobis mandatum dedit, ut ipsi incruenta sacrificia offeramus, secundum ordinem Melchisedec. Audi et Salomonem de generatione unigeniti Filii Dei ante sæcula dicentem : « Antequam fierent montes, antequam fontes prodirent, et ante omnes colles genuit me. » Indica ergo mihi quem ante omnem creaturam genuerit Deus. Item David, in libro Psalmorum, psalmo xcvii, *imo* lxxi, iterum dicit : « Deus, judicium tuum regi da, et justitiam tuam filio regis [34]; » neque hæc dicas de Salomone dicta esse, siquidem subdit paulo post : « Dominabitur a mari usque ad mare, et permanet ante solem nomen ejus, et ante lunam in generationes generationum [35]. Ecce perspicue demonstravi tibi, ex Davidis Salomonisque testimonio, Filium Dei ante omnem creaturam a Patre fuisse generatum, eo modo quem ipse solus novit.

Πάλιν ἐκεῖνό μοι εἴπατε ὑμεῖς, καὶ εὐθὺς φαίνεται ἡ ἀλήθεια, τὸν *ἠλειμμένον* ὃν ἐκδέχεσθε ὑμεῖς, τίνα λέγετε αὐτόν; Θεὸν ἢ ἄνθρωπον ψιλὸν, ὡς τὸν Δαβὶδ καὶ τοὺς λοιποὺς ἀνθρώπους; Ἔχει εἰπεῖν ὁ Ἰουδαῖος· Ἄνθρωπον αὐτὸν λέγομεν, καὶ οὐ Θεὸν, ἀλλ' ὡς ἕνα τῶν προφητῶν· οὐκ ἔστι γὰρ εἰ μὴ εἷς καὶ μόνος ὁ Θεὸς, καὶ οὐχὶ δύο, καθάπερ οἱ Χριστιανοὶ λέγετε. Καὶ ἐπεὶ οὕτως λέγετε, ὅτι ἄνθρωπός ἐστι ψιλὸς ὁ ἐρχόμενος Χριστὸς ὑμῶν, ἐνέγκωμεν ἄρτι τὰς φωνὰς τῶν προφητῶν, καὶ ἐὰν Θεὸν ἐκήρυξαν τὸν ἐρχόμενον δηλονότι, καὶ ὁ ἐλθὼν καὶ παρ' ἡμῶν τῶν Χριστιανῶν προσκυνούμενος καὶ πιστευόμενος, αὐτός ἐστιν ἀληθῶς ὄντως ὁ ἀληθὴς Χριστός· ὃν δὲ ἐκδέχεσθε ὑμεῖς οἱ Ἰουδαῖοι, πλάνος ἐστὶ καὶ Ἀντίχριστος. Εἰ δὲ πάλιν μὴ παραστήσωμεν τοὺς προφήτας λέγοντας αὐτὸν Θεὸν, δηλονότι ἡμεῖς πλανώμεθα, Ἰουδαῖοι δὲ ἀληθεύουσιν. Εἴπατε περὶ τίνος ὁ προφήτης λέγει· « Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. » Προσέχετε μετὰ ἀκριβείας· πάντως Θεὸν καὶ Κύριον λέγει εἰπών· « Θεὸς καὶ Κύριος καὶ ἐπέφανεν ἡμῖν. » Εἴτε οὖν ἐπέφανεν ἡμῖν, εἴτε ἐπιφανῆναι μέλλει, οὐκ ἔστιν ὁ Χριστὸς ὑμῶν τῶν Ἰουδαίων, ἀλλ' ἡμέ-

Rursus aliam quæstionem solvite mihi, et statim veritas apparebit : *Unctum* illum, a vobis exspectatum, quem dicitis esse ? Deumne, an hominem tantum, sicut fuit ipse David, et cæteri homines exsistunt ? Respondebit sane Judæus : Hominem esse illum dicimus, non Deum, sed quasi unum e numero prophetarum : non est enim nisi unus Deus, et minime duo, sicut vos Christiani dicitis. At vero, quoniam purum hominem esse dicitis, qui venturus est, Christum vestrum, conferamus in medium dicta prophetarum, et siquidem Deum esse prædicarunt eum qui venturus erat, profecto qui venit, et a nobis Christianis colitur, cuique credimus, is verus Christus est; quem vero vos, Judæi exspectatis impostor est et antichristus; si autem non produxerimus prophetas Deum esse illum declarantes, ipsi erramus, Judæi vero vera loquuntur. Indicate igitur mihi, de quo Propheta dixerit : « Benedictus qui venit in nomine Domini; Deus Dominus, et illuxit nobis [36]. » Attendite diligenter; aperte Deum illum et Dominum declarat, dicens : « Deus et Dominus, et illuxit nobis. » Sive ergo illuxerit, id est, apparuerit nobis, sive appariturus sit, non

[33] Psal. cix, 3. [34] Psal. lxxi, 1. [35] ibid. 8, 9. [36] Psal. cxvii, 26, 27.

est Christus vester Judæorum, sed noster Christianorum, siquidem vos purum hominem fore quem venturum exspectatis, asseritis, David autem Deum et Dominum prædicavit eum, qui venturus erat et venit. Item Isaias, non angelus, non legatus, sed « Ipse, inquit, « Dominus veniet, et salvabit nos [37] ; » et : « Parvulus natus est nobis; et filius datus est nobis, et vocatur magni consilii Angelus, Admirabilis Consiliarius, Deus fortis, Dominator, Princeps pacis, Pater futuri sæculi [38]. » Ecquis homo, quandoquidem Christum hominem purum fore dicitis, quis homo potest esse « Deus fortis, Dominator, Princeps pacis, Pater futuri sæculi?

Item Habacum : « Deus a Theman veniet [39]. » Audi et Jeremiam alta voce clamantem : « Hic est Deus noster; non æstimabitur alius adversus eum; hic adinvenit omnem viam disciplinæ, et tradidit eam Jacob puero suo, et Israel dilecto suo; posthæc in terris visus est, et cum hominibus conversatus est [40]. » Viden' quod illum prophetæ Deum verum in terrisque visum et cum hominibus conversatum prædicarunt? Sed et David, « Regnavit, inquit, Deus super gentes [41], » eos videlicet ad se vocando per fidem Filii sui : quare non dixit : Regnavit Deus super Judæos? Et rursus : « Viderunt omnes gentes Salutare Dei nostri [42]; » et : « Dicite inter gentes, quoniam Dominus regnavit [43], » nimirum per fidem. Isaias vero [*imo Malachias*] : « Ab ortu solis usque ad occasum, glorificatum est nomen meum in gentibus [44]. » Apud Osee : « Vocabo, inquit Deus, non populum meum, Populum meum, » id est, gentes, « et Misericordiam consecutam, non misericordiam consecutam [45], » id est, Synagogam Judæorum. Item et Jacob patriarcha benedicens filiis suis, testamentumque constituens, sic de Christo loquitur : « Non deficiet princeps de Juda, et dux de femoribus ejus, donec veniat cui repositum est, » id est, Christus, « et ipse erit exspectatio gentium [46] : » quippe providebat animo cæcitatem Judæorum. Frustra igitur exspectant Judæi quem exspectant : Christus enim, quem gentes exspectant, jam venit, et ideo defecit princeps et dux de Juda.

Quod vero verus sit Christus noster non deceptor, sicut vos Judæi dicitis æstimatisque, hoc etiam vobis probare obvium est non modo sermonibus, verum ipsis rebus, quæ usque hodie clamant et testantur quod quæcunque dixit, ut universo orbe impleta sint, juxta hanc ipsius declarationem. « Cœlum enim, inquit, et terra transibunt, verba autem mea non transibunt [47]. » Qualia autem sint verba illius, audi diligenter. Etenim de hoc vestro, hoc est, Judæorum, templo dixit : « Non relinquetur in illo lapis super lapidem [48]; » impleta est hæc prædictio, vel non impleta est? Dixit

τερος τῶν Χριστιανῶν· ὑμεῖς γὰρ ἄνθρωπον τὸν ἐρχόμενον ἐκδέχεσθε καὶ οὐ Θεὸν, ὁ δὲ Δαβὶδ Θεὸν καὶ Κύριον τὸν ἐρχόμενον καὶ ἐλθόντα ἐκήρυξε. Καὶ ὁ Ἡσαΐας μὲν λέγει· « Οὐκ ἄγγελος, οὐ πρέσβυς, ἀλλ' αὐτὸς ὁ Κύριος ἥξει, καὶ σώσει ἡμᾶς· » καὶ ὅτι « Παιδίον ἐγεννήθη ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡμῖν, καὶ καλεῖται τῆς μεγάλης βουλῆς Ἄγγελος, Θαυμαστός, Σύμβουλος, Θεὸς ἰσχυρὸς, Ἐξουσιαστὴς, Ἄρχων εἰρήνης, Πατὴρ τοῦ μέλλοντος αἰῶνος. » Ποῖος ἄνθρωπος, καθὼς ὑμεῖς λέγετε, δύναται εἶναι « Θεὸς ἰσχυρὸς, Ἐξουσιαστὴς, Ἄρχων εἰρήνης, Πατὴρ τοῦ μέλλοντος αἰῶνος; »

Ὡσαύτως καὶ ὁ Ἀβακούμ φησι· « Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει. » Ἄκουσον καὶ Ἱερεμίου κεκραγότος μέγα· « Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ τοῦτο ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. » Βλέπεις ὅτι Θεὸν ἐκήρυξαν ἀληθινὸν τὸν ἐπὶ γῆς ὀφθέντα καὶ τοῖς ἀνθρώποις συναναστραφέντα; Καὶ ὁ Δαβὶδ λέγει περὶ αὐτοῦ, ὅτι « Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη, » τουτέστι διὰ τὸ ἐπισπάσασθαι αὐτοὺς τὸν Θεὸν διὰ τῆς πίστεως τοῦ Υἱοῦ αὐτοῦ. Διὰ τί οὐκ εἶπεν, ὅτι Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τοὺς Ἰουδαίους; » Καὶ πάλιν· « Ἴδοσαν πάντα τὰ ἔθνη τὸ Σωτήριον τοῦ Θεοῦ ἡμῶν. » Καὶ, « Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι Κύριος ἐβασίλευσε, » τουτέστι διὰ τῆς πίστεως. Καὶ ὁ Ἡσαΐας, ὅτι « Ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν δεδοξασμένον τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι. » Καὶ πάλιν Ὡσηὲ, « Φησὶ ὁ Θεός· Καλέσω τὸν οὐ λαόν μου, » τουτέστι τὰ ἔθνη· « Καὶ τὴν ἠλεημένην, οὐκ ἠλεημένην, » τουτέστι τὴν Συναγωγὴν τῶν Ἰουδαίων. Ὡσαύτως καὶ ὁ πατριάρχης Ἰακὼβ εὐλογῶν τοὺς υἱοὺς αὐτοῦ καὶ διατασσόμενος, εἶπε περὶ τοῦ Χριστοῦ οὕτως· « Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως οὗ ἔλθῃ ᾧ ἀπόκειται, » τουτέστιν ὁ Χριστός· « Καὶ αὐτὸς προσδοκία ἐθνῶν· » ὡς γινώσκων τὴν τῶν Ἰουδαίων πώρωσιν. Ὥστε μάτην προσδοκῶσιν οἱ Ἰουδαῖοι ὃν προσδοκῶσιν· ὃν γὰρ τὰ ἔθνη προσδοκῶσι Χριστὸν, ἦλθε· διὰ τοῦτο καὶ ἐξέλιπεν ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος.

Ὅτι δὲ ἀληθής ἐστι καὶ οὐ πλάνος ὁ Χριστὸς, ὡς ὑμεῖς οἱ Ἰουδαῖοι λέγετε καὶ νομίζετε, παραστήσωμεν ὑμῖν καὶ τοῦτο, οὐ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων μέχρι τοῦ νῦν κραζόντων καὶ μαρτυρούντων ὡς ἐν πάσῃ τῇ οἰκουμένῃ, καὶ ὅτι πάντα τὰ ὑπ' αὐτοῦ λεχθέντα γεγόνασι. Εἶπε γὰρ, ὅτι « Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. » Ποίους δὲ λόγους, νουνεχῶς ἄκουσον· εἶπε γὰρ περὶ τοῦ ὑμετέρου ναοῦ, τουτέστι τῶν Ἰουδαίων, ὅτι « Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον ἐπ' αὐτόν· » ἆρα γέγονεν ἐπ' αὐτὸν ὁ αὐτοῦ λόγος, ἢ οὐ γέγονεν; Εἶπεν, ὅτι

[37] Isa. LXIII, 9. [38] Isa. IX, 6. [39] Habac. III, 3. [40] Baruch III, 36-38. [41] Psal. XLVI, 9. [42] Psal. XCVII, 3. [43] Psal. XCV, 10. [44] Psal. XLIX, 1. [45] Osee I, 9. [46] Gen. XLIX, 10. [47] Matth. XXIV, 35. [48] ibid. 2.

Ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ὑμῶν τὸ ἔθνος καὶ τὴν πόλιν καὶ τὸ βασίλειον : ἆρα γέγονεν τοῦτο ὑπὸ Οὐεσπασιανοῦ καὶ Τίτου, ἢ οὐ γέγονεν ; Εἶπεν, ὅτι « Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου τοῦ Βαπτιστοῦ, καὶ παύσονται · » ἆρα οὐ γέγονε τοῦτο ; Τίς προφήτης παρ' ὑμῖν μετὰ Ἰωάννην τὸν Βαπτιστήν ; Ἐπίδειξόν μοι λοιπὸν ἀφ' οὗ ἐσταύρωσας τὸν Χριστὸν, ποῖος προφήτης παρ' ὑμῖν εὑρέθη ; ποῖον βασίλειον ἔχετε σήμερον ; Ποῦ εἰσιν οἱ κριταὶ ὑμῶν ; ποῦ οἱ ἄρχοντες ; πάντες ἐξέλιπον. Ποῦ ὁ ναὸς ὑμῶν ; ἰδοὺ κεῖται ἔρημος. Ποῦ εἰσὶν αἱ πλάκες ἃς ἐλάβετε ; ἰδοὺ οὐκ εἰσί. Ποῦ αἱ θυσίαι ὑμῶν ; ἰδοὺ ἐξέλιπον. Ποῦ ἡ κιβωτὸς τῆς διαθήκης ; ἰδοὺ οὐ φαίνεται. Ποῦ τὸ θυσιαστήριον ὃ ἐποίησε Μωσῆς ; ποῦ ἡ ῥάβδος ἡ βλαστήσασα ; ποῦ ἡ στάμνος καὶ τὸ μάννα ; ποῦ ἐπισκίασις ἐν τῷ ναῷ καὶ ὁ καθαρισμὸς τοῦ ἁγιάσματος ; ποῦ τὸ πῦρ τὸ κατερχόμενον ἐκ τοῦ οὐρανοῦ ; Ποῦ ἕνα προφήτην ἔχετε σήμερον ; οὐδένα ἀληθῶς ἔχετε, κατὰ τὴν φωνὴν τῶν τριῶν παίδων τὴν ὑπὲρ ὑμῶν λέγουσαν, ὅτι « Οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων προφήτης καὶ ἡγούμενος, » καὶ τὰ ἑξῆς, « ἐνώπιον τοῦ Θεοῦ, καὶ εὑρεῖν ἔλεος. » Ποῖον γὰρ τόπον, ἐξ ὧν ἔδωκεν ὑμῖν ὁ Θεὸς, ἔχετε σήμερον ; Ἀλλὰ πάντας ἐξ ὑμῶν ἐπῆρε, καὶ ἡμῖν αὐτοὺς ἔδωκε · κἂν τὸ Σινᾶ εἴπῃς ὅπου τὸν νόμον ἐδέξω καὶ οὐ κατεδέξω, ἀλλ' ὁ Χριστὸς ἐκεῖ δοξάζεται σήμερον · κἂν τὸν Ἰορδάνην ὅπου ἐπέρασεν ὁ τότε λαὸς ὑμῶν εἴπῃς, ἀλλὰ Χριστοῦ ἐκεῖ βαπτισθέντος, αὐτὸς παρ' ἡμῶν ἐκεῖ δοξάζεται · κἂν τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν εἴπῃς, ἀλλὰ Χριστοῦ ἐκεῖ σταυρωθέντος, τὰ αὐτοῦ παθήματα ἐκεῖ προσκυνοῦνται σήμερον · εἴτε τὸ ὄρος τῶν Ἐλαιῶν εἴπῃς, ἀλλὰ Χριστοῦ ἐκεῖθεν ἀναληφθέντος, αὐτὸς ἐκεῖ δόξάζεται · κἂν τὴν Βηθλεὲμ πόλιν Δαβὶδ εἴπῃς, ἀλλὰ Χριστοῦ ἐκεῖθεν γεννηθέντος, ὡς ἐν οὐρανῷ κἀκεῖ δοξάζεται πάντοτε. Καὶ τί λέγω Βηθλεὲμ, καὶ Σιὼν, καὶ Ἰορδάνην ; Πάρελθε Δύσιν, ἐπισκόπησον Ἀνατολὴν, ἐκζήτησον τὴν ὑπ' οὐρανὸν, αὐτὰς τὰς Βρεττανικὰς νήσους, αὐτὰ τὰ ἐσπέρια καὶ ἔσχατα τοῦ κόσμου · τὰ μὲν Ἰουδαίων καὶ Ἑλλήνων παλαιωθέντα καὶ ἀφανισθέντα, τὰ δὲ Χριστοῦ πάντα πιστευόμενα καὶ τιμώμενα καὶ βεβαιούμενα.

Καὶ μὴ εἴπῃς, ὅτι σήμερον καταπονούμεθα οἱ Χριστιανοὶ καὶ αἰχμαλωτιζόμεθα · τοῦτο γάρ ἐστι τὸ μέγα, ὅτι καὶ ὑπὸ τοσούτων διωκομένη καὶ πολεμουμένη ἡ πίστις ἡμῶν, ἵσταται καὶ οὐ παύεται, οὐδὲ τὸ βασίλειον ἡμῶν καταργεῖται, οὐδὲ αἱ ἐκκλησίαι ἡμῶν κλείονται · ἀλλὰ ἀναμέσον τῶν ἐθνῶν τῶν κρατούντων καὶ διωκόντων ἡμᾶς, ἐκκλησίας ἔχομεν, καὶ σταυροὺς πήσσομεν, καὶ ἐκκλησίας οἰκοδομοῦμεν, θυσίας ἐπιτελοῦμεν. Εἶπεν, ὅτι « Κηρυχθήσεται τὸ Εὐαγγέλιον ἐν ὅλῳ τῷ κόσμῳ · » ἆρα γέγονεν, ἢ οὔ ; Εἶπε, πύλαι ᾅδου οὐ κατισχύσουσι τῆς αὐτοῦ Ἐκκλησίας, ἤγουν τῆς πίστεως ἡμῶν · ἆρα ἐψεύσατο ; οὐκ ἐγένοντο Ἕλληνες καὶ αἱρεσιάρχαι πολλοὶ, καὶ τύραννοι ἰσχυροὶ, καὶ ἀσεβεῖς βασιλεῖς πολεμήσαντες τὴν πίστιν ἡμῶν, καὶ οὐκ ἠδυνήθησαν ; Ἰδοὺ ἐπλήσθη τὰ ῥήματα τοῦ Κυρίου ἃ εἶπεν, ὅτι « Ἐγερθήσεται ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν, καὶ ἔσονται λιμοὶ καὶ λοιμοὶ καὶ σεισμοὶ κατὰ τόπους · » ἆρα γέγονεν, ἢ οὔ

oppugnarunt, et non potuerunt eam exstinguere? Dixit nobis, qui credimus in eum : « Eritis odio omnibus propter nomen meum [84] : » ipsi dicite, Judæi, nonne prop er nomen Christi omnes gentes oderunt nos et abominantur? Et si autem vos de illis omnibus reticeatis, ipsi lapides clamabunt. Sane videmus non exstitisse a sæculo gentem ab omnibus tanto tempore impugnatam, quin deleta fuerit, præter solam Christianorum gentem : quæ non ita permansisset indebilis, quamvis ab omnibus gentibus impugnata, nisi manus Domini conservasset, et etiam nunc conservaret ita indelebilem. Nobis etiam compertum est, nullum Christianorum imperatorem Barbaris unquam in mortem esse traditum, quamvis a tot gentibus hoc impugnatum sit imperium; imo, non modo non potuerunt imperatores Christianorum tollere, sed ne imaginem quidem eorum cum signo crucis in numismate impressum abolere valuerunt, etiamsi id non pauci tyranni tentaverint. Neque est quod illud contemptibile quid et parvi momenti esse credatur, nempe fidem nostram, semper oppugnari, semperque firmam nihilominus perseverare, et indelebilem : nisi enim Deus fidem nostram præ cæteris omnibus elegisset et comprobasset, nunquam eam inter gentes, velut lupos, invictam conservasset.

A θησαν ταύτην σβέσαι; Εἶπεν ἡμῖν τοῖς εἰς αὐτὸν πιστεύουσιν, ὅτι « Ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου · » ἄρτι ὑμεῖς εἴπατε, Ἰουδαῖοι, οὐ διὰ τὸ ὄνομα τοῦ Χριστοῦ πάντα ἡμᾶς τὰ ἔθνη μισεῖ καὶ βδελύσσεται; Κἂν οὖν ὑμεῖς ταῦτα ἅπαντα παρασιωπήσητε, οἱ λίθοι κεκράξονται. Καὶ βλέπομεν ὅτι οὐχ εὕρηται ἀπ' ἀρχῆς αἰῶνος ἔθνος ὑπὸ πάντων πολεμηθὲν ἐπὶ χρόνους τοσούτους καὶ μὴ ἐξαλειφθὲν, εἰ μὴ μόνον τὸ τῶν Χριστιανῶν ἔθνος, ὅπερ οὐκ ἂν ἔμεινεν ἀνεξάλειπτον οὕτως ὑπὸ πάντων ἐθνῶν πολεμούμενον, εἰ μὴ χεὶρ Κυρίου διεφύλαττε καὶ διαφυλάττει αὐτὸ ἀνεξάλειπτον. Καὶ ἄλλο, ὅτι οὐδεὶς Χριστιανῶν βασιλεὺς βαρβάροις ποτὲ παρεδόθη εἰς θάνατον, καίτοι γε τοσούτων ἐθνῶν τὸ βασίλειον πολεμησάντων· οὐ μόνον δὲ τὸν βασιλέα, ἀλλ' B οὐδὲ τὴν ἑαυτοῦ εἰκόνα ἐκ τοῦ νομίσματος καταργῆσαι σὺν τῷ σταυρῷ ἴσχυσαν, καίπερ τινῶν τυράννων τοῦτο δοκιμασάντων. Μὴ γὰρ ψιλόν τε καὶ εὐτελές σοι πρᾶγμα τοῦτο εἶναι νομισθῇ, ὅτι πάντοτε οὐκ ἐπαύσατο ἡ πίστις ἡμῶν πολεμουμένη καὶ ἱσταμένη καὶ μὴ ἐξαλειφομένη. Εἰ γὰρ μὴ ὑπὲρ πάσας τὰς πίστεις τὴν ἡμετέραν ὁ Θεὸς ἐξελέξατο καὶ ἠγάπησεν, οὐκ ἂν ἀναμέσον τῶν ἐθνῶν ὡς λύκων ὄντων ἐφύλαττεν ἀνάλωτον.

Præterea non permisisset Deus fidem falsam usque ad terminos terræ dominari, nisi fuisset œconomia adventus in carne Christi, Filii ejus, Dei et Salvatoris nostri : unde hoc ipsum, nempe Evangelium Christi ubique gentium creditum esse, certissime probat non esse aliam fidem nostra religiosiorem sub cœlo. Quid igitur? Adeone iniquus est Deus? Absit! non adeo, inquam, iniquus est, ut, probe sciens quod Christiani erramus, sic nos errori tradat. Jam vero quot anni a Christo effluxerunt, ut tanta hominum multitudo ab hoc errore perierit! Non enim hoc observare vel respondere licet, tanto nempe annorum spatio, veritatem nos Israeliticis gentibus edoceri. Quinimo, responde mihi, quomodo nobis; nobis, inquam, errorem amplexis, quod dicitur, universæ terræ imperium Deus commisit? Quomodo factum est, ut nemo signum numismatis abolere potuerit? Scilicet monstrare voluit Deus quod, etiamsi nos Christiani persecutionem patimur, omnium tamen D imperium obtinemus : siquidem signum numismatis imperii nostri, ipsum est Christi signum. Dic igitur mihi, nisi inde probatur æterna invicta et indelebilia exsistere fidem et imperium Christianorum, quomodo factum est ut vos omnes, qui crucem Christi odistis et ceciderunt et jacent? quomodo crucem in numismate non modo abolere non potestis, verum etiam libenter suscipitis; imo, si quem nummum cruce carentem viderint, reprobatis et rejicitis? Adeo verum est quod de vobis dixit David : « Oculos habent et non videbunt [85]. »

Πλὴν οὐδὲ ἔμελλεν συγχωρεῖν ὁ Θεὸς πεπλανημένην πίστιν κατακυριεύειν ἐπὶ πάντα τὰ πέρατα τῆς γῆς, εἰ μὴ ἦν ἡ οἰκονομία τῆς ἐνσάρκου παρουσίας Χριστοῦ τοῦ Υἱοῦ αὐτοῦ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν. C Ὅθεν καὶ αὐτὸ τοῦτο τὸ ἐν πᾶσι τοῖς ἔθνεσι πιστευθῆναι τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, μαρτυρίας ἐστὶν ἀψευδεστάτης, ὅτι οὐκ ἔστιν ἄλλη πίστις εὐσεβεστέρα ἐν τῇ ὑπ' οὐρανόν. Ἆρα τοιοῦτος ἄδικος ὁ Θεός; μὴ γένοιτο. Ὅτι ἐγίνωσκεν ὅτι πλανώμεθα οἱ Χριστιανοὶ, ἤφιεν ἡμᾶς οὕτως. Ἰδοὺ λοιπὸν πόσοι χρόνοι ἀπὸ Χριστοῦ ἀπολέσθαι τῇ πλάνῃ τοσοῦτον γένος καὶ πλῆθος ἀνθρώπων· μὴ γὰρ τοῦτο σκοπήσητε ἢ εἴπητε, ὅτι ἄρτι εἰς τοσαῦτα ἔτη παιδευόμεθα ἀπὸ τῶν Ἰσραηλιτῶν ἐθνῶν· ἀλλ' ἐκεῖνο μοι ἑρμήνευσαι, πῶς ἡμῖν τοῖς πλανωμένοις, ὡς λέγετε, τὴν βασιλείαν ὁ Θεὸς πάσης τῆς γῆς ἐπίστευσε; πῶς τὴν τοῦ χρυσίου σφραγῖδα οὐδεὶς καταργῆσαι ἢ ἐπᾶραι ἐξ ἡμῶν ἴσχυσε; πόσοι βασιλεῖς ἐθνῶν, Περσῶν, Ἀράβων, τοῦτο ἐδοκίμασαν, καὶ οὐδαμῶς ἴσχυσαν; D ἵνα δείξῃ ὁ Θεὸς, ὅτι κἂν διωκόμεθα οἱ Χριστιανοὶ, ἀλλ' ἡμεῖς πάντων βασιλεύομεν· τὸ γὰρ σημεῖον τοῦ χρυσίου τῆς βασιλείας ἡμῶν, σημεῖον τοῦ Χριστοῦ αὐτοῦ ἐστιν. Ἐπεὶ εἰπέ μοι, εἰ μὴ σημεῖον ἦν ὅτι αἰώνιος καὶ ἀνίκητος καὶ ἀνεξάλειπτος ἦν ἡ πίστις καὶ ἡ βασιλεία τῶν Χριστιανῶν, πῶς τὸν σταυρὸν τοῦ Χριστοῦ πάντες ὑμεῖς μισοῦντες καὶ βλασφημοῦντες, ἐκπεπτώκατε; πῶς τὸν σταυρὸν ἐκ τοῦ χρυσίου ἀπαλεῖψαι οὐ δύνασθε, ἀλλὰ καὶ τοῦτον προθύμως δέχεσθε, ἀλλὰ καὶ ἐὰν χρυσοῦν χωρὶς σταυροῦ ἴδητε, βδελύσσεσθε αὐτὸ καὶ ἀποστρέφεσθε; Οὕτω καλῶς ὁ Δαβὶδ περὶ ὑμῶν εἶπεν· « Ὀφθαλ-

[84] Matth. x, 22. [85] Psal. cxxxiv 116.

μοὺς ἔχουσι, καὶ οὐκ ὄψονται· καρδίας ἔχουσι, καὶ οὐ συνιᾶσι.» Πῶς ὅπερ πολεμεῖτε, τοῦτο ποθεῖτε, καὶ ὅπερ βδελύσσεσθε, τοῦτο προθύμως δέχεσθε παραδόξως νικώμενοι; Καὶ εἰ ἄρα νοῦν καὶ φρένησιν εἴχετε, ἤρκει ὑμῖν καὶ πᾶσι τοῦτο τὸ σημεῖον εἰς τὸ δεῖξαι καὶ πεῖσαι ὑμᾶς, ὅτι ἡ πίστις καὶ ὁ σταυρὸς τοῦ Χριστοῦ εἰς αἰῶνας πάντοτε βασιλεύει. Πόσοι τὴν πίστιν ἡμῶν καὶ τὴν Ἐκκλησίαν καταλῦσαι ἐδοκίμασαν καὶ οὐκ ἴσχυσαν, ἀλλ' αὐτοὶ μὲν παρῆλθον, ὁ δὲ θεμέλιος τῆς Ἐκκλησίας καὶ ἡ πίστις ἵσταται ἀσάλευτος διὰ Χριστὸν τὸν οὕτως ὁρίσαντα, ὅτι «Πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτήν.»

Ποῦ ἐστιν ὁ Διοκλητιανός; ποῦ ἐστιν ὁ Νέρων; ποῦ ὁ Οὐεσπασιανός; ποῦ Ἡρώδης; ποῦ ὁ Μαξιμιανὸς, καὶ πάντες οἱ τοὺς Χριστοῦ μάρτυρας ἀποκτείναντες, τὴν δὲ πίστιν ἡμῶν μὴ παύσαντες μηδὲ κλείσαντες; Αὐτοὶ δὲ ἀπώλοντο καὶ διελύθησαν. Ὁ δὲ Χριστὸς οὐκ ἐψεύσατο ἡμῖν εἰπών, ὅτι «Ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου.» Καὶ πάλιν, ὅτι «Ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἀχθήσεσθε ἕνεκεν ἐμοῦ.» Ἐν οὖν ἐπιλέξασθε· ἢ μισεῖτε ἡμᾶς, ὄντως δεικνύετε Χριστὸν ἀληθεύοντα εἰπόντα ἡμῖν, ὅτι «Ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου.» Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἄλλα πολλὰ εἶπεν, ἅτινα καθ' ἡμέραν θεωροῦμεν γινόμενα, καὶ ἐπὶ πλεῖον αὐτὸν ὡς Θεὸν προσκυνοῦμεν. Εἶπε, κηρυχθήσεται τὸ Εὐαγγέλιον αὐτοῦ ἐν ὅλῳ τῷ κόσμῳ· εἶπεν· Οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον εἰς τὸν ναὸν ὑμῶν· εἶπεν, ὅτι «Ὁ μὴ ἀφεὶς πατέρα καὶ ἀδελφοὺς καὶ ἀδελφάς, οὐ δύναται ἀκολουθῆσαί μοι.» Εἶπεν ἡμῖν περὶ ἐλεημοσύνης κρυπτῶς αὐτὴν ποιεῖν· εἶπεν ἡμῖν· «Βαπτίζεσθε εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.» Εἶπεν ἡμῖν· «Μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος.» Τίς οὖν ἐστιν ὁ δυνάμενος ἐλέγξαι αὐτὸν, ὅτι ἐψεύσατο ταῦτα εἰπόντα τὸν Χριστόν; Οὐδείς πάντως· ἀλλὰ πάντα γεγόνασιν, ὡς προεῖπομεν, καὶ γίνονται. Ἆρα οὐκ ἔπεσεν ὁ ναὸς ὑμῶν καὶ ἐκάη; ἆρα οὐκ ἐκηρύχθη τὸ Εὐαγγέλιον αὐτοῦ ἐν ὅλῳ τῷ κόσμῳ; ἆρα οὐ μισούμεθα οἱ Χριστιανοὶ ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομα αὐτοῦ; ἆρα οὐ θεωροῦμεν μυρίους ἀφιέντας πατέρας, καὶ μητέρας, καὶ ἀκολουθοῦντα, τῷ Χριστῷ; ἆρα οὐ βλέπομεν ἢ οὐ νοοῦμεν ὅτι μεθ' ἡμῶν ἐστιν ὁ Χριστὸς πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος, μὴ συγχωρῶν καταργηθῆναι τὴν πίστιν ἡμῶν; Τίς οὖν βλέπων τὰ τοιαῦτα καὶ τὰ τοσαῦτα αὐτοῦ ῥήματα καὶ πράγματα, ἅπερ πρὸ χρόνων ὀκτακοσίων ἢ καὶ ἐπέκεινα προεῖπεν, σήμερον καὶ καθ' ἡμέραν γινόμενα καὶ λάμποντα, δύναται ἀπιστῆσαι ἢ σκανδαλισθῆναι εἰς αὐτόν; μὴ γένοιτο. Ὥστε τῷ βουλομένῳ ἐντεῦθεν ἔστι μαθεῖν, ὅτι οὐχ ὑπάρχει ἑτέρα πίστις εὐσεβεστέρα ἐπὶ τῆς γῆς, ἀλλ' ἢ μόνη ἡ εἰς Χριστόν. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος. Ἀμήν.

A Quomodo, quod impugnatis, id ipsum requiritis, et quod abominamini, id ipsum diligenter suscipitis, sic a vobis ipsis victi mirabiliter? Sane nisi mens et intelligentia vos defecisset, vobis et cæteris omnibus satis esset hoc signum, ut persuasum et compertum haberetis, fidem et crucem Christi in sæcula dominari. Quot et quanti fidem et ecclesiam nostram dissolvere sperarunt, et non potuere? Imo ipsi transierunt, at fundamentum Ecclesiæ, quæ est ædes, inconcussum manet, per Christum, qui sic decrevit; « Portæ, inquiens, inferi non prævalebunt adversus eam [86]. »

Ubi est Diocletianus? ubi Nero? ubi Vespasianus? ubi Herodes? ubi Maximianus, et omnes qui martyres quidem Christi occiderunt, fidem autem B nostram exstinguere vel intercludere non potuerunt? Ipsi perierunt et dissoluti sunt, veraque prænuntiavit Christus, nobis dicens: « Odio eritis omnibus propter nomen meum [87]; » et iterum: « Ad reges et ad præsides ducemini propter me [88]. » Hoc igitur solum superest, quod concludere debeatis: odio nempe vestro adversum nos, perspicue demonstratis vera prophetasse Christum, dum diceret: « Odio eritis omnibus propter nomen meum. » Neque illud tantum, sed multa alia prædixit, quæ quotidie ad effectum perducta conspicimus, unde magis in ipsius, ut Dei, adoratione confirmamur. Dixit enim prædicatum iri Evangelium suum in universo mundo; prædixit non remansurum lapidem super lapidem in templo vestro; C dixit: « Qui non relinquit patrem et fratres et sorores, non potest venire post me [89]; » de eleemosyna præcepit nobis, ut latenter eam faciamus; dixit nobis: « Baptizamini in nomine Patris et Filii et Spiritus sancti; » et iterum: « Ecce ego vobiscum sum usque ad consummationem sæculi [90]. » Ecquis igitur Christum possit mendacii arguere circa has omnes prædictiones? Nemo sane; sed, ut jam diximus, omnia ad effectum perducta sunt, et perducuntur. Nonne templum vestrum diruta est et combustum? Nonne prædicatum est Evangelium ejus in universo mundo? Nonne odio habemur nos Christiani ab omnibus gentibus propter nomen ejus? Nonne videmus innumerabiles, patribus et D matribus relictis, illum sequentes? Nonne perspicimus aut intelligimus, quod Christus cum nobis sit usque ad consummationem sæculi, nos permittens fidem nostram evacuari? Quis est igitur qui, talia et tanta cernens ab illo ante octingentos vel plures annos prædicta vel præcepta, quotidie nunc ad effectum cum tanto splendore perducta, non credat, aut scandalizetur in eum? Absit ut talis quis exsistat! Ex his igitur cuique volenti perspicere licet, nullam exsistere super terram, religiosiorem fidem, præter solam fidem in Christum. Ipsi gloria et potestas. Amen.

[86] Matth. xvi, 18. [87] Matth. x, 22. [88] ibid. 18. [89] Matth. x, 37. [90] Matth. xxviii, 19, 20.

ΤΟΥ ΑΥΤΟΥ ΔΕΥΤΕΡΑ ΕΡΩΤΗΣΙΣ.

EJUSDEM SECUNDA INTERROGATIO.

Et omnia quidem de illo prophetæ prædixerunt, vos autem non attenditis. Si vero dicitis : Quare prophetæ de vestro Christo loquentes non aperte et clare nobis locuti sunt ? Ut videatis, Judæi, Christum venisse et finem imposuisse legi et legis immolationibus, et vobis dico : Istos, si nudam rem ita locuti essent, statim lapidabatis eorumque libros cremabatis. Nos demum in hoc aspiciamus ; modo enim ex vestris prophetis vos confundimus, omnia quæ de Christo dixerunt arguentes et præ vobis ponentes. David enim dicit : « Inclinavit cœlos et descendit [61]. « Isaïas dicit : « Ecce virgo concipiet et pariet filium, et vocabunt nomen ejus Emmanuel [62] ; » en ejus nativitas. Iterum idem propheta dicit : » Ille Deus noster, non disceptabit alius cum illo ; et post in terra visus est et cum hominibus conversatus est [63] : » en ejus cum hominibus conversatio. Nec possibile erat aliter illum ab hominibus videri, nuda in divinitate conversari, nisi humanam naturam et carnem sumpsisset et induisset. Moyses quoque, postquam gloriam Dei vidisset, ita ut nequirent filii Israel cernere faciem ejus apertam, nisi velum imposuisset, dixit ad illos hæc : « Prophetam in vobis surgere faciet Dominus Deus noster e fratribus vestris tanquam me [64]. » Quid est illud *tanquam me?* Ut enim Moysis facies gloria illuminata fuerat, et cum nequirent filii Israel aspicere gloriam ejus, faciei velum imponebat, ita deinde cum illis conversabatur; sic et Christus Dei Filius pro indumento habuit corporis habitaculum, occultans suam divinitatem, et medius factus inter Deum et homines; medians, melius quam in Moyse, homines cum Deo, Deum cum hominibus. Etenim melior et major est Dominus servo ; Moyses enim servus erat, Christus autem, ut Deus, Dominus. Ob quid igitur, *tanquam me ?* Ob indumentum et mediationem ; et quod, quisquis non audiet hunc prophetam, exterminabitur anima ejus a populo ; et quod iste est liberans Israel, factus homo Dominus, et cum nobis hominibus conversatus, neque alius.

Deo Jeremias locutus est dicens : « Quia ille Deus noster, non disceptabit alter cum eo, » et quæ sequuntur. Propheta quoque Isaias dicit : « Non angelus, nec legatus, sed ipse Dominus veniet et

Καὶ γὰρ ἅπαντα τὰ περὶ αὐτοῦ οἱ προφῆται προεκήρυξαν, ἀλλ' ὑμεῖς οὐκ ἐμβλέπετε. Εἰ δὲ λέγετε ὅτι ἐὰν οἱ προφῆται ὑμῶν Χριστοῦ εἰπόντες, διὰ τί μὴ φανερῶς καὶ διαῤῥήδην εἶπον ἡμῖν; Ὅτι ἵνα εἰδῆτε, Ἰουδαῖοι, ὅτι ὁ Χριστὸς μέλλει ἐλθεῖν καὶ παῦσαι τὸν νόμον καὶ τὰς θυσίας τοῦ νόμου· καὶ λέγω σοι ὅτι εἰ εἶπον οὕτως γυμνὸν τὸ πρᾶγμα, εὐθέως ἐλιθάζετε αὐτοὺς καὶ τὰς βίβλους αὐτῶν ἐκαίετε. Καὶ ἡμεῖς λοιπὸν εἰς τοῦτο βλεπόμεθα· ἄρτι γὰρ ἐκ τῶν προφητῶν ὑμῶν ὑμᾶς καταισχύνομεν, ὅλα τὰ τοῦ Χριστοῦ ἐξ αὐτῶν ὑμᾶς ἐλέγχοντες καὶ παριστῶντες. Ὁ Δαβὶδ μὲν γὰρ λέγει· « Ἔκλινεν οὐρανοὺς καὶ κατέβη. » Ἡσαΐας λέγει· « Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· » ἰδοὺ ἡ γέννησις. Καὶ πάλιν ὁ αὐτὸς προφήτης λέγει· « Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· καὶ μετὰ ταῦτα ἐπὶ γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη· » ἰδοὺ μετὰ τῶν ἀνθρώπων αὐτοῦ συναναστροφή· καὶ οὐκ ἦν δυνατὸν ἄλλως πως αὐτὸν τοῖς ἀνθρώποις ὀφθῆναι, γυμνῇ τῇ θεότητι συναναστραφῆναι, εἰ μὴ τὴν ἀνθρωπείαν φύσιν [καὶ σάρκα ἐφόρεσε καὶ ἐνεδύσατο. Καὶ ὁ Μωϋσῆς μετὰ τὸ ἰδεῖν τὴν δόξαν τοῦ Θεοῦ, ὥστε μὴ δύνασθαι τοὺς υἱοὺς Ἰσραὴλ ὁρᾶν τὸ πρόσωπον αὐτοῦ ἀνακεκαλυμμένον, εἰ μὴ ἐπετίθετο τὸ κάλυμμα, εἶπε πρὸς αὐτοὺς οὕτως· « Ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἡμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ. » Τί ἐστι τὸ, « ὡς ἐμέ ; » Ὥσπερ γὰρ τὸ πρόσωπον Μωϋσέως ἐδοξάσθη, καὶ διὰ τὸ μὴ δύνασθαι τοὺς υἱοὺς Ἰσραὴλ ἀτενίζειν τὴν δόξαν αὐτοῦ, ἐτίθει κάλυμμα τῷ προσώπῳ, εἶθ' οὕτως αὐτοῖς ὡμίλει· οὕτως καὶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ ἀντὶ περιβολῆς ἔσχε τὸν ναὸν τοῦ σώματος, κρύπτων αὐτοῦ τὴν θεότητα, μεσίτης γενόμενος Θεοῦ καὶ ἀνθρώπων· ὁ μεσιτεύων κρεῖττον ἢ παρὰ Μωϋσεῖ, ἀνθρώπους μὲν πρὸς Θεὸν, Θεὸν δὲ πρὸς ἀνθρώπους· καὶ γὰρ κρειττων καὶ μείζων δεσπότης παρὰ δούλου. Ὁ γὰρ Μωϋσῆς δοῦλος ὑπῆρχεν· ὁ δὲ Χριστὸς, καθ' ὃ Θεὸς, Δεσπότης· καὶ διὰ τοῦτο, « Ὡς ἐμὲ, » διὰ τὸ ἔνδυμα καὶ τὴν μεσιτείαν· καὶ ὅτι ὅστις οὐκ ἀκούσει τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἡ ψυχὴ αὐτοῦ ἐκ τοῦ λαοῦ αὐτοῦ· καὶ ὅτι αὐτός ἐστιν ὁ λυτρούμενος τὸν Ἰσραὴλ, ὁ ἐνανθρωπήσας Κύριος, καὶ συναναστραφεὶς ἡμῖν τοῖς ἀνθρώποις, καὶ οὐκ ἄλλος.

Ἄνωθεν Ἱερεμίας εἰρηκεν εἰπών, ὅτι « Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτὸν, » καὶ τὰ ἑξῆς. Καὶ ὁ προφήτης Ἡσαΐας λέγει· « Οὐκ ἄγγελος, οὐ πρέσβυς, ἀλλ' αὐτὸς ὁ Κύριος, ἥξει καὶ σώσει ἡμᾶς· »

[61] Psal. xvii, 10. [62] Isa. vii, 14. [63] Baruch. iii, 36-38. [64] Deut. xviii, 15.

καὶ ὅτι ἔμελλον τὰ ἔθνη πιστεῦσαι καὶ ἀποστῆναι ὑμᾶς τοὺς Ἰουδαίους διὰ τὴν ὑμῶν ἀπιστίαν. Ὁ προφήτης Ὡσηὲ λέγει· « Καλέσω τὸν οὐ λαόν μου, λαόν μου, » ἤγουν τὰ πιστεύσαντα εἰς αὐτὸν ἔθνη. Καὶ ὁ Δαβὶδ, δεικνὺς, ὅτι ὁ Θεὸς διὰ τὰ ἔθνη σαρκοῦσθαι ἔμελλεν, εἶπεν· « Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη· » διὰ τί οὐκ εἶπεν, Ἐβασίλευσεν ἐπὶ τοὺς Ἰουδαίους; Ὅτι μὲν βασιλεύς ἐστιν ὁ Θεὸς ἐπὶ πάντας, δῆλον ἦν· ἀλλ' οὐκ ἦν τοῖς ἔθνεσι πρὸ τοῦ πιστεῦσαι ἐν ἐπιγνώσει, διὰ τὸ ὑπὸ τῆς εἰδωλολατρείας κατέχεσθαι αὐτοὺς, καὶ ὑπὸ τῶν δαιμόνων δεσποζομένους τυραννικῶς· διὰ δὲ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας ἠλευθέρωσεν ἡμᾶς ἀπὸ τῶν εἰδώλων διὰ τοῦ ἰδίου αἵματος αὐτοῦ, οὗ ἐξέχεεν ἐπὶ τοῦ σταυροῦ, καὶ ἐβασίλευσεν εἰς ἡμᾶς, διότι ἐπιστεύσαμεν εἰς αὐτόν. Διὸ καὶ πάλιν λέγει· « Πάντα ἔθνη ὅσα ἐποίησας, ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε· » ὅσοι μὲν ἐν τῷ νῦν αἰῶνι προσέλθωσιν αὐτῷ διὰ τοῦ ἁγίου βαπτίσματος· καθάπερ ὁ αὐτὸς προφήτης ἡμῖν παρήνεσε, λέγων· « Προσέλθατε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. » Καὶ ἄλλος προφήτης λέγει· « Λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλητε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν καρδιῶν ὑμῶν. » Καὶ εἰ οὕτως αὐτῷ προσέλθωσι, μισθὸν λήψονται τῆς πίστεως, τὸ χωρὶς λατρείας νόμου διὰ τῆς πίστεως σωθῆναι· ὅσοι δὲ νῦν μὴ θελήσωσιν αὐτῷ προσελθεῖν, ἐν τῷ μέλλοντι αἰῶνι, καὶ μὴ βουλόμενοι, αὐτὸν μετ' αἰσχύνης μεγάλης καὶ φόβου καὶ τρόμου πολλοῦ προσκυνήσουσι· καθὼς ὁ προφήτης εἶπε· « Κύριε, ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ἔδεισαν, » ἤγουν νῦν ἠπίστησαν· « γνόντες δὲ αἰσχυνθήτωσαν· » τουτέστιν ἐν τῷ μέλλοντι ὃν νῦν ἠπίστησαν Χριστὸν, τότε γνώσονται καὶ αἰσχυνθήσονται, καὶ τῷ ἀσβέστῳ πυρὶ παρ' αὐτοῦ παραπεμφθήσονται αἰωνίως κολαζόμενοι· ὅτι ἐκ Σιὼν ἔμελλε φανεροῦσθαι ὁ Χριστὸς, καὶ ὅτι ὑψιστός ἐστι, καὶ αὐτὸς τὴν Σιὼν ἐθεμελίωσεν. Εἶπεν ὁ Δαβὶδ, « Μήτηρ Σιὼν, ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος. »

Ὅτι δὲ βαπτισθῆναι ἐν τῷ Ἰορδάνῃ, καὶ μαρτυρηθῆναι αὐτὸν ἄνωθεν παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, εἶπε· « Φωνὴ Κυρίου ἐπὶ ὑδάτων· ὁ Θεὸς τῆς δόξης ἐβρόντησε· Κύριος ἐπὶ ὑδάτων πολλῶν. » Ὅτι δὲ διὰ τοῦ ἁγίου βαπτίσματος συνέτριψε τὸν διάβολον καὶ τὰς δυνάμεις αὐτοῦ, λέγει· « Ἐκεῖ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος· » τουτέστι τῶν δαιμόνων. Συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος, τουτέστι τοῦ διαβόλου. Τὸ δὲ, ποιητὴς οὐρανοῦ, καὶ γῆς, καὶ θαλάσσης, αὐτός ἐστιν ὁ Χριστὸς, καὶ ἐν τῇ θαλάσσῃ περιπατῆσαι αὐτὸν ὡς ἐπὶ ἐδάφους· καὶ ὅτι ἰάσεις πολλὰς ποιῆσαι ἐν τῷ λαῷ, καὶ ὅτι ὑπὲρ τοῦ κόσμου ἔμελλε παθεῖν, ἡ βίβλος Ἰὼβ οὕτως λέγει· « Ὁ τανύσας τὸν οὐρανὸν μόνος, ὁ περιπατήσας ἐπὶ θαλάσσης ὡς ἐπὶ ἐδάφους. » Καὶ ὁ προφήτης λέγει· « Τότε ὀφθαλμοὶ τυφλῶν ἀνοιχθήσονται, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων· τότε ὁ

A salvabit nos [66]; » et gentes credituras esse et ameturas vos Judæos propter vestram incredulitatem. Propheta Osee dicit : « Vocabo non populum meum, populum meum [67], » id est credentes in eum gentes. David ostendens Deum inter gentes incarnandum esse, dixit : « Regnavit Deus super gentes [68]; » cur non dixit : Regnavit super Judæos? regem esse Deum super omnes, evidens erat; sed non erat in gentibus, antequam crederent, cognitus, nempe quæ in idololatria versarentur et dæmoniorum tyrannico subjicerentur imperio. Ideo per suam incarnationem nos liberavit ab idolis, per proprium suum sanguinem, quem fudit in cruce, et regnavit super nos, quia credidimus in illum. Propter quod et iterum dicit : « Omnes gentes, B quascunque fecisti, venient et adorabunt coram te, Domine [69], » quotquot in hoc præsenti sæculo ad illum venerunt per sanctum baptisma; ut idem propheta nobis prædixit, dicens : « Venite ad eum, et illuminamini, et facies vestræ non confundantur [69]. » Alius quoque propheta dicit : « Mundamini, puri efficiamini, auferte iniquitates a cordibus vestris [70]. » Si ad illum ita veniunt, mercedem fidei accipient ut sine legis ministerio per fidem salventur. Quotquot autem nunc ad illum non voluerint venire, in futuro sæculo non volentes illum cum confusione magna et timore et tremore multo adorabunt; ut propheta dixit : « Domine, altum est brachium tuum, et non timuerunt [71], » id est, non nunc crediderunt; « cognoscentes autem C confundentur, » quod est, in futuro, quem nunc non crediderunt Christum, tunc cognoscent et confundentur, et inexstinguibili igni ab illo tradentur æternum puniendi; quia ex Sion debebat manifestari Christus, et quia Altissimus est, et ipse Sion fundavit. Dixit David : « Mater Sion, dicet homo, et homo natus est in ea, et ipse fundavit eam Altissimus [72]. »

Quod autem baptizatus fuit in Jordane, et testimonium illi datum est in cœlis a Deo et Patre, dixit : « Vox Domini super aquas; Deus gloriæ intonuit; Dominus super aquas multas [73]. » Quod autem per sanctum suum baptisma contrivit diaD bolum et potestates ejus, dicit : « Ibi conterens capita draconum in aqua [74], » id est, dæmoniorum; conterens caput draconis, id est, diaboli. Illud autem, Creator cœli et terræ et maris, ipse est Christus, quod in mari ambulavit ut in pavimento, quod curationes multas fecit in populo; et pro mundo debuit pati, liber Job ita loquitur : « Qui cœlum tetendit solus, ambulans in mari ut in pavimento [75]; » propheta quoque dicit : « Tunc oculi cæcorum aperientur, et soluta erit lingua mutorum; tunc claudus ut cervus saliet [76]. » Quod autem debebat Dominus noster Jesus Christus in Jerusalem

[66] Isa. LXIII, 9. [67] Osee I, 9. [68] Psal. XLVI, 9. [69] Psal. LXXXV, 9. [69] Psal. XXXIII, 6. [70] Isa. I, 16. [71] Malach. III, 5. [72] Psal. LXXXVI, 5. [73] Psal. XXVIII, 3. [74] Psal. LXXIII, 13. [75] Job IX, 8. [76] Isa. XXXV, 5.

ingredi sedens in pullo asini subjugalis quasi rex, propheta Zacharias dicit : « Exsulta satis, filia Sion, jubila, filia Jerusalem ; ecce rex tuus venit justus et salvator ; ipse pauper et ascendens super subjugalem et super pullum [77]. » Quod a vestris, Judæi, pueris « Hosanna » clamatum est, Deo illud inspirante, David prophetizavit : « Ex ore infantium et lactentium perfecisti laudem [78]. » Isaias autem : « Ipse infirmitates nostras tulit et languores portavit, et pro nobis affligitur [79]. »

Nonne vides, o Judæe, quomodo oportuerit impleri in illum scripta prophetarum ? De illius autem proditione, cujus auctor fuit Judas unus e duodecim discipulis ejus, psalmus dicit : « Quare fremuerunt gentes, et populi meditati sunt inania ? Astiterunt reges terræ, et principes convenerunt in unum [80]. » Convenerunt quidem revera in sanctum puerum Dei Jesum, qui est Christus, Herodes et Pontius Pilatus cum gentibus et populis Israel. David quoque dicit de eodem : « Foderunt manus meas et pedes meos, et diviserunt sibi vestimenta mea, et super tunicam meam miserunt sortem ; dinumeraverunt omnia ossa mea [81]. » Vide crucifixionem, et quomodo acetum cum felle illi bibendum dederint ; idem David iterum dicit : « Dederunt in escam meam fel, et in siti mea potaverunt me aceto [82]. » Ergo mentiti sunt prophetæ et nostri Christianorum evangelistæ, similia dicentes, hæc passum esse Christum ? Si nostri evangelistæ mentiti sunt, et prophetæ etiam mentiti similia illis dicentes. Vis audire de ejus sepultura ? Propheta dicit in libro Psalmorum : « Posuerunt me in lacu inferiori, in tenebris et in umbra mortis, et factus sum sicut homo sine adjutorio, inter mortuos liber [83], » id est sine peccato. Job quoque dicit : « Aperiuntur tibi timore portæ mortis, custodes autem portarum inferni videntes te terrebuntur [84] ; » aperte adversariorum dæmoniorum potestates designantur, quæ in inferno habitant. Quod multa corpora sanctorum qui ab initio mundi dormierant, Christus in cruce pendens excitavit e mortuis, Psalmista dixit : « Qui educit vinctos in fortitudine ; similiter qui exacerbati sunt et habitant in sepulcris [85]. » Sed de illius triduana sepultura et resurrectione propheta Osee sic loquitur : « Quæramus Dominum, vivificabit nos post duos dies, et in die tertia resurgam [86]. » Quod autem anima ejus in inferno non derelicta est, neque caro ejus vidit corruptionem, David dicit : « Non derelinques animam meam in inferno, neque dabis sanctum tuum videre corruptionem [87]. » Ne arbitreris autem de se David locutum esse, non de Christo ; David in sua generatione obsecutus Dei voluntati, dormivit et appositus est ad patres suos, et vidit corruptionem. Ipse igitur Deus natu-

νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. » Ὁ δὲ νόσους ἐβάστασε, καὶ ὑπὲρ ἡμῶν ὀδυνᾶται· »

Οὐχ ὁρᾷς, ὦ Ἰουδαῖε, πῶς ἔδει πληρωθῆναι εἰς αὐτὸν τὰς Γραφὰς τῶν προφητῶν ; Περὶ γὰρ τοῦ προδεδόσθαι αὐτὸν παρὰ τοῦ Ἰούδα ἑνὸς τῶν ιβ' μαθητῶν αὐτοῦ, ὁ ψαλμὸς λέγει· « Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά ; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό. » Συνήχθησαν γὰρ ἐπ' ἀληθείας ἐπὶ τὸν ἅγιον Παῖδα τοῦ Θεοῦ Ἰησοῦν, ὅ ἐστι Χριστὸς, Ἡρώδης τε καὶ Πόντιος Πιλᾶτος σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραήλ. Καὶ ὁ Δαβὶδ λέγει περὶ αὐτοῦ· « Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, καὶ διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλλον κλῆρον· ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. » Ἰδοὺ καὶ ἡ σταύρωσις, καὶ ὅτι ὄξος μετὰ χολῆς αὐτὸν ἐπότισαν. Ὁ αὐτὸς Δαβὶδ πάλιν εἶπεν· « Ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. » Ἄρα ἐψεύσαντο οἱ προφῆται καὶ οἱ εὐαγγελισταὶ ἡμῶν τῶν Χριστιανῶν, τὰ ἴσα τούτων εἰπόντες, ὅτι ταῦτα ἔπαθεν ὁ Χριστός ; καὶ εἰ οἱ εὐαγγελισταὶ ἡμῶν ἐψεύσαντο, καὶ οἱ προφῆται λοιπὸν ἐψεύσαντο τὰ ὅμοια τούτων εἰπόντες. Θέλεις ἀκοῦσαι καὶ περὶ τῆς ταφῆς αὐτοῦ ; Ὁ Προφήτης λέγει ἐν βίβλῳ Ψαλμῶν· « Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου, καὶ ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος, » τουτέστιν ἀναμάρτητος. Καὶ ἐν τῷ Ἰὼβ λέγει· « Ἀνοίγονταί σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν· » δηλονότι αἱ τῶν ἐναντίων δαιμόνων δυνάμεις αἱ ἐν τῷ ᾅδῃ. Ὅτι δὲ πολλὰ σώματα τῶν κεκοιμημένων ἀπ' αἰῶνος ἁγίων ὁ Χριστὸς ἐν τῷ σταυρῷ κρεμάμενος ἤγειρεν ἐκ τῶν νεκρῶν, ὁ Ψαλμῳδὸς εἶπεν· « Ὁ ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ· ὁμοίως τοὺς παραπικραίνοντας τοὺς κατοικοῦντας ἐν τάφοις. » Ἀλλὰ καὶ περὶ τῆς τριημέρου αὐτοῦ ταφῆς καὶ τῆς ἀναστάσεως ὁ προφήτης Ὡσηὲ λέγει οὕτως· « Ζητήσωμεν τὸν Κύριον, καὶ ἁγιάσει ἡμᾶς· μετὰ ἡμέρας δύο, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσομαι. » Ὅτι δὲ ἡ ψυχὴ αὐτοῦ ἐν ᾅδῃ οὐ καταλέλειπται, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν, ὁ Δαβὶδ λέγει· « Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. » Μὴ νομίσῃς δὲ ὅτι περὶ ἑαυτοῦ εἶπεν ὁ Δαβὶδ, καὶ οὐ περὶ Χριστοῦ· ὁ δὲ Δαβὶδ μὲν τῇ ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ τοῦ Θεοῦ βουλῇ, ἐκοιμήθη καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ,

[77] Zachar. IX, 8, 9. [78] Psal. VIII, 3. [79] Isa. LIII, 4, 5. [80] Psal. II, 1, 2. [81] Psal. XXI, 17—19. [82] Psal. LXVIII, 22. [83] Psal. LXXXVII, 7, 8. [84] Job XXXVIII, 17. [85] Psal. LXVII, 6, 7. [86] Osee VI, 3. [87] Psal. XV, 10.

καὶ οἶδε διαφθοράν· αὐτὸς γὰρ ὁ Θεὸς τὴν ἀνθρωπίνην φύσιν, ἣν ἀνέλαβεν, ἀνέστησε. Καὶ ἀλλαχοῦ γέγραπται· « Καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ, τιμή· » τουτέστιν ἡ μὲν ἀνάπαυσις, ταφή· ἡ δὲ τιμή, ἀνάστασις.

Λοιπὸν τίς ταῦτα ἀκούων ἐκ τῶν προφητῶν περὶ τοῦ Χριστοῦ, οὐχ ὁμολογεῖ αὐτὸν Θεὸν ἀληθινὸν διὰ τὴν τοῦ κόσμου σωτηρίαν ἐνανθρωπήσαντα, εἰδωλά τε καταργήσαντα, θυσίας δαιμόνων καταστρέψαντα; Ποῦ εἰσιν αἱ θυσίαι Αἰγύπτου; ποῦ αἱ μαντεῖαι Μέμφεως; ποῦ Σεβήνυτος ἡ τὸν Σίμωνα σεβομένη; ποῦ Νούφις ἡ τὸν οἶνον προσκυνοῦσα; ποῦ εἰσι σήμερον οἱ τὸν ἥλιον σεβόμενοι; ποῦ τῆς Ἀρτέμιδος ὁ ναός; ποῦ τοῦ ναοῦ Κυζίκου αἱ μαντεῖαι Ἀπόλλωνος καὶ πάντων τῶν δαιμόνων; Τοῦ γὰρ Χριστοῦ φανέντος καὶ σταυροῦ παγέντος, ὁ Θεὸς πανταχοῦ προσκυνεῖται καὶ δοξάζεται. Καὶ οὐκ αἰσχύνεσθε, Ἰουδαῖοι, εἰδωλοθύτας ἡμᾶς καὶ εἰδωλολάτρας ὀνομάζοντες; Ὅμως οὐδὲν ξένον· πᾶσα γὰρ πόρνη τῇ ἐλευθέρᾳ γυναικὶ τὸ ἴδιον ὄνομα περιτίθησι, κράζουσα αὐτῇ· Πεπορνευμένη. Καὶ γὰρ Ἡσαΐου καὶ Ἱερεμίου καὶ τῶν λοιπῶν προφητῶν, οὐ μὴν ἀλλὰ καὶ αὐτοῦ τοῦ Χριστοῦ, οὐκ ἐφείσασθε· καὶ πῶς ἡμῖν τοῖς Χριστιανοῖς ἔχετε φείσασθαι; Ἀλλ' εἰ καὶ εἴχετε ὑμεῖς ἐξουσίαν, καὶ ἡμεῖς σήμερον ἔχομεν, οὐκ ἂν ἐάσατε ἕνα ἐξ ἡμῶν μέσον ὑμῶν ζῆσαι, καθάπερ καὶ ἡμεῖς ὑμᾶς ἀνεχόμεθα. Ἐπειδὴ δὲ εἴπατε· Διὰ τί οὐκ εἶπαν οἱ προφῆται φανερῶς καὶ γυμνῷ τῷ πράγματι περὶ τοῦ Χριστοῦ; ἐρωτῶ κἀγὼ ὑμᾶς τοῦτό γε· Πῶς οὐκ εἶπον οἱ προφῆται περὶ τοῦ Χριστοῦ ὑμῖν τοῖς Ἰουδαίοις, ὅτι Βλέπετε, ἐλθεῖν ἔχει ἄνθρωπος καλούμενος Ἰησοῦς, μὴ πιστεύσατε αὐτῷ ὅτι πλάνος ἐστίν; ἀλλ' οὕτως τὸν ἀληθινὸν Χριστὸν καὶ Θεὸν, ὃν οἱ προφῆται προεκήρυξαν, μὴ θελήσαντες πιστεῦσαι, πλάνον καὶ οὐ Χριστὸν ἐνδέχεσθε.

Εἰ δὲ εἴπῃ ὁ Ἰουδαῖος, ὅτι Πῶς τοῦ Θεοῦ παραγγείλαντος μὴ προσκυνεῖν ξύλα ἢ λίθον καὶ ἔργα χειρῶν ἀνθρώπων, πῶς ὑμεῖς οἱ Χριστιανοὶ αὐτὰ προσκυνεῖτε καὶ σέβεσθε, ποιοῦντες αὐτῶν σταυροὺς καὶ εἰκόνας; εἰπὲ αὐτῷ· Λέγε μοι καὶ σὺ, Ἰουδαῖε, διὰ τί καὶ σὺ προσκυνεῖς τὸ βιβλίον τοῦ νόμου, ἐπειδὴ ἐκ δερμάτων τυγχάνει καὶ ἐν ἀκαθαρσίᾳ βεβυρσευμένον; διὰ τί δὲ καὶ ὁ Ἰακὼβ ὁ πατριάρχης προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου τοῦ Ἰωσήφ; Καὶ εἰ μὲν ἔχει εἰπεῖν, ὅτι Κἂν προσκυνῶ τοῦ νόμου τὸ βιβλίον, οὐ τὴν φύσιν τῶν δερμάτων προσκυνῶ, ἀλλὰ τὴν δύναμιν τῶν ῥημάτων· καὶ ὁ Ἰακὼβ προσκυνήσας τὴν ῥάβδον, οὐ τὸ ξύλον προσεκύνησεν, ἀλλὰ τὸν κρατοῦντα αὐτὴν Ἰωσήφ· εἰπὲ αὐτῷ, ὅτι Οὕτως καὶ ἡμεῖς οἱ Χριστιανοὶ προσκυνοῦντες τοῦ Χριστοῦ σταυρὸν, οὐ τὴν φύσιν τοῦ ξύλου προσκυνοῦμεν, μὴ γένοιτο! ἀλλὰ Χριστὸν τὸν σταυρωθέντα ἐν αὐτῷ. Καὶ ὥσπερ ὑμεῖς ἐὰν ἴδητε ἄρτι τὰς δύο πλάκας καὶ τὰ δύο Χερουβὶμ τὰ χρυσᾶ, ἅπερ ἐποίησε Μωϋσῆς, καὶ τὴν κιβωτὸν, προσ[ε]κυνήσατε ἂν αὐτὰ τιμῶντες τὸν ἐπιτάξαντα ταῦτα· τῷ αὐτῷ τρόπῳ καὶ ἡμεῖς, τὰς εἰκόνας προσκυνοῦντες, οὐ τὸ ξύλον προσκυνοῦμεν, μὴ γένοιτο! ἀλλὰ Χριστὸν τιμῶντες, καὶ τοὺς ἁγίους αὐτοῦ· καὶ οὔτε τὸ ξύλον, οὔτε τὴν ζωγραφίαν προσκυνοῦμεν· ἐπεὶ πολλάκις τὰς

ram humanam quam sumpsit suscitavit. Et alibi scriptum est: « Et erit requies ejus gloria [88], » id est, requies sepulcrum, gloria autem resurrectionem indicat.

Quis demum hæc audiens a prophetis de Christo dicta, non fatetur hunc Deum vere ad mundi salutem hominem factum esse, idola destruxisse, dæmoniorum sacrificia abolevisse? Ubi sunt Ægypti sacrificia? ubi Memphidis oracula? ubi Sebenyte Simonem colens? ubi Nuphis vinum adorans? ubi sunt hodie solis cultores? ubi Dianæ templum? ubi Cyziceni templi Apollinis et omnium dæmoniorum oracula? Christo enim manifestato et in cruce pendente, Deus ubique adoratur et glorificatur. Nonne vos pudet, Judæi, nos idololatras et idolis sacrificantes vocare? Attamen mirum non est. Omnis enim meretrix mulieri liberæ nomen suum imponit, vocitans illam meretricem. Nam Isaiæ, Jeremiæ, et reliquis prophetis, adeoque ipsi Christo non pepercistis; et quomodo nobis Christianis potestis parcere? si vero haberetis hanc potestatem, quam nos hodie habemus, non sineretis unum ex nobis inter vos vivere, ut nos vos toleramus. Cum enim dicitis, cur non locuti sint aperte et nude de Christo prophetæ, quæro et ego a vobis, cur non dixerint prophetæ vobis Judæis de Christo: Cavete, veniet homo appellatus Jesus, ne illi credite quia impostor est? Sed ita verum esse Christum et Deum, quem prophetæ præmuntiaverunt, nolentes credere, impostorem, nec Christum accipitis.

Sin autem Judæus dixerit: Quomodo, cum Deus præceperit ne adorentur ligna, lapis, et opera manuum hominum, vos, Christiani, hæc adoratis et colitis, facientes ex his cruces et imagines? responde illi: Dic mihi et tu, Judæe, quare tu adoras legis librum, cum e pellibus et immundis coriis compactus sit? cur Jacob patriarcha adoravit in summitate virgæ Joseph [89]? Quod si potueris dicere: Et si adoro legis librum, non naturam pellium adoro, sed verborum virtutem; neque Jacob adorans virgam, lignum adoravit, sed qui eam possidebat Joseph; dic illi: Similiter et nos Christiani adorantes Christi crucem, non ligni naturam adoramus, quod absit, sed Christum in eo crucifixum. Quemadmodum et vos, si inveneritis hodie duas tabulas et duo Cherubim aurea, quæ fecit Moyses, et arcam, adoraretis ea colentes illum qui hæc mandavit fieri; ita et nos cum imagines adoramus, non adoramus lignum, quod absit, sed Christum colimus et sanctos ejus; neque lignum neque picturam adoramus, cum sæpius imagines veteres abstergimus et renovamus, aut putrescentes comburimus, aliasque novas facimus, tantummodo ad bonam memoriam servandam. Vos autem, dicite mihi, cur imaginem Nabuchodonosor Babylone adoravistis?

[88] Psal. xi, 10. [89] Hebr. xi, 21.

et illic quidem habentes Daniel et alios prophetas qui vos docerent? Et ego Christianus, cum Christi adoro imaginem, dico : Gloria Deo sanctorum; non dico : Gloria ligno aut picturæ; tu vero, Nabuchodonosor adorans imaginem, dicebas : Gloria Nabuchodonosor. Ego crucem adoro, nec dico : Gloria ligno, quod absit; tu vitulum adoras, et dicis : « Hi sunt dei tui, Israël, qui eduxerunt te e terra Ægypti [90]. » Nos Christiani multis annis captivi et malis afflicti, Deum non negamus.

A εἰκόνας παλαιουμένας ἀπαλείφομεν καὶ ἀνακαινίζομεν ἢ καὶ σαθρωθείσας καίομεν, καὶ ἄλλας καινουργίας ποιοῦμεν, πρὸς ὑπόμνησιν ἀγαθὴν μόνον. Ὑμεῖς δὲ ἐκεῖνό μοι εἴπατε· διὰ τί τὴν εἰκόνα τὴν ἐν Βαβυλῶνι Ναβουχοδονόσορ προσ[ε]κυνήσατε; καίτοι γε ἔχοντες ἐκεῖ τὸν Δανιὴλ καὶ ἄλλους προφήτας διδάσκοντας ὑμᾶς; Κἀγὼ μὲν ὁ Χριστιανὸς προσκυνῶν εἰκόνα τοῦ Χριστοῦ, λέγω· Δόξα ὁ Θεὸς τῶν ἁγίων, οὐ λέγω, Δόξα ξύλου ἢ ζωγραφίας· σὺ δὲ προσκυνήσας τὴν εἰκόνα, εἶπας· Δόξα Ναβουχοδονόσορ· ἐγὼ προσκυνῶ τὸν σταυρὸν, οὐ λέγω, Δόξα ξύλου, μὴ γένοιτο! σὺ δὲ προσκυνεῖς τὴν μόσχον, λέγεις· « Οὗτοί σοι θεοί σου, Ἰσραὴλ, οἱ ἐξαγαγόντες σε ἐκ γῆς Αἰγύπτου· » ἡμεῖς δὲ οἱ Χριστιανοὶ αἰχμαλωτιζόμενοι πολλὰ ἔτη καὶ καταπονούμενοι, τὸν Θεὸν οὐκ ἀρνούμεθα.

Si qui Christiani negaverunt, non tam multi quam vos Babylone, non quidem percussi nec excoriati, sed mero in verbo omnes negastis, et imaginem hominis adorastis. Et nisi tres pueri fidem in Deum servassent, ubi fidem in Deum servassetis? et tamen tanta signa videratis in omni loco, in Ægypto sub Moyse, in mari Rubro, in deserto, in columna ignis, in nube luminis, in monte Sina. Num talia bona Deus alicui contulit? Num Deus alicui ita locutus est legibus et tubis angelicis, et tantis miraculis legem vobis ferens, manna rorans, prophetas inter vos mittens, gentes subjugans, alienigenas destruens, tabulas præbens, tabernaculum vestrum describens, Moysen ceu alterum Deum, ut suas vices agat, vobis præficiens? O vestri populi cæcitatem! o malam voluntatem! o ingratum animum et voluntariam obscuritatem! supra in monte Moyses vobis periclitabatur, vos infra vitulum fingebatis; supra ille Deum rogabat, et infra Deum tu iratum reddebas, et vitulum adorabas; manna comedebas, et Deo insultabas. Dixit enim David : « Adhuc escæ erant in ore eorum, et ira Dei ascendit super eos [91]. » Et de nobis Christianis quid dicere potestis, nos nempe Filium Dei adorare? Sed respondete : Cur vos vestros filios et filias, ut loquitur David, immolavistis dæmoniis Belphegor? quid? vos semper fidem habetis? absit. Audi Moysen dicentem ad populum (et tunc quidem in Deum pius erat Hebræorum populus), audi quid dicat Moyses : « Generatio perversa sunt, et non est fides in ea [92], » et rursus : « Generatio prava et perversa, hæc reddis Domino [93]? » Et multa alia testimonia de vobis mala occurrunt in vestris a Deo prophetiis dicentia : « Filios enim genui et exaltavi, ipsi autem spreverunt me; bos cognovit possessorem suum, et asinus præsepe domini sui, Israël autem me non cognovit, et populus meus non intellexit. Væ genti peccatrici, populo pleno peccatis [94]. » Et rursus idem propheta Isaias vobis dicit : « Audite verbum Domini, domus Sodomæ; percipite legem Dei, populo Gomorrhæ [95]. » Videte quomodo Sodomitas, et infideles, populumque dementem Judæos vocet Deus, et idololatras, et ingratos, et generationem pravam et perversam, et filios castigandos. « Et sacrificaverunt dæmoniis et

B Εἰ δὲ καί τινες Χριστιανοὶ ἠρνήσαντο, ἀλλ' οὐ τοσοῦτοι ὡς ὑμεῖς ἐν Βαβυλῶνι, μήτε τυφθέντες, μήτε δαρέντες, ἀλλ' ἀπὸ ψιλοῦ ῥήματος πάντες ἠρνήσασθε, καὶ εἰκόνα προσεκυνήσατε ἀνθρώπου· καὶ εἰ μὴ οἱ τρεῖς παῖδες πιστὰ τῷ Θεῷ ἐφύλαξαν, ποῦ, εἰπέ μοι, πιστὰ ἐφυλάξατε τῷ Θεῷ; καίτοι γε τοσαῦτα σημεῖα θεωρήσαντες ἐν παντὶ τόπῳ, ἐν Αἰγύπτῳ ὑπὸ Μωϋσέως, ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, ἐν τῇ ἐρήμῳ, ἐν στύλῳ πυρὸς, ἐν νεφέλῃ φωτὸς, ἐν τῷ ὄρει Σινᾷ· πότε ὁ Θεὸς τοιαῦτα ἀγαθά τινι ἐποίησεν; πότε ὁ Θεός τινι ἐλάλησεν οὕτως διὰ νόμων καὶ σαλπίγγων ἀγγελικῶν, καὶ σημείων τοιούτων νόμον δώσας ὑμῖν, μάννα βρέξας, προφήτας ἐν ὑμῖν ἀποστείλας, τὰ ἔθνη ὑποτάξας, ἀλλοφύλους ἐξολοθρεύσας, τὰς πλάκας ἐπιδώσας, τὴν σκηνὴν ὑμῶν C αὐτὸς διατυπώσας, Μωϋσέα δεύτερον θεὸν τυποποιοῦντα αὐτὸν πρὸς ὑμᾶς καταστήσας; Ὦ τῆς πολλῆς ὑμῶν πωρώσεως! ὦ τῆς κακῆς γνώμης! ὦ τῆς ἀχαρίστου ὑμῶν προαιρέσεως καὶ ἐθελουσίου τυφλώσεως! Ἄνω ἐν τῷ ὄρει Μωϋσῆς ὑπὲρ ὑμῶν ἠγωνίζετο, καὶ κάτω ὑμεῖς τὴν μόσχον ἐχωνεύετε· ἄνω ἐκεῖνος τὸν Θεὸν παρεκάλει, καὶ κάτω σὺ τὸν Θεὸν παρώργιζες, καὶ τὸν μόσχον προσεκύνεις· τὸ μάννα ἤσθιες, καὶ τὸν Θεὸν ὠνείδιζες. Λέγει γὰρ ὁ Δαβὶδ, ὅτι « Ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ' αὐτούς. » Καὶ ἡμᾶς τοὺς Χριστιανοὺς τί ὑμεῖς ἔχετε εἰπεῖν, ὅτι τὸν Υἱὸν τοῦ Θεοῦ προσκυνοῦμεν; Ἀλλ' εἰπατε, διὰ τί ὑμεῖς τοὺς υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας, ὡς λέγει D Δαβὶδ, ἐθύσατε τοῖς δαιμονίοις, τῷ Βεελφεγώρ; τί γάρ; ὑμεῖς ὅλως πίστιν ἔχετε; μὴ γένοιτο! Ἄκουσον Μωϋσέως λέγοντος πρὸς τὸν λαὸν (καίτοι γε τότε θεοσεβὴς ἦν ὁ λαὸς τῶν Ἑβραίων), ἀλλ' ἄκουσον τί λέγει Μωϋσῆς· « Ὅτι γενεὰ ἐξεστραμμένη εἰσὶν, ᾗ οὐκ ἔστι πίστις ἐν αὐτῇ. » Καὶ πάλιν· « Γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα Κυρίῳ ἀνταποδίδοτε; » Καὶ ἄλλαι μυρίαι μαρτυρίαι περὶ ὑμῶν πονηρὰ εἰσιν ἐν ταῖς προφητείαις ὑμῶν ἐκ τοῦ Θεοῦ εἰρημέναι. « Υἱοὺς γὰρ, φησὶν, ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν· ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός μου οὐ συνῆκεν. Οὐαὶ ἔθνος ἁμαρτωλὸν, λαὸς πλήρης ἁμαρτιῶν. » Καὶ πάλιν ὁ αὐτὸς προφήτης Ἡσαΐας πρὸς ὑμᾶς· « Ἀκού-

[90] Exod. XXXII, 4. [91] Psal. LXXVIII, 30. [92] Deut. XXXII, 20. [93] ibid. 5. [94] Isa. I, 2, 4. [95] ibid. 10.

σατε λόγον Κυρίου, οἶκος Σοδόμων· προσέχετε νόμον Θεοῦ, λαὸς Γομόρρας. » Ὁρᾶτε, ὅτι καὶ Σοδομίτας, καὶ ἀπίστους, καὶ λαὸν μωρὸν τοὺς Ἰουδαίους λέγει ὁ Θεὸς, καὶ εἰδωλοθύτας, καὶ ἀχαρίστους, καὶ γενεὰν πονηρὰν καὶ διεστραμμένην, καὶ τέκνα μωμητά; « Καὶ ἔθυσαν δαιμονίοις, καὶ οὐ Θεῷ, καὶ ἐγκατέλιπον Θεὸν τὸν ποιήσαντα αὐτοὺς, καὶ ἀπέστησαν ἀπὸ Θεοῦ Σωτῆρος αὐτῶν. »

A non Deo, et dereliquerunt Deum qui fecit illos, et aversi sunt a Deo qui salvavit eos[96]. »

Ἐρευνήσωμεν οὖν τὰς Γραφὰς λοιπὸν, ἐὰν περὶ ἄλλου οἱουδήποτε ἔθνους τοσαῦτα ὁ Θεὸς κατήγγειλεν. Καὶ γὰρ ἐν Ἱεροσολύμοις πεντήκοντα δύο ἔτη ἐποιήσατε θύοντες ἐν τῷ ναῷ τοῦ Θεοῦ τοῖς εἰδώλοις ἐπὶ Μανασσῆ τοῦ βασιλέως ὑμῶν, βεβηλώσαντες τὸν ναὸν καὶ τὴν πόλιν τοῦ Θεοῦ· διὰ τοῦτο ἐν Βαβυλῶνι καὶ ἅπαξ καὶ δὶς παρέδωκεν ὑμᾶς ὁ Θεὸς τοῖς Χαλδαίοις εἰς αἰχμαλωσίαν· εἶτα πάλιν ὑμᾶς μεθ' ἑβδομήκοντα ἔτη ἀνεκαλέσατο. Ἄρτι οὖν τοῦτο θέλω μαθεῖν ἐξ ὑμῶν· μετὰ τὸ ἀνελθεῖν ὑμᾶς ἐκ τῆς Βαβυλῶνος, καὶ κτισθῆναι ἐκ δευτέρου τὸν ναὸν ὑμῶν ἐν Ἱεροσολύμοις, καὶ ὑμᾶς ἐν αὐτῷ τῷ Θεῷ προσκυνοῦντας οὐκέτι τοῖς εἰδώλοις ἐθύσατε· ποίαν ἁμαρτίαν ἐποιήσατε ἐνώπιον τοῦ Θεοῦ; ὅτι ἰδοὺ ὀκτακόσια καὶ πλείονα ἔτη ἐν πάσῃ τῇ γῇ διεσκόρπισεν ὑμᾶς ὁ Θεὸς, καὶ ἤγαγε Τίτον καὶ Οὐεσπασιανὸν ἀπὸ Ῥώμης, καὶ ἔσφαξαν ἐξ ὑμῶν κἂν ἑκατὸν μυριάδας ἐν Ἱεροσολύμοις, ὡς λέγει ὁ Ἰώσηπος ὁ ὑμῶν συγγραφεὺς μόνος ταῦτα ἐκθέμενος· καὶ ἐνεπύρισαν τὸν ναὸν ὑμῶν, καὶ ἠρήμωσαν τὸ θυσιαστήριον καὶ τὰ ἅγια, καὶ τὴν πόλιν πᾶσαν, καὶ τὴν Σιών, καὶ ᾐχμαλώτευσαν ὑμᾶς· καὶ ἐστὲ ἐν πάσῃ τῇ γῇ διεσπαρμένοι καὶ παρανομοῦντες ἕως τῆς σήμερον. Καὶ ἰδοὺ ὀκτακόσια καὶ πλείονα ἔτη, ὡς εἴπομεν, οὐ θυσιαστήριον, οὐ κιβωτὸν, οὐ τόπον τοῦ Πάσχα φυλάττοντες. Εἶπε γὰρ ὁ Θεὸς ὑμῖν· Μηδαμοῦ ποιήσετε τὸ Πάσχα, εἰ μὴ ἐν Ἱερουσαλήμ· μηδὲ εἰς Αἴγυπτον εἰσελθεῖν· ἰδοὺ οἱ πατέρες ὑμῶν ἁμαρτήσαντες ἀπέλαβον δεύτερον ἐν Βαβυλῶνι αἰχμαλωτευθέντες ἐκ δευτέρου καὶ δευτέρου τοῦ ναοῦ ἐρημωθέντος, καὶ διαλλαγῆναι αὐτοὺς τὸν Θεὸν καὶ οἰκοδομηθῆναι τὸν ναόν· ὑμεῖς δὲ ποίαν ἁμαρτίαν ἐποιήσατε, καὶ τοιαύτην μεγάλην, ὅτι οὐκέτι ἤγειρεν ὑμῖν τὸν ναὸν ὁ Θεὸς, οὐκέτι ἀνήγαγεν ὑμᾶς ἐκ τῶν ἐχθρῶν; ἆρα εἰδώλοις ἐθύσατε ὑμεῖς, ὡς οἱ πατέρες ὑμῶν, τοὺς υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας; ἆρα εἰκόνι προσεκυνήσατε ὡς ἐκεῖνοι; Οὐδαμῶς. Ἆρα εἰς τὸν ναὸν εἰδωλον ἐστήσατε, ὡς ὁ Μανασσῆς; ἆρα προφήτας ἀπεκτείνατε; Οὐδαμῶς. Τίνος ἕνεκεν ὑπὸ Θεοῦ οὕτως ἐγκατελείφθητε; Ἀληθῶς, κἂν ὑμεῖς μὴ εἴπητε, οἱ λίθοι κεκράξονται· ὅτι ἀφ' οὗπερ τὸν Χριστὸν ἐσταυρώσατε, ἐγκατελείφθητε· διὰ τοῦτο μέχρι καὶ νῦν καὶ εἰς τὸν αἰῶνα ἐγκατελείφθητε, διεσκορπίσθητε, ἐγυμνώθητε; ἀπερρίφητε τοῦ ναοῦ καὶ τῆς Σιών. Οἱ γὰρ πατέρες ὑμῶν οἱ μοσχοποιήσαντες, οἱ πολλὰ παρανομήσαντες, καὶ τῇ εἰκόνι τῇ χρυσῇ προσκυνήσαντες, καὶ τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας τῷ διαβόλῳ θύσαντες, ἑβδομήκοντα ἔτη καὶ ἑκατὸν ἐν Βαβυλῶνι Περσίδος παιδευθέντες, ἀνεκλήθησαν. Ὑμεῖς δὲ οἱ ἐν Χριστῷ ἁμαρτήσαντες, οὐχ ἑβδομήκοντα οὐδὲ ἑκατὸν ἔτη μόνα, ἀλλ' ἕως τῆς συντελείας τοῦ αἰῶνος ἐξεβλήθητε. Ἡμεῖς δὲ τὰ ἔθνη, υἱοὶ Χριστοῦ ἐκλήθημεν, καὶ αὐτῷ δουλεύομεν, καὶ αὐτῷ δοξάζομεν ἅμα τῷ Πατρὶ σὺν τῷ ἁγίῳ αὐτοῦ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Inquiramus ergo Scripturas, an de populo quocunque alio Deus tanta denuntiaverit. Siquidem Jerosolymis duo et quinquaginta annis sacrificavistis in Dei templo idolis sub Manasse rege vestro, profanantes urbem et templum Dei. Ob quam causam Babylone semel et iterum tradidit vos Deus Chaldæis in servitutem. Deinde rursus vos annos post septuaginta revocavit. Modo igitur istud volo a vobis discere. Post vestrum Babylone regressum, et templi vestri reædificationem Hierosolymis, vos in illo adorantes Deo, non idolis sacrificastis. Quale peccatum egistis coram Deo? Ecce enim octingentis et amplius annis in omnem terram dispersit vos Deus, et duxit Titum et Vespasianum Roma, et trucidaverunt ex vobis centum myriadas Hierosolymis, ut dicit Josephus vestræ gentis scriptor, qui solus ista exposuit. Vestrum templum incenderunt, et deleverunt altare et sancta, urbem quoque et Sion, et vos in servitutem redegerunt; et estis per totam terram dispersi et sine lege usque adhuc. Et ecce octingentis et amplius annis, ut diximus, neque altare, neque arcam, neque locum Paschæ conservatis; dixit enim Deus vobis: Minime facietis Pascha nisi in Hierusalem; neque in Ægyptum regressuri; ecce patres vestri, cum peccavissent, secundo captivi Babylonem ducti, secundo vastato templo, obtinuerunt secundo in gratiam Dei redire et templum ædificari; vos quale peccatum commisistis, et tantum quidem ut Deus vobis non restauraverit templum, neque vos ab hostibus reduxerit? idolis igitur sacrificastis vos, ut patres vestri, filios vestros et filias? imaginem, ut illi, adorastis? Minime. Ergo in templo idolum statuistis, ut Manasses? prophetas occidistis? Minime. Quam ob causam a Deo ita derelicti estis? Certe quamvis non dicatis, lapides clamabunt: quod ex quo Christum crucifixistis, derelicti fuistis. Ob id usque adhuc et in perpetuum derelicti, dispersi, nudati, ejecti e templo et Sion manebitis. Patres enim vestri vitulum fingentes, in multis legem violantes, auream imaginem adorantes, filios et filias suas diabolo immolantes, centum et septuaginta annis in Babylone Persidis edocti, revocati sunt; vos in Christum peccantes, non solum centum et septuaginta annis, sed usque ad consummationem sæculi abjecti eritis. Nos autem gentes filii Christi vocati sumus, et illi servimus, et illum glorificamus una cum Patre et sancto ejus Spiritu in sæcula sæculorum. Amen.

[96] Baruch IV, 7.

ΤΟΥ ΑΥΤΟΥ ΤΡΙΤΗ ΕΡΩΤΗΣΙΣ.

EJUSDEM TERTIA INTERROGATIO.

Dicite mihi: Messiam quem exspectatis vos Judæi, quis esse debet? Judæus legem Moysis sequens, an Christianus spernens et transgrediens legem et sacrificia abolens? scio enim vobis dicendum esse: Judæus est ex Judæis, filius David patris nostri, legem servans, sacrificia restaurans et nostrum genus. Dicite mihi: Quot anni sunt a prima Judæorum captivitate sub Nabuchodonosor Persa? dicere possunt: Mille anni et amplius; et ita quidem est. Et his dico: Videte, quod dixistis, Christum vestrum qui venit Judæum esse, et illum sacrificia Mosaica renovare et immolare, et nondum venisse, et a Nabuchodonosor quando erat Daniel Babylone, mille et amplius annos effluxisse; verum dixistis. Audi ergo attente; et si, ut dicis, Judæus est qui venit Christus, et sacrificia debet legalia instituere, et nondum venit, quomodo Daniel propheta dicit in suis visionibus, tanquam ab archangelo Gabriel ediscens: « Ad Christum ducem hebdomades annorum septuaginta abbreviatæ sunt super populum tuum et super urbem sanctam, ut compleatur peccatum [97]. » Et paulo post: « Ut signetur visio et prophetæ, et ungantur sancta sanctorum, et tollatur sacrificium et observatio legis [98]. » Ostendite ergo nunc nobis, qualis Christus venerit sanctus sanctorum unctus post septuaginta hebdomadas, id est, quadringentos et nonaginta annos a Daniel, qui sacrificium et legis observationem abrogaverit? Quando sublatum est sacrificium et legis observatio? Si igitur non mentimini dicentes nondum venisse Christum, sed venturum esse, ostendite nobis qualis Christus venit, post quadringentos et nonaginta annos a Daniel, sanctus sanctorum? Nullum autem alium habes ostendendum hæc facientem, nisi Jesum Christum Filium Dei. Et rursum si, vera loquentes, dicitis sacrificia instituti legalia debere ab illo qui venit Christo Deo nostro, Daniel contra mentitur dicens Christo veniente auferendum esse sacrificium et observationem. Si nos igitur erramus novum Christi testamentum possidentes, et vester Christus qui venit, vetus testamentum et legem Moysis renovat, ut dicitis, ubi demum quærimus testamentum illud de quo dixit Deus per Jeremiam prophetam: « Ecce dies veniunt, et statuam domui Israel testamentum novum, non secundum testamentum quod statui patribus eorum, quando eduxi eos e terra Ægypti [99]? »

Εἰπατέ μοι· τὸν ἐληλυθότα ὃν ἐκδέχεσθε ὑμεῖς οἱ Ἰουδαῖοι τί μέλλει εἶναι; Ἰουδαῖος ἆρα ἐξακολουθῶν τὸν νόμον Μωϋσέως, ἢ Χριστιανὸς καταφρονῶν καὶ παραβαίνων τὸν νόμον καὶ τὰς θυσίας καταλύων, Οἶδα γάρ, εἰπεῖν ἔχετε, ὅτι Ἰουδαῖός ἐστιν ἐξ Ἰουδαίων ὁ υἱὸς Δαβὶδ τοῦ πατρὸς ὑμῶν, φυλάττων τὸν νόμον, ἀνακαινίζων τὰς θυσίας καὶ τὸ γένος ὑμῶν· καὶ εἰπέ μοι, πόσοι χρόνοι εἰσὶν ἀπὸ τῆς πρώτης αἰχμαλωσίας τῶν Ἰουδαίων ἐπὶ Ναβουχοδονόσορ τοῦ Πέρσου; ἔχουσιν εἰπεῖν ὅτι χίλια ἔτη καὶ πλεῖον· καὶ οὕτως ἔχει· καὶ εἰπὲ αὐτοῖς· Βλέπετε τί εἴπατε, ὅτι ὁ ἐρχόμενος Χριστὸς ὑμῶν Ἰουδαῖός ἐστι, καὶ ὅτι τὰς θυσίας τὰς Μωσαϊκὰς ἀνακαινίζει καὶ θύει, καὶ ὅτι ἀκμὴν οὐκ ἦλθε, καὶ ὅτι Ναβουχοδονόσορ ὅτε ἦν Δανιὴλ ἐν Βαβυλῶνι, χίλια ἔτη εἰσὶ ἢ πλεῖον· καὶ ἀληθειαν εἴπατε. Ἄκουσον οὖν ἄρτι νουνεχῶς· καὶ ἐὰν, ὡς λέγεις, Ἰουδαῖός ἐστιν ὁ ἐρχόμενος Χριστὸς, καὶ θυσίας μέλλει νομικὰς ποιῆσαι, καὶ ὅτι ἀκμὴν οὐκ ἦλθε, πῶς Δανιὴλ ὁ προφήτης λέγει ἐν ταῖς αὐτοῦ ὁράσεσιν, ὡς ὁ ἀρχάγγελος Γαβριὴλ συνετίζων οὕτως· « Ἕως Χριστοῦ ἡγεμόνος ἑβδομάδες ἑπτὰ ἑβδομήκοντα συνετμήθη ἐπὶ τοῦ λαοῦ σου καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τοῦ συντελεσθῆναι ἁμαρτίαν. » Καὶ μετ' ὀλίγα· « Καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτας, καὶ τοῦ χρίσαι ἅγια ἁγίων, τοῦ καταργῆσαι τὴν θυσίαν καὶ τὴν σπουδὴν τὴν νομικήν. » Δείξατε οὖν ἡμῖν ἄρτι, ποῖος Χριστὸς ἦλθε χρισθεὶς ἅγιος ἁγίων μετὰ τὰς ἑβδομήκοντα ἑβδομάδας, τουτέστι μετὰ τετρακόσια ἐνενήκοντα ἔτη ἀπὸ Δανιὴλ, καταργήσας τὴν θυσίαν καὶ τὴν νομικήν; καὶ πότε ἦρθη ἡ σπουδὴ καὶ ἡ θυσία τοῦ νόμου; Εἰ οὖν οὐ ψεύδεσθε λέγοντες, ὅτι οὔπω ἦλθεν ὁ Χριστὸς, ἀλλὰ μέλλει, δείξατε ἡμῖν ποῖος Χριστὸς ἦλθε μετὰ τετρακόσια ἐνενήκοντα ἔτη τοῦ Δανιὴλ ἅγιος ἁγίων; Ἀλλ' οὐκ ἔχεις ἄλλον τινὰ δεῖξαι τοῦτο ποιήσαντα, εἰ μὴ Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ. Καὶ πάλιν, εἰ ἀληθεύοντες λέγετε ὅτι θυσίας μέλλει ποιεῖν νομικὰς ὁ ἐρχόμενος Χριστὸς ὁ Θεὸς ἡμῶν, λοιπὸν Δανιὴλ ψεύδεται λέγων, ὅτι « Χριστοῦ ἐρχομένου ἀρθήσεται θυσία καὶ σπουδή. » Καὶ εἰ ἄρα ἡμεῖς παρανομοῦμεν τὴν νέαν διαθήκην τοῦ Χριστοῦ κατέχοντες, καὶ ὁ ἐρχόμενος Χριστὸς ὑμῶν τὴν παλαιὰν καὶ τὸν νόμον Μωϋσέως ἀνακαινίζει, ὡς λέγετε· ποῦ λοιπὸν ζητοῦμεν τὴν διαθήκην ἐκείνην τὴν περὶ ἧς εἶπεν ὁ Θεὸς δι' Ἱερεμίου τοῦ προφήτου· « Ἰδοὺ ἡμέραι ἔρχονται, καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ διαθήκην καινὴν, οὐ

[97] Dan. IX, 24. [98] Ibid. [99] Jerem. XXX, 31, 32.

κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἡνίκα ἐξήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου ; » μετὰ γὰρ τὸ δοθῆναι αὐτοῖς τὸν νόμον, εἶπεν ὁ Θεὸς διὰ Ἡσαΐου καὶ Μιχαίου τῶν προφητῶν · « Ὅτι ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἰερουσαλήμ · » ὥστε τοῦ Χριστοῦ ἐλθόντος αὐτὸς τὸν νέον νόμον ἦγαγε καὶ τὸν παλαιὸν ἐπλήρωσεν.

Ὁ Ἰουδαῖος · Εἰς ἄνθρωπον πεφουρκισμένον καὶ κατάδικον ἐλπίζετε, οἱ Χριστιανοί. — Ὁ Χριστιανός · Τί ἐστι τιμιώτερον παρὰ τῷ Θεῷ, ἄνθρωπος ἢ ὄφις χαλκοῦς ὃν ὑμεῖς προσκυνεῖτε κρεμάμενον ; Ἤλθην ἄκουσον μετὰ συνέσεως · ἀλλ' ὅμως εἰπατέ μοι, ἐσταύρωσαν οἱ πατέρες ὑμῶν τινα λεγόμενον Ἰησοῦν Χριστόν ; ναὶ ἢ οὔ ; καὶ διὰ ποίαν αἰτίαν ἐσταυρώσατε αὐτόν ; Διότι παράνομος ἦν, καὶ κατέλυε τὸν νόμον καὶ τὸ Σάββατον. Καὶ διὰ ποῖον ἐκήρυξαν οἱ προφῆται ἐλθεῖν ἐπ' ἐσχάτων τῶν ἡμερῶν, τοῦ πραθῆναι, καὶ τὸ πόσου ἔχει πραθῆναι, καὶ ὅτι ἔχει ἐχθῆναι εἰς θάνατον καὶ τῷ ξύλῳ ἥλοις χεῖρας καὶ πόδας προσηλωθήσεται, καὶ ὄξους καὶ χολῆς γεύσεται, καὶ ὅτι λόγχῃ κεντηθήσεται, καὶ ὁ οὐρανὸς σκοτισθήσεται ; Καὶ ἀδύνατον ἦν μὴ πληρωθῆναι τοὺς λόγους τῶν προφητῶν · τί λέγει ταῦτα πάντα ; Εἰς τὸν Χριστὸν ἡμῶν ἐγένοντο, ἢ εἰς τὸν εἰλημμένον ὑμῶν μέλλουσι γίνεσθαι ; Καὶ εἰ μὲν εἰς τὸν εἰλημμένον ὑμῶν μέλλουσι γίνεσθαι, ἰδοὺ καὶ ὑμεῖς εἰς ἄνθρωπον κατάδικον ἐλπίζετε · εἰ δὲ εἰς τὸν Χριστὸν ἡμῶν πάντα ἐπληρώθησαν, συγχαταθέντες εἴπατε τὴν ἀλήθειαν · εἰ δὲ οὔτε εἰς τὸν ἡμέτερον Χριστὸν, οὔτε εἰς τὸν εἰλημμένον ὑμῶν, πάντως οἱ προφῆται ψεύδονται · εἰ δὲ στενούμενοι ὄχοντες ὁμολογεῖτε ὅτι τὸν Χριστὸν ἡμῶν κακῷ θανάτῳ οἱ πατέρες ὑμῶν ἐφόνευσαν ὡς κακοῦργον καὶ νόμον καταλύοντα, ἐνέγκωμεν τοὺς προφήτας, καὶ ἴδωμεν ἐὰν κακοῦργον λέγωσι τὸν ὑφ' ὑμῶν σταυρωθέντα.

Εἴπατε δέ μοι, τίς ἐστιν ἐπὶ γῆς ἀναμάρτητος ; καὶ, ὡς ἡ Γραφὴ λέγει, οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδ' ἂν μίαν ἡμέραν ἡ ζωὴ αὐτοῦ, καὶ δῆλον ὅτι οὐδεὶς εἰ μόνος ὁ Θεός. Καὶ ἀκούσωμεν τί περὶ τοῦ παθόντος Χριστοῦ ἡμῶν ὁ Ἡσαΐας λέγει · « Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος · ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον · καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου · ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. » Ἆρα οὐκ αἰσχύνεσθε λοιπόν ; ἰδοὺ προφανῶς ἠσχημονήσατε · εἴπατε γὰρ ὅτι διὰ τὸ παρανομεῖν ἐσταυρώσατε αὐτὸν, ὁ δὲ προφήτης λέγει ὅτι ἁμαρτίαν οὐκ ἐποίησε. Καὶ ἐπεὶ οὐδεὶς ἀναμάρτητος εἰ μὴ μόνος ὁ Θεὸς, δῆλον ὅτι καὶ Θεός ἐστιν ἀληθινὸς ὁ σταυρωθεὶς ὑφ' ὑμῶν · ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Ἴδωμεν δὲ τί καὶ οἱ λοιποὶ προφῆται περὶ τοῦ παθόντος Χριστοῦ ἡμῶν λέγουσιν · ἐὰν ὡς κακοῦργον, ἢ ἐὰν ὡς Κύριον αὐτὸν ὁμολογοῦσι · τάχα γὰρ τὸ πλῆθος τῶν προφητῶν ἐντρέπεσθε, καὶ φιμοῦσθε λοιπὸν τοῦ λέγειν κατὰ Χριστοῦ καὶ Χρι-

A Etenim postquam illis legem dedisset, dixit Deus per Isaiam et Michæam prophetas : « Ex Sion exibit lex, et verbum Domini ex Jerusalem [1]. » Ita Christus cum venit, novam legem adduxit et veterem implevit.

Judæus. In hominem crucifixum et damnatum speratis, Christiani. — *Christianus.* Quis est excellentior apud Deum, homo an serpens æreus quem vos adoratis suspensum ? attamen audi cum attentione. Sed dicite mihi : crucifixerunt patres vestri quemdam appellatum Jesum Christum ? ita an non ? Et qualem ob causam crucifixerunt ? Eo quod legum violator erat, et legem et Sabbata abolebat. Et de B quo prædixerunt prophetæ venturum esse illum extremis diebus vendendum, et quanti vendendum, ad mortem etiam ducendum, et in ligno manus et pedes ejus clavis transfigendos esse, et acetum et fel gustaturum, et lancea perforandum, cœlumque obscurandum esse ? neque possibile esset non impleri verba prophetarum. Quid hæc omnia significant ? in nostro Christo facta sunt, num in vestro Messia fieri debent ? et si in vestro Messia fieri debeant, ecce et vos in hominem damnatum speratis. Si vero in nostro Christo omnia impleta sunt, submittentes vos veritatem fatemini ; sin autem neque in nostro Christo, neque in vestro Messia, prophetæ omnes mentiuntur ; quod si arctati invite C fatemini nostrum Christum acerba morte a vestris patribus cæsum esse ut malefactorem et legis violatorem, afferamus prophetas, et videamus an malefactorem dixerint quem vos crucifixistis.

Dicite autem mihi, quis est in terra sine peccato ? et, ut dicit Scriptura, nemo purus absque macula, tametsi unius diei vita ejus sit, nemo certe nisi solus Deus [2]. Audiamus nunc quid de nostro Christo patiente Isaias dicat : « Tanquam ovis ad occisionem ductus est, et tanquam agnus coram tondente se obmutescens ; propter peccata populi mei ductus est ad mortem ; et dabo impios pro sepultura ejus, et divites pro morte ejus ; eo quod iniquitatem non D fecerit, neque inventus sit dolus in ore ejus [3]. » Ergo nonne tandem vos, pudet ? en manifeste personam male agitis. Dicite enim vos ut legis violatorem crucifixisse quem propheta dicit iniquitatem non fecisse. Et cum nemo sine peccato est præter solum Deum, evidens est Deum verum esse quem vos crucifixistis ; iniquitatem enim non fecit, neque inventus est dolus in ore ejus. Videamus autem quid præterea prophetæ de Christo nostro passo dicant ; utrum tanquam malefactorem, an tanquam Dominum indicant illum ? brevi enim multitudine prophetarum movebimini, et tandem vos pudebit contra Christum et Christianos

[1] Isa. II, 3. [2] Job XIV, 4. [3] Isa. LIII, 6, 7.

loqui. Ecce enim qualiter de Christi venditione, at triginta argenteorum ejus æstimatione Zacharias et Jeremias prophetæ loquuntur : « Et acceperunt triginta argentea pretium appretiati quem appretiaverunt filii Israel, et dederunt ea in agrum figuli in sepulturam peregrinorum [5]. » Quod autem falsum testimonium dederunt de illo Judæi in passionis tempore, psalmus dicit : « Insurgentes in me testes iniqui, quæ ignorabant interrogabant me; retribuerunt mihi mala pro bonis [6]. »

A στιανῶν· Ἰδοὺ γὰρ ὡσαύτως περὶ τῆς πράσεως τοῦ Χριστοῦ καὶ τῶν τριάκοντα ἀργυρίων τῆς τιμῆς αὐτοῦ Ζαχαρίας καὶ Ἱερεμίας οἱ προφῆται λέγουσι· « Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραὴλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις. » Ὅτι δὲ καὶ ψευδομαρτυρίαν δεδώκασι κατ' αὐτοῦ οἱ Ἰουδαῖοι ἐν τῷ καιρῷ τοῦ πάθους, ὁ ψαλμὸς λέγει· « Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με· ἀνταπέδωσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν. »

Et quod ultro hæc voluit pati, non invite, propheta dicit : « Tergum meum dedi in flagella, et maxillas meas in alapas; facies autem mea non aversa est ad opprobria sputorum, et sputis immundis conspuerunt me [7]. » De spineæ coronæ B impositione Jeremias dicit : « Spinis iniquitatum suarum coronaverunt me. » Et quod principium nostræ salutis, id est, crucem propriis humeris portavit qui in illa elevatus est, Isaias dicit : « Parvulus natus est nobis, filius datus est nobis, cujus principatus in humeris ejus [8], » id est, crux. Quod Deus et rex ante sæcula erat Christus, et in medio terræ crucifigi debebat ad salutem hujus mundi, David dicit : « Deus rex noster ante sæcula operatus est salutem in medio terræ [9]. » Et quod transfixerunt manus ejus et pedes, similiter Zacharias dicit : « Plagæ eorum in medio manuum mearum, et dicet : His plagatus sum in domo dilecti mei [10]. » Vide quomodo vel post hos cruciatus dilectos vos vocet, et non convertimini C ad illum! vere ingrati estis. De lancea qua mortui perforatum est sanctum ejus latus, e quo manavit sanguis et aqua, propheta Zacharias dixit : « Aspicient in me quem transfixerunt [11], » et Moyses clare idem significavit per arduam petram, e qua, virga illo percutiente, manavit aqua in vitam temporalem populi tunc exsistentis; sic immaculatum corpus Christi et Dei mortuum sancto suo latere fudit statim sanguinem et aquam ad salutem credentium in vitam æternam in ipso, et non temporalem.

Καὶ ὅτι ἑκουσίως ταῦτα ἠνέσχετο παθεῖν καὶ οὐκ ἀκουσίως, ὁ προφήτης λέγει· « Τὸν νῶτον μου ἔδωκα εἰς μάστιγας, καὶ τὰς σιαγόνας μου εἰς ῥαπίσματα· τὸ δὲ πρόσωπόν μου οὐκ ἀπεστράφη ἀπὸ αἰσχύνης ἐμπτυσμάτων, καὶ ἐμπτύσμασι μιαροῖς αὐτῶν ἐνέπτυσάν με. » Περὶ δὲ τοῦ ἐξ ἀκανθῶν στέφανον φορέσαι, ὁ Ἱερεμίας λέγει· « Ταῖς ἀκάνθαις τῶν ἀνομιῶν αὐτῶν ἔστεψάν με. » Καὶ ὅτι τὴν ἀρχὴν τῆς σωτηρίας ἡμῶν, τουτέστι τὸν σταυρὸν, ἐν τοῖς ἰδίοις ὤμοις ἐβάσταζεν ὁ ὑψωθεὶς ἐν αὐτῷ, Ἡσαΐας λέγει, ὅτι « Παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ », τουτέστιν ὁ σταυρός. Ὅτι Θεὸς καὶ βασιλεὺς πρὸ αἰώνων ἦν ὁ Χριστὸς, καὶ ἐν μέσῳ γῆς σταυροῦσθαι αὐτὸν ἔμελλε πρὸς σωτηρίαν αὐτοῦ κόσμου, ὁ Δαβὶδ λέγει· « Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν προαιώνιος εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. » Καὶ ὅτι προσήλωσαν αὐτοῦ χεῖρας καὶ πόδας, ὁμοῦ Ζαχαρίας λέγει, ὅτι « Αἱ πληγαὶ αὐτῶν ἀνὰ μέσον τῶν χειρῶν μου· καὶ ἐρεῖ, ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τοῦ ἀγαπητοῦ μου. » Ἴδε πῶς καὶ μετὰ τὰ παθήματα ταῦτα ἀγαπητοὺς ὑμᾶς καλεῖ, καὶ οὐκ ἐπιστρέφετε πρὸς αὐτόν! ὄντως ἀχάριστοι ὑμεῖς. Περὶ δὲ τοῦ θανόντα αὐτὸν λόγχῃ κεντηθῆναι τὴν ἁγίαν αὐτοῦ πλευρὰν καὶ βλύσαι ἐξ αὐτῆς αἷμα καὶ ὕδωρ, ὁ προφήτης Ζαχαρίας εἶπεν· « Ἐπιβλέψονται πρός με εἰς ὃν ἐξεκέντησαν. » Καὶ ὁ Μωϋσῆς σαφῶς ταύτην προεικονίζει διὰ τῆς ἀκροτόμου πέτρας, ἧς διὰ τῆς ῥάβδου αὐτοῦ πλήξας, ἔβλυσεν ὕδωρ πρὸς σωτηρίαν τοῦ λαοῦ· ἡ δὲ πέτρα ἦν εἰκονικῶς ὁ Χριστός· ὡς γὰρ ἡ ἀκρότομος πέτρα ἄψυχος, οὖσα καὶ ἀναίσθητος κρουσθεῖσα ὑπὸ τῆς ῥάβδου Μωϋσέως εὐθὺς ἔβλυσεν ὕδωρ εἰς ζωὴν πρόσκαιρον τῷ τότε λαῷ, οὕτω καὶ τὸ ἄχραντον σῶμα Χριστοῦ τοῦ Θεοῦ νεκρωθὲν τῇ ἁγίᾳ αὐτοῦ πλευρᾷ εὐθὺς ἔβλυσεν αἷμα καὶ ὕδωρ πρὸς σωτηρίαν τῶν πιστευόντων εἰς ζωὴν αἰώνιον εἰς αὐτὸν καὶ οὐ πρόσκαιρον.

Rursusque idem propheta Moyses dicit de Christi D crucifixione et vestra incredulitate : « Vitam vestram videbitis pendentem, et non credetis [12]. » Ecce hic vitam æternam vocat in ligno pendentem. Ne dicas illum de serpente æneo hoc locutum esse; nam in serpentem crediderunt, in vitam autem, quæ est Christus, dixit vos non credituros. Etenim nostram maledictionem in quam per prævaricationem et inobedientiam incideramus, hic sustulit, ut scriptum est : « Maledictus qui pendet in ligno [13]; » et maledictum propter nos factus est

Καὶ πάλιν ὁ αὐτὸς προφήτης Μωϋσῆς λέγει περὶ τὴν τοῦ Χριστοῦ σταύρωσιν καὶ τὴν ὑμῶν ἀπιστίαν, ὅτι « Ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην, καὶ οὐ μὴ πιστεύσετε· » Ἰδοὺ καὶ οὗτος ζωὴν αἰώνιον ὀνομάζει τὸν ἐπὶ ξύλου κρεμασθέντα. Καὶ μὴ εἴπῃς ὅτι περὶ τοῦ ὄφεως τοῦ χαλκοῦ εἶπε τοῦτο· εἰς τὸν ὄφιν γὰρ ἐπίστευσαν, εἰς δὲ τὴν ζωὴν, τουτέστι τὸν Χριστὸν, εἶπεν ὅτι οὐ μὴ πιστεύσετε· καὶ γὰρ τὴν ἡμετέραν ἀρὰν ἦν διὰ τῆς παραβάσεως καὶ παρακοῆς ἐπεσπασάμεθα, αὐτὸς ἀνέλαβε, καθὼς γέγραπται, ἐπικατάρατος ὁ κρεμάμενος ἐπὶ ξύλου· καὶ κατάρα ὑπὲρ

[5] Zachar. XI, 12, 13. [6] Psal. XXXIV, 12. [7] Isa. L, 6. [8] Isa. IX, 6. [9] Psal. LXXIII, 12. [10] Zachar. XIII, 6. [11] Zachar. XII, 10. [12] Deut. XXVIII, 66. [13] Deut. XXI, 22; Galat. III, 13.

ἡμῶν γέγονεν ὁ ἀναμάρτητος, ἵνα κατάρας ἡμᾶς ἐλευθερώσῃ, καὶ ζωὴν αἰώνιον χαρίσηται τοῖς πιστεύουσιν εἰς αὐτόν. Ὥσπερ γὰρ ὑμεῖς οἱ Ἰουδαῖοι ἐπιστεύσατε τῷ ὄφει τῷ χαλκῷ κρεμαμένῳ ἐπὶ ξύλου, ἐπικατηραμένου ὄντος ἀπὸ παντὸς θηρίου οὗτινος εἰκὼν παρεῖχε τοῖς προγόνοις ὑμῶν· ὡς γὰρ ὁ ὄφις ὁ μὴ δάκνων ὑπὲρ τῶν δακνόντων ὄφεων ζωὴν ἔφερεν, οὕτω καὶ ὁ Χριστὸς ἀναμάρτητος ὢν ὑπὲρ ἁμαρτωλῶν κρεμασθεὶς, ζωὴν τῷ κόσμῳ ἐχαρίσατο. Καὶ περὶ τοῦ σκοτάσαι τὴν ἡμέραν ἐκείνην σταυρουμένου Χριστοῦ, καὶ φωνὴν αὐτοῦ ἀφιέντος ὅταν ἐξέπνευσεν, καὶ σεισθῆναι τὸν οὐρανὸν καὶ πᾶσαν τὴν γῆν διὰ τὴν τόλμαν ταύτην τῶν Ἰουδαίων, ὁ προφήτης Ὡσηὲ λέγει· « Ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσι, καὶ οἱ ἀστέρες οὐ δώσουσι τὸ φέγγος αὐτῶν· ὁ δὲ Κύριος ἐκ Σιὼν ἀνακράξεται, καὶ σεισθήσεται ὁ οὐρανὸς καὶ ἡ γῆ. »

Καὶ ὁ Δαβὶδ λέγει· « Ἔδωκε φωνὴν αὐτοῦ ὁ Ὕψιστος, ἐσαλεύθη ἡ γῆ. » Ἰδοὺ καὶ αὐτοὶ Κύριον ὕψιστον τὸν ἐσταυρωμένον ὀνομάζουσι. Καὶ Ζαχαρίας ὁ προφήτης λέγει· « Καὶ ἥξει Κύριος ὁ Θεὸς, καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ· καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐκ ἔσται φῶς, καὶ οὐχ ἡμέρα, οὐχὶ νὺξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς, καὶ ἡμέρα ἐκείνη γνωστὴ τῷ Κυρίῳ. » Ἀπὸ γὰρ ὥρας ἕκτης ἕως ὥρας ἐννάτης σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν. Ἰδοὺ καὶ Ζαχαρίας Κύριον καὶ Θεὸν τὸν σταυρωθέντα ὠνόμασε. Καὶ ἐὰν μὲν εἴπητε ὅτι ταῦτα περὶ τοῦ εἰλημμένου ὑμῶν λέγουσιν· Ἰδοὺ λοιπὸν καὶ ὑμεῖς εἰς ἄνθρωπον μέλλοντα σταυρωθῆναι ὡς κατάδικον ἐλπίζετε· ἀλλ' οὐκ ἔστιν ἄλλος ὁ προφητευθεὶς, εἰ μὴ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ ἐκ τῶν οὐρανῶν κατελθὼν, καὶ σαρκωθεὶς ἐκ Πνεύματος ἁγίου ἐκ τῆς ἀειπαρθένου Μαρίας, καὶ ταῦτα παθὼν διὰ τὴν τοῦ κόσμου σωτηρίαν, καθάπερ προηγγείλαντο περὶ αὐτοῦ οἱ προφῆται, ὡς διαλεχθέντες τὰς περὶ Χριστοῦ μαρτυρίας τε καὶ προφητείας αὐτῶν παρηγάγομεν. Καὶ περὶ τοῦ ἀναληφθῆναι αὐτὸν ἐν τοῖς οὐρανοῖς καὶ καθίσαι ἐκ δεξιῶν τοῦ Θεοῦ, καὶ πρὸς Ζαχαρίαν εἶπεν· « Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ στήσονται οἱ πόδες Κυρίου εἰς τὸ ὄρος τῶν ἐλαιῶν τὸ κατέναντι Ἱερουσαλὴμ κατὰ ἀνατολάς. » Καὶ Ψαλμῳδὸς λέγει· « Ἐπέβη ἐπὶ Χερουβὶμ, καὶ ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων· καὶ ἀνέβη Θεὸς ἐν ἀλαλαγμῷ· » καί· « Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, » καὶ τὰ ἑξῆς. Τὸ δὲ ἀνέβη τί ἐστιν, εἰ μὴ ὅτι κατέβη πρότερον;

Ὅμως σὺν πᾶσι τοῖς ῥηθεῖσιν, οὐ προφήτας, ἀλλὰ καὶ μάρτυρας ὑμῖν ἄλλως προβαλλόμεθα, οἵτινες παρηκολούθησαν τὴν τοῦ Χριστοῦ ἔνσαρκον παρουσίαν. Καὶ γὰρ καὶ ἡμεῖς ἅπερ μέλλομεν λέγειν, ἐν ὑπομνήμασιν ἔχετε· οἱ γὰρ πατέρες ὑμῶν οἱ τότε λίαν ἡττηθέντες, καὶ τὴν ἧτταν εἰς νίκην ἀνίκητον ἀνακαλούμενοι, ἐκέλευσαν μηδένα τῶν Ἰουδαίων κατέχειν αὐτὰ ἐγγράφως τὰ παρὰ τοῦ Χριστοῦ πραχτέα, ἢ ὅλως ζητεῖν ἢ ἀναγινώσκειν, ἵνα μὴ ἡ φιλοπονία τοῖς πολλοῖς γνῶσιν παράσχῃ· ἀλλ' εἰδόσιν

qui sine peccato erat, ut maledicta nostra solveret, et vitam æternam largiretur credentibus in eum. Ut enim, vos Judæi, credidistis serpenti æneo pendenti in ligno, qui maledictus præ omnibus cæteris bestiis signum præbebat vestris patribus, utpote non mordens hic serpens præ mordentibus serpentibus vitam afferebat, ita et Christus, cum sine peccato esset, pro peccatoribus suspensus, vitam mundo largitus est. Et de tenebris diei istius in quo crucifixus est Christus, et de voce quam emisit dum exspiraret, et de tremore cœli et terræ totius propter hanc Judæorum audaciam, propheta Osee dicit: « Sol et luna obscurabuntur, et stellæ non dabunt lumen suum; Dominus autem ex Sion clamabit, et movebitur cœlum et terra [13]. »

David quoque dicit: « Dedit vocem suam Altissimus, commota est terra [14]; » et ipsi Dominum altissimum hunc crucifixum vocant. Et Zacharias propheta dicit: « Veniet Dominus Deus, et omnes sancti cum eo; et in die illa non erit lumen, et non erit dies neque nox, et ad vesperam erit lumen, et dies illa nota Domino [15]. » Ab hora enim sexta ad horam nonam tenebræ factæ sunt in universam terram. Zachariàs Dominum et Deum crucifixum appellavit. Quod si dicitis hæc de vestro Messia dici, ecce demum et vos in hominem crucifigendum ut malefactorem speratis. Sed non est alius qui prædictus est a prophetis, nisi Dominus noster Jesus Christus Filius Dei, qui descendit de cœlis, et incarnatus est de Spiritu sancto ex Maria Virgine, et hæc passus est propter mundi salutem, ut prænuntiaverant de illo prophetæ, uti disserentes testimonia de Christo et prophetias produximus. Et de illius in cœlos ascensione et sessione ad dexteram Dei, a Zacharia dicitur: « In illa die stabunt pedes Domini in montem Olivarum adversus Jerusalem ad Orientem [16]. » Et Psalmista dicit: « Ascendit super Cherubim et volavit super pennas ventorum; et ascendit Deus in voce tubæ [17]. » Et: « Dixit Dominus Domino meo: Sede a dextris meis [18], » et quod sequitur. Quod autem ascendit quid est, nisi quod descendit prius?

Verum ad hæc quæ diximus, non prophetas, sed alios vobis testes proferimus, qui secuti sunt Christi adventum in carne. Etenim quæ nos dicere debemus, in commentariis habetis; patres enim vestri tunc omnino prostrati, sed cladem in victoriam invictam mutare cupientes, jusserunt Judæorum neminem conscripta habere a Christo gesta, aut omnino quærere vel legere, ne diligentia multis notitiam afferret. Verum scientibus vobis hæc dicimus, quamvis occultare veritatem de more eo-

[13] Joel II, 10. [14] Psal. XCVI, 4. [15] Zachar. XIV, 5. [16] ibid. 4. [17] II Reg. XXII, 11. [18] Psal. CIX, 1.

gamini. Nonne e Perside in Palæstinam devenisse Magos audivistis divino stellæ oraculo ductos, qui Christum adorantes dona protulerunt? cum quibus vestri sacerdotum principes ab Herode tunc rege interrogati : Dicite, ubi Christus nascitur? responderunt : In Bethleem civitate Judææ, ut prophetæ dicunt; ita ut Herodes, invidia nascentis regis, tantum puerorum occisionem jusserit. Joannes Baptista nonne ex Judæis oritur? ad quem tunc miserunt vestri patres interrogantes utrum esset Christus, et dixit : « Non sum ego; » sed ostendens illis Christum dixit : « Hic est agnus Dei qui tollit peccatum mundi [19]. »

A ὑμῖν ταῦτα λέγομεν, κἂν κρύβειν τὴν ἀλήθειαν ὑπὸ τῆς συνηθείας ἀναγκάζεσθε· τοὺς ἀπὸ τῆς Περσίδος ἐπὶ τὴν Παλαιστίνην περάσαντας Μάγους οὐκ ἠκούσατε ἐκ θείας χρησμῳδίας μετὰ ἀστέρος ἀγομένους, οἳ τῷ Χριστῷ προσκυνήσαντες δῶρα προσήγαγον; μεθ' ὧν οἱ τότε ὑμῶν ἀρχιερεῖς τῷ τότε βασιλεῖ Ἡρῴδῃ συντυχόντες, εἶπε· Ποῦ ὁ Χριστὸς γεννᾶται· καὶ εἶπον αὐτῷ· Ἐν Βηθλεὲμ τῇ πόλει τῆς Ἰουδαίας, καθὼς οἱ προφῆται λέγουσιν· ὡς καὶ ζηλώσαντα τὸν Ἡρῴδην τὴν ἀναφυεῖσαν βασιλείαν, τὴν τοσαύτην παιδοσφαγίαν ποιήσασθαι. Ἰωάννης ὁ Βαπτιστὴς οὐκ ἐξ Ἰουδαίων κατάγεται; πρὸς ὃν ἀπέσταλκαν τότε οἱ πατέρες ὑμῶν ἐρωτῶντες εἰ αὐτὸς ὁ Χριστὸς, καὶ εἶπεν· « Οὐκ εἰμὶ ἐγώ· » ἀλλὰ δείξας αὐτοῖς τὸν Χριστὸν εἶπεν· « Οὗτός ἐστιν ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. »

Præterea Nicodemus princeps vester, et Nathanael, et Joseph ab Arimathæa, et Bizes et Alexander, qui cum ipso comederunt in nuptiis Simonis Galilæi, cum aquam in vinum mutavit; seniores qui ut legati a centurione missi sunt propter ejus filium deprecaturi pro istius salute; Dignus est enim, dicebant, qui hoc præstabit, nam amat gentem, et synagogam ipse ædificavit nobis; item regius iste proconsul frater Jairi archisynagogi, cujus filium sanum fecit, istius quoque Jairus frater deprecatus illum, qui filiam suscitavit e mortuis; Caiphas tunc vester summus Pontifex qui consulebat unum hominem mori, ne universa gens periret; pueri vestri clamantes : « Hosanna Filio David, benedictus, qui venit in nomine Domini, rex Israel [20]; » Judas discipulus cui statuta sunt triginta argentea ut illum vobis traderet; milites quibus dedistis nummos, ut dicerent venisse discipulos illius nocte et tulisse illum, nobis dormientibus; Josephus scriptor vester, qui de Christo dixit, virum justum et bonum divina gratia declaratum esse, signis et miraculis in multos benefacientem. Cujus, secundum prophetam, diviserunt vestimenta et sortem miserunt? cujus manus et pedes foderunt? Quem aceto et felle potaverunt in siti illius de cruce pendentis?

B Λοιπὸν Νικόδημος ὁ ἄρχων ὑμῶν, καὶ Ναθαναὴλ καὶ Ἰωσὴφ ὁ ἀπ' Ἀριμαθίας, καὶ Βιζῆς καὶ ὁ Ἀλέξανδρος, οἳ καὶ συνέφαγον αὐτῷ ἐν τῷ γάμῳ Σίμωνος τοῦ Γαλιλαίου, ἐν ᾧ καὶ τὸ ὕδωρ εἰς οἶνον μετέβαλεν. Οἱ πρεσβύτεροι οἱ ἐπὶ πρεσβείαν διὰ τὸν παῖδα τοῦ ἑκατοντάρχου ὑπ' αὐτοῦ σταλέντες σκυλλῆναι αὐτὸν διὰ τὴν σωτηρίαν αὐτοῦ, Ἄξιος γάρ ἐστι, φησὶν, ὁ παρέξει τοῦτο, ἀγαπᾷ γὰρ τὸ ἔθνος καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ὑμῖν. Ὁ βασιλικὸς ὁ ἀνθύπατος ὁ ἀδελφὸς Ἰαείρου τοῦ ἀρχισυναγώγου οὗ τὸν υἱὸν ὑγιῆ ἐποίησε, ὁ τούτου ἀδελφὸς Ἰάειρος παρακαλέσας αὐτὸν καὶ τὴν θυγατέρα ἤγειρεν ἐκ νεκρῶν· Καϊάφας ὁ τότε ἀρχιερεὺς ὑμῶν ὁ συμβουλεύσας ἕνα ἄνθρωπον ἀποθανεῖν καὶ μὴ ὅλον τὸ ἔθνος ἀπολέσθαι. Οἱ παῖδες ὑμῶν οἱ τότε βοήσαντες, C « Ὡσαννὰ τῷ υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου βασιλεὺς τοῦ Ἰσραήλ. » Ὁ μαθητὴς Ἰούδας ὃς ἐστήσατο τριάκοντα ἀργύρια ἵνα αὐτὸν παραδώσει ὑμῖν. Οἱ στρατιῶται οἷς ἐδώκατε τὰ ἀργύρια ὥστε εἰπεῖν ὅτι Οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων. Ἰώσηπος ὁ συγγραφεὺς ὑμῶν ὃς εἶρηκε περὶ Χριστοῦ λέγων, ἀνδρὸς δικαίου καὶ ἀγαθοῦ ἐκ θείας χάριτος ἀναδειχθέντος, σημείοις καὶ τέρασιν εὐεργετοῦντος πολλούς. Τίνος κατὰ τὸν προφήτην διεμερίσαντο τὰ ἱμάτια καὶ ἔβαλον κλῆρον; τίνος χεῖρας καὶ πόδας ὤρυξαν; τίνα ὄξος καὶ χολὴν ἐπότισαν εἰς τὴν δίψαν αὐτοῦ ἐπὶ σταυροῦ κρεμαμένου;

De quo dixit Moyses : « Videbitis vitam vestram ante vestros oculos pendentem, et non credetis? » Nam si crederetis Moysi, crederetis etiam Christo. Verum, sicut non voluerunt illi obedientes fieri patres vestri, sed repulerunt et conversi sunt corde suo in Ægyptum, dicentes Aaron : Fac nobis deos qui præcedant nos; Moysi enim isti qui eduxit nos e terra Ægypti, nescimus quid acciderit; et fecerunt vitulum in diebus illis et adduxerunt sacrificia idolo, et lætati sunt in operibus manuum suarum. Illos autem vertit Deus et tradidit illos ut servirent militiæ cœli [21]; ut scriptum est in libro Prophetarum : « Non immolationes et sacrificia obtulistis mihi annis quadraginta in deserto,

Περὶ τίνος δὲ εἶπε Μωϋσῆς ὅτι « Ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν, D καὶ οὐ μὴ πιστεύσετε; » ὥστε εἰ ἀπιστεύετε Μωϋσῇ, ἐπιστεύετε ἂν καὶ τῷ Χριστῷ· ἀλλ' ὥσπερ οὐκ ἠθέλησαν αὐτῷ ὑπήκοοι γενέσθαι οἱ πατέρες ὑμῶν, ἀλλὰ ἀπώσαντο καὶ ἀπεστράφησαν τῇ καρδίᾳ αὐτῶν εἰς Αἴγυπτον, εἰπόντες τῷ Ἀαρών, Ποίησον ἡμῖν θεοὺς οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωϋσῆς οὗτος ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ· καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγαγον θυσίαν τῷ εἰδώλῳ, καὶ εὐφραίνοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν· ἔστρεψε δὲ ὁ Θεὸς καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ· καθὼς γέγραπται ἐν τῇ βίβλῳ τῶν

[19] Joan. I, 29. [20] Matth. XXI, 9. [21] Jerem. VII, 2.

προφητῶν· « Μὴ σφαγὰς καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραήλ, καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥαφὰν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς· » καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος εἰς σκηνὴν τοῦ μαρτυρίου, ἣν τοῖς πατράσιν ὑμῶν ἐν τῇ ἐρήμῳ, καθὼς διετάξατο ὁ λαλῶν τῷ Μωϋσῇ ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν ἑωράκει· ἣν καὶ εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ὑμῶν μετὰ Ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν ὧν ἐξωσεν ὁ θεὸς ἀπὸ προσώπου τῶν πατέρων ὑμῶν ἕως τῶν ἡμερῶν Δαβὶδ, ὃς εὗρε χάριν ἐνώπιον τοῦ Θεοῦ, καὶ ἠτήσατο εὑρεῖν σκήνωμα τῷ Θεῷ Ἰακώβ· Σολομὼν δὲ ᾠκοδόμησεν ἑαυτῷ οἶκον· ἀλλ' οὐχ ὁ Ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, καθὼς ὁ προφήτης λέγει· « Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. » — « Ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει Κύριος, ἢ τίς τόπος τῆς καταπαύσεώς μου; οὐχὶ ἡ χείρ μου ἐποίησε ταῦτα πάντα; » — « Ὦ Ἰουδαῖοι, σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσὶν, ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε, ὡς καὶ οἱ πατέρες ὑμῶν· καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου· οὗ φονεῖς καὶ προδόται γεγόνασιν οἱ ἐν Ἱερουσαλὴμ πατέρες ὑμῶν; » Οὕτω καὶ ὑμεῖς, οἱ ἐκείνων παῖδες τούτους μιμούμενοι τὰς φωνὰς τῶν προφητῶν ἀπιστοῦντες, μισόχριστοι διαμένετε, οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε.

A domus Israel, et recepistis tabernaculum Moloch, et astrum Dei vestri Rephan, imagines quas fecistis ad adorandum [22]. » Et transferam vos ultra Babylonem in tabernaculum testimonii [23], » quod in deserto patribus vestris, sicut mandavit Moyses loquens fieri secundum exemplum quod viderat; quod acceptum introduxerunt patres vestri cum Jesu in occupatione gentium quas expulit Deus a conspectu patrum vestrorum usque ad dies David, qui invenit gratiam coram Deo, et postulavit ut respiceret tabernaculum Deo Jacob. Salomon autem ædificavit sibi domum; sed Altissimus in templis manufactis non habitat, sicut propheta dicit : « Cœlum mihi thronus, terra autem scabellum pedum meorum [24]. » — « Qualem domum mihi ædificabitis, dicit Dominus, aut quis erit locus morationis meæ? Nonne manus mea fecit hæc omnia [25]? » — « O Judæi duræ cervicis et incircumcisi corde et auribus, vos semper Spiritui sancto resistitis, sicuti patres vestri; et occiderunt prænuntiantes de adventu justi. Nonne interfectores et proditores facti sunt in Jerusalem patres vestri [26]? » Ita et vos eorum filii, eos imitantes voces prophetarum non credentes, Christum odientes permanetis, qui accepistis legem in dispositionem angelorum et non custodistis.

B

Λέγει δὲ τὸ Πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβὶδ τοῦ προφήτου· « Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με καὶ εἶδον τὰ ἔργα μου· τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπα· Ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου· ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου· » ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἀπ' Αἰγύπτου εἰσῆλθον· παρεπίκραναν γὰρ οἱ παρακούσαντες καὶ ἀπιστήσαντες· τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη, εἰ μὴ τοῖς ἁμαρτήσασι καὶ παρακούσασιν, ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ; τίσι δὲ ὤμοσε μὴ εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπιθήσασι; Καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι' ἀπιστίαν, πλὴν Χαλὲβ τοῦ Ἰεφωνὴ, καὶ Ἰησοῦ τοῦ Ναυῆ· ἑξακόσιαι διεφθάρησαν χιλιάδες, ταύτας γὰρ τὰς χιλιάδας εἶπεν ἐξεληλυθότας ἐξ Αἰγύπτου· τοῦ γὰρ Θεοῦ παρεγγυήσαντος εἰς τὴν ἐπηγγελμένην ἀπᾶραι γῆν, ἀντεῖπον ἐκεῖνοι, προβαλλόμενοι τὸν φόβον καὶ τὸ μέγεθος τῶν πολεμίων· οὗ δὴ χάριν ὁ τῶν ὅλων Θεὸς ἅπαντας κατὰ μέρος ἐν τῇ ἐρήμῳ κατανάλωσεν, τοὺς ἐκείνων παῖδας ἀντ' ἐκείνων εἰσήγαγεν, ἤγουν τοὺς περὶ Χαλὲβ τοῦ Ἰεχωνίου καὶ Ἰησοῦ τοῦ Ναυῆ αὐτοὺς κατέπαυσεν· καὶ εἰ περὶ τῆς γῆς αὐτῆς κατάπαυσιν ὁ προφήτης εἴρηκε Δαβίδ· εἰς ἐκείνην γὰρ Ἰησοῦς αὐ-

C Dicit autem Spiritus sanctus per os David prophetæ : « Hodie si vocem ejus audieritis, ne obdurate corda vestra sicut in exacerbatione secundum diem tentationis in deserto, in quo tentaverunt me patres vestri, probaverunt et viderunt opera mea. Quadraginta annis infensus fui generationi huic, et dixi : Semper errant corde; ipsi vero non cognoverunt vias meas; sicut juravi in ira mea : Si introibunt in requiem meam [27]. » Sed non omnes egressi ex Ægypto introierunt; exacerbaverunt enim non audientes neque credentes. Quibus autem infensus fuit quadraginta annis, nisi peccantibus et non audientibus, quorum membra ceciderunt in deserto? Quibus autem juravit non introituris in requiem suam, nisi non credentibus? Et videmus hos non potuisse ob incredulitatem introire, præter Caleb filium Jephone, et Jesu filium Nave. Sexcenta millia interierunt, totidem enim millia dicit Scriptura egressa ex Ægypto. Deo enim concedente ut in promissam irent terram, contradixerunt illi, præ se ferentes metum et robur hostium. Quam ob causam totius mundi Deus omnes singulos in deserto destruxit, filios eorum pro illis introduxit, scilicet per Caleb filium Jephone et Jesu filium Nave his requiem dedit. Et de terra ista requiem dixit propheta David; in eam enim Jesu illos requiem perduxit. In illa autem erat etiam divinus interpres David, cum hæc lo-

D

[22] Amos v, 26. [23] ibid. [24] Psal. LXVI, 1. [25] Isa. LXVI, 1. [26] Act. VII, 51, 52. [27] Psal. XCIV, VIII, 11.

cutus nuntiavit requiem : « Hodie si vocem ejus audieritis, » et quæ sequuntur.

Ergo relinquitur alter sabbatismus et altera requies, quæ est in Christum fides, sicut dicit Dominus per Jeremiam prophetam : « Ecce dies veniunt, et statuam domui Israel et domui Juda testamentum novum [28]. » Dicendo novum, antiquavit primum : « Non secundum testamentum quod statui patribus eorum in die quo apprehendi manum ejus ut educerem eos e terra Ægypti, quoniam ipsi non exspectaverunt testamentum meum; et ego neglexi eos, dicit Dominus, quia istud est testamentum quod statuam domui Israel, dans leges meas in mentem eorum, et in corde eorum inscribam eas, et ero eis in Deum, et ipsi erunt mihi in populum [29]. » — « Igitur fides ex auditu, auditus autem per verbum Dei [30], » oportet enim primum audire, deinde in mente et corde accipere Dei verba et credere; sicut « Abraham credidit Deo et reputatum illi in justitiam [31]. » — « Quoniam non justificabitur ex operibus legis omnis caro [32]. » — « Quicunque enim ex operibus legis sunt, sub maledicto sunt; scriptum est enim : Maledictus qui non permanet in omnibus quæ scripta sunt in libro legis ad faciendum ea [33]. » Neminem autem in lege justificari apud Deum, perspicuum est, quia justus ex fide vivet [34] in ipsis; Abraham autem credidit Deo et reputatum est illi in justitiam. Prævidens Scriptura ex fide justificaturum gentes Deum, prænuntiavit Abrahæ.

Noscite ergo hos qui ex fide sunt, esse filios Abrahæ. « Abrahæ autem dictæ sunt promissiones et semini ejus; non dicit : In seminibus quasi in multis, sed quasi in uno, In semine tuo. Hoc est enim testamentum ante confirmatum a Deo in Christum; lex quæ post trecentos triginta annos facta est non nocet ut abrogetur promissio [34*]. » Et vetus Scriptura testamentum Dei vocat hanc quæ ad Abraham facta est promissio; promisit autem per semen Abrahæ benedicendas esse gentes totius mundi Dei; hoc vero semen ipse est Dominus Christus. Per illum enim exitum promissio obtinuit. Nam si ex lege est hæreditas, non est ex promissione; Abrahæ autem per promissionem donavit Deus semen. Quid ergo? lex transgressionum causa statuta est, usquedum veniret semen quod promissum erat, ad utilitatem statuta est lex generis hujus, ex quo semen illud debebat secundum carnem exire; statuta est autem angelis ministrantibus, et hujus institutioni Moyse serviente. Sin autem Judæus vocaris et perseveras in lege, quasi in lege glorians, per transgressionem legis Deum inhonoras; circumcisio enim prodest, si

A τοὺς κατέπαυσεν· ἐν αὐτῇ δὲ ἦν καὶ θεῖος Δαβὶδ ὅτε ταῦτα εἰρηκὼς ἐπηγγείλατο τὴν κατάπαυσιν· τὸ, « Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, » καὶ τὰ ἑξῆς.

Ἄρα οὖν ἀπολείπεται ἕτερος σαββατισμὸς καὶ ἑτέρα κατάπαυσις, ἥτις ἐστὶν εἰς Χριστὸν πίστις, καθὼς λέγει Κύριος διὰ Ἱερεμίου τοῦ προφήτου· « Ἰδοὺ ἡμέραι ἔρχονται καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινήν· » ἐν τῷ λέγειν καινήν, πεπαλαίωκε τὴν πρώτην· « Οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν τὴν διαθήκην μου· καὶ ἐγὼ ἠμέλησα αὐτοὺς, φησὶ Κύριος, ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ, δι-
B δοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίαν αὐτῶν ἐπιγράψω αὐτούς· καὶ ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. » — « Ἄρα οὖν ἡ πίστις ἐξ ἀκοῆς, ἡ δ' ἀκοὴ διὰ ῥήματος Θεοῦ· » δεῖ γὰρ πρῶτον ἀκοῦσαι, εἶτα ἐν διανοίᾳ καὶ ἐν τῇ καρδίᾳ δέξασθαι τοῦ Θεοῦ ῥήματα καὶ πιστεῦσαι· καθάπερ καί· « Ἀβραὰμ ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. » — « Διότι οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σάρξ. » — « Ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶν, ὑπὸ κατάραν εἰσί· γέγραπται γάρ· Ἐπικατάρατος ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι αὐτά· » ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ Θεῷ, δῆλον ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται ἐν αὐ-
C τοῖς· ὁ δὲ Ἀβραὰμ ἐπίστευσε τῷ Θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· προϊδοῦσα δὲ ἡ Γραφὴ ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ Θεὸς, προευηγγελίσατο τῷ Ἀβραάμ.

Γινώσκετε οὖν ἄρα ὅτι οἱ ἐκ πίστεως, οὗτοί εἰσιν υἱοὶ Ἀβραάμ· τῷ δὲ Ἀβραὰμ ἐῤῥέθησαν αἱ ἐπαγγελίαι καὶ τῷ σπέρματι αὐτοῦ· οὐ λέγει, Ἐν τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός, Ἐν τῷ σπέρματί σου· τοῦτο γάρ ἐστι διαθήκη προκεκυρωμένη
D ὑπὸ τοῦ Θεοῦ εἰς Χριστὸν, ὁ μετὰ τετρακόσια τριάκοντα ἔτη γεγονὼς νόμος οὐκ ἀκυροῖ εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν· καὶ ἡ παλαιὰ Γραφὴ διαθήκην τοῦ Θεοῦ καλεῖ τὴν πρὸς τὸν Ἀβραὰμ γεγενημένην ἐπαγγελίαν· ἐπηγγείλατο δὲ διὰ σπέρματος τοῦ Ἀβραὰμ εὐλογεῖν τὰ ἔθνη ὁ τῶν ὅλων Θεός· τοῦτο δὲ τὸ σπέρμα αὐτός ἐστιν ὁ Δεσπότης Χριστός· δι' αὐτοῦ γὰρ πέρας ἡ ὑπόσχεσις ἔλαβεν· εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐκ ἔστιν ἐξ ἐπαγγελίας· τῷ δὲ Ἀβραὰμ δι' ἐπαγγελίας κεχάρισται ὁ Θεὸς τὸ σπέρμα. Τί οὖν; ὁ νόμος τῶν παραβάσεων χάριν προσετέθη, ἄχρις οὗ ἦλθε τὸ σπέρμα ᾧ ἐπήγγελται, εἰς ἐπιμέλειαν ἐτέθη ὁ νόμος τοῦ γένους, ἐξ οὗ τὸ σπέρμα ἔμελλεν ἐκεῖνο κατὰ σάρκα βλαστάνειν· ἐτέθη δὲ ἀγγέλων ὑπουργούντων, καὶ τῇ τούτου θέσει Μωϋσέως διακονοῦντος. Εἰ δὲ Ἰουδαῖος ὀνομάζει καὶ ἐπαναπαύῃ τῷ νόμῳ, ὡς ἐν νόμῳ καυχᾶσθαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμά-

[28] Jerem. xxxi, 31. [29] ibid. 32, 33. [30] Rom. x, 17. [31] Gen. xv, 6; Rom. iv, 3. [32] Galat. i, 16. [33] Galat. iii, 10. [34] Galat. iii, 11. [34*] ibid. 16, 17.

ζεις· περιτομὴ μὲν ὠφελεῖ, ἐὰν νόμον πράσσεις· ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονε, καθά φησιν Ἱερεμίας, ὅτι « Πάντα τὰ ἔθνη ἀπερίτμητα τῇ σαρκὶ, ὁ δὲ οἶκος Ἰσραὴλ ἀπερίτμητος τῇ καρδίᾳ. »—« Περιτμηθῆναι τῷ Θεῷ καὶ περιτμηθῆναι τὴν ἀκροβυστίαν τῆς καρδίας ὑμῶν. »—« Διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας· νῦν γὰρ δικαιοσύνη Θεοῦ πεφανέρωται μαρτυρουμένη ὑπὸ νόμου καὶ τῶν προφητῶν· δικαιοσύνη δὲ Θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας, δικαιούμεθα δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ. » A legem observaveris; si vero transgressor legis es, circumcisio tua præputium facta est; sicut ait Jeremias: « Omnes gentes incircumcisæ carne, domus vero Israel incircumcisa corde [35]. » — « Circumcidi Deo et circumcidi in præputio cordis vestri [36]. » — « Per legem enim cognitio peccati; nunc justitia Dei manifestata est testificata a lege et prophetis; justitia autem Dei per fidem Jesu Christi in omnes et super omnes credentes; justificamur gratis ejus gratia per redemptionem in Christo Jesu [37]. »

A γονεν· ἡ δὲ χάρις οὐκέτι ἐξ ἔργων· ἐπεὶ καὶ ἡ ἐξ ἔργων, οὐκ ἔστι χάρις· καθάπερ τότε, φησὶν, ἀπὸ μυριάδων ἀπείρων ἑπτακισχίλιοι κατελείφθησαν μόνοι τῆς ἀσεβείας ἐλεύθεροι· οὕτω καὶ νῦν πλείους μὲν οἱ ἀπιστήσαντες ἢ οἱ τῆς θείας χάριτος ἀπολαύσαντες οὐ γὰρ ἡ κατὰ νόμον αὐτοὺς ἐδικαίωσε πολιτεία, (τοῦτο γὰρ λέγει τὸ, « ἐξ ἔργων νόμου »), ἀλλ' ἡ Θεοῦ διέσωσε χάρις· διὰ τοῦτο καὶ χάρις ἡ σωτηρία καλεῖται, ἐπειδὴ κατὰ θείαν φιλανθρωπίαν γεγένηται, καθὼς γέγραπται· « Ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ· καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν. » Εἰ ἡ κατὰ νόμον πολιτεία δωρεῖται τῶν ἁμαρτημάτων αὐτῶν τὴν ἄφεσιν· αὐτὴν ἂν ὁ προφητικὸς προεθέσπισε λόγος· εἰ δὲ κολάζει μὲν ὁ νόμος τοὺς ἁμαρτάνοντας, ἀεὶ δὲ παράνομοι ἐκλήθησαν οἱ Ἰουδαῖοι, εὔδηλον ὡς τὴν διὰ τοῦ B βαπτίσματος χορηγουμένην ἄφεσιν ὁ προφητικὸς λόγος δηλοῖ· πάντας δὲ Ἰσραὴλ καλεῖ τοὺς πιστεύοντας, εἴτε ἐξ ἐθνῶν εἴτε ἐξ Ἰουδαίων κατὰ τὴν τῆς πίστεως εὐγένειαν αὐτῷ συνηγμένους· τί οὖν ἐπιζητεῖ ὁ κατὰ σάρκα Ἰσραὴλ, τούτου οὐκ ἐπέτυχε. Διὰ τί οὐκ ἐπέτυχε; Διότι οὐκ ἐκ πίστεως ἐπιζητεῖ, ἀλλ' ἐξ ἔργων νόμου· ἡ δὲ ἐκλογὴ ἐπέτυχε διὰ τῆς πίστεως, οἱ δὲ λοιποὶ ἐπωρώθησαν, ἤγουν κατελείφθησαν τῇ ἀπιστίᾳ, καθὼς γέγραπται· « Ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν, ἕως τῆς σήμερον ἡμέρας· » οὐ γὰρ ὁ Θεὸς αὐτοὺς ἀπιστῆσαι C παρεσκεύασεν, ἀλλ' ἐσυγχώρησεν, ἤγουν παρεχώρησε· πνεῦμα κατανύξεως τὴν ἀμετάβλητον ἐκάλεσε γνώμην· ὥσπερ ὁ τὴν ἐπαινουμένην ἔχων κατάγνωσιν τὴν ἐπὶ τὸ χεῖρον τροπὴν οὐκ εἰσδέχεται, οὕτως ὁ παντελῶς ἑαυτὸν ἐκδοὺς τῇ πονηρίᾳ, τὴν ἐπὶ τὸ κρεῖττον οὐχ αἱρεῖται μεταβολήν. Καὶ ἄλλος προφήτης λέγει· « Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς ἔμυσαν, καὶ τὸ φῶς ἰδεῖν οὐκ ἠθέλησαν. » Καὶ Δαβὶδ λέγει· « Γενηθήτω ἡ τραπέζα αὐτῶν εἰς παγίδα, καὶ εἰς θήραν, καὶ εἰς σκάνδαλον, καὶ εἰς ἀνταπόδομα αὐτῶν· σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον. »

[93] Isa. LIX, 20; Rom. XI, 26, 27. [94] Isa VI, 9; Rom. XI, 8. [95] Isa. VI, 10; Rom. X, 8. [96] Psal. LXVIII, 2, 13; Rom. XI, 9, 10.

ΔΙΑΛΟΓΟΣ ΜΙΚΡΟΣ ΠΡΟΣ ΙΟΥΔΑΙΟΥΣ [1].

DIALOGUS PARVUS AD JUDÆOS.

Interrogavit Judæus, quare comeditur apud vos Christianos suilla caro? — Christianus dixit : Cur illa Judæi non vescuntur? Judæus. Quia immunda est. — Christianus. Cur vescimini gallinis quæ om-

D Ἠρώτησεν ὁ Ἰουδαῖος· Διὰ τί τρώγεται παρ' ὑμῶν τῶν Χριστιανῶν τὸ χοίρειον κρέας. — Ὁ Χριστιανὸς εἶπε· Διὰ τί ὑμεῖς οὐ τρώγετε αὐτό; — Ὁ Ἰουδαῖος· Ὅτι ἀκάθαρτόν ἐστιν. — Ὁ Χριστιανός· Καὶ

(1) Hic quidem dialogus statim subtexitur in eodem codice Vaticano. Ast aliud colloquium breve Anastasii abbatis æque cum Judæis in alio Vat. codice, non est fere nisi compendium operis longioris a me supra scripti; neque id edere magnopere interest.

διὰ τί τρώγετε τὸ ὀρνίθιον, ὃ ἀκαθαρτότατον πάντων ἐστί; ποντικὸν καὶ ὄφεις ἐσθίει καὶ πᾶσαν ἀκαθαρσίαν· τὴν δὲ χελιδόνα οὐ τρώγετε καθαρωτέραν οὖσαν τῆς ὄρνιθος· οὔτε τὸ σίπιον καθαρὸν καὶ αὐτὸ ὂν καὶ ἀναίμακτον καὶ καθαρώτερον τῆς ὄρνιθος, καὶ σκηνώματα καὶ θνησιμαῖα ἐσθίει, αὐτὰ δὲ οὐδαμῶς· θέλεις μαθεῖν δι' ἣν αἰτίαν εἶπεν ὁ Θεὸς διὰ Μωϋσέως τοῖς Ἰουδαίοις μὴ τρώγειν τὸ χοιρίδιον; ὅτι ἐν Αἰγύπτῳ ὄντες μετὰ τῶν Αἰγυπτίων, ἤσθιον τὸν χοῖρον, τὸν δὲ βοῦν καὶ τὸν τράγον καὶ τὸν κύνα ἐσέβοντο οἱ Αἰγύπτιοι ὡς θεούς· ἐκ τούτου καὶ *Βοσορεῖς*, διὰ τὸ τὸν βοῦν σέβεσθαι· καὶ *Κυνῖται* διὰ τὸ τὸν κύνα σέβεσθαι· διὸ καὶ Ἰουδαῖοι μετ' αὐτῶν ὄντες, τὰ ἔθη αὐτῶν ἐκράτησαν· ἐξαγαγὼν οὖν αὐτοὺς ὁ Θεὸς ἐξ Αἰγύπτου, θέλων ἀποστῆσαι τὰς καρδίας αὐτῶν ἐξ ὧν τετραπόδων ἐσέβοντο ἐν Αἰγύπτῳ, ἐνομοθέτησεν αὐτοῖς τὰ ἅπερ εἶχεν ἐκεῖ σεπτὰ καὶ προσκυνητὰ σφάττειν ἐνταῦθα καὶ ἐσθίειν· ἵνα ὡς σφάζοντες αὐτὰ καὶ ἐσθίοντες, μηκέτι λοιπὸν τιμῶσιν αὐτά· τὸν δὲ χοῖρον ὅνπερ ἤσθιον εἰς Αἴγυπτον, παρήγγειλεν αὐτοῖς τούτου μὴ γεύεσθαι, οὐχ ὡς ἀκαθάρτου αὐτοῦ ὄντος, ἀλλ' ἵνα μὴ στρέφωνται ταῖς καρδίαις αὐτῶν ἐν Αἰγύπτῳ· καὶ ὅπως ἀναγκαζόμενοι τούτου μὴ ἐσθίειν, τῶν ἄλλων ζώων λοιπὸν καθαπτόμενοι, σφάζοντες τρώγωσιν, οἷον τὸν βοῦν, τὸν τράγον, τὸ πρόβατον, ἅπερ ὡς θεοὺς ἐν τῇ Αἰγύπτῳ ὄντες ἐσέβοντο· καὶ διὰ τὴν τοιαύτην αἰτίαν ἐνομοθετήθη τοῖς Ἰουδαίοις μὴ ἐσθίειν τὸν χοῖρον, οὐχὶ δὲ δι' ἀκαθαρσίαν· ἐπεί εἰσιν ἄλλα ἀκαθαρτότερα, ὡς εἴπομεν, καὶ βιβρωσκόμενα καὶ παρὰ Ἰουδαίοις· ἀλλ' οὐχ ὁ Θεὸς ταῦτα ἀκάθαρτα ἐποίησεν, ἢ ὠνόμασεν, ἀλλὰ καὶ λίαν ἡμῖν αὐτὰ ἐδωρήσατο ἐσθίειν, καὶ εἰς ἑτέρας ἀναγκαίας χρήσεις ταῦτα ἔδωκεν ἔχειν· καὶ γὰρ χωρὶς τοῦ σφαγῆναι καὶ βρωθῆναι καὶ ἄλλην χρῆσιν καὶ δουλείαν ἡμῖν ποιεῖν δύναται ὁ βοῦς, τὸ ἀροτριᾶν καὶ τὰ λοιπὰ μετακομιδῆς, καὶ τῶν λοιπῶν γεωργικῶν συμπονούμενος ἡμῖν· τὸ πρόβατον, τὸ ἔριον πρὸς ἔνδυσιν ἡμῶν· ὁμοίως καὶ τὸ αἰγίδιον, τὸ γάλα καὶ τὸν τυρὸν καὶ τὰς τρίχας· ὡσαύτως καὶ ὁ κύων, διὰ τὸ φυλάσσειν ἔστιν· ἡ κάτα, διὰ τὸ καθαρίζειν· τὸ ὀρνίθιον, διὰ τὸ ὠόν· οὐδὲ χοῖρος οὐδεμίαν ἄλλην χρῆσιν ἔχει, εἰ μὴ διὰ τὸ βρωθῆναι, ἐπεὶ ἄκαιρός ἐστιν καὶ ἄχρηστος ἐπὶ τῆς γῆς· ἀκάθαρτον δὲ ὑμεῖς οἱ Ἰουδαῖοι αὐτὸν ποιεῖτε, διὰ τὴν νηπίαν ὑμῶν, μὴ θέλειν τοῦτον ὠνήσασθαι καὶ τρέφειν· ἐπεὶ ἐὰν θέλῃς θρέψειν αὐτὸν, εἴ τι τρώγει τὸ πρόβατον καὶ τὸ αἰγίδιον, αὕτη ἐστὶν καὶ ἡ κατὰ φύσιν τροφὴ τοῦ χοίρου· ἄκουσον δὲ τῆς Γραφῆς λεγούσης· « Καὶ εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησεν, καὶ ἰδοὺ καλὰ λίαν. »

nium immundissimæ sunt? Pontica enim serpentibus alitur et omnibus sordibus; et hirundinem non comeditis mundiorem hac ave, neque sūpion quod purum et ipsum est et sanguinem fugiens et ave ista mundius, et domus sordes et carnes emortuas comedit, illa vero minime. Vis discere quam ob causam dixerit Deus per Moysen Judæis non vesci suillo? quia, cum in Ægypto essent cum Ægyptiis, suibus vescebantur, bovem autem et hircum et canem colebant ut deos Ægyptii; unde *Βοσορεῖς*, quia bovem, et *Κυνῖται*, quia canem colebant: Judæi autem, quando cum illis erant, mores eorum sequebantur. Deus ergo, cum ex Ægypto eos eduxisset, et corda eorum amovere vellet ab his quadrupedibus quos colebant Ægyptii, legem illis statuit ut quæ illic habuerant veneranda et adoranda, hic immolarent et comederent; ita ut immolantes et comedentes, non amplius honorarent. Suem autem quo vescebantur in Ægypto, præcepit illis ne comederent, non quod immundus esset, sed ne converterentur cordibus suis ad Ægyptum: et ut coacti sue non vesci, reliqua animalia sumentes, immolarent et comederent, ut bovem, hircum, ovem, quæ ut deos in Ægypto colebant. Hæc nempe causa fuit cur lex facta sit Judæis suem non edere, neque propter immunditiam; cum sint alia immundiora, ut diximus, quibus Judæi vescuntur; quæ autem Deus non immunda fecit nec vocavit, sed et abunde nobis dedit ad vescendum, et ad alios necessarios usus. Etenim, præter immolationem et esum, aliam utilitatem et ministerium nobis præstare potest bos, in arando, vehendo, et aliis rusticis operibus nos adjuvans; ovis, lanam ad indumentum nostrum præstans; similiter et capra, lac, caseum, et pilos; canis ad custodiendam domum; felis ad mundandam; gallina propter oves; sus nullam aliam utilitatem habet, nisi ut comedatur, cum inutilis et noxius sit terræ. Immundum autem vos, Judæi, illum facitis, per socordiam, nolentes illum emere et nutrire; nam si nutrire volueritis, quod comedit ovis et capra, hoc idem natura comedit sus. Audi autem Scripturam dicentem: « Vidit Deus cuncta quæ fecerat, et erant valde bona [97]. »

[97] Gen. I, 31.

ΕΤΕΡΑ ΕΡΩΤΗΣΙΣ.

ALIA INTERROGATIO.

Ἐὰν εἴπῃ σοι Ἑβραῖος, Πῶς εἶ σὺ, Χριστιανὲ, τέκνον τοῦ Ἀβραὰμ, ἐθνικὸς ὤν; ἐρεῖς αὐτῷ· Κατὰ

Si dixerit tibi Hebræus: Quomodo es tu, Christiane, filius Abrahæ, gentilis cum sis? — dices illi:

secundum fidem, sicut dictum est illi : « Patrem multarum gentium posui te [99]. » Tu vero, o Judæe, quomodo filius es Abrahæ? Nonne Isaias dixit populo tuo, « Pater Amorrhæus est, et mater Chettæa [99] » ideo ego secundum fidem filius sum Abrahæ, tu vero Amorrhæus et Chettæus es moribus.

A τὴν πίστιν, καθὰ ἐλέχθη αὐτῷ, ὅτι « Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε· » σὺ δὲ, ὦ Ἰουδαῖε, πῶς εἶ τέκνον τοῦ Ἀβραάμ; οὐχ Ἡσαΐας εἶπε πρὸς τὸν λαόν σου, ὅτι « Ὁ Πατὴρ Ἀμορραῖός ἐστιν, ἡ δὲ μήτηρ Χεττα ία; » Διὸ ἐγὼ μὲν κατὰ τὴν πίστιν εἰμὶ τέκνον τοῦ Ἀβραὰμ, σὺ δὲ Ἀμορραῖος καὶ Χετταῖος κατὰ τὸν τρόπον.

Interrogatio. Si dixerit tibi Hebræus : Quomodo credis in crucifixum? audi Scripturam dicentem : « Maledictus omnis qui pendet in ligno [1]. » — Dic : O Judæe, quomodo credis tu serpenti æneo, cum sit maledictus præ omnibus bestiis, cujus imago vitam præstabat tuis patribus? Si enim ille serpens qui non mordebat, pro iis qui mordebant serpentibus vitam afferebat, ita et Christus, cum sine peccato esset, pro peccatoribus suspensus B vitam mundo largitus est.

Ἐρώτησις. Ἐὰν εἴπῃ σοι Ἑβραῖος, Πῶς πιστεύεις εἰς τὸν ἐσταυρωμένον; ἄκουσον τῆς Γραφῆς λεγούσης· « Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. » — Εἰπέ· Πῶς πιστεύεις, ὦ Ἰουδαῖε, τῷ ὄφει τῷ χαλκῷ, ἐπεὶ κατηραμένου αὐτοῦ ὄντος ἀπὸ παντὸς θηρίου, οὗτινος ἡ εἰκὼν, ζωὴν παρεῖχε τοῖς σοῖς προγόνοις; εἰ γὰρ ὁ ὄφις ὁ μὴ δάκνων, ὑπὲρ τῶν δηκόντων ὄφεων ζωὴν ἔφερεν, οὕτω καὶ ὁ Χριστὸς ἀναμάρτητος ὢν, ὑπὲρ ἁμαρτωλῶν κρεμασθεὶς, ζωὴν τῷ κόσμῳ ἐχαρίσατο.

Interrogatio. Si oportet responderi Judæis dicentibus nobis : Quia secundum vestram sententiam non est, qui ex Maria natus est Deus, dicitur enim Moysen de illo prophetasse dicentem : « Prophetam vobis suscitabit Dominus Deus ex fratribus vestris sicut me, ipsum audite [2]. » Videtur autem Moyses homo fuisse et Deus? — *Responsio.* Judæi, quando vobis hoc dixit Moyses? antequam ascenderet in montem, ubi mutatus est vultus ejus aspectus, ita ut non potueritis vos illum intueri propter splendorem faciei ejus, nisi habuerit velum, an vero postquam talis factus est ejus vultus? Convenite autem, etiam inviti, hoc illum dixisse, C postquam factus est vultus ejus gloria splendens. Sic et Filius Dei habitans in nobis pro indumento habuit habitaculum corporis sui, occultans suam divinitatem. Quemadmodum Moysen non potuerunt ob faciei ejus gloriam intueri aperto vultu, ita Filius Dei humanitate velavit divinitatem.

Ἐρώτησις. Εἰ χρὴ ἀπακριθῆναι Ἰουδαίοις λέγουσιν ἡμῖν, ὅτι Ἰδοὺ κατὰ τὴν ὑμῶν δόξαν οὐκ ἦν ὁ ἐκ Μαρίας τεχθεὶς ὁ Θεὸς, λέγεται ὅτι Μωϋσῆς περὶ αὐτοῦ προεφήτευσεν εἰπὼν, ὅτι « Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμὲ, αὐτὸν ἀκούσατε· » φαίνεται δὲ Μωϋσῆς ἄνθρωπος ὢν καὶ Θεός; — *Ἀπόκρισις.* Οἱ Ἰουδαῖοι, πότε ὑμῖν τοῦτο εἶπε Μωϋσῆς; πρὸ τοῦ ἀνελθεῖν αὐτὸν ἐν τῷ ὄρει, ὅτε ἐνηλλάγη ἡ ὄψις τοῦ χρωτὸς αὐτοῦ ὥστε μὴ δύνασθαι ὑμᾶς ἀτενίζειν αὐτῷ διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ, εἰ μὴ εἶχε τὸ κάλυμμα, ἢ μετὰ τὸ γενέσθαι τοιοῦτον τὸ πρόσωπον αὐτοῦ; σύνθεσθε δὲ καὶ μὴ βουλόμενοι, ὅτι μετὰ τὸ γενέσθαι τὸ πρόσωπον αὐτοῦ δεδοξασμένον· οὕτω καὶ ὁ Υἱὸς τοῦ Θεοῦ σκηνώσας ἐν ἡμῖν ἀντὶ περιβολαίου ἔσχε τὸν ναὸν τοῦ σώματος αὐτοῦ, κρύπτων αὐτοῦ τὴν θεότητα· ὃν τρόπον τὸν Μωϋσῆν οὐκ ἠδύναντο ἀπὸ τῆς δόξης τοῦ προσώπου αὐτοῦ θεάσασθαι γυμνὸν τῇ ὄψει, οὕτω καὶ ὁ Υἱὸς τοῦ Θεοῦ τῇ ἀνθρωπότητι ἐκρυψε τὴν θεότητα.

Deus prævidens vestrum genus durum et improbum esse, et ejiciendum fore primogenitum filium Israel, et substituendum e gentibus populum, operte illa et cum obscuritate per os prophetarum locutus est. Si enim cognovisset suam ruinam invidia plenum et peccato refertum vestrum genus, libros omnes cremavisset, eo quod non tolerare potuisset in se scripta proferri, nec invidiam inde D contra se his excitatam sustinere. Hæc igitur causa est, ob quam operte prophetici scripti fuerint libri, si non credit his quæ dicimus, credat prophetæ dicenti, neque cognovisti, neque audisti, neque a principio aperui aures tuas; scio enim quod repugnans repugnabis. Et nunc quidem eo quod Deus ex muliere natus sit, scandalizaris et refugis. In deserto, quando tibi invisibiliter et non in carne conversabatur Deus, et mirabilia illa propter te patrabat, cur in Deum cogitabas? quomodo contra Moysem irascebaris, ita ut parum abfuerit quin eum lapidaveris? quomodo benefactorem relinquens, in

Ὁ Θεὸς προειδὼς τὸ γένος ὑμῶν ὅτι σκληρόν ἐστι καὶ πονηρὸν, καὶ ὅτι ἐκβληθήσεται μὲν ὁ πρωτότοκος υἱὸς Ἰσραὴλ, ἀντεισαχθήσεται δὲ ὁ ἐξ ἐθνῶν λαὸς, ἀσαφῶς ταῦτα καὶ μετ' ἐπικρύψεως διὰ στόματος τῶν προφητῶν προηγόρευσεν· εἰ γὰρ ἔγνω τὴν ἑαυτοῦ ἔκπτωσιν τὸ φθόνου μεστὸν καὶ πλῆρες ἁμαρτίας γένος ὑμῶν, πυρικαύστους ἂν τὰς βίβλους πάσας πεποίηκεν, ἅτε δὴ μὴ γράμματα φέρειν καθ' ἑαυτοῦ ἀνεχόμενον, κἀντεῦθεν ζημίαν οὐ τὴν τυχοῦσαν τοῖς μετὰ ταῦτα ἐπήνεγκεν· αὖτη μὲν οὖν ἡ αἰτία, δι' ἣν ἀσαφῶς αἱ προφητικαὶ συνετέθησαν βίβλοι· καὶ εἰ μὴ πείθῃ τοῖς λεγομένοις, τῷ λέγοντι πείθου προφήτῃ, οὔτε ἔγνως, οὔτε ἠπίστασο, οὔτε ἀπ' ἀρχῆς ἀνέῳξά σου ὦτα· ᾔδειν γὰρ ὅτι ἀπειθῶν ἀπειθήσεις· καὶ νῦν μὲν ὅτι Θεὸς ἐκ γυναικὸς γεννᾶται, σκανδαλίζῃ καὶ ἀποπηδᾷς· κατὰ δὲ τὴν ἔρημον, ὅτε σοι ἀοράτως καὶ οὐ διὰ σαρκὸς συνανεστρέφετο ὁ Θεὸς, καὶ τὰ παράδοξα ἐκεῖνα διὰ σὲ ἐτερατούργει, τίνος ἕνεκεν ἐφρόνεις κατὰ Θεόν; πῶς ἠγριαίνου κατὰ Μωϋσέως, ὡς μικρῷ καὶ λιθολευ-

[99] Gen. xvii, 5. [99] Imo Ezech. xvi, 3. [1] Deut. xxi, 23; Galat. iii, 13. [2] Deut. xviii, 15.

στῆσαι αὐτόν; πῶς τὸν εὐεργέτην ἀπολιμπάνων, ἐπὶ τὴν Αἴγυπτον παλινδρομῆσαι ἐφιλονείκεις; ἀπόκριναι· εὔδηλον οὖν, ὅτι ὁ αὐτὸς εἶ καὶ οὐκ ἠλλοίωσαι ὁ τότε σκληροκάρδιος καὶ περὶ τὸν εὐεργέτην ἀγνώμων, ὁ αὐτὸς δηλονότι καὶ νῦν ὁ ἐκπειράζων τὸν Θεόν· τότε καὶ λέγων· Εἰ ἔστιν ἐν ἡμῖν Κύριος, ἢ οὔ; τὰ αὐτὰ ποιεῖς ἐπ' αὐτῷ καὶ νῦν ὅτε δι' ἡμᾶς ἐνηνθρώπησεν· ὀφείλων ὁλοσχερῶς εὐχαριστεῖν αὐτῷ τούτου ἕνεκεν· καθά που πάντως καὶ ἐπὶ τῷ τῶν σωματικῶν παθῶν ἰατρῷ ποιεῖν εἰώθαμεν, ἡνίκα καὶ μᾶλλον ἐπὶ τὸν νοσοῦντα βαδίζει συχνῶς, καὶ μὴ πρὸς τὸ ἑαυτοῦ ἀφορῶν ἀξίωμα συγκύπτει ἐπὶ τὰ πάθη καὶ δυσωδίας ἀνέχεται, ἵνα δῷ τὴν ὑγείαν τῷ κάμνοντι.

A Ægyptum reverti cupiebas? responde. Evidens est igitur, te eumdem esse nec mutatum, qui tunc durus corde et in benefactorem ingratus fueris, idem evidenter et nunc tentans Deum. Tunc quoque dicis: Estne Dominus nobis, annon? eadem facis in illum nunc cum propter nos homo factus est; dum deberes totus ob hanc causam in gratias erumpere, sicut omnino in corporalium morborum medico agere solemus, quando præsertim ægrotantem visitat frequenter, et nullam de sua dignitate rationem habens ægritudinem inspicit et malos odores sustinet, ut sanitatem det ægrotanti.

Εἰ δὲ ταῦτα οὕτως ἔχει, πῶς ἀμφιβάλλεις ἔτι περὶ τρισυποστάτου θεότητος; πῶς οὐ προσκυνεῖς τὸν Υἱόν; πῶς οὐ πιστεύεις τῷ Πνεύματι; Ἀλλ' ἕνα κηρύσσει Θεὸν ἡ Γραφή. Καὶ τί χρὴ πολλὰ λέγειν; ἄφες τὸν Ἡσαΐαν, παράδραμε τὸν Δαβίδ, καὶ πᾶσαν ἑτέραν Γραφήν, δι' ὧν ἡ ζωαρχικὴ Τριὰς μεγαλοφώνως κηρύσσεται· ἐπὶ τὴν σκηνὴν ἄνελθε τοῦ Ἀβραάμ, καὶ σκόπησον ἀκριβῶς, τίνες τε ἦσαν οἱ ὀφθέντες αὐτῷ, καὶ πόσοι τὸν ἀριθμὸν, ὅσα τε καὶ οἷα πρὸς αὐτοὺς ὁ πατριάρχης λελάληκε· καθάπερ γὰρ τελείῳ τὴν γνῶσιν ὄντι τῷ Ἀβραάμ, καὶ ὡς τρεῖς ἐφαίνοντο, καὶ ὡς εἷς διελέγοντο, οὕτω κἀκεῖνος ἐποιεῖτο πρὸς αὐτοὺς τὴν διάλεξιν· « Ἐκκλίνατε, Κύριε, λέγων πρός με. » Τί τούτου γὰρ ἀδοξότερον; τί τῆς ὁμοτίμου Τριάδος ἐμφαντικώτερον; *Ἐκκλίνατε* μὲν οὖν πληθυντικῶς εἰπὼν, τὸ διάφορον τῶν προσώπων ἠνίξατο· *Κύριος* δ' αὖ ἑνικῶς, τὴν μίαν αὐτῶν ἐνέφηνε φύσιν καὶ κυριότητα· εἰ δὲ Θεὸν μὲν εἶναι τὸν ἕνα λέγεις, ἀγγέλους δὲ τοὺς λοιποὺς, μέμηνας ἀτεχνῶς, καὶ γελοῖός μοι φαίνῃ παντάπασι· πότε γὰρ οἱ δοῦλοι τῷ Δεσπότῃ συγκαθίσαι ἠνέσχοντο; πότε δ' αὖ Θεοῦ ὀπτανομένου, δύο καὶ μόνους ἀγγέλους δορυφοροῦντας ἠκούσαμεν; ἔκτοτε γοῦν ὁμότιμός τε καὶ σύνθρονος ἁγία Τριὰς τῷ Ἀβραὰμ ἐγνωρίζετο. Τί πρὸς ταῦτα φῄς; ὡς κύων καὶ αὖθις κατὰ τῆς ἀληθείας λυττᾷς; εἰ ἐν Τριάδι λέγων ὁ Θεὸς προσκυνεῖται, ἵνα τί με παρὰ τῶν προφητῶν ἀριδήλως τὰ περὶ τούτου διεμηνύθη τῷ Ἰσραήλ; Καὶ ἄκουε ἐν Αἰγύπτῳ πάλαι τὸν Ἰσραὴλ πλεῖστον διατρίψαντα χρόνον, καὶ τὴν πολύθεον τῶν Αἰγυπτίων μεμαθηκότα θρησκείαν, οὐκ ἐναργῶς τὰ περὶ τῆς Τριάδος ὁ πάντα πρὸς τὸ συμφέρον οἰκονομῶν Θεὸς ἐξεπαίδευσε δόγματα, ἵνα μὴ πρόφασιν ἐντεῦθεν πολυθεΐας λαβὼν, εἰς τὴν τῶν Αἰγυπτίων καὶ αὖθις ἐπαναζεύξῃ πλάνην· ἐφ' ᾧ τὸ τῆς Τριάδος μυστήριον σοφῶς πάντῃ καὶ οἰκονομικῶς συνεσκίασεν· εἰ γὰρ ἐξ ἀρχῆς αὐτῆς τοὺς τελείους προσενήνοχε λόγους, πάντως ἂν ὁ δυσκάθεκτος ἀπεσκίρτησεν Ἰσραὴλ, καὶ πρὸς τὸν πρώην ἐπαλινδρόμησεν ὀλεθρον· εἰ γὰρ καὶ τοιοῦτον ἀκούων οὐδὲν, αὐτοῦ μὲν τοῦ ἑνὸς ἐπελανθάνετο καθ' ὥραν Θεοῦ, ὁλοσχερῶς δὲ τῆς Αἰγυπτιακῆς ἀσεβείας ἐξήρτητο, τί οὐκ ἂν ἐποίησεν, εἴ γε παραχρῆμα κατήκοος Τριάδος ἐγένετο; αὐτοὺς ἂν ἐκείνους ἐδόκει διὰ τὸ πλῆθος ὁρᾷν τοὺς ἐν Αἰγύπτῳ προσκυνουμένους παμπόλλους θεούς.

B Quod si ita se hæc habeant, quomodo dubitas adhuc de trina in subsistentiis divinitate? quomodo Filium non adoras? quomodo in Spiritum non credis? — At unum Deum prædicat Scriptura. — Quid prodest multa dicere? Mitte Isaiam, præteri David, et omnem reliquam Scripturam, per quos æterna Trias magna voce prædicatur; ingredere in Abrahæ tabernaculum, et adverte caute, quinam fuerint qui illi apparuerunt, quot numero, et quæ et qualia ad illos patriarcha locutus fuerit. Ut enim perfectam cognitionem habenti, Abrahæ velut tres apparuerunt, et tanquam unus loquebantur, similiterque et ipse accommodavit suum ad illos sermonem: « Declinate, Domine (inquit), ad me [8]. » Quid enim extraneum magis? quid melius æqualem honore Triadem declararet? *Declinate* pluraliter dicens, diversitatem personarum significavit; *Domine*, singulariter unam earum indicavit naturam et unum dominatum. Quod si Deum esse unum dicis, reliquos vero angelos, deliras stulte, et ridiculus mihi omnino videris. Quando enim servi cum Domino sedere permissi sunt? quando Deo apparente, duos solum angelos satellites esse audivimus? Ex eo igitur tempore æqualis honore et potentia sancta Trias Abrahæ cognita fuit. Quid ad hæc dixeris? an velut canis amplius contra veritatem rabias? — Si in Triade, dicis, Deus adoratur, cur a prophetis clare hæc non exposita sunt Israel? — Audi: In Ægypto olim Israel longo tempore morantem, et polytheum Ægyptiorum cultum cognoscentem, non C clara de Triade, qui omnia ad utilitatem administrat, Deus tradidit dogmata, ne inde occasionem polytheismi sumens, in errorem Ægyptiorum rursus incideret. Quamobrem Triadis mysterium sapienter admodum et utiliter inumbravit. Si enim a principio apertum de illa sermonem tulisset, omnino restitans calcitraret Israel, et ad pristinam reverteretur perditionem. Si enim nihil tale audiens, ipsius unius Dei continuo obliviscebatur, prorsusque ex Ægyptiorum impietate pendebat, quid non egisset, si statim de Triade aperte audivisset? hos ipsos existimasset ob numerum videre deos multos qui in Ægypto adorabantur.

[8] Gen. XVIII, 3.

Habeo autem tibi aliud de his dicendum : Quando Christus hominem se esse, non tandem Deum, ut tu testaris, dicebat, cur eum crucifixisti? non propter hoc? et quare igitur? — Quia legem violabat et Sabbata solvebat. — Et quomodo hoc egit, dic? quod paralyticum in Sabbato ambulare fecit? quod decumbentem in lecto erexit? quod mortuum quatriduanum suscitavit? et qualis est hoc legis violatio? qui jumentum educit e fossa die Sabbati legem violare non dicitur, et qui mortuum maleolentem ad vitam reducit legem violat? O injustum judicium, o dementiam vestram! qui jumentum melius homine vos ipsi jumenta judicatis! Sed quid tantum honorem Sabbati defendis, o improbe et stulte? Olim Deus præcipiens honorari Sabbatum, et in hoc omne opus vobis prohibens, infantem, si octo dierum Sabbato esse contingeret, circumcidi libere sinens, clare ostendit, cum tandem incideret circumcisionis octavus dies, hunc sanctum et Dominicum esse; nam post septimum iste est, ideo octavus vocatur, in quo Sabbati honor solvetur. Circumcisio autem dici potest aptissime : in illa enim e mortuis suscitato Domino nostro Jesu Christo, peccatum circumcisum est, et dæmoniorum superbia dejecta est. Sed quid multa dicere? olim Deus Sabbati solutionem significavit esse, translationem, et per octavi diei circumcisionem, ut jam ostendimus, nec minus autem per Jeremiam [4], quando statui Testamentum Novum promisit. Ne igitur moleste feras, neque contra nos disputando pugnes, si cum reliquis Sabbati honor transfertur. Novo enim Testamento, omnia nova esse debent et ejus dogmata. Novum autem omnino illud est quod nunc institutum est, nec illi simile quod præteriit, nec est nec videtur; et hoc aperte Dominus declaravit : « Statuam Testamentum Novum, non quale statui patribus vestris, cum eduxi eos ex Ægypto [5]. »

Si vero ita illa se habent, et Sabbati solutionem decet videre, et circumcisionis mutationem, et multorum aliorum legis præceptorum. Si enim Mosaica illa et cætera præscripta semper debebant permanere, et usque ad finem firmitatem tenere, non diceret Deus per Jeremiam transisse vetera, aliaque pro illis nova succedere. Quod sit autem Novum istud Testamentum, et in quo detur loco, Isaias docet te dicens : « Ex Sion exibit lex, et verbum Domini e Jerusalem [6], » sed vide Dei sapientiam : tuam enim prævidens obstinationem et incredulitatem, per unum prophetam de Novo Testamento declaravit, per alterum autem ipsum ostendit locum, in quo talis locum habebit legis conditio. Frustra denique Sabbati honorem defendis, frustra circumcisionem jactas; Testamentum enim Novum Deus instituens, hæc omnia destruxit. Præterea, cum velut signum circumcisio data sit, quid

Ἔχω δέ σοι καὶ ἕτερον ἐπὶ τούτοις εἰπεῖν· ἐπειδὴ ὁ Χριστὸς ἄνθρωπον ἑαυτὸν, οὐ μέντοι Θεόν, ὡς σὺ μαρτυρεῖς, ἔλεγεν εἶναι, πῶς αὐτὸν ἐσταύρωσας; ἀλλ' οὐ διὰ τοῦτο; καὶ τίνος ἕνεκεν; Ὡς παρανομοῦντα καὶ τὰ Σάββατα λύοντα. Καὶ πῶς καὶ τίνα τρόπον, εἰπέ. Ὅτι τὸν παράλυτον ἐν Σαββάτῳ βαδίζειν ἐποίησεν; ὅτι τὴν συγκύπτουσαν ὤρθωσεν; ὅτι νεκρὸν τετραήμερον ἤγειρε; καὶ ποία τοῦτο παρανομία; ὁ τὸ κτῆνος ἀνάγων ἐκ βόθρου κατὰ τὸ Σάββατον παρανομεῖν οὐ λέγεται, καὶ ὁ νεκρὸν ὀδωδότα ζωώσας παρανομεῖ; Ὦ τῆς ἀδίκου κρίσεως! ὦ τῆς παραπληξίας ὑμῶν! ὅτι τὸ κτῆνος κρεῖσσον ἀνθρώπου παρ' ὑμῖν τοῖς κτήνεσι κρίνεται· ἀλλὰ τί τοσοῦτον ἀντέχῃ τῆς τοῦ Σαββάτου τιμῆς, ὦ ἄθλιε σὺ καὶ ἀνόητε; πάλαι ὁ Θεὸς ἐντειλάμενος τιμᾶσθαι τὸ Σάββατον, καὶ ἐν αὐτῷ μηδὲν ὑμᾶς ἐργάζεσθαι, παιδίον δὲ εἰ τύχοι ὀκταήμερον λύειν Σάββατον, καὶ ἀκωλύτως αὐτὸ περιτέμνειν, σαφῶς ἐδήλωσεν, ὡς ἐλθούσης ὑμῖν ποτε τῆς ὄντως ὀγδόης περιτομῆς, ἥτις ἐστὶν ἁγία Κυριακή. Μετὰ γὰρ ἑβδόμην αὕτη, ἐφ' ᾧ καὶ ὀγδόη καλεῖται, ἡ τοῦ Σαββάτου τιμὴ καταλυθήσεται· περιτομὴ δὲ λέγοιτ' ἂν καὶ μάλα εἰκότως· ἐν αὐτῇ γὰρ ἐκ νεκρῶν ἐγερθέντος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἁμαρτία περιετμήθη, καὶ ἡ τῶν δαιμόνων ὀφρὺς καθηρέθη· καὶ τί χρὴ πολλὰ λέγειν; πάλαι ὁ Θεὸς τὴν τοῦ Σαββάτου κατάλυσιν ἠνίξατο μεταβολὴν, καὶ διὰ τῆς ὀκταημέρου περιτομῆς, ὡς ἤδη φθάσαντες εἴπομεν· οὐχ ἧττον δὲ καὶ διὰ τοῦ Ἱερεμίου ὕστερον, ἡνίκα διαθεῖναι Διαθήκην Καινὴν ἐπηγγείλατο. Μὴ οὖν δυσχέραινε, μηδὲ καθ' ἡμῶν ἐριστικῶς διαμάχου, εἴ γε πρὸς τοῖς ἄλλοις καὶ ἡ τοῦ Σαββάτου τιμὴ μετατίθεται· Καινῆς γὰρ οὔσης τῆς Διαθήκης, καινά τινα εἶναι ὀφείλουσι καὶ τὰ ταύτης θεσπίσματα· καινὸν δὲ πάντως ἐκεῖνό ἐστι τὸ νῦν προτιθέμενον, καὶ μὴ ταυτὸν τῷ παρεληλυθότι, καὶ ὃν καὶ φαινόμενον· καὶ τοῦτο δηλῶν ὁ Κύριος ἔλεγε· « Διαθήσομαι Διαθήκην Καινὴν, οὐχ οἵαν διεθέμην τοῖς πατράσιν ὑμῶν, ἐξάγων αὐτοὺς ἐξ Αἰγύπτου. »

Εἰ δὲ ταῦτα οὕτως ἔχει, καὶ Σαββάτου κατάλυσιν εἰκός ἐστιν ἰδεῖν, καὶ περιτομῆς ἐναλλαγὴν, καὶ πολλῶν ἑτέρων νομικῶν διατάξεων· εἰ γὰρ τὰ Μωσαϊκὰ ἐκεῖνα καὶ παλαιὰ διατάγματα εἰς ἀεὶ παραμένειν ἔμελλε, καὶ μέχρι τέλους τὸ πάγιον ἔχειν, οὐκ ἂν ἔλεγε διὰ τοῦ Ἱερεμίου παρελθεῖν μὲν τὰ παλαιὰ, ἕτερα δὲ ἀντὶ τούτων καινὰ εἰσελθεῖν. Τίς δὲ ἡ Καινὴ αὕτη Διαθήκη, καὶ ἐν ποίῳ δίδοται τόπῳ, Ἡσαΐας διδάξει σε λέγων· « Ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἰερουσαλήμ. » Ἀλλ' ὅρα σοφίαν Θεοῦ· τὴν γὰρ σὴν προειδὼς ἀνηκοΐαν καὶ ἀπιστίαν, διὰ τοῦδε μὲν τοῦ προφήτου περὶ τῆς Καινῆς ὑπεσημήνατο Διαθήκης· δι' ἐκείνου δὲ καὶ αὐτὸν ἐδήλωσεν τὸν τόπον, ἐν ᾧ ἡ τοιαύτη ἔμελλε δοθῆναι νομοθεσία· μάτην λοιπὸν ἀντέχῃ τῆς τοῦ Σαββάτου τιμῆς· μάτην ἐξέχῃ τῆς περιτομῆς· Διαθήκην καὶ γὰρ ὁ Θεὸς Καινὴν παρασχὼν, ταῦτα πάντα κατήργησεν· ἄλλως τε, σημείου ἕνεκεν δοθείσης τῆς περι-

[4] Jerem. xxxi, 31. [5] ibid. 32. [6] Isa. ii, 3.

τομῆς, τί μέγα φυσᾷς ἐπ' αὐτῇ; πῶς δὲ καὶ ἡμῶν A κατεπαίρῃ τῶν ἀπεριτμήτων; σὺ περιτέμνεσθαι καταναγκάζῃ σαρκὶ, ἐγὼ δὲ τῇ καρδίᾳ περιτέμνομαι, ἵνα μὴ πονηρὰ λογίζωμαι. Ὅτι δὲ τῷ Θεῷ εὐάρεστος ἡ τοιαύτη περιτομὴ, ἄκουε τί φησι κατηγορῶν τοῦ Ἰσραὴλ διὰ τοῦ Ἱερεμίου· « Πάντα τὰ ἔθνη ἀπερίτμητα σαρκὶ, ὁ δὲ οἶκος Ἰσραὴλ ἀπερίτμητος καρδίαις αὐτῶν. » Μὴ γὰρ ἡ τῆς ἀκροβυστίας περιτομὴ δικαιοῦν δύναται· ἐπὶ τὸν πατριάρχην ἄνελθε Ἀβραὰμ, καὶ ὄψει αὐτὸν πίστει μόνῃ, μὴ μέντοι γε περιτομῇ, δικαιούμενον. « Ἀβραὰμ γὰρ, φησὶν, ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. » Γνωρίσματος οὖν χάριν ὕστερον ἡ περιτομὴ νενομοθέτηται, ὥστε δι' αὐτῆς χαρακτηρίζεσθαι πιστοὺς, ὁπηνίκα τοῖς ἔθνεσι συναναστρέφοιντο, καὶ B εἰς μνήμην ἄγεσθαι τοῦ τῶν ὅλων Θεοῦ· εἰς πίστιν γοῦν τῶν λεγομένων αὐτά σοι παραγέτωτὰ πράγματα· ὅτε γὰρ ὁ Ἰσραὴλ ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη μόνος καθ' ἑαυτὸν διέτριψεν, ἑτέρῳ ἔθνει μὴ συναναμιγνύμενος, οὐκ ἦν ἀναγκαία ἡ περιτομὴ, ἐφ' ᾧ καὶ ἀπερίτμητοι ἐτύγχανον γεννηθέντες κατὰ τὴν ἔρημον· ἡνίκα δὲ ὁ τοῦ Ναυῆ Ἰησοῦς τὸν Ἰορδάνην αὐτοὺς διεβίβασε, κελεύσει θείᾳ περιετμήθησαν· « Ποίησον γὰρ, φησὶ πρὸς αὐτὸν ὁ Θεὸς, μαχαίρας πετρίνας, καὶ καθίσας περίτεμε τοὺς υἱοὺς Ἰσραὴλ· τίνος ἕνεκεν καὶ..

tantum de illa inflaris? quomodo in nos insurgis incircumcisos? Tu circumcidi juberis carne, ego corde circumcidor, ne prava cogitem. Quod autem Deo hujusmodi circumcisio gratissima sit, audi quid dicat increpans Israel per Jeremiam : « Omnes gentes incircumcisæ carne, domus autem Israel incircumcisa cordibus eorum [7]. » Non enim præputii circumcisio justificare potest; ad Abraham patriarcham adi, et videbis illum sola fide, non autem circumcisione, justificatum. Abraham enim, dicitur, « Credidit Deo, et reputatum est ei in justitiam [8]. » Postea præscripta est circumcisio velut signum, ut discernerentur per eum fideles, quando cum gentibus conversabantur, et ut memoriam Dei revocaret. In fidem eorum quæ dicimus tibi res se præbent. Cum enim Israel in deserto quadraginta annis solus secum versatus est, alteri genti non permistus, non necessaria fuit circumcisio, idcirco incircumcisi permanserunt qui in deserto nati erant; quando autem Jesu filius Nave Jordanem cum illis trajecit, jussu divino circumcisi sunt: « Fac, dicit illi Deus, cultros lapideos, et sedens circumcide filios Israel [9]. » Quam ob causam et.....

Reliqua desunt.

[7] Jerem. IX, 26. [8] Gen. XV, 6; Galat. XXXVI. [9] Josue, V, 2.

FRAGMENTA.

I.

DE OPERATIONIBUS.

Ἀναστασίου Ἀντιοχείας, ἐκ τοῦ Περὶ ἐνεργειῶν λόγου.

(Ang. Mai. *Script. Vet.* VII, 20.)

Τῶν δύο φύσεων ἡ συνδρομὴ μίαν ὑπόστασιν ἀπετέλεσεν· ἦν μὲν γὰρ ἡ ἀνθρωπεία φύσις, ἤτοι τὸ κοινὸν εἶδος ἐξ οὗ τὸ ἡμέτερον προσελήφθη φύραμα· τὸ πρότερον οὐκ ὂν ἐν ἰδικῇ ὑποστάσει, προσληφθὲν δὲ τὴν αὐτὴν ὑπόστασιν ὑπογράφεται τοῦ προσλαβόντος· ὥσπερ γὰρ τῷ Πατρὶ φυσικῶς ὁ Λόγος ἥνωται, οὕτω καὶ ἡμῖν· καὶ ᾧ Λόγῳ τοῦ Πατρὸς διῄρηται· καθ' ὑπόστασιν γὰρ, οὐ ταυτῷ καὶ ἡμῶν· οὐ γάρ ἐστιν ἡμῖν ὥσπερ ὁμοφυὴς, οὕτω καὶ ὁμοϋπόστατος, ὅτι μηδὲ τῷ ἰδίῳ Πατρί· οὐ γὰρ ταυτὸν φύσις τε καὶ ὑπόστασις· ἑαυτῷ δὲ καθ' ὑπόστασιν ἥνωται, ἐκεῖνο μείνας ὅπερ πρὸ τῶν αἰώνων ὑπῆρχεν Υἱός· ἦν δὲ πρὸς ἑαυτὸν ἔχειν ἕνωσιν τοῦ τε πρὸς τὸν Πατέρα τοῦ τε πρὸς ἡμᾶς ἔχειν δύναται· καθ' ὑπόστασιν γάρ ἐστιν ἡ τῶν φύσεων ἕνωσις, καὶ ἡ αὐτὴ αὐτοῦ ἐστιν ὑπόστασις· Υἱὸς γὰρ ὢν, πάλιν Υἱός ἐστι καὶ τὴν ἀνθρωπείαν ἑνώσας ἑαυτῷ φύσιν· οὐ γὰρ ὑπόστασιν ἑτέραν ἑαυτῷ λαβὼν ἥνωσεν, ἀλλὰ φύσιν ἥρμοσεν ἀφθάρτως τῇ ἑαυτοῦ ὑποστάσει· καὶ ἔστι καὶ τοῦτο Θεὸς καὶ ἄνθρωπος κατ' οὐσίαν· ὁ αὐτὸς δὲ καθ' ὑπόστασιν μόνος Υἱὸς, καὶ Χριστὸς, καὶ Κύριος· οὕτως C οὐκ ἔστι χωρὶς ὑποστάσεως οὐσία, κἂν ὁ Λόγος τῆς οὐσίας ἕτερός ἐστιν, ἄλλος δὲ τῆς ὑποστάσεως· κοινὴν γὰρ τὴν μίαν καὶ τὴν αὐτὴν ὑπόστασιν αἱ συναφθεῖσαι πρὸς τὴν ἄῤῥητον ἕνωσιν ἔχουσι δύο φύσεις· διὸ προσθήκη τῇ ἁγίᾳ Τριάδι οὐκ ἐγένετο· προσθήκης γὰρ ἀνεπίδεκτός ἐστιν. Ἄλλως τε δὲ καὶ ἡ Τριὰς ὑποστάσεών ἐστιν· ἡ γὰρ οὐσία μοναδικῆς ἐστι. Τῆς οὖν ὑποστάσεως τῆς αὐτῆς μεινάσης τοῦ Υἱοῦ, πῶς ἀμάθητα λαλοῦσί τινες τερατευόμενοι τετράδα λέγειν ἀντὶ Τριάδος τοὺς τὴν ἀλήθειαν ὁμολογοῦντας τῶν ἐν Χριστῷ φύσεων, ἢ τῶν ἐν αἷς ἐστιν ὁ Χριστός; εἰ μὲν ὑποστῆναι πώποτε καθ' ἑαυτὴν τὴν ἔμψυχον τοῦ Κυρίου σάρκα ἐλέγομεν, ἢ ἰδίᾳ καὶ ἀνὰ μέρος αὐτὴν ἐνεργεῖν διεβεβαιούμεθα, καλῶς ἡμᾶς τετράδα ἀντὶ D Τριάδος λέγειν ὑπελάμβανον· εἰ δὲ μετὰ τοῦ συντιθεμένου καὶ συνυφεστῶτος αὐτῇ Λόγου ἐνεργεῖν αὐτὴν πάντοτε ὁμολογοῦμεν ἀχωρίστως, καὶ οὔτε προϋφεστάναι λέγομεν τῆς πρὸς αὐτὸν ἑνώσεως, ἀλλ' ἐν αὐτῷ τὸ εἶναι λαβοῦσαν αὐτὴν γινώσκομεν,

κακῶς ἡμᾶς συκοφαντοῦσιν οἱ ἀβασανίστως ἅπερ βούλονται ἐρευγόμενοι· ἐξ ὑποδείγματος δὲ τὸ λεγόμενον σαφέστερον δείξομεν· ὑπόθου τρεῖς εἶναι στήλας χαλκᾶς· καὶ τὴν μίαν ἐκπυρωθεῖσαν ἄκρως καὶ ῥάβδον ἐν τῇ χειρὶ αὐτῆς προστεθεῖσαν· εἶτα ἐπειδὴ αἱ ἄλλαι δύο ἀβλαβεῖς τοῖς προσαπτομένοις εἰσίν, αὐτὴ δὲ ἀνέπαφος διὰ τὴν λαβρότητα τῆς ἐκπυρώσεως, παρὰ τοῦτο τέσσαρες στῆλαί εἰσι καὶ οὐ τρεῖς; ἢ τῆς ἰδίας ἐξέστη φύσεως ὁ χαλκὸς πυρωθείς, οὐχὶ δὲ μᾶλλον προσθήκην μὲν ἔλαβε τὴν τοῦ πυρὸς οὗ καὶ τὴν ἐνέργειαν ἐκτήσατο τῆς οὐσίας τε καὶ ἐνεργείας καὶ δυνάμεως; καὶ ἄλλως δὲ τὸ λεγόμενον διασαφηνίσωμεν· ἔστω εἶναι τρεῖς πάλιν ἀδριάντας χαλκοῦς· καὶ ἀναχρισθῆναι κηρῷ, ἤγουν ἀναμαχθῆναι, ἢ τυχὸν χρυσῷ ἢ πηλῷ, ὥστε σκεπασθῆναι τὸν χαλκὸν καὶ ἀφανῆ γενέσθαι τῇ ὄψει· λέγε· αὐτὸν βλαβῆναί τις εἰς τὴν ἰδίαν οὐσίαν, διὰ τὴν τοῦ κηροῦ ἢ τῶν ἄλλων πρόσληψιν, οὐ λέγει δὲ σώζεσθαι ἐν αὐτῷ τὰς δύο τοῦ τε χαλκοῦ καὶ τοῦ κηροῦ ἢ τοῦ χρυσοῦ φύσεις ἀλωβήτους; εἶτα μὴ δυνάμεθα λέγειν τέσσαρας γενέσθαι αὐτοὺς ἀνδριάντας διὰ τὴν γινομένην προσθήκην· οὐκοῦν τῷ αὐτῷ παραδείγματι ὡς ἐκ τῶν μικρῶν τὰ μεγάλα στοχάσασθαι, καὶ ἀμυδραῖς τισιν εἰκόσι τὴν ἀλήθειαν ἐνοπτρίσασθαι, νοήσεις καὶ ἐπὶ Χριστοῦ δύο μὲν τὰς φύσεις, μίαν δὲ τὴν ὑπόστασιν· καὶ προσθήκην τῇ Τριάδι γενέσθαι οὐδαμῶς ὑποπτεύσεις.

Duo de hoc argumento fragmenta legere est inter Opera S. Joannis Damasceni *Patrol.* tom. XCIV, col. 216, 1049.

II.

Ἀναστασίου Ἀντιοχείας ἐκ τῶν Κατὰ τοῦ διαιτητοῦ.

Κἂν μιᾶς εἶναί ποτε λέγεται φύσεως ὁ ἄνθρωπος, οὐχ ὁ καθ' ἕκαστον, ἀλλ' ὁ καθόλου, διὰ τὸ ταυτὸν τοῦ εἴδους καὶ τὴν τῆς κατασκευῆς ὁμοιότητα, τῆς φύσεως ἀντὶ τοῦ κοινοῦ εἴδους καὶ τοῦ παραπλησίως πεφυκέναι λαμβανομένης· καὶ πάλιν οὐ τοίνυν μία φύσις ψυχῆς τε καὶ σώματος· ἡ μὲν γὰρ λογικὴ ἐστι καὶ νοερὰ καὶ ἀσώματος, τὸ δὲ παχύ τε καὶ θνητὸν καὶ ἄλογον· οὐ μιᾶς δὲ κατ' οὐσίαν ἀντιδιαιρούμενα φύσεως, οὐ μιᾶς ἄρα γε οὐσίας ὁ ἄνθρωπος· καὶ ἄλλως γὰρ φάναι, εἰ πᾶς ὅρος τῶν ὑποκειμένων φύσεών ἐστι δηλωτικὸς, λέγεται καθ' ὁρισμὸν ζῶον λογικὸν θνητὸν ὁ ἄνθρωπος· οὐ ταυτὸν δὲ κατὰ φύσεως λόγον τὸ λογικὸν τῷ θνητῷ, οὐκ ἄρα μιᾶς εἴη ὁ ἄνθρωπος φύσεως κατὰ τὸν τοῦ οἰκείου ὁρισμοῦ κανόνα· εἰ δὲ λέγοιτό ποτε μιᾶς φύσεως ὁ ἄνθρωπος, ἀντὶ τοῦ εἴδους τὸ τῆς φύσεως παραλαμβάνεται ὄνομα· ὡς ἂν εἴη λεγόντων ἡμῶν ὅτι μὴ διαλλάττει κατά τινα φύσεως διαφορὰν ἄνθρωπος ἀνθρώπου, ἀλλ' ὡσαύτως ἔχειν ἀλλήλοις πεφύκασιν ἄνθρωποι, κατὰ τὸν τῆς συστάσεως λόγον, ὥστε καὶ ὑφ' ἕνα πάντας ἀνάγεσθαι ὁρισμόν· καὶ οὐ παράδοξον δή τοῦτο, ὅπου γε καὶ πάντα ἅμα καθόλου τὰ γενητὰ κτιστὰ, εἴτε λογικὰ εἴη, εἴτε σωματικά, μιᾶς ἔσθ' ὅτε προσαγορεύομεν φύσεως κατ' αὐτὸ τὸ εἶναι γενητά, πρὸς ἀντιδιαστολὴν τῆς ἀκτίστου καὶ ἀγενήτου θείας φύσεως, ὡς ἐναργῶς ἰδηλοῖ πρὸς τοῖς ἄλλοις ἅπασι διδασκάλοις ὁ ἐν ἁγίοις Ἀθανάσιος ἐν τῷ κατὰ τῶν βλασφημούντων τὸ Πνεῦμα τὸ ἅγιον οὑτωσὶ λέγων· Ὅτι δὲ ἄνω τῆς κτίσεώς ἐστι τὸ Πνεῦμα, καὶ ἄλλο μὲν παρὰ τὴν τῶν γενητῶν φύσιν, ἴδιον δὲ τῆς θεότητος, ἔξεστι καὶ ἐκ τούτου πάλιν συνιδεῖν, καὶ ἑξῆς· οὐκ ἄρα γε οὖν μιᾶς εἴη φύσεως ὁ καθ' ἕκαστα καὶ ἄτομος ἄνθρωπος, ἀλλὰ μιᾶς μὲν ὑποστάσεως, δύο δὲ φύσεων.

III.

IN ILLUD : *CREAVIT DEUS SECUNDUM IMAGINEM*, etc.

Ἀναστασίου πρεσβυτέρου περὶ τοῦ· « Κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ὑπὸ Θεοῦ κατασκευῆς, λόγος.

(Ang. Mai, *Scriptor. Veter. collect.* VII, 192.)

Παρέβαλόν τινι τῶν ἐξηγητῶν, καὶ ἔλεγεν ὅτι ποτὲ φιλολογοῦντος αὐτοῦ τὴν ἱερὰν Γραφὴν, ἐγένετο ἐξαίφνης ὥσπερ διανοιχθῆναι αὐτοῦ τοὺς νοεροὺς ὀφθαλμοὺς καὶ ἰδέσθαι πᾶσαν τὴν κατασκευὴν τῆς κτίσεως καὶ πάντων τῶν ἐν αὐτῇ τὴν εἰκόνα καὶ τύπον τῆς ἀνθρωπήσεως τοῦ Θεοῦ Λόγου διαγράφουσαν· καὶ διὰ τοῦτό φησιν ὁ Παῦλος περὶ Χριστοῦ, ὅτι· « Τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἐκτίσθη. » Χρὴ τοὺς σοφῶς καὶ ἐχεφρόνως μέλλοντας συζητεῖν μετὰ τῶν αἱρετικῶν περὶ τῶν τοῦ Χριστοῦ ἰδιοτήτων λόγον, ἤτοι περὶ θελήσεως ἢ περὶ ἐνεργείας πρὸ παντὸς λόγου ἀπαιτεῖν αὐτοὺς ἐγγράφως ἐκθέσθαι τοὺς ὑπογεγραμμένους ὅρους· ἐξ αὐτῶν γὰρ εὐχερῶς ἐλέγχεται ἡ ἀφροσύνη αὐτῶν· δύο γὰρ τελειότητας οἱ ἅγιοι Πατέρες εἰρήκασι ἐν τῷ Χριστῷ, τουτέστι τέλειον αὐτὸν ὄντα ἐν θεότητι ὁμοίως καὶ τέλειον ἐν ἀνθρωπότητι· δεῖ τοίνυν ἀπαιτεῖν αὐτοὺς ὁριστικῶς εἰπεῖν εἴ γε καὶ ἐπίστανται. — Τί ἐστιν ὅρος ὁμοουσίου ἀληθοῦς. Τί ἐστιν ὅρος τελείου ἐντελοῦς. Τί ἐστιν ὅρος ψυχῆς λογικῆς. Τί ἐστιν ὅρος ψυχῆς ἀλόγου. Καὶ ποῖος ὅρος τῆς ψυχῆς τοῦ Χριστοῦ. Καὶ τί ἐστι σαρκικὸν θέλημα. Καὶ τί ψυχή. Καὶ τί θεϊκόν. — Καὶ ἐὰν τοὺς προειρημένους ὅρους πατρικῶς καὶ οὐχ Ἑλληνικῶς διορίσαι ἰσχύσωσιν, ἐξ αὐτῶν ἐλεγχόμενοι πίπτουσιν· ὥσπερ γὰρ ἀνελλιπῆ θεὸν δείκνυσιν ἡ πρὸς τὸν Πατέρα ὁμοουσιότης τὸν Λόγον, οὕτως ἐκ παντὸς τρόπου καὶ ἀνελλιπῆ αὐτὸν ἄνθρωπον παρίστησι ἡ πρὸς ἡμᾶς τοῦ σώματος αὐτοῦ καὶ τῆς ψυχῆς ὁμοουσιότης.

Παρακαλοῦμεν τοὺς ἐν Κυρίῳ ἀδελφοὺς ἡμῶν μετὰ πολλῆς εὐλαβείας καὶ περισκέψεως διαλέγεσθαι πρὸς τοὺς ἀντιδίκους τὸν περὶ ἐνεργειῶν καὶ θελή-

μάτων λόγον, καὶ μάλιστα πρὸς τοὺς μὴ χωροῦντας· οὐδὲ γὰρ πάντων ἡ πίστις, ὡς φησιν ὁ Παῦλος· λοιπὸν μὴ ἀναισχύντῳ προσώπῳ καὶ ἀναιδεστάτῃ φωνῇ ὥς τινες ἄφρονες, ἀπεριφυλάκτως κράζωμεν δύο φυσικὰ θελήματα καὶ δύο φυσικὰς ἐνεργείας, καὶ δύο φυσικὰ τόδε καὶ τόδε, ἀλλὰ μετ' εὐλαβείας καὶ φόβου Θεοῦ καὶ περισκέψεως· ἔστι γὰρ καὶ εὐσεβῶς εἰπεῖν ἐν Χριστῷ καὶ τὰς δύο φύσεις. Ὁμοίως ἔστι καὶ ὀρθῶς καὶ στρεβλῶς εἰπεῖν ἐν αὐτῷ καὶ θελήματα καὶ ἐνεργείας· καὶ γὰρ καὶ Διόδωρος καὶ Νεστόριος λέγουσι δύο φύσεις Χριστοῦ, ἀλλ' ὑποστατικῶς. Καὶ Θεόδωρος ὁ Ἀντιοχεὺς καὶ Ἄρειος ὁ Ἀλεξανδρεὺς λέγουσι δύο θελήματα, ἀλλ' ἐναντίως. A Καὶ Μάνης ὁ Πέρσης λέγει δύο ἐνεργείας, ἀλλ' ἀγαθοῦ Θεοῦ καὶ πονηροῦ ἑτέραν. Διὸ δυσωπῶ ἐν πάσῃ περισκέψει τοῖς μαχομένοις ἀπολογισώμεθα λέγοντες πρὸς αὐτοὺς εὐθέως, ὅτι εἴτις λέγει ἐν Χριστῷ σαρκικὸν θέλημα ἢ κοσμικόν, ἢ ὅλως ἐνέργειαν ἐναντιουμένην τῇ αὐτοῦ θεότητι, ἢ θέλημα ἀντιπίπτον τῷ Θεῷ Λόγῳ, ἔστω κατάκριτος· πάντα γὰρ ὅσα εἶχεν ἡ τοῦ δούλου μορφή, ὑπέκειντο καὶ ἤγοντο κατὰ τὸ νεῦμα καὶ βούλημα τῆς τοῦ Δεσπότου τοῦ Θεοῦ Λόγου μορφῆς. Ἀλλ' ὅπως μὴ ποιήσωμεν τὴν θείαν φύσιν αὐτοῦ ὑποκειμένην πάθεσι καὶ ὡς δοῦλον ὑποπίπτοντα τὸν λόγον τῷ Πατρὶ, τούτου χάριν ἑκατέρᾳ φύσει Χριστοῦ ἀδιαιρέτως τὰ ἴδια ἀπονέμομεν.

—

IV.

Ἀναστασίου Ἀντιοχείας ἐκ τῆς πρὸς Σέργιον τὸν Γραμματικὸν (1).

(Ang. Mai, *Script. Vet.* VII, 27.)

Κέκρυπται δὲ ταῖς ἀληθείαις ὑπὸ τῆς θείας φύσεως ἡ ἀνθρωπεία, κἂν ὁ λόγος διακρίνῃ τὴν οὐσίαν αὐτῆς· ὥστε μὴ ῥᾴδιον εἶναι διαγνῶναι τὴν φύσιν αὐτῆς, καταποθείσης οἷον καὶ μεταποιηθείσης πρὸς τὴν προσλαβοῦσαν· ὥσπερ τὰ τῷ πυρὶ τῆς τοῦ πυρὸς μεταλαμβάνει ποιότητος, ὡς σχεδὸν ἄγνωστον εἶναι τὴν διάκρισιν τοῦ τε μετεχομένου καὶ τοῦ μετέχοντος.

Οὐκ ἔστι μὲν οὖν εὑρεῖν εἰκόνα παραστατικὴν τῆς ἑνώσεως ταύτης· πλὴν πειρώμεθά τινα παραγαγεῖν μετρίως μὲν ὡς πρὸς τὸ μέγεθος τοῦ μυστηρίου, τῶν δὲ λοιπῶν ἀληθεστέραν ἐμφέρειαν ἔχουσαν· οἷον γὰρ ἂν τις εἰκάσαι πάντα τὸν ἐκτὸς οὐρανοῦ ἀέρα πεπυρωμένον, μᾶλλον δὲ πῦρ εἶναι, κόκκον δὲ σινάπεως ἢ κέγχρου ἐμβεβλῆσθαι τῷ τοσούτῳ πυρὶ, ἀνάγκη κἀκεῖνον πρὸς τὸ ἐπικρατοῦν πεπόσθαι, ὡς μὴ δοκεῖν ἕτερον εἶναι τὸ πῦρ, εἰ καὶ τῆς οὐσίας ὁ λόγος ὑφέστηκεν· οὕτω καὶ ἡ ἀνθρω- B πεία φύσις ἑνωθεῖσα τῷ Θεῷ Λόγῳ κατεκρατήθη τοσοῦτον, ὡς μὴ δοκεῖν ἔτι φύσιν ἀνθρώπου εἶναι· ταύτῃ τε λέγειν τοὺς πατέρας τεθεῶσθαι μὴ ἀποκνῆσαι τὴν φύσιν· εἰ δὲ καὶ ἐπὶ τοσοῦτον ἀνεκρατήθη τὴν οὐσίαν, δεῖ γε σώζειν τὴν διαφοράν· οὐ γὰρ κατὰ πρῶτον λόγον ἑαυτῆς ἐξέστη· καὶ γὰρ καὶ ἡ θεία φύσις μεμένηκεν ἀναλλοίωτος ἐν τῇ τοῦ φυράματος ἡμῶν προσλήψει· ὅπερ πᾶσα παρίστησιν ἡ θεόπνευστος Γραφή.

Τοῦ αὐτοῦ.

Ἀλλ' ἡ ἕνωσις μίαν ὑπέδειξεν ἡμῖν τὴν προσκύνησιν, τοῦ τε θεοποιήσαντος καὶ τοῦ θεοποιηθέντος· μία γάρ ἐστιν ἀχώριστος ὑπόστασις· οὐ τῶν φύσεων ἀλλοιωθεισῶν, οὐδὲ τῶν ἰδιοτήτων κατὰ πρῶτον λόγον ἀμειφθεισῶν, ἀλλὰ κατὰ τὸν τῆς ἀνακράσεως, ἵν' οὕτως εἴπω, τρόπον, καθ' ὃ ἂν εἴποι τις αὐτὸν Θεὸν C καὶ ἄνθρωπον, καὶ ὅλον Θεὸν καὶ ὅλον ἄνθρωπον.

—

V.

IN EVANGELIUM SANCTI LUCÆ.

(Ang. Mai, *Script. Vet. nov. coll.* t. IX, 648, 650, 653, 706.)

Ἀναστασίου.

Ὑψηλότερον δὲ, ὅσοι διὰ τοῦ ἐνεργοῦς καὶ τομωτέρου ὑπὲρ πᾶσαν μάχαιραν δίστομον θείου λόγου, πᾶσαν ῥυπαρίαν καὶ σαρκικὴν ἐπιθυμίαν ἐξ ἑαυτῶν ἀποτέμνουσι· καὶ τὸ ἐκ γενέσεως κάλυμμα τῆς ἀγνωσίας ἐκ τοῦ ἑαυτῶν ἡγεμονικοῦ ἀπορρίπτουσιν· οὗτοι καλῶς τὴν ὀγδόην ἡμέραν τῆς περιτομῆς τοῦ Κυρίου ἐπιτελοῦσιν· ἡμεῖς γὰρ ἐσμεν οἱ ἐν αὐτῷ περιτεμνόμενοι πνευματικῇ περιτομῇ ἀχειροποιήτῳ.

Τοῦ αὐτοῦ.

Ἀλλὰ ζητητέον πρῶτον μὲν, περὶ τίνος γέγραπται τὸ περὶ τοῦ καθαρισμοῦ αὐτῶν· δεύτερον δὲ, περὶ τοῦ παραστῆσαι αὐτὸν τῷ Κυρίῳ· καὶ τρίτον, τί σημαίνει τὸ ζεῦγος τῶν τρυγόνων, καὶ οἱ δύο νεοσσοὶ τῶν περιστερῶν· εἰ γὰρ τὸ περὶ τοῦ καθαρισμοῦ αὐτῶν, περὶ τῆς ἁγίας Θεοτόκου, ἢ περὶ τοῦ Κυρίου, νομίσει τις λέγεσθαι, ἀσεβήσει· οὔτε γὰρ ὁ Ἰωσὴφ ἔγνω τὴν ἁγίαν Παρθένον, οὔτε αὐτὴ ἐν ἀνομίαις συνέλαβε καθὼς αἱ ἄλλαι γυναῖκες, ἵνα περὶ τοῦ καθαρισμοῦ ἑαυτῶν προσενέγκωσιν, ἀλλὰ ἀσπόρως συνέλαβε καὶ ἀφθόρως ἔτεκεν· ὅπου δὲ οὐ γυναικὸς καὶ ἀνδρὸς σύνοδος, οὐχ ὕπνος, οὐχ ἡδονὴ συνελθόντος, οὐ συνδυασμὸς, τίς χρεία καθαρισμοῦ; ἀλλ' οὐδὲ περὶ τοῦ Κυρίου τοῦτο εἴρηται, τοῦ ἀκηράτου καὶ ὑπὲρ πᾶσαν καθαρότητα. D

Τοῦ αὐτοῦ.

Θεωρήσωμεν δὲ, τί ἂν τις ποιῶν τὴν ὑπαπαντὴν καλῶς ἑορτάζοι· ὁ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς νεκρώσας, καὶ τὴν νέκρωσιν τοῦ Χριστοῦ ἐν τῷ σώματι περιφέρων, καὶ τῇ πολιᾷ τῆς συνέσεως καὶ τῇ σοφίᾳ κοσμούμενος, καὶ ὑπήκοος τῶν θείων ἐντολῶν γινόμενος, καὶ τὴν Ἱερουσαλὴμ οἰκῶν, λέγω δὴ τὴν ἀτάραχον καὶ εἰρηναίαν ἕξιν διὰ τῆς ἡσυχίας κτησάμενος, καὶ τὸν θεῖον λόγον οὐ καταφρονητικῶς

(1) Apud Lequien *Sancti Damasceni Opp. Ed. nov.* t. I, Patrologiæ vero XCIV, col. 1067.

ἀποθούμενος, ἀλλὰ μυστικῶς διὰ τῆς πράξεως εἰς τὰς ἀγκάλας δεχόμενος· σύμβολον γὰρ αἱ χεῖρες καὶ αἱ ἀγκάλαι, πράξεως· καὶ μετὰ τῶν τοσούτων κατορθωμάτων ἑτοιμάζων ἑαυτὸν ὑπαντῆσαι τῷ ἐρχομένῳ ὥσπερ εἰς οἰκεῖον ναὸν τὸν κόσμον τοῦτον, κρίναι ζῶντας καὶ νεκροὺς· ὄντως κατὰ τὸν θεῖον σκοπὸν, τὴν ὑπαπαντὴν τοῦ Κυρίου ἑορτάζει, γινόμενος πνευματικὸς Συμεών, τουτέστι ὑπήκοος τῶν θείων προσταγμάτων, καὶ πάντα κατορθώσας δικαίως καὶ εὐλαβῶς πάντοτε, καὶ κατὰ τὴν ἡμέραν τῆς ἐξόδου αὐτοῦ, λέγει τό· « Νῦν ἀπολύεις τὸν δοῦλόν σου· » ὁ δ' ἐν ταραχαῖς καὶ πειρασμοῖς βιωτικοῖς ἀναστρεφόμενος, καὶ μηδέποτε τῶν θείων ῥημάτων ὑπήκοος γεγονὼς, πῶς λέξει τό· « Εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου· » πάντοτε τῶν ὀφθαλμῶν αὐτοῦ τῶν αἰσθητῶν καὶ τῶν νοητῶν, εἰς φαντασίας κοσμικὰς καὶ ἐπιθυμίας ἀσελγεῖς, ἀσχολουμένων; οὐκ ἔστιν οὕτως ἑορτάζειν Κυρίῳ, οὐκ ἔστιν οὕτε μετὰ τοιούτων ἔργων θαῤῥεῖν καὶ ἐλπίζειν ἀπαντῆσαι αὐτῷ, κατὰ τὸ, « Ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου, εἰς ἀέρα. »

Τοῦ αὐτοῦ.

Βηθφαγὴ, *οἶκος σιαγόνων* ἑρμηνεύεται· αἱ σιαγόνες δὲ, εἰς τύπον τοῦ λόγου τῆς διδασκαλίας λαμβάνονται, αἳ τοῖς ἱερεῦσι κατὰ τὸν νόμον ἐδίδοντο· Βηθανία δὲ, *οἶκος ὑπακοῆς*· Ἱερουσαλὴμ δὲ, *ὅρασις εἰρήνης*· οἱ δὲ πεμπόμενοι, ἀπόστολοι καὶ προφῆται, ἢ καὶ ἄγγελοι ὑπηρετοῦντες τῷ Χριστῷ πρὸς ἡμετέραν λύτρωσιν· τὸ εἶναι δύο τοὺς ἀποστελλόμενους, δηλοῖ τὰς δύο Διαθήκας· ἡ δὲ ἀνθρωπώνυμος κώμη, τὸν κόσμον τοῦτον αἰνίττεται, ὃς ἀπέναντί ἐστι τῶν ἀποστελλομένων· ἀντίκειται γὰρ ἀληθῶς τοῖς ἀκολουθεῖν καὶ μαθητεύειν θέλουσι τῷ Κυρίῳ ἡ τοῦ κόσμου τούτου φιλία, κατὰ τὸ γεγραμμένον, ὅτι ἡ τοῦ κόσμου τούτου φιλία, ἔχθρα τοῦ Θεοῦ ἐστιν· ἡ ὄνος δὲ ἡ δεδεμένη καὶ ὁ πῶλος, τὴν καθόλου τῶν ἀνθρώπων φύσιν αἰνίττεται, ἥτις καὶ εἰς δύο λαοὺς γνωμικῶς διῃρέθη· τουτέστιν εἰς Ἰουδαίους καὶ τὸν νέον τῶν ἐθνῶν λαὸν, οὓς ὁ Κύριος βούλεται διὰ τῆς τῶν προφητικῶν καὶ εὐαγγελικῶν ῥημάτων διδασκαλίας, ἢ δι' ἀποστόλων καὶ εὐαγγελιστῶν λυθῆναι τῆς τοῦ κόσμου ματαιότητος καὶ φαντασίας, καὶ πρὸς αὐτὸν ἄγεσθαι.

Τοῦ αὐτοῦ.

Τὸ μὲν οὖν στρωννύειν τὰ ἑαυτῶν ἱμάτια, τὴν ἠθικὴν δηλοῖ παίδευσιν· τὸ δὲ καὶ κλάδους κόπτειν καὶ ὑποστρωννύειν, τὸ ἐξ ἀπιστίας ὥσπερ ἐξ ἀγριελαίου ἐκκόπτειν, καὶ διὰ πίστεως ὀρθῆς ὑποτάσσειν τῷ Κυρίῳ· τὸ βαΐα φοινίκων βαστάζειν, χαρακτηρίζει τὴν νίκην ἣν ὑπὲρ ἡμῶν νενίκηκε· σύμβολον γὰρ νίκης τὰ βαΐα· τὸ δὲ Ὡσαννὰ, ἑρμηνεύεται χάρις καὶ δόξα τῷ Υἱῷ Δαβὶδ, ἀμέλει ὁ θεῖος Λουκᾶς, ἐπὶ τούτου, « Δόξα ἐν ὑψίστοις, » εἶπε· τὸ δὲ τὸ αὐτὸ λέγειν τούς τε προάγοντας καὶ τοὺς ὄπισθεν ὄχλους, τὴν ὁμοφωνίαν σημαίνει καὶ ὁμολογίαν τῆς εἰς αὐτὸν ὀρθῆς πίστεως τῶν πρὸ τῆς ἐνσάρκου αὐτοῦ πραγματείας, καὶ τῶν μετὰ ταύτην εἰς αὐτὸν ὀρθῶς πιστευσάντων, καὶ διὰ πίστεως καὶ πράξεως καὶ γνώσεως αὐτῷ εὐαρεστησάντων.

Ejusdem Anastasii exstat fragmentum *de. S. Theodori imagine a Saracenis perforata.* Inter Opera Sancti Joannis Damasceni ed. nov. t. XCIV, p. 1394; necnon et fragmentum *in novam Dominicam* et in *Thomam apostolum*, l. c., p. 415.

VI.

DE DIGNITATE SACERDOTALI (2).

(Ang. Mai, *Spicil. Rom.* t. VII, p. xxvii.)

Pro immunitate ecclesiastica exstat in eodem synodico Constantinopolitano codice breve opusculum Anastasii Sinaitæ, quod ut ineditum memorat etiam Cavæus, p. 346 D. Ejus titulum et initium nunc recitabo.

Demonstratio quod magna et angelica sit dignitas sacerdotium; et quod omnino fieri nequeat, ut judicet laicus de sacerdote, qui nonnisi a majore pontifice judicandus est, ut sancti canones affirmant, et in ecclesiastica etiam Philonis (3) philosophi historia dicitur. — Qui sacerdotem honorat, Deum quoque honorabit; qui autem sacerdotem spernere assuescit, ulterius progressus, Deo ipsi contumeliam aliquando faciet. Qui vos recipit, inquit Christus, me recipit. Alius vero alibi: sacerdotibus Domini, inquit, honorem exhibete. Profecto et Judæi hinc Deum aspernari didicerunt, quia Moysem spreverunt, et lapidibus appetiverunt, etc.

Ἀπόδειξις ὅτι μέγα καὶ ἀγγελικὸν ἀξίωμα ἡ ἱερωσύνη· καὶ ὅτι ἀδύνατον ἀνακρίνεσθαι ἀρχιερέα ὑπὸ λαϊκοῦ, ἀλλ' ὑπὸ μείζονος ἀρχιερέως, καθὼς καὶ οἱ ἅγιοι κανόνες φασίν· καθάπερ καὶ ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ Φίλωνος τοῦ φιλοσόφου. — Ὁ τιμῶν τὸν ἱερέα, τὸν Θεὸν τιμήσει· ὁ δὲ μαθὼν τὸν ἱερέα καταφρονεῖν, ὁδῷ προβαίνων καὶ εἰς τὸν Θεὸν ἐνυβρίσει ποτέ. Ὁ δεχόμενος ὑμᾶς, φησὶν, ἐμὲ δέχεται· καὶ ἕτερος ἀλλαχοῦ· Τοὺς ἱερεῖς αὐτοῦ, φησὶν, ἐντίμους ἔχε· ἐντεῦθεν ἔμαθον οἱ Ἰουδαῖοι τοῦ Θεοῦ καταφρονεῖν, ὅτι Μωσέως κατεφρόνησαν, ὅτι αὐτὸν ἐλίθαζον, κ. τ. λ.

Porro locus, qui infra citatur ab Anastasio ex deperdita Philonis Christiani historia, idem est quem recitat Glycas in Aannalibus, ed. Paris., p. 282.

(2) Idem fragmentum memorat ac citat Allatius *De Perpetua Consensione* ed. Colon., p. 226.

(3) Quis fuerit hic Philo philosophus qui Historiam Ecclesiasticam condidit, vel quo tempore vixerit, me plane nescire fateor. Cave *Hist. litt.*, p. 346.

ANNO DOMINI DXCIX.

ANASTASIUS I

ANTIOCHENUS EPISCOPUS.

NOTITIA

I.

Ex Galland. *Vet. Patrum Biblioth.* t. XII, p. XVII.

I. Anastasius, genere Palæstinus, professione monachus, cum eruditorum plerisque quos laudat Fabricius (1), distinguendus omnino videtur ab Anastasio Sinaita qui Μωϋσῆς νέος a Græcis recentioribus dicitur, ut refert Simonius (2). Quapropter minime audiendus est Nicephorus, qui Anastasium de quo loquimur non solum cum Sinaita confundit, sed et cum altero Anastasio juniore, qui Anastasio de quo hic loquimur in episcopatu successit, et anno 609 Christi martyr occubuit (3). Anastasius itaque post Domnum sive Domninum ad sedem Theopolitanam seu Antiochenam fuit evectus. Initium ejus pontificatus juxta Nicephori *Chronicon* ac Theophanis *Tabulas*, ex Pagii (4) et Lequienii (5) sententia, illigandum anno 559, secus atque alii qui statuunt annum 561. Ejus enim decessor, qui anno 545 Antiochenam sedem obtinuit, annos 14 eam Ecclesiam rexisse, adeoque Anastasium nostrum anno 559 successorem habuisse comperitur. Res ab eo præclare gestas descripsit Evagrius (6). Vir scilicet fuit tum ob eminentem vitæ sanctitatem, tum ob eximiam doctrinam ubique in Oriente spectatus. Magna insuper constantia et animi celsitudine in rectæ fidei defensione præditus fuisse perhibetur. Imperatori namque Justiniano in hæresim Aphthartodocitarum lapso firmiter obstitit : qui propterea ipsum exsilio relegare decreverat ; sed, improviso fato perculsus anno 565, iniquum consilium perficere haud potuit. Illud tamen aliquot post annos perfecisse intelligimus nihilo æquiorem in sanctum antistitem Justiniani cognatum Justinum juniorem, qui eum octavo imperii anno Antiochena sede deturbavit, ipsique Gregorium suffecit asceterii montis Sina præfectum. De his ex Evagrio erudimur, qui pluribus ista prosequitur (7). Hanc Anastasii depositionem ægre admodum tulit Gregorius Magnus. Exstant aliquot ejus epistolæ (8) ad eumdem Antiochenum præsulem, in quibus ipsum impense laudat : testatus præterea se apud serenissimos dominos (Mauritium ejusque filium Theodosium) summis precibus suggestionem fecisse, ut viro beatissimo suus honor restitueretur.

II. Pontificatu cessit Anastasius anno 569 exeunte vel exacto, postquam prima vice sedisset annos 11, ἔτη ια', ut habetur in Nicephori *Chronico* ac Theophanis *Tabulis;* cujus propterea exsilium minus recte refert Pagius (9) ad annum 565. Porro Gregorius, eidem suffectus anno 570, Ecclesiam Antiochenam rexisse usque ad ineuntem annum 593 compertum fit ex inscriptione Orationis quam habuit noster Anastasius, cum post annos tres et viginti, thronum suum patriarchalem rursus recepit. Hujusce Orationis inscriptionem sic refert Lambecius (10) : Τοῦ αὐτοῦ Ἀναστασίου πατριάρχου Ἀντιοχείας Λόγος ὁπηνίκα ἐπανῆλθεν ἐπὶ τὸν θρόνον διὰ τριῶν καὶ εἴκοσι χρόνων, κ. τ. λ. *Ejusdem Anastasii patriarchæ Antiocheni Oratio, cum post annos viginti tres, ad sedem rediit.* Qua de inscriptione Pagium (11) et Boschium (12) consulas velim. Eamdem quoque recitat Lequienus (13) : sed aliud egisse videtur vir eruditus, dum scriberet Anastasium fuisse a Mauritio imperatore Antiochenæ sedi restitutum *vicesimo ter-*

(1) Fabric. *Bibl. Gr.* t. IX, pag. 313.
(2) Simon. *Bibl. chois.* t. II, cap. 112, pag. 27.
(3) Niceph. Call. *Hist. eccl.* lib. XVIII, cap. 44.
(4) Pagi. ad ann. 561, § 2.
(5) Lequien. *Or. Christ.* tom. II, p. 734.
(6) Evagr. *Hist. eccl.* lib. IV, cap. 40.
(7) Id. lib. V, capp. 5 et 6.
(8) Greg. M. lib. I, epist. 7, 25, 26 ; et lib. V, epist. 39 ; et lib. VII, epist. 27, edit. BB.
(9) Pagi. ad ann. 565, § 3.
(10) Lamb. *Comment. de Bibl. Cæsar.* lib. VII, p. 159.
(11) Pagi. ad ann. 594, §§ 4 seqq.
(12) Bosch. *Tract. de Patr. Antioch.*, ad Act. SS. tom. IV, Jul. p. 98. num. 453.
(13) Lequien. *Or. Christ.* tom. II, p. 736.

tio anno exacto ex quo pontificatum inierat (14); cum potius scribere debuisset, *ex quo pontificatu abdicatus fuerat*. Aliter haud sibi constaret V. C. ex posita recte ab eo temporum supputatione, quam paulo ante præmisit. Itaque anni viginti tres non ab inito pontificatu Anastasii anno 559, sed ab anno 570, quo fuit dejectus, numerandi omnino sunt, adeoque de ejusdem reversione ad eam sedem accipiendi.

III. Haud secus ac inscriptio Lambeciana loquitur Evagrius (15). Sed illud in primis attendendum quod ait idem historicus, Gregorium scilicet, in nostri Athanasii locum suffectum, mortuum fuisse quo tempore Antiochenæ Ecclesiæ præsidebat Anastasius. Hinc jure arguit Valesius Anastasium paulo ante mortem Gregorii fuisse in sedem Antiochenam restitutum. Qua de re latius verba facit Boschius (16). Nicephorus, in *Chronico, sex annos* pontificatui ejus secundo tribuit, ἔτη ς'; rectius, ut videtur, Theophanis *Tabulæ, annos quinque*, ἔτη ε'. Sanctus enim Gregorius epistolam ad Anastasium juniorem ejus successorem scripsit anno 599, indictione 2, mense Januario (17) : adeoque supremum diem obierit Anastasius senior anno præcedente 598, quo Kalendis Septembribus inchoabatur indictio 2. Sic pluribus Pagius (18). In eamdem sententiam Pagio præiverat Baronius in notationibus ad *Martyrologium* (19) : licet postea in Annalibus, mutato consilio, annum statuerit 599. Atque (20) alii quidem, quos inter Boschius (21), doctissimo *Annalium ecclesiasticorum* parenti accedendum potius existimant. Verum, si *Menologii Græcorum*, necnon *Tabularum ecclesiasticarum* attendatur auctoritas, cum Pagii, tum prior Baronii sententia præferenda videtur. In eo enim Anastasii elogium die 20 mensis Aprilis consignatur (22) : in his autem XI Kalendas Maias anniversaria ejus memoria recolitur (23). Quæ sane temporis notationes, indictionem 2 præcedentes qua scripta Gregorii Magni epistola memorata perhibetur, annum Anastasii emortualem 598 confirmant.

IV. Anastasii senioris præsulis Antiocheni scripta quæ circumferuntur sunt ejusmodi, prout ea recenset Fabricius (24) : Περὶ τῶν καθ' ἡμᾶς ὀρθῶν τῆς ἀληθείας δογμάτων Λόγοι ε'. *De nostris rectis dogmatibus veritatis Orationes quinque.*

I. *De SS. Trinitate.*

II. *De incircumscripto.*

III. *De divina œconomia, id est, de incarnatione.*

IV. *De passione et impassibilitate Christi.*

V. *De resurrectione Christi.*

Has quinque Orationes Stevartio debemus, qui eas in suo *Auctario lectionum antiquarum* Canisii ex versione Francisci Turriani, edidit Ingolstadii anno 1616. Exstant præterea ex eadem versione in Bibliothecis Patrum Coloniensi et Lugdunensi. Græce porro habentur in bibliotheca Vaticana (25), Vindobonensi (26) aliisque haud paucis. Videtur sanctus præsul has Orationes litteris consignasse, dum, ab Ecclesia sua Antiochena procul absens, vitam in exsilio ageret. Amicum enim quemdam, cujus hortatu eas digessit, benigne compellans, testatur (27) se multa paucis complecti : *Et fortassis*, inquit, *accommodate ad tempus quod suppetit, et ad inopiam librorum qua laboramus.*

V. Orationes ejusmodi excipiunt sermones 3, quorum primum et alterum in Annuntiationem Deiparæ Virginis, Lugduni Batavorum anno 1619 Græce vulgavit in opere *Variorum divinorum* Joannes Meursius (28) : e cujus exemplari Latine redditum utrumque *Græcæ-Latinæ Patrum Bibliothecæ novo Auctario* intexuit Combefisius ; qui et sermonem addidit in Transfigurationem D. N. J. C. (29), ex Regio codice mutilo in fine descriptum. Porro quæ deerant in edito Combefisiano supplevit ex Lambecio (30) Fabricius (31) ; unde illa desumpsimus, ut suo loco monuimus.

Sancta sanctorum, expiaturus pro populo : unde etiam solemnitas illa, *propitiatio* seu *dies propitiationis* ac humiliationis dies, magnumque jejunium, ab eis appellatur. Celebratur autem die decima mensis septimi, qui nobis October, Thersi ab Hebræis vocatur. Hebræi enim anni exordium ab Aprili ducunt. Decima ergo juxta lunam septimi mensis, Zacharias sacerdotio fungens, angelicam vidit visionem, faustumque nuntium nasciturі Baptistæ accepit : post quod impleta sua vice, domum rediit. Porro impletur ea, facto jam plenilunio, ac luna summe aucta. Tunc *concepit ejus uxor Elisabeth, et se occultavit mensibus quinque* [79]. Forte erubescens, canitie efflorente, ac quod eam agens ætatem, viro in cubilis societatem coisset. *Occultabat* autem *se mensibus quinque, dicens : Quia sic fecit mihi Dominus.* Sexto igitur mense a conceptione Elisabeth, missus est Gabriel, uti scriptum est, ad Mariam : non omnino finito sexto mense, sed intra ejus totam latitudinem. Neque enim historia evangelica impletum habet sextum mensem, quo tempore facta est Virginis salutatio, seu annuntiatio : neque Gabrielis ad eam verba hoc indicant, verum ita quidem historia : *In sexto mense missus est angelus* [80]. Angelus autem ad Virginem : *Et ecce cognata tua, et ipsa concepit filium in senectute sua, et hic mensis sextus est illi quæ vocatur sterilis* [81].

A ται εἰς τὰ Ἅγια τῶν ἁγίων, ἱλασκόμενος ὑπὲρ τοῦ λαοῦ· ὅθεν καὶ *ἱλασμὸς*, ἤτοι *ἡμέρα ἱλασμοῦ*, καὶ ἡμέρα ταπεινώσεως, καὶ νηστεία μεγάλη, κέκληται παρ' αὐτοῖς ἡ τοιαύτη ἑορτή. Ἐπιτελεῖται δὲ αὕτη τῇ δεκάτῃ τοῦ ἑβδόμου μηνὸς, ὅς ἐστιν Ὀκτώβριος, Θερσὶ παρ' Ἑβραίοις λεγόμενος· ἀπὸ γὰρ τοῦ Ἀπριλίου τὴν ἀρχὴν ἄγουσι τοῦ ἔτους Ἑβραῖοι. Τῇ οὖν δεκάτῃ κατὰ σελήνην τοῦ ἑβδόμου μηνὸς ἱερατεύων ὁ Ζαχαρίας, τὴν ἀγγελικὴν ὀπτασίαν ἐθεάσατο, καὶ εὐαγγελίσθη τὴν τοῦ Βαπτιστοῦ γέννησιν· μεθ' ἣν πληρώσας τὴν ἐφημερίαν αὐτοῦ, ἀνεχώρησεν εἰς τὸν οἶκον αὐτοῦ. Πληροῦται δὲ πλησιφαοῦς τῆς σελήνης γενομένης ἐν τῇ λεγομένῃ πανσελήνῳ. Τότε *συνέλαβεν ἡ γυνὴ αὐτοῦ Ἐλισάβετ, καὶ περιέκρυβεν ἑαυτὴν τοὺς πέντε μῆνας*· ἴσως ἐρυθριῶσα, διὰ τὴν ἐπανθοῦσαν αὐτῇ πολιὰν, ὅτι τοιαύτην B ἄγουσα ἡλικίαν, συνῆλθεν ἀνδρὶ πρὸς κοινωνίαν εὐνῆς. *Περιέκρυβεν* δὲ *ἑαυτὴν τοὺς πέντε μῆνας, λέγουσα· Ὅτι οὕτως μοι πεποίηκεν ὁ Κύριος.* Τῷ οὖν ἕκτῳ τῆς συλλήψεως τῆς Ἐλισάβετ μηνὶ, ἀπεστάλη ὁ Γαβριὴλ, ὡς γέγραπται, πρὸς Μαρίαν· οὐ πάντως πεπερασμένου τοῦ ἕκτου μηνὸς, ἀλλ' ἐν τῷ πλάτει τοῦ παντὸς μηνός. Οὔτε γὰρ ἡ εὐαγγελικὴ ἱστορία πληροῦσθαι λέγει τὸν ἕκτον μῆνα, ὅτε ὁ πρὸς τὴν Παρθένον ἀσπασμὸς, ἤτοι εὐαγγελισμὸς, ἐγένετο· οὔτε οἱ λόγοι τοῦ Γαβριὴλ, οἱ πρὸς αὐτὴν, τοῦτο ἐμφαίνουσιν, ἀλλ' ἡ μὲν ἱστορία φησὶν, *Ἐν τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος.* Ὁ δὲ ἄγγελος πρὸς τὴν Παρθένον φησί· *Καὶ ἰδοὺ ἡ συγγενίς σου, καὶ αὐτὴ συνείληφεν υἱὸν ἐν γήρει αὐτῆς, καὶ οὗτος μὴν ἕκτος αὐτῇ τῇ καλουμένῃ στείρᾳ.*

IV. Hinc porro major nobis emersit difficultas, objiciatque calentior aliquis, dicens : Si quidem ait iste, accidisse salutationem, seu annuntiationem labente mense; quis ita distribuit ut hodie debeat celebrari, hoc est die 25 mensis, non die alia? Ad quem in promptu erat dicere, eamdem illi de quovis alio die futuram quæstionem. Quia tamen videtur non inscita percontatio, respondeamus. Dicimus ergo, non sic revera habere affirmantes, neque ut nostrum duntaxat sermonem teneamus; sed ut quod animum subiit sine invidia aperiamus, vosque ad veriorem solutionem inquirendam exerceamus : quam si inveneritis, maneat hæc obscura, nec mereatur conscribi.

C Ἐντεῦθεν δὲ ἡμῖν ἀνεφύη μείζων ἡ ζήτησις, καὶ ὑπέκρουσέ τις τῶν θερμοτέρων, Εἰ ἐν τῷ πλάτει, λέγων, τοῦ μηνὸς γεγονέναι φησὶν οὗτος τὸν ἀσπασμὸν, ἤτοι τὸν εὐαγγελισμὸν, τίς ἡ ἀποκλήρωσις, τῇ σήμερον αὐτὸν ἐπιτελεῖσθαι, τουτέστι τῇ εἰκάδι πέμπτῃ, καὶ μὴ ἐν ἄλλῃ τοῦ μηνὸς ἡμέρᾳ; Πρὸς ὃν ἑτοιμότατον ἦν εἰπεῖν, ὅτι Καὶ περὶ ἄλλης ἡμέρας τὸ αὐτὸ ἠπόρησας ἄν. Ἀπολογησώμεθα δ' ὅμως, ἐπειδὴ οὐκ ἄκομψον δοκεῖ εἶναι τὸ ἐπαπόρημα. Λέγομεν δὲ, οὐ διαβεβαιούμενοι οὕτως ἔχειν τὸ ἀληθὲς, οὐδ' ὡς μόνον τὸν ἑαυτῶν λόγον κρατοῦντες· ἀλλ' ἀφθόνως τὸ ἐπελθὸν ὑμῖν ἀνακαλύπτοντες, καὶ γυμνάζοντες ὑμᾶς τὴν ἀληθεστέραν ταύτης ζητεῖν ἐπίλυσιν· ἣν ἐπ' ἂν εὕρητε, αἶλος αὐτὴ P μενέτω, καὶ μηδ' ὅλως ἀξιούσθω γραφῆς.

V. Cum hic mundus creatus sit, ac tempore mensuretur, plane oportet incepisse ab aliquo motu ; omninoque temporale quoddam principium habuit. Non enim nos sempiternum dicere novimus, nec Ecclesiæ Dei. Nihil quippe sempiternum est, cujus partes corruptioni ac mutationi subjacent : omnino autem, cujus corrumpuntur partes, totum quoque ipsum corruptioni obnoxium est. Quod si mundi partes corruptione intereunt, utique interiturum est et totum. Non ergo mundus sempiter-

D Γενητὸς ὢν ὁ κόσμος οὗτος, καὶ χρόνῳ μετρούμενος, ἀπό τινος πάντως κινήσεως ἤρξατο· τί δ' ἂν ἦν χρονικὴ πάντως ἀρχή; ἄϊδιον γὰρ αὐτὸν λέγειν οὐ μεμαθήκαμεν ἡμεῖς, οὐδὲ αἱ Ἐκκλησίαι τοῦ Θεοῦ. Οὐδὲν γάρ ἐστιν ἄϊδιον, οὗ τὰ μέρη φθοραῖς καὶ ἀλλοιώσεσιν ὑπόκειται· ἀλλὰ πάντως, οὗ τὰ μέρη φθείρονται, τοῦτο καὶ τὸ ὅλον φθορᾶς δεκτικόν. Εἰ δὲ τὰ μέρη τοῦ κόσμου φθείρονται, δηλονότι καὶ τὸ ὅλον φθαρήσεται. Οὐκοῦν οὐκ ἄϊδιος. Εἰ δ' οὐκ ἄϊδιος, ἀρχὴν ἔσχε τοῦ εἶναι, καὶ ἀρχὴν γενέσεως, ὁ ὁρῶ-

[79] Luc. I, 24. [80] ibid. 26. [81] ibid. 36.

VARIÆ LECTIONES.

P *Αὐτὴ*. Forte, αὕτη.

μενος κόσμος, ὡς ἀποδέδεικται. Δήποθεν εἰκὸς ἦν, πάντα ἐν τάξει καὶ δικαιοσύνῃ κτίσασαν, καὶ δημιουργήσασαν τοῦ Θεοῦ σοφίαν, ἄρξασθαι τῆς δημηγορίας [q], ἢ καὶ ἀρχὴν τῷ χρόνῳ διδόναι· ἐπεὶ καὶ αὐτὸς συνεισῆλθε τοῖς κτίσμασιν· ἢ ἐξ ἰσότητος εὐθὺς, [καὶ] τῆς περὶ τὰ διακρινόμενά τε καὶ διαιρούμενα τοῦ δικαίου [r], καὶ τῆς εἰς ἄκρον ἰσομοιρίας, ἣν ἡ τοῦ ἔαρος ἀρχὴ ἐκ πρώτης ἔλαβε, καὶ μέχρι νῦν ἔχει, γενέσεως· ψύξει καὶ καύματι μεσιτευούσης, καὶ διαφευγούσης τὸ ἐν ἑκατέρῳ λυπηρὸν, τῇ ἀμετρίᾳ· εἶτα τὸ πλεῖον τῷ φωτὶ καὶ τῷ ἡμερινῷ διαστήματι χαριζομένης, καὶ συλαγω[γού]σης τὸ σκότος πρὸς φωτὸς ἐπικράτειαν. Ἔδει γὰρ, ἔδει τὸ φῶς, τοῦ σκότους κριθῆναι τιμιώτερον. Ἐπεὶ τὸ μὲν οὐχ ὑφίσταται· τὸ δὲ πρώτῃ Θεοῦ φωνῇ, μὴ ὂν πρότερον, γέγονε, καὶ ἐμαρτυρήθη περὶ αὐτοῦ ὅτι *καλόν*. Ἐκεῖθεν καὶ πρῶτον μῆνα λέγουσι τοῦτον οἱ Ἑβραῖοι, ἄνωθεν ἴσως, καὶ ἐκ πατέρων, καὶ διὰ Μωϋσέως δὲ νομοθετηθέντα αὐτοῖς· *Ὁ μὲν* γὰρ *οὗτος*, φησὶν, *ἔστω ὑμῖν πρῶτος ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ*, ὃν καὶ *μῆνα νέον* [s] ἄλλῃ που ὀνομάζει ὁ Μωϋσῆς, νεαρᾶς κτίσεως ἀρχῆς, καὶ τῶν ἐξ ἀρχῆς γενομένων, ὄντα μνημόσυνον. Ὁ δὲ καὶ ἐκ πατέρων παρέλαβεν ἀρχὴν εἰδέναι χρόνου τὸν μῆνα τοῦτον. Ἐν τοῖς περὶ κατακλυσμοῦ σαφῶς εὑρίσκομεν δεύτερον μῆνα τὸν μετὰ τὸν Νισσὰν λεγόμενον. Οὕτω γὰρ παρ' αὐτοῖς ὁ πρῶτος ὀνομάζεται μὴν, ὁ παρὰ μὲν Ῥωμαίοις Ἀπρίλιος, παρὰ δὲ Μακεδόσι Ξανθικός. Ἑρμηνεύεται δὲ Νισσὰν, *ὁ ἀνθῶν*. Νίσσα γὰρ λέγεται παρ' Ἑβραίοις τὸ ἄνθος. Τάχα δὲ καὶ ὁ Ξανθικὸς, Ἀνθικὸς λέγεται, τῇ προσθήκῃ προσαγορευθεὶς Ξανθικός. Εἴτε δὲ Ἀνθικὸς, εἴτε Ξανθικὸς, ἐκ τῆς ἐν τῷ ἀέρι ἐξανθήσεως τοῦτο χρηματίζει.

A nus est. Si autem non est sempiterna oculis hæc subjecta moles, plane habuit principium esse ac principium creationis, ut probatum fuit. Unde jam par erat, ut Dei sapientia quæ universa ordine ac justitia creavit condiditque, creationem inchoaret, seu etiam tempus initiaret : nam et ipse pari cum creatis tempore ingressus est [t] : quam ab ipsa statim æqualitate, quod ad discriminationem ac divisionem temporis spectat, atque a summa partium æquabilitate, quam veris initium a prima creatione habuit, hactenusque habet : media illa frigoris et æstus, ac quod parte utraque excessu molestum est, fugiente : quæque postmodum plus luci tribuat dieique spatio, ac tenebras deprædetur ad lucis victoriam. Plane enim oportebat ut præ tenebris lux potior haberetur, siquidem tenebræ B non subsistunt : lux autem, cum prius non esset, prima Dei voce condita est [82], habuitque testimonium, *bonam esse*. Hinc etiam primum Hebræi hunc mensem dicunt; olim puto, ac ex Patribus, perque Moysen ejus eis sancita religione. *Hic* enim, inquit, *mensis sit vobis primus in mensibus anni* [83] : quem etiam quodam alio loco Moyses *mensem novorum* dicit [84], tanquam novæ creationis principii, ac eorum quæ initio facta sunt, memoriale. Sed et is a Patribus accepit, ut mensem istum nosset principium temporis. Sane in diluvii historia [85] perspicue expressum invenimus, appellatum esse eum mensem secundum, qui consequitur Nisan. Sic enim apud eos primus mensis appellatur, qui apud Ro- C manos dicitur Aprilis, apud autem Macedones Xanthicus. Porro Nisan exponitur *florens* : quippe Nisa apud Hebræos flos appellatur [u]. Forte vero etiam Xanthicus, Anthicus Græce dicitur, id est floridus, adjectione litteræ *X* ita appellatus. Sive autem Anthicus, sive Xanthicus : ex aeris, quæ tunc est, efflorescentia ita nuncupatur.

Οὐκοῦν πρῶτος μήν ἐστιν ὁ ἀπὸ ἰσημερίας ἐαρινῆς ἀρχόμενος, φύσει πρῶτος ὑπάρχων, ὡς ἀρχὴ χρόνου, τῇ τῶν ὄντων παραγωγῇ συνδημιουργηθείς. Ἔστι δὲ ἰσημερία, ὅτι οὐδὲν ἀπομένει προϋπάρχοντος χρόνου μόριον ἐν τῷ ἡλιακῷ δρόμῳ, τῇ εἰκάδι [πέμπτῃ] τοῦ Μαρτίου, ἤτοι Δύστρου μηνός. Οὕτω γὰρ καὶ μέχρι σήμερον συμφθάνει, ὅτε ἡ τετραετία τοῦ λεγομένου βισέξτου, εἰς τελείαν ἡμέραν ἀπαρτίζει τὴν κίνησιν. Ἐν γὰρ τοῖς ἄλλοις τρισὶν ἔτεσι, διὰ τὸ ἐναπομένον τέταρτον, οὐκέτι τῇ εἰκάδι, [ἀλλὰ

VI. Itaque primus mensis ab æquinoctio verno incipit, primus natura exsistens, tanquam principium temporis, una cum rerum productione creatus. Tunc vero est æquinoctium, cum nihil præexsistentis temporis remanet in solari cursu, die vicesima Martii sive Dystri mensis. Sic enim hactenus quoque occurrit cum quadriennium bis- D sexti, quod vocant, in diem perfectum motum absolvit. In aliis enim tribus annis, propter quartam residuam, non jam vicesima, sed vicesima prima,

[82] Gen. I, 3. [83] Exod. XII, 2. [84] Exod. XIII, 14. [85] Gen. VII, 11.

VARIÆ LECTIONES ET NOTÆ.

[q] *Δημηγ.* Leg. δημιουργίας. [r] *Δικαίου.* Forte, καιροῦ. [s] *Néor.* Lego νέων. [t] *Pari cum creatis tempore ingressus est.* Συνεισῆλθε τοῖς κτίσμασιν. Pulchra hæc ac bona ad conjecturam : haud vero satis firma ad historiam : ut vel si concepti Joannis oraculum dederimus contigisse quo die ponit Anastasius, deincepsque sexto mense ac eo currente factam Dominicam annuntiationem, nulla ejus certa dies signari possit. Nec forte qui primi 25 illa Martii celebrandam censuerunt, certius aliud quam hic Anastasius significet, habuerunt : satisque fuerit, sic pie, ac eo fundamento persuasum habuisse, tunc esse factam, ut illo potissimum die recolendam sancirent : contra quos male Scaliger, Beroaldus ac similes novatores deblaterant. Consentit Anastasio auctor Quæstionum ad Antiochum quæst. 54 inter opera Athanasii, quem tamen liquet magno Athanasio esse sequiorem. [u] *Quippe Nisa apud Hebræos flos appellatur.* Voluit forte dicere *Nisar*. Nec enim *Nisa* videtur Hebraicum, aut significare florem ; נִצָּר autem redditur ἄνθος a LXX, et a Vulg. *flos*, Isa. XI, 1, ubi alii *germen*, alii *surculus* : longe tamen hoc est a נִיסָן, quo nomine primum illum mensem appellant. Quamobrem verius videtur, quod adnotatur ad eam vocem in Thesauro Pagnini, esse ejusmodi mensium nomina a barbaris accepta, cum non legantur nisi in libris scriptis in captivitate, et rabbinorum.

atque adeo quadam inæqualitate æquinoctium ejusmodi occurrit. Deinceps autem ver incipit, omnia statim in pulchram quamdam ac genitalem speciem transmutans ac movens. Siquidem vero hæc ita habent, mundi visibilis primum ortum vicesima die mensis Martii intelligimus. Nam creata omnino creari oportuit pulcherrima anni tempestate : atqui ver pulcherrima est tempestatum anni, ut ipse abunde testatur sensus. Videmus enim per id tempus, moveri omnia ut numero ac mole augeantur, primum illud mandatum reverita ; *Crescite et multiplicamini* [86]. Si quidem ergo pulcherrima anni tempestatum verna est, incipitque illa ab æquinoctio, quando Deus incepit res creare, cum hominem die sexta creaverit ; plane intelligimus fuisse creatum hominem die vicesima quinta mensis Martii : quippe sexta est a vicesima, vicesima quinta.

VII. Cum hæc itaque sic habeant, quam sibi magis decuit definire diem qua se carni conjungeret, qui hominem a principio formarat? Si quidem enim lubens propter nostram salutem servivit carni ac nativitati nostrisque illis affectionibus, tentos nos sub peccato liberaturus; plane par erat, ut ipsa die compactio auspicaretur, qua incepisset hominum creatio. Fuit siquidem secundus Adam [87], omnibus susceptis quæ prioris essent, modo tantum peccatum excipias [88]. Quod si omnibus, quorsum hoc unum negligeret, nimirum generationis tempus, quod plane ejus in genus hominum sapienti dispensatione haudquaquam indignum esset? Sane etiam tunc reformari decebat peccati reum, quando formatus fuerat.

VIII. Quocirca ipsa die, *Missus est Gabriel* [89], fauste Virgini incorruptam nativitatem annuntians, eique futuram ejus ope gentibus salutem prænuntians : dumque interim ille salutat, *Verbum caro factum est* [90], figmentum reformans, quod una cum maligni serpentis sermonibus ingressum peccatum corruptioni obnoxium fecerat : ac sicut per feminam mors causata est, sic oportuit dispensari salutem per feminam. Per illam deceptam voluptate omnes mortui sumus [91] (per hanc vivificati sumus [x]) : non ea tantum accipientes a quibus excideramus, sed longe majora ac pretiosiora, quæ [92] neque humanus intellectus possit concipere, nec oculus eorum valeat assequi speciem, sed et auditus ferre nequeat. Hæc quam agimus, celebritas ac festa dies, sacræ quidem ac venerandæ hujus Virginis Annuntiatio est; mundi autem universi natalitius dies : quippe universa suo quæque ordini asserta sunt ; priorque deformitas decorem accepit. Quia nimirum nostri causa similis nobis factus sit

A τῇ εἰκάδι [v]] πρώτῃ, καὶ διὰ τοῦτο ἀνωμάλως καταστᾷ ἡ ἰσημερία. Ἐξῆς ἄρχεται τὸ ἔαρ, μεταποιοῦν καὶ κινοῦν εὐθέως ἅπαντα πρὸς κάλλος καὶ γένεσιν. Εἰ ταῦτα οὕτως ἔχει, ἀρχὴν τοῦ ὁρωμένου κόσμου, τὴν εἰκάδα τοῦ Μαρτίου μηνὸς καταλαμβάνομεν εἶναι. Τὸ γὰρ γεννώμενον [y], ἐν τῇ καλλίστῃ τῶν ὡρῶν ἔδει γενέσθαι πάντως· καλλιστη δὲ τῶν ὡρῶν ἐστιν, ἡ τοῦ ἔαρος, ὡς αὐτὴ μαρτύρει ἡ αἴσθησις. Ὁρῶμεν γὰρ πάντα πρὸς πληθυσμὸν καὶ αὔξησιν τότε κινούμενα, τὸ πρῶτον αἰδούμενα πρόσταγμα, *Αὐξάνεσθε, πληθύνεσθε*. Εἰ οὖν καλλίστη τῶν ὡρῶν ἐστιν ἡ ἐαρινὴ, ἄρχεται δὲ ἀπὸ ἰσημερίας, ἐν ᾗ τῶν γεγονότων ἔργων ἀπήρξατο ὁ Θεὸς, τῇ ἕκτῃ ἡμέρᾳ δημιουργήσας τὸν ἄνθρωπον, τὴν τοῦ ἀνθρώπου ποίησιν τῇ εἰκάδι [καὶ πέμπτῃ [z]] τοῦ Μαρτίου B μηνὸς κατειλήφαμεν· ἕκτη γάρ ἐστιν ἀπὸ τῆς εἰκάδος ἡ πέμπτη καὶ εἰκάς.

Τούτων οὕτως ἐχόντων, ποιαν ἔδει ἡμέραν ὁρίσαι ἑαυτῷ, πρὸς τὸ συμπλακῆναι σαρκὶ τὸν ἐξαρχῆς πεπλακότα τὸν ἄνθρωπον; Εἰ γὰρ διὰ τὴν ἡμῶν σωτηρίαν ἑκὼν ἐδούλευσε σαρκὶ καὶ γεννήσει, καὶ πάθεσι τοῖς ἡμετέροις, ἵνα ἡμᾶς ἐλευθερώσει ὑπὸ τῆς ἁμαρτίας κατεχομένους· ἐν τῇ αὐτῇ ἡμέρᾳ ἔπρεπεν ἄρξασθαι τῆς συμπήξεως, ἐν ᾗ καὶ ἡμεῖς τῆς γενέσεως. Δεύτερος γὰρ Ἀδὰμ ἐχρημάτισε, πάντα τὰ τοῦ πρώτου, πλὴν ἁμαρτίας μόνης, καταδεξάμενος. Εἰ δὲ πάντα, τί τοῦτο παρεώρα, τὸν καιρὸν τῆς αὐτοῦ περὶ ἡμῶν σοφῆς οἰκονομίας; ἀληθῶς ὄντα ἄξιον; τότε γὰρ ἔδει ἀναπλασθῆναι τὸν C ἡμαρτηκότα, ὅτε ἐπλάσθη.

Διὸ ἐν αὐτῇ ἡμέρᾳ, Ἀπεστάλη ὁ Γαβριὴλ, εὐαγγελιζόμενος τῇ Παρθένῳ τὴν ἄφθορον γέννησιν, καὶ τὴν ἐσομένην τοῖς ἔθνεσι δι' αὐτῆς σωτηρίαν προκαταγγέλλων αὐτῇ· ἅμα τε τῷ ἀσπασμῷ, Ὁ Λόγος σὰρξ ἐγένετο, ἀναπλάττων τὸ πλάσμα, ὃ ἔφθειρεν ἡ ἁμαρτία, τοῖς τοῦ πονηροῦ ὄφεως λόγοις συνεισελθοῦσα. Ἔδει γὰρ, ἔδει τὴν καταφθαρεῖσαν σάρκα τῷ συριγμῷ τοῦ ὄφεως, τῷ ἀσπασμῷ τοῦ ἀγγέλου πρὸς ἀφθαρσίαν ἐπανελθεῖν· καὶ ὥσπερ διὰ γυναικὸς ἐνηργήθη ὁ θάνατος, οὕτω διὰ γυναικὸς οἰκονομηθῆναι ἔδει τὴν σωτηρίαν. Δι' ἐκείνην ἡδονῇ κλαπεῖσαν, ἀπεθάνομεν πάντες· [διὰ ταύτην ἐζωοποιήθημεν·] οὐκ ἐκείνα μόνον λαβόντες ὧν ἐκπεπτώκαμεν, ἀλλὰ πολλῷ μείζονα καὶ πλουσιώτερα, ἃ νοῦς μὲν ἀνθρώπων φαντασθῆναι ἀδυνατεῖ, ὀφθαλμὸς δὲ οὐκ ἐφικνεῖται τῆς ἰδέας, ἀτονεῖ δὲ καὶ ἀκοὴ ὑποδέξασθαι. Ταύτην ἄγομεν ἑορτὴν καὶ πανήγυριν, τῆς μὲν ἁγίας καὶ σεμνῆς ταύτης Παρθένου εὐαγγελισμὸν, παντὸς δὲ τοῦ κόσμου γενέσιον· ὅτι πάντα εἰς τάξιν μετεποιήθη· καὶ κόσμον ἡ πρὶν ἀκοσμία

[86] Gen. I, 28. [87] I Cor. XV, 45. [88] Hebr. IV, 15. [89] Luc. I, 26. [90] Joan. I, 14. [91] I Cor. XV, 22. [92] Isa. LXIV, 4.

VARIÆ LECTIONES ET NOTÆ.

[v] Ἀλλὰ τῇ εἰκάδι. Addo hæc clausa. [x] *Per hanc vivificati sumus.* Ita supplendum liquet, cum sit clara allusio ad locum I Cor. XV, 21. Addendum videbatur vel πιστεύσασαν, vel εὐαγγελισθεῖσαν, ut esset perfecta antithesis, sed nolui mihi sic indulgere. Similia passim Græci alii Patres in ejus diei laudationes. [y] Γεννώμενον. Forte, γενόμενον. [z] Καὶ πέμπτῃ. Addo isthæc clausa.

ἐδέξατο, ὅτι δι' ἡμᾶς γέγονε καθ' ἡμᾶς ὁ πλάσας ἡμᾶς, ἀνακαινίζων τὴν παλαιωθεῖσαν αὐτοῦ καὶ φθαρεῖσαν εἰκόνα, καὶ ἀναμορφῶν αὐτὴν εἰς κάλλους περιουσίαν, μονονουχὶ βοῶν πρὸς ἡμᾶς· Ἐπειδὴ σήμερον πλασθέντες ἀπερρύητε, καὶ πρὸς θάνατον κατεσύρητε, σήμερον δι' ὑμᾶς ὁ πλάστης πλάττομαι, ἵνα μου τῇ σαρκὶ ταύτῃ, τῇ νῦν πλαττομένῃ, πρὸς τὴν προτέραν ἐπαναγάγω ζωήν· δι' αὐτὸ συμπλεκόμενος τῷ θανάτῳ, καὶ θανατῶν αὐτὸν, ὥσπερ ἦν ἄξιον. A qui nos fecit, veteratam ipsius ac corruptam imaginem renovans, eamque eximia quadam pulchritudine instaurans; in hæc fere verba ad nos clamans : Ex quo hodie ficti formatique diffluxistis, atque in mortem detracti estis; hodie vestri causa, fictor ego fingor, ut mea hac carne nunc ficta, in vitam vos pristinam reducam; idcirco cum morte congrediens, eamque perimens, uti plane dignum erat.

Ἵνα δὲ ἐκ τῶν Πατέρων βεβαιώσωμεν τὰ ἡμέτερα, καὶ ὥσπερ τινὰ κόσμον ἐπιθῶμεν, δι' οὗ τὸ ἐπιχαρὲς ἕξουσιν, ἄκουε οἷα λέγει περὶ τῆς ἐαρινῆς τροπῆς ὁ Γρηγόριος, ὁ τὴν θεολογίαν προσηγορίαν δεξάμενος. Κινῶν γὰρ ἡμᾶς πρὸς τὴν νέαν Κυριακὴν ἐν τῷ ἐπιγεγραμμένῳ πρὸς αὐτὴν φησι λόγῳ· « Ἔστω σοι ὁ οὐρανὸς καινὸς, καὶ ἡ γῆ καινή· τά τε ἄλλα, καὶ τὸν τούτων λόγον καταλαμβάνοντι. Ἴδε οἷα τὰ ὁρώμενα. Ἡ βασίλισσα τῶν ὡρῶν τῇ βασιλίδι τῶν ἡμερῶν πομπεύει, καὶ δωροφορεῖ πᾶν ὅ τι κάλλιστον καὶ τερπνότατον. » Καὶ πολλὰ συνάψας ἐγκώμια τῆς τοῦ ἔαρος ὥρας, ἔδειξεν ὅτι καὶ προοίμιον, καὶ ἀρχὴν, καὶ ὅσα εἴποι τις, ἄφεσιν καὶ χρόνου πῆξιν, παρὰ τὸν πρὸ αὐτοῦ τοῦτον εἶναι προέλαβεν. Ἀλλὰ γὰρ ἐρῶν [a] παρατρέχω τὸν καιρὸν, καὶ τὸν ἥλιον λοιπὸν πρὸς δυσμὰς γεγονότα, ἐνταῦθά που καταπαύσω τὸν λόγον, ἵνα μὴ πολλὰ περὶ τούτων λέγων, σκυλῶ ὑμᾶς, καὶ προσκορὴς ὑμῖν γένωμαι. Ὑμνήσωμεν οὖν τὸν δι' ἡμᾶς σαρκωθέντα, δι' αὐτοῦ καὶ σὺν αὐτῷ, τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, δόξαν καὶ τιμὴν ἀναπέμποντες, ὅτι αὐτῷ πρέπει αἶνος, καὶ μεγαλοσύνη, καὶ μεγαλοπρέπεια, νῦν καὶ ἀεὶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. B IX. Ut autem Patrum quoque auctoritate nostra confirmemus, exque illis velut quemdam eis ornatum addamus, quo gratiam habeant; audi quæ Gregorius a theologia cognomen habens, de verna dicat tempestate. Nos enim ad Novam Dominicam excitans, sermone in eam inscripto, sic ait : « Sit tibi cœlum novum et terra nova; nimirum ut alia, sic horum quoque rationem intelligenti. Vide qualia sunt, quæ oculis offeruntur. Princeps anni pars, principi dierum pompam peragit, ac quidquid pulcherrimum ac suavissimum habet, dono tribuit [b]. » Multisque vernæ tempestatis in unum collectis laudibus, ostendit, præ ea quæ ipsam præcedit, occupasse, ut et exordium et principium, ac quidquid dicat aliquis, remissio, inquam, ac temporis compactio sit. Enimvero ne dicens præteream tempus, jamque ad occasum vergentem solem, faciam hic dicendi finem, ut ne longiori de his sermone vobis molestus, tædioque efficiar. Eum itaque qui nostri causa carnem assumpsit, laudibus prosequamur; per ipsum ac cum ipso, Patri ac Spiritui sancto gloriam ac honorem submittentes : quippe quem deceat laus, magnificentia, decor, nunc et semper, et in sæcula sæculorum. Amen. C

ΛΟΓΟΣ Γ'.

Εἰς τὸν Εὐαγγελισμὸν τῆς παναγίας Δεσποίνης ἡμῶν τῆς Θεοτόκου.

Τί πάλιν ἐπὶ τῆς γῆς ὁ μέγας βούλεται Γαβριὴλ ἡμῖν; ἆρα πρὸς ἡμᾶς αὖθις ἀφίκετο; ποίοις ἀποκρύφοις ὑπηρετεῖ μυστηρίοις Θεοῦ; οὐκ ἐπὶ μικροῖς, φοβεροῖς ὄντως ὁ ἄγγελος διακονεῖται τοῖς προστάγμασι. Μεγάλα ἐστὶν ἅπερ πιστεύεται. Ἄλλῳ οὐδενὶ εὔληπτα, τὰ δι' αὐτοῦ δηλούμενα. Μόνος θαῤῥεῖται τοὺς ἀῤῥήτους τῆς τοῦ Θεοῦ σοφίας θησαυροὺς, καὶ τὸ βάθος τῶν ἀνεξιχνιάστων αὐτοῦ κριμάτων φωτίζεται. Ἀφίκετό ποτε πρὸς ἡμᾶς, ἵνα τὸν ἄνδρα τῶν ἐπιθυμιῶν συνετίσῃ Δανιὴλ, καὶ βασιλέων διδάξῃ διαδοχὰς, καὶ κόσμου τέλος, καὶ δηλώσῃ ἀνάστασιν, καὶ κρίσιν προμηνύσῃ κατὰ τὴν τάξιν ἑκάστῳ ἀποδιδομένην, καὶ τῶν μελλόντων φανερώσῃ τὴν ἀποκάλυψιν. Ἦλθε πάλιν, τὴν παράδοξον τοῦ θείου Βαπτιστοῦ γέννησιν τῷ πατρὶ εὐαγγελιζόμενος, καὶ τὴν δι' αὐτοῦ πρὸς Θεὸν τῶν ἀνθρώπων συνάφειαν ὑποφαίνων. Καὶ γὰρ εἰ καὶ D

SERMO III.

In laudatissimæ Dei Genitricis Annuntiationem.

I. Quid nobis iterum in terra magnus vult Gabriel? Ergo ad nos rursum venit? Qualibus abditis Dei mysteriis servit? Non minoribus, sed vere tremendis ministrat mandatis. Magna sunt quæ ei creduntur. Nemo alius per ipsum declarata facile percipere possit. Ei soli committuntur arcanæ Dei sapientiæ thesauri, ac profundum imperscrutabilium ejus judiciorum docetur. Ad nos quandoque venit, ut virum desideriorum [93] sapientia erudiret, doceretque regum successiones, ac mundi finem; ut item resurrectionem significaret, ac judicium cuique ordine reddendum prænuntiaret, futuraque revelaret. Venit iterum, ut mirabilem divini Baptistæ nativitatem patri annuntiaret [94], ac eam ad Deum hominum conjunctionem, quæ per eum futura esset, indicaret. Rogo enim, qui iis quæ scripta sunt fidem habere digni estis, considerate,

[93] Dan. IX, 23. [94] Luc. I, 8.

VARIÆ LECTIONES.

[a] Ἐρῶν. Forte, ὥστε μὴ ἐρῶν. [b] Orat. 43, paulo ante finem.

num ab iis quæ scripta sunt, fide dignus advenerit : quod nimirum steriles suscipiant liberos; senes procreent filios; immaturi in utero fetus exsiliant; sacerdos ob incredulitatem loquelam amittat.

II. Alii aliique sanctorum angelorum aliud quid negotii creditur : huic uni, quod est universorum caput, committitur; nimirum Deum in Virginis vulva sine semine concipi; Spiritum sanctum edendæ proli cooperari; eum *qui est super omnia* [95] Pater ac Deus, in hæc verba jubere Virginem salutari : *Ave, gratia plena, Dominus tecum* [96]. O magnificam ac divinam vocem! O excellentem clementiam ac bonitatem! O angelicum vere ministerium! O beatam Virginem, quæ talia verba audire meruit! seu magis, quæ rebus ejusmodi ministrare digna fuit! Concepisti absque viri ulla coitione; innupta peperisti : sola Mater simul ac Virgo effecta fuisti. Neque enim partus virginitatem prohibuit, neque conceptio integritatem sustulit. Inviolatum servasti virginitatis thesaurum etiam post partum. Lacte, infantis instar, eum pavisti, *qui dat escam omni carni* [97]. Sub tuam mammam tanquam parvulum eum collegisti, qui fontis instar lac puerperis scaturit, quo illæ parvulos alant. Etenim facta es mater, non puri hominis, aut alicujus prophetæ, aut Deum in se hospitem habentis; sed vera mater *magni Dei ac Salvatoris nostri Jesu Christi* [98]. — *Quis loquetur potentias Domini* [99]? Quæ auris capere poterit? Quis sermo dignus invenietur eorum quæ intelliguntur, interpres? Ad usque te audierunt mulieres : *In tristitiis parietis filios* [1]; inque omnes, ceu hæreditaria quædam successio, divinum currebat mandatum, indissolubile manens atque immotum. A te deinceps audiet femineus sexus, *Avete*, [2] feminæ, quæ gaudii principium susceperitis, solam illam inter virgines gratiosam, pulchram, immaculatam, sanctam, Dei Genitricem Mariam.

III. Magnus quidem Gabriel fausta ejusmodi Virgini nuntiat, dumque miscet sermones, unigenitus Dei Filius virginalem subiit uterum; cepitque venter, quem omnino cœlum non capit. Nostri causa, factus est utero gestatus infans, qui nobis superior erat : paulatim crescens, ac corporaliter ad perfectum provehens [3], qui ipse omnibus numeris perfectum esset Dei Verbum, ac *omnia verbo virtutis suæ portans* [4] : annorum initium accipiens, qui Conditor esset temporum ac exsisteret ante sæcula. Hominum Opifex, factus est homo, Matrem sibi ex nobis comparans; ipse unicus per naturam Dei Filius, carnem ex ea nobis consubstantialem assumens.

IV. Quia vero sermo haud satis coassurgit miraculis, nec mortalis lingua magnifica Dei opera pro

νῦν πιστευθεὶς παρεγένετο τοῖς γεγραμμένοις, ἢ τοῖς γεγραμμένοις πιστεύειν ἄξιοι, κατανοήσατε, ὅτι στεῖραι τεκνογονοῦσι· γηραλέοι παιδοποιοῦσιν· ἔμβρυα σκιρτῶσιν· ἱερεὺς δι' ἀπιστίαν σιωπῇ κατακρίνεται.

Ἄλλος ἄλλο τι τῶν ἁγίων ἀγγέλων πιστεύεται· μόνος δὲ οὗτος, τὸ πάντων θαῤῥεῖται κεφάλαιον· Θεὸν ἀσπόρως ἐν παρθενικῇ κυοφορούμενον μήτρᾳ· Πνεῦμα ἅγιον τῷ τόκῳ συνεργαζόμενον· *τὸν ἐπὶ πάντων* Πατέρα καὶ Θεὸν, τῇ Παρθένῳ λέγειν κελεύοντα· *Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.* Ὦ φιλοτίμου καὶ θεϊκῆς φωνῆς· ὦ φιλανθρωπίας ὑπερβολῆς καὶ ἀγαθότητος· ὦ λειτουργίας ὄντως ἀγγελικῆς· ὦ μακαρίας Παρθένου τοιούτων καταξιωθείσης ῥημάτων· μᾶλλον δὲ, τοιούτοις διακονήσασθαι πράγμασιν. Ἀσυνδυάστως ἐκυοφόρησας· ἀνυμφεύτως ἀπέτεκες· μόνη Μήτηρ ὁμοῦ καὶ Παρθένος ἐγένου. Οὐ γὰρ διέκοψε τὴν παρθενίαν ὁ τόκος, οὐδὲ διέλυσε τὴν ἀφθορίαν ἡ σύλληψις. Ἄσυλον τὸ τῆς παρθενίας κειμήλιον καὶ μετὰ τόκον ἐφύλαξας. Ἐγαλακτοτρόφησας ὡς νήπιον *τὸν διδόντα τροφὴν πάσῃ σαρκί.* Ὑπὸ τὴν σὴν θηλὴν ἤγαγες ὡς βρέφος, τὸν πηγάζοντα γάλα ταῖς τικτούσαις πρὸς διατροφὴν τῶν τικτομένων βρεφῶν. Καὶ γὰρ μήτηρ ἐγένου, οὐκ ἀνθρώπου ψιλοῦ, ἢ προφήτου τινὸς, ἢ Θεὸν ἔνοικον ἔχοντος· ἀλλὰ μήτηρ ἀληθὴς *τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.* — *Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου;* ποίων οὖς χωρῆσαι δυνήσεται; ποῖος δὲ λόγος εὑρεθήσεται ἄξιος τῶν νοουμένων ἑρμηνεύς; μέχρι σοῦ ἤκουον γυναῖκες· *Ἐν λύπαις τέξεσθε τέκνα·* καὶ κατὰ πασῶν, ὥσπερ τις κλήρου διαδοχὴ[c], τὸ θεϊκὸν ἔτρεχε πρόσταγμα, ἄλυτον καὶ ἀμετάθετον διαμένον. Ἀπὸ σοῦ λοιπὸν τὸ θῆλυ γένος ἀκούσει· *Χαίρετε*, γυναῖκες, ἀρχὴν τοῦ χαίρειν λαβοῦσαι τὴν μόνην ἐν παρθένοις κεχαριτωμένην, τὴν καλὴν, τὴν ἄσπιλον, τὴν ἁγίαν, τὴν Θεομήτορα Μαρίαν.

Ὁ μὲν οὖν μέγας ἄγγελος τοιαῦτα τῇ Παρθένῳ εὐαγγελίζεται, καὶ ὁμοῦ τοῖς λόγοις ὁ τοῦ Θεοῦ μονογενὴς Υἱὸς τὴν παρθενικὴν ὑπέδυ νηδύν· καὶ ἐχώρησε γαστὴρ, ὃν οὐρανὸς οὐκ ἐχώρησεν ὅλως[d]. Ἔμβρυον δι' ἡμᾶς γέγονεν ὁ ὑπὲρ ἡμᾶς· κατὰ μέρος αὔξων, καὶ σωματικῶς τελειούμενος, ὁ παντέλειος τοῦ Θεοῦ Λόγος, καὶ *πάντα φέρων τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ.* Χρόνων ἀρχὴν λαμβάνων, ὁ χρόνων Ποιητὴς, καὶ ὑπάρχων πρὸ τῶν αἰώνων. Ἄνθρωπος ἐγένετο ὁ τῶν ἀνθρώπων Δημιουργός· μητέρα κτησάμενος ἐξ ἡμῶν, ὁ μόνος τοῦ Θεοῦ κατὰ φύσιν Υἱὸς, σάρκα ἐξ αὐτῆς λαβὼν τὴν ἡμῖν ὁμοούσιον.

Ἀλλ' ἐπειδήπερ ὁ λόγος οὐ συναναβαίνει τοῖς θαύμασιν, οὐδὲ θνητὴ γλῶττα κατ' ἀξίαν τὰς μεγα-

[95] Rom. IX, 5. [96] Luc. I, 28. [97] Psal. CXXXV, 25. [98] Tit. II, 13. [99] Psal. CV, 2. [1] Gen. III, 16. [2] Matth. XXVIII, 9. [3] Luc. II, 52. [4] Hebr. I, 3.

VARIÆ LECTIONES.

[c] *Διδαχή*. Leg. διαδοχή. [d] *Ὅλως*. Forte, ὅλος.

λουργίας τοῦ Θεοῦ ἐξαγγέλλει· δεῦρο τῶν προφητῶν εὐτονώτατε καὶ μεγαλοφωνότατε Ἡσαΐα· δεῦρο, δίδαξον ἡμᾶς τὰ μεγαλεῖα τοῦ Θεοῦ· ὕμνησον διὰ τοῦ Πνεύματος τὰ γεγενημένα· προθέσπισον ἵνα ἀκουσθῇ τὰ μηνυόμενα· δοξολόγησον τὸν φωτίζοντα οὓς βούλεται· πιστοποίησαι τῇ προαγορεύσει τὰ ἄπιστα. *Ἰδοὺ*, φησὶν, *ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ.* Λέγε πάλιν, προφῆτα, τῆς ἐπὶ τούτοις δοξολογίας τὸν ὕμνον· *Κύριος ὁ Θεός μου, δοξάσω σε, ὑμνήσω τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν, ἀληθινήν. Γένοιτο, Κύριε.* Τίς δὲ ἦν ἀρχαία βουλὴ τοῦ Θεοῦ καὶ Πατρός; Τὸ σωθῆναι πάντας ἡμᾶς. Ὁ γὰρ τὸ εἶναι δοὺς, πῶς οὐκ ἂν μᾶλλον τὸ εὖ εἶναι δέδωκε, τὸ ἴδιον ἀνακαλούμενος πλάσμα ἐπὶ τὸ ἀρχαῖον ἐνδιαίτημα, καὶ τὴν τῆς ἐντολῆς φυλακὴν, δι' ἣν ἀτελεύτητος ἐν ἡμῖν ἡ τῆς ζωῆς ἐπαγγελία, ἣν ἀπολέσαμεν εἰκότως, τὴν ἐντολὴν μὴ φυλάξαντες; Ἀλλ', ὦ θεία καὶ μακαρία Παρθένε, ἡ πρὸς οὐρανὸν ἐκτεταμένη κλίμαξ, ἡ πύλη τοῦ παραδείσου, ἡ πρὸς ἀφθαρσίαν εἴσοδος, ἡ τῶν ἀνθρώπων πρὸς Θεὸν ἕνωσίς τε καὶ συνάφεια, σὺ ἡμῖν ἐπισφράγισον τὸν λόγον· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ παναγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

dignitate enuntiat; adesdum, prophetarum vocalissime Isaia; adesdum, inquam; doce nos Dei magnalia; lauda per Spiritum facta: jube audiri quæ sunt nuntianda; eum glorifica, qui quos vult illuminat: fide majoribus, prædictione astrue fidem: *Ecce* inquit, *Virgo habebit in utero, et pariet Filium, et vocabunt nomen ejus Emmanuel*[6]. Dic sodes iterum, propheta, super istis laudis canticum: *Domine Deus meus, glorificaba te; laudabo nomen tuum; quoniam fecisti admirabiles res, consilium antiquum verum: Fiat, Domine*[6]. Quodnam vero antiquum erat consilium Dei et Patris? Utique omnium nostrum salus. Qui enim dedisset ut essemus, qui non potius daturus erat, ut bene essemus, figmentum suum ad antiquum domicilium revocans ac mandati observationem, per quam vitæ in nobis immortalis promissio est, quam et merito amiseramus, non servantes ejusmodi mandatum? Sed, o divina ac beata Virgo, extensa ad cœlum scala; paradisi porta; ingressus ad incorruptionem; hominum ad Deum unio ac consertio, tu nobis sermonis esto signaculum: in Christo Jesu Domino nostro, per quem ac quocum gloria ac potestas Patri cum sancto ac vivifico Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

ΛΟΓΟΣ Δ'.

Ἀναστασίου (1) *πατριάρχου Θεουπόλεως μεγάλης Ἀντιοχείας, περὶ τῶν ἁγίων τριῶν Τεσσαρακοστῶν, πόθεν παρελάβομεν φυλάττειν αὐτὰς, καὶ ὅτι οἱ ταύτας παραβαίνοντες παρανομοῦσιν.*

SERMO IV.

Anastasii patriarchæ Theopoleos magnæ Antiochiæ, de sanctis tribus Quadragesimis, unde eas observare accepimus, quodque qui eas transgrediuntur legem violent.

(Coteler. *Eccles. Græc. monument.* t. III, p. 425.)

Ἔδει μὲν ἡμᾶς ἑξακολουθοῦντας ταῖς ἀποστολικαῖς παραδόσεσι καὶ διατάξεσι, καὶ ταῖς τῶν ἁγίων Πατέρων ἡμῶν ἐγγράφοις νομοθεσίαις, μὴ δεῖσθαι ζητήσεις καὶ εὑρεσιλογίας ἐφευρίσκειν κενὰς καὶ ματαίας, πρὸς ἀθέτησιν τῶν ὑπ' ἐκείνων ὁρισθέντων, ἀλλὰ προσέχειν ἀκριβῶς τοῖς ὑπ' αὐτῶν ὁρισθεῖσι, ἔν τε τοῖς ἑαυτῶν θείοις κανόσιν, ἔν τε τοῖς εὑρισκομένοις ἁγίοις τούτων συγγράμμασι, καὶ ταῖς ἐκ παραδόσεων τούτων ἁγίαις φωναῖς, καὶ ὡς Θεοῦ φωνὰς ἠγεῖσθαι καὶ σέβειν αὐτάς. Ἀλλ' ἐπείπερ ὁ μισόκαλος καὶ ἀπατεὼν διάβολος, ὁ καὶ πρώην τὴν τῷ πρωτοπλάστῳ δοθεῖσαν ἐν τῷ παραδείσῳ τῆς νηστείας ἐντολὴν παραφθείρας, καὶ βρώσει τῇ τοῦ ξύλου τοῦτον ὑπαγαγὼν καὶ παραδοὺς τῷ θανάτῳ, οὐ παύεται μέχρι τῆς σήμερον διαβάλλων τὰ παρὰ

Nos quidem oportuit apostolicis traditionibus et constitutionibus, sanctorumque Patrum nostrorum scriptis sanctionibus obsequentes, necessarium non habere quæstiones inanes et commenta sermonum vana excogitare, ad inficiationem eorum quæ ab illis decreta sunt; sed potius attendere diligenter iis quæ definierunt, tum in suis divinis canonibus, tum in sanctis suis libris qui exstant, et sanctis suis vocibus traditione acceptis, easque ut Dei voces putare ac venerari. Verum quia boni osor fraudulentusque diabolus, qui principio in paradiso datum primo hominum creato mandatum jejunii labefactavit, eumque esu illius ligni dejecit ac morti tradidit, non cessat hucusque calumniari divina præcepta quæ a Deo Deique viris propter

[6] Isa. VII, 14 [6] Isa. V. 1.

(1) *Ἀναστασίου περὶ τριῶν Τεσσαρακοστῶν.* Citatur, quanquam indiligentius a Theodoro Balsamone epistola de jejuniis, quam superiori tomo edidimus; ubi, quemadmodum ad Constitutiones apostolicas, diximus de jejuniis Græcorum, et de eorum tribus Quadragesimis, in Anastasii quæstione 64, et in loco Joannis Citrii apud Allatium *De Consens.*, III, 12; necnon in *Typico S. Sabæ*, f. 100 et 133; atque in Morini antiquis Pœnitentialibus, p. 89, 113. Neque Latinis defuerunt tres Quadragesimæ suæ, ex concilio Triburiensi, Capitularibus, Amalario, aliisque testimoniis per viros doctos coacervatis notissimæ. Proinde juxta morem suum callide Hieronymus, epist. 54, ad Marcellam, adversus Montanum, « Nos, inquit, unam Quadragesimam secundum traditionem apostolorum, toto anno, tempore nobis congruo, jejunamus, illi tres in anno faciunt Quadragesimas, quasi tres passi sint Salvatores, etc. Vide eumdem magnum doctorem ad Aggæi caput I, et ad Matthæi cap. IX.

salutem generis nostri tradita sunt : modo vero præcipue irrepsit in quosdam nostrum, non tantum laicos, aut ignotos et illitteratos, sed jam ipsos quoque qui de doctrina gloriantur, et de maxima sapientia supercilium attollunt, episcopos, inquam, metropolitas, sacerdotes, diaconos, cæterosque clericos, necnon ipsos forsan utique monachos, quorum deus venter reputatus est[1], qui sic absque rubore et pudore docent, unicum esse jejunium, a sanctis apostolis divinisque Patribus traditum, illud quod vocatur magnum ; jejunium autem Natalis Christi, quod etiam nonnulli nominant sancti Philippi, ob causam quam inferius proferemus, atque jejunium quod præcedit festum et commemorationem sanctorum principum apostolorum Petri et Pauli, non ortum habere ex apostolica vel Patrum constitutione, sed esse monachorum quorumdam inventa et placita, qui duo hæc dicta jejunia peragunt : quocirca ex illis hominibus ordinationis Dei adversariis nonnulli diebus octodecim abstinent duntaxat carne et caseo et ovis ; quidam vero carne sola, qui reliqua comedunt, excepto uno die ; alii autem pari modo abstinent diebus duodecim tantum, alii sex, alii quatuor : et non modo se solos volunt esse deceptos, sed multitudinem quoque popularem simul post se trahunt ; ut non solum ipsorum sit peccatum ; qui sane graviores pœnas dabunt, quod multos scandalizaverint, atque a recta via abduxerint. Nam si ille qui unum dignum ab indigno educit, os reputatur Dei qui hoc dixit [2] ; quanto magis condemnatione dignus erit is qui per suam ingluviem et intemperantiam decipit ingentem hominum multitudinem ? Nos igitur ideo quæcunque reperimus apostolorum Patrumque constituta huc spectantia, et de prædictis jejuniis definientia, hoc in libro collocavimus, ad præcludendum os eorum qui

A τοῦ Θεοῦ καὶ τῶν αὐτοῦ γενόμενα, ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν, θεῖα προστάγματα· ἄρτι δέ γε καὶ μάλιστα ὑπεισῆλθέ τινας τῶν ἡμετέρων οὐ μόνον λαϊκῶν ἢ ἀγνώστων καὶ ἀγραμμάτων, ἀλλ' ἤδη καὶ αὐτῶν τῶν ἐπὶ λόγῳ σεμνυνομένων, καὶ ἐπὶ μεγίστῃ σοφίᾳ τὴν ὀφρὺν αἰρόντων, ἐπισκόπων, φημὶ, μητροπολιτῶν, καὶ ἱερέων, καὶ διακόνων, καὶ λοιπῶν κληρικῶν, καὶ αὐτῶν δήπου ἴσως τῶν μοναχῶν, ὧν θεὸς ἡ κοιλία λελόγισται, οἳ καὶ ἀπηρυθριασμένως οὐτωσὶ καὶ ἀναιδῶς διδάσκουσι μόνην εἶναι νηστείαν, ἔκ τε τῶν ἁγίων ἀποστόλων καὶ τῶν θείων Πατέρων παραδεδομένην τὴν λεγομένην μεγάλην, τὴν δέ γε τῶν Χριστοῦ γέννων (2), ἣν καὶ τοῦ ἁγίου Φιλίππου (3) τινὲς ὀνομάζουσι, δι' αἰτίαν ἣν παρακατιόντες εἴπομεν, καὶ τὴν πρὸ τῆς μνήμης τῶν B ἁγίων κορυφαίων ἀποστόλων (4) Πέτρου καὶ Παύλου, μὴ εἶναι, μήτε ἐξ ἀποστολικῆς καὶ Πατρικῆς διαταγῆς, ἀλλά τινων εὑρέματα μοναχῶν καὶ θελήματα, τῶν ταύτας τὰς ῥηθείσας δύο νηστευόντων νηστείας· διὸ καὶ οἱ μὲν αὐτῶν τῶν τῇ διαταγῇ τοῦ Θεοῦ ἀνθισταμένων, ὀκτωκαίδεκα ἡμέρας ἀπέχονται κρέατος μόνου καὶ τυροῦ καὶ ᾠοῦ, ἔνιοι δὲ αὐτῶν κρέατος μόνου, τὰ δὲ λοιπὰ ἐσθίουσιν ἐκτὸς ἡμέρας μιᾶς· ἄλλοι δὲ μόνας ἡμέρας δώδεκα ἀπέχονται ὁμοίως, ἕτεροί γε ἕξ, καὶ ἄλλοι τέσσαρας· καὶ οὐ μόνον ἑαυτοὺς θέλουσιν εἶναι μόνους πεπλανημένους, ἀλλὰ προσεπισύρονται καὶ πλήθη ἰδιωτικὰ, ἵνα μὴ μόνον ᾖ τούτων τὸ ἁμάρτημα· πλείονα δὲ πάντως καὶ τὴν τιμωρίαν ὑφέξουσιν, ὡς πολλοὺς σκανδαλίC ζοντες καὶ τῆς εὐθείας ἀπάγοντες. Εἰ γὰρ ὁ ἕνα ἄξιον ἐξ ἀναξίου (5), στόμα λογίζεται τοῦ εἰπόντος, πόσῳ μᾶλλον καταδίκης ἔσται ὄξιος, ὁ πλήθη πολλὰ ἀπατῶν διὰ τῆς αὐτοῦ γαστριμαργίας καὶ φιληδονίας ; Ἡμεῖς οὖν ὅσαπερ εὕρομεν συντείνοντα καὶ διοριζόμενα περὶ τῶν ῥηθεισῶν νηστειῶν ἀποστολικά τε καὶ Πατρικὰ διατάγματα, ἐν τῇδε τῇ βίβλῳ ἐνετάξαμεν, εἰς φίμωτρον τῶν ταύτας οὕτως ἀναιδῶς

[1] Philipp. III, 19. [2] Jerem. XV, 19. [3] Matth. XVIII, 6.

(2) *Τῶν Χριστοῦ γέννων.* Circa jejunium et Quadragesimam natalis Dominici, velim etiam consulas Codinum : *De officiis*, cap. 7, et Gregorii Protosyncelli *Apologiam*.

(3) *Ἁγίου Φιλίππου.* Jejunium et Quadragesima Philippi infra in canonibus Nicephori Constantinopolitani. Et in *Typico* XIV Novembris, ut missos faciam libros Pœnitentiales supracitatos.

(4) *Ἀποστόλων.* Pariter de jejunio et Quadragesima apostolorum, seu principum apostolorum Petri et Pauli, seu duodecim apostolorum, mitto te præcipue ad *Typicum*, f. 99, 100, 121, 137, atque alibi, et ad *Euchologium* Goari, p. 207 ; item ad Matthæum Blastarem litt. V, cap. 4 ; et litt. Π, cap. 7, loco apud doctissimum Morinum ex parte citato ad Pœnitentiales Græcos, qui tamen in editione Anglicana non comparet. Nam post hæc *Synodici* illius Beveregiani, p. 209. Τριῶν ἢ τεσσάρων τοῦ μηνὸς ἡμερῶν, cum quibus desinit pariter exemplar Colbertinum, subjicitur in Cod. Juliano, et Reg. 912 (nunc 3026) 2509 : Ἡ καὶ οὕτως· Ἀριθμει μετὰ τὴν Ἀπόκρεω, ἤτοι ἀπὸ τῆς δευτέρας τῆς τυροφάγου ἡμέρας νς', κἀκεῖ τὸ Χριστιανῶν Πάσχα εὑρήσεις. Ὅσαι δὲ ἡμέραι εὑρίσκονται ἀπὸ τῆς δευτέρας τῆς διακαινισίμου, μέχρι τῆς τρίτης τοῦ Μαΐου, τοσαύτας ἐκδέχου, καὶ τὰς ἐν τῷ θέρει νηστίμους εἶναι τῶν ἁγίων Ἀποστόλων. Εἰ μὲν ἐν τῷ Μαρτίῳ τὸ ἐνεστὼς εὑρίσκεται τῶν Ἰουδαίων Πάσχα, προσθετέον ἡμέρας ιθ'· κἀκεῖ τὸ ἐπιὸν εὑρεθήσεται. Εἰ δὲ ἐν τῷ Ἀπριλλίῳ τὸ ἐνεστὼς, ὑφαιρετέον ἡμέρας ια'· κἀκεῖ τὸ ἐρχόμενον ἔσται. Ἐπὶ δὲ τοῦ ἐκκαιδεκάτου μόνου κύκλου τῆς σελήνης οὔσης, ιβ' ἀφαιρετέον· καὶ τὸ ἐπιὸν εὐθὺς ἔσται δῆD λον. *Vel etiam sic : Numera post Carnisprivium, videlicet a secunda feria septimanæ casearie, dies quinquaginta sex ; et illic Christianum Pascha invenies. Quot autem dies deprehenduntur a secunda feria septimanæ renovationis, usque ad tertiam Maii, tot accipe, etiam dies esse esuriales jejunii Sanctorum Apostolorum æstivas. Mense Martio si præsens invenitur Judæorum Pascha, addendi sunt dies* 19, *et ibi proxime sequens deprehendetur. Quod si mense Aprili Pascha hujus anni, tolle dies undecim, illicque venturum erit. At si luna in decimo sexto solo cyclo fuerit, detrahendi sunt dies duodecim, statimque Pascha secuturum apparebit.* Regius autem liber 394, tunc 2510, in ἁγίων ἀποστόλων desinit. Lege inferius *Canones* Nicephori Confessoris.

(5) *Ἐξ ἀναξίου.* Vel addendum ἐξάγων, ex Jeremiæ textu, vel subintelligendum ἀπάγων, propter ἀπάγοντες quod præcedit.

ἀθετούντων καὶ καταψευδομένων, ἐξ οἰήσεως καὶ ὑπερηφανίας καὶ τῆς ἐν αὐτοῖς οἰκούσης φιληδονίας καὶ γαστριμαργίας, καὶ οὐδὲ τὴν τοῦ Κυρίου τρεμόντων ἀπόφασιν, τὴν λέγουσαν· *Ὅστις σκανδαλίσει ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ μύλον ὀνικόν*, καὶ τὰ ἑξῆς πάντες οἴδασιν. Ὅταν γὰρ ἰδιώτης καὶ ἄγροικος θεάσηταί σε τὸν ἔχοντα γνῶσιν ἐσθίοντα ἀναιδῶς ἐν τῇ νηστείᾳ, πάντως σκανδαλισθήσεται καὶ τὰ χείρονα ποιήσει. Λοιπὸν ἀκουσάτωσαν τῶν προειρημένων ἀποστολικῶν τε καὶ Πατρικῶν παραδόσεων, περὶ τῶν ῥηθεισῶν νηστειῶν. Καὶ εἶπεν Κύριος πρὸς Μωϋσῆν· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, λέγων· Τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ (6) φυλάξατέ μοι, τὴν ἑορτὴν τῶν Ἀζύμων ἐν τῷ πρώτῳ μηνί· ἀπὸ δὲ τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας, ἑπτὰ ἡμέρας ἔδεσθε ἄζυμα ἐπὶ πικρίδων ἄρτον κακώσεως· ἐν γὰρ τούτῳ ἐξῆλθετε ἐξ Αἰγύπτου. Καὶ ἀριθμήσετε ὑμῖν, ἀπὸ τῶν ἑπτὰ ἑβδομάδων. Ἑπτὰ ὁλόκληροι ἡμέραι. Καὶ καλέσατε αὐτὴν ἁγίαν ἡμέραν. Καὶ τὴν ιε' τοῦ ζ' μηνὸς μεσοῦντος τοῦ ἐνιαυτοῦ. Ἡμέρα ἐξιλασμοῦ. Καὶ ἑορτὴ Σκηνοπηγίας. Κλητὴ ἁγία ἔσται ὑμῖν. Ταπεινώσατε τὰς ψυχὰς ὑμῶν. Πᾶσα δὲ ψυχὴ ἥτις μὴ ταπεινωθήσεται, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ. Ἡμέρας ζ' προσάξατε ὁλοκαυτώματα ἐν σκηναῖς κατοικοῦντες, ὅπως ἴδωσιν αἱ γενεαὶ ὑμῶν, ὅτι ἐν σκηναῖς κατῴκησα τοὺς υἱοὺς Ἰσραὴλ, ἐν τῷ ἐξαγαγεῖν με ἐξ Αἰγύπτου. Ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν

A adeo impudenter per elationem et superbiam, insitumque amorem voluptatis et ventris aviditatem, ea inficiantur ac mendaciter traducunt, nec Domini sententiam metuunt, his verbis conceptam : *Quicunque scandalizaverit unum de pusillis istis, expedit ei ut mola asinaria* [a], et quæ sequuntur omnes norunt. Cum enim imperitus et rusticus viderit te, qui scientia præditus es, manducare impudenter jejunii tempore, omnino patietur scandalum, atque pejora perpetrabit. De reliquo audiant memoratas apostolorum et Patrum traditiones circa dicta jejunia. Et dixit Dominus ad Moysem : Loquere filiis Israel, dicens : Tria tempora anni servate mihi ; festum azymorum primo mense ; a decima quarta autem die, septem dies comedetis azyma super B picrides panem afflictionis ; in eo enim exiistis ex Ægypto. Et numerabitis vobis, a septem septimanis. Septem integri dies. Et vocabitis eam vocatam sanctam diem. Et decimam quintam septimi mensis mediante anno. Dies propitiationis. Et solemnitas Scenopegiæ. Vocata sancta erit vobis. Humiliate animas vestras. Omnis autem anima, quæcunque non humiliabitur, exterminabitur de populo suo. Septem diebus afferetis holocautomata, in tabernaculis habitantes, ut sciant progenies vestræ, quod in tabernaculis habitare feci filios Israel, cum educerem de Ægypto. Ego sum Dominus Deus vester [b].

Τοῦ Χρυσοστόμου.

« Κάντεῦθεν (7), ὡς ἔοικε, καὶ παρ' ὑμῖν φυλάσσονται τρεῖς νηστεῖαι, ἃς προετύπουν αἱ ἑορταὶ ἐκεῖναι, προσθήκην τοῦ τριαδικοῦ βαθμοῦ οὐδαμῶς ἐπιδεχόμεναι. »

Καὶ ὁ Κανὼν τῶν ἁγίων ἀποστόλων φησίν· « Εἴ τις ἀναγνώστης, ἢ διάκονος, ἢ ὑποδιάκονος, ἢ πρεσβύτερος, ἢ ἐπίσκοπος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ (8), τὴν ἁγίαν τεσσαρακοστὴν οὐ νηστεύει,

Chrysostomi.

C « Atque inde, ut videtur, etiam a nobis servantur tria jejunia, quæ præfigurabant festa illa, additamentum ternarii gradus nequaquam admittentia. »

Et Canon sanctorum apostolorum ait [c] : « Si quis lector, aut diaconus, aut subdiaconus, aut presbyter, aut episcopus, aut omnino ex catalogo sacratorum, sanctam Quadragesimam non jejuna-

[a] Exod. XII, XXXIV ; Levit. XXIII ; Num. IX ; Deut. XVI. [b] Can. 69.

(6) *Ἐνιαυτοῦ.* Joannis Philoponi præstantioris philosophi quam theologi præclarum opus de mundi creatione publici juris fecit Balthasar Corderius, eoque nomine homini docto plurimum debent bonæ litteræ, multo plus tamen debituræ, si diligentius in proposito versatus fuisset. Non pauca enim emendatu facilia inemendata reliquit, et vitiosum textum mala versione incrustavit, ut nihil dicam de innumeris probi facilisque contextus pravis interpretationibus. Id cum sæpe demonstramus hasce per notas, tum passim cernere est, atque ab ipso etiam principio, ubi adverbium ἀνεκτῶς divisum remansit in ἂν et ἐκτῶς versumque est quasi ἐκτός, *ab externis* ; res per se clara est, proinde verbum non amplius addam. Ex hac porro divisione unius vocis in plures, errata quamplurima profluxere. Atque ut ad locum præsentem veniamus, lib. III, cap. 10, inepte edidit ac reddidit, οὐκ ἔνι αὐτοὺς δὲ περιτίθησιν ὁ Δαβὶδ τῷ Θεῷ, cum vel cæco ἐνιαυτοὺς apparere potuisset : et quemadmodum Penteus in membra, sic vox εἰδεχθὲς in syllabas suas misere discerpta jacet lib. VI, cap. 1 : Εἴ γὰρ γυμνώσειέ τις τὴν σάρκα τοῦ δέρματος, εἰ δὲ χθὲς ὄψεται, καὶ οὐδὲ θεατὸν τὸ λειπόμενον, seu potius quod a manu Grammatici Joannis profectum nullus dubito, λεπόμενον. Eas igitur conjunge meo periculo, imo absque periculo ; verte autem : *Nam si quis carnem pelle denudaverit, tetrum apparebit, et neque spectabile id quod fuerit decorticatum.* Pari modo, lib. III, cap. 10, λοξὴν περὶ δίνησιν, pro περιδίνησιν ; lib. V, cap. 10, πρὸς ὃν pro προσόν ; et VI cap. 2, κατ' ἀρχὴν loco κατ-αρχήν. *Thesauri ascetici* opusculo VIII. cap. 28 : Κατὰ μέρος πλουτοῦν τέως τῆς ἀγαθῆς ἐλπίδος ὑπερηδούσης. Scrib. πλουτοῦντες, τῆς ἀ. ἐ. ὑπερεῖδούσης. Apud Plutarchum libro *De malignitate Herodoti*, p. 861 B : ὡς περὶ τὴν Ἰωνίαν συγκεχυμένην. Al. ὥσπερ εἰτις Ἰωνίας συγκεχυμένης· vel ὡς περὶ τῆς Ἰωνίας vere ὥσπερεὶ aut ὥσπερ εἰ τῆς Ἰωνίας συγκεχυμένης. Denique in Matthæo Blastare Elem. Δ, cap. 5, ubi lex, δὲ ὄντως loco δεόντως.

(7) *Κάντεῦθεν*, etc., fere ad verbum in quæstione Anastasii 64. Κάντεῦθεν, ὡς ἔοικε, καὶ παρ' ἡμῖν εἰκότως φυλάττονται αἱ τρεῖς Τεσσαρακοσταί, ἃς προετύπουν αἱ ἑορταὶ ἐκεῖναι, καὶ προσθήκην τοῦ τριαδικοῦ ἀριθμοῦ μηδαμῶς ἐπιδεχόμεναι. V. Chrysostomum, serm. 1, de Pentecoste.

(8) *Τοῦ καταλόγου τοῦ ἱερατικοῦ· Ex catalogo sacratorum.* Vir summus fuit, atque in hisce litte-

verit, vel quartam feriam, vel Parasceven, deponatur; præterquam si per infirmitatem impediatur. » Porro de Quadragesima Nativitatis Christi, scriptum est in Periodo seu Circuitu et Itinerario sancti Philippi, quod dum prædicaret verbum veritatis, docendo pervenit ad Hierapolim Asiæ, una cum Bartholomæo, et sorore sua Mariamne; urbs autem illa colebat viperam. Et cum apostolos comprehendissent, post multa tormenta, quia nequaquam recipiebant, nec verbum divinum vel audire sustinebant, excepto illo qui primum apostolos susceperat: ille enim baptizatus fuit, totaque ipsius domus et consanguinitas, necnon uxor proconsulis: Philippum quidem educentes, postquam talos ipsius perforavissent, crucifixerunt capite in terram verso; Bartholomæum autem in ligno prope eum suspenderunt; Mariamnem vero detinuerunt in carcere. Porro cum sanctus Joannes illuc advenisset, dixit ei Philippus, uti peterent ignem e cœlo demitti qui cunctos illos consumeret: id quod apostolus Joannes fieri prohibuit. Post ipsius porro discessum, tribus diebus interjectis, oravit sanctus Philippus, et terra aperuit os, cunctosque idololatras vivos in infernum deduxit. Postea ipsi apparuit Servator, et in memoriam ei revocavit præceptum suum, quod ait, malum pro malo non esse reddendum, et reliqua similia; deinde etiam addidit: « Quandoquidem mandatum meum violasti, et afflixisti eos qui te dolore affecerunt, tu quidem hic obdormies, et cum gloria aufereris a sanctis angelis meis usque ad paradisum, non intrabis tamen, sed quadraginta diebus extra stabis, tristis, atque prohibitus a flammeo gladio [9], propterea quod eos qui te

A ἡ τετράδα, ἢ παρασκευήν, καθαιρείσθω, ἐκτὸς εἰ μὴ δι' ἀσθένειαν ἐμποδίζοιτο. » Περὶ δὲ τῆς Τεσσαρακοστῆς τῆς τοῦ Χριστοῦ γεννήσεως, γέγραπται ἐν τῇ Περιόδῳ τοῦ ἁγίου Φιλίππου (9), ὅτι κηρύσσων τὸν λόγον τῆς ἀληθείας, κατέλαβε διδάσκων καὶ τὴν τῆς Ἀσίας Ἱεράπολιν, σὺν τῷ Βαρθολομαίῳ, καὶ τῇ ἀδελφῇ αὐτοῦ Μαριάμνῃ· ἡ δὲ πόλις ἐσέβετο τὴν ἔχιδναν. Καὶ συλλαβόμενοι τοὺς ἀποστόλους (1), μετὰ πολλὰς τὰς βασάνους, ἐπεὶ πάντῃ ἦσαν ἀπαράδεκτοι, μηδὲ ἀκοῦσαι ἀνεχόμενοι τοῦ θείου λόγου, χωρὶς τοῦ πρώτως ὑποδεξαμένου τοὺς ἀποστόλους· ἐκεῖνος γὰρ ἐβαπτίσθη καὶ πᾶσα ἡ οἰκία καὶ συγγένεια αὐτοῦ, καὶ ἡ γυνὴ τοῦ ἀνθυπάτου· τὸν μὲν Φίλιππον ἐξαγάγοντες καὶ τρυπήσαντες τοὺς ἀστραγάλους, ἐσταύρωσαν κατὰ κεφαλῆς· τὸν δὲ B Βαρθολομαῖον ἐπὶ ξύλου ἀνήρτησαν σύνεγγυς αὐτοῦ· τὴν δὲ Μαριάμνην κατέσχον ἐν φυλακῇ. Ἐλθόντος δὲ τοῦ ἁγίου Ἰωάννου ἐκεῖσε, εἶπε Φίλιππος πρὸς αὐτὸν, ὡς ἂν αἰτήσωνται πῦρ ἐξ οὐρανοῦ κατενεγθῆναι καὶ καταναλῶσαι πάντας αὐτούς· ὅπερ ὁ ἀπόστολος Ἰωάννης διεκώλυσε γενέσθαι. Μετὰ δὲ τὴν αὐτοῦ ὑποχώρησιν καὶ τριῶν ἡμερῶν παραδρομὴν, προσηύξατο ὁ ἅγιος Φίλιππος, καὶ ἤνοιξεν ἡ γῆ τὸ στόμα, καὶ πάντας τοὺς εἰδωλολάτρας ζῶντας ἐς ᾅδου κατήγαγε. Καὶ μετὰ ταῦτα ἐφάνη αὐτῷ ὁ Σωτὴρ, ἀναμιμνήσκων αὐτῷ τῆς ἐντολῆς αὐτοῦ λεγούσης, μὴ ἀποδιδόναι κακὸν ἀντὶ κακοῦ, καὶ τῶν λοιπῶν· εἶτα καὶ προσθείς· Ἐπεὶ παρήκουσας τῆς ἐντολῆς μου, καὶ ἐκάκωσας τοὺς λυποῦντάς σε, σὺ μὲν κοιμηθήσῃ ἐνταῦθα, καὶ ἀπενεχθήσῃ ἐν δόξῃ C ὑπὸ τῶν ἁγίων μου ἀγγέλων ἄχρι καὶ τοῦ παραδείσου, οὐκ εἰσελεύσῃ δὲ, ἀλλὰ τεσσαράκοντα ἡμέρας ἔξω στήσῃ λυπούμενος καὶ κωλυόμενος ὑπὸ τῆς φλογίνης ῥομφαίας, ἀνθ' ὧν ἐλύπησας τοὺς ἀδι-

[9] Gen. III, 24.

ris versatissimus, et curiosæ felicitatis, Jacobus Sirmondus: negari tamen non potest, plurima in libris antiquorum quos edidit remansisse errata. Illa quidem deprehendebat pro sua perspicacitate, necnon corrigere poterat, quo pollebat acumine; sed majoribus intentus, laborem emendationis detrectabat, exemplo sane non sequendo. Ego autem qui naturæ in meditationem pronioris beneficio an vitio, cruces ingeniorum non penitus aversor, libenter exerceo me circa loca obscura et depravata. Cujusmodi procul dubio exstat Epistola Joannis papæ II, ad Cæsarium Arelatensem de Contumelioso Regensi, t. I, Conciliorum Galliæ, ad annum 534: « Charitatis tuæ litteras animo libenti suscepimus, in quibus corporeas necessitates allegans, etiam quæ sacrius ille, qui lapsus est, fecerit indicasti. » Quid ergo ad monstrum lectionis *sacrius?* Duo quæ substituantur occurrunt, *sequius* aut *secius*, hoc est prave; et *sacratus*, allusione forsan facta ad testimonium Fausti pariter Regensis, quod in ea causa prolatum cernitur: « Perdit gratiam consecrati, qui adhuc officium vult exercere mariti. » Utrum vero sit verisimilius, lector judicet. Quanquam hæc typis mandata nunc corrigens, intelligo utcunque retineri posse vulgatam lectionem, ac sumi adverbialiter *sacrius*, exponique *scelestius*, *exsecrabilius*. Cæterum quia de Contumeliosi negotio et Sirmondi indiligentia agitur, proferantur insignia Agapeti ad Cæsarium verba quæ huc pertinent: « Contumeliosum, reddita sibi modo propria substantia, suspensum interim volumus ab administratione patrimonii ecclesiastici, et celebratione Missarum. » Paucisque interjectis: « Suspensus igitur, sicut præfati sumus, episcopus Contumeliosus, habeat tantum, quam præsumpsisse dicitur, celebrationem missarum. » Quæ inter se pugnant evidenter, nec aliter conciliari poterunt, quam inserendo ante verbum *habeat*, particulam negantem, *non habeat*. Tomo III *Analectorum* doctissimi Mabillonii, p. 282: « Sitque ab omni sacerdotalis cartologi laqueo aut oppressione vel humano intactus, et liber usque ad nostrum, ut præfatum est, judicium, qui beati principis apostolorum Petri meruit adipisci auxilium. » An *sacerdotalis catalogi*.

D

(9) *Περιόδῳ Φιλίππου.* Apocrypha sequuntur falsa, fabulosa, insulsa, impia, hæretica, indigna plane quæ ab Anastasio vel proferrentur, dignissima contra quæ Gelasiano synodi Romanæ decreto æternum proscripta manerent. Quocirca pudentius alii visum lectumque Philippi apocryphum repurgaverunt, scopulis diligenter vitatis. Ab aliis ignoratum est Philippi martyrium, post Clementem Alexandrinum *Strom.* IV.

(10) *Συλλαβόμενοι τοὺς ἀποστόλους.* Leve mendum hic a Nicephoro debet amoveri. *Eccles. Hist.* lib. II, cap. 39: Οἱ καὶ ἐπὶ σύστασιν ποιησάμενοι, jungendo ἐπὶ cum σύστασιν, ut ἐπισύστασιν habes Act. XXIV, 12. Minus commode doctissimus Combefisius tentabat, καὶ εὐθὺς σύστασιν.

rio, suspicioso et temerario, maxime a judicio reprobationis quod solius est Dei : non item prohibet publicum sive contentiosum in hoc institutum, ut protegatur innocentia, et malitia puniatur, 2, q. 1, *Quæ Lotharius*. Homil. 63, initio, videri possit omni prorsus juramento interdicere voluisse Christianis, collatione utriusque legis, cum alioqui juramentum sui natura malum adeo non sit, ut actus etiam latriæ sit, adsint modo tres comites, veritas, judicium et justitia, teste D. Thoma. Verum quando libri juris utriusque fusissime docent, quibus de causis liceat jurare, quibus non, sed et schola theologorum illis eadem de re concinit : satis videbor fecisse si docuero Antiochum voluisse a reproba consuetudine jurandi avocare fratres, quos nulla urgebat jurandi necessitas : quam consuetudinem, nemo pius qui non exsecretur. Hoc voluisse Antiochum, verbum παρακελεύομαι, hoc est, προτρέπομαι, *adhortor*, *admoneo*, facile indicat. Proinde per juramenti non necessarii consuetudinem ipsi experimur quanta proclivitate rapiantur ad perjuria homines, et blasphemiam sacrilegam : quare locum hic habet quod inducit Glos. in illud, *Sed quia pejerare*, 22, q. 1, cap. *In Novo Testamento*. Argumentum est, quod quandoque prohibetur aliquid non propter se, sed propter illud quod inde sequi non potest, 11, q. 3, *Nolite*, *et* 27 *dist*. Sed et Venerabilis Beda in illud Jacobi : *Ante omnia*, *fratres*, etc., consuetudinem prohibet jurandi, ne ex ea deveniatur in perjurium. Homil. 84, quæ est de insomniis, fidem non habendam insomniis docet exemplo luculenter; id vero intelligendum, nisi discretio spirituum adsit. Sunt enim species variæ, quas Augustinus in libro *De spiritu et anima* exsequitur; Hippocratis quoque commentarius fusissime in hujus Apotelesmata de somniis. Apathian insuper sumit non pro omnimoda illa erga affectiones sive passiones animi immobilitate : qui error philosophorum erat; adversus quem Laertius, Diogenes et Plutarchus : ex Latinis, Aulus Gellius, sanctus Hieronymus, atque Augustinus adversus Pelagium; sed pro euthymia, id est, pro statu compositi animi, requieti ac sedati ab intemperie tumultuantium affectionum : hoc est, pro tranquillitate. Verum me hic dicere, ipse sibi testis est locuples sub finem homil. 79, quæ de agone est. Denique videri poterit alicubi varius in acceptione dictionum, quæ suapte natura polysemæ sunt. Duæ occurrunt potissimum. Homiliam vicesimam inscribit, Περὶ σωφροσύνης, quam inscriptionem vertendam docet, uti vertimus, subinductio exemplorum : *De castitate sive pudicitia*. Inducit enim Joseph, Susannam, Sarephtanam viduam, Gregorium Neocæsariensem, Cyrum, de quo apud Xenophontem : neque enim sobrietatem aut sanitatem mentis hoc loco solum indicat. Sed et sub ejus homiliæ finem locum inducens ex cap. .: ad Titum, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς, ni fallor σωφρόνως sumit, pro, *caste*, *pudice* : ut sit aculuthia sententiæ : nos tamen religiosum duximus variare ecclesiasticam lectionem, interpretati, *sobrie* et *juste*. Simile quiddam in homilia 106 comperies : εὐχὴν enim pro oratione ubi sumpsit; sub finem videtur pro voto accipere : *Si voveris*, etc. Sed ea vox cum utrumque indicet, locus est excusationi. Et hæc sane sunt, candide lector, quorum gratia anxius hærebam.

Liber Dei præcepta continens, insunerque interpretationes eorum, necnon doctrinam iis convenientem et congruentem.

*Βίβλος * περιέχουσα τὰς τοῦ Κυρίου ἐντολὰς, ἔτι γε μὴν καὶ τὰς ἑρμηνείας αὐτῶν· πρὸς τούτοις καὶ τὰς συναρμοζούσας ταύταις καὶ ἑξακολουθούσας διδασκαλίας.*

PROLOGUS HUJUS OPERIS.

Antiochus ille, qui mundo penitus renuntiavit, et in magni illius Sabæ monasterio non exiguo tempore in secessu vitam duxit; dum sibi ipsi vacaret et attenderet, adeptus rerum salutarium notitiam secundum illud præceptum, *Vacate et scitote*, collectis Spiritus sancti divitiis, neque segnis ad eas egentibus largiter effundendas, cum centenarium fructum retulisset et talentum multiplicasset, ut tanquam servus fidelis, prudens et bonus a clemente domino benedictionem acciperet : hic, inquam, Antiochus quo tempore efferus Persarum animus, impetusque eorum sanguinarius totam Orientalem plagam Romano sceptro parentem miserabili exitu ad suum traxit imperium, hinc opportunam nactus occasionem, sacrum quemdam librum ex divinis eloquiis adornavit, ut ille eodem in libro manifestissime declarat, eidemque hujusmodi titulum indidit; illumque in medium protulit

ΠΡΟΛΟΓΟΣ ΤΟΥ ΠΑΡΟΝΤΟΣ ΣΥΝΤΑΓΜΑΤΟΣ.

Ἀντίοχος μὲν ἐκεῖνος ὁ παντὶ πάντῃ τῷ κόσμῳ ἀποταξάμενος, καὶ τῇ τοῦ μεγάλου Σάβα ἐν Ἱεροσολύμοις μονῇ ἐφησυχάσας χρόνον οὐχὶ μικρόν· οὕτω τε καθ' ἑαυτὸν γεγονὼς, καὶ σχολάσας καὶ γνοὺς τὸ σωτήρια κατὰ τὴν, *Σχολάσατε καὶ γνῶτε*, κελεύουσαν ἐντολήν· πλοῦτόν τε οὕτω συναγείρας τοῦ Πνεύματος, καὶ μεταδοῦναι τούτου πλουσίως οὐ κατοκνήσας τοῖς χρῄζουσι, καρποφορήσας δὲ μᾶλλον εἰ, ἑκατὸν, καὶ πολυπλασιάσας τὸ τάλαντον, ἵνα ὡς δοῦλος πιστός τε καὶ φρόνιμος καὶ ἀγαθὸς παρὰ τοῦ φιλαγάθου Δεσπότου εὐλογηθῇ· οὗτος οὖν ὁ Ἀντίοχος κατὰ καιροὺς ἐκείνους, ὅτε ἡ τῶν Περσῶν θηριώδης γνώμη καὶ μιαιφόνος ὁρμὴ πᾶσαν χώραν ὁρμὲν (sic) πρὸς ἀνίσχοντα ἥλιον τῷ Ῥωμαϊκῷ σκήπτρῳ τελοῦσαν ὑποτελῆ ἐλεεινῶς ἑλκύσατο, τούτου αὐτοῦ ὥσπερ εὐκαίρου δή τινος δραξάμενος ἀφορμὴν, ἱερά τινα βίβλον ἐκ τῶν θείων λογίων συνετάξατο, ὥσπερ αὐτὸς ἐν αὐτῇ ἀριδηλότατα παριστᾷ αὕτη (sic) ἐπ-

* Montfaucon., *Bibliothec. Coislin.*, p. 189.

ονομάσας, καὶ προσθεὶς εἰς μέσον αὐτὴν εἰς μεγί- A ad maximam præsentium sui temporis et futuro-
στην τῶν ἔκτοτε καὶ μέχρι τοῦ νῦν ἐντυγχανόντων rum utilitatem *.
ὠφέλειαν.

* Hanc narrationem mire corruptam sæpe divinando Latine reddidimus.

ΕΠΙΣΤΟΛΗ

ΑΝΤΙΟΧΟΥ ΜΟΝΑΧΟΥ ΤΗΣ ΛΑΥΡΑΣ ΤΟΥ ΑΒΒΑ ΣΑΒΑ ΠΡΟΣ ΕΥΣΤΑΘΙΟΝ ΗΓΟΥΜΕΝΟΝ ΜΟΝΗΣ ΑΤΤΑΛΙΝΗΣ, ΠΟΛΕΩΣ ΑΓΚΥΡΑΣ ΤΗΣ ΓΑΛΑΤΙΑΣ, ΠΕΡΙ ΤΩΝ ΕΚΕΙΣΕ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ ΕΝ Ω ΚΑΙ ΚΕΦΑΛΑΙΑ ΡΑ', ΚΑΙ ΠΡΟΣΕΥΧΗ ΕΞΟΜΟΛΟΓΗΣΕΩΣ.

EPISTOLA

ANTIOCHI MONACHI LAURÆ * SABÆ ABBATIS AD EUSTATHIUM PRÆPOSITUM MONASTERII ATTALINÆ, CIVITATIS ANCYRÆ GALATIÆ,

De SS. Patribus ibi degentibus, cui insunt capitula 150 et gratiarum actio.

(Ducæus, *Supplem. ad Biblioth. Patrum*. Paris. 1624, tom. I, p. 109.)

Ἐπειδήπερ γεγράφηκάς μοι, τίμιε Πάτερ Εὐστάθιε, πολλὴν θλῖψιν ὑπερμεμενηκέναι, τόπον ἐκ τόπου, καὶ χώραν ἐκ χώρας ἀμείβοντα, φόβῳ τοῦ ἐπικρατοῦντος Χαλδαϊκοῦ χειμῶνος, πείνης τε καὶ δίψης πειραθῆναι, οὐκ ἄρτου καὶ ὕδατος, ἀλλὰ κατὰ τὸ εἰρημένον, τοῦ ἀκοῦσαι λόγον Κυρίου· διὰ τὸ μήτε δύνασθαι ὑμᾶς βάρος βιβλίων ἐπιφέρεσθαι, μήτε ἐν τοῖς τόποις ἐν οἷς ἐπιδημεῖτε εὑρίσκειν εὐχερῶς τὰ ἐπιζητούμενα, ἐκελεύσατε τῇ ἐμῇ βραχύτητι ἐν συντόμῳ πᾶσαν συστεῖλαι τὴν θείαν Γραφὴν, Παλαιάν τε καὶ Καινὴν, ὥστε μήτε ἄχθος ἡμῖν γενέσθαι βαστάγματος, μήτε πάλιν ἐλλειφθῆναί τι τῶν τεινόντων ἐπ' ὠφέλειαν καὶ σωτηρίαν ψυχῆς, εἶξα προθύμως τῇ ὑμετέρᾳ κελεύσει, εὐθέως περιστήσας πάντα τὰ παρ' ὑμῶν ἐκ τῆς θείας Γραφῆς ἐπιζητούμενα, εἰς ἑκατὸν τριάκοντα κεφάλαια ἡνωμένα τε καὶ διακεκριμένα ἀπ' ἀλλήλων, ὡς μὴ σύγχυσιν καὶ φυρμὸν ὑπομεῖναι τὸν ἀναγινώσκοντα. Ταῦτα ἔρτειλα τῇ ὑμετέρᾳ θεοφιλείᾳ· ἅπερ δεχόμενος, τῷ μὲν Θεῷ τὴν πρέπουσαν δοξολογίαν καὶ εὐχαριστίαν ἀνάπεμψον, τῷ τὴν δύναμιν αὐτοῦ ἐν ἀσθενείᾳ τελειοῦντι. Ἡμᾶς δὲ ταῖς εὐπροσδέκτοις σου εὐχαῖς ἀνταμείβου, ὅπως κατὰ τὸ Θεῷ εὐχάριστον τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐκτελέσωμεν. Εἰ δέ τι, ὡς εἰκὸς, εὕροις, συγγνώμην ἀποδοῦναι, καὶ τῇ ἰδιωτείᾳ καὶ τῇ σπουδῇ τοῦ ἐπιτάγματος. Ἐπειδὴ δὲ καὶ τοῦτο ἔστειλας, τίμιε Πάτερ, ὥστε σημᾶναί σοι καὶ περὶ τῶν ἁγίων Πατέρων τῆς καθ' ἡμᾶς Λαύρας, εἰ ἀληθῆ εἰσιν, ἅπερ εἴπατε ἀκηκοέναι παρὰ πολλῶν, περί τε τῆς πολιτείας καὶ τῆς ἀναιρέσεως αὐτῶν, δύσπιστα ὄντα καὶ ἀκοὴν ὑπερβαίνοντα, ἀναγκαῖον ἡγησάμην πρότερον ἐν βραχεῖ σημᾶναι ὑμῖν

B Cum ad me scripseris, Eustathi Pater veneran-
de, te magna affici molestia, dum e loco ad locum
et e regione ad regionem migrare cogeris metu vi-
gentis Chaldæorum calamitatis : fame etiam ac
siti laborare, non panis et aquæ, sed juxta evan-
gelicum propheticum dictum, verbi Dei; cum ne-
que libros circumferre possitis, neque ita facile in
locis in quibus exsulatis, quæ vultis invenire va-
leatis : cumque meæ jusseris humilitati, ut epito-
men aliquam divinarum Scripturarum ad te mit-
terem, quæ neque circumferendo gravis esset præ
magnitudine, neque sui tenuitate in se aliquid
eorum quæ ad utilitatem et salutem animæ faciunt,
desideraret; obtemperavi libenter tuis mandatis,
et quam primum quod petis faciendum putavi. E
C sacra igitur Scriptura centum quinquaginta ex-
cerpsi capita, unita quidem simul, invicem tamen
ita disjuncta, ut qui ea legerit, nulla confusione
trahatur. Et hæc tuæ misi pietati, quæ cum acce-
peris, Deo, ut par est, gloriam et gratiarum actio-
nem reddas, qui suam virtutem imbecillis impertitur, ut in infirmitate perficiantur. Tu vero cum
tuis gratis precibus nos foveas, ut quod reliquum
est nobis vitæ hujus, juxta Dei voluntatem peragere
possimus : si vero aliquid (ut facile fieri potuit)
imperfectum offenderis, ignoscas, quæso te, meæ
tenuitati, tum temporis angustiæ tribuas, quæ tuis
mandatis voluit obtemperare. Quoniam vero illud
præterea scripsisti ut **1022** tibi aliquid diceremus
D de sanctis Patribus nostræ lauræ, an vera sint quæ
a nonnullis audisse dicis, de eorum videlicet vita
et nece, cum vix illa credi possint, et sensum

* *Lauram neoterici Græci insigne dicunt monasterium, pro magna hominum copia qui devotionis ergo instar multarum aquarum eo confluunt.*

omnem superent, necessarium propterea duxi brevibus tibi prius aperire quæ ad illos attinent, ea deinceps subjicere, quæ diximus sacræ Scripturæ capitula.

A τὰ περὶ αὐτῶν, εἶθ' οὕτως καθυποτάξαι τὰ τῆς θείας Γραφῆς κεφάλαια.

De laudabili autem vita eorum in præsentiarum agere id temporis non postulat, nec mea lingua illa posset facile percurrere : illud tantum dicam, quod revera homines erant divini (si homines tantum illos oporteat dicere potius quam angelos) cum in exercitatione spirituali et monastica vita et laboribus quos pro pietate sustulerunt, a juventute sua insenuerint : senes quidem venerandi, et canos capillos habebant, sed mente magis præstabant et humilitate, honesti, modesti, veridici, irreprehensibiles, justi, pii, ab omni turpitudine et pravitate alieni, omnibus bonis ornati, et divino repleti amore : nonnulli ipsorum centum excesserunt annos et quinquaginta sex, in quieta et monastica vita cum peregissent, nec a laura unquam recesserunt : nonnulli vero neque ad ecclesiam processerant, nec civitatem amplius viderant, ex quo vitam monasticam semel fuerant amplexati; variis etiam virtutibus emicabant, terrestres scilicet angeli et cœlestes homines. Quapropter hunc finem sunt adepti, et victoriæ præmium sunt consecuti.

Καὶ περὶ μὲν τῆς ἐναρέτου αὐτῶν πολιτείας οὐ τοῦ παρόντος καιροῦ οὐδὲ τῆς ἐμῆς γλώττης διηγήσασθαι. Τοῦτο δὲ μόνον λέγω, ὅτι ὡς ἀληθῶς ἄνθρωποι ἦσαν θεῖοι (εἴγε δεῖ ἀνθρώπους αὐτοὺς καλεῖν, καὶ μὴ ἀγγέλους), τῇ τε ἀσκήσει καὶ ἡσυχίᾳ καὶ τοῖς ὑπὲρ εὐσεβείας πόνοις ἐκ νεότητος ἐγγεγηρακότες, γηραλέοι, ἱεροπρεπεῖς, πολιοὶ τὴν τρίχα καὶ τὴν σύνεσιν, ἀγαθοὶ, ταπεινόφρονες, κόσμιοι, σώφρονες, ἀληθινοὶ, ἄμεμπτοι, δίκαιοι, θεοσεβεῖς, ἀπεχόμενοι ἀπὸ παντὸς πονηροῦ πράγματος, ἀνελλιπεῖς πάντων τῶν ἀγαθῶν, πεπληρωμένοι δὲ τῆς θείας ἀγάπης. Τινὲς αὐτῶν ὑπερβεβηκότες ἀπὸ πεντήκοντα καὶ ἑξήκοντα ἐτῶν, μὴ ἐξερχόμενοι παντοίως τῆς Λαύρας· τινὲς δὲ μήτε ἐν τῇ ἐκκλησίᾳ προϊόντες, μηδὲ ἑωρακότες τὴν πόλιν, ἀφ' οὗ ἐμόνασαν, ἀρεταῖς παντοίαις κεκοσμημένοι, ἐπίγειοι ἄγγελοι, καὶ οὐράνιοι ἄνθρωποι· ὅθεν καὶ τοιοῦτον τέλος ἀπηνέγκαντο, καὶ τὸ βραβεῖον τῆς νίκης ἐκομίσαντο.

B

Cum enim Ismaelitæ ad nostrum accessissent monasterium, una septimana antequam sancta civitas fuisset occupata, et universa sacra vasa Ecclesiæ jam diripuissent, plerique Patres aufugerunt quam primum, remanserunt autem in monasterio qui fortiores Christi fuerant servi, sacrum illum locum destituere nullo pacto volentes. Barbari vero cum illos comprehendissent, et multos dies illos inhumane tractassent, et tormentis affixissent, pecunias hoc pacto sese inventuros putantes, apud quos nihil hujus sæculi reperiebatur : illi simul atque intellexerunt, sua se tandem spe ac proposito excidisse, in efferatissimam versi rabiem, ad unum membratim beatos illos conciderunt, qui et lætitia incredibili perfusi ac proinde alacri vultu renidentes, omni cum actione gratiarum, animas reddiderunt Domino : quippe qui non ita pridem in votis habuerant resolvi *et cum Christo esse* [1]. Corpora vero plusquam tragice cæsa cum non paucos dies in humum disjecta, sine sepulturæ beneficio jacuissent, ab Arabia illo usque approperavimus. Et quidem eximius abbas Nicomedes spectaculum illud miserabile cæsorum Patrum contemplatus, deliquio animi concidit, atque illinc relatus mortuus prope est. Modestus præterea, et ipse sanctissimus, adventum nostrum cum antevertisset, et sanctorum illorum lustrasset prius habitacula omnia, itidem angore animi contractus, multis se proluit lacrymis, ac sancta quæ eatenus resederant lipsana [2] circumplexus, in Patrum superiorum deposuit conditoriis.

C

D

Ἐπελθόντων γὰρ τῶν Ἰσμαηλιτῶν τῇ ἡμετέρᾳ Λαύρᾳ πρὸ μιᾶς ἑβδομάδος τοῦ παραληφθῆναι τὴν ἁγίαν πόλιν, καὶ πάντα τὰ τῆς ἐκκλησίας ἱερὰ σκεύη διαρπασάντων, τὸ μὲν πλῆθος τῶν Πατέρων παραχρῆμα ὑπανεχώρησεν· ἀπέμειναν δὲ οἱ καρτερικοὶ δοῦλοι τοῦ Χριστοῦ ἐν τῇ Λαύρᾳ, μὴ βουλόμενοι καταλιπεῖν τὸν τόπον. Οἱ δὲ βάρβαροι συλλαβόμενοι αὐτοὺς, καὶ ἀνηλεῶς ἐπὶ πολλὰς ἡμέρας βασανίζοντες, οἰόμενοι χρήματα εὑρίσκειν, παρ' οἷς μηδὲν τοῦ αἰῶνος τούτου ὑπῆρχεν, τέλος τοῦ σκοποῦ ἐκπεσόντες, ἐμμανεῖς γενόμενοι πάντας μεληδὸν κατέτεμνον. Οἱ δὲ μακάριοι γεγηθότες φαιδρῷ τῷ προσώπῳ, εὐχαρίστως τὰς ψυχὰς τῷ Κυρίῳ ἀπέδωκαν, ὡς ἐκ πολλοῦ τὴν ἐπιθυμίαν ἔχοντες ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι. Ῥιφέντων δὲ τῶν σωμάτων αὐτῶν ἐπὶ πολλὰς ἡμέρας ἀτάφων, ἐπικατελάβομεν ἡμεῖς ἀπὸ Ἀραβίας· καὶ ὁ μὲν ἁββᾶς Νικομήδης θεασάμενος τὰ ἐλεεινὰ θεάματα τῶν Πατέρων, λειποθυμήσας σχεδὸν εἰπεῖν ἦρθη νεκρός. Μόδεστος δὲ ὁ ὁσιώτατος προσελθὼν πάντα τὰ σκηνώματα τῶν ἁγίων συστελλας, ἔλουσε πολλά τε ἐπιδακρύσας, καὶ περιπτυξάμενος τὰ ἅγια καὶ καρτερικὰ αὐτῶν λείψανα, κατέθετο ἐν ταῖς θήκαις τῶν Πατέρων. Ἐκτελέσας δὲ ἐπ' αὐτοῖς τὸν συνήθη κανόνα, ἐπεφθέγξατο αὐτοῖς τὸ τοῦ Ἡσαΐου λόγιον τὸ φάσκον· « Ἄνδρες δίκαιοι αἴρονται, καὶ οὐδεὶς κατανοεῖ· ἀπὸ προσώπου ἀδικίας ἦρται ὁ δίκαιος· ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ. » Καί· « Ψυχαὶ δικαίων ἐν χειρὶ Κυρίου· καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ, καὶ ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλως εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτοὺς, καὶ

1023 Is ad hæc, ubi solemnem persolvit et ex more consuetum Canonem, illud mox oraculum Isaiæ exserta voce deprompsit : « Viri justi tol-

[1] Philipp. I, 23. [2] Τὰ ἅγια λείψανα, sanctas reliquias.

ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι. » Καὶ ταῦτα περὶ τῶν ἁγίων Πατέρων ἡμῶν εἰρηκὼς παρεκάλει πάντας ἡμᾶς μὴ ἐγκαταλεῖψαι τὸν τόπον ἡμῶν, ἀλλ' ὑπομένειν γενναίως ἐν τοῖς πειρασμοῖς μνημονεύοντας τοῦ Κυρίου λέγοντος· « Ὅτι στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν· » καὶ τοῦ Ἀποστόλου, ὅτι « Διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Εἴξαντες οὖν τῇ παραινέσει αὐτοῦ ἐμείναμεν ἐν τῇ Λαύρᾳ ὡς ἐπὶ δύο μῆνας. Καὶ πάλιν ἀκοῆς βαρβαρικῆς γενομένης φοβηθέντες κατεφύγομεν εἰς μοναστήριον πλησίον τῆς ἁγίας πόλεως, ὡς ἀπὸ σταδίων εἴκοσι, λεγόμενον τοῦ ἀββᾶ Ἀναστασίου, μηδένα τὸ τηνικαῦτα ἔχον. Καὶ ποιήσαντες ὡς δύο χρόνους ἐν αὐτῷ, πάλιν παρεκαλούμεθα ὑπὸ τοῦ εἰρημένου ὁσιωτάτου Μοδέστου ἐπανελθεῖν, καὶ οἰκῆσαι εἰς τὸν τόπον ἡμῶν. Πεισθέντες οὖν τῇ ἀγαθῇ αὐτοῦ συμβουλίᾳ, οἱ μὲν παραχρῆμα ἐπανήλθομεν, καὶ οἰκήσαμεν εἰς τὴν Λαῦραν, τινὲς δὲ καὶ μικρὸν βραδύτερον φόβῳ τῶν γειτνιώντων ἡμῖν Σαρακηνῶν, τινὲς δὲ καὶ ἐν αὐτῷ τῷ μοναστηρίῳ ἀπεμείναμεν ἅμα Ἰουστίνῳ τῷ ὁσιωτάτῳ αὐτῶν ἡγουμένῳ, ἀποταξαμένῳ ἐν τῇ Λαύρᾳ, καὶ πλείστους χρόνους ἐν αὐτῇ πεποιηκότι, καὶ ἐν πολλαῖς ἀρεταῖς διαπρέψαντι, ὡς καὶ τῇ τοῦ πρεσβυτέρου ἀξίᾳ αὐτὸν τιμηθῆναι. Ὅστις θεοσεβέστατος Ἰουστῖνος πολλὴν συνοδίαν ἐν τῷ αὐτῷ μοναστηρίῳ τῇ τοῦ Χριστοῦ χάριτι περιεποιήσατο κρατῶν τὸν κανόνα ἀπαραλλάκτως τῆς Λαύρας καὶ τὴν λοιπὴν κατάστασιν, καὶ οὐκ ἂν εὕροι τις ἐν ὅλῃ Παλαστίνῃ ἢ ἐν ἄλλῳ κοινοβίῳ τοιαύτην πνευματικὴν κατάστασιν. Ἀνθεῖ δὲ καὶ αὐξάνει καθ' ἑκάστην· καὶ προβαίνων κατὰ τὸν Ἰσαὰκ μέγας γίνεται, ὡς ἐκ τούτου χαίρειν ἡμᾶς στοχαζομένους καλῶς, ὅτι ἐν πάσῃ χώρᾳ διαλάμπει φωστήρων δίκην τὸ σπέρμα τοῦ ἁγίου Πατρὸς ἡμῶν Σάβα. Ἡμεῖς δὲ οἱ ταπεινοὶ τῇ τοῦ Θεοῦ χάριτι καὶ σπουδῇ τοῦ προειρημένου ὁσιωτάτου Μοδέστου ἐν ἡσυχίᾳ καθήμεθα ὑπὲρ τὰ πρώην ἔτη, εὐχαριστοῦντες καὶ δοξάζοντες τὸν Θεὸν τὸν θανατοῦντα καὶ ζωοποιοῦντα, καὶ ποιοῦντα θαυμάσια μεγάλα μόνον. Ἐσπλαγχνίσθη γὰρ εἰς ἡμᾶς ἡ αὐτοῦ ἀγαθότης, καὶ εἰς προκοπὴν μεγάλην ἤνεγκε τὸν τόπον ἡμῶν, ὅσον πρὸς τοὺς καιροὺς, διὰ τοὺς προδουλεύσαντας αὐτῷ γνησίως ἐν αὐτῷ ἁγίους δούλους αὐτοῦ. Ἐχαρίσατο δὲ ἡμῖν Πατέρα καὶ ποιμένα ἡ αὐτοῦ ἀγαθότης, ἄξιον τῆς αὐτοῦ προνοίας, Θωμᾶν τὸν ὁσιώτατον, γνωστικὸν ὄντα καὶ παντοίαις ἀρεταῖς κατακεκοσμημένον, τὸν ἐκ νεαρᾶς ἡλικίας ἡσύχιον ἀσκήσαντα βίον· τὸν πρᾶον καὶ φιλάδελφον καὶ συμπαθέστατον, τὸν ταπεινὸν τῇ καρδίᾳ, τὸν περὶ τὴν εὐχὴν καὶ κανόνα θερμότατον. Διὸ καὶ ὁ Θεὸς ἐπὶ τῆς ἡγητηρίας αὐτοῦ εἰς πλατυσμὸν ἤνεγκε τοὺς αὐτοῦ φοιτητάς. Ὁ δὲ ἀριθμὸς τῶν ἀνειρεθέντων Πατέρων ἐστὶν ὀνομάτων τεσσαράκοντα τεσσάρων. Ἐπιτελεῖται δὲ ἡ μνήμη αὐτῶν μηνὶ Μαΐῳ πεντεκαιδεκάτῃ. Χάριτι δὲ Χριστοῦ καὶ σπουδῇ τοῦ προλεχθέντος ὁσιωτάτου Πατρὸς ἡμῶν

lunatur et nemo recogitat. A facie iniquitatis sublatus est justus. Erit in pace sepulcrum ejus [a]. » Et : « Spes illorum immortalitate plena. In paucis vexati, in multis bene disponentur, quia Deus tentavit illos, et invenit eos dignos se, et quasi holocausti hostiam [b] accepit eos, et in tempore visitationis ipsorum, splendescent ac refulgebunt [c]. » Et hæc de sanctis illis cum edisseruisset, unumquemque nostrum adhortari cœpit ne quo emigraremus, loci illius nostri desertores : magis vero eas quæ imminebant tentationes generoso pectore perferremus, Dominicæ illius memores sententiæ : « Quia angusta est porta, et arcta via [d] quæ ducit ad vitam [e] ; » sed et Apostoli dicentis : « Quia per multas tribulationes oportet nos introire in regnum Dei [f]. » Hujus itaque admonitioni visum est gerere morem, eoque in laura duos prope menses mansimus. Rumore enim rursus exterriti novæ Barbarorum excursionis, suffugimus in monasterium sanctæ civitati propinquum, quod quidem ab ea disparatur stadiis fere viginti, cui nomen abbatis Anastasii : ubi neminem prorsus tum loci incolam invenimus. Sed et ibidem loci, duos alios prope cum demorati essemus menses, rursum admoniti sumus sanctissimi superius dicti Modesti adhortatione, ut postliminio reversi in proprio habitaremus loco. Tanti itaque Patris probo ac salutari consilio persuasi, et quidem nonnulli e vestigio in Laurense concessimus monasterium ibidem loci habitaturi ; quidam autem remigrarunt aliquanto serius lauram, timore exterriti gentis Saracenicæ haud procul habitantis; alii contra in eodem permansere monasterio, una cum sanctissimo suo præside Justino, qui in laura renuntiarat mundo huic, quo loci plurimum exegerat temporis, ac tanto splendore inclaruerat virtutum, ut dignitate presbyterii cohonestari promeruerit. Justinus hic, Dei cum sit sapientissimus cultor, in illo suo monasterio, gratia præduce Christi, numerosam admodum confluentium eo loci ascivit congregationem, sic tenax et observans canonis ac cæterarum constitutionum Laurentii cœnobii, ut ab his neutrobi evariet sui semper similis, adeo ut non facile quis uspiam inveniat inter vitæ communis [g] professores qui sic tueatur ac servet mordicus spiritualem vivendi sanctionem. Floret is, et quotidiana virtutum accessione succrescit, fitque magnus temporis progressu, ut ille olim eximius Isaac : ita ut et nos quoties aciem mentis in hunc unum pressius intendimus, ac veluti ad scopum recta collineamus, incredibili perfundamur gaudio. In omni circum regione, tanti Patris celebritas instar prælucidi luminaris intermicat, splendoremque suum ejaculatur. Semen est hic sancti Patris nostri Sabæ. Nos proinde humiles et abjecti, gratia primum Dei, deinde seria admodum et accurata diligentia præmemorati sanctissimi Mo-

[a] Isa. LVII, 1. [b] Gr. *quasi integram oblationem hostiæ*. [c] Sap. III, 4-6. [d] Gr. *Via afflictionibus sepia*. [e] Matth. VII, 14. [f] Act. XIV, 21. [g] Cœnobiticæ.

desti, sedentariam hanc exigimus vitam in liberiore et tranquilliore otio, pro his etiamnum quæ paulo contigere prius, **1024** actiones gratiarum persolventes, et glorificantes Deum qui et mortificat et vivificat : quique mirabilia magna facit et solus Ipsius enim benignitas, suæ erga nos adaperuit viscera misericordiæ, locumque hunc nostrum non mediocri favore ac promotione extulit quam hactenus magnificentius multo. Cæterum id gratiæ nobis esse indultum crediderim per priorum sanctorum merita, qui hic Domino, sinceriore affectu, venerabilem exhibuere latriæ cultum. Sed et illud nobis gratuito indulsit munus sua solius providentia dignum, modis omnibus venerabilem Thomam, virum longe eruditissimum, omniumque virtutum ornamentis perpolitum; qui ab ipsa tenellæ ætatis infantia, vitam exercuit silentii taciturnitate requietam et tranquillam. Vir hic eximiæ mansuetudinis laude omni est conspicuus, perquam humanus : alienis malis quam condolescat ex animo, vix cuiquam credibile sit. Vere corde est humilis, circa orationem et canonem ordinis præfervidus : quo contigit, ut Deus (hoc præside) discipulos propagarit in effusam et numerosam amplitudinem. Numerus proinde sanctorum Patrum, quos tyrannica sustulit impressio, est XLIV. Horum memoria Maio mense celebratur, 15 mensis die. Gratia item Christi, sed et solerti sedulitate jam dicti venerandi apprime Patris nostri Modesti, cuncta id temporis incoluntur effusæ istius eremi monasteria. En igitur, Pater mihi venerabilis Eustathi, quæ de sanctis illis Patribus nostris, deque Laurensi cœnobio vestræ erga Deum charitati duxi insinuanda; et quidem conciso ac perbrevi sermone. Supersunt nuntia aliquot sane quam læta, quorum fideli relatu, et vestra et omnis sinceriter Christiani anima merito possit exhilarescere. Hæc igitur ex promptu et alacer annuntio vobis. Modestus sanctitatis eximiæ vir (de quo non semel dictum) non eorum modo providam gerit curam sollicitus, quæ per hanc vastam eremum sparsim disjecta sunt, monasteriorum; sed et moderandæ huic civitati ac universæ circum finitimæ regioni solerter prospicit, Deo eidem cooperante in omnibus. Hic enim ad vivum nobis exprimit imaginem novi cujuspiam Bezeleelis aut certe Zorobabelis. Gratia etenim plenus Spiritus sancti, templa Salvatoris nostri Jesu Christi, quæ quidem barbarico igni conflagrarunt, in sublime erigit omni prorsus digna veneratione, puta ædes Sanctæ Calvariæ ac Sanctæ Resurrectionis; domum insuper dignam omni honore venerandæ Crucis, quæ mater Ecclesiarum est. Sed et Sanctæ Assumptionis ædem a fundamentis exædificat; adeo ut per hæc læta initia, de futuris quoque spes amplissimas concipiamus, idque vel ob eos maxime qui huc sperantur venturi ab externis regionibus, sancta hæc loca ut adorent, ut omnes in commune glorificemus Deum. Ipsum addecet gloria in sæcula sæculorum. Amen.

A Μοδέστου οἰκοῦνται καὶ τὰ λοιπὰ τῆς ἐρήμου μοναστήρια. Ἰδοὺ οὖν, τίμιε πάτερ Εὐστάθιε, ἐν συντόμῳ ἃ περὶ τῶν ἁγίων ἡμῶν καὶ τῆς Λαύρας ἐσήμανα τῇ ὑμετέρᾳ θεοφιλείᾳ, καὶ ἄλλα δὲ εὐαγγέλια χαροποιοῦντα τὴν ὑμετέραν ψυχήν, καὶ παντὸς Χριστιανοῦ ἐκούοντος αὐτὰ, εὐαγγελίζομαι ὑμῖν. Ὁ γὰρ προρρηθεὶς ὁσιώτατος Μόδεστος οὐ μόνον προνοεῖται τῶν τῆς ἐρήμου μοναστηρίων, ἀλλὰ καὶ τῆς πόλεως καὶ πάσης τῆς περιοικίδος· τοῦ Θεοῦ ἐνεργοῦντος αὐτῷ ἐν παντί. Οὗτος γὰρ ὡς ἀληθῶς ὁ νέος ἡμῶν Βεσελεὴλ ἢ Ζοροβάβελ πλησθεὶς Πνεύματος ἁγίου, ἀνήγειρε καὶ τοὺς ἐμπρησθέντας σεβασμίους ναοὺς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τό τε ἅγιον κρανίον, καὶ τὴν ἁγίαν αὐτοῦ ἀνάστασιν, καὶ τὸν σεπτὸν οἶκον τοῦ τιμίου σταυροῦ, καὶ τὴν μητέρα τῶν ἐκ-
B κλησιῶν, καὶ τὴν ἁγίαν αὐτοῦ ἀνάληψιν, καὶ τοὺς λοιποὺς σεβασμίους οἴκους· ὡς ἐκ τούτου ἀγαθὰς ἐλπίδας ἔχειν ἡμᾶς καὶ περὶ τῶν μελλόντων, καὶ μάλιστα τοὺς ἀπὸ τῶν ἔξω χωρῶν ἐρχομένους εἰς προσκύνησιν τῶν ἁγίων τόπων, καὶ πάντας δοξάζειν τὸν Θεὸν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1025 S. P. N. ANTIOCHI PROLOGUS.

C ΑΝΤΙΟΧΟΥ ΜΟΝΑΧΟΥ ΠΡΟΘΕΩΡΙΑ.

Dixit in Canticis Salomon : « Sexaginta sunt reginæ, et octoginta concubinæ, et adolescentulæ quarum non est numerus [10]. » Sane nos pro virium modulo, per hasce sexaginta reginas astruimus [11] insinuari selectos et auctoritatis, præter cæteros, eximiæ libros in Vetere Novoque Testamento reconditos. Octoginta concubinas eas esse Scripturas intelligo, quæ in priorum classem neutiquam accenturiatæ sunt, ac proinde minus approbantur. Hinc dictæ sunt apocryphæ, hoc est obscuræ, nec satis compertæ auctoritatis. Παλλακαὶ, hoc est *concubinæ*, eo nominantur, quod cum illegitimæ sint, non queunt induci ad persuadendum cum liberiore omnium assensu. Jam vero juvenculas, arbitror

Φησὶν ἐν τοῖς Ἄσμασιν ὁ σοφὸς Σολομών· « Ἑξήκοντά εἰσι βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαὶ, καὶ νεανίδες ὧν οὐκ ἔστιν ἀριθμός. » Ἡμεῖς οὖν κατὰ τὸ ἡμῖν ἐφικτὸν τὰς μὲν ἑξήκοντα βασιλίσσας τὰς ἐγκρίτους λέγομεν εἶναι βίβλους, τουτέστιν τὰς ἑξήκοντα τὰς ἐνδιαθέτους τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης· τὰς δὲ ὀγδοήκοντα παλλακὰς, τὰς μὴ ἐγκρινομένας, τὰς λεγομένας ἀποκρύφους. Παλλακαὶ δὲ ὀνομάζονται διὰ τὸ ἀπαρρήσιάστους καὶ νόθους αὐτὰς εἶναι. Τας μέντοι νεανίδας τὰς ῥήσεις τοῦ νέου κηρύγματος τῶν τῆς Ἐκκλησίας διδασκάλων, διὰ τὸ ἀκραιφνὲς τοῦ λόγου αὐτῶν. Αἱ γὰρ νεανίδες ἁγναὶ ὀνομάζονται. Φησὶ γάρ· « Ζητησάτωσαν τῷ
D βασιλεῖ νεάνιδα παρθένον, καὶ ηὗραν τὴν Σουμανῖτιν,

[10] Cant. VI, 7. [11] Dignitatem attendit, non item numerum, quod satis est homœosi.

ἵνα θερμάνῃ αὐτόν· » τουτέστιν, οὐράνια νοήματα καὶ μελῳδῶν ἔπη· « Ἐθερμάνθη ἡ καρδιά μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ. » Ἡ γὰρ Σουμανῖτις *οὐρανία* ἑρμηνεύεται. Καί· *Σῖτος νεανίσκοις, καὶ οἶνος ὀδιάζων παρθένους.* Οἱ γὰρ ἀκίβδηλοι ἐκ τῆς ἐπομβρίας τοῦ οὐρανίου ἄρτου τρέφονται, τῆς μενούσης εἰς ζωὴν αἰώνιον· καὶ τὸ πόμα αὐτῶν ἐκ τοῦ κρατῆρος τῆς ἀληθινῆς ἀμπέλου. Καὶ ἁγνῶν ῥήσεις σεμναί· καί, « Ῥήσεις δικαίων ἁγναί, » κατὰ τὴν Γραφήν. Ἀναρίθμητοι δὲ λέγονται διὰ τὸ πληθυντικὸν καὶ ἄμετρον τοῦ λόγου τῆς αὐτῶν διδασκαλίας. Ἐκ τοῦ ἱστοῦ οὖν τῶν ἑξήκοντα βασιλίδων τούτων ὀλίγους στήμονας ἀνείλαμεν, καὶ ἐποίησα περίζωμα εἰς θέρμην τοῖς μετὰ πίστεως ἐντυγχάνουσιν. Ὥσπερ οὖν ὁ ἱστὸς πολυμερὴς ὢν εἰς μονομερῆ χιτῶνα ἀποτελεῖται· οὕτως καὶ πᾶσαι αἱ προρήσεις τῶν θεοπνεύστων Γραφῶν εἰς τὸν τῆς οἰκονομίας Δεσποτικὸν χιτῶνα κατέληξαν, ὃν ἀνείληφεν ἐκ τῆς ἁγίας ἐνδόξου καὶ Ἀειπαρθένου Μαρίας· φθαρτὸν μὲν διὰ τὸ ὁμοιοπαθὲς ἡμῖν ἀποτελέσας ἄφθαρτον, ἵνα ἡμᾶς τοὺς ὑπὸ τῆς φθορᾶς κατεχομένους ἐλευθερώσας μετασκευάσῃ εἰς ἀφθαρσίαν. Περίζωμα δὲ λέγω οὐκ ἐκεῖνο τὸ Ἰουδαϊκόν, τὸ ὑπὸ Ἱερεμίου κρυφὲν καὶ φθαρὲν ἐν τῷ Εὐφράτῃ ποταμῷ, ἀλλὰ τὸ τῆς νέας χάριτος, ὅπερ ὁ Κύριος ἡμῖν ὑπέδειξεν. Περιζωσάμενος καὶ καταμάξας τοὺς πόδας τῶν ἑαυτοῦ μαθητῶν, ἵνα τοῦ ῥύπου τῆς παλαιᾶς ζύμης καθαρισθέντες γένωνται νέον φύραμα, καὶ ὥσιν οἱ πόδες αὐτῶν ὡραῖοι ὡς εὐαγγελιζομένων εἰρήνην, καὶ πατῶσιν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Τούτου τοῦ περιζώματος τὴν εὐπρέπειαν Χριστὸς τὴν ἑαυτοῦ Ἐκκλησίαν ἐνέδυσεν, σκεπάζων ἡμῶν τοὺς μώμους, καὶ τὴν γενομένην ἐκ τῆς τοῦ Ἀδὰμ παραβάσεως γύμνωσιν, κατὰ τὸ εἰρημένον· « Διέῤῥηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην. » Τοῦτο ἐνδυόμεθα ἐκ τῶν θείων Γραφῶν. Ἐρευνῶντες γὰρ αὐτὰς εὑρίσκομεν τὴν αἰώνιον ζωήν, αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν. Ἀλλὰ καλεῖ ἡμᾶς ὁ καιρὸς λοιπὸν καθυποτάξαι τὰ εἰρημένα κεφάλαια εἰς δόξαν καὶ ἔπαινον τῆς ἁγίας καὶ ζωαρχικῆς Τριάδος, τοῦ Πατρὸς, φημὶ, καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A delineare novæ dogmata prædicationis; nempe doctorum orthodoxæ Ecclesiæ, ob indelibatam et absolutam puritatem sermonis ipsorum. Etenim juvenculæ nomenclaturam sortiuntur a munditia virginali. Ait enim Scriptura : « Quærant regi adolescentulam virginem; et invenerunt Sunamitem quæ ipsum excalefaceret [12]; » hoc est, cœlestes prorsus sententias. Hoc itaque fervore reaccensus, ad melicam citharam emodulans dicebat : « Concaluit cor meum intra me, et in meditatione mea exardescet ignis [13]. » Siquidem Sunamitis sua interpretatione sonat, *Cœlestem*, et : *Frumentum juvenculis et vinum suavi odore lætificans virgines;* incorrupti enim qui sunt, pluvio aluntur humore roruleuti illius panis qui de cœlo descendit, quique B manet in æternam vitam. Istis potio hauritur ex cratere vineæ illius veracis; nam castorum verba plena sunt pudoris. Et : « Sermones justorum mundi sunt [14], » juxta Scripturam. Innumerabiles præterea asseruntur esse, ob copiosam multitudinem sermonis doctrinæ illorum. Tam enim est multiplex, ut eam admetiri aut in numerum referre nemo queat. Ex tela igitur harum sexaginta regiuarum, sparsim selegi ac desumpsi stamina aliquot; orsurus cinctorium renum, aut, si mavis, suffibulum, quo una cum fide circumcincti futuri lectores, divini amoris fervorem concipiant, ac proinde recalescant. Ut enim tela ex multis conflata staminum particulis, in unam et impartilem arte texoria coalescit tunicam; sic et universa Scripturæ divi- C nitus inspiratæ oracula in hunc finem conspirarunt, plane ut Dominicæ dispensationis inconsutilem tunicam præsignarent, quam ex utero suscepit gloriosæ ac sanctæ Deiparæ semper virginis Mariæ, pro tempore quidem corruptivæ morti obnoxiam, quod similis nostri esse voluit ad tolerandas corporis injurias; eadem rursus nulli futura erat obnoxia corruptelæ, ut nos miserabili corruptela exemptos in pristinam revocaret libertatem, ac demum jugo emancipatos diræ servitutis ad incorruptionis gloriam transcriberet; vitæ insuper restitutos, donativo convestiret trabeæ immortalitatis. Id quidem dixerim perizoma non illud Judaicum quod jussus est Jeremias in arcano quopiam loco recondere, et idem in Euphrate fluvio computruit [15]; quin illud verius intelligo quod ad novæ gratiæ legem pertinet, quod nobis ipse Dominus suomet præmonstravit exemplo. **1026** Cum præcinctus pedes suorum discipulorum extersit [16], ut a sordibus veteris fermenti purgati fierent nova conspersio [17], et essent pedes eorum speciosi tanquam evangelizantium pacem, et calcarent supra serpentes et scorpiones, et super omnem potestatem inimici [18]. Hujus cinguli decore Christus Ecclesiam suam induit, maculas obtegens nostras, et contractam ex Adæ prævaricatione nuditatem : sicut dictum est : « Conscidisti saccum meum, et circumdedisti me lætitia [19]. » Hoc induimur ex sacris Scripturis. Dum enim eas scrutamur, vitam æternam invenimus, ipsum Dominum nostrum Jesum Christum, qui verus est Deus noster. Sed jam tempus deinceps nos invitat, ut ea qua diximus, capita subjiciamus ad gloriam et laudem sanctæ ac vitæ principium largientis Trinitatis, Patris, inquam, et Filii et Spiritus sancti, in sæcula sæculorum. Amen.

[12] III Reg. I, 3. [13] Psal. XXXVIII, 4. [14] Prov. XV, 29. [15] Jerem. XIII, 1-5. [16] Joan. XIII, 5. [17] I Cor. V, 7. [18] Luc. X, 19. [19] Psal. XXIX, 12.

HOMILIA PRIMA.

De fide.

Domino cooperante, et sermonem confirmante, aggredimur primum hunc qui de fide est, sermonem; atque ita deinceps qui sequentur, serie continenti. In primis necesse sit, ut credas in « Deum, quia est, et exquirentibus se remunerator sit [20]. » Fides enim in sæculum stabit. Et : « Justus ex fide vivet [21]. » Justus autem qui veraci fide nititur, fidem habet mire efficacem : fidem, inquam, quotidiana accessione coalescentem; fidem nulla ex parte hæsitantem; fidem ad opera laude digna illustrantem, ut per ea glorificetur universorum Deus. Fides principium est divinæ vocationis. Quisquis perfecte credit, lapis est templi Dei, lapis est solerti apparatu lævigatus et exæquatus in substructionem Dei Patris, lapis in sublime evectus machina quapiam admirabili Jesu Christi, quæ crux ejus est; præsidio adjutus funiculi qui Spiritus sanctus est. Fides hominis, prædux vitæ est : Charitas ipsa, via est, ad Deum usque subvehens hominem. Qui ejusmodi est, Theophorus fit, sive Christophorus, Templum insuper Dei et sanctorum sedulus lustrator locorum; nulla non sui parte, per observationem mandatorum Jesu Christi, perpolitus et adornatus. Vitæ origo est ea quæ per fidem et dilectionem operatur, cui nihil anteponitur. Fidem sane dixerim non qualemcunque, sed opere ipso commendabilem, cum fides sine operibus mortua in semetipsa sit. Opera proinde fidei istius operatoriæ sunt : charitas, gaudium, bonitas, humilitas, exsultatio in Domino, fiducia erga Deum; præterea, carnem affligere cruci, quod est, eam avocare ac sedare ab omnibus suis operibus, quemadmodum a suis interquievisse legitur Deus tollere crucem suam et sectatorem esse crucis, quod est, spiritualiter vivere : quod si præduce Spiritu ingrederis, imputabitur tibi ad justitiam. **1027** Hæc ea sunt efficacis fidei opera. Qui fide percurrit viam mandatorum, cœlestem illam assequetur Jerusalem. Plane si fidem habeamus, et in fide sumus, et in eadem solidi consistimus ac stabiles, in Domino pulchre habitamus. Etenim per Prophetam loquitur Dominus : « Oculi mei fideles terræ ut sedeant mecum [22]. » Nec secus Jeremias : « Ecce, Domine, oculi tui respiciunt fidem [23]. » Dicit et Petrus « Ministrate in fide vestra virtutem et charitatem [24]. » Rursus : « Superædificantes vosmetipsos in fide, sobrii estote; vigilate, quia adversarius vester diabolus tanquam leo rugiens circumit quærens quem devoret, cui resistite fortes fide [25]. » Et Paulus : « In quo cum credideritis, signati estis Spiritu promissionis sancto [26]. » Iterum : « In omnibus sumentes scutum fidei, in quo possitis

ΛΟΓΟΣ ΠΡΩΤΟΣ

Περὶ πίστεως.

Τοῦ Κυρίου συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος ἀρχώμεθα πρῶτον τῶν περὶ πίστεως λόγων, εἶθ' οὕτως τῶν καθεξῆς. Πρῶτον δεῖ πιστεύειν εἰς « Θεὸν, ὅτι ἔστιν, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται. » Πίστις γὰρ εἰς τὸν αἰῶνα στήσεται. Καὶ, « Ὁ δίκαιος ἐκ πίστεως ζήσεται. » Ὁ δὲ ὄντως δίκαιος ἐκ πίστεως πίστιν ἔχει ἐνεργῆ, πίστιν αὐξάνουσαν, πίστιν πεπληροφορημένην, πίστιν φωτίζουσαν ἐν τοῖς καλοῖς ἔργοις, ἵνα δοξασθῇ ὁ τῶν ὅλων Θεός. Πίστις ἀρχὴ κολλήσεως Θεοῦ. Ὁ τέλειος πιστὸς λίθος ναοῦ [a] Θεοῦ ὑπάρχει ἡτοιμασμένος εἰς οἰκοδομὴν Θεοῦ Πατρὸς, ἀναφερόμενος εἰς τὰ ὕψη, B διὰ τῆς μηχανῆς Ἰησοῦ Χριστοῦ· ὅ ἐστι σταυρὸς σχοίνῳ χρώμενος τῷ Πνεύματι. Ἡ δὲ πίστις ἀνθρώπου ἀγωγεύς ἐστιν, ἡ δὲ ἀγάπη ὁδὸς ἡ ἀναφέρουσα εἰς τὸν Θεόν. Καὶ ὁ τοιοῦτος γίνεται Θεοφόρος, ἤγουν Χριστοφόρος καὶ ναὸς Θεοῦ καὶ ἁγιοδρόμος, καὶ τὰ πάντα κεκοσμημένος ἐν ταῖς ἐντολαῖς Ἰησοῦ Χριστοῦ. Καὶ ἀρχὴ ζωῆς ἡ διὰ πίστεως καὶ ἀγάπης εἰς οὐδὲν προκέκριται. Ἀλλὰ πίστιν λέγω ἐνεργῆ, ἐπεὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι καθ' ἑαυτήν. Τὰ δὲ ἔργα τῆς πίστεως ἔστιν, ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθοσύνη, ταπεινοφροσύνη καὶ αὔχησις ἐν Κυρίῳ, πεποίθησις εἰς Θεὸν, σταυρῶσαι τὴν σάρκα, τὸ καταπαῦσαι ἀπὸ πάντων τῶν ἔργων, καθὼς κατέπαυσεν ἀπὸ τῶν ἰδίων ὁ Θεὸς, τὸ ἄραι τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουC θῆσαι, πνεύματι ζῆν, πνεύματος τυχεῖν· αὕτη λογισθήσεται εἰς δικαιοσύνην. Ταῦτά ἐστι τὰ ἔργα τῆς πίστεως. Ὁ πίστει τρέχων διὰ τῶν ἐντολῶν κάτω λαμβάνει τὴν ἄνω Ἱερουσαλήμ. Ἐὰν ἔχωμεν πίστιν, ἐσμὲν ἐν τῇ πίστει, καὶ στήκομεν ἐν αὐτῇ ἑδραῖοι, καὶ ἐν Κυρίῳ κατοικοῦμεν καλῶς. Φησὶ δὲ καὶ ὁ Κύριος διὰ τοῦ Προφήτου· « Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. » Ὁμοίως καὶ ὁ Ἱερεμίας· « Ἰδοὺ, Κύριε, οἱ ὀφθαλμοί σου εἰς πίστιν. » Λέγει δὲ καὶ ὁ Πέτρος, « Χορηγήσατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετὴν, τὴν ἀγάπην· » καὶ αὖθις, « Ἐποικοδομοῦντες ἐν τῇ πίστει, νήψατε, γρηγορήσατε, ὅτι ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τίνα καταπίῃ· ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει [b]. » Καὶ ὁ D Παῦλος, « Ἐν ᾧ πιστεύσαντες ἐσφραγίσθητε τῷ Πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ. » Καὶ πάλιν· « Ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως· ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ Πονηροῦ τὰ πεπυρωμένα σβέσαι. » Καὶ αὖθις· « Ἔστι πίστις ἐλπιζομένων ὑπόστασις. Ἐν ταύτῃ [b*] γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι. Κατὰ πίστιν γὰρ ἀπέθανον οὗτοι πάντες. » Καὶ πάλιν· « Δικαιοσύνην δὲ Θεοῦ διὰ πίστεως εἰς πάντας τοὺς πιστεύοντας. » Καὶ αὖθις, « Ἵνα τὴν ἐπαγγελίαν τοῦ Πνεύματος λάβωμεν διὰ τῆς

[20] Hebr. xi, 6. [21] Hebr. x, 38. Fide scilicet, quæ per dilectionem operatur. [22] Psal. c, 6. [23] Jerem. v, 3. [24] II Petr. i, 5. [25] I Petr. v, 8, 9. [26] Ephes. i, 13.

VARIÆ LECTIONES.

[a] ναός. [b] στερεοὶ τῇ πίστει. [b*] αὐτῇ.

πίστεως. » Καὶ ἀλλαχοῦ, « Καὶ ἐπίστευσεν Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Τῷ δὲ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις αὐτῷ εἰς δικαιοσύνην. » Καὶ ἐπάγει· « Διὰ τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν ᾖ, εἰς τὸ εἶναι βεβαίαν παντὶ τῷ σπέρματι, οὐ τῷ ἐκ νόμου μόνον, ἀλλὰ καὶ τῷ ἐκ πίστεως Ἀβραάμ. Οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον, ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι τοῖς πιστεύουσιν ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Δικαιωθέντες οὖν ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. » Καὶ Τιμοθέῳ· « Δίωκε δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην μετὰ πάντων τῶν ἐπικαλουμένων τὸν Κύριον. » Καί· « Χωρὶς πίστεως ἀδύνατον εὐαρεστῆσαι Θεῷ. » Καὶ ὁ Ἰωάννης· « Αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύωμεν τῷ ὀνόματι [c] τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν αἰώνιον ἔχητε. » Ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ ἀληθινὸς ἡμῶν Θεός φησιν, « Ὁ πιστεύων εἰς ἐμὲ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. Τοῦτο δὲ ἔλεγε περὶ τοῦ Πνεύματος, οὗ ἤμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. » Καὶ πάλιν· « Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος; » καὶ ἄλλῃ [d]· « Ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην. » Καὶ τῇ Μάρθᾳ· « Ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται. » Καὶ τοῖς μαθηταῖς, « Ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. » Καί· « Ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον. » Καὶ αὖθις· « Πιστεύετε εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε. » Ἱκανῶς τοίνυν, ὡς οἶμαι, παρεθέμεθα τὰς ἐκ τῶν θείων Γραφῶν περὶ πίστεως μαρτυρίας· πίστιν δὲ λέγομεν τὴν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὴν ὁμοούσιον καὶ ζωοποιὸν Τριάδα ἀναφερομένην, εἰς ἣν καὶ πιστεύομεν. Ἀναγκαῖον δὲ καὶ τὰς περὶ τούτου χρήσεις καὶ μαρτυρίας τῆς θείας Γραφῆς παραθέσθαι πρὸς φωτισμὸν τῶν ἐντυγχανόντων. Διὰ πάσης τοίνυν τῆς θεολογικῆς πραγματείας τὴν θεαρχίαν ὁρῶμεν ἱερῶς ὑμνουμένην, ὡς μονάδα μὲν καὶ ἑνάδα διὰ τὴν ἁπλότητα καὶ ἑνότητα τῆς ὑπερφυοῦς ἀμερείας, ἐξ ἧς ὡς ἑνοποιοῦ δυνάμεως ἐνιζόμεθα· ὡς Τριάδα δὲ διὰ τὴν τρισυπόστατον τῆς ὑπερουσίου γονιμότητος ἔμφασιν. Τοῦτο οὖν φαμεν ὡς πάντα τὰ θεαρχικὰ ὀνόματα εἰς τὴν ὑπερούσιον καὶ ὁμοούσιον Τριάδα οἱ θεολόγοι ἐκλαμβάνουσιν· οἷον τὸ, Θεὸς Κύριος, Ἅγιος, Ἀγαθὸς, Φῶς, Ζωὴ, Ἀλήθεια, Παντοκράτωρ, Παντοδύναμος, Κύριος Σαβαὼθ, ὅ ἐστι *στρατιῶν*, καὶ ὅσα ἄλλα παρὰ τῶν θεολόγων ἱερῶς ὑμνεῖται, ὡς ἔστι μαθεῖν παρ' αὐτῆς τῆς θεαρχίας αὐτὴν περὶ αὐτῆς ὑφηγουμένην· « Τί με ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός. » Καὶ τοῖς ἐν τῷ ἀμπελῶνι· « Ὅτι ἐγὼ ἀγαθός εἰμι. » Καί· « Τὸ Πνεῦμά σου τὸ ἀγαθόν. » Καὶ τῷ Μωϋσεῖ· « Ἐγώ

A omnia tela nequissimi ignea exstinguere [37]. » Rursus : « Fides est sperandarum substantia rerum. In hac enim testimonium consecuti sunt seniores : juxta fidem enim defuncti sunt omnes hi [38]. » Itemque : « Justitiam autem Dei per fidem in omnes qui credunt, ut promissionem accipiamus Spiritus per fidem [39]. » Et : « Credidit Abraham Deo, et reputatum est ei ad justitiam : Ei vero qui non operatur, credenti autem in eum qui justificat impium, imputatur fides ad justitiam [40]. » Itaque inducit : « Propter hoc ex fide, ut secundum gratiam firma esset promissio omni semini, non ei qui ex lege est solum, sed et ei qui ex fide est Abrahæ. Non est autem scriptum propter ipsum solum, sed etiam propter nos quibus reputabitur B credentibus in Dominum nostrum Jesum Christum : Justificati igitur ex fide, pacem habeamus ad Deum per Dominum nostrum Jesum Christum [41]. » Item Timotheo : « Sectare justitiam, fidem, charitatem, pacem cum omnibus qui invocant Dominum [42]. » Et : « Sine fide impossibile est placere Deo [43]. » Joannes etiamnum : « Hoc est mandatum ejus, ut credamus in nomine Filii ejus Jesu Christi, et ut credentes, vitam æternam habeatis [44]. » Dominus autem noster, Jesus Christus qui verus est Deus noster, ait : « Qui credit in me, flumina de ventre ejus fluent aquæ vivæ, hoc autem dicebat de Spiritu quem accepturi erant credentes in eum [45]. » Rursus idem : « Quis putas fidelis est servus et C prudens [46]? » Aliis quoque dixit : « Fides tua te salvam fecit, vade in pace [47]. » Marthæ item : « Qui credit in me, etiamsi mortuus fuerit, vivet [48]. » Discipulis ait : « Amen, amen dico vobis, qui credidit in me, opera quæ ego facio et ille faciet [49]. » Et : « Qui credit in me, habet vitam æternam [50]. » Rursus : « Creditis in Deum? et in me credite [51]. » Et quidem hactenus de fide abunde testimonium arbitror me deprompsisse e locupletissimo penu divinarum Scripturarum. Astruimus porro fidem esse, qua ipsi credimus in Patrem, et Filium et Spiritum sanctum, consubstantialem et vivificantem Trinitatem cunctis **1028** supereminentem. Necessarium proinde sit, divinæ Scripturæ usum ac testimonia hac de re depromere ad illustrandas D legentium animas. Itaque per omnem qui de divinis est, tractatum, augustissimam Dei majestatem sacris conspicimus celebrari hymnis, nunc quidem ut singularem unitatem, propter simplicitatem impartialitatis natura omni superioris, eoque inenarrabilis illius per quam tanquam virtutem unificam ipsi in unum coalescimus et counimur : nunc vero Trinitatis nomine prædicatur, ut tanta illa majestas, qualicunque delineatione declaretur tribus subsistere personis, alioqui prolificationis immensæ.

[37] Ephes. VI, 16. [38] Hebr. XI, 1, 2, 13. [39] Rom. III, 22. [40] Rom. IV, 3-5. [41] ibid. I, 17, 23. [42] II Tim. II, 22. [43] Hebr. XI, 6. [44] I Joan. III, 23. [45] Joan. VII, 38. [46] Matth. XXIV, 45. [47] Luc. VII, 50. [48] Joan. XI, 25. [49] Joan. XIV, 12. [50] Joan. VI, 47. [51] Joan. XIV, 1.

VARIÆ LECTIONES

[c] εἰς τὸ ὄνομα. [d] ἄλλοις.

Hujusce rei gratia diximus, quoniam theologi nomina omnia quæ divinam majestatem insinuant, sua interpretatione referunt ad supersubstantialem simul et consubstantialem Trinitatem; ceu sunt, Deus, Dominus, Bonus, Lux, Vita, Veritas, Imperator omnium, Omnipotens, Dominus Sabaoth, quod interpretatur *exercituum*, et pleraque alia, quæ ab ipsis theologis depromuntur, quibus religiose collaudatur Deus, quatenus sinimur eam Trinitatem pro modulo nostro intelligere, ab eadem edocti, dum seipsam edisserit : « Quid me interrogas de bono? Nemo bonus, nisi unus Deus [42]. » Et his qui excolendæ vineæ operas suas elocarent : « Quia ego bonus sum [43]. » Et : « Spiritus tuus bonus [44]. » Et Moysi : « Ego sum qui sum [45]. » Et Joannes : « Quod erat ab initio [46]. » Et : « Qui venit [47]. » Et : « Imperator sive omnipotens Dominus, nomen illi [48]. » Et : « Spiritus veritatis qui est, qui a Patre procedit [49]. » Sed et Thomæ : « Ego sum via, veritas et vita [50]. » Et : « Sanctifica eos in veritate tua [51]. » Et : « Verbum tuum veritas est [52]. » Et : « Cum autem venerit Paracletus quem ego mittam vobis a Patre, Spiritum veritatis qui a Patre procedit [53]. » Rursus : « Cum autem venerit ille Spiritus veritatis, ducet vos in omnem veritatem; ille me glorificabit, quia de meo accipiet et annuntiabit vobis [54]. » Rursus : « Quæcunque habet Pater, mea sunt : propterea dixi, quia de meo accipiet et annuntiabit vobis [55]. » Iterum : « Sicut Pater suscitat mortuos et vivificat, sic et Filius, quos vult, vivificat [56]. » Et : « Spiritus est qui vivificat [57]; » sed et : « Dominus Spiritus est [58]. » Et : « Omnia ex Deo, et per ipsum et in ipso creata sunt omnia [59]. » Et : « Omnia per ipsum facta sunt [60]. » Et : « Emittet Spiritum suum et creabuntur [61]. » Et : « Verbo Domini cœli firmati sunt, et spiritu oris ejus omnis virtus eorum [62]. » Atque ut singula compendio perstringam, ipsum divinæ majestatis Verbum ait : « Ego et Pater unum sumus [63]. » Et : « Omnia mea tua sunt, et tua mea [64]. » Itemque, quæcunque sunt et Patris et ipsius Filii, eadem prorsus Spiritui sancto et in majestate Deitatis augustissimo ipse Filius ascribit propter indiscretam parilitatem communis et unius naturæ, puta propter reverendam culturam divinæ operationis, fontanam ac perpetem creatricis potentiæ causam, dum dicit : « Profecti docete omnes gentes, baptizantes eos in nomine Patris et Filii et Spiritus sancti [65]. » **1029** Itaque per hæc superius dicta declaratur quod theologia omnis et unita est et discreta; neque tamen quæ discreta sunt, quidquam admittunt confusionis. Et quidem ea quæ unita sunt, sive quæ ad unitam pertinent theolo-

A εἰμι ὁ ὤν. » Καὶ ὁ Ἰωάννης· « Ὃ ἦν ἀπ' ἀρχῆς. » Καί· « Ὁ ἐρχόμενος. » Καί· « Ὁ παντοκράτωρ Κύριος ὄνομα αὐτῷ. » Καί· « Τὸ Πνεῦμα τῆς ἀληθείας τὸ ὄν, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. » Καὶ τῷ Θωμᾷ· « Ἐγώ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωή. » Καὶ τό, « Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου. » Καί, « Ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστιν. » Καί, « Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. » Καὶ αὖθις· « Ὅταν δὲ ἔλθῃ ἐκεῖνο, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς ἐν τῇ ἀληθείᾳ ἁπάσῃ· ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. » Καὶ πάλιν· « Ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστιν· διὰ τοῦτο εἶπον, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. » Καὶ αὖθις· « Ὥσπερ
B ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ. » Καί, « Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν. » Καί, « Ὁ Κύριος τὸ Πνεῦμά ἐστιν. » Καί, « Πάντα ἐκ τοῦ Θεοῦ, καὶ δι' αὐτοῦ, καὶ ἐν αὐτῷ ἔκτισται τὰ πάντα. » Καὶ τό, « Πάντα δι' αὐτοῦ ἐγένετο. » Καί, « Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται. » Καί, « Τῷ λόγῳ Κυρίου οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. » Καὶ συλλήβδην εἰπεῖν, αὐτὸς ὁ θεαρχικὸς ἔφη Λόγος· « Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, καὶ πάντα τὰ ἐμὰ σά ἐστιν, καὶ τὰ σὰ ἐμά. » Καὶ αὖθις, ὅσα ἐστὶ τοῦ Πατρὸς καὶ αὐτοῦ τοῦ Υἱοῦ, τῷ θεαρχικῷ [e] Πνεύματι κοινωνικῶς καὶ ἡνωμένως ἀνατίθησι τῆς θεουργίας τὸ σέβας, καὶ
C τὴν πηγαίαν καὶ ἀνέκλειπτον αἰτίαν, ἐν τῷ λέγειν· « Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. » Διὰ πάντων οὖν τῶν προειρημένων δείκνυται ὡς πᾶσα θεολογία ἡνωμένη τέ ἐστι καὶ διακεκριμένη. Καὶ οὔτε τὰ ἡνωμένα διαιρεῖν θέμις, οὔτε τὰ διακεκριμένα συγχεῖν. Καὶ τὰ μὲν ἡνωμένα τῆς ὅλης Θεότητός ἐστι, τὸ ὑπεράγαθον, τὸ Ὑπέρθεον, τὸ Ὑπερούσιον, τὸ Ὑπέρζωον, τὸ Ὑπέρσοφον, μεθ' ὧν καὶ τὰ αἰτιολογικὰ [f] πάντα, τὸ Ἀγαθόν, τὸ Καλόν, τὸ Ὄν, τὸ Ζωογονοῦν, τὸ Σοφόν, καὶ ὅσα ἐκ τῶν ἀγαθοπρεπῶν αὐτῆς δωρεῶν ἡ πάντων ἀγαθῶν αἰτία κατονομάζεται· τὰ δὲ διακεκριμένα, τοῦ Πατρὸς ὑπερούσιον ὄνομα καὶ χρῆμα καὶ Υἱοῦ καὶ Πνεύματος, οὐδεμιᾶς ἐν τούτοις ἀντι-
D στροφῆς, ἢ ὅλως κοινότητος ἐπεισαγομένης. Λαβόντες οὖν Θεοῦ γνῶσιν διὰ τῆς πίστεως, μὴ ἀγνοήσωμεν τὴν δοθεῖσαν ἡμῖν χάριν, ὑπὲρ ἧς πέπονθεν ἀληθῶς ὁ Κύριος. Διὰ τοῦτο γὰρ καὶ μύρον ἔλαβεν ἐπὶ τῆς κεφαλῆς ὁ Κύριος, ἵνα πνέῃ τῇ Ἐκκλησίᾳ ἀφθαρσίαν. Μηδεὶς οὖν ἀλειφέσθω δυσωδίαν ἀπιστίας τοῦ ἄρχοντος τοῦ αἰῶνος, μὴ παρατραπῶμεν τῆς εὐθείας ὁδοῦ, ἵνα δυνηθῶμεν ἐπιλαβέσθαι τῆς ἐλπίδος τῶν αἰωνίων ἀγαθῶν, καὶ τῆς ἀϊδίου ζωῆς, ἐν Χριστῷ

[42] Luc. XVIII, 19. [43] Matth. XX, 15. [44] Psal. CXLII, 10. [45] Exod, III, 14. [46] I Joan. I, 1. [47] I Joan. V, 6. [48] Psal. LXVII, 5. [49] Joan. XV, 26. [50] Joan. XIV, 6. [51] Joan. XVII, 17. [52] ibid. [53] Joan. XVI, 13. [54] ibid. 14. [55] ibid. 15. [56] Joan. V, 21. [57] Joan. VI, 64. [58] Joan. IV, 24. [59] Coloss. I, 16. [60] Joan. I, 3. [61] Psal. CII, 3. [62] Psal. XXXII, 6. [63] Joan. X, 30. [64] Joan. XVIII, 10. [65] Matth. XXVIII, 19.

VARIÆ LECTIONES.

[e] τὸ θεαρχικόν. [f] αἴτια οὐ λογικά.

Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A giam, has habent nomenclaturas totius indices Deitatis [66] : puta Superbonum, Pulchrum, Ens, Vivificans, Augustissima divinitas, perquam plene exstans substantia, Quæ vivunt cuncta producens, Sapiens; et quæcunque id genus nomenclaturæ, ex quam optima ipsius et munificentissima liberalitate profectæ occurrunt, quibus bonorum omnium auctor esse denominatur. Ad discretam vero theologiam pertinent denominationes : ceu sunt, supersubstantialitas atque opulentia Patris : eædem et Filio et Spiritui sancto peræque communes, ut nihil in his debeat intelligi diversi aut dissimilitudinis, præterquam sola parilis naturæ communio inter sese coalescens. Per fidem itaque cum cœperimus cognoscere Deum, ne, quæso, ignoremus quantum nobis indultum gratiæ sit, cujus causa Dominus ipse verissime passus est. Ob hoc enim sivit ipse Dominus caput suum myrrha optima perfundi [67], ut suavissimæ immortalitatis fragrantiam suæ aspiraret Ecclesiæ. Nemo igitur se illini permittat graveolenti putore infidelitatis, per principem sæculi istius suggerendæ; nequando exerremus a calle rectitudinis, quo vel tandem spe perfrui contingat vitæ æternæ in Christo Jesu Domino nostro, cui gloria in sæcula sæculorum. Amen.

B

ΛΟΓΟΣ Β'.

Περὶ ἐλπίδος.

Ἀπὸ τῆς πίστεως προῶμεν ἐπὶ τὴν δευτερεύουσαν ἐλπίδα, ἥτις ἐξ αὐτῆς ἀρδευομένη καρποφορεῖ, ἓν τριάκοντα, καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατόν. Ἐλπίδος γὰρ ἡδρασμένης οὐδὲν ἀνώτερον. Περὶ δὲ τῆς ἀγάπης, ἥτις τρίτη μὲν ὀνομάζεται, πρώτη δὲ τυγχάνει πασῶν τῶν ἀρετῶν, ἐν τοῖς κατόπιν δηλώσομεν. Πρῶτος Ἐνὼς ὁ τοῦ Σὴθ δίκαιος ἐκ δικαίου, οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ. Ὅσοι γὰρ διὰ τῆς εἰς Θεὸν ἐλπίδος χειραγωγοῦνται, πρὸς αὐτὸν ἀνάγονται καὶ φωτίζονται ἐκ τῆς αἴγλης τοῦ· ἀϊδίου φωτός. Δαβὶδ ὁ βασιλεὺς γηράσας, καὶ μὴ θερμαινόμενος ἐν τοῖς δικαιώμασιν αὐτοῦ, ἤτησε μίαν παρθένον, ἵνα θερμαίνῃ αὐτὸν, Σουμανῖτιν. Σουμανῖτις δὲ ἑρμηνεύεται *οὐρανία*. Ἀλλ' οὐκ ἔγνω αὐτὴν ὁ βασιλεύς· τουτέστιν, οὐκ ἔφθειρε τὴν ἐλπίδα αὐτοῦ τὴν οὐράνιον. Ὅρα τί λέγει ἡ Γραφή· « Εἰ ὦσι δύο, καί γε θέρμη αὐτοῖς ἐστιν. » Ἡ πίστις, ἐὰν ἔχῃ ἐλπίδα, ἔχει τὸ ἴδιον ἔργον, καὶ θέρμη ἐστὶ τῷ κεκτημένῳ, καθὼς φησιν ὁ μακάριος Πέτρος· « Ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν, ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, ὡς τέκνα ὑπακοῆς. » Καὶ ὁ τοῦ Σειράχ· « Τίς ἤλπισεν ἐπὶ Κύριον, καὶ ἐγκατελείφθη; ἢ τίς ἐνέμεινε τῷ φόβῳ αὐτοῦ, καὶ ὑπερεῖδεν αὐτόν; » Ὁ δὲ Ψαλμῳδός· « Μακάριος ἀνὴρ οὗ ἐστι τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ. » Καί, « Εὐφρανθήτωσαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σοί. » Καὶ αὖθις· « Ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου· καὶ ἐβοηθήθην, καὶ ἀνέθαλεν ἡ σάρξ μου καὶ ἐκ τοῦ ἰδίου βοηθήματος. » Καὶ ἄλλους ἐχειραγώγει λέγων· « Ἐλπίσατε ἐπ' αὐτὸν, πᾶσα ἡ συναγωγὴ λαῶν, ἐκχέατε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν, ὅτι ὁ Θεὸς βοηθὸς ὑμῶν. » Καί, « Ἔλπισον ἐπὶ Κύριον, καὶ ποίει χρηστότητα. » Καί, « Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου, καὶ ἔλπισον ἐπ' αὐτοῦ, καὶ αὐτὸς ποιήσει. » Καὶ ὁ Ἡσαΐας·

HOMILIA II.

De spe.

A fide digressi, ad eam progrediamur quæ secundas obtinet, spem : quæ sane, fidei roscida aspergine perfusa fructum afferet, unum quidem tricesimum, alterum sexagesimum, alium rursus centesimum [68]. Spe enim constabilita, vix ulla alia virtus peræque sublimis. De charitate autem, quæ tertiam sortitur in classe virtutum nomenclaturam, primiceria alioqui cum sit, cæterasque omnibus antevertens dignitate, posteriore loco explicatius disseremus. Primus Enos filius Seth [69], justus ex justo speravit invocare nomen Domini Dei. Quicunque præsidio spei, in Deum constantis, nixi, C velut manu ducuntur, mire hos Deus ad sublimem et theoricam anagogem subvehit, ac propriæ lucis splendore corusco irradiat. David eximius rex senio defessus, cum suismet justificationibus nullo pacto recalesceret, ascivit sibi [70] virgunculam unam, nempe Sunamitem, quæ ipsum excalefaceret (Sunamitis proinde sua interpretatione sonat *cœlestem*), cæterum non agnovit eam rex; hoc est, nihil vitii aut corruptelæ intulit spei suæ cœlesti. Mihi vide, num id Scriptura illa insinuet: « Si fuerint duo, utique calor illis neutiquam defuturus est [71]; » **1030** nimirum si fidem vivida constansque comitabitur spes. Sed et peculiare spei opus est hoc, se possidentem, reddit præD fervidum, juxta beati Petri sententiam, dicentis: « Succincti lumbos mentis vestræ, sobrii, perfecte sperate in eam quæ offertur vobis gratiam, in revelatione Jesu Christi quasi filii obedientiæ [72]. » Eodem spectat illud Jesu filii Sirach : « Quis speravit in Dominum, et derelictus est? aut quis permansit in timore ejus, et despexit eum [73]? » Melicus insuper psalmorum Conceptor : « Beatus vir cujus est nomen Domini spes ejus [74]. » Et : « Lætentur omnes qui sperant in te [75]. » Rursus :

[66] De his abunde Dionys. Areop. cap. 11 *De divinis nominibus*. [67] Matth. xxvi, 7. [68] Matth. xiii, 8. [69] Gen. iv, 26. [70] I Reg. i, 1. [71] Eccle iv, 11. [72] I Petr. i, 13, 14. [73] Eccli. ii, 12. [74] Psal. xxxix, 5. [75] Psal. v, 12.

VARIÆ LECTIONES.

f' ἰδίου.

« In ipso speravit cor meum, et adjutus sum, et refloruit caro mea, et ex propria voluntate [76]. » Sed et alios velut manu ducens instituebat, invitans ad complexum solidæ spei, dum dicit : « Sperate in eum omnis congregatio populorum; effundite coram illo corda vestra, quia Deus adjutor noster [77]. » Et : « Spera in Dominum, et fac bonitatem [78]. » Et : « Revela Domino viam tuam et spera in eum, et ipse faciet [79]. » Isaias item : « Speravimus in nomine tuo et in memoria tui desiderium nostrum [80]. » Rursum Paulus : « Spe salvi facti sumus; spes autem quæ videtur, non est spes : quod enim videt quis, quid sperat? Si autem quod non videmus, speramus, per patientiam exspectamus [81]. » Iterum : « Forte solatium habemus, qui confugimus ad tenendam propositam spem quam sicut anchoram habemus tutam ac firmam [82]. » Inducit : « Quia debet in spe qui arat arare, et qui triturat, in spe fructus percipiendi [83]. » Et in Lucæ Evangelio de Simeone : « Acceperat enim responsum a Spiritu sancto, non visurum se mortem priusquam videret Christum Domini [84]. » Neque hic mortificavit spem, sed erat exspectans rem quam magnopere desiderabat, nimirum ut videret Redemptorem ac Salvatorem mundi. Cumque accepisset et astrinxisset ulnis, lætitia perfusus dicebat : Dimitte me, Domine, venire ad te regem meum, neque enim frustratus sum spe mea. Ipsi gloria in sæcula. Amen.

« Ἠλπίσαμεν ἐπὶ τῷ ὀνόματι Κυρίου καὶ ἐπὶ τῇ μνείᾳ αὐτοῦ [s] ἡ ἐπιθυμία ἡμῶν. » Καὶ πάλιν ὁ Παῦλος· « Τῇ γὰρ ἐλπίδι ἐσώθημεν· ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπίς. Ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; εἰ δὲ ὃ οὐ βλέπομεν ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα. » Καὶ πάλιν, « Ἰσχυρὰν παράκλησιν ἔχομεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος, ἣν ὡς ἄγκυραν ἔχομεν ἀσφαλῆ τε καὶ βεβαίαν. » Καὶ ἐπάγει, « Ὅτι ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν ἀροτριᾷν, καὶ ὁ ἀλοῶν τῆς ἐλπίδος αὐτοῦ μετέχειν [h]. » Καὶ ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ περὶ τοῦ Συμεών φησιν, « Ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου, τοῦ μὴ ἰδεῖν θάνατον, ἕως οὗ ἴδῃ τὸν Χριστὸν Κυρίου. » Καὶ οὐκ ἐνέκρωσε τὴν ἐλπίδα, ἀλλ' ἦν προσδοκῶν τὸν ποθούμενον Λυτρωτὴν καὶ Σωτῆρα τοῦ κόσμου, καὶ δεξάμενος αὐτὸν γεγηθὼς ἐν ταῖς ἀγκάλαις ἔλεγεν· Ἀπόλυσόν με, Δέσποτα, ἀπελθεῖν πρὸς τὴν ποθουμένην μοι βασιλείαν σου. Ἀπέλαβον γὰρ τὴν ἐλπίδα μου, τὸν Χριστὸν Κυρίου· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

HOMILIA III.

De convivio.

De epulari convivio Parœmiastes ait : « Si sederis ad cœnandum in mensa potentium, attente considera quæ apponuntur tibi, et injice manum tuam, sciens quoniam oportet te talia præparare : quod si insatiabilior es, ne desideres cibos ejus [85]. » Alter item : « Ad mensam magnam sedisti? ne aperias guttur tuum super illam, memento quoniam malum, oculus nequam : quocunque inspexeris, ne extendas manum tuam, et ne conjungere ei in catino : Intellige quæ sunt proximi ex teipso, et quasi in omni re cogita; comede ut homo, quæ apponuntur tibi, et ne nimis devores, ut ne odio habearis; desine prior gratia disciplinæ, et **1031** ne sis insaturabilis, ne forte offendas : quod si in medio multorum sederis, prior illis ne extendas manum tuam. Quam sufficiens est homini erudito, exiguum [86]. » Moyses : « Attende tibi ipsi ne, dum comederis et saturatus fueris, obliviscaris Domini Dei tui [87]. » Concinit Apostolus : « Sive comeditis, sive bibitis, sive quid aliud facitis, omnia ad gloriam Dei facite [88]. » — « Non item ad disceptationes cogitationum. Ille quidem credit licere vesci omnibus, hic autem infirmus cum sit, olera manducat [89]. » Inducit : « Qui manducat, non manducantem ne judicet; tu enim quis es qui judicas alienum servum? suo domino stat

ΛΟΓΟΣ Γ'.

Περὶ ἑστιάσεως.

Περὶ τῆς ἑστιάσεώς φησιν ὁ Παροιμιαστής· « Ἐὰν καθίσῃς δειπνῆσαι ἐπὶ τραπέζης δυναστῶν, νοητῶς νόει τὰ παρατιθέμενά σοι, καὶ ἐπίβαλε τὴν χεῖρά σου, εἰδὼς ὅτι δεῖ σε τοιαῦτα παρασκευάζειν. Εἰ δὲ ἀπληστότερος εἶ, μὴ ἐπιθύμει τῶν ἐδεσμάτων αὐτοῦ. » Καὶ ἕτερός φησιν· « Ἐπὶ τραπέζης μεγάλης ἐκάθισας, μὴ ἀνοίξῃς φάρυγγά σου ἐπ' αὐτῆς. Μνήσθητι ὅτι κακὸν ὀφθαλμὸς πονηρός, οὗ ἐὰν ἐπιβλέψῃς, μὴ ἐκτείνῃς τὴν χεῖρά σου, καὶ μὴ συνθλίβου αὐτῷ ἐν τῷ τρυβλίῳ· νόει τὰ τῶν πλησίον ἐξ ἑαυτοῦ, καὶ ἐπὶ παντὶ πράγματι διανοοῦ. Φάγε ὡς ἄνθρωπος τὰ παρακείμενά σοι, καὶ μὴ διαμασοῦ, ἵνα μὴ μισηθῇς· παῦσαι πρῶτος χάριν παιδείας, καὶ ἀπληστεύου, μὴ πρότερος κόψῃς· καὶ εἰ ἀνὰ μέσον τῶν πλειόνων ἐκάθισας, πρότερος αὐτῶν μὴ ἐκτείνῃς τὴν χεῖρά σου. Ὡς ἱκανὸν ἀνθρώπῳ πεπαιδευμένῳ τὸ ὀλίγον. » Ὁ δὲ Μωϋσῆς, « Πρόσεχε σεαυτῷ, λέγων, μὴ φαγὼν καὶ ἐμπλησθεὶς ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ σου. » Καὶ ὁ Παῦλος· « Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. » — « Καὶ μὴ εἰς κρίσεις διαλογισμῶν. Ὁ μὲν γὰρ πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει. » Καὶ ἐπάγει· « Ὁ ἐσθίων, τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω· καὶ ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω· σὺ γὰρ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει. » Καὶ πάλιν· « Ὁ ἐσθίων,

[76] Psal. xxvii, 7. [77] Psal. lxi, 9. [78] Psal. xxxvi, 3. [79] ibid. 5. [80] Isa. xxvi, 8. [81] Rom. viii, 24, 25. [82] Hebr. vi, 18, 19. [83] I Cor. ix, 10. [84] Luc. ii, 26. [85] Prov. xxiii, 1-3. [86] Eccli. xxxi, 12-16. [87] Deut. vi, 12, 13. [88] I Cor. x, 31. [89] Rom. xiv, 1, 2.

VARIÆ LECTIONES.

[s] σου. [h] τοῦ μετέχειν, *participandi.*

Κυρίῳ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ Θεῷ· καὶ ὁ μὴ ἐσθίων, Κυρίῳ οὐκ ἐσθίει. » — « Μὴ ἕνεκεν βρώματος κώλυε τὸ ἔργον τοῦ Θεοῦ. » Καὶ ἐπάγει· « Πάντα μὲν καθαρά, ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι. » Καὶ, « Μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει. Ὁ δὲ διακρινόμενος ἐὰν φάγῃ, κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως. » — « Βρῶμα δὲ ἡμᾶς παρίστησι[i] τῷ Θεῷ. Οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν, οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα[j]. » Καὶ ὁ Παροιμιαστής· « Μὴ ἀπατηθῇς χορτασίᾳ[k] κοιλίας. Ψυχὴ γὰρ ἐν πλησμονῇ οὖσα κηρίοις ἐμπαίζει[l]· ψυχῇ δὲ ἐνδεεῖ, καὶ τὰ πικρὰ γλυκέα φαίνεται. » Ὁ δὲ Ἀπόστολος, καθαρίζων τὰ βρώματα, φησίν· « Ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς, καὶ ἐπεγνωκόσι[m] τὴν ἀλήθειαν, ὅτι πᾶν κτίσμα Θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον. Ἁγιάζεται γὰρ διὰ λόγου καὶ ἐντεύξεως. » Καὶ, « Πάντα καθαρὰ τοῖς καθαροῖς. » Καὶ, « Εἰς τὸ φαγεῖν ἀλλήλους ἐκδέχεσθε. » Φησὶ δὲ καὶ ὁ νόμος· « Φαγὼν καὶ ἐμπλησθεὶς, εὐλόγησον Κύριον τὸν Θεόν σου. » Καὶ ὁ Δαβὶδ εὐχαριστῶν ἔλεγεν· « Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου, ἀπὸ καρποῦ σίτου καὶ οἴνου καὶ ἐλαίου. » Καὶ πάλιν· « Ὅτι ἐχόρτασε ψυχὴν κενὴν, καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν. » Ὁ δὲ ἀγαθὸς Κύριος, θέλων ἡμᾶς μετριοφρονεῖν, φησίν· « Ὅταν καθίσῃς[n] εἰς ἄριστον, μὴ κατακλιθῇς εἰς πρωτοκλισίαν, μή ποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ' αὐτοῦ· καὶ ἐλθὼν ὁ σὲ καὶ ἐκεῖνον καλέσας, ἐρεῖ σοι· Δὸς τούτῳ τόπον, καὶ τότε ἄρξῃ μετ' αἰσχύνης τὸν ἔσχατον τόπον μετέχειν. Ἀλλ' ὅταν κατακλιθῇς, πορευθεὶς ἀνάπεσε εἰς τὸν ἔσχατον τόπον, ἵν' ὅταν ἔλθῃ ὁ κεκληκώς σε, εἴπῃ σοι· Φίλε, προσανάβηθι ἀνώτερον. Τότε ἔσται σοι δόξα ἐνώπιον πάντων τῶν συνανακειμένων σοι, ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται, καὶ ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται. » Καὶ ταῦτα μὲν εἰς σύνεσιν καὶ ὠφέλειαν ἱκανά. Καλὸν δὲ καὶ ἐπιμνησθῆναι καὶ τοῦ Ἰώβ. Φησὶ γάρ· « Εἰ δὲ καὶ τὸν ψωμὸν μόνος ἔφαγον, καὶ οὐχὶ ὀρφανῷ μετέδωκα, ὅτι ἐκ νεότητός μου ἐξέτρεφον ὡς πατήρ. » Καὶ πάλιν ὁ Κύριος· « Ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους σου, μηδὲ τοὺς ἀδελφούς σου, μηδὲ τοὺς συγγενεῖς σου, μηδὲ γείτονας πλησίον[o] σου, μήποτε καὶ αὐτοί σε ἀντικαλέσωσι, καὶ γένηταί σοι ἀνταπόδομα. Ἀλλ' ὅταν ποιῇς δοχὴν, κάλει πτωχοὺς, ἀναπήρους, χωλοὺς, τυφλοὺς, καὶ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι· ἀνταποδοθήσεταί δέ σοι, ἐν τῇ ἀναστάσει τῶν δικαίων, παρὰ τοῦ Θεοῦ. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

aut cadit [90]. » Iterum : « Qui manducat, Domino manducat, et gratias agit Deo [91]. » Rursus : « Noli propter cibum perdere opus Dei [92]. » Inducit : « Omnia quidem munda, sed malum est, propter offendiculum manducare [93]. » Et : « Beatus qui non judicat seipsum, in eo quod probat. Qui autem discernit, si comedat, damnationem incurrit, quia non ex fide [94]. » — « Verumtamen esca nos commendat Deo; neque si comedamus, abundabimus, neque si non comederimus, minus habebimus [95]. » Parœmiastes : « Ne te decipiat saturitas ventris. Anima enim satura illudit favis; animæ autem esurienti, etiam amara, dulcia videntur [96]. » Apostolus insinuans nullum non cibi genus esse mundum, ait : « Quos Deus creavit ad percipiendum cum gratiarum actione fidelibus et iis qui agnoverunt veritatem, quia omnis creatura Dei bona est, et nihil abjiciendum, quod cum gratiarum actione sumitur : sanctificatur enim per verbum Dei et orationem [97]. » Et : « Omnia munda mundis [98]. » Et : « Ad manducandum invicem expectate [99]. » Lex insuper : « Dum comederis et saturatus fueris, benedicito Dominum Deum tuum [1]. » David, Deo neutiquam ingratus : « Dedisti, inquit, lætitiam in corde meo, a fructu frumenti et olei [2]. » Iterum : « Quia satiavit animam inanem, et animam esurientem saturavit bonis [3]. » Cupiens porro Dominus, modesti ut simus ac frugi homines, ait : « Quando invitatus fueris ad prandium, ne eas discubitum in primo accubitu, ne forte honoratior te veniat invitatus ab illo, et veniens qui te et illum invitavit, dicat tibi : Da huic locum, et tunc incipies cum pudore novissimum locum tenere. Sed cum invitatus fueris, vade, discumbe in novissimo loco, ut cum venerit qui te invitavit, dicat tibi : Amice, ascende superius. Tunc erit tibi gloria coram omnibus tibi accumbentibus; quia omnis qui se exaltat, humiliabitur, et qui se humiliat, exaltabitur [4]. » Et hæc quidem quatenus ad intelligentiam ac spirituale commodum attinet, satis sint. Non dissentaneum fuerit meminisse sententiæ illius Job : « Quod si buccellam meam solus comedi, et non pupillum participem feci, quoniam ab adolescentia mea [5] enutrivi ut pater [6]. » Iterum, Dominus : « Cum feceris prandium aut cœnam, ne vocaveris **1032** amicos tuos, neque fratres tuos, neque cognatos, neque vicinos divites, ne forte et ipsi reinvitent te et fiat tibi retributio; sed quando feceris convivium, voca pauperes, debiles, claudos, cæcos; et beatus eris, quia non habent retribuere tibi; retribuetur autem tibi in resurrectione justorum [7]. » Ipsi gloria in sæcula. Amen.

[90] ibid. 3. [91] ibid. 6. [92] ibid. 15. [93] ibid. 20. [94] ibid. 22, 23. [95] I Cor. VIII, 8. [96] Prov. XXVII, 7. [97] I Tim. IV, 3-5. [98] Tit. I, 15. [99] I Cor. XI, 33. [1] Deut. VIII, 10. [2] Psal. IV, 7, 8. [3] Psal. CVI, 9. [4] Luc. XIV, 8-11. [5] ἐξέτρεφον ὡς πατήρ, pro quo Vulg. *grandivit*, *adolevit*, vel *crevit mecum*. [6] Job XXXI, 17, 18. [7] ibid., 12-14.

VARIÆ LECTIONES.

[i] παραστήσει. [j] ὑστεροῦμεν. [k] χορτάσαι. [l] ἐμπαίξει, rectius nostra editio, *calcabit*. [m] ἐπιγινώσκουσι. [n] κληθῇς. [o] πλουσίους.

HOMILIA IV.

De edacitate sive ventris ingluvie.

Nulli non hominum apprime necessarium sit vim inferre ventris edacitati, eamque justa temperie moderari : in primis tamen eos addecet, quibus curæ est pia servitute colere Deum. Honestum sane sit prandium omne illud quod moderata transigitur quantitate. Nam citra ullam temperiem ac irretente suffarcinare ventrem eduliis, perquam simile est navi onere immodico degravatæ, quo velut oppressa nullo negotio undosis fluctibus immergitur et pessumit. Et quidem corpus alimonia eget, non item cupediariis lautisque ferculis quibus se ad voluptatem invitet et satiet. Ciborum frugalitas illi opportunior, non B inamœna satietas. Edulio opus, quod satis sit, non item luxu profusiore qui artus collutilet corporis. Illa siquidem mire juvat et corpus et animam, quippe quæ sospitatem parit corpori, robur confirmat, et habitudinem addit pulchre temperatam; extrema vero utrumque lædunt, nec simpliciter. Neque enim sanitati solum noxia sunt genuina quadam sua ad corruptelam proclivitate, sed et morbos vix eluctabiles ac permolestos pariunt. Rei istius evidens argumentum exhibent monachi, qui cum exiguo contenti abeant cibo, utque comperiuntur et acumine intellectus perspicaciores, et corporis temperatura illis saniores, quos juvat totos se immergere vitæ mollioris illecebris. Neque id boni solum, sed et dum ventris C frenas ingluviem, animæ per hoc imminuis turbulentas affectiones. Nam qui se vinci sinit ciborum intemperie, utique materiam exaggerat illicem atque incentivam voluptatum. Ut enim copiosam lignorum congeriem igni si admoves, majorem excitas flammam, ita et copia ciborum si inditur ventri, alit concupiscentiam. Esculentorum splendidus ac profusior luxus guttur quidem oblectat, sed et vermem intemperantiæ alit irrequietum ac pervigilem. Quemadmodum enim terra situ squalens et inarata, suapte natura edit spinas, ita mens ventris studio addicti hominis, indecoras prorsus cogitationes progerminat atque obscenas. Monachus justo edacior aliud nihil censendus quam pro- D prii tributarius ventris. Et quidem is ad censum enumerat sanctos, et eorum commeminit inter colloquia, re autem vera intemperans cum fit, neutiquam illorum vitam æmulatur et mores. Ventri saturando addictior, nulla alia re tam gloriatur, aut ducit venerationi, quam quod latissimo est ventre et amplissime capaci. Plane illi venter fit promptuarium, et honoratior stercorum apotheca; sed et halitus ipse qui in sic edaci habitat, anxie interclusus, mire turbulentus est ac prætristis. Dumque is ægerrime fert, quam ex se spirat gra-

ΛΟΓΟΣ Δ'.

Περὶ γαστριμαργίας.

Πᾶσι μὲν ἀναγκαῖόν ἐστι τὸ βιάζεσθαι καὶ κρατεῖν γαστρός. Μάλιστα δὲ τοῖς Θεῷ δουλεύειν ἐθέλουσι. Καλὸν γάρ ἐστι πᾶν μέτρον ἄριστον. Τὸ δὲ ἀσχέτως ἐσθίειν, ἔοικε νηῒ ὑπερφορτουμένῃ. Τὸ γὰρ σῶμα τροφῆς δεῖται, οὐ τρυφῆς· ὀλιγοδείας, οὐ πλησμονῆς· αὐταρκείας, οὐ πολυτελείας. Αἱ μὲν γὰρ καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν ὠφελοῦσιν, ὑγείαν, καὶ ῥώμην, καὶ εὐεξίαν τίκτουσαι· αἱ δὲ, ἄμφω καταβλάπτουσι, οὐ μόνον τὴν ὑγίειαν διαφθείρουσαι, ἀλλὰ καὶ νοσήματα ἀργαλεώτατα ὠδίνουσαι. Ἀπόδειξις δὲ σαφὴς τὸ τοὺς τὴν ὀλιγόδειαν καταδεχομένους ἀσκητὰς μᾶλλον τῶν ἀβροδίαιτον ἑλομένων βίον, καὶ συνετωτέρους, καὶ σωφρονεστέρους, καὶ ὑγιεινοτέρους εἶναι· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἧττον τοῖ τὰ πάθη ὁ κρατῶν γαστρός. Ὁ γὰρ ἡττώμενος βρώμασιν αὔξει τὰς ἡδονάς· ὥσπερ γὰρ ξύλα πολλὰ μεγάλην ἐγείρει φλόγα, οὕτω καὶ πλῆθος βρωμάτων ἐγείρει P ἐπιθυμίαν. Ἡ τῶν βρωμάτων πολυτέλεια λαιμὸν μὲν τέρπει, τρέφει δὲ σκώληκα ἀκολασίας ἀκοίμητον. Ὥσπερ γὰρ ἡ χερσωθεῖσα γῆ ἀκάνθας τίκτει, οὕτω καὶ ὁ νοῦς γαστριμάργου βλαστάνει λογισμοὺς αἰσχρούς. Μοναχὸς γαστρίμαργος οὐδὲν ἕτερον, ἢ μόνον κοιλίας ὑπόφορος γίνεται, καὶ τὰς μνείας τῶν ἁγίων ἀριθμεῖ· ὁ δὲ ἐγκρατὴς τοὺς αὐτῶν βίους μιμεῖται q. Ὁ γαστρίμαργος εἰς οὐδὲν ἕτερον ἐναβρύνεται, ἀλλ' ἢ εἰς πλατεῖαν καὶ εὐρύχωρον κοιλίαν, ταμεῖον τῆς τιμίας αὐτοῦ κόπρου ἀποθήκης· ἀλλὰ καὶ τὸ Πνεῦμα τὸ ἐνοικοῦν ἐν τῷ γαστριμάργῳ ἀνθρώπῳ λυπεῖται· καὶ μὴ φέρον τὴν δυσωδίαν ἀναχωρεῖ ἀπ' αὐτοῦ. Ὥσπερ ὁ καπνὸς διώκει τὰς μελίσσας, οὕτω ὁ γαστρίμαργος τὴν χάριν τοῦ ἁγίου Πνεύματος. Κρεῖσσον οὖν ἐστι παραδραμεῖν τὰ καρυκεύματα τῆς γαστρὸς, καὶ διὰ λιτῆς τροφῆς τὴν χρείαν ἐκπληροῦν τοῦ σώματος, ἵνα μὴ ὁμοιωθῶμεν τῷ ἐν τῇ ἐρήμῳ κοιλιοδούλῳ λαῷ. « Ἐκάθισε γάρ, φησὶν, ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. » Ἐν τῷ γὰρ ἀμέτρως αὐτοὺς ἐσθίειν καὶ πίνειν, τῆς ἐντολῆς τοῦ Θεοῦ ἐπελάθοντο, καὶ εἰς εἰδωλομανίαν ἐξώκειλαν. Καλῶς οὖν τοῖς διαδόχοις αὐτῶν γράφει ὁ ἀπόστολος Παῦλος· « Ὧν ὁ θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια φρονοῦντες. » Καὶ πάλιν· « Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν. Ὁ δὲ Θεὸς καὶ ταύτην, καὶ ταῦτα καταργήσει. » Καὶ αὖθις· « Εἰ διὰ βρῶμα λυπεῖται ὁ ἀδελφός σου, οὐκ ἔτι κατὰ ἀγάπην περιπατεῖς· μὴ γοῦν τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε ὑπὲρ οὗ Χριστὸς ἀπέθανε. » Καὶ ἐπάγει· « Οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ· καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. » Καὶ αὖθις· « Τὸ γὰρ φρόνημα τῆς σαρκὸς, θάνατος· τὸ δὲ φρόνημα τοῦ πνεύματος, ζωὴ καὶ εἰρήνη· καὶ γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν.

VARIÆ LECTIONES.

P τρέφει. q Deest negatio, οὐ μιμεῖται.

οὐ βρώμασι.» Καὶ πάλιν· « Οὐ γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη, καὶ εἰρήνη καὶ χαρὰ ἐν Πνεύματι ἁγίῳ. » Καὶ οὐχὶ τρυφὴ καὶ σπατάλη, καθὼς εἴρηται, βορὰ σκωλήκων. Ἡ γὰρ χλιδὴ οὐδὲν ἕτερόν ἐστιν, ἢ ἑστία ἑρπετῶν· ὡς καὶ ὁ Ἰάκωβος ὀνειδίζων τοῖς κοιλιοδούλοις ἔγραφε λέγων· « Ἐτρυφήσατε ἐπὶ τῆς γῆς, καὶ ἐσπαταλήσατε, ἐθρέψατε τὰς καρδίας ὑμῶν ὡς ἐν ἡμέρᾳ σφαγῆς.» Καὶ ὁ Κύριος δὲ τοῖς ἀπίστοις Ἰουδαίοις φησίν· « Ἀμὴν λέγω ὑμῖν, ζητεῖτέ με οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων, καὶ ἐχορτάσθητε. » Καὶ ἐπιφέρει· « Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν μέλλουσαν [r] εἰς ζωὴν αἰώνιον, ἣν ὁ Υἱὸς τοῦ ἀνθρώπου δίδωσιν ὑμῖν. » Αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A veolentiam, a seipso si qua fieri possit, quærit secedere, seque fugit. Ut enim fumus dire angit apes et persequitur, ita et exsatiandæ gulæ studiosus, gratiam a se repellit Spiritus **1033** sancti. Præstiterit igitur ejusmodi lautitias condimentorum ventris ingluviem prolicientes prætercurrere, et perquam tenui pabulo necessitatem declinare corporis, nequando assimiles deprehendamur fuisse populo illi qui suo ventri tam anxie inservisse legitur. « Sedit enim, ait, populus manducare et bibere, et surrexerunt ludere [8]. » Dum enim et edunt et bibunt immoderatius, in oblivionem divini venere mandati; nec solum, sed et in malesuadam ac vesanientem impegerunt idololatriam. Recte igitur successoribus talium Apostolus scri-

B bit : « Quorum Deus venter est, et gloria in confusione ipsorum, qui terrena sapiunt [9]. » Iterum : « Escæ, ventri; et venter, escis : Deus autem et has et hunc destruet [10]. » Rursus : « Si propter cibum constristatur frater tuus, non jam secundum charitatem ambulas, noli cibo tuo illum perdere, pro quo Christus mortuus est [11]. » Inducit : « Qui enim tales sunt, Domino nostro non serviunt, sed suo ventri, et per suaviloquium et benedictionem seducunt corda innocentum [12]. » Rursum : « Prudentia carnis, mors; prudentia vero spiritus, vita et pax [13] : bonum enim est gratia stabilire cor, non escis [14]. » Iterum : « Non enim est regnum cœlorum esca et potus, sed justitia et pax et gaudium in Spiritu sancto [15]. » Sed nec quidem genialis vitæ splendor aut illecebrosa voluptas (ceu jam dictum mihi est) quæ in diem mortis pabulum condit et thesaurizat vermibus. Ipsa enim indulgentioris vitæ illecebra, aliud nihil est quam molliculus et epularis cibus reptilium, vel teste Jacobo, qui opprobrans scribebat, suo ventri anxie nimis servientibus : « Deliciati estis super terram et lascivistis, et enutristis corda vestra ut in die occisionis [16]. » Dominus insuper incredulis Judæis ait : « Amen, amen dico vobis : Quæritis me, non quia vidistis signa, sed quia comedistis ex panibus, et saturati estis [17]. » Infert : « Operamini non cibum qui perit, sed qui permanet in vitam æternam quem Filius hominis dabit vobis [18]. » Ipsi gloria in sæcula sæculorum. Amen

ΛΟΓΟΣ Ε'.

Περὶ μέθης.

Μέθη πλείω τῆς ἀδηφαγίας βαρυτέρα ὑπάρχει, καὶ πάνυ ἀπηγόρευται παρὰ τῇ θείᾳ Γραφῇ. Καὶ γὰρ ἀθέμιτόν ἐστι ταύτῃ ἐναβρύνεσθαι, ὥς τινες κοσμόφρονες, ἐν τῷ οἰνοῦσθαι αὐτοὺς, καυχῶνται. Ἡ γὰρ οἰνοφλυγία οὐδὲν ἕτερον παρέχει, ἢ ἔκστασιν νοὸς καὶ πενίαν. Καὶ τὸ σῶμα ἐξίτηλον καὶ χαῦνον ἀπεργάζεται. Καλὸν οὖν καὶ ἀπόδεκτόν ἐστι διὰ τὴν ἀσθένειαν τοῦ σώματος ὀλίγῳ οἴνῳ κεχρῆσθαι. Ὃν τρόπον γὰρ ἡ γῆ συμμέτρῳ μὲν ὄμβρῳ ἀρδευομένη, καθαρὸν τὸ εἰς αὐτὴν σπέρμα καταβαλλόμενον μετὰ προσθήκης ἀνίησιν, ὑπὸ πολλῶν δὲ ὄμβρων μεθυσκομένη ἀκάνθας φέρει καὶ τριβόλους μόνον· οὕτω καὶ ἡ γῆ τῆς καρδίας, ἐὰν συμμέτρως τῷ οἴνῳ χρώμεθα, καθαρὰ τὰ φυσικὰ αὐτῆς ἀναδίδωσι σπέρματα. Ἐὰν δὲ διάβροχος ὑπὸ πολυποσίας γένηται, ἀκάνθας ὄντως φέρει τοὺς ἅπαντας αὐτῆς λογισμούς. Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ποιεῖ τὸν μεθύοντα παρὰ μὲν τῶν ἀφρόνων γελᾶσθαι· παρὰ δὲ τῶν φρονίμων πενθεῖσθαι. Νῦν γὰρ, φησὶν ἡ θεία Γραφὴ, ἀνὴρ δίκαιος, ἔπιεν οἶνον, καὶ ἐμε-

HOMILIA V.

De ebrietate.

Ebrietas multo exsuperat suapte gravitate edacitatem, et ejus usu, nobis prorsum Scripturæ divinæ sanctio interdixit. Nec enim fas cuiquam turpitudine istius gloriari ebrietatis, ceu quidam assolent : qui nihil tam resipiunt atque mundi prudentiam, sese hoc nomine venditantes insolentius, quod pulchre ventrem mero onerarint. Aliud plane temulentia nihil meri bibulo confert, quam emotionem mentis atque paupertatem. Exolescit proinde per eam corpus, ac friatile redditur et enerve. Sane quam bonum sit nec improbandum propter infirmitatem corporis modico uti vino. **1034** Ut enim

D terra moderato perfusa imbre, semen quod in viscera sua dejectum purum excepit, multo cum fenore emicare cogit et emergere; e diverso, si immodicæ pluviæ madescat illapsu et inebrietur, spinas profert solum et tribulos, ita et terra cordis nostri, siquidem cum temperie vino utemur, quæ suopte genio semina pura accepit, reddit multiplici cum accessione; si tota vini humore perma-

[8] Exod. xxxii, 6. [9] Philipp. iii, 19. [10] I Cor. vi, 13. [11] Rom. xiv, 15. [12] Rom. xvi, 18. [13] Rom. viii, 6. [14] Hebr. xiii, 9. [15] Com. xiv, 17. [16] Isa. v, 5. [17] Joan. vi, 26. [18] ibid. 27.

VARIÆ LECTIONES.

[r] μένουσαν.

duerit, seque mero copiosiore proluerit, jam, velis nolis, spinas et aliud nihil exeret, nempe improbas cogitationes. Neque id modo, sed et ebriacum illum efficit sui similibus, hoc est stultis, deridiculum, prudentibus autem, per commiserationem luctum extorquet. Noe enim, ait divina Scriptura, vir justus biberat vinum, seque eo proluerat immodice, et jacebat nudus (nec tamen eo scribitur justus, quod vino immaduisset, sed eatenus expers usus vini), et ab imprudente illo Cham, habitus ludibrio est, a prudentibus autem filiis tecta est ignominia nuditatis [19]. Vitemus igitur (fratres) ebrietatis dæmonem, ut ne demum illi nos exhibeamus deridiculos, quinimo nos ipsos præmuniamus sobrietate, quæ hunc nostrum hominem incolumem servet cum primaria ejus portione, videlicet mente, sicut et Parœmiastes suo præscribit mandato : « Noli esse potator vini ; omnis enim ebrius, pauper est [20]. » Iterum : « Cui væ, et cui tumultus? cui judicia? cui insuavitas et nugæ? cui contritiones superfluæ? cujus lividi oculi? nonne iis qui immorantur diutius exhauriendo vino? nunquid non his qui pervestigant ubi fiunt compotationes [21]? » Tum addit : « Noli inebriari vino, sed conversare cum hominibus justis [22]. » Alius item : « Ne esto virilis in vino, multos enim perdidit vinum [23]. » Iterum : « Qui jucundus est in vini congressibus, in suis munitionibus derelinquet ignominiam [24]. » Rursum : « Noli esse potator vini, non enim conferunt stulto deliciæ [25]. » Et : « Luxuriosa res et contumeliosa ebrietas; omnis autem qui se immiscet his, non erit sapiens [26]. » Oseas propheta, de vetere illo populo : « Vinum et ebrietatem excepit cor populi mei [27]. » Isaias item, miseros eos insinuans qui diutius immorantur vino, dicebat : « Væ qui consurgunt mane, et siceram sectantur manentes usque in serum, vinum succendet eos [28]. » Iterum Joel nihil huic dissentaneus clamat : « Evigilate ebrii a vino, flete vosipsos, et lugete omnes qui bibitis vinum ad ebrietatem [29]. » Flere enim et lugere constitutum est his qui artifices sunt et operarii vinolentiæ. Est enim ebrietas vitium istis peculiare qui pessime vitam hanc transmittunt, et a rectitudine in pudendos errores deflexerunt, vel teste Job, qui quosdam percellens acriter, dicit : « Errent sicut ebrii [30]. » Quibus autem cordi est pudice ac probe conversari, ab ebrietate, omni studio sibi temperant atque inoffense per viam pergunt rectitudinis, per omnia morigeri apostolicæ **1035** sententiæ : « Nolite inebriari vino in quo est luxuria [31]. » Iterum : « Ebrii regnum Dei non hæreditabunt [32]. » Et illud : « Vidua quæ in deliciis vivit, vivens mortua est [33]. » Inducit : « Propterea nolite fieri insipientes, sed intelligentes quæ sit voluntas Dei [34]. » Quotquot enim obscenæ sunt et ignominiosæ affe-

A θύσθη, καὶ ἔκειτο γυμνὸς, καὶ οὐχ ὅτι πάροινος ἦν ὁ δίκαιος, ἀλλ' ἄπειρος τῆς τοῦ οἴνου χρήσεως, καὶ παρὰ μὲν τοῦ ἄφρονος Χὰμ ἐγελάσθη, παρὰ δὲ τῶν φρονίμων υἱῶν ἐσκεπάσθη. Φύγωμεν οὖν, ἀδελφοὶ, τὸν τῆς μέθης δαίμονα, ἵνα μὴ καταγελασθῶμεν ὑπ' αὐτοῦ, ἀλλὰ μᾶλλον τῇ νήψει ἑαυτοὺς ἀσφαλισώμεθα, ἵνα γένηται ἄρτιος ἄνθρωπος σὺν τῷ ἡγεμονικῷ· ὡς καὶ ὁ Παροιμιαστὴς ἐντέλλεται λέγων· « Μὴ ἴσθι οἰνοπότης· πᾶς γὰρ μέθυσος πτωχεύει. » Καὶ πάλιν, « Τίνι οὐαὶ, καὶ τίνι θόρυβος ; τίνι κρίσεις, καὶ τίνι ἀηδία καὶ λέσχαι ; τίνι συντρίμματα διακενῆ; τίνων πελιδνοὶ οἱ ὀφθαλμοί; οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνοις; οὐ τῶν κατασκοπουμένων ποῦ πότοι γίνονται; » Καὶ ἐπάγει· « Μὴ μεθύσκεσθε οἴνῳ, ἀλλ' ὁμιλεῖτε ἀνθρώποις δικαίοις. » Καὶ ἄλλος φησίν· « Ἐν οἴνῳ μὴ ἀνδρίζου· πολλοὺς γὰρ ἀπώλεσεν οἶνος. » Καὶ πάλιν· « Ὃς ἐστιν ἡδὺς ἐν οἴνων διατριβαῖς, ἐν τοῖς ἑαυτοῦ ὀχυρώμασι καταλείψει ἀτιμίαν. » Καὶ πάλιν· « Μὴ ἴσθι οἰνοπότης· οὐ γὰρ συμφέρει ἄφρονι τρυφή. » Καὶ πάλιν· « Ἀκόλαστον καὶ ὑβριστικὸν, μέθη· πᾶς δὲ ὁ μιγνύμενος τούτοις, οὐκ ἔσται σοφός. » Καὶ ὁ προφήτης Ὅσηὲ, περὶ τοῦ παλαιοῦ λαοῦ· « Οἶνον καὶ μέθυσμα ἐδέξατο καρδία λαοῦ μου. » Καὶ ὁ Ἡσαΐας ταλανίζων τοὺς ἐν οἴνῳ χρονίζοντας, ἔλεγεν· « Οὐαὶ οἱ ἐγειρόμενοι πρωΐ, καὶ οἱ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὄψέ. Ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει [s]. » Καὶ πάλιν· « Πεπλανημένοι εἰσὶν ἀπὸ τῆς μέθης τοῦ οἴνου, » ὡς αὐτὸς καὶ Ἰωὴλ βοᾷ· « Ἐκνήψατε οἱ μεθύοντες ἐξ οἴνου αὐτῶν, κλαύσατε καὶ θρηνήσατε πάντες οἱ πίνοντες οἶνον εἰς μέθην. » Κλαίειν καὶ θρηνεῖν προστέτακται τοῖς τῆς οἰνοφλυγίας ἐρασταῖς. Καὶ γὰρ ἀληθῶς τῶν αἰσχίστων ἀνθρώπων ἐστὶν ἡ μέθη, καὶ πεπλανημένων, ὡς ὁ Ἰὼβ ὑπό τινων κατεχόμενος, φησί· « Πλανηθείησαν ὡς μεθύων. » Οἱ δὲ σεμνῶς βουλόμενοι πολιτεύεσθαι, καὶ τῇ εὐθείᾳ ὁδῷ ἀπλανῶς βαδίζουσι, ἀκούοντες τοῦ Ἀποστόλου, λέγοντος· « Μὴ μεθύσκεσθε οἴνῳ ἐν ᾧ ἐστιν ἀσωτία. » Καὶ πάλιν· « Μέθυσοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. » Καὶ τὸ, « Ἡ σπαταλῶσα χήρα, ζῶσα τέθνηκεν. » Καὶ ἐπάγει· « Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνίετε τί τὸ θέλημα τοῦ Θεοῦ. » Πάντα γὰρ τὰ αἰσχρὰ πάθη ἐκ τῆς μέθης ἀναφύονται. Ὡς καὶ Δαβὶδ φησιν· « Νὺξ φωτισμὸς, ἐν τῇ τρυφῇ μου, » τουτέστι· Νὺξ ἦν περὶ ἐμὲ τὸν B δεῖλαιον, καὶ ἠγνόουν, τὴν τρυφὴν νύκτα ὀνομάζων. Καὶ γὰρ ἀχλὺς καὶ σκότος τοῖς μεθύουσι, κατὰ τὸν Ἀπόστολον. Τὴν γὰρ περὶ τῶν θυγατέρων τοῦ Λὼτ ἱστορίαν ἐκὼν ὑπερβήσομαι. Ὁ Κύριος ἐπιβεβαιῶν τὰ προκείμενα, πᾶσιν ἐντέλλεται λέγων· « Βλέπετε μὴ βαρυνθῶσιν αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ καὶ μέθῃ. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

C

D

[19] Gen. IX, 21, 23. [20] Prov. XXI, 17. [21] Prov. XXIII, 29 30. [22] Ephes. V, 18. [23] Eccli. XXXI, 30. [24] Prov. XII, 11. [25] Prov. XXIII, 20. [26] Prov. 20, 1. [27] Osée IV, 11. [28] Isa. V, 11. [29] Joel I, 5. [30] Job XII, 25. [31] Ephes. V, 18. [32] Rom. XIV, 17. [33] I Tim. V, 6. [34] Ephes. V, 17.

VARIÆ LECTIONES.

[s] συγκαύσει, *succendet* ; συγκάψει, Aldus habet.

ctiones, ex unius ebrietatis stirpe prognascuntur et suppullulant, ut et David astruit : « Nox, ait, illuminatio mea in deliciis meis [35] : » hoc est, Nox circumfundebat me timidulum, et ignorabam. Delicias per hæc nominat noctem, densa enim caligo quædam est, temulentia ac tenebræ. Nam qui se immodico vino proluunt et immergunt, utique noctu se inebriant, juxta Apostoli sententiam. Filiarum Lot historiam sciens volensque transmittam [36]. Dominus autem prius dicta priva autoritate fortiter astruens, omnibus in commune præscribit : « Videte ne graventur corda vestra crapula et ebrietate [37]. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ Ϛ'.

Περὶ ἐγκρατείας.

Ἡ ἐγκράτεια πᾶσι μὲν ἁρμόδιος, μάλιστα δὲ τοῖς βουλομένοις Θεῷ εὐαρεστεῖν. Ἐγκράτειαν δέ φαμεν οὐ τῶν βρωμάτων μόνον, ἀλλὰ τὴν περιεκτικήν· τουτέστι, τὴν ἀποχὴν πάντων τῶν ἀπηγορευμένων. Δεῖ οὖν τὸν ἐγκρατευόμενον πάντα ἐγκρατεύεσθαι, κατὰ τὸν Ἀπόστολον. Ὥσπερ γὰρ ἀνθρώπου οἱονδήποτε ἀφαιρεθὲν τῶν μελῶν, τὸ πᾶν τοῦ ἀνθρώπου λοιπὸν σχῆμα ἄμορφον ἀπεργάζεται, οὕτω καὶ ὁ μιᾶς παρὰ μελῶν ἀρετῆς ὅλην τῆς ἐγκρατείας ἀφανίζει εὐπρέπειαν. Χρὴ οὖν οὐ μόνον τὰς σωματικὰς φιλοπονεῖν ἀρετὰς, ἀλλὰ καὶ τὰς τὸν ἔνδον ἡμῶν ἄνθρωπον καθαίρειν δυναμένας. Ἐγκρατείας γὰρ ἔργον ἐστὶ τὸ ἀπέχεσθαι πάσης ἀλόγων ἡδονῆς, καὶ μηδὲν παρὰ τὸ βούλημα ἐντολῶν τοῦ Θεοῦ πράττειν. Ἐγκράτειά ἐστι χαλινὸς ἄγχων τὴν ἐπὶ βρώματα, ἢ χρήματα, ἢ δόξαν, τοῦ ἐπιθυμητικοῦ ὁρμήν. Οὐ γὰρ ἔστι τι τῶν ἀγαθῶν τίκτεσθαι ἄνευ ὑπομονῆς, καὶ τῆς γενικωτάτης ἐγκρατείας. « Ἐν γὰρ τῇ ὑπομονῇ ὑμῶν κτήσεσθε τὰς ψυχὰς ὑμῶν. » Ὁ θέλων οὖν κατορθῶσαι τὴν ἐγκράτειαν, συνεχῶς προσευχέσθω. « Ἀδιαλείπτως οὖν προσεύχεσθε, » φησίν. Ἡ εὐχὴ, καὶ ἡ ἐγκράτεια εἴργει τὸν νοῦν τῶν κοσμικῶν ἡδονῶν, καὶ ἀπὸ πάσης αὐτὸν κακοεργίας ἀναστέλλει. Σάρκα καὶ αἷμα εἶδεν [t] ὁ Ἀπόστολος τὰ σαρκικὰ πάθη τὰ κατασύροντα τὸν νοῦν εἰς τὰ φρονήματα αὐτῶν, διὰ τὸ εἰπεῖν· « Ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ οὐ δύνανται κληρονομῆσαι. » Αὕτη ἡ σὰρξ τροφὴ ἐστι τῶν δαιμόνων. » Ἐν τῷ γὰρ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου. » Ὁ οὖν διὰ τῆς ἐγκρατείας ἐκτήκων τὰς σάρκας, λιμοκτονεῖ τοὺς δαίμονας, καὶ ἀσθενεστέρους αὐτοὺς πρὸς τὸν κατὰ αὐτοῦ πόλεμον ἀπεργάζεται. Χρὴ οὖν, ὡς εἴρηται, δι' ὅλων τῶν αἰσθήσεων ἐγκρατεύεσθαι δι' ὁράσεως, δι' ἀκοῆς, ὀσφρήσεως, γλώσσης τε καὶ κοιλίας, καὶ ἁφῆς, βαδίσματος εὐπρεποῦς, καὶ τῶν λοιπῶν. Δεῖ γὰρ τὸν ἐγκρατῆ, πάσης αἰσχίστης ἡδονῆς, καὶ ἐπιθυμίας ἀνώτερον εἶναι. Οἱ γὰρ τῆς ἐγκρατείας ἐρασταὶ, ἀριδήλως τῷ μὲν σώματι ἄρτιοι ὑπάρχουσι, τὴν δὲ φρένα ὑγιεῖς, τὴν ψυχὴν τῇ εἰς Θεὸν θυμηδίᾳ εὐφραινόμενοι, τὸν νοῦν τῶν γηΐνων μὲν ἀφιστάμενον, καὶ τῶν ἄνω ὀρεγόμενον. Πάσης γαρ ἡδυπαθείας ἀλλότριοι ὄντες, λοιπὸν μισοπαθεῖς καὶ θεοφιλεῖς εὑρίσκονται. Ἡ δὲ εὐχὴ αὐτῶν καθαρὰ πρὸς Κύριον, καὶ σὺν τοῖς ἀγγέλοις γεραίρουσι τὸν Θεόν. Φησὶ δὲ καὶ ἡ Γραφὴ, « Ὀπίσω

HOMILIA VI.

De abstinentia sive temperantia.

Abstinentia sive temperantia universo hominum generi apprime consentanea virtus est : iis tamen proprius congruit, qui Deo magnopere student gratiosi esse et amabiles. Sane abstinentiam dicimus non eam modo qua comite ab esculentis abstinemus, sed et quæ cætera suo ambitu complectitur : hoc est, abstinentiam omnium, quorum usu ipsi interdicimur. Necessum igitur sit, juxta apostolicam doctrinam, ut is qui sedulo curat esse et dici abstinens, ab omnibus sibi temperet et abstineat [38]. Ut enim ab homine quopiam, quomodolibet tandem, rescissa si sunt membra aliquot, per hoc totus hominis habitus decolor demum fit ac deformatur; ita una aliqua virtus, si e membris cæterarum resecta comperietur, decus atque elegantiam abstinentiæ obscurat prorsus et intercipit. Oportet igitur non eas virtutes solum industria qualicunque nostra consequi atque exercere, quæ circa moderationem temperiemque versantur corporis; sed et illæ nobis asciscendæ veniunt, quæ interiores nostri hominis concretas et inolitas fæces vi sua efficaci prævalent expurgare. Temperantiæ siquidem peculiaris functio est, tibi per eam ut temperes et contineas a pecunia ac rationis experte voluptate, nihilque conficias operis quod divinæ adversetur voluntati. Abstinentia frenum est impetum concupiscibilis potentiæ præproperum et alacrem frangens, et quasi obtorto collo præfocans : quo quidem motu invitamur ad exsatiandos nos epulis præter modum, ad congerendas pecunias, ad parandam nominis proprii famam. Neque enim contingit ut quidpiam assequare de genere bonorum, nisi præduce patientia, et ea quæ in genere ambit cæteras atque amplectitur, nempe abstinentia, sive temperantia : « In patientia enim vestra possidebitis animas vestras [39]. » Quisquis igitur legitime et cum laude cupit consequi abstinentiæ virtutem, is continenter oret. « Indesinenter orate, » ait Apostolus [40]. Oratio et abstinentia mentem avocant et emoliuntur ab intemperie mundialium voluptatum, sed et omnem illarum vitiosam operationem a nobis semotius propellunt. **1036** Carnem enim et sanguinem dixit Apostolus carnales affectiones quæ mentem proliciunt et pertrahunt ad earum cogitationes sensusque; et eo dixit : « Quia caro et san-

[35] Psal. CXXXVIII 11. [36] Gen. XIX seqq. [37] Luc. XXI, 34. [38] I Cor. IX, 25. [39] Luc. XXI, 19. [40] I Thess. V, 17.

VARIÆ LECTIONES.

[t] οἶδεν.

guis regnum Dei non possunt possidere [41]. » Caro ejusmodi pabulum dæmonum est : « Dum enim appropiant adversum me nocentes, ut edant carnes meas [42]. » Itaque quisquis macerat carnes, et ad tabem nititur virtute abstinentiæ perducere, utique dæmones fame enecat, et ad procinctum conferendi adversum se reddit multo imbecilliores. Necesse igitur juxta præscriptam sententiam, non ut per unum sensuum abstinens sis, sed per omnes : puta per visum, per auditum, per odoratum, linguam, ventrem et tactum, per incessum indecorum, et cætera id genus omnia. Oportet, inquam, abstinentem, præsentiore esse animo ac sublimiore, quam aliquando manus ut det victas ulli obscenæ voluptati aut concupiscentiæ vitiosæ. Amatores siquidem abstinentiæ propalam conspiciuntur, et corporis tueri incolumitatem, et secundum animam erga Deum non mediocri perfundi gaudio : nimirum cum mens se a terrenis istis et caducis extricaverit, et ad cœlestia expetenda se totam expanderit. Ab omni enim cum se submoverint intemperie voluptatis, deinceps fiunt ejusmodi vitiosarum affectionum osores; Deo proinde accepti deprehenduntur. Oratio item talium, ad Dominum, sincera est, eodemque studio cum angelis Deum præcipuo venerantur honore. Sed et Scriptura ait : « Post concupiscentias tuas ne eas, et ab appetentiis tuis avertere. Ne læteris super multis deliciis, neque te exsaties in omnibus deliciis, neque te effuderis in multa fercula. In multis enim cibis erit morbus; qui autem attendet sibi, adjiciet vitam [43]. » Beatus item David perfectionem indicans abstinentiæ, ait : « Percussus sum ut fenum, et exaruit cor meum, quia oblitus sum comedere panem meum [44]. Et : « A voce gemitus mei adhæsit os meum carni meæ [45]. » Iterum : « Quia cinerem tanquam panem manducabam, et poculum meum cum fletu temperabam [46]. » Paulus item ait : « Mortificate membra vestra quæ sunt super terram [47]. » Rursus : « Expurgemus nos ipsos (charissimi) ab omni inquinamento carnis ac spiritus, perficientes sanctificationem in timore Dei, ut efficiamur templum Dei vivi [48]. » Petrus : « Subministrate in fide vestra virtutem, in virtute autem scientiam, in scientia autem abstinentiam, in abstinentiam autem patientiam [49]. » Juxta igitur mandatum Dominicum necesse sit semper sobrii inveniamur ac pervigiles. Ait enim : « Sint lumbi vestri præcincti, et lucernæ ardentes, et vos similes hominibus exspectantibus Dominum suum quando revertatur a nuptiis, ut cum venerit et pulsaverit, confestim aperiant ei [50]. » Inducit : « Beati servi illi quos, cum venerit Dominus, invenerit vigilantes. Amen dico vobis, quia præcinget se et faciet illos discumbere, et transiens ministrabit illis [51]. » Ipsi gloria in sæcula. Amen.

A τῶν ἐπιθυμιῶν σου μὴ πορεύου, καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου, καὶ μὴ εὐφραίνου ἐπὶ πολλῇ τρυφῇ. Καὶ μὴ ἀπλησταύου ἐν πάσῃ τρυφῇ, καὶ μὴ ἐκχυθῇς ἐπὶ πολλῶν ἐδεσμάτων. Ἐν πολλοῖς γὰρ βρώμασιν ἔσται νόσος. Ὁ δὲ προσέχων [a], προσθήσει ζωήν. » Ὁ δὲ μακάριος Δαυὶδ, δεικνύων τὸ τέλειον τῆς ἐγκρατείας, φησίν · « Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου. » — « Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου. » Καὶ πάλιν, « Ὅτι σποδὸν ὡσεὶ ἄρτον μου ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων. » Ὁ δὲ Παῦλος· « Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς. » Καὶ αὖθις · « Καθαρίσωμεν ἑαυτοὺς, ἀδελφοὶ [v], ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς, καὶ B πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ, ἵνα γενώμεθα ναοὶ Θεοῦ ζῶντος. » Καὶ Πέτρος· « Ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν ἀρετὴν, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν· ἐν δὲ τῇ γνώσει τὴν ἐγκράτειαν ἐν δὲ τῇ ἐγκρατείᾳ, τὴν ὑπομονήν. » Χρὴ οὖν ἀεὶ νήφειν, καὶ ἐγρηγορεῖν, καὶ τὰ ἄνω ζητεῖν, καὶ φρονεῖν, κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου τὴν φάσκουσαν· « Ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι, καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδοκωμένοις τὸν Κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων· ἵνα ἐλθόντος καὶ κρούσαντος εὐθέως ἀνοίξωσιν αὐτῷ. « Καὶ ἐπάγει· « Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ Κύριος, εὑρήσει γρηγοροῦντας. Ἀμὴν λέγω ὑμῖν, ὅτι περιζώσεται, καὶ ἀνακλινεῖ αὐτούς· καὶ παρελθὼν διακονήσει αὐC τοῖς. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

1037 HOMILIA VII.

De Jejunio.

Monachus qui merito jejunii sincerioris magnopere cupit Dei gratiam emereri, sibique conciliare eam familiariter, prorsus is debet primum omnium sibi jejunium asciscere, non qualecunque, sed quod purissimum sit peccati omnis, secumque decreto immobili ceu trabali clavo constituat, nulli, dum in vivis fuerit, servire unquam vitioso affectui, sed et silentii perpetis excolat taciturnita-

ΛΟΓΟΣ Ζ'.

Περὶ νηστείας.

D Μοναχὸς βουλόμενος διὰ καθαρᾶς νηστείας ἑαυτὸν τῷ Θεῷ προσοικειῶσαι, τὴν ὄντως ἀκραιφνεστάτην νηστείαν χρεωστεῖ αἱρεῖσθαι, καὶ μὴ δουλοῦσθαι πάθεσι, καὶ μεγάλην ἡσυχίαν γεωργεῖν διὰ παντός. Καὶ ὁ τοιοῦτος τοῖς ἀγγέλοις συναμιλλᾶται, τοῖς δικαίοις συγχορεύει. Ἐλευθερούμενος γὰρ τῶν γηΐνων, εἰς τὰ οὐράνια ἀδολεσχεῖ. Ἐνταῦθα στυγνάζων, ἐκεῖθεν φαιδρύνεται· ἐνθάδε βιαζόμενος,

[41] I Cor. xv, 50. [42] Psal. xxvi, 2. [43] Eccl. xviii, 30. [44] Eccli. xxxvii, 32, 34. [45] Psal. cx, 5. [46] ibid. 6. [47] ibid. 10; Coloss. iii, 5. [48] II Cor. vii, 1. [49] II Petr. i, 5, 6. [50] Luc. xii, 35, 36. [51] ibid. 37.

VARIÆ LECTIONES.

[a] *Προσέχων.* Dic, ἀπέχων, abstinens. [v] ἀγαπητοί.

ἐκεῖθεν ἀναπαύεται. Ἔοικε γὰρ ὁ νηστευτὴς τῷ τοῦ φοίνικος ἄνθει τῷ λεγομένῳ ἀλατίῳ, ὅτι ἔξωθεν μέν ἐστι στυγνόχροον, ἔσωθεν δὲ χιονῶδες, καὶ πολύκαρπον. Ὡσαύτως δὲ καὶ ὁ νηστευτὴς ἔξωθεν μὲν στυγνάζει, ἔσωθεν δὲ φωτοειδὴς ὑπάρχων, τῷ Θεῷ μετὰ παῤῥησίας διαλέγεται. « Ὅσῳ γάρ, φησὶν, ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ τῇ ἡμέρᾳ. » Νηστεία οὖν ἐστιν οὐ μόνον τὸ βραδυφαγῆσαι, ἀλλὰ καὶ τὸ βραχυφαγῆσαι, καὶ οὐ διὰ δύο ἐσθίειν, [τοῦτο ἄσκησίς ἐστιν,] ἀλλὰ τὸ μὴ πολυφαγῆσαι. Ἄσκησις γάρ ἐστιν ἐν μονοειδεῖ τροφῇ συνεσταλμένη τράπεζα. Νηστεία δέ ἐστιν ἄλογος ἡ τὸν ὡρισμένον μὲν καιρὸν ἀναμένουσα, ἐν δὲ τῇ ὥρᾳ τῆς τροφῆς ἀχαλινώτως πρὸς τὴν τράπεζαν ὁρμῶσα, καὶ μετὰ τῆς σαρκὸς, καὶ τὸν νοῦν πρὸς ἡδονὴν τῶν παρακειμένων δεσμοῦσα. Ἀναγκαῖον δὲ καὶ τοῦτο διατηρεῖν ἐν τῇ ἐγκρατείᾳ τῇ ἐπὶ βρωμάτων, ἵνα μὴ εἰς βδέλυξίν τινος αὐτῷ ἔλθοι τί ποτε. Τοῦτο δὲ καὶ ἐπικατάρατόν ἐστι, καὶ δαιμονιῶδες ὅλως. Οὐ γὰρ ὡς φαύλων ἀπεχόμεθα, μὴ γένοιτο, ἀλλ' ἵνα τῶν ἡδέων τροφῶν ἑαυτοὺς ἀποσπῶντες τὰ φλεγμαίνοντα μέλη τῆς σαρκὸς συμμέτρως κολάζωμεν. Ἵνα μὲν ὑγιαίνῃ, κολάζηται πρεπόντως· ὅταν δὲ ἀσθενῇ, πιαίνοιτο μετρίως. Οὐ γὰρ ἀτονεῖν δεῖ τὸ σῶμα τὸ ἀγωνιζόμενον, ἀλλ' ὅσον ἀρκεῖν πρὸς τὸν ἀγῶνα δύνασθαι. Πρῶτον ὁ νόμος ἐντέλλεται, λέγων· « Ὃς ἂν εὔξηται, ἀπὸ οἴνου καὶ σικέρας ἁγνισθήσεται, καὶ ὅσα κατεργάζεται ἐξ ἀμπέλου, οὐ φάγεται πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ὅτι ἅγιος ἔσται τῷ Κυρίῳ. » Καὶ ὁ Δανιὴλ φησιν· « Ἐγὼ ἤμην πενθῶν τρεῖς ἑβδομάδας ἡμερῶν, ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον, καὶ οἶνος οὐκ εἰσῆλθεν εἰς τὸ στόμα μου, ἄλειμμα οὐκ ἠλείψάμην. » Ὅθεν οὕτως ἑαυτὸν ἐκτήξας τῇ ἀσιτίᾳ, καὶ μηδ' ὅλως γλιχόμενος τῶν ἐδωδίμων [v], ἐγένετο ἀνὴρ ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος, καὶ κατηξιώθη μυστηρίων ἀποῤῥήτων θεατὴς γενέσθαι, καὶ συνόμιλος τῷ ἀρχαγγέλῳ Γαβριήλ. Ὁμοίως καὶ ἡ ἐστιατορία τῶν τριῶν παίδων ἐκ τῶν σπερμάτων τῆς γῆς ἦν, καὶ ἡ αὐτῶν ἐγκράτεια, καὶ ἡ πρὸς Θεὸν ἀγάπη, τὸ πῦρ τῆς καμίνου εἰς δρόσον μετέβαλε. Καὶ ὁ Μωϋσῆς διὰ μ' ἡμερῶν νηστείας τὸν νόμον ἐδέξατο. Ὡσαύτως καὶ Ἠλίας διὰ τοσούτων ἡμερῶν νηστείας αὐτόπτης δόξης Θεοῦ γέγονε. Καὶ Ἄννα τὸν Σαμουὴλ διὰ προσευχῆς καὶ νηστείας ἀπέλαβε. Καὶ ὁ Ἀπόστολος « Ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις » τὸ σῶμα ἐδουλαγώγει. Φησὶν δὲ καὶ ὁ προφήτης Ἰωήλ· « Ἁγιάσατε νηστείαν, κηρύξατε θεραπείαν, κεκράξατε· Οἴμοι, οἴμοι, ὅτι ἐγγὺς ἡ ἡμέρα Κυρίου. » Καὶ μετ' ὀλίγον· « Καὶ νῦν λέγει Κύριος ὁ Θεὸς ἡμῶν, Ἐπιστράφητε πρός με ἐξ ὅλης τῆς καρδίας ὑμῶν ἐν νηστείᾳ, καὶ ἐν κλαυθμῷ, καὶ ἐν κοπετῷ, καὶ διαῤῥήξατε τὰς καρδίας ὑμῶν, καὶ ἐπιστρέψατε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν, ὅτι ἐλεήμων, καὶ οἰκτίρμων

tem, atque jugiter tueatur. Hic tális cum angelis perquam familiariter congreditur, medioque in cœtu justorum spiritualem agit choream : siquidem liber jam strepitus omnis terreni, ad cœlestium rapitur contemplationem : hinc dum se macerat jejunio, mœrenti similis conspicitur primum, at illinc exhilarescit totus consideratione æternorum. Hinc etiam principio vim cogitur inferre pristinæ consuetudini; sed idem animo refovetur, et tranquilla perfruitur quiete. Qui sic jejunat, videri possit assimilis flori ejus palmæ quæ ἀλάτιος [53] dicitur : et, externe quidem, colore interspergitur plane subtristi et inamœno, interne autem niveum candorem præfert, sed et arbor admirabili fructuum ubertate prægnans est. Ad eum se habet modum quisquis sinceriter jejunat : externe subtristis ipso prospectu videtur, interne, divini luminis splendore illustratus, Deo colloquitur multa cum fiducia. « Quanto enim noster hic homo exterior corrumpitur, tanto verius interior renovatur de die in diem [54], » ait Paulus. Jejunium igitur est, non solum si cibum sumpseris solito serius, at, ne si bis quidem comedas (tale enim ad exercitationem pertinet monasticam), sed providendum magis ne utare obsoniis tam vario apparatu concinnatis et instructis. Monachi exercitatio esse debet, ut mensulam suam ad uniformem contrahat cibum. Jejunium porro id dixerim vacare prorsus ratione omni, si quidem ad sumptionem alimoniæ præfiniti temporis opperiris articulum, in ipsa autem hora, cum immoderata atque effreni intemperie te invitas ad mensam, atque adeo cum carne mentem etiamnum ad voluptatem exsatiandam his quæ apponuntur, affligis et alligas. Est et illud opus, ut observes in abstinentia quæ circa cibi sumptionem versatur ut ne quem cibum aliquando abominere, hoc enim exsecrabile cum primis, ac dæmonum malignitati perquam simile : neque enim ab ullo ciborum genere nobis temperamus, quod suapte natura mali sint, absit hoc! magis vero ut nos a pollucibiliore eduliorum voluptate atque illecebra avulsi, membra hæc carnis nostræ quæ facile inflammantur et intumescunt, moderate castigemus [55] : ut si quidem sana sunt, cum decoro et honestate coerceantur; si infirma, moderata indulgentia opimentur et pinguescant. Neque enim usque adeo delassandum corpus est ejus qui in procinctu versatur palæstræ spiritualis; sed quatenus sufficere possit ad legitime sustinendum semel arreptum agonem. Primaria illa lex dixit : « Qui votum voverit, a vino et sicera sanctificabitur, et quæcunque ex vinea conficiuntur, non comedet omnibus diebus voti sui, quia sanctus Domino est [56]. » Daniel insuper : « Ego eram lugens

[53] Non ἀλάτιος, sed ἐλάτη, quæ et σπάθη apud Dioscoridem, c. 52, l. I. [54] II Cor. IV, 16. [55] Audi, Luthere, cum tuis asseclis. [56] Num. VI, 3-5.

VARIÆ LECTIONES.

[v] pro ἀδωδίμων, lego, ἐδωδίμων.

tres hebdomadas dierum, panem desiderabilem non comedi, neque vinum introivit in os meum, sed nec unguento unctus sum [56]. » **1038** Quid ita se vir tantus macerabat jejunio, adeo ut nihil gliscerent ministrari sibi esculentorum? Sane quod esset vir desideriorum quæ spiritum illustrant : hinc dignus habitus cui retrusa mysteria revelarentur, eorumque fieret spectator quæ eatenus nulli dum revelata fuerant, nec indignus qui cum Gabriele archangelo congrederetur familiariter. Nec secus trium puerorum epulares cibi ex semine provenerant terræ illius, et eorumdem abstinentia, sed et charitas erga Deum ardentis camini ignem in roscidum vaporem permutavit [57]. Moyses quoque per dies quadraginta dum jejunat, legem promeruit accipere [58]. Conformiter et Elias totidem dierum jejunio Dominicæ gloriæ spectator effectus est [59]. Anna Samuelem filium impetravit [60], præsidio freta orationis jejunii. Apostolus item : « In laboribus, in vigiliis, in jejuniis [61], » suum subigebat servituti corpus. Sed et propheta Joel : « Sanctificate jejunium, prædicate curam et medelam, et clamate : Hei mihi, hei mihi, quia prope est dies Domini [62]. » Idem post pauca : « Et nunc dicit Dominus Deus noster : Convertimini ad me ex toto corde vestro, in jejunio et fletu et planctu, et scindite corda vestra, et convertimini ad Dominum Deum vestrum, quia misericors et miserator est, longanimis et multæ misericordiæ et pœnitens super malitiis vestris [63]. » David : « Ego autem cum mihi molesti essent, induebar cilicio, et humiliabam in jejunio animam meam [64]. » Et : « Genua mea infirmata sunt a jejunio, et caro mea immutata est propter oleum [65]. » Jejunium porro illud verum est, non modo id, quo tuas ipsius carnes ad tabem et marcorem perducis, sed et si quantum detrahis privæ expensæ per tuam abstinentiam (quod alioqui insumpturus fueras edendo), tantum viduæ impartiaris et pupillo, quo accepto exsatietur, et pro collatore beneficii exoret, perque manus inopis Deo præsentetur accepta ejusmodi victima : quemadmodum et Isaias ait : « Cum jejunas, frange esurienti panem tuum [66]. » Benignissimus Dominus noster, sui nos ut erudiret exemplo operis, primus ipse jejunavit. Sed de eo qui a sævo dæmone misere vexabatur, ait : « Hoc genus in nullo potest exire, nisi in oratione et jejunio [67]. » Inducit : « Cum autem jejunaveris, ne sis sicut hypocritæ [68]. » Et : « Beati qui esuriunt nunc, quia saturabuntur [68a]. » Ipsi gloria in sæcula. Amen.

A

B

HOMILIA VIII.

De philargyria, hoc est, amore pecuniæ.

Pecuniæ amor morbus est mire pervicax, expugnatu difficilis, denique et perniciosus. Impossibile namque, eum qui sit assectator voluptatum simul et congerendæ pecuniæ cupientior, secundum Deum vitam ut instituat suam. Plane si quando hic morbus animam internanciscetur segni torpore lentescentem, et animam diffidentem Deo, **1039** mox illi suggerit commenta quædam excusandi sui consentanea, vel quæ umbram præferant justæ excusationis. Ejusmodi prætextus umbratilis secreta cogitatione monacho se offert, senectutem prolixam esse, præterea infirmam esse valetudinem corporis. Ut mare, quantamlibet in se incurrentium fluminum excipiat multitudinem, nunquam tamen exsatiatur aut impletur, haud secus avari concupiscentia; neque enim quantislibet expletur divitiis. Quisquis igitur vult istius cupiditatis exscindere inexplebilem affectionem, ab radice eam

C

ΛΟΓΟΣ Η'.

Περὶ φιλαργυρίας.

Τὸ τῆς φιλαργυρίας νόσημα, πάνυ δεινὸν καὶ ὀλέθριον ὑπάρχει. Ἀδύνατον οὖν ζῆσαι κατὰ Θεὸν, τὸν φιλήδονον ὄντα καὶ φιλάργυρον. Αὕτη ἡ νόσος ὅταν χλιαρὰν καὶ ἄπιστον εὕρῃ ψυχὴν, εὐλόγους τινὰς αὐτῇ ὑπερβάλλει προφάσεις· ὑπερβάλλει γὰρ κατὰ διάνοιαν τῷ μοναχῷ, γῆρας μακρὸν, καὶ ἀσθένειαν σώματος. Καὶ ὥσπερ ἡ θάλασσα οὐκ ἐμπίπλαται δεχομένη πλῆθος ποταμῶν, οὕτως ἐπιθυμία φιλαργύρου οὐ πληροῦται χρημάτων. Ὁ θέλων γοῦν ἐκκόπτειν τὸ τῆς φιλαργυρίας πάθος τὴν ῥίζαν ἐκκοπτέτω. Μενούσης γὰρ τῆς ῥίζης, καὶ ἐπιτέμνων τοὺς κλάδους, πάλιν ἄλλοι ἀναφύονται. Φιλάργυρος μοναχὸς ἐργάζεται ἐντόνως· ὁ δὲ ἀκτήμων ταῖς προσευχαῖς σχολάζει καὶ ἀναγνώσμασιν. Ὁ φιλάργυρος θησαυρίζει βαλάντιον, ὁ δὲ ἀκτήμων, ἐν οὐρανῷ. Λέγει ἡ Γραφή· « Ἐπικατάρατος ὁ ποιῶν εἴδωλον, καὶ τιθεὶς ἐν ἀποκρύφῳ. » Ὁμοίως καὶ ὁ ἔχων φιλαργυρίας πάθος. Ὁ μὲν γὰρ προσκυνεῖ

[56] Dan. x, 2, 3. [57] Dan. III, 49. [58] Exod. XXIV. [59] II Reg. XIX. [60] I Reg. I, 20. [61] II Cor. VI, 5. [62] Joel I, 14, 15. [63] Joel II, 12, 13. [64] Psal. XXXIV, 13. [65] Psal. CVIII 24. [66] Isa. LVIII, 7. [67] Matth. XVII, 21. [68] Matth. VI, 16. [68a] Matth. V, 6.

κιδδήλῳ καὶ ἀνωφελεῖ· ὁ δὲ ἀγαλματοφορεῖ φαντασίαν πλούτου. Καὶ ὥσπερ γίνεται τοῖς κοιλιοδούλοις Θεὸς ἡ κοιλία, τούτῳ ὁ χρυσὸς ὁμοίως. Οὗτος ὁ δαίμων σὴς ἐν τοῖς ὀστέοις τοῦ ἀνθρώπου γίνεται, κατεσθίων αὐτὸν διὰ τῆς μερίμνης, καὶ τῆς ἀγρυπνίας. Καὶ γὰρ τῇ θείᾳ Γραφῇ εἰκότως ἀπηγόρευται τοῦτο τὸ πάθος, ὡς εἴρηται, Οἱ ἄπιστοι καὶ ἀνέλπιστοι νοσοῦσιν· μᾶλλον δὲ οἱ φιλήδονοι καὶ εἰδωλολάτραι· ὅτι γὰρ τὴν εἰς Θεὸν ἐλπίδα οὐκ ἔχουσιν, ἀλλ' εἰς ζώδια βασιλικά, οἵτινες τῆς εὐθείας ὁδοῦ ἐκτραπέντες, εἰς κρημνοὺς καὶ βάραθρα ἀπωλείας φέρονται, ὥσπερ φησὶν ἡ Γραφή, « Ὁ ἀγαπῶν χρυσίον οὐ δικαιωθήσεται. » Καὶ αὖθις· « Φιλαργύρου οὐδὲν ἀνομώτερον· οὕτω γὰρ τὴν ἑαυτοῦ ψυχὴν ἔκπρακτον ποιεῖ. Καί· « Πολλοὶ ἐφθάρθησαν εἰς πτώματα χρυσίου, » ὡς καὶ ὁ Ἰούδας διὰ τῆς φιλαργυρίας, οὐ μόνον τοῦ χοροῦ τῶν ἀποστόλων ἐξώκειλεν, ἀλλὰ καὶ προδότης γέγονεν τοῦ Δεσπότου, καὶ δι' ἀγχόνης ἐαπώλετο. Καὶ γὰρ ἀληθῶς, καὶ βδελυρία λέπρας ἐστὶν ἡ φιλαργυρία, ὡς ἀποδέδεικται διὰ τοῦ Γιεζῆ· οὐκ ἔμμονος μέντοι τῷ θέλοντι· οὐ γὰρ φυσικὴ ἐστιν αὕτη, ἀλλὰ προαιρετικὴ, καὶ δύναται ταχέως καθαρισθῆναι ὁ τοιοῦτος, κράζων τῷ Ἰησοῦ· « Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι· » καὶ τῷ μὴ βουλομένῳ ξύλον προσκόμματός ἐστιν τοῖς θυσιάζουσιν, αὐτή· « Μακάριος οὖν ἄνθρωπος, ὃς εὑρέθη ἄμωμος, καὶ ὀπίσω χρυσίου οὐκ ἐπορεύθη, » κατὰ τὴν Γραφήν. Ὁ γὰρ Ἰάκωβος ἀπειλῶν τοῖς φιλαργύροις, φησίν· « Ὁ χρυσὸς ὑμῶν, καὶ ὁ ἄργυρος κατίωται, καὶ ἰὸς αὐτῶν εἰς μαρτυρίαν ὑμῖν ἔσται, καὶ φάγεται τὰς σάρκας ὑμῶν ὡς πῦρ. » Καὶ πάλιν· « Ἄγε νῦν, οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῶν ταῖς ἐπερχομέναις. » Παραπλήσια δὲ τούτοις Ἀββακοὺμ ὁ προφήτης ὀνειδίζων τοῖς φιλαργύροις φησίν· « Οὐαὶ ὁ πληθύνων ἑαυτῷ τὰ οὐκ ὄντα αὐτοῦ. » Καλῶς γὰρ εἶπεν « τὰ οὐκ ὄντα αὐτοῦ· » καὶ γὰρ τοῖς πᾶσιν ὁ πλοῦτος. Καὶ ὁ Δαυὶδ τούτοις συνηγορῶν ἔλεγεν· « Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτοῦ, καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ. » Ὁ δὲ Ἰώβ· « Ἐὰν συναγάγῃ ἁμαρτωλὸς ὥσπερ γῆν ἀργύριον, ἴσα δὲ πηλοῦ χρυσίον, ταῦτα πάντα δίκαιοι περιποιήσονται. » Καὶ θαῤῥῶν εἰς τὸν ἑαυτοῦ ἀμώμητον βίον, ἔλεγεν· « Εἰ ἔταξα χρυσίον ἰσχύν μου· εἰ δὲ κατηυφράνθην πολλοῦ πλούτου μὴ γενομένου. Κρεῖσσον οὖν ὀλίγον τῷ δικαίῳ, ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν. » Μαρτυρεῖ δὲ καὶ ὁ Παῦλος, ὅτι ῥίζα πάντων τῶν κακῶν ἐστὶν ἡ φιλαργυρία. Ἔστιν γὰρ καὶ ἀσυμπαθὴς, καὶ ἀνελεήμων ὁ φιλάργυρος. Ὁ δὲ Σωτὴρ ἡμῶν καὶ Κύριος, εἰδὼς τὸ πάθος τῆς φιλαργυρίας, ψυχῆς ὄλεθρον ὄντα, τὴν προσήκουσαν θεραπείαν προσφέρει, λέγων· « Μὴ κτήσησθε χρυσὸν, ἢ ἄργυρον, μηδὲ χαλκὸν, εἰς τὰς ζώνας ὑμῶν. » Καὶ ἐπάγει· « Ἀμὴν λέγω ὑμῖν, ὅτι πλούσιος δυσκόλως εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, » ὡς τῆς

conscindat ac revellat. Dum enim manet radix, casso labore resecas ramos : alicunde enim rursus alii emergent ac renascentur. Monachus inhians cumulandæ pecuniæ, enixissime intendit operi ; qui autem nullum quærit possidere peculium, nunc orationi strenuam commodat operam, nunc in lectione est totus : monachus pecuniæ studiosus thesaurum corradit et indit marsupio ; qui sine peculio est, thesaurum colligit sibi et condit cœlo. Dicit certe Scriptura : « Maledictus qui facit idolum, et ponit in occulto [69] » : haud secus facit qui vitioso affectu laborat avaritiæ. Ille quidem procidit idolo rubigine pallenti ac prorsum inutili, hic autem secum circumfert imaginem prorsus inanem, nempe divitiarum ambitiosam cogitationem. Atque ut venter suis ventricolis evadit in deum, ita isti aurum pro deo habetur. Dæmon hic tinea quædam efficitur in ossibus avari per anxiam et irrequietam sollicitudinem et pervigilium, ipsum arrodens ac depascens. Jure optimo in sacris Litteris pestilenti hac passione interdicimur, ceu dictum nobis est, qua noscuntur laborare graviter a fide speque obtinendæ salutis alieni [70] : in primis tamen voluptati ac idololatriæ obnoxii ; neque enim superest illis quidquam spei erga Deum, sed in animalcula regia : qui cum a recto calle deflexerint, in præcipitia erroris atque perditionis barathrum prono illapsu feruntur ; vel teste Scriptura : « Qui diligit aurum, non justificabitur [71]. » Rursus : « Avaro nihil iniquius : hic enim etiam animam suam venalem [72] habet [73]. » Et : « Multi dati sunt in ruinam propter aurum [74], » ut et Judas : is enim per avaritiam non apostolorum modo excidit cœtu, sed et proditor factus est Domini, ac demum gulam sibi præfocavit laqueo, juste quidem. Scelus plane est et abominatio. Lepra, inquam, est aviditas pecuniæ, ut et luculenter per Giezi demonstratum est : non quod volenti neutiquam auferri possit, naturalis cum non sit, sed cum electione liberæ voluntatis illam quis inciderit, ab ea utique mundari possit : nec difficile, siquidem clamavit ad Dominum Jesum : « Domine, si vis, potes me mundare [75] : » nolenti vero, fustis est et trabes offensionis, iis qui hostias offerunt Domino. Sed et quisquis insipiens est, capietur auri cupiditate. « Beatus itaque vir qui inventus est sine macula, qui post aurum non abiit [76], » juxta Scripturam. Ait hic enim Jacobus interminatus istis pecuniæ helluonibus : « Aurum vestrum **1040** et argentum vestrum æruginavit, et ærugo eorum in testimonium erit, et manducabit carnes vestras sicut ignis [77]. » Item : « Agite nunc, divites, plorate ululantes in miseriis quæ advenient vobis [78]. » His perquam similia propheta Habacuc dicit, avaris istis opprobrans : « Væ ei qui multiplicat sibi quæ sua non sunt [79] : » qui per avaritiam malam

[69] Deut. XXVII, 15. [70] I Tim. VI 17. [71] Eccli. XXXI, 6. [72] εὐπρόσδεκτον, *acceptabilem*, legendum puto venalem, εὐπραστικόν. [73] Eccli. X, 9. [74] Eccli. XXXI, 9. [75] Matth. VIII, 2. [76] Eccli. XXXI, 8. [77] Jac. V, 3. [78] ibid. 1. [79] Habac. II, 6.

extorta congerit domui suæ. Sane quam eleganter dixit, « quæ sua non sunt : » etenim iis qui tales sunt, omnibus suppetunt divitiæ, ut et David suomet astruit patrocinio : « Ecce homo qui non posuit Deum adjutorem suum, sed speravit in multitudine divitiarum suarum, et prævaluit in vanitate sua [80]. » Job quoque : « Si congregaverit peccator quasi terram, argentum, et quasi lutum, aurum, hæc omnia justi acquirent [81]. » Is de inculpatæ vitæ munditia spem sumens, dicebat : « Si constitui aurum fortitudinem meam, si lætatus sum pro eo quod multæ adessent divitiæ [82]. » — « Melius igitur modicum justo, super divitias peccatorum multas [83]. » Sed et Paulus contestatur, malorum omnium radicem esse pecuniæ concupiscentiam. Est enim, qui cupiditate ejusmodi laborat, nihil indolescens alienæ calamitati, et prorsus immisericors. Dominus ipse, nostræque pararius salutis, cum probe nosset affectionem hanc avaritiæ præsentaneam esse animæ perniciem, congruam medelam affert, dicens : « Nolite possidere aurum, neque argentum, neque æs in zonis vestris [84] : » eoque inducit : « Amen dico vobis, quia dives difficile intrabit in regnum cœlorum [85], » cum interim nullius terrenæ rei possessio, facile ac liberis alis in cœlum transvolat et attollitur. Ipsi gloria in sæcula. Amen.

A ἀκτημοσύνης εὐτελοῦς οὔσης, καὶ εὐχερῶς εἰς οὐρανὸν ἀνιπταμένης. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

HOMILIA IX.

De vitanda munerum acceptione.

Quisquis captat munera, aut plus quam par sit quærit possidere, item pecuniæ avidus et feneratator; quatuor hi unum eumdemque trahunt currum, sed eo præduce qui superbiæ auriga est et princeps. Atqui hic Domini imperio dejectus est; eos attamen hic impurus inquietat, qui ipsum ad animæ usque depulsionem sequuntur. Non igitur æquum fuerit, ut qui sanæ sunt mentis, tam cruenti hostis frena patiantur, ne illius aurigatione cum suo auriga in puteum abripiantur supplicii : quin potius præitore Apostolo, recta contendant ad vitam. « Habentes, inquit, victum, et quibus tegamur, his contenti erimus, qui enim volunt divites fieri, incidunt in tentationem et laqueum diaboli [86]. » Profecto qui Apostoli mandatum reveretur, imo verius, Domini dicentis : « Nolite possidere aurum aut argentum [87], **1041** et ne solliciti sitis quid manducetis aut bibatis [88] : » is aurigam superbiæ exturbat curru, atque suis proterit pedibus. Pulchre igitur Parœmiastes, per admonitionem, munera captantibus dicit : « Ne opprimas pauperem aut vim illi feceris : pauper enim est [89]. » Item : « Qui diligit pecuniam, non implebitur pecunia [90]. » Propterea pauper facile novit ingredi in conspectu Domini. Et : « Ne sit manus tua extenta ad accipiendum, et ad reddendum contracta [91]. » Hoc ipsum et Paulus : « Beatius est dare quam accipere [92]. » Lex item : « Non justificabis impium pro muneribus [93]. » Et : « Non accipies munera; munera enim excæcant oculos videntium [94]. » Samuel : « Num de manu cujuspiam accepi munus aut calceamentum [95]? » Ecce testis Dominus. Propheta Amos adversus populum indignabundus dicebat : « Dona electa accepistis a pauperibus [96]. « Huic per omnia consentaneus Isaias, ait : « Principes tui diligunt munera, sequuntur retributiones [97]. » Tales qui sunt miseros

B

ΛΟΓΟΣ Θ'.

Περὶ δωροληψίας.

Ὁ δωρολήπτης, καὶ ὁ πλεονέκτης, καὶ ὁ φιλάργυρος, καὶ ὁ τοκιστὴς, ἓν ἅρμα ἐστὶν τέτρωρον, ἔχοντες τὸν τῆς ἀλαζονείας ἡνίοχον καὶ ἀρχηγόν· ὃστις ὑπὸ τοῦ Κυρίου καταβέβληται μὲν, συνελαύνει δὲ πάντας τοὺς ἑπομένους αὐτῷ εἰς τὴν ἑαυτοῦ ἀπώλειαν. Οὐ θεμιτὸν οὖν τοῖς εὖ φρονοῦσι ὑπὸ τοῦ δυσμενοῦς ἡνιοχεῖσθαι, ἵνα μὴ σὺν αὐτῷ εἰς βόθρον κολάσεως κατασυρῶσιν, ἀλλὰ μᾶλλον ὑπὸ τοῦ Ἀποστόλου εἰς ζωὴν ὁδηγεῖσθαι, τοῦ λέγοντος· « Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. Οἱ γὰρ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα τοῦ διαβόλου. » Ὁ οὖν δι' C ὼς τὴν ἐντολὴν τοῦ Ἀποστόλου, μᾶλλον δὲ σὺ τοῦ τοῦ Κυρίου, λέγοντος· « Μὴ κτήσησθε χρυσὸν καὶ ἄργυρον. » — « Μηδὲ μεριμνᾶτε τί φάγητε, ἢ τί πίητε· » τὸν τοιοῦτον ἡνίοχον καταβάλλει, καὶ ὑπὸ τοὺς ἑαυτοῦ πόδας συντρίβει. Καλῶς οὖν ὁ Παροιμιαστὴς παραινεῖ τοῖς δωροληπταις, λέγων· « Μὴ ἐκθιάζου πένητα· πτωχὸς γάρ ἐστιν. » Καὶ πάλιν· « Ὁ ἀγαπῶν ἀργύριον, οὐκ ἐμπλησθήσεται ἀργυρίου. » Διότι ὁ πένης οἶδεν πορευθῆναι κατέναντι τῆς ζωῆς. Καὶ τό· « Μὴ ἔστω ἡ χείρ σου ἐκτεταμένη εἰς τὸ λαβεῖν, καὶ ἐν τῷ διδόναι συνεσταλμένη. » Τὸ αὐτὸ δὲ καὶ ὁ Παῦλος· « Μακάριόν ἐστι μᾶλλον διδόναι, ἢ λαμβάνειν. » Ὁ δὲ νόμος φησίν· « Οὐ δικαιώσεις τὸν ἀσεβῆ ἕνεκεν δώρων. » Καὶ, « Δῶρα οὐ λήψει· τὰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς βλεπόντων. » Καὶ ὁ Σαμουὴλ, D τὴν ἐντολὴν κατέχων τοῦ νόμου, ἔλεγεν τῷ λαῷ· « Μή ἐκ χειρός τινος εἴληφα ἐξίλασμα, ἢ ὑπόδημα; » Ἰδοὺ μάρτυς Κύριος. Ὁ δὲ προφήτης Ἀμὼς, ἀχθόμενος κατὰ τοῦ λαοῦ, ἔλεγεν· « Δῶρα ἐκλεκτὰ ἐδέξασθε παρὰ πτωχῶν. » Καὶ ὁ Ἡσαΐας συνηγορῶν, φησίν· « Οἱ ἄρχοντες οἱ ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα. » Καὶ ταλανίζων αὐτοὺς, ἐπάγει· « Οὐαὶ, οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων, οἱ τὸ δίκαιον τοῦ δικαίου αἴροντες. » Καὶ ἄλλος· « Ξένια καὶ δῶρα ἀποτυφλοῖ ὀφθαλμοὺς σοφῶν. » Καὶ

[80] Psal. LI, 9. [81] Job XXVII, 16, 17. [82] Job XXXI, 24. [83] Psal. XXXVI, 16. [84] Matth. X, 9. [85] Matth. XIX, 23. [86] I Tim. VI, 8. [87] Matth. X, 9. [88] Matth. VI, 25. [89] Eccli. IV, 35. [90] Eccli. XXXI, 5. [91] Eccli. IV, 36. [92] Act. XX, 35. [93] Eccli. XXXI, 15. [94] Exod. XXIII, 8. [95] I Reg. XII, 3. [96] Amos V, 12. [97] Isa. I, 23.

πάλιν· « Ἐξόλλυσιν ἑαυτὸν ὁ δωρολήπτης. Ὁ δὲ μισῶν δωροληψίας, ζήσεται. » Καὶ αὖθις· « Λαμβάνων δῶρα ἐν κόλποις ἀδίκως, οὐ κατευοδοῦται ἐν ὁδοῖς. » — « Αἱρετώτερον οὖν ὄνομα καλὸν ἢ πλοῦτος. » Ὁ δὲ Δαυὶδ τὸν Θεὸν ἐξαιτούμενος ἔλεγεν· « Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου· ὧν ἐν χερσὶν αἱ ἀνομίαι, ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων· » ἀσεβεῖς καὶ ἀνόμους ἄνδρας αἱμάτων ἀποκαλῶν τοὺς δωρολήπτας. Καὶ αὖθις· « Ἄφρων, καὶ ἄνους, ἀπολοῦνται, καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν. » Ἴσον τῷ εἰπεῖν· « Ἄφρων, ταύτῃ τῇ νυκτὶ ἀπαιτοῦσιν ἀπὸ σοῦ τὴν ψυχήν σου· ἃ δὲ ἡτοίμασας τίνος ἔσται; » ἄφρονας καλῶν τοὺς ἐν πλούτῳ πεποιθότας, διὰ τὸ ἄδηλον τοῦ ἐν σαρκὶ βίου. Καὶ πάλιν· « Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν. » Ὁ δὲ Ἰὼβ δεικνύων τὸ καθαρὸν αὐτοῦ, λέγει· « Εἰ δὲ καὶ ταῖς χερσί μου ἡψάμην δώρων. » Καὶ ὁ Κύριος καὶ Σωτὴρ ἡμῶν ἐντέλλεται, λέγων· « Ὁρᾶτε, καὶ φυλάσσεσθε ἀπὸ πάσης πλεονεξίας, » ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτῷ. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

esse confirmans inducit : « Væ qui justificatis impium pro muneribus, qui aufertis a justo quod justum est, et capitis xenia [98] ! » Et : « Dona excæcant oculos sapientium [99]. » Iterum : « Perdit seipsum, qui accipit munera, qui autem odio habet acceptiones munerum, vivet [1]. » Rursum : « Accipiens munera in sinibus injuste, non prosperatur in viis suis [2]. » — « Melius itaque nomen bonum, quam divitiæ [3]. » David proinde precatus Dominum, ut huic eximeretur noxæ, dicebat : « Ne simul perdas cum impiis animam meam, et cum viris sanguinum vitam meam, in quorum manibus iniquitates sunt : dextera eorum repleta est muneribus [4]. » Impios, exleges sive iniquos, atque viros sanguinum dum nominatim perstringit, insinuat captatores munerum. Item : « Insipiens et stultus peribunt, et relinquent alienis divitias suas [5]. » Ac si diceret illud : « Stulte, nocte hac repetent a te animam tuam [6] : » quæ autem « apparasti tibi, cujus erunt [7] ? » Stultos plane eos nominat, qui scopum suæ spei divitiis affigunt : eoque stulti, cum incompertus sit nec certo deprehendi queat istius vitæ exitus. Rursus : « Inclina cor meum in testimonia tua et non in avaritiam [8]. » Job quoque, purum declarans se noxæ hujus : « Si manibus meis vel attigi dona [9]. » Sed et Dominus, nostræ vindex salutis : « Videte, ait, et cavete ab omni avaritia [10] ; » quia non ex eo quo quis abundat, vita ejus est. Ipsi gloria in sæcula sæculorum. Amen.

ΛΟΓΟΣ Ι'.

Περὶ σκνιφότητος.

Ἡ σκνιφότης ἀπὸ μικροψυχίας ἀναβλαστάνει, μᾶλλον δὲ ἀπιστίας καὶ ἀνελπιστίας. Εἰ γὰρ περὶ τὰ ὁρώμενα, ἃ παρέχει ἡμῖν ἀγαθὰ καθ' ἑκάστην πλουσίως ἡ αὐτοῦ ἀγαθότης, οὐκ ἐμπιστεύομεν αὐτῷ, ἀλλὰ διστάζομεν· πῶς περὶ τῶν μὴ ὁρωμένων καὶ αἰωνίων, καὶ παραμόνων ἀγαθῶν, ἃ αὐτὸς ὑπέσχετο ἡμῖν παρασχεῖν, πιστεύσωμεν αὐτῷ, « Ἃ οὔτε ὀφθαλμὸς εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ; » Εἰκότως οὖν ἐγκαλούμεθα παρὰ τῆς θείας Γραφῆς, ὅτι « Ἄνδρα ὀλιγόψυχον τίς ὑποίσει ; » Ἐμπιστεύσωμεν οὖν τῷ Θεῷ τὴν χρείαν τοῦ σώματος, καὶ δῆλοί ἐσμεν, καὶ τὴν τοῦ πνεύματος πιστεύοντες αὐτῷ. Οὐκοῦν αὐτῷ ἀποδώσομεν περὶ πάντων, ὅτι αὐτῷ μέλει ὑπὲρ ἡμῶν· καὶ οἶδεν ὧν χρείαν ἔχομεν πρὸ τοῦ αἰτῆσαι αὐτόν. Ὁ γὰρ Θεὸς τῶν ἁπλωμένων, ἁπλότης ἐστίν· καθὼς καὶ ἡ Σοφία φησίν· « Ὃς πορεύεται ἁπλῶς, πορεύεται πεποιθώς. » Καὶ πάλιν· « Τοῦ πιστοῦ ὅλος ὁ κόσμος τῶν χρημάτων, τῷ δὲ ἀπίστῳ οὐδὲ ὀβολός. » Καί· « Εὐλογία Κυρίου ἐπὶ κεφαλὴν δικαίου. » Καί, « Ψυχὴ εὐλογημένη πᾶσα ἁπλῆ· καὶ ὁ σπείρων δικαιοσύνην, λήψεται μισθὸν πιστοῦ. Οὐ γὰρ λιμοκτονήσει Κύριος ψυχὴν δικαίου. Ὁ δὲ πεποιθὼς ἐπὶ πλούτῳ αὐτοῦ, οὗτος πεσεῖται. » Καί, « Ὑπαρξις ἐπισπουδαζομένη μετὰ ἀνομίας, ἐλάσσων γίνεται· ὁ δὲ συνάγων ἑαυτῷ μετὰ εὐσεβείας, πληθυνθήσεται. »

HOMILIA X.

De sordida et illiberali parcitate.

Parcitas, aut si mavis, tenacitas, ab radice progerminat pusillanimitatis ; verius autem proficiscitur ab infidelitate et desperatione. Etenim si circa hæc visibilia quæ in dies singulos abunde et opulenter nobis suggerit Domini benignitas, **1042** haudquaquam fidem habemus, sed varie diducitur animus et vacillat dubius ; qui fiet ut fide nihil hæsitante credamus ipsius verbis de his quæ minime oculis subjacent, sed æterna sunt, nec ullo unquam intercipienda fine, cum aliequi se ea nobis certo daturum pollicitus sit, bona sane, « Quæ nec oculus vidit, nec auris audivit, nec in cor hominis ascenderunt [11] ? » Non igitur abs re divina nos coarguit Scriptura : « Virum pusillanimem quis sustinebit [12] ? » Itaque istius corporis necessitatem fide non dubia Deo permittamus cui manifesti sumus fidem habentes Spiritui sancto. Sane rerum omnium curam in eum transcribamus, illi uni assignemus ; quia ipsi cura erit de nobis. Novit ipse quorum tangamur necessitate, priusquam postulemus eum. Simpliciter gradientium divitiæ, Deus est, quemadmodum astruit Sapientia : « Qui ambulat simpliciter, ambulat confidenter [13]. » Rursus : « Fidelis viri est totus mundus divitiarum, infidelis autem ne obolum quidem habet [14]. » Et : « Benedictio Domini super

[98] Isa. v, 23. [99] Eccli. xx, 31. [1] Prov. xv, 27. [2] Prov. xvii, 23. [3] Prov. xxii, 1. [4] Psal. xxv, 9, 10. [5] Psal. xlviii, 11. [6] Luc. vii, 20. [7] ibid. [8] Psal. cxviii, 36. [9] Job xxxvi, 18. [10] Luc. xii, 15. [11] I Cor. ii, 9. [12] Prov. xviii, 14, in editione lxx ; in Vulgata vero, *spiritum ad irascendum facilem*, etc. [13] Prov. x, 9. [14] Prov. xxviii, 20

caput justi [15]. » Et : « Benedicta anima simplex omnis est ; qui seminat justitiam, mercedem recipiet fidelium [16] : non enim enecabit fame Dominus animam justi : qui autem confidit in divitiis suis, corruet [17]. » Et : « Substantia præpropero ac festinatiore studio quæsita per iniquitatem minuetur ; qui autem coacervat sibi cum pietate, multiplicabitur [18]. » Dicit autem Moses : « Si fuerit inter te indigens quispiam ex fratribus tuis, non contrahes manum tuam ab eo ; sed mutuo dabis quantocunque eguerit [19]. » Psaltes item regius : « Ecce oculi Domini super metuentes eum, ut eruat a morte animas eorum et alat eos in fame [20] ; » Divites enim pauperes facti sunt et esurierunt : « inquirentes autem Dominum non deficient omni bono [21], » Et : « Non vidi justum derelictum, neque semen ejus quærens panes [22]. » After item : « Qui miseretur pauperum beatissimus [23]. » Et : « Animæ suæ benefacit vir misericors [24]. » Concinit his Apostolus : « Qui parce seminat, parce et metit : unusquisque prout destinavit in corde suo, non tamen ex tristitia aut ex necessitate : hilarem enim datorem diligit Deus [25]. » Sed et animarum et bonorum omnium amantissimus Dominus : « Respicite volatilia cœli, qui non seminant neque metunt, neque congregant in horrea, et Pater vester cœlestis pascit ea [26]. » Inducit : « Nolite ergo solliciti esse, dicentes : Quid manducabimus aut quo operiemur? scit enim Pater vester cœlestis, quia his omnibus indigetis : quærite autem primum regnum Dei et justitiam ejus, et hæc omnia adjicientur vobis [27]. » Ipsi gloria in sæcula sæculorum. Amen.

A

B

C

HOMILIA XI.

1043 *Fratrum necessitati occurrendum, mutuo vel commodato.*

Mutuo aut commodato quid utendum dare fratribus, maxime qui germanitate fidei tibi junguntur, suntque exspectatione futuræ hæreditatis compares, magnopere conducit, juxta præscriptum legis quæ ait : « Fratri tuo dabis mutuum [28] ; » ei nimirum qui sub lege tecum militat : alienigenæ autem non commodabis ; hoc est, exlegi, quique a' legis jugo extorris vivit. Et hæc quidem lex ipsa suo astruit patrocinio. Sed et Parœmiastes : « Qui facit misericordiam, feneratur proximo suo [29]. » Et : « Qui prævalet manu sua servat mandata [30]. » Rursus : « Fenerare proximo tuo in tempore necessitatis suæ, et ne abstineas benefacere indigenti ; cum ad manum habeas et possis auxiliari, ne dicas, Revertens redi, et cras dabo [31]. » Peræque his confinia dicit regius Psaltes : « Jucundus vir qui miseretur et commodat [32]. » Rursum : « Tota die miseretur et commodat justus, et semen ejus in benedictione erit [33]. » Item : « Mutuabitur peccator et non solvet, justus autem miseretur et tribuit [34]. » Quem sibi præscribat scopum nomine fenoris Scriptura, nosse convenit : δανείσαι enim fenerari, pro be-

D

ΛΟΓΟΣ ΙΑ'.

Περὶ δανειζόντων.

Τὸ δανεῖσαι, ἐποφειλόμενόν ἐστι, μάλιστα ταῖς ὁμοπίστοις καὶ συγκληρονόμοις ἀδελφοῖς, καθὼς καὶ ὁ νόμος διαγορεύει· φησὶν γάρ· « Τῷ ἀδελφῷ σου δανιεῖς. » Τοῦτ' ἔστιν τῷ ὑπὸ νόμον· ἀλλοτρίῳ δὲ οὐκ ἐκδανιεῖς, τοῦτ' ἔστιν τῷ ἀνόμῳ. Ταῦτα μὲν ὁ νόμος. Συνηγορεῖ δὲ καὶ ὁ Παροιμιαστής, λέγων· « Ὁ ποιῶν ἔλεος, δανιεῖ τῷ πλησίῳ αὐτοῦ. » Καὶ, « Ὁ ἐπισχύων τῇ χειρὶ αὐτοῦ τηρεῖ ἐντολάς. » Καὶ πάλιν· « Δάνεισον τῷ πλησίῳ ἐν καιρῷ χρείας αὐτοῦ, καὶ μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεεῖ· ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν, μὴ εἴπῃς, Ἐπανελθὼν ἐπανήκου, καὶ αὔριον δώσω. » Τούτοις παραπλήσιον καὶ ὁ Ψαλμῳδὸς παραινεῖ, λέγων· « Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν. » Καὶ πάλιν· « Ὅλην τὴν ἡμέραν ἐλεεῖ, καὶ δανείζει ὁ δίκαιος, καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται. » Καὶ πάλιν· « Δανείζεται ὁ ἁμαρτωλὸς, καὶ οὐκ ἀποτίσει· ὁ δὲ δίκαιος, οἰκτείρει καὶ δίδωσιν. » Χρὴ δὲ εἰδέναι τὸν σκοπὸν τῆς θείας Γραφῆς, ὅτι τὸ δανεῖσαι, ἀντὶ τοῦ, ἐλεῆσαι τὸν πλησίον, προστέτακται· καθὼς γέγραπται, « Χάριν ἐντολῆς ἀντιλαβοῦ πένητος· ἀπόλεσον ἀργύριον διὰ ἀδελφόν. » Καὶ πάλιν· « Ὡς ὡραῖος ἔλεος ἐν καιρῷ θλίψεως! »

[15] Prov. xi, 26. [16] Prov. x, 18. [17] ibid. 28. [18] Prov. xiii. 11. [19] Deut. xv, 7. [20] Psal. xxxii, 18, 19. [21] Psal. xxxiii, 11. [22] Psal, xxxvi, 25. [23] Prov. xiv, 21. [24] Prov. xi, 17. [25] II Cor. ix, 6, 7. [26] Matth. vi, 26. [27] ibid. 31-33. [28] Deut. xv, 8. [29] Eccl. 29, 1. [30] ibid. [31] Prov. iii, 26, 27. [32] Psal. cxi, 5. [33] Psal. xxxvi, 26. [34] ibid. 21.

Συνεπισχύσεις τὸν σύσσωμόν σου, ἕξεις αὐτὸν προσάγοντα ἐν τῇ ἀναστάσει, τῆς συμπαθείας μάρτυρα, καὶ μὴ στενάζοντα κατὰ σοῦ. Οὐκ ἀλυσιτελὲς γὰρ τοῦτο. Μὴ οὖν διὰ χρυσὸν καὶ ἄργυρον, καὶ ἀρώματα, γενώμεθα ἀπάνθρωποι. ὧν ὁ ἰὸς, καὶ ὁ σὴς, εἰς μαρτύριον ὑμῖν ἔσται. Ἀκούοντες τοῦ Παύλου λέγοντος· « Ὁ μεταδιδοὺς ἐν ἁπλότητι, ὁ ἐλεῶν ἐν ἱλαρότητι. » Καί· « Ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες. » Καὶ ἑτέρωθι· « Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι, εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. » Φησὶ δὲ καὶ ὁ προφήτης Ζαχαρίας, « Κρῖμα δίκαιον κρίνατε, καὶ ἔλεος καὶ οἰκτιρμὸν ποιήσατε, ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. » Ὁ δὲ Ἰωάννης, « Ὅς ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου, καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ, χρείαν ἔχοντα, καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ Θεοῦ μένει ἐν αὐτῷ; » Τούτοις ἀκόλουθα ὁ τῆς σωτηρίας ἡμῶν προνοητὴς Κύριος παρακελεύεται, λέγων· « Παντὶ τῷ αἰτοῦντί σε, δίδου, καὶ τὸν θέλοντα δανείσασθαι ἀπὸ σοῦ, μὴ ἀποστραφῇς. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A nigne et misericorditer accipere proximum, ut plurimum ascribitur; quemadmodum illud ascriptum est: « Propter mandatum succurre pauperi, perde argentum propter fratrem [35] « Iterum: « Quam speciosa misericordia in tempore tribulationis [36]. » Confortabis tibi concorporem atque consortem: sed et hunc habiturus es in die resurrectionis pararium et conciliatorem. Vicem enim suam testabitur clementer indoluisse te, nec commisisse, ut adversum te ingemisceret: sane non mediocre emolumentum afferet tibi hoc. Ne igitur tam illiberales simus et inhumani ob aurum et qualiacunque esculenta, quorum rubigo et tinea in testimonium adversum nos futura alioqui sint. Quin Paulinæ magis sententiæ geramus morem: « Qui tribuit in simplicitate, qui miseretur in hilaritate [37]. » Et: « Necessitatibus sanctorum communicantes [38]. » Alibi item: « Discant autem et nostri bonis operibus præesse ad usus necessarios, ut non sint infructuosi [39]. » Zacharias insuper propheta: « Justum judicate [40]. » Et: « Misericordiam et miserationem facite unusquisque cum proximo suo [41]. » Et Joannes: « Qui habuerit substantiam mundi hujus, et viderit fratrem suum necessitatem habere, et clauserit viscera sua: quomodo charitas Dei manet in eo [42]? » His consentiunt et astipulantur, quæ nostræ omnium provisor salutis Dominus ut faciamus admonet: « Omni petenti te tribue: et volentem petere mutuum abs te, ne averseris [43]. » Ipsi gloria in sæcula. Amen.

B

ΛΟΓΟΣ ΙΒ'.

Περὶ τόκων.

Οἱ τοῦ κόσμου τούτου ἄνθρωποι, οὐκ ἂν τοῦ δικάζεσθαι παύσωνται, εἰ μὴ μετὰ προσθήκης, τὰ τῶν ἐναγώγων ἀπολάβωσιν πράγματα, ὅταν μάλιστα πρὸ τοῦ χρέους τοὺς τόκους κομίζωνται. Ὥστε γενέσθαι αὐτῶν τὸ δίκαιον ἀρχὴν ἀδικίας μεγάλης. Καὶ διὰ τοῦτο οἱ τοκίζοντες, ἐναγεῖς καὶ ἀμείλικτοι ὀνομάζονται. Βδελυκτοὶ γάρ εἰσιν ἐναντι Θεοῦ καὶ ἀνθρώπων. Καὶ τὸ σύνολον Χριστιανοῖς ἀπηγόρευται ἡ ἐπίνοια τοῦ τόκου. Καθὼς φησιν ὁ Προφήτης περὶ ἀδίκου πόλεως· « Οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος. » Περὶ δὲ τοῦ δικαίου, « Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ. » Καὶ πάλιν· « Ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν. » Ὁ δὲ Παροιμιαστής· « Ὁ πληθύνων τὸν τόκον αὐτοῦ μετὰ τόκων καὶ πλεονασμῶν, τῷ ἐλεοῦντι πτωχὸν συνάγει αὐτόν. » Καὶ ἄλλος, « Τόκον ἐπὶ τόκου, καὶ δόλον ἐπὶ δόλου. » Οἶδα ἐγώ τινας, ὅτι διὰ τὸ κέρδος τοῦ τόκου σὺν τῇ ψυχῇ καὶ τὸ κεφάλαιον ἐζημιώθησαν. Ἀξίως γὰρ ὁ νόμος παρακελεύεται, λέγων· « Τῷ ἀδελφῷ σου οὐκ ἐκτοκιεῖς ἀργυρίου, ἢ βρωμάτων, ἢ παντὸς πράγματος. » Καὶ πάλιν· « Τὸ ἀργύριόν σου οὐ δώσεις ἐπὶ τόκῳ. » Καί· « Πλεονασμῷ οὐ δώσεις τὰ βρώματά σου. » Ὁ δὲ Ἐκκλησιαστὴς περὶ τῶν πλουτούντων ἐκ τόκων, ἢ ἐξ ἀδικιῶν, οὕτως διαγορεύει· « Ἔστιν ἀῤῥωστία δεινὴ, ἣν εἶδον ὑπὸ τὸν ἥλιον, πλοῦτον φυλασσόμενον

C

HOMILIA XII.

1044 *De usuris.*

Mundi hujus homines ante tribunalia nunquam conquiescent controvertere et lites intendere proximis, eousque dum accessorio perfruantur quod præter sortem contingit, dum maxime præter debitum usuras corradunt et colligunt, adeo ut quod juste ad illos pertinet, principium fiat magnæ iniquitatis. Quapropter qui usuras exercent, non abs re ceu exsecrabiles et strigosi nominatim perstringuntur. Sunt plane coram Domino et hominibus abominationi: cum in genere nulli non Christiano interdictum sit artificio quovis exercendæ usuræ; sicut et de iniqua illa civitate ait Propheta: « Non defecit de plateis ejus usura et dolus [44]. » Cum interim justo hoc elogium reddat: « Argentum suum non dedit ad usuram [45] » Item: « Ex usura et ex iniquitate redimet animas eorum [46]. » Parœmiastes quoque: « Qui multiplicat divitias suas cum usuris et abundantiis, utique ei congregat qui miserebitur pauperis [47]. » Item: « Usuram super usuram, et dolum super dolum [48]. » Novi ego aliquot qui per immodicam aviditatem lucri, præter animæ detrimentum, sortem elocatæ pecuniæ perdiderunt: digne quidem, cum lex præscribat, dicens: « Fratri tuo non dabis ad usuram argentum, non cibos, aut rem quamcunque [49]. » Rursus. « Argentum tuum non dabis ad usuram [50]. » Et:

D

[35] Eccli. XXIX, 12. [36] Eccli. XXXV, 26. [37] Rom. XVIII, 8. [38] ibid. 13. [39] Tit. III, 14. [40] Zachar. VII, 9. [41] ibid. [42] I Joan. III, 17. [43] Luc. VI, 30. [44] Psal. LIV, 12. [45] Psal. XIV, 5. [46] Psal. LXXI, 14. [47] Prov. XXVIII, 8. [48] ibid. [49] Deut. XXIII, 19. [50] Levit. XXV, 37.

« Ad superabundantiam non dabis cibos tuos [51]. » Ecclesiastes de istis qui per iniquitatem usuris extortam locupletantur, edisserit hunc in modum : « Est infirmitas gravis quam vidi sub sole, nempe cum quis divitias custodit in malum proprium, et peribunt divitiæ illæ in occupatione mala, et certe omnes dies illius in tenebris et luctu et in indignatione multa et infirmitate. Et labor istius in ventum ibit [51*]. » Consentit his illud Pauli ad Timotheum : « Divitibus hujus sæculi præcipe non sublime sapere nec sperare in incerto divitiarum, sed in Deo, qui præstat nobis omnia abunde ad fruendum, bene agere, divites esse in operibus bonis, facile tribuere, communicare, thesaurizare sibi fundamentum bonum in futurum, ut apprehendant veram vitam [52]. » Auctoritate igitur persuasi (fratres) Scripturæ divinæ, ab inexplebili illa aviditate congerendi divitias avocemus mentem : longissime submoveamus nos ab hac exsecrabili prorsus usurarum excogitatione : potius imitemur beati Zachæi pium zelum, cum eodem dicentes : « Ecce dimidium bonorum meorum, Domine, do pauperibus, et si quid aliquem defraudavi, reddo quadruplum [53]. » Idque ut ab eo promereamur audire, qui novit Domino nostro ac Salvatore : « Hodie salus domui huic facta est [54]. » Ipsi gloria in sæcula. Amen.

A τὸ παρ' αὐτοῦ εἰς κακίαν αὐτῷ, καὶ ἀπολεῖται ὁ πλοῦτος ἐκεῖνος ἐν περισπασμῷ πονηρῷ, καί γε πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἐν σκότει, καὶ ἐν πένθει, καὶ ἐν θυμῷ πολλῷ, καὶ ἀῤῥωστίᾳ, καὶ ὁ μόχθος αὐτῶν εἰς ἄνεμον. » Ὁμοίως καὶ ὁ Ἀπόστολος παραινῶν Τιμοθέῳ ἔλεγεν· « Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε, μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐπὶ Θεῷ τῷ παρέχοντι ἡμῖν πάντα πλουσίως, εἰς ἀπόλαυσιν, ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικοὺς, ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς. » Πειθόμενοι οὖν, ἀδελφοὶ, τῇ θείᾳ Γραφῇ, ἀποστῶμεν τῆς δεινῆς πλεονεξίας, καὶ τῆς βδελυρᾶς ἐπινοίας ταύτης τῶν τόκων. Ὁ γὰρ τόκος, τῷ ὄλῳ B συνεζεύχθη. Καὶ μᾶλλον ζηλώσωμεν τὸν καλὸν ζῆλον τοῦ μακαρίου Ζακχαίου, λέγοντες σὺν αὐτῷ· « Ἰδοὺ τὸ ἥμισυ τῶν ὑπαρχόντων μοι, Κύριε, τοῖς πτωχοῖς δίδωμι. Καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν. » Ἵνα καὶ ἡμεῖς ἀκούσωμεν παρὰ τοῦ εὖ εἰδότος τὰ κρυπτὰ ἡμῶν Δεσπότου καὶ Σωτῆρος· « Σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

cordium nostrorum arcanos recessus perspicue

HOMILIA XIII.

1045 *De immoderata affectione conquirendi, sive de avaritia.*

Ait Dominus : « Nemo potest duobus dominis servire ; aut enim unum contemnet et alterum sustinebit, aut unum oderit et alterum diliget : non potestis Deo servire et mammonæ [55]. Liberati enim a peccato, servi facti estis justitiæ [56], » nec jam potestis Deo servire et mammonæ : cujus interpretatio est *divitiæ*, sicut ille dicit : « Divitiæ si affluant, nolite cor apponere [57] : » quandoquidem juxta legis præscriptum, pars una corporis lepra si aspergitur, altera autem sincera est, totum interim censetur immundum [58]. Plane alienæ facultatis appetentior, quantalibet pecuniæ exuberet copia, nunquam exsatiatur. Cum enim permulta indipiscetur, rursus alia tanto expetet avidius ; cumque sibi hæc conciliarit, aliis rursum expanso concupiscentiæ sinu inhiat cumulandis, nec unquam vesanientem hunc sedat appetitum. Nec enim is novit, quia quantam habet materiam vitiosæ istius affectionis secundum proportionem, tanto recedit a Deo, fitque particeps apostasiæ. Utique talis nullum operitur vitæ istius finem ; neque intelligit in hac vita inquilinum se esse atque incolam, et quæ adeptus est non esse sua. Plane is accensendus venit ordini stultorum. Particeps enim est illius divitis cui suspecta erat loci sui angustia, De ejusmodi eleganter Scriptura loquitur : « Quemadmodum infernus et perditio non implentur, ita oculi

ΛΟΓΟΣ ΙΓ'.

Περὶ πλεονεξίας.

C Φησὶν ὁ Κύριος· « Οὐδεὶς δύναται δυσὶν κυρίοις δουλεύειν. Ἢ γὰρ τοῦ ἑνὸς καταφρονήσει, καὶ τοῦ ἑτέρου ἀνθέξεται· ἢ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει. Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ Μαμμωνᾷ. Ἐλευθερωθέντες γὰρ ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ. » Καὶ οὐ δύνασθε Θεῷ δουλεύειν καὶ Μαμμωνᾷ, ὁ ἑρμηνεύεται, *πλοῦτος*, καθὼς λέγει· « Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν. » Οὐαὶ γὰρ ἁμαρτωλῷ ἐπιβαίνοντι ἐπὶ δύο τρίβους· ἐπειδὴ ἐὰν ᾖ κατὰ τὸν νόμον μέρος λεπρὸν, καὶ μέρος καθαρὸν, ὅλον ἀκάθαρτόν ἐστιν. Ὁ οὖν πλεονέκτης κόρον οὐκ ἔχει τῆς φιλοχρηματίας. Ὅταν γὰρ πολλὰ κτήσηται, πάλιν ἄλλων ὀρέγεται. Καὶ ὅταν καὶ αὐτὰ οἰκειώσηται, αὖθις ἕτερα ἐπιθυμεῖ. Καὶ οὐδέποτε D παύεται τῆς ματαίας ταύτης ὀρέξεως. Καὶ οὐκ οἶδεν ὅτι ὅσα ἂν κατ' ἀναλογίαν ἣν ἔχει ὁ ἄνθρωπος περὶ τὴν ὕλην προσπαθείας, τῆς ἀπὸ τοῦ Θεοῦ ἀποστασίας μετέχει. Καὶ ὁ τοιοῦτος οὐ προσδοκᾷ τέλος βίου, οὐδὲ ἐπίσταται ὅτι παροικεῖ ἐν τῷδε τῷ βίῳ· καὶ ἅπερ κέκτηται, ὅτι οὐκ αὐτοῦ εἰσιν. Καὶ οὕτως τοίνυν ἐν τοῖς ἄφροσι τέτακται. Κοινωνὸς γάρ ἐστιν τοῦ πλουσίου ἐκείνου, οὗτινος ηὐπόρησεν ἡ χώρα. Καὶ καλῶς λέγει περὶ τῶν τοιούτων ἡ Γραφὴ, ὅτι « Ὥσπερ ᾅδης καὶ ἡ ἀπώλεια οὐκ ἐμπιπλῶνται, οὕτως καὶ οἱ ὀφθαλμοὶ τῶν ἀνθρώπων ἄπληστοι. » Βουλόμενος οὖν ὁ μακάριος Ἰάκωβος θεραπεῦσαι τὸ τοιοῦτον νόσημα τῆς πλεονεξίας ἐπιστέλλει λέγων·

[51] Lev. xxv, 37. [51*] Eccl. xii, 15. [52] I Tim. vi, 17-19. [53] Luc. xix, 8. [54] ibid. 9. [55] Matth. vi, 24. [56] Rom. vi, 18. [57] Psal. lxi, 11. [58] Levit. xiii, 15.

« Ἄγε νῦν, οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῶν ταῖς ἐπερχομέναις. Ὁ πλοῦτος ὑμῶν σέσηπεν, καὶ τὰ ἱμάτια ὑμῶν σητόβρωτα γέγονεν. » Ὁ δὲ Δαυὶδ περὶ τῶν τοιούτων ἀποτείνεται· « Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράσσεται· θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά. » Ἀεὶ γὰρ οἱ θησαυρισταὶ, ματαιοκόποι, ἀλλοτριοκάματοι εὑρίσκονται. « Οἱ γὰρ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα τοῦ διαβόλου, » καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβερὰς. Αἵτινες βυθίζουσιν τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν, κατὰ τὸν Ἀπόστολον. Καὶ αὖθις παραγγέλλει φεύγειν τὴν πλεονεξίαν· « Ἥτις ἐστὶν εἰδωλολατρεία, δι' ἣς ἐπέρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπιστίας. » Καλὸν οὖν ἐστιν ἀπορρῖψαι τὸ ἐκ τοῦ πλούτου ἀλόγιστον καύχημα, τὰς οἰκείας ἐπιθυμίας μισήσαντα· ὅπερ ἐστὶν μισῆσαι τὴν ἑαυτοῦ ψυχὴν, καὶ ἀποκτήσασθαι πάντα ἕνεκεν τῆς δόξης τοῦ Εὐαγγελίου τοῦ Θεοῦ. Ὁ γὰρ αἴρων τὴν ἔννοιαν αὐτοῦ ἀπὸ πάσης πλεονεξίας, δύναται ἰδεῖν τὰς μεθοδίας τοῦ διαβόλου. Ὅταν γὰρ ἐξέλθῃ ὁ νοῦς τῶν σωματικῶν φροντίδων, βλέπει κατὰ ἀναλογίαν τὰς πανουργίας τῶν ἐχθρῶν. Φησὶν δὲ καὶ ὁ Παροιμιαστής· « Οὐκ ὠφελήσουσιν θησαυροὶ ἀνόμους· δικαιοσύνη δὲ ἐκ θανάτου ῥύεται. » Καί· « Αἱρετώτερον ὄνομα καλὸν, ἢ πλοῦτος πολύς· ὑπὲρ δὲ ἀργύριον καὶ χρυσίον, χάρις ἀγαθή. » — « Ὁ δὲ συνέχων σῖτον, ἀπολείποιτο· αὐτὸν τοῖς ἔθνεσιν. » Καί· « Ὁ τιμιουλκῶν σῖτον, δημοκατάρατος· εὐλογία δὲ ἐπὶ τὴν κεφαλὴν τοῦ μεταδιδόντος. » Καὶ, « Ὁ πεποιθὼς ἐπὶ πλούτῳ αὐτοῦ, πεσεῖται· ὁ δὲ ἀντιλαμβανόμενος δικαίων, οὗτος ἀνατέλλει. » Ὁ δὲ Κύριος φησὶ περὶ τοῦ βουλομένου τὰς ἑαυτοῦ ἀποθήκας καθελεῖν, καὶ μείζονας οἰκοδομῆσαι· « Ἄφρων, ταύτῃ τῇ νυκτὶ, οἱ ἄγγελοι τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; » Καὶ ἐπάγει· « Οὕτως πᾶς ὁ θησαυρίζων ἐν ἑαυτῷ, καὶ μὴ εἰς Θεὸν πλουτῶν. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A hominum insatiabiles [59]. » Beatus itaque Jacobus cupiens morbo isti cupiditatis immensæ ferre medelam, per Epistolam dicit : « Agite nunc, divites, plorate ululantes super miseriis quæ advenient vobis : divitiæ vestræ putrefactæ sunt, vestimenta vestra a tinea comesta sunt [60]. » Tales et David perstringit : « Verumtamen in imagine pertransit homo, sed frustra conturbatur, thesaurizat et ignorat cui congregabit ea [61]. » Isti enim thesaurorum congestores frustra sudasse comperiuntur, nec sibi unquam, sed aliis laborasse. « Qui enim volunt divites fieri, incidunt in tentationem et laqueum diaboli [62] : » suamque ut plurimum experiuntur tandem cupiditatem, inamœnam esse atque dispendiosam : B quæ et juxta Apostolum demergit homines in perniciem ac perditionem. Jubet rursum is, multa ut circumspectione vitemus superfluam hanc nec ullis finibus circumscriptam avaritiam : « Quæ est idolorum cultus, per quam venit ira Dei in filios diffidentiæ [63]. » Sane quam decorum sit, ut expuncta animo jactantia citra rationem ullam proficiscente ex divitiis, oderis insuper incentiva quævis propriæ concupiscentiæ : id quod est, odisse animam suam, et a se excussisse omne suum peculium pro gloria Evangelii Dei. **1046** Quisquis enim cogitationem funditus amolitur et avocat ab omni supervacanea cupiditate, is non magno negotio deprehendit insidiosas diaboli pedicas. Mens enim simulatque a se depulit anxias corporis curas, veteratorias illas ac fallaces machinas inimicorum, C pro ratione virium quas sortita est, perspicue videt. Ait proinde Parœmiastes : « Non proderunt thesauri iniquis ; justitia autem a morte liberat [64]. » Et : « Melius est nomen bonum quam divitiæ multæ, super argentum et aurum gratia bona [65]. » Et : « Continens frumentum derelinquet ipsis gentibus [66]. » Et : « Qui appretiat frumentum, maledictus in populis; benedictio [67] autem super caput dispertientis [68]. » Et : « Qui confidit in divitiis, corruet, qui autem benigne succurrit justis, exorietur [69]. » Dominus item, de eo qui apud se constituerat suas demoliri ac solo adæquare apothecas, quod angustiores viderentur, illisque exædificare capaciores : « Stulte, ait, hac nocte angeli abs te repetent animam tuam ; quæ autem præparasti, cujus erunt [70] ? » Inducit : « Sic omnis qui tibi ipsi thesaurizat, non item apud Deum recondit divitias [71]. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΙΔ'.

Περὶ περισπασμοῦ.

Περὶ τοῦ περισπασμοῦ, ἀναφανδὸν διδάσκει ἡμᾶς ὁ Ἐκκλησιαστὴς οὕτως· « Ἔδωκα τὴν καρδίαν μου τοῦ ἐκζητῆσαι καὶ τοῦ κατασκέψασθαι ἐν τῇ σοφίᾳ περὶ πάντων τῶν γενομένων ὑπὸ τὸν ἥλιον, ὅτι περισπασμὸν πονηρὸν ἔδωκεν ὁ Θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων, τὸ περισπᾶσθαι ἐν αὐτῷ. » Καὶ μετ' ὀλίγα· « Καὶ ἐπέβλεψα ἐγὼ ἐν πᾶσιν ποιήμασίν μου, οἷς ἐποίησαν αἱ χεῖρές μου, καὶ ἐν μόχθῳ ᾧ ἐμόχθησα τοῦ ποιεῖν, καὶ ἰδοὺ τὰ πάντα ματαιό-

D

HOMILIA XIV.

De distractione, alias, importuna occupatione.

Et quidem de distractione luculenter admodum docet nos Ecclesiastes, hisce verbis : « Dedi cor meum ut exquirerem et considerarem sapienter de omnibus quæ fiunt sub sole, quia occupationem malam dedit Deus filiis hominum ut occuparentur in ea [71]. » Post pauca : « Et vidi ego in omnibus operibus meis quæ fecerunt manus meæ, et in labore quo sudavi ut facerem, et ecce universa vanitas [72]. » Rursus : « Ante faciem ho-

[59] Prov. xxvii, 20. [60] Jac. v, 1, 2. [61] Psal. xxxviii, 7. [62] I Tim. vi, 9. [63] Ephes. v, 6. [64] Prov. x, 2. [65] Prov. xxii, 1. [66] Prov. x, 26. [67] Ibid. [68] Ibid. 28. [69] Luc. xii, 20. [70] Ibid. 21. [71] Eccle. i, 13. [72] Ibid. 14.

minis dedit sapientiam et scientiam et lætitiam, peccatori autem dedit (illud ἔδωκεν, dedit, intelligi debet pro συνεχώρησεν, permisit libero hominis arbitrio), ut addat et congreget ; id quod vanitas quoque est [73]. Omnia de pulvere facta sunt, et omnia in pulverem revertentur [74]. » Inducit : « Melius est repleri pugillo quietis, quam impleri duobus pugillis laboris [75]. » Iterum : « In quibus dedi cor meum ut cognoscerem peccatum meum, et ut viderem tentationem quæ facta est super terram, quia nec interdiu nec noctu somnum videt oculus ejus, et omnis vita in sollicitudine est ; principium enim malorum ipsa distractio est [76]. » Perspicue admodum divinæ docent litteræ et rationibus et exemplis ejusmodi occupationem, vitam esse impiorum et peccatorum hominum. Omnes quidem hanc vitare debemus ; præ cæteris autem maxime, nos qui quadantenus mundo huic valediximus, et angelicam vitam ultronei suscepimus exercendam. **1047** Sane quies libera et expers negotii sæcularis multo est clarior atque illustrior splendore isto nominis qui paratur obeundis mundi negotiis ; vel teste cum primis Apostolo : « Nemo militans implicatur vitæ hujus negotiis, ut ei placeat cui se probavit [77]. » Rursus : « Ut quietam et tranquillam vitam agamus in omni pietate et castitate [78]. » His consentanea, votis omnibus expetendus Dominus nos per Martham edocet, dicens eidem : « Martha, Martha, sollicita es et turbaris circa multa. Porro unum est necessarium [79]. » Consimiliter per parabolam de eo inductam qui seminat, quando dicit, quoddam quidem cecidisse inter spinas ; quæ ubi ascenderunt, suffocaverunt illud [80] : per interpretationem infert : Ille est qui verbum quidem audit, sed sollicitudo sæculi hujus ac deceptio divitiarum præfocant verbum, nec fructificat : quod autem in terram bonam seminatum est, hi sunt qui audiunt verbum corde bono, hoc est requieto et tranquillo, et isti fructum referunt Deo, ille quidem trigesimum, alter autem sexagesimum, alius vero centesimum. Ipsi gloria in sæcula sæculorum. Amen.

HOMILIA XV.

Quod hic mundus neutiquam veniat diligendus.

Viri, qui igne charitatis in Christum accensi, parentes reliquimus, filios, fratres, denique omnia quæ istius sunt sæculi velut stercora æstimavimus, ut tandem Christum promereamur lucrifacere : ne, quæso, inanem aucupemur hic gloriam, ne curam carnis fecerimus, nec temporaria hæc et obnoxia corruptelæ tantopere deamemus, ne in terra defodiamus talentum nobis concreditum, neve hic patriam inquilini quæramus, magis vero futuram illam toto perquiramus pectore ; tota animi cogitatione suspiciamus beatos illos mundi quidem ex professo osores, eoque amatores Dei. Illos intueamur, qui mentem nusquam alio evariantem in æterna illa

[73] Eccle. II, 26. [74] Eccle. III, 20. [75] Eccl. IV, 6. [76] Luc. X, 41, 42. [80] Matth. XIII, 4-8.

της. » Καὶ πάλιν· « Πρὸ προσώπου τοῦ ἀνθρώπου ἔδωκεν σοφίαν, καὶ γνῶσιν, καὶ εὐφροσύνην· καὶ τῷ ἁμαρτάνοντι ἔδωκεν περισπασμὸν (τὸ γὰρ ἔδωκεν, ἀντὶ τοῦ *συνεχώρησεν*, νοητέον, τῇ αὐτεξουσιότητι τοῦ ἀνθρώπου), τοῦ προσθεῖναι, καὶ τοῦ συναγαγεῖν· ὅτι καί γε τοῦτο ματαιότης· τὰ πάντα ἐγένετο ἀπὸ τοῦ χοὸς, καὶ τὰ πάντα ἐστράφη ἐπὶ τὸν χοῦν. » Καὶ ἐπάγει· « Ἀγαθὸν πλήρωμα δρακὸς ἀναπαύσεως, ὑπὲρ πλήρωμα δύο δρακῶν μόχθου· » καὶ αὖθις, « Ἐν οἷς ἔδωκα τὴν καρδίαν μου, τοῦ γνῶναι τὴν ἁμαρτίαν μου, καὶ τοῦ ἰδεῖν τὸν περισπασμὸν τῶν πεποιημένων ἐπὶ τῆς γῆς· ὅτι καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ὕπνον ὀφθαλμὸς αὐτοῦ οὐκ ἔστιν βλέπων· καὶ πᾶς ὁ βίος ἀσεβοῦς ἐν φροντίδι· καὶ γὰρ ἀρχὴ κακῶν ὁ περισπασμός. » Τῆς θείας Γραφῆς ἀριδήλως ὑποδειξάσης ἡμῖν τὸν περισπασμὸν βίον εἶναι ἀσεβῶν, ὀφείλομεν τοῦτον ἀποδρᾶσαι· ἐξαιρέτως δὲ ἡμεῖς οἱ τῷ κόσμῳ δῆθεν ἀποταξάμενοι, καὶ τὸν ἀγγελικὸν βίον ἐπανηρημένοι. Ἀπράγμων γὰρ ἡσυχία, τῆς ἐν πράγμασιν περιφανείας τιμιωτέρα· μάλιστα τοῦ Ἀποστόλου λέγοντος· « Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. » Καὶ πάλιν· « Ἵν' ἥρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. » Τὰ αὐτὰ δὲ καὶ ὁ πολυπόθητος Κύριος ἡμῶν διὰ τῆς Μάρθας ἐκδιδάσκει, λέγων πρὸς αὐτήν· « Μάρθα, Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά· ἑνὸς δέ ἐστιν χρεία. » Μαρία γὰρ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο. Ὁμοίως δὲ καὶ διὰ τῆς παραβολῆς τοῦ σπείροντος, ἐν τῷ λέγειν· « Ἃ μὲν ἔπεσεν ἐπὶ τὰς ἀκάνθας, καὶ ἀνέδησαν αἱ ἄκανθαι, καὶ ἀπέπνιξαν αὐτά. » Καὶ ἑρμηνεύων ἐπιφέρει, « Οὗτός ἐστιν ὁ τὸν λόγον μου ἀκούων, καὶ ἡ μέριμνα τοῦ πλούτου συμπνίγει τὸν λόγον, καὶ ἄκαρπος γίνεται. Ὁ δὲ ἐπὶ τὴν καλὴν γῆν σπαρείς, οὗτοί εἰσιν οἱ τὸν λόγον μου ἀκούοντες » ἐν καρδίᾳ ἀγαθῇ, τουτέστιν ἐν ἡσυχίᾳ καὶ γαλήνῃ, « καὶ καρποφοροῦσιν τῷ Θεῷ, ὁ μὲν τριάκοντα, ὁ δὲ ἑκατόν. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΕ'.

Περὶ τοῦ μὴ ἀγαπᾶν τὸν κόσμον.

Ἄνδρες, οἱ διὰ τὴν εἰς Χριστὸν ἀγάπην καταλείψαντες γονεῖς, καὶ τέκνα, καὶ ἀδελφοὺς, καὶ πάντα τὰ τοῦ αἰῶνος τούτου σκύβαλα ἡγησάμενοι, ἵνα Χριστὸν κερδήσωμεν, μὴ ἐνταῦθα ζητήσωμεν δόξαν, μὴ σαρκὸς πρόνοιαν ἐργασώμεθα, μὴ πρόσκαιρα καὶ φθαρτὰ ἀγαπήσωμεν, μὴ κατορύξωμεν εἰς τὴν γῆν τὸ τάλαντον, μὴ ἐπιζητήσωμεν ὧδε πατρίδα, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητήσωμεν. Ἀποβλέψωμεν δὲ εἰς τοὺς μισοκόσμους· καὶ ὀψόμεθα αὐτοὺς, ὅλην τὴν διάνοιαν αὐτῶν μετοικισμένην περὶ τὰς ἐκεῖ αἰωνίους μονάς· « Οἳ καὶ περιῆλθον ἐν μηλωταῖς καὶ αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι· » ἵνα τοῦ ποθουμένου κοσμοποιοῦ κατατρυφήσωσι. Διὸ

[74] Ecclee. VIII, 16. [77] I Tim. II, 4. [78] Ibid. 2.

καὶ ἡμεῖς ἀφορῶντες εἰς τοὺς θαυμασίους ἄνδρας τοῖς ἴχνεσιν αὐτῶν ἐπακολουθήσωμεν, πρὸς μηδὲν ἕτερον βλέποντες, μὴ πρὸς δόξαν ἀνθρωπίνην, μηδ' ὅλως τὰ τοῦ αἰῶνος τούτου, ἵνα ἐξισχύσωμεν καταλαβεῖν σὺν αὐτοῖς τὰ ἡτοιμασμένα τοῖς « ἀγαπῶσιν » τὸν Θεὸν ἀγαθά. Φύγωμεν οὖν, ἀγαπητοί, τὸν κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ. « Ὁ γὰρ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται, » καθὼς ὁ θεῖος ἀπεφήνατο λόγος· ψυχὴ γὰρ μὴ τῶν κοσμικῶν ἀπαλλαγεῖσα φροντίδων οὔτε τὸν Θεὸν ἀγαπήσει γνησίως, οὔτε τὸν διάβολον βδελύξεται ἀξίως· κάλυμμα γὰρ ἅπας ἔχει φορτικὸν τὴν μέριμναν τοῦ βίου. Ἐὰν οὖν εἰς ἕξιν ἔλθωμεν τοῦ καταφρονεῖν τῶν ἐν τῷ κόσμῳ καλῶν, δυνάμεθα καὶ τὴν γεώδη τῆς ψυχῆς ὄρεξιν τῇ λογικῇ αὐτῆς συνάψαι διαθέσει, τῆς κοινωνίας τοῦ ἁγίου Πνεύματος τοῦτο οἰκονομούσης ἡμῖν. Εἰ οὖν ἐπὶ ξένης κατοικοῦμεν, καὶ ἡ πόλις ἡμῶν μακρὰν ἀπέχει ἀπὸ τῆς πόλεως ταύτης, καὶ οἴδαμεν τὴν πόλιν ἡμῶν ἐν ᾗ μέλλομεν κατοικεῖν· τί εἰς τὴν ἀλλοτρίαν ἑτοιμάζομεν ἀγροὺς καὶ οἰκοδομὰς καὶ οἰκήματα μάταια, καὶ παρατάξεις πολυτελεῖς; Ταῦτα οὖν ὁ ἑτοιμάζων εἰς ἀλλοτρίαν πόλιν δῆλός ἐστιν, ὅτι οὐ προσδοκᾷ ἐπανακάμψαι εἰς τὴν ἰδίαν πόλιν, τουτέστιν εἰς τὴν ἄνω Ἱερουσαλήμ. Ὁ γὰρ λογισμὸς οὗτος, ἀφρόνων καὶ διψύχων καὶ ταλαιπώρων ἀνθρώπων ἐστίν. Οὐ γὰρ συνίει ὅτι ταῦτα πάντα ἀλλότρια εἰσι, καὶ ὑπὸ ἐξουσίας ἑτέρου εἰσὶ, τουτέστι τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου. Οὐκ οὖν ὀφείλομεν ὡς ἐπὶ ξένης κατοικοῦντες μηδὲν πλέον ἑτοιμάζειν ἑαυτοῖς, εἰ μὴ τὴν αὐτάρκειαν τὴν ἀρκετήν. Οἱ γὰρ ἀγαπῶντες τὸν ἑαυτῶν Κύριον, καὶ ἔχοντες αὐτὸν ἀεὶ ἐν τῇ ἑαυτῶν καρδίᾳ, ἐν ταῖς ἐπαγγελίαις αὐτοῦ πιστεύουσι καὶ καραδοκοῦσι. Καλὸν οὖν ἐστιν ἀντὶ τῶν κτισμάτων [y] καὶ χρημάτων τῶν σήμερον μὲν ἡμετέρων, αὔριον δὲ ἀλλοτρίων, ὠνήσασθαι ψυχὰς θλιβομένας, καθώς τις δύναται, καὶ χήρας καὶ ὀρφανοὺς ἐπισκέπτεσθαι, καὶ μὴ παραβλέπειν αὐτούς. Ὡσαύτως καὶ ἐν μοναστηρίοις, καὶ οὕτω καλῶς διοικεῖν τὰ καθ' ἑαυτούς· καὶ τὸν πλοῦτον, ὃν παρὰ Θεοῦ εἰλήφαμεν ἐν τῷδε τῷ βίῳ, εἰς αὐτοὺς ἀναλίσκειν. Εἰς τοῦτο γὰρ καὶ παρέσχεν ἡμῖν αὐτὰ ὁ ἀγαθὸς ἡμῶν Δεσπότης, ἵνα εἰς τὴν διακονίαν ταύτην δαπανηθῶσι, καὶ ἀντ' αὐτῶν κομισώμεθα θησαυρὸν ἀνέκλειπτον. Πολὺ οὖν βέλτιόν ἐστι, τοιούτους ἀγροὺς καὶ κτήματ' ἀγοράζειν, ἅτινα καὶ παράμονά εἰσι, καὶ προάγουσιν εἰς τὴν ἡμῶν μητρόπολιν, ὅταν ἀποδημήσωμεν εἰς αὐτήν. Ἀμεριμνήσωμεν οὖν, ἀγαπητοί, τῶν προσκαίρων, ἵνα τῶν ἀϊδίων ἐπιτύχωμεν· παραδράμωμεν τὸν κόσμον, ἵνα τὸν κοσμοποιὸν καταλάβωμεν. Καταλείπωμεν τὰ μὴ ἡμέτερα, ἵνα τὰ ἡμέτερα ἀπολαύωμεν (τὸ γὰρ σχῆμα τοῦ κόσμου τούτου παράγει ὡς ὄναρ), καὶ κἂν τι χρώμεθα τῷ κόσμῳ τούτῳ, γενώμεθα ὡς μὴ καταχρώμενοι· καθὼς καὶ ὁ μακάριος Ἰωάννης ἐντέλλεται, λέγων· « Μὴ ἀγαπᾶτε τὸν κόσμον, μήτε τὰ ἐν τῷ κόσμῳ. Ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ

domicilia transcripserunt, qui et « circumierunt in melotis, in pellibus caprinis, egentes, afflicti [81] : » ut vel deliciarentur seque oblectarent contemplatione mundi istius opificis, nulli non pio votis omnibus expetendi, eoque et nos in admirabiles viros oculis animi defixis, recta illorum vestigiis ingrediamur, in nullam prorsus rem aliam attenti ; non ad hominum de nobis æstimationem, non aliud item quidvis respectantes sæculi istius : ut cum ipsis possimus aliquando bonis illis perfrui quæ parata sunt « *diligentibus* » Deum [82]. Fugiamus itaque mundum (charissimi) et quæ in mundo sunt : « Mundus enim hic totus in maligno positus est [83], » prout divinus prænuntiavit sermo. Anima enim quæ nondum se extricavit mundi istius perplexis curis, et liberam reddidit : Deum germane ac sinceriter non potest diligere, sed neque diabolum prout meretur, odisse et exsecrari. Esto, colorem prætexere qualemcunque possit tetricum et gravem, nempe sollicitudinem anxiam vitæ istius : **1048** sane si deinceps eo vertamus mentem, ut quæ in mundo videntur bona aspernemur, possumus nobiscum dispensante Spiritu sancto, appetentiam hanc animæ ad terrena propendentem, concordem reddere rationali ipsius affectui. Quod si, ut hospites, habitamus hic, si civitas nostra longiore intercapedine disjuncta est et disparata ab hac quam incolimus, et plane novimus civitatem illam quam certo credimus nos inhabitaturos, quid in aliena apparamus agros, substructiones, ædificia ? addo magnificas ac splendidas prolatationes ædificiorum. Utique quisquis in aliena civitate studiosus apparat hæc, reipsa innuit nihil jam sibi spei superesse, ut aliquando deflectat iter in eam quæ propria est, civitatem, nempe cœlestem illam Jerusalem. Isthæc cogitatio imprudentium est hominum, nihil pensi de salute animæ habentium, eoque miserabilium. Non enim intelligit exotica hæc alieni esse juris, et potestati subesse alterius : nimirum istius sæculi principis. Cum igitur hic habitemus ut inquilini et alieni, nihil est quod nobis ipsis impendio apparemus, præter frugalitatem vitæ ac virtutem. Qui erga suum Dominum sincera charitate toti inardescunt, nullo non tempore circumferunt illum in cordibus suis, et per ipsius mandata inoffense gradiuntur, promissis ejus fide nihil dubia acquiescunt, ac scopum expectationis suæ iis affigunt. Bonum ergo, ut pro istis facultatibus, pro peculio qualicunque, quæ hodie quidem penes nos sunt, at crastino aut perendie in alterius constituentur arbitrio ; pro his, inquam, animas redimamus misere afflictas, pro cujusque virili, viduis prospiciendo et pupillis, non item aversando illos. Utque in monasteriis dispensantur, ita convenit per unumquemque

[81] Hebr. xi, 37. [82] I Cor. ii, 9. [83] I Joan. v, 16.

VARIÆ LECTIONES.

[y] Fort. κτημάτων.

μαθεῖν τὸ τῆς πίστεως μυστήριον, καὶ θαυματουργὸς μέγας ἀναδειχθῆναι. Οἱ γὰρ τῆς σωφροσύνης ἐρασταὶ, οὐ μόνον τὸν ἔπαινον ἐν τῷδε τῷ βίῳ ἔχουσιν, ἀλλὰ καὶ τὸν στέφανον τοῦ κάλλους, καὶ τὸν χιτῶνα τῆς σωφροσύνης ἐκ χειρὸς Κυρίου κομίσονται· καὶ ἐροῦσιν· « Ἀγαλλιάσθω ἡ ψυχή ἡμῶν, ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσεν γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης ὡς νυμφίῳ περιέθηκέν μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησεν κόσμῳ. » Οὗτοι ἐκλάμψουσιν ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς, εἰ ἀληθῶς καὶ τὰς λοιπὰς ἀρετὰς κέκτηνται, τὰς ἁρμοζούσας τῇ σωφροσύνῃ. Ἐκεῖ αὐτοῖς ὀφθήσεται ἡ ζωὴ, καὶ ἡ μακρότης τῶν ἡμερῶν, ἡ γαληνιῶσα καὶ ἀτάραχος, ἐν ᾗ ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός. Ὁ τέλειος σώφρων πανταχόθεν ἑαυτὸν φυλάττει. Ἤκουσα γὰρ περί τινος βασιλέως τῶν ἔξω, ὅτι Ἐφεσίαν ἱέρειαν ἰδὼν ὑπερβολῇ καλὴν φανεῖσαν, ἀνέζευξεν εὐθὺς ἐξ Ἐφέσου, φοβούμενος μὴ παρὰ γνώμην ἐκβιασθῇ, καὶ πράξῃ τι τῶν ἀτόπων. Καὶ Κῦρος δὲ ὁ Πέρσης, οὐδὲ ἰδεῖν τὴν σπανίαν κατεδέξατο, θαυμαστόν τι καὶ ἀμήχανον κάλλος ἔχειν μαρτυρουμένην. Εἰ τοίνυν καὶ τὰ προστάγματα ἔξωθεν, καὶ χωρὶς τοῦ σωτηρίου χρησμοῦ μαρτυροῦσιν ταῦτα, πόσον μᾶλλον ἡμεῖς οἱ τοῦ Χριστοῦ φοιτηταί! Ἀναγκαῖον οὖν ἐστιν ἐγκρατεύεσθαι, καὶ κρατεῖν, οὐ μόνον λαλιᾶς, ἀλλὰ καὶ ὁράσεως. Ἡ γὰρ συνεχής τε θέα, ὁδός ἐστιν ἡ ἐπὶ τὴν πρᾶξιν ἄγουσα. Εἰ δὲ καὶ εἰς ἔργον μὴ προβαίνει, τέως τὸν λογισμὸν μολύνει, καὶ μοιχὸν ἀποτελεῖ τὸν ἀλόντα. Τίς τοσοῦτόν ἐστιν τολμηρὸς, ὃς τοῖς ἀλλοτρίοις συνεχῶς κατοπτεύων κάλλεσιν, λέγει, μηδὲ τὸ παράπαν παραβλάπτεσθαι; Εἰ δὲ τοῦτο δύσκολον, χρὴ μάλιστα φεύγειν τὰς συνεχείς τῶν γυναικῶν ἐντεύξεις. Εἰ δὲ ἀνάγκη χαλινοῦν τοὺς ὀφθαλμοὺς, ὁ ἄμεμπτος καὶ σώφρων Ἰὼβ τοῖς ἑαυτοῦ φίλοις διαλεγόμενος, φησίν· « Εἰ δὲ καὶ ἐπηκολούθησεν ἡ καρδία μου γυναικὶ ἀνδρὸς ἑτέρου, εἰ καὶ ἐγκάθετος ἐγενόμην ἐπὶ θύραις αὐτῆς, ἀρέσαι ἄρα καὶ ἡ γυνή μου ἑτέρῳ. Θυμὸς γὰρ ὀργῆς ἀκατάσχετος τοῦ μιᾶναι γυναῖκα ἀνδρός· πῦρ γάρ ἐστι καιόμενον ἐπὶ πάντων τῶν μερῶν· ᾧ δ' ἂν ἐπέλθῃ, ἐκ ριζῶν ἀπώλεσεν. Καὶ ὁ μακάριος Παῦλος ἐπιστέλλων νουθετεῖ· « Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοὶ, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ. » Φησὶν δὲ Τίτῳ· « Πρεσβυτέρους νηφαλέους εἶναι, σεμνοὺς, σώφρονας· πρεσβύτιδας ὡσαύτως, ἱεροπρεπεῖς, καλοδιδασκάλους, ἵνα σωφρονίζωσιν τὰς νέας φιλάνδρους εἶναι, φιλοτέκνους, σώφρονας, ἁγνάς. » Καὶ αὖθις, « Ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν, καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως, καὶ δικαίως, καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι. » Καὶ Τιμοθέῳ· « Χήρας τίμα, τὰς ὄντως χήρας. » Καὶ ἐπάγει· « Ἡ δὲ ὄντως χήρα, καὶ μεμονωμένη, ἤλπισεν ἐπὶ τὸν Θεὸν, καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας· » καθὼς καὶ ἡ ὁσία Ἄννα, ἡ θυγάτηρ Φανουὴλ, ζήσασα μετὰ τοῦ ἀνδρὸς αὐτῆς σωφρόνως ἔτη ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς, κατὰ τὸ

A magnum illum Eliam **1658** promeruit excipere hospitio, utque filius suus ad vitam postliminio revocaretur precibus prophetæ [56]. Similem in modum magnus Gregorius Neocæsareæ episcopus gentiles alioqui parentes cum haberet, ipse etiam dum gentilis, ab ipso ætatis flore, intemeratæ castitatis pudorem custodivit : cujus gratia dignus habitus est qui doctrice Matre Domini atque evangelista Joanne mysterium condisceret fidei, denique hic orbi inclaruit mirabilium opifex operum. Amatores siquidem pudicitiæ et integritatis, non in hac modo vita laudem referunt, sed et coronam decoris et pallium castitatis reportabunt de manu Domini; secumque dicent : « Exsulta nunc, anima mea, in Domino : induit enim me pallio salutari, et B indumento lætitiæ, quasi sponso circumposuit mihi mitram, et quasi sponsam adornavit me mundo [57]. » Hi fulgebunt in regno Patris, si modo nihil ficte reliquas sibi conciliarint virtutes, quibus pulchre conveniat cum una hac castitate. Illic istis videbitur vita et longiturnitas dierum tranquilla prorsus et ab omni submota temperie : ab eo enim regno procul fugit dolor; mœror ac gemitus longissime sejuncta sunt. Perfecte castus omni ex parte communit ac custodit se. Audivi enim de rege quopiam a fide alieno : Is Ephesi cum vidisset sacrificulam quamdam decore admirabili præcellentem, ex Epheso eam confestim emisit, veritus ne quis illam violenta impressione subigeret, et indecori C in illam quidpiam admitteretur. Cyrus proinde Persarum rex tympanistriam (cui, omnium testimonio, admirabilis et supra quam credi posset, tribuebatur elegantia corporis) ne videre quidem sustinuit. Quod si talia suo asseverant testimonio a fide exotici, et a salutari unctione alieni, quid nos non conveniat præ illis tanto efficere, qui Christi ex professo discipuli sumus? Necesse igitur sit, temperemus nobis non a collocutione modo, sed et ab aspectu, qui quidem via est recta deducens ad operationem flagitii. Esto, ad opus usque non progrediatur, aliquousque tamen defœdat cogitationem ac mœchum efficit talem captivum. Quis, quæso, eousque temeritatis provectus est, qui cum in alienam pulchritudinem continenter et pressius D defigat oculos, dicere ausit nulla hinc se ex parte lædi? Hoc perquam difficile sit. Maxime quidem omnium, vitandi sunt mulierum congressus assidui. Quod si necesse fuerit, oculi quoque dispalantes ac vagi, velut injecto freno coercendi sunt. Hoc se fecisse Job irreprehensibilis et pudicus, cum amicis suis disserens ait : « Si secutum est cor meum mulierem viri alterius, et si insidiator fui ad januas ejus, placeat utique uxor mea alteri; furor enim iræ irretentibilis est contaminare uxorem viri; ignis enim est omnes consumens partes : quemcunque adorietur, ab radice ipsa hunc perdet [58]. » Beatus insuper Paulus per Epistolam admonet dis-

[56] III Reg. XVII, 23. [57] Isa. LXI, 10. [58] Job XXXI, 9-12.

cens : « Obsecro igitur vos, fratres, per misericordiam Dei, ut exhibeatis corpora vestra hostiam sanctam, Deo bene placentem [59]. » **1059** Et ad Titum : « Presbyteros, sobrii ut sint, pudici, casti : anus similiter, ut sint in habitu decenti, bene docentes, ut prudentiam doceant adolescentulas, ut viros suos ament, filios diligant ; prudentes, castas [60]. » Rursum : « Ut abnegantes impietatem et sæcularia desideria, sobrie et juste et pie vivamus in hoc sæculo [61]. » Timotheo quoque : « Viduas honora quæ vere viduæ sunt [62]. » Inducit : « Quæ autem vere vidua est et desolata, speret in Deum, et instet obsecrationibus et orationibus nocte et die [63] ; » quemadmodum sancta illa Anna, filia Phanuel, quæ cum viro caste vixerat annis septem a virginitate sua (juxta evangelicam narrationem). « Et hæc vidua ad annos usque octoginta quatuor provecta, non discedebat de templo, jejuniis et obsecrationibus serviens Deo [64], » et prophetico spiritu pro vitæ merito illustrata, « eadem hora superveniens confitebatur Domino, et loquebatur omnibus exspectantibus redemptionem Jerusalem [65], » de Domino ac Deo et Salvatore nostro Jesu Christo; cui gloria et imperium in sæcula. Amen.

A Εὐαγγέλιον διαγορεύει, καὶ αὐτὴ χήρα οὖσα ὡς ἐτῶν ὀγδοήκοντα τεσσάρων, ἡ οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ, νηστείαις καὶ δεήσεσι λατρεύουσα τῷ Κυρίῳ· καὶ προφητείας ἀξιωθεῖσα, αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμολογεῖτο τῷ Κυρίῳ, καὶ ἐλάλει πᾶσιν τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἰερουσαλὴμ περὶ τοῦ Κυρίου, καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

HOMILIA XXI.

De virginitate.

Virginitas, propinqua germanitate cohæret castitati. Est autem hac et cæteris partibus continentiæ superior : quippe quæ cum angelis ipsis proxime congreditur, ac Deo propinquat per integritatem ac munditiam. Non igitur mediocris prærogativæ est, possessio virginitatis, angelicæ puritatis æmula cum sit, eoque cœlestis. Hujusce dicti mei argumentum est, quod non usque adeo promptum sit, in divinis Litteris quempiam invenisse qui perpeti tenore secundum eam vitam instituerit, aut ipsam illustrarit virtutis nomine ante legem. Sed ne legis quidem tempore, facile quis ullum enumeret, nisi angelum illum terrestrem, ac plane cœlestem hominem Eliam Thesbitem, et hujus discipulum Elisæum. His forte accensendus venit Jeremias. Alios item quis fortasse adnumeret, sed inter prophetas adde his eximium illum in mulierum natis, Veteris Novique Testamenti mediatorem. Hic integer ac verus corpore simul et spiritu virgo cum esset, ob vitæ sinceritatem ac munditiam non vocari solum promeruit amicus sponsi, sed et dignus habitus qui ipsum Dominum lymphis tingeret sacri baptismatis. Hos præter, nemo argumentis evicerit, ullum per virginitatem probasse se Deo, eorum qui vel legislationem præiverint, vel vixerint sub lege. Proinde apud gentiles (adde et eos qui in his philosophi dicuntur) non solum virginitas sincera nunquam suum exseruit splendorem; sed nec credunt ullum hominem corporis fragilitate circumdatum propriis illam perspexisse oculis. Jure id : quo enim pacto isti fidem commodent de virginitate disserenti, qui deos suos totius spurcitiæ et obscœnitatis tutelares patronos constituunt? qui porcorum instar, per omnem impuritatem traducunt vitam flagitiosissime? Judæi usque hodie, ne salute quidem dignantur virginitatem, **1060** adeo non exercent. Atqui cum apud nos Christianos per-

B

ΛΟΓΟΣ ΚΑ'.

Περὶ παρθενίας.

Ἡ παρθενία πλησιάζει μὲν τῇ σωφροσύνῃ, ἀνωτέρα δὲ καὶ αὐτῆς καὶ τῶν λοιπῶν ἀρετῶν τυγχάνουσα, τοῖς ἀγγέλοις συναμιλλᾶται, καὶ Θεῷ πλησιάζει διὰ τὴν καθαρότητα. Μέγα οὖν ὡς ἀληθῶς τὸ κτῆμα τῆς παρθενίας, καὶ ἀγγελικὸν, καὶ οὐράνιον. Τεκμήριον δὲ, ὅτι οὐ ταχέως ἐν ταῖς θείαις Γραφαῖς εὑρίσκομεν ταύτῃ τῇ ἀρετῇ διαπρέψαντα πρὸ τοῦ νόμου. Καὶ ἐν τῷ νόμῳ δὲ οὐκ ἂν ἔχῃ τις εἰπεῖν τινα, εἰ μὴ τὸν ἐπίγειον ἄγγελον, καὶ οὐράνιον ἄνθρωπον Ἠλίαν τὸν Θεσβίτην, καὶ τὸν τούτου φοιτητὴν Ἐλισσαῖον· τάχα δὲ καὶ Ἱερεμίαν, καὶ ἄλλους τινὰς εὐαριθμήτους ἐν τοῖς προφήταις, καὶ τὸν μέγαν ἐν γεννητοῖς γυναικῶν γενόμενον, τὸν Παλαιᾶς καὶ Καινῆς Διαθήκης μεσίτην. Οὗτος γὰρ ἀληθῶς παρθένος, σώματι καὶ πνεύματι· ὃς διὰ τὸ εἰλικρινὲς, καὶ τὸ καθαρὸν τοῦ βίου, οὐ μόνον φίλος τοῦ νυμφίου ἐκλήθη, ἀλλὰ καὶ αὐτὸν κατηξιώθη βαπτίσαι τὸν Κύριον. Καὶ πλείω τούτων, οὐκ ἔν τις δείξῃ, ἐν τοῖς πρὸ νόμου καὶ νόμῳ τινὰς, διὰ τῆς παρθενίας τῷ Θεῷ εὐαρεστήσαντας. Παρὰ δὲ Ἕλλησιν καὶ αὐτοῖς λεγομένοις αὐτῶν φιλοσόφοις, οὐ μόνον δὲ ὅτι οὐδέπω ἐφάνη παρθενία, ἀλλ' οὐδὲ πιστεύουσίν τινα ἄνθρωπον σῶμα περικείμενον, ταύτῃ ἀντοφθαλμῆσαι· καὶ δικαίως· πῶς γὰρ πιστεύσωσιν περὶ παρθενίας, οἱ τὰ αἰσχρὰ πάθη θεοποιήσαντες, καὶ δίκην χοίρων ἐμπολιτευόμενοι πάσῃ ἀσελγείᾳ καὶ ἀκολασίᾳ; Ἰουδαῖοι δὲ μέχρι τῆς σήμερον, παρθενίαν μὲν οὔτε ἀσπάζονται, οὔτε μετέρχονται. Παρ' ἡμῖν δὲ τοῖς Χριστιανοῖς ὁρῶντες ἀνθοῦσαν κατὰ πᾶσαν τὴν οἰκουμένην, καὶ ἐμπολιτευομένην διὰ πάσης ἡλικίας, τήκονται, κατὰ τὸ εἰρημένον, « Ἁμαρτωλὸς ὄψεται, καὶ ὀργισθήσεται· τοὺς ὀδόντας αὐτοῦ βρύξει, καὶ τακήσεται. » Ἀφ' οὗ γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ τοῦ Θεοῦ Υἱὸς ηὐδόκησεν ἐκ τῆς ἁγίας ἀχράντου Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας τῷ κόσμῳ ἐπιφανῆναι, καὶ ἔδωκεν ἡμῖν ἐξουσίαν κατὰ τοῦ διαβόλου, εὐχερῶς

[59] Rom. xii, 1. [60] Tit. ii, 2, 5. [61] ibid. 12, vel, *ut abnegata impietate et sæcularibus desideriis*, etc. Videtur hic *sobrie* pro, *caste* et *pudice*, sumi. [62] I Tim. v, 3. [63] ibid. 5. [64] Luc. ii, 37. [65] ibid. 38.

ἐξανύεται παντὶ τῷ βουλομένῳ· τοιαύτη τῆς παρθενίας ἡ ἀρετή. Ἀλλ' ὅτι μὲν μέγα τὸ κατόρθωμα, καὶ μείζονα τὰ ἐν ἐπαγγελίαις ἀποκείμενα ἀγαθὰ, τοῖς ἀγαπῶσι τὸν Θεὸν πᾶσιν πρόδηλον. Ἀμήχανον δὲ χωρὶς ἀγάπης Θεοῦ καὶ ταπεινοφροσύνης, φθάσαι τινὰ εἰς τὸ ὕψος τῆς τοιαύτης ἀρετῆς, ὡς μαρτυρεῖ αὐτὴ ἡ πανάμωμος, καὶ πανύμνητος, καὶ πανένδοξος Θεοτόκος ᾄδουσα· « Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου· » τὴν θείαν ἀγάπην ἐμφαίνουσα. Καὶ εὐθέως· « Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. » Καὶ αὖθις· « Καθεῖλεν δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσεν ταπεινοὺς, » καὶ τὰ ἑξῆς. Καὶ πρὸς τὸν Γαβριὴλ πρότερον· « Ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. »

A spiciant toto terrarum orbe eam suave fragrantes et peramœnos flores exerere, ac per omnem ætatem pulchre regi et officio fungi, isti per invidiam eliquantur misere et contabescunt, juxta Prophetæ sententiam : « Peccator videbit et irascetur, dentibus suis fremet et tabescet [66]. » Ex quo tempore Dominus noster Jesus Christus Dei Filius sua solius erga nos benignitate ex utero voluit sanctæ et intemeratæ Deiparæ semper virginis Mariæ, suo ad nos adventu inclarescere mundo, simulque vires suggessit quibus obluctemur diabolo : facile deinceps sit virtutem perficere virginitatis, modo is ex animo velit, ut ardua sit functio virtutis istius. sed et quæ bonis toto pectore Deum diligentibus per repromissionem reposita sunt, nulli obscurum longe esse præstantiora. Nulli tamen possibile ad tantæ virtutis pertingere fastigium, nisi præsidio juvetur et erga Deum charitatis, et animi de se quam modestissime sentientis, juxta tesmonium Deiparæ omni laudum genere celeberrimæ, nulli obnoxiæ vitio, sed gloria omni dignissimæ, in hunc modum emodulantis : « Magnificat anima mea Dominum, et exsultavit spiritus meus in Deo salutari meo [67]; » cum enim per hanc subindicet suam erga Deum charitatem, mox addit : « Quia respexit humilitatem ancillæ suæ [68]. » Rursus : « Deposuit potentes de sede, et exaltavit humiles [69], » et quæ ordine sequuntur. Sed et aliquanto prius Gabrieli responderat : « Ecce ancilla Domini, fiat mihi secundum verbum tuum [70]. »

Σαφῶς οὖν διὰ τούτων ἀποδέδεικται, ὅτι ἐξ ἄκρας ταπεινώσεως καὶ τῆς πρὸς Θεὸν ἀγάπης, τὸν τῆς παρθενίας ἄμωμον χιτῶνα ἑαυτῇ ἡ κεχαριτωμένη ἐξύφανεν. Ἀλλ' ὅτι μὲν μεγάλη ἡ ἀρετὴ τῆς παρθενίας, ἀποδέδεικται. Χρὴ δὲ τὸν εἰς τοῦτο τὸ στάδιον ἀποδυόμενον νομίμως ἀθλῆσαι, κατὰ τὸν Ἀπόστολον. Οὐ γάρ ἐστιν αὐτῶν ἡ πάλη « πρὸς αἷμα » καὶ « σάρκα μόνον, » ἀλλὰ « πρὸς τὰς ἀοράτους δυνάμεις. » Ὁ νεανίσκος τοίνυν, τουτέστιν ὁ ἑαυτὸν εὐνουχίσας διὰ τὴν βασιλείαν, καὶ ἡ παρθένος, ἐὰν μὴ κατὰ πάντα τοιοῦτοι ὦσιν, ὥσπερ οἱ ἀληθινοὶ μιμηταὶ τοῦ Χριστοῦ, οὐ δύνανται σωθῆναι. Τὸ γὰρ λέγεσθαι παρθένον, καὶ τὰς ἀρετὰς μὴ ἔχειν ἀναλόγους, καὶ οἰκείους καὶ ἁρμοζούσας τῇ παρθένῳ, μωρὰν τὴν τοιαύτην παρθένον φησὶν ὁ Κύριος. Ἀφεγγὴς γὰρ οὖσα καὶ ἀνέλαιος, ἔξω τῆς βασιλείας τῶν οὐρανῶν ἐγκλείεται, νυμφίου χαρᾶς στερηθεῖσα, καὶ μετὰ τῶν μισούντων τὸν νυμφίον λογισθήσεται. Δοκεῖ γὰρ εἶναί τι ἡ ἄπρακτος μηδὲν οὖσα, καὶ φρεναπατᾷ ἑαυτήν. Δοκιμαζέτω δὲ ἕκαστος τὸ ἔργον αὐτοῦ, καὶ ἑαυτὸν ἐπιγινωσκέτω, ὅτι θρησκεία ἐστὶν μάταιος, παρθενίαν καὶ ἐγκράτειαν ὁμολογοῦντες ἔχειν, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι. Ἡ γὰρ ὄντως εὐνουχία, καὶ ἡ ὄντως παρθενία ἐν Κυρίῳ, ἁγία ἐστὶν τῷ σώματι καὶ τῷ πνεύματι, ἀπερισπάστως καὶ εὐπαρέδρως τῷ Κυρίῳ λατρεύουσα ἐν Πνεύματι Θεοῦ, καθαρῶς καὶ ἀμιάντως ἀρέσκουσα τῷ Κυρίῳ, καὶ ἀεὶ μεριμνῶσα πῶς ἀρέσει αὐτῷ, καὶ ἓν Πνεῦμά ἐστιν πρὸς Κύριον, καθὼς γέγραπται· « Ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι, » λέγει Κύριος. Οὐ γὰρ ὀνόματι μόνον ψιλῷ ὁ ἅγιος, ἁγιός ἐστιν, ἀλλ' ἐν παντὶ ὁ ἅγιος, τῷ σώματι καὶ τῷ πνεύματι. Εἰ ἀπετάξω οὖν τοῖς τῆς σαρκὸς πάθεσιν, πρόσεχε τὸν ἀγῶνα

B His igitur clarissime explicatum reor, quia per summam humilitatem et erga Deum charitatem, plena cum esset gratiæ, promeruit sibi vestem pertexere virginitatis, nulla ruga decolorem, nulli obnoxiam reatui. Qui autem ad excurrendum stadium ejusmodi, omnibus se extricavit remoris, secundum apostolicam sententiam, necesse est legitime ut certet et ad palmam usque suum promoveat agonem. Neque enim isti « adversus sanguinem » modo « et carnem » adornatur « colluctatio, sed » et « adversus » invisibiles « potestates [71]. » Itaque, adolescentulus qui se propter cœlorum regnum castravit, similiter et virgo quæpiam : nisi per omnia sese præstiterint ceu addecet veros imitatores Christi, neutiquam ad portum provehentur C salutis. Ut enim virgo una aliqua dicatur, nec interim cæteras curet indipisci virtutes quæ virginitati proxime respondeant, quæ tuendæ virginitati faciant plurimum et quadrent : ejusmodi virginem stultam dixit Dominus, quippe quæ nullum præ se ferat illustre lumen, nihil secum gestet olei [72]. Talis quæ est, aditu excluditur regni cœlorum, neutiquam admissa, gaudio ut perfruatur sponsi, sed in earum deputabitur collegium quæ sponsum oderint. Quæ enim est talis, peræque se habet ac si nihil boni confecerit operis, sed imprudenter seipsam seduxit. Opus itaque suum probet unusquisque et exploret, seque agnoscat; alioqui observatio omnis vitæ quamlibet religiosæ, in- D frugi futura est et inanis : eorum nempe qui penes se esse profitentur virginitatem, ac temperare sibi a carnis illecebris, cum re ipsa virtutem ejus negent. Nam quæ tantopere commendatur castratio a

[66] Psal. cxi, 10. [67] Luc. i, 46, 47. [68] ibid. 48. [69] ibid. 52. [70] ibid. 38. [71] Ephes. vi, 12. [72] Matth. xxv, 3.

lenociniis carnis, ac vera plane in Domino virginitas, sancta est et corpore et spiritu, indivulse **1061** et perpeti tenore Domino serviens in Spiritu Dei, sinceriter ac procul omni spurcitia se probans Domino, secum conserens jugiter quibus studiis possit ei gratiosa esse et amabilis : eoque unus cum Domino efficitur spiritus, sicut scriptum est : « Sancti eritis quia ego sanctus sum, dicit Dominus. » Neque enim is nomine tenus, tanquam prærogativa insigniatur sublimioris nomenclaturæ, sanctus dicitur ; sed per omnia sanctus est, et corpore et spiritu. Si igitur affectionibus renuntiasti carnis, sedulo tecum reputa, quem subieris veræ virginitatis agonem. Cum te ab istis mundi illecebris castrasti, si quidem id feceris propter regnum cœlorum, magna cum cautione fac retineas ac tuearis susceptum semel agonem hunc propositi monastici. Animo præsenti et arrecto fac vigiles adversus omnes colluctatoris tui violentos assultus, imitatus prudentis naucleri solertiam, qui contra fluctivomos undarum vortices perdius stat et pernox. Præduce Dei gratia, animi tui impetus aurigæ in morem frena ac moderare, nequando a recto calle exerres devius. Indivulsam da operam, Deo ut servias et proinde gratiosus illi inveniaris, dum te illi probas in sanctimonia corporis et spiritus. ut strenuæ conversationis ac vitæ ornamentis virtutum perpolitæ assequaris gloriam. Eluctare pro virili adversus hostem agone legitimo, ut corona quam ardentibus votis expetisti et adamasti, aliquando potiaris, ac palmari redimitus corona, in illam cœlestem Jerusalem celebri cum pompa subveharis victor, cujus obtinendæ gratia, prudentiam hanc carnis a te excussisti. Atqui vide, gratiam tuæ istius sanctimoniæ ut ad Dei gloriam referas, qui minime sivit te in eorum devolvi et concludi manus, qui voluntatem explent carnis et sanguinis, et ad hæc corruptelæ atque obscenæ turpitudinis opera toti propendent; sed te sua dextera præmunivit. Magnum plane fuerit, si citra jactantiam, ad honorem solum Dominicæ carnis, perpetuo te continueris in sanctimonia ac puritate. Quisquis interim ob eam gloriatus hic fuerit, isti intercipietur fructus omnis ac deperiet. Proinde, ut jam dictum est, necesse sit, tibi ut concilies virtutes reliquas quæ sua proportione comites assident uni virginitati ; ipsa enim sublimiore gradu cæteras antegreditur. In utero siquidem Virginis Dei Verbum sibi domicilium delegit, ac mansitavit : qua una ex re agnosce quanta præpolleat gloria virginitas. Quotquot autem se consecrant Deo, Christum necesse est imitentur. Ait enim Paulus : « Imitatores mei estote, sicut et ego Christi [73]. » In talibus proinde, ne vestigium quidem invenire sit prudentiæ carnis. Sane omni circumspectione providendum est proprii cordis custodiæ, nec sibi ulla prorsus ratione permittat virgo, cum adolescentulo quovis, ut aliquid communicet et conspiret arcani. Virgines vero consecratione Dei venerabiles, sed et ætate provectiores, in unum si comperientur convenisse, necessitas insuper appetat administrandi ferculi ; vos virgunculæ. manus vestras suo quæque obvolvite palliolo. Haud secus viris arbitror faciendum, ut cum pudore recta contuentes, caste et modeste in Domino suas ipsorum manus circumtectas toga cum habuerint, illic secedant. **1062** Sed et ante omnia

A τῆς ἀληθοῦς παρθενίας. Εἰ εὐνουχίσαι ἑαυτὸν ἠθέλησας διὰ τὴν αἰώνιον βασιλείαν [a], ἐπιμελῶς κάτεχε τὸν τῆς ἀσκήσεως ἀγῶνα, καὶ πρόσεχε τὰς προσβολὰς τοῦ ἀντιπάλου, ὥσπερ κυβερνήτης τὰ κύματα διαβαίνων· γενοῦ ἡνιοχούμενος ὑπὸ τῆς χάριτος, μὴ παρατραπεὶς τῆς εὐθείας ὁδοῦ· ἀγώνισαι ἀπερισπάστως, καὶ ὅλῃ καρδίᾳ δουλεύειν Θεῷ, καὶ αὐτῷ ἀρέσκειν ἐν ἁγίῳ σώματι καὶ πνεύματι, ἵνα καταλάβῃς τῆς ἐναρέτου πολιτείας τὴν δόξαν. Ἀγώνισαι νομίμως ἀθλῆσαι, ἵνα τὸν στέφανον, ὃν ἥρτισω, ἀπολαύῃς, καὶ στεφανηφόρος ἀπέλθῃς [a] πρὸς τὴν ἄνω Ἱερουσαλήμ. Δι' ἣν καὶ ἀπετάξω τῷ τῆς σαρκὸς φρονήματι, ἀνάθες τὴν χάριν τῆς ἁγνείας σου τῷ Θεῷ, ὅτι οὐ συνέκλεισέν σε εἰς τὰς χεῖρας τῶν θελημάτων τῆς σαρκὸς καὶ τοῦ αἵματος, καὶ
B τῶν προσασχολουμένων τούτοις φθοροποιῶν καὶ ἀκαθάρτων ἀνθρώπων· ἀλλὰ κατησφαλίσατο τῇ ἑαυτοῦ δεξιᾷ. Μέγα οὖν ἐστιν ἐν ἁγνείᾳ μένειν εἰς τὴν τιμὴν τῆς σαρκὸς τοῦ Κυρίου ἐν ἀκαυχησίᾳ. Ἐὰν γὰρ καυχήσηται, ἀπώλετο. Χρὴ δὲ καὶ τὰς λοιπὰς ἀρετάς, καθὼς εἴρηται, ἀναλόγως ἔχειν τῇ παρθενίᾳ. Ὅτι ἡ παρθενία ἀνωτέρα πάντων ἐστίν. Παρθένος γὰρ μήτρα ἐκύησε τὸν Θεὸν Λόγον. Ἐκ τούτου γνῶθι τὴν δόξαν [b] τῆς παρθενίας. Οἱ γὰρ ἀφιερούμενοι τῷ Θεῷ, μιμηταὶ τοῦ Χριστοῦ γίνονται· φησὶν γάρ· « Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. » Ἐν γὰρ τοῖς τοιούτοις φρονήμασιν, φρόνημα σαρκὸς οὐχ ὑπάρχει. Χρὴ οὖν πάσῃ φυλακῇ τηρεῖν τὴν ἑαυτοῦ καρδίαν, καὶ μηδ' ὅλως συνδυάζειν
C παρθένον μετὰ νεανίσκου τὸ παράπαν· εἰ δὲ καὶ εὑρεθῶσιν πρεσβύτιδες ἱεροπρεπεῖς, καὶ χρεία παραθέσεως, εἰλῆσαι τὰς ἑαυτῶν χεῖρας τῷ ἑαυτῶν ἱματίῳ. Ὁμοίως δὲ καὶ οἱ ἄνδρες, μετὰ αἰδοῦς ὀρθῶς βλέποντες σωφρόνως τε καὶ σεμνῶς ἐν Κυρίῳ, τὰς ἑαυτῶν δεξιὰς περικεκαλυμμένας ἔχοντες τῷ ἑαυτῶν ἱματίῳ, ἀποχωρισθῶσιν. Πρὸ δὲ πάντων χρὴ τὴν παρθένον τῷ ἐλαίῳ τῆς εὐποιΐας κατακοσμῆσαι τὴν ἑαυτῆς λαμπάδα, ἵνα μὴ στερηθῇ χαρᾶς νυμφίου, καὶ εὐφροσύνης, κατὰ τὴν παραβολὴν τοῦ Κυρίου, « Ὅτι αἱ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν, » καὶ συνεισῆλθον τῷ πολυποθήτῳ νυμφίῳ· « Καὶ ἐκλείσθησαν αἱ θύραι. » Καὶ ἀπήλαυσαν τῆς χαρᾶς αὐτοῦ αἰωνίως. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας.
D Ἀμήν

[73] I Cor. xi, 1.

VARIÆ LECTIONES.

[a] ἐλπίδα. [a] πομπεύσῃς. [b] ἁγνείαν.

virginem addecet, ne privetur sponsi gaudio ac lætitia, suam ut concinnet lampadem, ac oleum infundat, oleum plane morigeræ obedientiæ : idque juxta Dominicam parabolam qua dicitur : « Prudentes acceperunt oleum in vasis suis [74], » simulque convenerunt cum sponso, saneque, desiderabili : « Et clausa est janua. » At hæ interim perpeti gaudio perfruuntur sui sponsi. Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΚΒ'.

Περὶ προπετείας.

Φησὶν ὁ νόμος· « Ἐὰν ὦσιν διαμεμαρτυρημένοι αὐτῷ, καὶ μὴ ἀφανίσῃ αὐτὸν, ἀποτίσει. » Ἔστιν ὅτε ἐν συμποσίῳ προσπηδᾷ ὁ κενόδοξος λογισμὸς λαλῆσαι βουλόμενος παρὰ τὸν καιρόν. Διαμαρτύρονταί σε οἱ ἀγαθοὶ λογισμοὶ, ἀφανίσαι τὸν φιλοφλύαρον λογισμόν. Ἐὰν τοίνυν μὴ ἀφανίσεις αὐτὸν τῇ σιωπῇ, ἀλλὰ παραχωρεῖς αὐτὸν προελθεῖν, τότε λοιπὸν ἀποτίσεις τὸ ὄφλημα, ἢ ἁμαρτία μεγάλη ὑπὸ τῆς δίκης παραδοθείς. Ὁ γὰρ προπετὴς ἐν λόγῳ ἢ ἐν πράγμασιν, ἔχει καὶ τὸ θολερὸν, ἧδιστα δὲ καὶ θεσμοθετεῖν θέλει· ζητεῖ γὰρ ἀεὶ καταγωνίζεσθαι, καὶ τὸν λόγον αὐτοῦ κυρῶσαι. Ὁ δὲ τοιοῦτος ἰσχυρὸς ἄφρων, ἀκούει γὰρ παρὰ τοῦ Παροιμιαστοῦ, « Ὃς πέποιθεν ἐπὶ θράσει καρδίας, ἄφρων· σοφοὶ δὲ κρύψουσιν αἴσθησιν. » Καί· « Στόμα προπετοῦς ἐγγίζει συντριβῇ· φειδόμενος δὲ χειλέων, νοήμων ἔσται. » Καὶ πάλιν· « Ὃς φυλάσσει τὸ στόμα αὐτοῦ, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν· ὁ δὲ προπετὴς χείλεσιν, πτοήσει ἑαυτόν. » Καὶ πάλιν· « Ὃς ἀποκρίνεται λόγον πρὶν ἀκοῦσαι, ἀφροσύνη αὐτῷ ἐστιν καὶ ὄνειδος. » Καὶ αὖθις· « Ἐὰν ἴδῃς ἄνδρα ταχὺν ἐν λόγοις, γίνωσκε ὅτι ἐλπίδα ἔχει μᾶλλον ὁ ἄφρων, αὐτοῦ. » Καί· « Ὁ προπετὴς ἐν λόγῳ, μισηθήσεται. » Ὁ δὲ Ἰάκωβος· « Εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνὴρ δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα. » Καὶ πάλιν· « Ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, καὶ βραδὺς εἰς τὸ λαλῆσαι. » Καὶ ἐπάγει· « Εἰ δέ τις δοκεῖ θρῆσκος εἶναι, μὴ χαλιναγωγῶν γλῶσσαν αὐτοῦ, ἀλλὰ ἀπατῶν καρδίαν αὐτοῦ, τούτου μάταιος ἡ θρησκεία. » Καὶ πάλιν· « Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου, εἰδότες ὅτι τὸ μεῖζον κρῖμα ληψόμεθα. Πολλὰ γὰρ πταίομεν ἅπαντες. » Καὶ ὁ Παῦλος· « Ἵνα ἐν ἡμῖν μάθητε τὸ, μὴ ὑπὲρ ὃ γέγραπται, φρονεῖν, ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς φυσιοῦσθε κατὰ τοῦ ἑτέρου. » Καὶ τό· « Ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ. » Καὶ ἐπιφέρει· « Δοκῶ γὰρ ὅτι ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους. » Καὶ τό· « Ἡμεῖς μωροὶ διὰ Χριστόν. » Ἄμεινον οὖν ἐστιν σιωπᾷν, καὶ εἶναι, ἢ λαλοῦντας μὴ εἶναι. Καλὸν τὸ διδάσκειν, ἐὰν ὁ λέγων ποιῇ. Εἷς οὖν ὁ διδάσκαλος· ὡς εἶπεν, καὶ ἐγένετο. Καὶ ὃ σιγῶν δὲ πεποίηκεν, ἄξια τοῦ Πατρός ἐστιν. Ὁ λόγον Ἰησοῦ Χριστοῦ κεκτημένος, ἀληθῶς δύναται καὶ τῆς ἡσυχίας αὐτοῦ ἀκούειν, ἵνα ᾖ τέλειος· ἵνα δι' ὧν λαλεῖ, πράσσῃ, καὶ δι' ὧν σιγᾷ, γινώσκηται. Οὐδὲν γὰρ λανθάνει τὸν Κύριον, ἀλλὰ καὶ τὰ κρυπτὰ ἡμῶν,

HOMILIA XXII.

De effreni incontinentia linguæ.

Lex dicit : « Si testimonium tulerint adversus illum, et ipse non occiderit eum, pœnam luet [75]. » Contingit nonnunquam ut inter epulandum hilariter, cogitatio quædam exoriatur ac subsultet gloriæ inanis, volens intempestiviter in sermonem erumpere. Adversus hanc bonæ aliæ suo se objiciunt testimonio cogitationes, quæ reclamant ac protestantur non debere te cogitationem illam nimis quam nugacem in publicum depromere. Hanc igitur nisi freno silentii in os injecto suppresseris, sed effreniter et intempestive siveris illam prodire in apricum : deinceps lues quam promereris pœnam, aut certe exigente justitia in atrox aliquod et grave peccatum prolabere. Sermone enim aut rebus ipsis temerarius qui est, mire is est turbulentus, et agitatur intemperiis. Atqui idem magna cum voluptate studet cæteris sancire leges, ac jura cuique præscribere ; aliis contentiosius adnititur palmarium præripere et evincere : quemque sermonem semel ore protulerit, ratum facit priva auctoritate, firmat et sancit. Qui ejusmodi est, vehementer se comprobat imprudentem. Audi enim tu, sed a Parœmiaste : « Qui confidit in audacia cordis, imprudens est ; sapientes autem absconden sensum [76]. » Et : « Os procacis propinquat contritioni ; qui vero parcit labiis, intelligens erit [77]. » Rursus : « Qui custodit os suum, servat animam suam [78] ; qui autem temerarius est labiis, perdet seipsum [79]. » Itemque : « Qui respondet sermonem, priusquam audiat, imprudentia erit illi et opprobrium [80]. » Iterum : « Si videris virum velocem ad loquendum, scito quia præ illo spem habet stultus [81]. » Et : « Sermone procax et temerarius, odibilis erit [82]. » Jacobus : « Si quis verbo non offendit, hic perfectus est vir, potens frenare etiam totum corpus [83]. » Rursus : « Sit omnis homo velox ad audiendum, tardus ad loquendum [84]. » Inducit : « Si quis autem videtur religiosus esse, non refrenans linguam suam, hujus vana est religio [85]. » Iterum : « Nolite multi esse magistri, fratres mei, scientes quia majus judicium sumemus. In multis enim offendimus omnes [86]. » Paulus item : « Ut in nobis discatis non supra ea quæ scripta sunt sapere, ut ne unus pro uno infletur adversus alterum [87]. » Et illud : « Charitas non agit perperam, non inflatur, non est ambitiosa [88]. » Et infert : « Puto enim quod Deus nos apostolos novissimos ostendit, tanquam morti

[74] Matth. xxv, 4. [75] Deut. xix, 11. [76] Prov. xxviii, 26. [77] Prov. xvii, 28. [78] Prov. xxi, 23. [79] Eccli. ix, 25. [80] Prov. xviii, 13. [81] Prov. xxix, 20. [82] Eccli. ix, 25. [83] Jac. iii, 2. [84] Jac. i, 19. [85] Ibid. 26. [86] Jac. iii, 1, 2. [87] I Cor. iv, 6. [88] I Cor. xiii, 4.

destinatos [89]. » Et illud : « Nos stulti propter Christum [90]. » Satius igitur, ut sileas et sis ; quam ut loquaris, nec interim sis. Egregium, fateor, est docere, modo quæ quis dicit, faciat. **1063** Sane unus fuit magister, qui, quæ dixit, fecit : nam vel tacens, digna gessit Patre suo. Qui verbum Jesu Christi penes se tenet ac recondit (siquidem perfectus jam est), vere is potest vel silentium Christi intelligere, usque adeo ut per ea quæ silentio premit Christus, se tamen prodat et agnoscatur. Nihil uspiam est quod Domini fugiat cognitionem, quin arcana pectoris vestri in conspicuo illi sunt proxime. Judicium itaque quod manet doctores ejusmodi, terrorem nobis incutiat. Abundantius etenim judicium iis imminet qui quæ dicunt, non faciunt, docentes falsi nominis scientiam, nullo fructu suam doctrinam ferentes, at interim sensu carnis exuberantes ac præturgidi. Cæci cum sint, viam præstruunt cæcis, ut utrique in foveam abeant præcipites [91] ; ab exitu enim sermonis sui cognoscetur vir. Eos qui tales sunt, perstringit Apostolus : « Hi sunt incontinentes, immites, sine benignitate, proditores, protervi, inflati, voluptatum amatores magis quam Dei [92]. » Sed et effrenis ille lingua ac præproperus Judas, cognomento Iscariotes, dicebat : « Utquid unguentum hoc non venit trecentis denariis, et datum est pauperibus ? dixit autem hoc non quod pauperes haberet curæ, sed quia fur erat [93] : » potius vero, implacabilis cum esset, suæ tegendæ voluntati, quædam in speciem decentia prætexebat homo nefarius. At Dominus longanimiter cuncta hæc perferens, respondit mitissimus : « Sinite eam, in diem sepulturæ meæ servavit sibi [94]. » Ipsi gloria in sæcula. Amen.

A ἐγγὺς αὐτοῦ εἰσιν. Φοβηθῶμεν οὖν τὸ κρῖμα τῶν διδασκάλων. Περισσότερον γάρ ἐστι τῶν λεγόντων, καὶ μὴ ποιούντων, τὸ κρῖμα · ψευδώνυμον γνῶσιν διδασκόντων, καὶ ἐμβατευόντων εἰκῇ, καὶ φυσιουμένων ἀπὸ τοῦ νοὸς τῆς σαρκὸς, τυφλῶν τυφλοὺς ὁδηγούντων, καὶ ἀμφοτέρων εἰς βόθυνον πιπτόντων. Ἐκ γὰρ ἐξόδου λόγου αὐτῷ γνωσθήσεται ἀνήρ. Περὶ ὧν καὶ ὁ Ἀπόστολός φησιν · « Οὗτοί εἰσιν ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, προδόται, προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι. » Καὶ ὁ προπετὴς Ἰούδας ὁ Ἰσκαριώτης ἔλεγεν · « Διὰ τί τοῦτο τὸ μύρον οὐκ ἐπράθη τριακοσίων δηναρίων, καὶ ἐδόθη πτωχοῖς ; Εἶπε δὲ τοῦτο οὐχ ὅτι περὶ τῶν πτωχῶν ἤμελεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν · [καὶ τὸ γλωσσόκομον εἶχεν, καὶ τὰ ἐμβαλλόμενα ἐβάσταζεν.] »

B Μᾶλλον δὲ ἄσπονδος ὢν, ἀθέμιτα ἐλάλει πρέποντα τῇ αὐτοῦ γνώμῃ. Ὁ δὲ μακρόθυμος Κύριος ὁ πάντα φέρων, ἔλεγεν · « Ἄφετε αὐτὴν, εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

HOMILIA XXIII.

De ira.

C Necesse sit non mediocrem vim sibi inferat homo et eluctetur, turbulentam hanc ut frenet affectionem iræ, vimque animæ ad iram propendentem ut contineat in officio per longanimem tolerantiam, per orationem, ac sui quam humillimam dejectionem, adeo ut se nec fucate judicet, qui in aliorum censu numeretur, esse indignum. Innumeris siquidem modis iræ incentor hic dæmon, ac multiformi conflictu hominem adoritur et oppugnat, eos potissimum qui ad sustinendum agonem hunc in procinctu jam sunt : ut quos ingenti cum labore congeris fructus, sive jejunio, sive pervigilio noctis, oratione et decantatione psalmorum, aut certe administrandi officio, ad unum dispergat omnes ac dissipet, omnium maxime, si quem viderit D parum orationi attentum atque exerrantem. Suggerit enim hominis menti dæmon hic totius malignitatis artifex, quot fructus eatenus coegerit ; tanto nimirum tempore, eos ut vel momento intercipiat et disperdat. Atqui homo talis deinceps invenitur ebrius, non item a vino. Huic assimiles deplorat misere propheta : « Væ qui ebrii estis sine vino [95]. » Homini igitur semel insesso passione hac iræ, opus admodum fit, multum eluctetur præsidio extensæ orationis, eam a se ut ableget et agat in exsilium. Sane cui est cordi perfectionis scopus, cui magnopere placet agon spiritualis ; ab omni

ΛΟΓΟΣ ΚΓ'.

Περὶ ὀργῆς.

Μεγάλως θέλει βιάσασθαι ἄνθρωπος τοῦ κρατῆσαι τοῦ πάθους τῆς ὀργῆς, καὶ καταστεῖλαι τὸν θυμὸν τῆς ψυχῆς διὰ μακροθυμίας, δι' ἐπιεικείας, διὰ προσευχῆς καὶ ταπεινώσεως · καὶ ἐν παντὶ ἔχειν ἑαυτὸν ἀψήφιστον. Πολὺ γὰρ πολεμεῖ ὁ δαίμων οὗτος τῆς ὀργῆς τὸν ἄνθρωπον, κατὰ πολλοὺς τοὺς τρόπους, μάλιστα τοὺς βουλομένους ἀγωνίζεσθαι. Ἵνα οὖν συνάγῃ καρποὺς μετὰ πολλοῦ καμάτου, εἴτε διὰ νηστειῶν καὶ ἀγρυπνιῶν, ἢ διὰ προσευχῶν καὶ ψαλμῳδιῶν, ἢ διὰ διακονιῶν, ὑφ' ἓν σκορπίσει αὐτούς, μάλιστα ἐὰν ἴδῃ τινὰ μικρὸν παρατραπέντα τῆς εὐχῆς. Ἐπιῤῥίπτει γὰρ ὁ παμπόνηρος δαίμων οὗτος τῷ ἀνθρώπῳ, καὶ οὓς συνήγαγεν ἐν πολλῷ χρόνῳ καρποὺς, ἐν μιᾷ ῥοπῇ ὥρας σκορπίζει. Καὶ λοιπὸν εὑρίσκεται ὁ ἄνθρωπος μεθύων χωρὶς οἴνου, οὓς καὶ ταλανίζει ὁ προφήτης, λέγων · « Οὐαὶ οἱ μεθύοντες ἄνευ οἴνου. » Πολλοῦ οὖν ἀγῶνος δεῖται ὁ ἄνθρωπος τοῦ ἐξορίσαι τὸ πάθος τῆς ὀργῆς ἐν ἐκτενείᾳ προσευχῆς. Ὁ τοίνυν βουλόμενος πρὸς τελείωσιν ἐλθεῖν, καὶ ἐπιθυμῶν τὸν πνευματικὸν ἀγῶνα ἀγωνίσασθαι, ἀπὸ παντὸς ἐλαττώματος ὀργῆς ἀλλότριος ἔστω. Τὸ γὰρ πνεῦμα τῆς ὀργῆς, ἐν τῇ ἡμετέρᾳ καρδίᾳ καθήμενον, τὸν μὲν ὀφθαλμὸν τῆς διανοίας σκοτειναῖς ταραχαῖς ἐκτυφλοῖ · λοιπὸν, οὔτε διάκρισιν τῶν συμφερόντων δυνάμεθα κτήσασθαι, οὔτε πνευματικῆς γνώσεως εὑρεῖν κατάληψιν, οὔτε βουλεύματος ἀγαθοῦ κατέχειν τελειότητα, οὔτε τῆς ὄντως

[89] I Cor. XIII, 9. [90] ibid. 10. [91] Matth. XV, 14. [92] II Timoth. III, 2. [93] Luc. XIV, 5 ; Joan. XII, 5, 6. [94] ibid. 7. [95] Isa. XXIX, 9.

ζωῆς γενέσθαι μέτοχοι. Οὔτε τῆς θεωρίας τοῦ θείου φωτὸς δεκτικὸς ὁ ἡμέτερος νοῦς γενήσεται· οὔτε σοφίας μέτοχοι, ἀλλ' οὐδὲ τὰς σωτηριώδεις τῆς διακρίσεως βουλὰς κτήσασθαι δυνάμεθα, οὔτε τὰς τῆς δικαιοσύνης κυβερνήσεις νηφαλέᾳ καρδίᾳ ἐπέχειν ἰσχύσομεν. Οὐ χρὴ οὖν ἐξ οἱασδήποτε αἰτίας μετ' ὀργῆς κινεῖσθαι κατὰ τοῦ ὁμοπίστου, ἀλλ' ἢ μόνον κατὰ τῶν ἰδίων παθῶν, καὶ τῶν πονηρῶν λογισμῶν, οἵτινες σπεύδουσιν ἀπατῆσαι ἡμᾶς τῆς ἀληθινῆς ὁδοῦ. Διὰ τοῦτο γὰρ καὶ ὁ Παροιμιαστὴς ἐντέλλεται λέγων· « Ἀπόστησον παροργισμὸν ἀπὸ σοῦ, ὅτι ἡ νεότης καὶ ἡ ἄνοια ματαιότης. » Καί· « Μνήσθητι τοῦ κτίσαντός σε, ἐν ἡμέρᾳ νεότητός σου. » Καὶ πάλιν· « Ὀργὴ ἀπόλλυσιν καὶ φρονίμους, λόγος δὲ σκληρὸς ἐγείρει ὀργάς. » Καί· « Ὀργὴ πατρὸς, υἱὸς ἄφρων· θυμὸν δὲ ἀνδρὸς πραΰνει θεράπων φρόνιμος. » Καὶ πάλιν· « Βαρὺς λίθος, καὶ δυσβάστακτος ἄμμος· ὀργὴ δὲ ἄφρονος βαρυτέρα ἀμφοτέρων. » Καὶ πάλιν· « Μὴ ἀποκρίνου ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ, ἵνα μὴ ὅμοιος γένῃ αὐτοῦ· » ἀλλά, « Ἀποκρίνου ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ, ἵνα μὴ δόξῃ παρ' ἑαυτῷ φρόνιμος εἶναι. » Καὶ πάλιν· « Ἄφρων αὐθήμερον ἐξαγγέλλει ὀργήν· ὁ δὲ πανοῦργος, τσμιεύεται. » Καί· « Φυβερὸς λόγος ταράσσει καρδίαν ἀνδρός. » Καί· « Ὥσπερ τὸ ὕδωρ κινεῖται ὑπὸ βίας ἀνέμων, οὕτως θυμώδης ταράσσεται ὑπὸ λογισμῶν ὀργίλων. » Μοναχὸς ὀργίλος, σύαγρος ἐρημικός. Ἴδεν τινὰς, καὶ τοὺς ὀδόντας παρέτρισεν. Ὁ δὲ Ἰάκωβος διδάσκει ἡμᾶς, λέγων· « Ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, καὶ βραδὺς εἰς τὸ λαλῆσαι· βραδὺς δὲ εἰς ὀργήν. Ὀργὴ γὰρ ἀνδρὸς, δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται. » Καὶ αὖθις· « Πόθεν πόλεμοι, καὶ πόθεν μάχαι ἐν ὑμῖν; οὐκ ἐντεῦθεν, ἐκ τῶν ἡδονῶν ὑμῶν; » Καὶ ὁ Παῦλος· « Μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοὶ, ἀλλὰ δότε τόπον τῇ ὀργῇ. » Καὶ πάλιν· « Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν· Μηδὲ δίδοτε τόπον τῷ διαβόλῳ. » Καὶ πάλιν· « Πᾶσα πικρία, θυμὸς καὶ κραυγὴ καὶ βλασφημία, ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ. » Ὁμοίως καὶ ὁ Δαβίδ· « Παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν. » Καί· « Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. » Ὁ δὲ κηδεμὼν τῶν ψυχῶν ἡμῶν Κύριος ἀπεφήνατο, λέγων· « Ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ' ἂν εἴπῃ, Μωρὲ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

David : « Desine ab ira, et derelinque furorem [11]. » Et : « Irascimini et nolite peccare [12]. » Sed et Dominus, nostrarum providus curator animarum, sententiam hanc tulit : « Omnis qui irascitur fratri suo sine causa, reus erit judicio ; qui autem dixerit, fatue, reus erit gehennæ ignis [13]. » Ipsi gloria in sæcula. Amen.

A turbulento defectu iræ se reddat **1064** extorrem. Interdum enim spiritus hic iræ cordi assidens, tenebricosis suis intemperiis oculum mentis excæcat adeo, ut in reliquum quæ saluti parandæ commodent et conferant, nequeamus discernere : non ullam deprehendere intelligentiam scientiæ spiritualis : non ullius obtinere salutaris consilii perfectionem: extorres prorsus efficimur vitæ felicioris ; non jam capax aut idonea fuerit mens divinæ lucis contemplationis, non denique sapientiæ reddimur participes, sed nec unum admittimus salutare consilium adversus perplexam animi hæsitationem, non justitia moderatrice jam possimus in sobrietate premere cordis intemperiem. Nulla igitur ex causa par est conciri nos per iram adversus fidei compa-
B ris virum, præterquam adversus proprias affectiones, contra cogitationes improbas, quæ eo devergunt prono cursu, ut nos a rectitudine avocent veræ viæ. Ob hoc jubet Ecclesiastes : « Averte indignationem a te, quia juventus et ignorantia, vanitas [96]. » Et : « Memor esto Creatoris tui, in die juventutis tuæ [97-98]. » Rursus : « Ira perdit etiam prudentes, sermo durus suscitat iras [99]. » Et : « Ira patris filius imprudens, iracundiam autem viri mitigat famulus sapiens [1]. » Rursum : « Gravis quidem lapis, gravis item portatu arena, sed ira stulti utroque gravior [2]. » Item : « Ne respondeas stulto juxta stultitiam ejus, ne sibi videatur esse prudens [3]. » Iterum : « Stultus statim prodit iram, qui autem astutus est, conservat eam [4]. » Et :
C « Terribile verbum conturbat cor viri [5]. » Et : « Sicut aqua movetur vi ventorum, ita vir iracundus turbatur cogitationibus iræ plenis [6]. » Monachus iracundus aper est eremiticus : quosdam, mox ut viderit, infrendens, dentibus exsertis vulnus affigit. Jacobus item pulchre nos docet : « Sit omnis homo velox ad audiendum, tardus ad loquendum, et tardus ad iram ; ira enim viri justitiam Dei non operatur [7]. » Item : « Unde bella, unde pugnæ inter vos? nonne hinc, ex voluptatibus vestris [8]? » Paulus item : « Non vos ipsos vindicantes, charissimi, sed date locum iræ [9]. » Et rursus : « Sol non occidat super iracundiam vestram ; nolite dare locum diabolo [9a]. » Rursum : « Omnis
D amaritudo, et iracundia, et clamor, et blasphemia tollatur a vobis cum omni malitia [10]. » Concinit

ΛΟΓΟΣ ΚΔ'.

Περὶ θυμοῦ.

Καὶ περὶ τοῦ θυμοῦ ἦνίκα εἰσέλθῃ σοι πείρασμός, ἢ ἀντιλογία, ἢ ἐρεθισμὸς πρός τινα κινῆσαι θυμὸν, μνήσθητι τῆς προσευχῆς, καὶ τοῦ ταύτης κρίματος,

1065 HOMILIA XXIV.

De iracundia, sive indignatione et animositate.

Jam de acriore illo impetu animi incandescentis, si quando te adorietur tentatio quæpiam, puta contradictio aut irritatio, quæ tibi adversus unum

[96] Prov. xv, 4. [97-98] Eccl. xii, 1. [99] Prov. xv, 1. [1] Prov. xxvii, 33. [2] Ibid. 3. [3] Prov. xv, 21. [4] Prov. xiii, 16. [5] Prov. xii, 25. [6] Eccli. xxii, 25. [7] Jac. i, 19, 20. [8] Jac. iv, 1. [9] Rom. xii, 19. [9a] Ephes. iv, 26, 27. [10] Ibid. 31. [11] Psal. xxxvi, 8. [12] Psal. iv, 5. [13] Matth. v, 22.

aliquem concit animos : fac memineris orationis Dominicæ atque ipsius judicii, et confestim inordinatus effervescentis animi motus residebit et conquiescet. Isthæc enim præfervida intemperies animi, præter cæteras vitiosas affectiones, plus concit turbarum. Nec hoc solum, sed animam premit misere et afflictat continenter. Duo isti affectus, nempe ira et indignatio, nepotes utique sunt matris unius, ejus quæ stultitia vocatur sive imprudentia. Ait enim : « Totum animum suum profert stultus [14]. » Et : « Stultus ipso die prodit iram [15]. » Qui igitur ab hac invisa et hostili parente, quæ istos progenuit fetus, disparari vult ac sejungi, seipsum ut vincat necesse est, in multa patientia et cordis lenitate, supplici prece ad Deum, suique ipsius abnegatione; et is jugo illo mox emancipatur, fitque filius sapientiæ. Quid enim? Dei constituitur amicus, Deum observat venerabili cum timore : « Initium siquidem sapientiæ, timor Domini [16]. » Et : « Qui diligitis Dominum, odite mala [17]. » A timore enim Dei ad ejus dilectionem, ordo est progressus. Sed et Ecclesiastes : « Aufer iracundiam a corde tuo, et remove malitiam a carne tua [18]. » In Parabolis quoque : Mansueti animi et placabilis vir cordis est medicus, tinea autem ossium, cor sensitivum. Rursum : « Responsio mollis avertit iram [19]; qui præceps est ad iram, operatur sine consilio [20]. » Rursum : « Vir prudens multa suffert [21]. » Et : « Longanimis vir multæ est prudentiæ, pusillanimis autem, fortis est stultitia [22]. » Et : « Vir iracundus neutiquam pulcher [23]. » Et : Totum animum suum profert stultus, sapiens autem reservat per partem [24]. » Iterum : « Ne sis velox spiritu ad irascendum, quia ira in sinu stultorum requiescit [25]. » — « Homo iracundus incendit pugnam, non enim poterit iracundus justificari. Vir peccator turbabit amicos, et in medium pacem habentium immittet calumniam [26]. » Inducit : « Ne fueris socius viro iracundo, amico quoque furioso ne cohabites, ne forte discas viam ejus [27]. » De ejusmodi etiam David : « Furor illis secundum similitudinem serpentis, sicut aspidis surdæ et obturantis aures suas [28]. » Quemadmodum enim viperæ fetus matrem arrodunt suam, sic iracundi hominis cogitationes cor exedunt. Ut thymiama inamœnum et exsecrabile, ita istius concentus psalmorum, sonus insuavis. Quemadmodum leo in vivario continue movetur obliquis flexibus, ita iracundus secum versat cogitationes iræ. Sicut currus turrim munitam non movet loco, sic animum inirascibilem non abripit iracundia. Apostolus admonens ait : « Deponite et vos omnia, iram, **1066** indignationem, malitiam, blasphemiam, turpem sermonem de ore vestro [29]. » Infert : « In prece

καὶ εὐθέως ἡ ἄτακτος ἐν σοὶ κίνησις ἡρεμήσει. Ὁ γὰρ θυμὸς πλεῖον τῶν ἄλλων παθῶν ταράττειν εἴωθε καὶ συγχεῖν τὴν ψυχήν. Ὁ θυμὸς καὶ ἡ ὀργή, οἱ δύο οὗτοι μιᾶς μητρὸς ἥττονα τυγχάνουσι τῆς καλουμένης ἀφροσύνης. Φησὶ γάρ· « Ὅλον τὸν θυμὸν αὐτοῦ ἐκφέρει ἄφρων. » Καί· « Ἄφρων αὐθήμερον ἐξαγγέλλει ὀργήν. » Ὁ οὖν θέλων χωρισθῆναι ἀπὸ τῆς δυσμενοῦς τεκούσης αὐτοὺς, κρατησάτω ἑαυτὸν ἐν ὑπομονῇ πολλῇ, καὶ πραείᾳ καρδίᾳ καὶ τῇ πρὸς Θεὸν ἱκεσίᾳ, καὶ διὰ τοῦ ἀρνήσασθαι ἑαυτόν· καὶ ταχέως ἐλευθεροῦται ἐξ αὐτῆς. Καὶ γίνεται ὁ υἱὸς τῆς σοφίας θεόφοβος καὶ θεόφιλος. « Ἀρχὴ γὰρ σοφίας, φόβος Κυρίου. » Καί· « Οἱ ἀγαπῶντες τὸν Κύριον, μισεῖτε πονηρά. » Ἐκ τοῦ γὰρ φόβου εἰς τὴν ἀγάπην προβαίνει τοῦ Θεοῦ. Καὶ ὁ Ἐκκλησιαστὴς φησιν· « Ἀπόστησον θυμόν σου ἀπὸ καρδίας σου· καὶ παράγαγε πονηρίαν ἀπὸ σαρκός σου. » Καὶ ἐν ταῖς Παροιμίαις, πραΰθυμος ἀνὴρ καρδίας ἰατρός· σὴς δὲ ὀστέων καρδία αἰσθητική. Καὶ πάλιν· « Ἀπόκρισις ὑποπίπτουσα ἀποστρέφει θυμόν· ὁ δὲ ὀξύθυμος πράσσει μετὰ ἀβουλίας. » Καὶ πάλιν· « Ἀνὴρ φρόνιμος πολλὰ ὑποφέρει. » Καὶ, « Ὁ μακρόθυμος ἀνὴρ πολὺς ἐν φρονήσει. Ὁ δὲ ὀλιγόψυχος ἰσχυρὸς ἄφρων. » Καί· « Ἀνὴρ θυμώδης οὐκ εὐσχήμων. » Καὶ αὖθις· « Ὅλον τὸν θυμὸν αὐτοῦ ἐκφέρει ἄφρων, σοφὸς δὲ ταμιεύεται κατὰ μέρος. » Καὶ πάλιν, « Μὴ σπεύσῃς ἐν πνεύματί σου θυμοῦσθαι, ὅτι θυμὸς ἐν κόλπῳ ἀφρόνων ἀναπαύεται. » Καὶ πάλιν, « Ἄνθρωπος θυμώδης ἐκκαίει μάχην. Οὐ γὰρ δυνήσεται ἄνθρωπος θυμώδης δικαιωθῆναι. » Καὶ αὖθις, « Ἀνὴρ ἁμαρτωλὸς ταράξει φίλους, καὶ ἀνὰ μέσον εἰρηνευόντων ἐμβαλεῖ διαβολήν. » Καὶ ἐπάγει· « Μὴ ἴσθι ἑταῖρος [c] ἀνδρὶ θυμώδει. Φίλῳ δὲ ὀργίλῳ μὴ συναυλίζου, μή ποτε μάθῃς τὴν ὁδὸν αὐτοῦ. » Καὶ ὁ Δαβὶδ περὶ τούτων φησί, « Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς. » Ὥσπερ γὰρ τὰ τῆς ἐχίδνης γεννήματα κατεσθίουσι τεκοῦσαν μητέρα, οὕτω λογισμὸς θυμώδης. Ἡ προσευχὴ τοῦ θυμώδους, ὡς θυμίαμα ἐβδελυγμένον, καὶ ἡ ψαλμῳδία αὐτοῦ ὡς ἦχος ἀηδής. Καὶ ὥσπερ λέων ἐν ζώγρῳ κινεῖ τοὺς στρόφιγγας συνεχῶς, οὕτω καὶ θυμώδης ἐκκαίει λογισμοὺς ὀργῆς. Καὶ ὥσπερ ἄνεμος σφοδρὸς οὐ κινεῖ πῦργον ὀχυρὸν, οὕτω ψυχὴν ἀόργητον οὐ συναρπάζει θυμός. Ὁ δὲ Ἀπόστολος νουθετῶν φησιν· « Ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργὴν, θυμὸν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν, ἐκ τοῦ στόματος ὑμῶν. » Καὶ ἐπιφέρει· « Ἐν γὰρ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ Θεός. » Οἱ γὰρ θυμώδεις εἰς τοὺς ἐχθροὺς τοῦ Χριστοῦ λογίζονται· ὡς καὶ ἄλλῳ εἴρηται, « Ἤρξαν θυμοῦσθαι ἄρχοντες. » Καὶ ὁ Ἡρώδης ἰδὼν, ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν. Καὶ πέμψας ἀνεῖλεν πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, διὰ τὸν φθονούμενον καὶ

[14] Prov. xxix, 11. [15] Prov. xii, 16. [16] Psal. c, 10. [17] Psal. xcvi, 10. [18] Eccle. xi, 10. [19] Prov. xv, 1. [20] Prov. xiv, 17. [21] Prov. xi, 12. [22] Prov. xiii, 16. [23] Prov. xv, 18. [24] Prov. xxix, 11. [25] Eccle. vii, 10. [26] Eccli. xxviii, 11. [27] Eccli. xli, 23. [28] Psal. lvii, 5. [29] Coloss. iii, 8.

VARIÆ LECTIONES.

[c] φίλος.

πολύτιμον μαργαρίτην τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν Θεὸν ἡμῶν. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A enim vocavit nos Deus [30]. » Iracundi enim, pro Christi inimicis habentur, ceu in alio dictum loco : « Cœperunt animo moveri principes [31]. » Sed et Herodes, videns quod illusus esset a Magis, iratus est valde, et missis satellitibus occidit omnes pueros qui erant in Bethleem et in omnibus finibus ejus, propter longe pretiosissimum margaritum cui vitam invidebat : nempe Dominum ac Deum nostrum Jesum Christum, cui gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΚΕ'.

Περὶ Λύπης.

Τὸ ἀκαίρως λυπεῖσθαι, ἐκ τοῦ φθονεροῦ δαίμονός ἐστιν. Ἵνα γάρ πως ἀποσπάσῃ ἐκ τῆς προθέσεως τῆς εὐχῆς τὸν νοῦν, καὶ ἄκαρπον ποιήσῃ τὸν ἄνθρωπον, διὰ τοῦτο ἐπιπέμπει αὐτῷ τὴν ἄκαιρον λύπην. Οὐ χρὴ τοίνυν παραδέχεσθαι αὐτὴν, καὶ ἄχθεσθαι ἀκαίρως, καὶ πληροῦν τὴν χαρὰν τοῦ Ἐχθροῦ, ἀλλὰ μᾶλλον ἀνασφῆλαι ἐκ τῆς ἐπιβουλῆς τοῦ ἀλάστορος τοῦ τῆς λύπης δαίμονος. Ὅταν γὰρ τὸ πονηρὸν τοῦτο πνεῦμα περιδράξηται τῆς ψυχῆς, καὶ ὅλην αὐτὴν σκοτίσῃ, οὐκ εὐχὰς ἐκτελεῖν μετὰ προθυμίας συγχωρεῖ, οὔτε ἱερῶν ἀναγνωσμάτων τῇ ὠφελείᾳ ἐγχαρτερεῖν. Οὔτε πρᾶον καὶ εὐκατάμικτον πρὸς τοὺς ἀδελφοὺς ἀφίησιν· καὶ πρὸς αὐτὴν τοῦ βίου τὴν ἐπαγγελίαν μῖσος ἐμποιεῖ, καὶ πάντα ἁπλῶς τὰ σωτηριώδη βουλεύματα τῆς ψυχῆς ἡ λύπη συγχέασα, ὡς ἄφρονα ταύτην καὶ παραπλῆγα ἀπεργάζεται, κωλύουσα πᾶσαν ἀγαθὴν συντυχίαν. Καὶ οὐδὲ παρὰ τῶν γνησίων φίλων συγχωροῦσα δέχεσθαι λόγον συμβουλίας, οὐδὲ εἰρηνικὴν ἀπόκρισιν ἀφιεῖσα τούτοις μεταδιδόναι· ἀλλὰ περιλαβοῦσα πᾶσαν τὴν ψυχὴν, πικρίας καὶ ἀηδίας αὐτὴν πληροῖ, καὶ πείθει αὐτὴν φεύγειν τοὺς ἀνθρώπους, ὡς αἰτίους αὐτῇ τῆς ταραχῆς γενομένους. Οὐ γὰρ συγχωρεῖ αὐτὴ ἐπιγνῶναι, ὅτι οὐκ ἔξωθεν, ἀλλ' ἔνδοθεν ἔχει τὴν νόσον ἀποκειμένην. Τότε δὲ φανεροῦται, ὅταν οἱ πειρασμοὶ ἐπελθόντες, διὰ τῆς γυμνασίας εἰς τὸ ἐμφανὲς ταύτην προσαγάγωσιν. Λύπη οὖν ἐστιν κατήφεια μὲν ψυχῆς, στόμα δὲ λέοντος καταπίνον εὐχερῶς τὸν λυπούμενον. Λύπη ἐστὶν σκώληξ καρδίας, κατεσθίων τὴν τεκοῦσαν μητέρα. Οὐκ οἶδεν μέλιτος γεῦσιν ὁ λυπούμενος μοναχὸς, ὡς ὁ πυρέσσων σφοδρῶς. Λυπούμενος μοναχὸς, οὐ κινεῖ τὸν νοῦν πρὸς θεωρίαν, οὐδὲ προσευχὴν καθαρὰν ἀναπέμπει ποτὲ τῷ Θεῷ. Ὁ κρατήσας παθῶν, ἐκράτησεν τῆς λύπης· ἡττημένος δὲ ἡδονῆς, οὐκ ἐκφεύξεται τοὺς δεσμοὺς αὐτῆς. Ὁ λυπούμενος συνεχῶς, καὶ προσποιούμενος ἀπάθειαν, ὁμοιός ἐστιν νοσοῦντι, καὶ ὑγείαν ὑποκρινομένῳ. Ὥσπερ γὰρ ὁ νοσῶν δηλοῦται ὑπὸ τῆς χρόας, οὕτως ἐμπαθὴς ἐλέγχεται ὑπὸ τῆς λύπης. Ὁ ἀγαπῶν τὸν κόσμον, λυπηθήσεται πολλά· ὁ κσταφρονῶν τῶν ἐν αὐτῷ, εὐφρανθήσεται διὰ παντός. Καὶ ὥσπερ χωνευτήριον καθαίρει ἀδόκιμον ἀργύριον, οὕτως ἡ κατὰ Θεὸν λύπη καρδίαν ἐνάμαρτον καθαίρει. Καλὸν οὖν ἄγαν καὶ συμφέρον τῇ ψυχῇ, τὸ στιβαρῶς βαστάζειν πᾶσαν θλῖψιν, εἴτε παρὰ ἀνθρώπων, εἴτε παρὰ δαιμόνων ἐπαγομένην, καὶ εἰδέναι ἀκριβῶς, ὅτιπερ χρεῶσται ὑπάρχομεν τῆς καταπονήσεως. Χρὴ

HOMILIA XXV.

De tristitia.

Quod quis intempestivo conficitur mœrore, ab ipso nostræ salutis æmulo dæmone proficiscitur. In hoc enim instillat cordi importunam tristitiam, ut mentem a proposito avocet et amoliatur, orandi; B ac proinde hominem ipsum infrugi reddat atque inutilem. Neutiquam igitur admittenda est tristitia, nec ejusmodi suscipienda importuna ægritudo animi, ut ne inimicum impleas gaudio : quin potius calces objiciendi, et reluctandum adversus insidias furiæ istius incentoris tristitiæ dæmonis. Si quando enim malignus hic spiritus clancularío quodam ambitu menti tuæ se insinuaverit, totam eam tetra caligine obscurabit, nec jam sinet preces absolvere te cum alacritate spiritus : non sacræ lectioni permittet fixius ut assideas, idque magno tuo incommodo. Sic ægrescentem, non sinit cum mansuetudine inserere se fratrum sodalitio; quin odium verius menti sic vitiatæ instillat, et ingignit adversus propositi semel arrepti professionem. Omnia C denique consilia, quamlibet ea sint consentanea parandæ saluti et accommodata, semel ubi permiscuerit se mœror hic animam circumfundens, hominem reddit perinde ac vesanientem, menteque ac stupore captum, illi interdicens bona omni consuetudine ac fratrum congressu; adeo ut nec a germane amicis exhibiti consilii salutaris sinat excipere sermones illos, sed ne etiam responso pacifico ac modesto dignatur; quin sic omnes animæ vires circumplexa semel tristitia, totam amarulentia complet atque insuavi intemperie. Persuadet proinde homines ut vitabundus defugiat quasi auctores suæ istius turbulentiæ. Neque enim permittit ut agnoscat ægritudinem quæ se urget, ab intimo prosilire animi recessu, sed externe. Tunc elucescit primum D veritas, cum tentationes quæ miserum invaserant, in apertam se proferunt lucem : quod sola contingit exercitatione. Tristitia igitur animæ est mœrentis dejectio; os autem leonis, helluonis ritu, non magno negotio absorbet mœrore tali confectum. Tristitia vermis est cordis, suammet exedens matrem. Neutiquam hæc experimento didicit, suavis quam sit gustus mellis. Monachus mœrore intabescens, assimilis est ei qui exæstuanti febre laborat. Qui continenti tristitia laborat monachus, nullo hic pacto mentem ad contemplationis subrigat studium, **1067** neque ad orationem sinceram quæ ad Deum destinetur, mentem reflectet. Victor

[30] I Petr. v, 10. [31] Matth. II, 4.

passionum utique victor tristitiæ est. Quem vicit voluptas, is non facile effugerit tristitiæ vincula. Qui continenti tristitia confricitur, cunique hac perfecta animæ tranquillitatem sibi ut comparet, adnititur, assimilis est ei qui ægrescit quidem, sed simulatione ementitur habere se sanitatem. Quemadmodum vel colore quis se prodit, morbo si premitur, ita qui perturbatione animi quapiam agitatur, tristitiæ convincitur argumento. Qui mundum diligit, is necesse sit ut subinde contristetur et mœreat; qui autem quæ in mundo sunt bona, ne tantilli quidem ducit, jugi lætitia perfruetur. Quemadmodum conflatoria ars ex plumbi materia detrahit jugi conflatione et imminuit, ita et tristitia mundi istius mentem atterit. Ut argentum alioqui reprobum collustrat conflatorium et purius reddit, sic tristitia quæ secundum Deum est, cor expiat, licet occalluerit peccati scoria. Sane egregium est et animæ conducit non mediocriter, omnem invectam afflictionem forti perferre animo, sive improbitate hominum ea infligatur impressio, sive assultus hic incentore dæmone irrogetur, sed et nosse te exactius convenit nos istius debitores esse ærumnæ et afflictionis. Opus igitur huic ut obluctemur sævo dæmoni, præsidio subnixi et orationis et patientiæ : nam qui tentationum jacula a se depellere quidem vult, nec fulcit se armis orationis et patientiæ, adeo a se non profligat eas, ut etiam illis perplexius involvatur. Nos igitur cum beato David tolerantes afflictionem, psallamus : « Utquid tristis es, anima mea, et quare conturbas me? Spera in Deo, quoniam confitebor ei; salutare vultus mei et Deus meus [32]. » Neque enim qui tentationum vibramentis eruditur, possibile sit quin mœreat ac tristetur. Atque patienter tolerato agone, tales non mediocri perfunduntur gaudio; maxime si seipsos armis communierint orationis, patientiæ, et dulcium lacrymarum, necnon intelligentia divinæ Scripturæ. Quanticunque enim sunt quos labor et afflictio exercuere in cordibus suis? Jure quidem! Coronæ enim agonem fortiter sustinentibus concinnantur. Quod si mens inertia animi enervetur, mox tristitia arrodere incipit hominis cor, juxta sententiam superiorem, ceu assolet pallium exedere tinea, vermis lignum in ligni ossibus prognatus. Deprehenditur homo tunc in densissima versari caligine cogitationum. Ob hoc unum admonet Scriptura, dicens : « Tristitiam longe averte a te; multos enim occidit tristitia, et non est utilitas in ea [33]. » Et : « Ex tristitia provenit mors [34]. » Et : « Tristitia cordis inclinabit et emolliet robur [35]. » Inducit : « Ne des in tristitiam cor tuum, sed aufer eam abs te, memento novissimorum ejus [36]. » Averte igitur abs te tristitiam hanc, et ne contristes Spiritum sanctum qui in te habitat, ne forte interpellet Deum et recedat a te. Spiritus enim Dei qui in hanc etiam carnem se

A οὖν ἐν προσευχῇ καὶ ὑπομονῇ ἀντιστῆναι τῷ δαίμονι τούτῳ. Ὁ γὰρ ἐκτὸς προσευχῆς καὶ ὑπομονῆς πειρασμοὺς νικῆσαι θέλων, οὐκ ἀπώσεται αὐτούς, ἀλλὰ πλέον ἐμπλακήσεται αὐτοῖς. Οὐκοῦν καὶ ἡμεῖς δι' ὑπομονῆς σὺν τῷ Δαυῒδ ψάλλομεν· « Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με; Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου. » Ἀμήχανον γάρ ἐστιν χωρὶς λύπης παρελθεῖν τὸν ἐμπαιδευόμενον τοῖς πειρασμοῖς. Ἀλλὰ μετὰ ταῦτα, πολλῆς χαρᾶς πληροῦνται οἱ τοιοῦτοι (μάλιστα ἐὰν δι' εὐχῆς καὶ ὑπομονῆς ἑαυτοὺς καθοπλίσωσιν) καὶ δακρύων γλυκέων, καὶ νοημάτων θείων, ὅσοι ἐγεώργησαν τὸν πόνον καὶ τὴν θλῖψιν ἐν ταῖς καρδίαις αὐτῶν. Ἐν γὰρ ταῖς θλίψεσιν, τοῖς ἀθλοῦσιν οἱ στέ- B φανοι. Ἐπεὶ ἐὰν χαυνωθῇ ὁ λογισμὸς ἐκ τῆς εὐχῆς, ἄρχεται ἡ λύπη κατεσθίειν τὴν καρδίαν τοῦ ἀνθρώπου, ὡς εἴρηται, ὥσπερ σὴς ἱμάτιον, καὶ σκώληξ ξύλον, ἐν τοῖς ὀστέοις αὐτοῦ γινομένη. Καὶ εὑρίσκεται ὁ ἄνθρωπος σκυθρωπὸς ἐν σκοτώσει λογισμῶν. Διὰ τοῦτο καὶ ἡ Γραφὴ παραινεῖ λέγουσα, « Λύπην μακρὰν ἀπόστησον ἀπὸ σοῦ· πολλοὺς γὰρ ἀπέκτεινεν ἡ λύπη, καὶ οὐκ ἔστιν ὠφέλεια ἐν αὐτῇ. » Καί· « Ἀπὸ λύπης ἐκβαίνει θάνατος. » Καί· « Λύπη καρδίας, κάμψει ἰσχύν. » Καὶ ἐπάγει· « Μὴ δώσεις λύπην τῇ καρδίᾳ σου, ἀλλὰ ἀπόστησον αὐτὴν, μνήσθητι τὰ ἔσχατα αὐτῆς. » Ἆρον οὖν ἀπὸ σοῦ ταύτην τὴν λύπην, καὶ μὴ λύπει τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κατοικοῦν ἐν σοί· μήποτε ἐντεύξηται τῷ Θεῷ, καὶ C ἀποστῇ ἀπὸ σοῦ. Τὸ γὰρ Πνεῦμα τοῦ Θεοῦ, τὸ δοθὲν εἰς τὴν σάρκα ταύτην, λύπην οὐκ ὑποφέρει, οὐδὲ στενοχωρίαν. Ἔνδυσαι οὖν τὴν ἱλαρότητα, τὴν πάντοτε ἔχουσαν χάριν παρὰ τῷ Θεῷ, καὶ ἐντρύφα ἐν αὐτῇ. Ὁ γὰρ ἱλαρὸς ἀνὴρ ἀγαθὰ ἐργάζεται, καὶ καταφρονεῖ τῆς λύπης. Ὁ δὲ λυπηρὸς ἀνὴρ, πάντοτε πονηρεύεται. Πρῶτον μὲν πονηρεύεται, ὅτι λυπεῖ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ δοθὲν τῷ ἀνθρώπῳ ἱλαρόν. Δεύτερον δὲ λοιπὸν ἀνομίαν ἐργάζεται, μὴ ἐξομολογούμενον τῷ Κυρίῳ. Τοῦ γὰρ λυπηροῦ ἀνδρὸς ἡ ἔντευξις οὐκ ἔχει δύναμιν ἀναβῆναι ἐπὶ τὸ θυσιαστήριον τοῦ Θεοῦ. Ἐγκάθηται γὰρ ἡ λύπη εἰς τὴν καρδίαν αὐτοῦ. Μεμιγμένη οὖν λύπη μετὰ τῆς ἐντεύξεως οὐκ ἀφίησιν τὴν ἔντευξιν ἀναβῆναι καθαρὰν πρὸς τὸ θυσιαστήριον. Ὥσπερ γὰρ ὄξος καὶ οἶνος μεμιγμέ- D νος ἐπὶ τὸ αὐτὸ τὴν αὐτὴν ἡδονὴν οὐκ ἔχουσιν, οὕτως καὶ ἡ λύπη μεμιγμένη μετὰ τοῦ Πνεύματος τοῦ ἁγίου, τὴν αὐτὴν ἔντευξιν οὐκ ἔχει. Καλὸν οὖν ἐστιν ἀποβαλεῖν ἀφ' ἑαυτῶν τὴν λύπην, καὶ ἐνδύσασθαι πᾶσαν ἱλαρότητα. Ταύτης οὖν τῆς λύπης πάσῃ σπουδῇ ἐκτὸς γενώμεθα, ὅτι κατὰ κόσμον ἐστίν· « Ἡ δὲ κατὰ Θεὸν λύπη, » ὡς εἶπεν ὁ ἀπόστολος Παῦλος, « μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται· » ἡ δὲ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται. Καὶ ὁ Παροιμιαστής· « Εὐλογία Κυρίου ἐπὶ κεφαλὴν δικαίου, [αὕτη πλουτίζει,] καὶ οὐ μὴ προστεθῇ αὐτῇ λύπη ἐν καρδίᾳ. » Καὶ πάλιν· « Καρδίαν εὐφραινομένην εὐεκτὴν ποιεῖ· ἀνδρὸς δὲ λυπηροῦ ξη-

[32] Psal. XLII, 6, 7. [33] Eccli. XXX, 24, 25. [34] Eccli. XXXVIII 19. [35] ibid. [36] ibid. 21.

ραίνεται τὰ ὀστᾶ. » Καὶ ὁ Παῦλος· « Οὐ γὰρ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, περὶ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ· ὅτι κατ' ὑπερβολὴν ἐβαρύνθημεν ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν. Ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς παρεκάλεσεν ἡμᾶς ὁ Θεός. » Καὶ ἡμεῖς οὖν σὺν τῷ Δαυὶδ εἴπωμεν· « Ἐλέησόν με, Κύριε, ὅτι θλίβομαι· ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου, ὅτι ἐκακώθην, καὶ ἐταπεινώθην ἕως σφόδρα· ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου. » Καί· « Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ. » Ἀλλά, « Σῶσόν με, ὁ Θεὸς, ὅτι εἰσέλθοσαν ὕδατα ἕως ψυχῆς μου· ἐνεπάγην εἰς ὕλην βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. » Καί· « Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου· ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου. Σὺ γάρ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με. Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου· κλίνον τὸ οὖς σου εἰς τὴν δέησίν μου. » Καὶ ὅτε ἀνέλθῃς ἀπὸ τῆς λύπης, εὐχαριστῶν λέγε « Κύριος ἐξ οὐρανοῦ ἐπέβλεψεν τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λύσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. » Καί· « Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν μοι; » Ὅτι « Ἐκ θλίψεως ἐπεκαλεσάμην αὐτὸν, καὶ ἐπήκουσέν μου εἰς πλατυσμόν. » Καὶ ὁ Κύριος τοῖς μαθηταῖς αὐτοῦ ἔλεγεν· « Ἀμὴν λέγω ὑμῖν, ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται. » Καὶ παραβολικῶς περὶ τῆς τικτούσης, ὅτι λύπην ἔχει. Καὶ ἐπάγει· « Οὕτως καὶ ὑμεῖς μὲν λύπην ἕξετε, πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν. » Αὐτῷ ἡ δόξα τῷ τοὺς ἐν θλίψει χαροποιοῦντι εἰς τοὺς αἰῶνας. Ἀμήν.

effudit, tristitiam non fert, neque animi angustiam. **1068** Circumda igitur tibi hilaritatem, quæ omni tempore promeretur gratiam apud Dominum, et delectare in ea. Hilaris enim vir bona quidem operatur, et nihili ducit tristitiam; vir autem turbulentus ac tristis, maligne agit semper. Et quidem primum, maligne agit, Spiritum sanctum mœstificat, qui homini datus est hilaris. Huc accedit, quia præter hoc iniquitatem is operatur dum Domino confitetur; neque enim viri istius sic turbulenti interpellatio vim ullam obtinet diutius persistendi ante altare Dei. Assidet enim interpellationi ejus spiritus tristitiæ, non sinens puram esse diutius ejus interpellationem ante altare Dei. Ut enim acetum vino una si immisceatur, nihil affert jucundi gustus, ad eumdem modum, tristitia mistim inserta Spiritus sancti domicilio, collocutionem reddit inamœnam. Profuerit igitur tristitiam ejusmodi a se excutere, seque amicire totius indumento hilaritatis. Itaque ab hac tristitia, nos studio omni constituamus, quæ tristitia est mundi: « Quæ autem secundum Deum est tristitia, juxta apostoli Pauli sententiam, pœnitentiam operatur ad salutem [37], » nec sane pœnitendam aut aspernabilem, tristitia mundi e diverso operatur mortem. Parœmiastes: « Benedictio Domini super caput justi, nec apponetur ei tristitia in corde [38]. » Rursus: « Cor gaudens et hilare bonam parit valetudinem, tristis autem viri exsiccantur ossa [39]. » Paulus item: « Non enim vos volumus ignorare, fratres, de tribulatione nostra quæ facta est nobis in Asia, quia supra modum gravati sumus supra virtutem, ita ut tæderet nos etiam vivere [40], sed qui consolatur humiles, consolatus est nos Deus [41]. »

Cum beato igitur David dicendum nobis: « Miserere mei, Domine, quoniam tribulor, conturbatus est in ira oculus meus [42], quoniam afflictus sum et humiliatus sum nimis, rugiebam a gemitu cordis mei [43]. » Et: « Contristatus sum in exercitatione mea, et conturbatus sum a voce inimici et a tribulatione peccatoris [44]. » Sed: « Salvum me fac, Deus, quoniam intraverunt aquæ usque ad animam meam. Infixus sum in limo profundi, et non est substantia [45]. » Et: « Ne avertas faciem tuam a puero tuo, quoniam tribulor, velociter exaudi me [46]. Tu enim refugium meum es a tribulatione quæ circumdedit me [47]. Introeat in conspectu tuo oratio mea, inclina aurem tuam ad precem meam [48]. » Is tristitiæ jugo exemptus cum esset, multa cum alacritate dicebat: « Dominus de cœlo in terram aspexit, ut audiret gemitus compeditorum, ut solveret filios hominum [49]. » Et: « Quid retribuam Domino pro omnibus quæ retribuit mihi [50]? » quia « de tribulatione invocavi eum, et exaudivit me in latitudine [51]. » Sed et Dominus discipulis suis dicebat: « Amen dico vobis, quia plorabitis et lugebitis vos, mundus autem gaudebit [52]. » Quin et parabolice de puerpera quod tristitiam habeat, **1069** inducit: « Sic et vos nunc quidem tristitiam habebitis; iterum autem videbo vos, et gaudebit cor vestrum, et gaudium vestrum nemo tollet a vobis [53]. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΚΖ'.

Περὶ ἀκηδίας.

Δεινὸς καὶ οὗτος ὁ τῆς ἀκηδίας δαίμων, καὶ οὗτος συνεργὸς καὶ σύζυγος ὑπάρχει τοῦ πνεύματος τῆς

HOMILIA XXVI.

De Acedia.

Hic etiamnum dæmon acedia plane intolerandus, cooperarius cum sit et nihilo dispar spiritui tri-

[37] II Cor. VII, 10. [38] Prov. X, 6. [39] Prov. XVII, 22. [40] II Cor. I, 8. [41] II Cor. VII, 6. [42] Psal. XXX, 10. [43] Psal. XXXVII, 3. [44] Psal. LIV, 3, 4. [45] Psal. LXVIII, 2, 3. [46] ibid. 18. [47] Psal. XXXI, 7. [48] Psal. LXXXVII, 3. [49] Psal. CI, 20, 21. [50] Psal. CXV, 12. [51] Psal. CXVII, 5. [52] Joan. XVI, 20. [53] ibid. 22.

stitiæ : est alioqui ea sua gravitate molestior, ut cum circa horam sextam, velut ex insidiis assilit monacho, tædiosam ac formidabilem agoniam illi incutiens, usque adeo ut vel locum oderit, verius autem fratres invisos habeat · quibuscum vivit communiter. Quid ? ad opus quodlibet, ad divinæ Scripturæ lectionem, nescio quam illi ingerit insuavem et hiulcam oscitationem. His adde, esuriem suggerit, tempore prolixiore sustinendam. Ad eum modum supinus ille ac securus, boni operis scopum unicum spectat, nempe horam sumendæ alimoniæ. Interim tamen sumpto in manus libro legit nonnihil, quem et ordine suo locat : mox oculorum aciem intendere incipit, inque fenestras propius defigit. Quiddam rursus legit; deinde suos admetitur et enumerat quaterniones; plicato mox libro obdormiscit; somni aliquantum ubi decerpsit, rursus assurgit experrectus. Hæc eo facit ut horas deterat ac temporis fallat prolixitudinem. Atqui, audito primum signifero et indice prandii, quam alacer, quam expromptus eo provolat ! Invenitur proinde et is ad ministrandum haud segnis, certo sibi promittens, ejusmodi munus loco mandati imputatum iri. Subinde tali suggerit dæmon hic acediæ cogitationum intemperiem : nempe alio ut emigret, et quia tempus omne et labor omnis vacua sibi erunt frugis bonæ et inania, ni se ad alia conferat loca. Consilium rursus novat misero isti, quia alio nullo pacto potest morbi sic perniciosi defungi intemperie, nisi continenter evagetur et commeet, seque recipiat ad fratres, quasi vero fiat id ob publicam utilitatem procurandam, aut certe infirmos ut intervisat. Is tandem nihil dissimilis comperitur virgulto deserti, quod ubi aliquantum interquievit, rursus huc illuc aspiratione ventorum perpellitur. Aut certe, quemadmodum planta quæpiam procerior et exolescens genitali loco emota, et monachus gyrovagus, ne unius quidem virtutis frugem referet. Quemadmodum item nubes nullo aquæ humore concreta, venti agitatione percellitur, ita monachus spiritu agitatus acediæ, nullam habet solidam requiem. Si quando dæmon hic ex adito cellæ illum non quiverit extrudere, tunc hora maxime communionis ipsum adoritur, ut ejus mentem dissipet et in diversa abripiat. **1070** Secum interim admurmurat, hoc incommode nec suo loco positum est ; illud item atque aliud, nihil est necesse ut hic sit : dumque miserum avocat a laudibus divinis, quo pacto ejus mentem reddit vacuam bonæ operationis, et ab omni fruge alienam ? Cuncta hæc quid aliud operatur, quam iners otium ac socordia animi lentescentis ? Monachus enim acediæ spiritu agitatus ordine concinno nullum unquam opus clauserit. Ad orationem totus cum desideat, quam propendet ad otium ! Sane dæmonem hunc quisquis insigni triumpho a se ablegare vult, in omni suo opere modum sibi præscribat ordine certo, nec prius desciscat a cœpto opere quam finem imposuerit; continenter proinde oret, ac magna animi contentione, atque ita demum ab eo se quam longissime submovebit spiritus hic acediæ. Isthæc enim turbulenta affectio subvertitur attente si ores, si te avoces ab otioso sermone, si quantum sinunt vires, uni cuipiam operi admoliaris manum, si divinis eloquiis accommodes mentem, si denique nihil ægre feras tentationum assultus.

Nos enim ni compererit communitos istiusmodi armis, suis jaculis saucios vacillantes reddet et

λύπης, καὶ σφόδρα βαρύτατος ὅστις περὶ ὥραν ἕκτην ἐμπίπτει τῷ μοναχῷ, ἀγωνίαν αὐτῷ ἐμποιῶν, καὶ ἀπεχθῶς ἔχειν πρὸς τὸν τόπον, μᾶλλον δὲ καὶ πρὸς τοὺς συνδιατρίβοντας ἀδελφοὺς, καὶ πρὸς πᾶν ἔργον, καὶ πρὸς τὴν θείαν Γραφὴν, ἀηδίαν καὶ χάσμην πυκνοτάτην ἐμποιεῖ. Πρὸς τούτοις, καὶ πεῖναν πολλὴν παρέχει· καὶ ὧδε κἀκεῖσε στρεφόμενον καραδοκοῦντα τὴν ὥραν τῆς ἐστιάσεως. Καὶ λαβὼν βιβλίον ἀναγινώσκει μικρόν · καὶ πάλιν τίθησιν αὐτὸ, καὶ ἄρχεται τρίβειν τὴν ὄψιν, καὶ ταῖς θυρίσιν ἀτενίζειν· καὶ αὖθις ὀλίγον ἀναγινώσκειν, εἶτα μετρεῖν τὰς τετράδας, καὶ τὰς ἀρχὰς ἐπιζητεῖν τῶν κεφαλαίων τῆς βίβλου. Τέλος πτύξας τὸ βιβλίον κοιμᾶται· μικροῦ δὲ ὕπνου διαλαβόντος, πάλιν ἀνίσταται· ταῦτα δὲ ποιεῖ, βουλόμενος ἀναλίσκειν τὰς ὥρας· πότε δὲ ἀκούσῃ τοῦ σημαντῆρος τοῦ ἀρίστου, ἀκούσας δὲ εὐπρόθυμος γίνεται, εὑρίσκεται δὲ καὶ εἰς διακονίαν ὀξύς, καὶ ἐντολὴν λογίζεται τὴν ἑαυτοῦ πληροφορίαν. Λοιπὸν δὲ οὗτος ὁ τῆς ἀκηδίας δαίμων ὑποβάλλει αὐτῷ καὶ λογισμοὺς μετὰ ὑποβάσεως, καὶ ὡς εἰ μὴ μεταστήσῃ ἑαυτὸν πρὸς τόπους ἑτέρους, πᾶς ὁ χρόνος καὶ ὁ πόνος μάταιος αὐτῷ γενήσεται. Εἶτα ὑποτίθεται αὐτῷ, ὡς οὐδενὶ ἄλλῳ τρόπῳ δυνήσεται τῆς νόσου ταύτης ἀπαλλάττεσθαι, εἰ μὴ διὰ τὸ συνεχῶς ἐξέρχεσθαι, καὶ παραβάλλειν ἀδελφοῖς ὅθεν ὠφελείας, ἢ ἐπισκέψεως ἀσθενούντων χάριν, καὶ εὑρίσκεται ὥσπερ φρύγανον ἐρημίας· ὀλίγον ἡσύχασε, καὶ πάλιν ὑπὸ ἀνέμου ἐλαύνεται. Καὶ ὥσπερ φυτὸν μέγα ἀφαιρούμενον, οὕτω καὶ μοναχὸς γυρευτὴς οὐκ οἴσει καρπὸν ἀρετῆς· καὶ ὥσπερ νεφέλη ἄνυδρος ὑπὸ ἀνέμου διώκεται, οὕτω μοναχὸς μὴ ἔχων ὑπομονὴν ὑπὸ πνεύματος ἀκηδίας. Καὶ ὅταν δὲ καὶ μὴ δυνηθῇ ἐκβάλαι αὐτὸν ἐκ τῆς κέλλης, ἄρχεται αὐτὸν ἐν αὐτῇ περισπᾷν ἐν τῇ ὥρᾳ τῆς συνάξεως· Τοῦτο, φησὶν, ἀνεπιτηδείως κεῖται τῷ ἄλλῳ· οὐ χρεία ὧδε εἶναι, ὅπως τὸν νοῦν αὐτοῦ ἀργὸν καὶ ἄκαρπον καταστήσῃ ἐκ τῆς δοξολογίας τοῦ Θεοῦ. Ταῦτα δὲ πάντα ἡ ἀργία καὶ ἡ ῥᾳθυμία κατεργάζεται. Οὐδὲ γὰρ στοιχήσει ἀκηδιαστὴς μοναχὸς ἔργῳ ἑνί ποτε. Ἀλλὰ καὶ εἰς προσευχὴν ὀκνηρὸς, εἰς δὲ ἀργολογίαν εὐπρόθυμος. Ὁ θέλων οὖν περιγενέσθαι τοῦ δαίμονος τούτου, τάξει ἑαυτῷ μέτρον ἐν παντὶ ἔργῳ. Καὶ μὴ πρότερον ἀποστῇ πρὶν τελέσαι τοῦτο. Καὶ προσευχέσθω συνεχῶς καὶ συντόμως, καὶ τὸ πνεῦμα τῆς ἀκηδίας φεύξεται ἀπ' αὐτοῦ. Τὸ γὰρ πάθος τοῦτο διὰ προσευχῆς ἀνατρέπεται, καὶ ἀποχῆς ἀργολογίας, καὶ τοῦ κατὰ δύναμιν ἐργοχείρου, καὶ μελέτης τῶν θείων λογίων καὶ τῆς ἐν τοῖς πειρασμοῖς ὑπομονῆς.

Ἐὰν γὰρ μὴ τοῖς ὅπλοις τούτοις κατασφαλιζομένους ἡμᾶς εὕρῃ, κατατοξεύσας τοῖς ἑαυτοῦ βέλεσι,

ρεμβοὺς καὶ ἀκαθίστους ἡμᾶς ἀποτελεῖ, καὶ ἀμείβοντας τόπους ἐκ τόπων· καὶ οὐδὲν ἄλλῳ μεριμνᾷν καὶ περισκοπεῖν, ἢ τοῦτο μόνον, ποῦ πότοι καὶ ἁγίων μνῆμαι γίνονται. Τοῦ γὰρ ἀκηδιαστοῦ ἡ διάνοια οὐδὲν ἄλλο φαντάζεται, καὶ ψηφίζει, ἢ τοὺς ἐκ τούτων μετεωρισμούς. Λοιπὸν δὲ ἐκ τούτου καὶ εἰς κοσμικὰ πράγματα αὐτὸν συνδεσμεῖν· καὶ κατ' ὀλίγον δελεάζει ταῖς ἐπιβλαβέσι ταύταις ἀσχολίαις, ἕως ἂν καὶ τοῦ μοναδικοῦ ἐπαγγέλματος τελείως αὐτὸν ἐκβάλῃ. Καλῶς οὖν ὁ ἀπόστολος Παῦλος, ὡς ἄρτιος ἰατρὸς βουλόμενος ἐκτεμεῖν τῆς νόσου ταύτης τὰς αἰτίας, ὅθεν ἀκηδία τίκτεται, παραινεῖ λέγων· 'Αδελφοί, αὐτοὶ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν, οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν. » Καὶ ἐπάγει· « Οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς. » Πάνυ οὖν ἀγαπητοὶ συμβάλλεται ἡμῖν τῷ ἐργοχείρῳ παραμένειν, οὐ μόνον διὰ τὸ τὴν ἀκηδίαν ἐξορίζειν, ἀλλὰ καὶ τὸ, τὴν τροφὴν ἐξ αὐτοῦ πορίζεσθαι, καὶ τοὺς ὑστερουμένους βοηθεῖν. Καὶ συνεχῶς μελετᾷν τὰ τοῦ Δαυΐδ· « Τὸ ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου, ὅτι ἐταπείνωσεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου. 'Αλλὰ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, » ἀγαθὲ, « ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. » Εἰσάκουσόν μου, Κύριε, ὅτι ἡ ψυχή μου ἐν στενοῖς, καὶ πνεῦμα ἀκηδιῶν κέκραγε πρὸς σέ. Μὴ συγχωρήσῃς με πειρασθῆναι ὑπὲρ ὃ οὐ δύναμαι, ἀλλὰ ποίησον « σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, » τοῦ δύνασθαί με ὑπενεγκεῖν. Ῥῦσαί με τῶν ἀτόπων καὶ πονηρῶν λογισμῶν. Ἐπίστρεψόν με εἰς ὁδὸν εὐθεῖαν, εἰς ἐπίγνωσιν ἀληθείας. Καὶ δός μοι ἐν καθαρᾷ συνειδήσει μετὰ παῤῥησίας πάσης λατρεύειν σοὶ ἀπερισπάστῳ καρδίᾳ πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Ναὶ, Κύριε Ἰησοῦ Χριστὲ, χαρακτὴρ, καὶ ἀπαύγασμα τοῦ εὐλογημένου σου Πατρὸς, ὁ ἐγκατασπείρας τοὺς θείους σου λόγους εἰς τὰς καρδίας ἡμῶν, ὁ μόνος κηδόμενος τῶν σῶν δούλων, καὶ ἰατρὸς δωρεὰν ἰώμενος, ὁ μόνος εὐεργέτης καὶ ἀνυπερήφανος, ὁ μόνος ἐλεήμων καὶ φιλάνθρωπος, ὁ μόνος Σωτὴρ καὶ δίκαιος, ὁ ἀεὶ ὢν καὶ ἐν πᾶσι ὢν καὶ πανταχοῦ παρὼν, καὶ περιέχων καὶ πληρῶν τὰ πάντα, Ἰησοῦ Χριστὲ Θεὸ καὶ Κύριε, σὺ ταῖς σαῖς δωρεαῖς καὶ τῷ σῷ ἐλέει περίσκεπε ἡμᾶς τοὺς ἐπί σε ἐλπίζοντας, ὁ ἐπιστάμενος ἀκριβῶς τοῦ πανταχῇ ἡμῶν ἀντιδίκου τὰς τέχνας, τὰς ἐπηρείας ἃς καθ' ἡμῶν ἐπιβουλεύει. Κύριε, σὺ μόνος βοήθησον ἡμῖν ἐν τῇ ἐπισκοπῇ σου τῇ ἁγίᾳ. Καὶ ὅτε ἀνεθῇς, λέγε· Οἶδα, Δέσποτα φιλόψυχε, ὅτι « Ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου ἐν πέτρᾳ ὕψωσάς με, ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου, καὶ πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ. Λοιπὸν παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας, καὶ σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, ὅτι σὺ ὁ Θεός μου εἰσ-

A instabiles. Dumque e locis loca permutamus, aliud nihil anxie vel cogitare faciet vel circumspicere, quam ubi locorum symposia celebrantur, aut sanctorum memoriæ. Mens interim, sic acedia dejectis aliud nihil imaginatur et secum admurmurat, quam ut per hæc elevetur in sublime, et gloriolam hinc aucupetur. Hoc genere studii fit ut talem in posterum mundi negotiis curet obstringendum : atque ita irretitum, velut offa porrecta, sensim inescat ac decipit istis occupationibus mire detrimentosis, quousque tandem prorsus deturbet e fastigio monasticæ professionis. Recte quidem Apostolus, perinde ac medicæ artis quispiam absolutus professor, magnopere cupiens morbi istius ab radice excidere causas, e quibus prognata acedia est, admonet dicens : « Fratres, ipsi scitis quomodo oporteat imitari nos, quoniam non inquieti fuimus inter vos, neque gratis panem manducavimus ab aliquo, sed in labore et fatigatione, nocte et die operantes, ne quem vestrum gravaremus [54]. » Inducit : « Non quod non habuerimus potestatem, sed ut nosmetipsos formam daremus vobis ad imitandum nos [55]. « Prorsus itaque conducibile fuerit nobis, ut operi cuipiam manuario commodemus operam : non acediæ solum gratia a nobis depellendæ atque in exsilium ablegandæ, sed et ut hinc nobis alimonia suppetat, et eadem opera alienæ inopiæ consulamus. Jugiter proinde illud meditemur beati Davidis: « Velociter exaudi me, Domine ; defecit spiritus meus, [56] quia humiliavit inimicus animam meam ; collocavit me in obscuris sicut mortuos sæculi, et anxiatus est super me spiritus meus [57]; sed ne avertas faciem tuam a me, » o benigne, « quia ad te levavi animam meam [58]. » Exaudi me, Domine, quia anima in angustiis est, et spiritus præ tædio clamavit ad te. Ne sinas, præterquam possum, me tentari, sed fac « cum tentatione » etiam « exitum » ut possim sustinere. **1071** Eripe me ab istis indecentium atque improbarum cogitationum vibramentis. Converte me in viam rectam, qua ad aguitionem provehar veritatis. Concede mihi in sinceritate conscientiæ cumque omni fiducia puram tibi exhibere servitutem corde indivulso, omnibus diebus vitæ meæ. Etiam, Domine mi Jesu Christe, figura et splendor benedicti Patris tui, qui cordibus nostris divina eloquia quasi semina inspirasti, misericors et clemens hominum amator, qui de nobis solus quam optime mereris, nihil interim per elationem tibi arrogans ; qui nos solus donas salute, solus insuper justus, qui semper es et in omnibus et ubique præsens, qui ambis universa complexu tuo ac imples, Jesu Christe, idem Dominus, idem et Deus ; tu nos tuis propugna donis, tua misericordia tuere, quia in te unum spem animæ omnem reclinamus. Exactissime enim nosti commenta hostis infensissimi, nullo non loco obvia. Impressiones veteratorias quibus nos ex insidiis adoritur, quis

B

C

D

[54] II Thess. III, 7,8. [55] ibid., 9. [56] Psal. CXLVII, 7. [57] Psal. CXLII, 3,4. [58] ibid. 7, 8.

te uno, Domine, intelligit perspicacius? Tu solus, Domine, auxiliare nobis visitatione tua sancta. Ab hac animi ægritudine absolutus jam ac liber, dic: Novi, mi Domine, animarum amator, quia « Dum anxiaretur cor meum, in petra exaltasti me, et in viam revocasti, quia factus es spes mea, et turris fortitudinis a facie inimici. Deinceps habitabo in tabernaculo tuo in sæcula, et protegar in velamento alarum tuarum, quia tu, Deus, exaudisti orationes meas [59]. » Etenim « dormitavit anima mea præ tædio, sed tu, Domine, confirmasti me in verbis tuis [60]. » Si ad hunc modum una cum cordis sinceritate preces ad Dominum fuderimus, qui flagitiosissima quæque se agnoscentium perpeti oblivione indulgenter abolet: utique audire ab eodem promerebimur, quia: « Omnis qui petit, accipit, et qui quærit invenit, et pulsanti aperietur [61]. » Et: « Fides tua te salvum fecit [62], » vade in pacifica et tranquilla cogitatione. Ipsi gloria in sæcula sæculorum. Amen.

A ἠκουσας τῶν εὐχῶν μου. » Καὶ γὰρ ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, ἀλλὰ σὺ, Κύριε, βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Ἐὰν οὕτως δεηθῶμεν μετὰ εἰλικρινοῦς καρδίας τοῦ ἀμνησικάκου Κυρίου, ἀκούομεν παρ' αὐτοῦ, ὅτι πᾶς ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται· καὶ ὅτι ἡ πίστις σου σέσωκέ σε· πορεύου ἐν εἰρηνικῷ λογισμῷ. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

HOMILIA XXVII.

De desperatione.

Desperationis perturbatio cæteras præ se dictas facile anteit, et gravitate, et inexplebeli angore. Hominem enim recta præcipitat in infidelitatis barathrum, adeo inclementer, ut nihil illi reliquum faciat sperandæ salutis. Elocatum siquidem ac miserrime proditum, committit exitialium dæmonum torturæ, quo fit, ut in cibum illis jam vertatur ac deridiculam insultationem. Ut enim fidelis vir, speque quam optima nitens, suave fit Christo edulium (« Meus enim cibus est, ait, ut faciam voluntatem Patris mei [63]. » Voluntas autem Patris est, ut per eum salvetur homo omnis), ita et nostræ omnium salutis æmuli atque homicidæ diaboli voluntas peculiariter una hæc est, hominem ut laqueo implicet desperationis, denique et perdat. Nos igitur qui Christum induimus, qui concorpores ei sumus, qui ipso doctore didicimus: « Non veni vocare justos, sed peccatores ad pœnitentiam [64]: » certatim contendamus præsidio subnixi pœnitentiæ, tam exorabilem placare Dominum qui mala omnia oblivione interlinet. Id facto nobis opus, ne illud Jeremiæ audire contingat: « Nunquid cadens non resurgit, aut convertens non convertetur [65]? » Rursus: « Nunquid resina non est in Galaad, aut medicus non est ibi, quia aversus est populus hic aversione imprudenti [66]? » Itaque, fratres, cum habeamus providum curatorem Deum, ad omnia ipsi accollemur giutino charitatis, non item ut refugæ a tam benigno desciscamus. « Appropinquate mihi, ait, et appropinquabo vobis [67]. » Ipsi enim cura futura est nostri, ut qui nos tanti æstimavit, quos proprio redimeret sanguine. **1072** Animæ præstantis prorsus ac generosæ peculiaris conditio ea est, ut quantæcunque tandem inundent calamitatum procellæ, nullo unquam pacto sinat a se avelli spei solidæ anchoram. Ob hoc enim hominis vita πειρατήριον dicitur, hoc est, tentationum sive piratarum domicilium. At nos ne sic quidem a Domino deficiamus, quousque tentatorem jubeat semotius a nobis secedere, et per

B

ΛΟΓΟΣ Ζ'.

Περὶ ἀπογνώσεως.

Τὸ τῆς ἀπογνώσεως πάθος δεινότερον τῶν πρὸ αὐτοῦ ἐστι πάνυ καὶ δυσαλθές. Φέρει γὰρ τὸν ἄνθρωπον εἰς ἀπιστίαν, καὶ ἀνελπιστίαν. Καὶ λοιπὸν ἔκδοτον ἑαυτὸν καθίστησι τοῖς ἀλιτηρίοις δαίμοσι· καὶ εὑρίσκεται αὐτοῖς βρῶμα καὶ ἐπίχαρμα. Ὥσπερ γὰρ ὁ πιστὸς καὶ εὔελπις ἐστὶ βρῶμα τοῦ Χριστοῦ (« Ἐμὸν γὰρ, φησὶ, βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ Πατρός μου. » Θέλημα δὲ τοῦ Πατρὸς αὐτοῦ, τὸ σωθῆναι πάντα ἄνθρωπον »·) οὕτω καὶ τοῦ πονηροῦ καὶ ἀνθρωποκτόνου διαβόλου τὸ θέλημα, τὸ εἰς ἀπόγνωσιν εἰσφέρειν, καὶ ἀπολέσαι τὸν ἄνθρωπον. Ἡμεῖς οὖν οἱ Χριστὸν ἐνδεδυμένοι καὶ σύσσωμοι αὐτοῦ C ὄντες, καὶ ἀκούοντες παρ' αὐτοῦ, ὅτι « Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν· » ἀγωνισώμεθα διὰ μετανοίας δυσωπῆσαι τὸν ἀμνησίκακον Θεὸν, ἵνα μὴ ἀκούσωμεν παρὰ τοῦ Ἱερεμίου· « Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων, οὐκ ἐπιστρέφει; » Καὶ πάλιν· « Μὴ ῥητίνη οὐκ ἔστιν ἐν Γαλαάδ, ἢ ἰατρὸς οὐκ ἔστιν ἐκεῖ; Ὅτι ἀπεστράφη ὁ λαὸς οὗτος ἀποστροφὴν ἀναιδῆ. » Ἔχοντες οὖν ἡμεῖς, ἀδελφοὶ, τὸν Θεὸν ἐπίκουρον, ἐν παντὶ αὐτῷ κολληθῶμεν, καὶ μὴ ἀποστῶμεν ἀπ' αὐτοῦ. « Ἐγγίσατε γάρ μοι, φησὶ, καὶ ἐγγυῶ ὑμῖν. » Αὐτῷ γὰρ μέλει περὶ ἡμῶν, ὡς τῷ ἰδίῳ αἵματι ἐξαγοράσαντι ἡμᾶς. Μεγαλοφυοῦς οὖν ψυχῆς, καὶ γενναίας ἴδιον τὸ, μὴ ἀπογινώσκειν ἐν οἱαισδήποτε συμφοραῖς. Διότι πειρατήριόν ἐστιν ὁ βίος τοῦ ἀνθρώπου· D ἀλλ' ἡμεῖς μὴ ἀποστῶμεν ἀπὸ Κυρίου μέχρις ἂν προστάξῃ ἀπελθεῖν ἀφ' ἡμῶν τοὺς πειράζοντας· καὶ ζωοποιηθῶμεν διὰ ὑπομονῆς, καὶ στερρᾶς ἀπαθείας. Χαλεπώτερον γὰρ τοῦ ἁμαρτάνειν ἐστὶ, τὸ ἀπελπίζειν. Ἰούδας ὁ προδότης μικρόψυχος ἦν, καὶ ἀπειροπόλεμος· καὶ διὰ τοῦτο ἀπογνόντι ἑαυτοῦ ἐπδραμὼν ὁ ἐχθρὸς ἀγχόνης σχοινίῳ περιέβαλε. Πέτρος δὲ ἡ στερεὰ πέτρα μεγάλῳ πτώματι κατενεχθεὶς, ὡς ἐμπειροπόλεμος οὐκ ἀπέγνω δυσθυμήσας, ἀλλὰ προσήγαγε πικρότατα δάκρυα ἀπὸ καρδίας κατακαιομένης. Καὶ θεασάμενος ὁ πολέμιος ταῦτα, ὥσπερ πυρὶ καιόμενος τὴν ὄψιν, ἀπέδρα μακρὰν δεινῶς

[59] Psal. LX, 3-6. [60] Psal. CXVIII, 28. [61] Matth. VII, 8. [62] Marc. XX, 52. [63] Joan. IV, 34. [64] Luc. V, 32. [65] Jer. VIII, 4. [66] ibid. 22. [67] Jac. IV., 8.

ὀλολύζων. Μὴ οὖν ἀπογνῶμεν ἑαυτῶν, ἀγαπητοί, ἀλλὰ μᾶλλον νευρούμενοι, καὶ περιτειχιζόμενοι τῷ φωτὶ τῆς πίστεως, ἀντικράζωμεν μετὰ πολλῆς παῤῥησίας πονηρῷ· τί σοι καὶ ἡμῖν, ἀλλότριε τοῦ Θεοῦ, καὶ δραπέτα τῶν οὐρανῶν, καὶ δοῦλε πονηρέ; οὐκ ἔχεις σὺ παῤῥησίαν καθ' ἡμῶν. Χριστὸς ὁ τοῦ Θεοῦ Υἱὸς, ἡμῶν τε καὶ πάντων τὴν ἐξουσίαν ἔχει· αὐτῷ ἡμάρτομεν, αὐτῷ καὶ ἀπολογησώμεθα· σὺ δὲ φεῦγε ἀφ' ἡμῶν μακράν, ὀλέθριε. Ἡμεῖς γὰρ ἐνέχυρον ἔχοντες τὸν τίμιον αὐτοῦ σταυρὸν, πατοῦμεν ἐπάνω σοῦ τοῦ ὄφεως τὴν κεφαλήν. Οὕτως οὖν ἡμεῖς ἀντίστῶμεν ἀεὶ τῷ πολεμίῳ θαρσαλέοι, καὶ μὴ εἰς ἀπόγνωσιν ἑαυτοὺς ἐκδῶμεν. Εἰ γὰρ οἱ δαίμονες παρακαλέσαντες τὸν Κύριον, ἵνα μὴ τῇ ἀβύσσῳ παραπεμφθῶσιν, ἔτυχον τοῦ αἰτήματος, πόσῳ μᾶλλον εἰσακουσθήσεται ὁ τὸν Χριστὸν ἐνδεδυμένος, δεόμενος ἐλευθερίας τυχεῖν τοῦ νοητοῦ θανάτου; Μὴ οὖν ἀπελπίσωμεν ἑαυτῶν, ἀλλὰ στῶμεν ἑδραῖοι εἰς ἐξομολόγησιν, καὶ εἴπωμεν μετὰ κατανύξεως, Δέσποτα, Κύριε οὐρανοῦ καὶ τῆς γῆς, Βασιλεῦ τῶν αἰώνων, εὐδόκησον ἀνοιγῆναί μοι θύραν τῆς μετανοίας, ὅτι ἐν ὀδύνῃ ψυχῆς ἱκετεύω σὲ τὸν ἀληθινὸν Θεὸν τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ φῶς τοῦ κόσμου ἐπιβλέψαι τῇ πολλῇ σου εὐσπλαγχνίᾳ, καὶ πρόσδεξαί μου τὴν δέησιν, καὶ μὴ ἀπώσῃ μου αὐτὴν, ἀλλὰ σύγγνωθί μοι τῷ ἐν πολλοῖς πταίσμασιν εὑρεθέντι. Κλίνον τὸ οὖς σου εἰς τὴν δέησίν μου, καὶ συγχώρησόν μοι πάντα ὅσα ὡς ἄνθρωπος ἡττηθεὶς ὑπὸ τῆς προαιρέσεώς μου κακὰ εἰργασάμην. Ζητῶ γὰρ ἄνεσιν, καὶ οὐχ εὑρίσκω διὰτὸ τὴν συνείδησίν μου μὴ συγχωρεῖν μοι. Ὑπομένω εἰρήνην, καὶ οὐκ ἔστιν ἐν ἐμοὶ εἰρήνη διὰ τὸν βυθὸν τοῦ πλήθους τῶν ἀνομιῶν μου. Ἄκουσον, Κύριε, καρδίας μου πρὸς σὲ βοώσης, καὶ μὴ προσχῇς τοῖς φαύλοις μου ἔργοις, ἀλλ' ἐπίβλεψον ἐπὶ ὀδύνῃ τῆς ψυχῆς μου, καὶ τάχυνον τοῦ ἰάσασθαί με δεινῶς τετραυματισμένον· καὶ δός μοι καιρὸν ἀνανήψεως κατὰ τὴν χάριν τῆς φιλανθρωπίας σου, καὶ ῥῦσαί με ἀπὸ τῶν ἀτιμοτάτων ἔργων, καὶ μὴ ἀντιμετρήσῃς μοι, μηδὲ θελήσῃς ἀποδοῦναί μοι ἄξια ὧν ἔπραξα· ἵνα μὴ τελείως ἀπόλωμαι. Ἄκουσον, Κύριε, ἐν ἀπογνώσει μου ὄντος. Ὁ γὰρ πάσης προθυμίας ἐρημωθεὶς καὶ ἐννοίας εἰς τὸ διορθώσασθαι ἐμαυτὸν, προσπίπτω τοῖς οἰκτιρμοῖς σου, τοῦ ἐλεῆσαί με τὸν ἐπὶ γῆς ἐῤῥιμμένον ἐν καταβίκῃ ἁμαρτιῶν μου. Ἀνακάλεσαί με, Δέσποτα, τὸν αἰχμάλωτον, καὶ κατεχόμενον ὑπὸ τῶν πράξεών μου, καὶ ὡς ἀπὸ ἁλύσεως σφιγγόμενον. Σὺ γὰρ μόνος οἶδας λύειν πεπεδημένους, ἰάσασθαι τὰ ἄδηλα τραύματα ἃ σὺ μόνος ἐπίστασαι ὁ τῶν κρυπτῶν γνώστης ὑπάρχων. Ὅσα γὰρ πάθη πρόσεστί μοι κακῶν, εἰς πάντα σε εὑρίσκω ὀνομαζόμενον, ἰατρὸν τῶν κακῶς ἐχόντων, θύραν τῶν ἔξω παροδυρομένων, ὁδὸν τῶν πεπλανημένων, φῶς τῶν ἐσκοτισμένων, λυτρωτὴν τῶν ἀπαγομένων, ἐπέχοντα ἀεὶ τὴν χεῖρά σου, καὶ μὴ ἐπαφιέντα τὴν ὀργὴν τοῖς ἁμαρτωλοῖς ἡτοιμασμένην, ἀλλὰ διὰ τὴν πολλήν σου φιλανθρωπίαν ἔδωκας καιρὸν ἀνανήψεως· ἐπιφάνηθί

A tolerantiam atque immobilem animi rigorem vitæ restituamur tranquilliori. Quod enim peccati genus usquam inveniatur atrocius desperatione? Judas ille Domini proditor, quam pusilli erat et abjecti animi? quam rudis et expers conflictus tentationum? Ob hoc enim spem omnem a se cum abjecisset, insiliente in eum inimico, funiculo sibi præfocavit gulam [68]. At Petrus solida illa petra, numquid non in peccatum impegit nec mediocre? Verum is, tanquam qui tales conflictus doctrice experientia didicisset, ob maleloquam negationem, spem neutiquam abjecit, sed lacrymas adhibuit pararias apud Dominum et conciliatrices. Quasnam? sane plenas amaritudinis, et quæ ex corde prosilierint deflagrante in cendio charitatis. Hanc Petri magnanimitatem hostis

B cum vidisset, nulli dubium sit, quin se illinc concitus proripuerit ingenti cum ejulatu, ac si igni illi facies conflagrasset. Ne igitur, charissimi, a nobis spem abjiciamus impetrandi illius beatæ vitæ; magis vero quantumcunque est nervos intendamus, omnique ex parte eam communiamus lumine fidei. Adversus malignum incentorem, multa cum fiducia vociferemur: Quid tibi et nobis commune est, a Dei consortio extorris, et cœlestis municipii refuga perditissime, serve nequam? nihil enim in nos obtines juris. Christus enim Dei Filius, nostri ille denique et omnium plena solus perfruitur potestate: illi peccavimus, coram illo nos etiamnum purgavimus: a nobis tu quam longissime, exitialis ac pestilens secede. Siquidem nos Domini crucem omni honore

C dignam cum retineamus pignoris loco, quamlibet sublime illud caput tuum, calce proterimus, o serpens venenate. Ad hunc sane modum adversus colluctatorem et adversarium nostrum spe audaci nitentes deprælemur ac repugnemus, nec ullo unquam pacto sinamus nos intercipi laqueo desperationis, per deditionem. Dæmones enim ipsi, ne in abyssum præcipitarentur, cum obsecrarunt Dominum, sua petitione fraudati non sunt: quanto dignius est eum exaudiri, Christum qui per fidem induit, suppliciter deprecantem, a spirituali morte ut liberetur!

1073 Ne igitur spe abjecta despondeamus animum; magis autem perseveremus in confessione solidi ac stabiles, et cum compunctione dicamus:

D Here mi, Domine cœli et terræ, Rex sæculorum, quæso, mihi velis adaperire pœnitentiæ januam. Siquidem tota afflictione animæ obsecro te verum Deum Patrem Domini nostri Jesu Christi, qui lumen est mundi, ut videam tua solius exuberanti misericordia. Admitte, quæso, meam hanc supplicationem. Ne meam deprecationem repudies, sed condona mihi sic misere intercepto in multiplici prævaricatione mandatorum tuorum. Inclina aurem tuam ad precem meam, mihique cuncta indulge quæ admisi nequiter ut homo propria victus voluntate. Quæro enim requiem, nec uspiam invenio, eo quod minime indulgeas conscientiæ meæ tranquil-

[68] Matth. xvii, 5

litatem. Exspecto pacem, et ecce non est pax mihi, sed hoc facit abyssus immensa iniquitatum mearum. Audi, Domine, cor meum; ad te enim voce querula suspirat. Neu aures accommoda operibus meis plane improbis et flagitiosis, quin potius ad animæ meæ dolorem respice, nec cunctéris medicam manum tuam mihi adhibere atrociter saucio: tempus proinde resipiscendi tua solius benignitate impartire mihi. Extrica, quæso, me istis pedicis quæ adversum me consistunt, operum meorum. Ne ad tuæ æquilibrium justitiæ mecum admetiaris, neu digna factis requiras in me, ut ne totus in nihilum redigar. Audi, Domine, in periculo me constitutum desperationis. Omni enim destitutus sum alacritate atque intelligentia spirituali, qua meipsum ad rectitudinem revocare possim. Tuis procido et advolvor supplex miserationibus, mei ut miserearis in humum misere dejecti, dum ipse mea peccata accuso et damno. Revoca me, Here mi, ejectitium, in operibus propriis deprehensum, et quasi catena quapiam constrictum. Tu enim solus nosti compedibus astrictos absolvere, vulneribus nulli dum perspectis aut cognitis certissimam afferre medelam, quæ sane solus tu clarissime perspicis utpote arcanorum cognitor. Quantæcunque enim mihi imminent vitiosæ affectiones, unum te comperio quem nominatim opplorem ad eas omnibus curandas; medicum nempe male habentium; eorum januam qui pro vestibuli aditu, querula ac lugubri voce comploranti; viam a recto calle exorbitantium; inter tenebras obambulantium præfulgidum lumen; eorum Redemptorem qui rapiuntur ad dependendam pœnam. Manum proinde premis et cohibes tuam, nec facile iram alioqui adversus peccatores paratam exseris et contorques: tempus magis indulges, ipsi ut resipiscamus, et hoc nimis quam multa erga nos tua fit benignitate. Exorire tandem et affulge mihi, Domine, misere collapso, utique tu ad misericordiam festinus, tardus ad irrogandam pœnam. Manum, quæso, tuam in me exporrigere tua digneris clementia; et me e lacustri fovea iniquitatum mearum subleva et arrige. Tu enim solus Deus noster, qui nihil minus quam ut oblecteris pereuntium peccatorum depulsione, faciem neutiquam avertis ab eo qui in te unum cum lacrymis pressius mentis aciem defigit. **1074** Exaudi, Domine, servi tui vocem clamantis ad te, lumenque tuum illustra atque irradia in me qui exstinctus jam sum; rorulentam asperginem sancti tui Spiritus instilla in me, et promptam animi alacritatem impertire mihi vel gratuito, ut qui a me spem alioqui abjeci, corroborem meipsum in te vehementer et confirmem. Verte, mi Domine, « planctum meum in gaudium mihi; disrumpe saccum meum et circumcinge me lætitia [69]. »

Complaceat aliquando ut desinam, et ab occiduis atque vespertinis meis operibus interquiescam, ac

μοι, Δέσποτα, δεινῶς καταπεπτωκότι· ὁ ταχὺς ἐν ἐλέει, καὶ βραδὺς ἐν κολάσει· καὶ τῇ σῇ εὐσπλαγχνίᾳ θέλησον ὀρέξαι μοι χεῖρα, καὶ ἀνάστησόν με ἐκ τοῦ βόθρου τῶν ἀνομιῶν μου. Σὺ γὰρ μόνος ὑπάρχεις ὁ Θεὸς ἡμῶν, ὁ μὴ τερπόμενος ἐπ' ἀπωλείᾳ ἁμαρτωλῶν, ὁ μὴ ἀποστρεφόμενος πρόσωπον ἐν δάκρυσιν εἰς σὲ ἀτενίζοντος. Εἰσάκουσον, Κύριε, φωνῆς τοῦ δούλου σου βοῶντος πρὸς σέ· καὶ ἐπίφανον τὸ φῶς σου ἐν ἐμοὶ τῷ ἐσβεσμένῳ, καὶ ἀπόστειλον τὴν τοῦ ἁγίου σου Πνεύματος ἱκμάδα, καὶ χάρισαί μοι μακρὰν προθυμίαν, ἵνα ἀνασφήλω σφόδρα ἐμαυτοῦ ἀπογνούς. Στρέψον, Κύριε, « τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί· διάρρηξον τὸν σάκκον μου, καὶ περίζωσόν με εὐφροσύνην. » Καὶ εὐδόκησον ἵνα ἀναπαύσωμαι τῶν ἐσπερινῶν μου ἔργων· καὶ τύχω ἀναπαύσεως πρωϊνῆς ὥσπερ τοὺς ἐκλεκτούς σου, Κύριε, ὧν ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός. Καὶ ἀνοιγείτω μοι θύρα τῆς βασιλείας σου, ἵνα εἰσελθὼν ἐν αὐτῇ μετὰ τῶν ἀπολαυόντων τὸ φῶς τοῦ προσώπου σου, Κύριε, τύχω τῆς αἰωνίου ζωῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἐὰν οὕτως αὐτῷ προσέλθωμεν μετὰ ταπεινῆς καρδίας, προσδέχεται τὴν δέησιν ἡμῶν. Ἐν πάσῃ οὖν φωτοφανείᾳ ὑμνεῖν καὶ δοξάζειν αὐτὸν ὀφείλομεν, ὅτι αὐτός ἐστιν ἡ αἰτία πάντων τῶν ἀγαθῶν, καὶ ἀρχὴ καὶ οὐσία καὶ ζωή. Καὶ τῶν μὲν ἀποπεπτωκότων αὐτῆς, ἀνάκλησις, καὶ ἀνάστασις· τῶν δὲ ἀπολισθαινόντων ἀνακαινισμός, καὶ ἀναμόρφωσις, καὶ τῶν ἑστηκότων ἵδρυσις καὶ ἀσφάλεια. Λέγει δὲ καὶ ὁ Ἐκκλησιαστής· Ἔστιν ἐλπὶς ὅτι « Ὁ κύων ὁ ζῶν αὐτὸς ἀγαθὸς ὑπὲρ τὸν νεκρὸν λέοντα. » Ὅτι οἱ ζῶντες γνώσονται ὅτι ἀποθανοῦνται, καὶ οἱ νεκροὶ οὐκ ἴσασι τὸν κύνα τὸν ἀπεγνωσμένον. Λέγει δὲ καὶ ὁ Παῦλος περὶ τοῦ παραπεπτωκότος ἐν Κορίνθῳ ἐπιστέλλων, ὅτι « Τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι, καὶ παρακαλέσαι, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. Διὸ παρακαλῶ ὑμᾶς κυρῶσαι εἰς αὐτὸν ἀγάπην, ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. » Καὶ ἡμεῖς οὖν συναθλήσωμεν σὺν τῷ Παύλῳ λέγοντες· « Ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι· διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι. Πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες. Ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν. » Καὶ αὖθις, « Ὁ Πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως, καὶ ὁ παρακαλῶν ἡμᾶς ἐν πάσῃ τῇ θλίψει ἡμῶν εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει, διὰ τῆς παρακλήσεως, ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ· ὅτι καθὼς περισσεύει τὰ παθήματα τοῦ Ἰησοῦ, οὕτω διὰ τοῦ Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν. Εἴτε δὲ θλιβόμεθα, διὰ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας· εἴτε παρακαλούμεθα, διὰ τῆς ὑμῶν παρακλήσεως τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτοῦ παθημάτων, ὧν καὶ ἡμεῖς πάσχομεν, καὶ ἡ ἐλπὶς ἡμῶν βεβαία. » Μὴ οὖν παραδε-

[69] Psal xxix. 12.

ξώμεθα, ἀγαπητοί, τὴν κακίστην συμβουλίαν τοῦ διαβόλου, ἧγουν τῆς ἀπογνώσεως· μηδ' ὅλως εὕρῃ παρείσδυσιν εἰς ἡμᾶς. Αὕτη γάρ ἐστιν ἡ τελεία χαρὰ τοῦ διαβόλου· ἀλλὰ μᾶλλον ἀνανήψωμεν ὡς ὁ ἄσωτος υἱός, καὶ ἐπιστρέψωμεν πρὸς τὸν εὔσπλαγχνον Πατέρα μετὰ αἰδοῦς καὶ χαρᾶς· καὶ εἴπωμεν· « Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, » δέξαι με ὡς ἕνα τῶν μισθίων σου· καὶ εἰσάγαγέ με εἰς τὴν μάνδραν σου τὸ ἀπολωλὸς πρόβατον· ἵνα μὴ ἔξω εὑρών με ὁ λύκος ὁ λυμεὼν καταφάγῃ με. Οἶδα γάρ σε, Δέσποτα, τὸν καλὸν ποιμένα, καὶ λιμένα τῶν χειμαζομένων, ἐλπίδα τῶν ἀπηλπισμένων, ἰατρὸν τῶν ἀπεγνωσμένων· ἐπίδησον [d], Δέσποτα, τὰ τραύματά μου ἐλαίῳ καὶ οἴνῳ, ἃ ἐτρώθην ὑπὸ τῶν λῃστῶν. Αὐτὸς γὰρ εἶπας, Κύριε· « Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. » Ἐὰν οὕτω δεηθῇς, ἐγερεῖ ὡς τὸν παράλυτον, καὶ λέξει σοι· « Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε. » Αὐτὸς γὰρ Κύριος παραβολικῶς εἶπε περὶ τῆς χήρας, καὶ τοῦ κριτοῦ τῆς ἀδικίας, περὶ τοῦ δεῖν ἡμᾶς πάντοτε εὔχεσθαι, καὶ μὴ ἐκκακεῖν. Καὶ ἐπάγει· « Ὁ Θεὸς οὐ μὴ ποιήσει τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ, τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτὸς, καὶ μακροθυμεῖ; ναὶ λέγω ὑμῖν, ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A demum diluculari et matutina perfruar requie, qua tu tuos electos tranquillissime refoves, Domine, a quibus porro dolor fugit ac gemitus. Regni tui janua mihi, quæso, adaperiatur, ut eam ingressus cum his qui lumine vultus tui, Domine, perfruuntur, demum ipse perfruar etiam beatifica perfruitione æternæ illius tuæ vitæ, in Christo Jesu Domino nostro. Ad eum modum, si dejecto et humili corde ipsi procidemus, utique nostram admittet deprecationem. In omni igitur affulgentia lucis divinæ qua illustrari nos sentimus et circumfundi, hymnorum laudumque jubilis necesse sit ipsum ut celebremus. Ipse enim bonorum omnium auctor est, origo, vita, essentia. Idem eorum quoque qui ab ipso desciverunt revocatio et resurrectio ; qui autem et defluxerunt atque prolapsi sunt, restauratio ac reformatio : stantium proinde firmitas et tutelaris protectio. Dixit Ecclesiastes : Est spes quia « canis vivus melior est leone mortuo [70] : » qui enim vivunt, utique noverunt se esse morituros ; mortui vero, ne canem quidem deploratum sciunt. Sed et Paulus de eo qui Corinthi in grave impegerat delictum, per Epistolam dicit : « Ita ut e contrario magis donetis et consolemini, ne forte abundantiori tristitia absorbeatur is : propter quod obsecro vos ut confirmetis in illum charitatem, ut ne circumveniamur a Satana ; non enim ignoramus cogitationes ejus [71]. » Nos itaque cum Paulo parilem agonem sustineamus, dicentes : « In omnibus tribulationem patimur, sed non angustiamur ; aporiamur, sed non destituimur ; persecutionem patimur, sed non delinquimur ; dejicimur, sed non perimus ; semper mortificationem Jesu in corpore circumferentes, ut et vita Jesu manifestetur in carne nostra mortali [72]. » Rursus : « Pater misericordiarum et Deus totius consolationis, qui consolatur nos in omni tribulatione per consolationem qua consolamur a Deo ; quia sicut abundant passiones Jesu, ita per Christum abundat et consolatio nostra ; sive tribulamur, pro vestra exhortatione et salute, sive ipsi consolamur, per vestram consolationem quæ efficaciter operatur in tolerantia passionum ipsius, quas et nos patimur, et spes nostra firma est [73]. » Ne igitur, charissimi, truculentissimi istius dæmonis, **1075** nempe desperationis, unquam admiserimus consilium, ut ne qua ex parte comperiat aditum quo se menti nostræ blandissimus veterator insinuet, clamve irrepat (aliud enim nihil desperatio quam perfectum diaboli gaudium) ; quin potius nos ipsos recipiamus ad sobriæ ac melioris vitæ frugem, exemplo filii prodigi. Cum reverentia simul et gaudio ad clementissimum Patrem convertamur, cui et dicamus : « Pater, peccavi in cœlum et coram te [74], » suscipe me ut unum aliquem e mercenariis tuis, meque introduc in caulam gregis tui, oviculam hanc misere perditam, ut ne extra caulæ tuæ septa inventam hiulcula fauce absorbeat lupus ille truculentus corruptor. Plane novi ego, mi Here, bonum te esse pastorem, ac eorum esse tutissimum portum qui quavis tempestate misere percelluntur, spem certissimam de se desperantium, immedicabili morbo desperationis laborantium præsentissimum medicum. Cura, o Domine, olei ac vini infusione vulnera mea, quibus prædones isti me inclementer consauciarunt. Certe, Domine, ipse dixisti : « Non egent qui sani sunt medico, sed qui male habent [75]. » Hoc pacto cum oraveris, jacentem te ut illum paralyticum eriget, dicetque tibi : « Ecce sanus factus es ; jam amplius noli peccare [76]. » Idem namque Dominus de vidua illa parabolice, et de judice iniquitatis dixit, oportere nos semper orare, neque unquam defetisci aut defatigari [77] ; eoque inducit : « Deus autem non faciet ultionem electorum suorum clamantium ad se die ac nocte, et longanimiter patietur ? dico vobis, quia propediem faciet ultionem eorum [78]. » Ipsi gloria in sæcula sæculorum. Amen

[70] Eccle. IX, 4. [71] II Cor. II, 7, 8, 11. [72] II Cor. IV, 8-11. [73] II Cor. I, 3-7. [74] Luc. XV, 18. [75] Matth. IX, 12. [76] Joan. V, 14. [77] Luc. XVIII, 1. [78] Isa. XXXV, 4.

VARIÆ LECTIONES.

[d] ἐπίδησον, alliga, astringe, lege, ἐπιχύδησον.

HOMILIA XXVIII.

De murmuratione.

Et quidem murmurare, sivi prætextus aliquis rationi in speciem consentaneus ferat, sive citra ullum prætextum, utcunque res habet, virorum est contaminatæ et piacularis vitæ. Recta enim vitæ constitutio, ac Deo cum primis accepta, est eorum qui quacunque de re adeo non oblatrant, ut etiam referant gratiarum actionem. Talis qui nulla de re obmurmurat, imaginem refert aquæ limpidioris ac pellucidæ; e diverso obstreperus murmurator, mire turbulentus, quotidianis intemperiis agitatur [c]. Ille cum actione gratiarum vivit gratiosus, hic plane ingratus. Nescius murmurationis, nulli non se exhibet amabilem; murmurator nulli B non se reddit invisum et exsecrabilem. Ille nulli pervius vituperationi, hic nulli non conspicitur vituperabilis. Ille conviciatur nemini, hic vehementer impudens ac temerarius deprehenditur : quo fit ut talem infense oderit Deus. Isthæc affectio ex vita enascitur plane impura ac flagitiis contaminata, et ex eo quod a te excusseris Dei timorem. Quemadmodum divinæ est voluntatis, ut homo per hominem servetur, ita Satanas magnopere contendit hominem per hominem in laqueum protrudere perditionis. Ne igitur tali adhærescas, qui in hoc vitium propendet declivior, nec linguæ præcipitium ullo remoratur freno, ne cum ipso præceps ruas ad supplicium. Sane non indecorum sit vitare ejusmodi qui nullam norunt linguæ adhibere temC periem, **1076** qui nihil tam spirant quam pugnas verborum, qui suis agitationibus tam internis quam externis turbas conciunt. Qui talis est, comperitur particeps esse et consors exitialibus illis ac plane ingratis Judæis qui in eremo leguntur murmurasse adversus Deum, juxta quod scriptum est : « Et erat populus murmurans adversus Moysem. Et dixit Moyses : Non enim adversum nos est murmur vestrum, sed adversus Deum [79]. » Rursus : « Quid jurgamini contra me, et tentatis Dominum [80] ? » Ait item Isaias : « Qui dicunt quod dulce est amarum, et quod amarum est, dulce [81]. » Inducit : « Murmuratores, discite obedientiam [82]. » David ad eumdem modulum de istis dicit : « Non crediderunt D verbo ejus, et murmuraverunt in tabernaculis suis [83]. » Rursum : « Quorum os locutum est vanitates, et dextera eorum dextera iniquitatis [84]. » Dicit autem et Judas Jacobi frater : « Hi sunt murmuratores, querulosi, secundum proprias concupiscentias ambulantes, et os eorum loquitur superba [85]. » Nos igitur, fratres, ipsi interquiescamus a murmuratione; et quid Philippensibus Paulus scri-

[79] Exod. XVI, 8. [80] Exod. XVII, 2. [81] Isa. V, 20. [82] Isa. XXIX, 24. [83] Psal. CV, 25. [84] Psal. CXLIII, 8. [85] Jud. 16.

ΛΟΓΟΣ ΚΗ'.

Περὶ γογγυσμοῦ.

Τὸ γογγύζειν, εἴτε μετὰ εὐλόγου προφάσεως, εἴτε δίχα προφάσεως, τῶν ἐναγῶν ἐστιν. Ὁ γὰρ ὀρθὸς βίος, καὶ δεκτὸς παρὰ τῷ Θεῷ, ὁ τῶν ἀγογγύστων καὶ εὐχαρίστων ἐστίν. Ἀγόγγυστος ὥσπερ ὕδωρ διαυγὲς ὑπάρχει· ὁ δὲ γογγυστὴς θολώδης, τεταραγμένος· ἀγόγγυστος εὐχάριστος, ὁ δὲ γογγυστὴς ἀχάριστος· ὁ ἀγόγγυστος φιλητός, ὁ δὲ γογγυστὴς στυγητός· ὁ ἀγόγγυστος ἄψεκτος, ὁ δὲ γογγυστὴς ψεκτός· ὁ ἀγόγγυστος ἀλοίδορος, ὁ δὲ γογγυστὴς λοίδορος, καὶ ἰταμὸς, καὶ θεοστυγὴς εὑρίσκεται [c]. Τὸ γὰρ πάθος τοῦτο ἐξ ἀπονοίας καὶ ἀφοβίας Θεοῦ γεννᾶται. Καὶ ὥσπερ ἄνθρωπον, δι' ἀνθρώπου βούλεται σῶσαι ὁ Κύριος, οὕτως ἄνθρωπον δι' ἀνθρώπου σπεύδει ὁ Σατανᾶς ἀπολέσθαι· οὐ χρὴ οὖν κολλᾶσθαι κακεντρεχεῖ, καὶ μὴ φυλάσσοντι γλῶσσαν, ἵνα μὴ σὺν αὐτῷ εἰς κόλασίν τις ἀπέλθῃ. Καλὸν οὖν ἐστιν τὸ φεύγειν τοὺς ἀπαιδεύτους τῇ γλώσσῃ, καὶ τοὺς μαχοσυμβούλους, καὶ παραττομένους τοῖς ἐντὸς καὶ τοῖς ἐκτὸς κινήμασιν· ἐπεὶ εὑρίσκεται συμμέτοχος καὶ κοινωνὸς τοῖς ἐν τῇ ἐρήμῳ ἀλιτηρίοις, καὶ ἀχαρίστοις Ἰουδαίοις, οἵτινες ἐγόγγυζον κατὰ τοῦ Θεοῦ, καθὼς γέγραπται· « Καὶ ἦν ὁ λαὸς ὁ γογγύζων ἐπὶ Μωϋσῆν. Καὶ εἶπεν Μωϋσῆς· Οὐ γὰρ καθ' ἡμῶν ἐστιν ὁ γογγυσμὸς ὑμῶν, ἀλλὰ κατὰ τοῦ Θεοῦ. » Καὶ πάλιν· « Τί λοιδορεῖτέ με, καὶ τί πειράζετε Κύριον; » Φησὶν δὲ καὶ ὁ Ἡσαΐας· « Οἱ λέγοντες τὸ γλυκὺ, πικρὸν, καὶ τὸ πικρὸν, γλυκύ. » C Καὶ ἐπάγει· « Οἱ γογγύζοντες, μάθετε ὑπακούειν. » Καὶ ὁ Δαυὶδ ὁμοίως περὶ αὐτῶν λέγει· « Οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ, καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν. » Καὶ πάλιν· « Ὧν τὸ στόμα αὐτῶν ἐλάλησεν ματαιότητας, καὶ ἡ δεξιὰ αὐτῶν, ἀδικίας. » Λέγει δὲ καὶ ὁ Ἰούδας, ὁ τοῦ Ἰακώβου ἀδελφός· « Οὗτοί εἰσιν γογγυσταὶ, μεμψίμοιροι, κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι, καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα. » Ἡμεῖς οὖν παυσώμεθα τοῦ γογγύζειν, καὶ ἀκούσωμεν τοῦ Παύλου, Φιλιππησίοις γράφοντος· « Πάντα ποιεῖτε χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν, ἵνα γένησθε ἄμεμπτοι, καὶ ἀκέραιοι, τέκνα Θεοῦ ἀμώμητα· » Εἰκότως οὖν, « Δένδρον ζωῆς, ἴασις γλώττης· ὁ δὲ φυλάσσων αὐD τὴν πληθυνθήσεται Πνεύματος ἁγίου κατὰ τὴν Γραφήν. » Καὶ ὁ Παροιμιαστὴς ἐντέλλεται λέγων· « Φυλάξατε τοίνυν γογγυσμὸν ἀνωφελῆ, καὶ ἀπὸ καταλαλιᾶς φείσασθε γλώσσης. » Καὶ πάλιν· « Μὴ εἴπῃς· Τί ἐγένετο, ὅτι αἱ ἡμέραι αἱ πρότερον ἦσαν ἀγαθαὶ ὑπὲρ ταύτας; Οὐκ ἐν σοφίᾳ ἐπηρώτησαν περὶ τούτου. » Τὰ δὲ ἔγγονα τῶν γογγυστῶν, οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι, πρὸς τοὺς μαθητὰς τοῦ Κυρίου, κατὰ τὸ εἰωθὸς τῶν πατέρων αὐτῶν ἐγόγγυ-

[79] Exod. XVI, 8. [80] Exod. XVII, 2. [81] Isa. V, 20. [82] Isa. XXIX, 24. [83] Psal. CV, 25. [84] Psal. CXLIII, 8. [85] Jud. 16.

VARIÆ LECTIONES.

[c] Ἀνὴρ ἐπιστήμων οὐ γογγύσει. Vir prudens, sive peritus non murmurabit, et non contristabit justum quidquid ei acciderit.

NOTÆ.

(*o*) Aug. in Joannem. De nulla re magis offendisse Deum dicitur judaicus ille populus, quam contra Deum murmurando.

ἀποθανεῖν· μάταιον λόγον, καὶ ψευδῆ, μακρὰν ἀπ' ἐμοῦ ποίησον. Βδέλυγμα γὰρ Κυρίῳ χεῖλη ψευδῆ· ὁ δὲ ποιῶν πίστεις, δεκτὸς παρ' αὐτοῦ. » — « Ὃς δὲ ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμανεῖ ἀνέμους. Ἡ γὰρ ψευδὴς γλῶσσα μισεῖ ἀλήθειαν. » Καί· « Μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται· ὁ δὲ ἐγκαλῶν ἀδίκως, οὐ μὴ διασωθῇ. » Καί· « Μάρτυς ψευδὴς ἀπολεῖται. Ἀνὴρ δὲ ὑπήκοος φυλασσόμενος, λαλήσει ἀλήθειαν. » Καὶ πάλιν· « Μὴ ἴσθι ψευδὴς μάρτυς ἐπὶ σὸν πολίτην, » τουτέστιν, ἐπὶ σὸν ὁμόπιστον· « Μηδὲ πλατύνου ἐπὶ σοῖς χείλεσιν. » Καὶ ἄλλος· « μῶμος πονηρὸς, ψεῦδος ἐν ἀνθρώπῳ. Ὁ δὲ πιστὸς μάρτυς οὐ ψεύδεται. » Καὶ πάλιν· « Ἄκακος πιστεύει παντὶ λόγῳ, πανοῦργος δὲ ἔρχεται εἰς μετάνοιαν. » Καὶ πάλιν· « Οὐχ ἁρμόσει ἄφρονι χεῖλη πιστὰ, οὐδὲ δικαίῳ χεῖλη ψευδῆ. » Καὶ ἐπάγει· « Αἱρετώτερον κλέπτης ἢ ὁ ἐνδελεχίζων ψευδῆ. » Ὁ δὲ ἀπόστολος Παῦλος· « Μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀλλὰ ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν, ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ. » Καὶ ἐν ταῖς Πράξεσιν ὁ Πέτρος τῷ Ἀνανίᾳ· « Διὰ τί, φησὶν, ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; » Καὶ ἐπάγει· « Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ. » Καὶ ὁ Ἰάκωβος· « Ἐπεὶ μικρὸν ζῆλον ἔχετε ἐν ταῖς καρδίαις ὑμῶν, μὴ καταυχᾶσθε, καὶ ψεύδεσθε κατὰ τῆς ἀληθείας. » Ὁ δὲ Κύριος περὶ τοῦ Ἀντιχρίστου· « Ὅταν λαλεῖ, φησὶ, τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐστὶν, ὡς καὶ ὁ πατὴρ αὐτοῦ. » Ἀκούσαντες οὖν, ἀγαπητοὶ, τὸν πονηρὸν ψόγον τοῦ διαβολικοῦ ψεύδους, πάσῃ σπουδῇ φύγωμεν ἀπ' αὐτοῦ, καὶ προσδράμωμεν τῇ ἀληθείᾳ, ὅς ἐστιν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A iniquitatem. Et : « Perdes omnes qui loquuntur mendacium [16]. » Et : « Quia mentita est iniquitas sibi [17], labia enim dolosa in corde et in corde locuta sunt [18], » mendacium. Quin sapientissimus Salomon Deo ait : « Duo sunt quæ peto, ne deneges sive auferas a me, priusquam moriar. Sermonem vanum ac mendacem **1095** longe fac a me [19]. Abominatio enim apud Dominum labia mendacia ; qui autem fidelis est, acceptus est apud Deum [20]. » Et : « Qui nititur mendaciis, hic pascet ventos [21] ; mendax enim lingua odit veritatem [22]. » Et : « Testis mendax non erat impunitus ; qui autem defert injuste, non salvabitur [23]. » Et : « Testis mendax peribit [24] ; vir autem obediens qui sibi cavet, loquetur veritatem [25]. » Et : Ne sis testis mendax adversus concivem tuum [26], » hoc B est adversus confidelem, « et ne dilateris labiis tuis [27]. » Alius item : « Reprehensio mala, mendacium in homine ; qui autem fidelis est testis, non mentitur [28]. » Item : « Innocens credit omni verbo, veteratorem autem et astutum pœnitebit [29]. » Et : « Non conveniunt stulto labia fidelia, neque justo verba mendacia [30]. » Inducit : « Eligibilius quid est fur, quam qui assidue mentitur [31]. » Apostolus item Paulus : « Loquimini veritatem unusquisque cum proximo suo [32]. » In Actibus quoque Petrus Ananiæ dixit : « Ut quid implevit Satanas cor tuum, mentiri te Spiritui sancto, et fraudare de pretio agri [33] ? » Inducit : « Non es mentitus hominibus, sed Deo [34]. » Jacobus : « Cum amarum C zelum habeatis in cordibus vestris, nolite gloriari et mentiri adversus veritatem. Sed et Dominus, de Antichristo : « Cum enim loquitur mendacium, ex propriis loquitur ; quia mendax est, ut et pater ejus [35]. » Audita igitur, charissimi, diabolici mendacii vituperabili malignitate, quam longissime ab illo secedamus ; ad complexum vero veritatis studio omni contendamus pertingere, qui Christus est Deus noster verus. Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΜΓ'.

Περὶ κενοδοξίας.

Ὁ κενόδοξος δηλοῖ ὅτι πρόσκειται τῇ μισοθέῳ δόξῃ. Ἥδιστα γὰρ θηρεύει τοὺς ἐπαίνους τῶν ἀνθρώπων, καὶ εἰς αὐτοὺς ἐναβρύνεται ὑπὲρ ἐσμῶν ἑστιάσεως. Ὁ τοιοῦτος ὡς ἀνθρωπάρεσκος κρίνεται, ὅτι ἀγαπᾷ τὴν δόξαν τῶν ἀνθρώπων ὑπὲρ τὴν δόξαν τοῦ Θεοῦ, κατὰ τὸν εὐαγγελιστὴν Ἰωάννην· ἀλλ' ὥσπερ διὰ θλίψεως τὰ ἀγαθὰ τοῖς ἀνθρώποις ἡτοίμασται, οὕτως καὶ τὰ κακὰ διὰ κενοδοξίας καὶ ἡδονῆς. Ῥίζα γὰρ αἰσχρᾶς ἐπιθυμίας ἀνθρώπινος ἔπαινος· οὐχ ὅταν ἀκούωμεν αὐτὰ, ἀλλ' ὅταν αὐτὰ καταδεχώμεθα ἡδέως. Ἡ γὰρ κενοδοξία, καὶ ἡδονὴ, αἴτια ὑπάρχει πάσης κακίας. Τὸ πάθος τοῦτο τῆς κενοδοξίας πάνυ πολύμορφόν ἐστιν καὶ λεπτότατον, καὶ οὐ ταχέως, οὐδ' ὑπ' αὐτοῦ τοῦ πειραζομένου καταλαμβανόμενον. Ἐπὶ γὰρ τῶν ἄλλων παθῶν αἱ προσβολαὶ φανερώτεραι τυγχάνουσιν· καὶ ἡ ψυχὴ

HOMILIA XLIII.

De inani gloria.

Vaniglorius reipsa declarat exosam se habere Dei gloriam : ab hominibus enim laudes captat ac venatur perquam suaviter. Hinc ad eas secum ambitiosius subsultat ac prægestit gloriosius quam vel coepulonum quantuslibet cœtus. Talis ut humani favoris captator judicatur : ab hominibus enim sibi D exhibitam gloriam, præ gloria Dei diligit, juxta evangelistam Joannem : sane ut sunt hominibus apparata bona per afflictionum tolerantiam, ita et per inanem gloriam atque illecebram voluptatis conciliantur mala. Radix proinde obscenæ ac turpis concupiscentiæ est ex hominibus aucupari laudem, non quidem ipso statim articulo tentationis, sed tunc cum exceptas illam et perquam suaviter admittis. Plane malitiæ omnis artifex vana est gloria, simul et voluptas. **1096** Affectio proinde ambi-

[16] Psal. v, 7. [17] Psal. xxvi, 12. [18] Psal. xi, 3. [19] Prov. xxx, 7, 8. [20] Prov. xii, 22. [21] Prov. x, 4. [22] Prov. xxvi, 28. [23] Prov. xix, 15. [24] ibid. 9. [25] Prov. xxi, 28. [26] Prov. xxiv, 28. [27] Prov. v, 9 [28] Prov. xiv, 5. [29] ibid. 15. [30] Prov. xvii, 4. [31] Prov. xix, 22. [32] Ephes. iv, 25. [33] Act. v, 3. [34] ibid. 4. [35] Joan. viii, 44.

tiosior gloriæ istius inanis, quam est multiformis! quam est malum subtile! Adeo enim nequit plane internosci, ut ne vel ab eo qui tentatur, deprehendi facile possint impressiones illius sic insidiosæ. Attamen quæ adversum se instrui bellum, initio ipso novit anima, ejusmodi incursus a se facile remollitur ac depellit, si quidem ad asylum suffugerit orationis. Et quidem isthæc malitia cum tot induat formas, dici vix possit quam est difficilis expugnatu. In omni prope negotio irrepit clam, in habitu, in elegantia formæ, in ipso incessu, in voce ac sermone, in silentio, in opere, in vigiliis, in jejuniis, in oratione, in lectione, in quiete, in longanimi tolerantia. Per hæc omnia hominem Dei magnopere studet gloria inanis suis conficere telis. Si quando perspexerit non potuisse se per vestimentorum luxum profusiorem hominem prolicere ad sui consensum, illum adoritur, ut tentet per vestis sordities. Cujus animum nequiverit ad consensum elationis deflectere objectione honoris, hunc eo tollit, ut vel jam consentiat arrogantiæ, per hoc quod æquo fert animo se ignominia aspergi. Rursus, si quando persuadere nequiverit, ut quis magnifice glorietur quod sit eloquens, eumdem aggreditur quasi qui requietus sit et taciturnus, ac propemodum inescat et prolicit ad consensum per taciturnitatem. Quem non potuerit ad ambitionem gloriæ emollire per eduliorum sumptus magnificos, hunc dissolvit laudi propriæ ut consentiat per jejunium et vitæ frugalitatem. Utique compendio absolvam, nullum non genus exercitationis dæmoni huic reprobo occasionem suggerit conciendi adversum nos belli. Denique monachus comperitur honoris esse ambitiosulus, ut qui beneficus sit citra condignam mercedem : laborem enim sustinuit, nec recipit sui mercedem laboris. Isthæc gloriæ momento evanescentis cupiditas, misere perdit mercedes debitas virtuti. Et quemadmodum lapis in aera contortus, ad cœli usque convexa nunquam pertingit, ita nec hominis oratio humanos favores captantis ad aures Dei unquam conscendet. Vir, prudens si est, thesaurum, suæque virtutis laborem occulit ac recondit. Monachus intelligens ingeniosam et solertem imitatur apiculam. Quos externe selegerit flosculos, defert in alvearium, interne mellificium favumque operosius conficit. Ne labores **1097** tuos humanæ isti gloriolæ exponas venui, neve futuram gloriam prodas tam vili mercedula, nempe ob qualemcunque hominum favorem. Humana gloria deorsum in pulvere suum figit tabernaculum : quare ejus laus momento extinguitur ac deperit ; quæ autem virtuti debetur gloria, nullo intercipietur ævo. Nos igitur, charissimi, huic animæ perturbationi locum ne cedamus, ne quando nostri dominetur. Cum timore eum exaudiamus qui dicit : « Deus dissipavit ossa eorum qui hominibus placent [46]. » Apostolicam potius

[46] Psal. LII, 6.

ῥᾴδιον ἐπιγινώσκει τὸν πρὸς αὐτὴ πάλεμον, καὶ διὰ προσευχῆς τοῦτον ἀνατρέπει. Ἡ δὲ τῆς κενοδοξίας κακία, ὡς οὖσα πολύμορφος, δυσκαταγώνιστος τυγχάνει. Ἐν παντὶ γὰρ ἐπιτηδεύματι παρυφίσταται, ἔν τε σχήματι καὶ ἐν μορφῇ καὶ ἐν βαδίσματι, καὶ ἐν φωνῇ, καὶ ἐν λόγῳ, καὶ ἐν σιωπῇ, καὶ ἐν ἔργῳ, καὶ ἐν ἀγρυπνίαις, καὶ ἐν νηστείαις, καὶ ἐν εὐχῇ, καὶ ἐν ἀναγνώσει, καὶ ἐν ἡσυχίᾳ, καὶ ἐν μακροθυμίᾳ · διὰ τούτων πάντων ἐπιχειρεῖ τὸν τοῦ Θεοῦ ἄνθρωπον κατατοξεύειν. Ὅταν γὰρ μὴ δυνηθῇ διὰ πολυτελῶν ἐνδυμάτων πρὸς κενοδοξίαν ἀποστῆσαι, δι' εὐτελῶν ἐπιχειρεῖ πειράζειν. Καὶ ὃν οὐκ ἠδυνήθη διὰ τιμῆς ἐπᾶραι, τοῦτον διὰ τὸ φέρειν δῆθεν ἀτιμίαν, εἰς ἀπόνοιαν αἴρει. Καὶ ὃν οὐκ ἠδυνήθη πεῖσαι δι' ἐπιστήμην λόγων κενοδοξεῖν, τοῦτον διὰ σιωπῆς ὡς ἡσυχον δῆθεν δελεάζει · καὶ ὃν οὐκ ἠδυνήθη διὰ πολυτελείας βρωμάτων χαυνῶσαι, τοῦτον διὰ νηστείας πρὸς ἔπαινον ἐκλύει. Καὶ ἁπλῶς πᾶν ἐπιτήδευμα πρόφασιν παρέχει πολέμου τῷ πονηρῷ τούτῳ δαίμονι. Λοιπὸν εὑρίσκεται ὁ κενόδοξος μοναχὸς ὡς ἐργάτης ἄμισθος. Τὸν γὰρ πόνον ὑπέστη, καὶ τὸν μισθὸν οὐκ ἔλαβεν. Ἡ γὰρ κενοδοξία ἀπώλυσιν μισθοὺς ἀρετῶν. Καὶ ὥσπερ λίθου βολὴ οὐ φθάνῃ εἰς οὐρανὸν, οὕτως οὐδὲ προσευχὴ ἀνθρωπαρέσκου ἀναβήσεται πρὸς τὸν Θεόν. Ὁ φρόνιμος ἀνὴρ κρύπτει θησαυρὸν, καὶ ἀρετῆς πόνον · συνετὸς μοναχὸς τὴν μέλισσαν μιμεῖται, ἔξωθεν φέρων ἄνθη, καὶ ἔσωθεν κηρίον ἐργαζόμενος. Μὴ πωλήσῃς τοὺς πόνους σου δόξῃ ἀνθρωπίνῃ, μηδὲ τὴν μέλλουσαν δόξαν προδῷς δι' εὐτελῆ εὐφημίαν. Δόξα γὰρ ἀνθρωπίνη εἰς χοῦν κατασκηνοῖ, καὶ τὸ κλέος αὐτῆς σβέννυται. Ἡ δὲ τῆς ἀρετῆς δόξα μένει εἰς τὸν αἰῶνα. Ἡμεῖς οὖν, ἀγαπητοὶ, μὴ δῶμεν χώραν ὥστε τὸ πάθος τοῦτο κυριεῦσαι ἡμῶν · φοβούμενοι τὸν λέγοντα· « Ὁ Θεὸς ἐσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων. » Ἑπόμενοι δὲ μᾶλλον τῷ ἀποστολικῷ ῥητῷ εἴπωμεν εἰλικρινῶς · « Ἄρτι γὰρ ἀνθρώπους πείθω, ἢ τὸν Θεὸν, ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν; Εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην. » Καὶ αὖθις · « Οὕτως λαλοῦμεν, οὐχ ὡς ἀρέσκοντες ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν. Οὔτε γὰρ (φησὶν) ἐν λόγῳ κολακείας ἐγενήθημεν πρὸς ὑμᾶς, καθὼς οἴδατε, οὔτε προφάσει πλεονεξίας (Θεὸς μάρτυς), οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν. » — « Οὐ γὰρ ὁ ἑαυτὸν συνιστάνων, ἐκεῖνός ἐστι δόκιμος, ἀλλ' ὃν ὁ Κύριος συνίστησιν· » καθὼς φησιν ἡ μακαρία Ἄννα ἡ τοῦ Σαμουὴλ · « Μὴ καυχάσθω ὁ φρόνιμος ἐν τῇ φρονήσει αὐτοῦ, καὶ ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, καὶ ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ · ἀλλ' ἐν τῷ συνιέναι, καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην. » Ὁ δὲ βασιλεὺς Ἐζεκίας, τὴν δόξαν τῶν ἀνθρώπων θηρώμενος, καὶ περιχαρείᾳ κρατούμενος, ἔδειξε τοῖς Χαλδαίοις τοὺς θησαυροὺς αὐτοῦ. Καὶ ἀπέστειλε Κύριος τὸν Ἡσαΐαν, πρὸς αὐτὸν λέγων · « Ἰδοὺ ἡμέραι ἔρχονται, καὶ ληφθήσονται πάντα ἃ ἴδον, εἰς Βαβυλῶνα. » Ὡς καὶ ἐφ' ἡμῖν νῦν γέγονεν. Ἐπαχύνθημεν γὰρ καὶ ἀπελακτίσαμεν,

καὶ παρέδωκεν Κύριος τὴν ἰσχὺν ἡμῶν, τὸν τίμιον σταυρὸν, τοῖς Χαλδαίοις, καὶ τὰ ἅγια ἡμῶν ἐρήμωσαν. Καλῶς οὖν ὁ Παροιμιαστὴς λέγει· « Κρείσσων ἀνὴρ ἐν ἀτιμίᾳ ἑαυτῷ δουλεύων, ἢ ὁ τιμὴν ἑαυτῷ περιθείς, καὶ ἐνδεόμενος ἄρτου. » Καὶ πάλιν· « Ἐγκωμιαζέτω σε ὁ πέλας, καὶ μὴ τὸ σὸν στόμα· ἀλλότριος, καὶ μὴ τὰ σὰ χείλη. » Ὁ δὲ Ψαλμῳδός· « Ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων· κατῃσχύνθησαν ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς. » Καὶ ὁ Ἀπόστολος· « Τί γὰρ ἔχεις, ὃ οὐκ ἔλαβες; εἰ δὲ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; » Καὶ τοῖς ἐν Κρήτῃ· « Μὴ ἐν ὀφθαλμοδουλείᾳ, ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις δουλεύοντες. »

A æmulati sententiam sincero pectore promamus: « Modo enim hominibus suadeo, an Deo? an quæro hominibus placere? Si enim adhuc hominibus placerem, Christi servus non essem [37]. » Rursus: « Sic loquimur non quasi hominibus placentes, sed Deo, qui probat corda nostra; neque enim, ait, in sermone adulationis fuimus apud vos, sicut et scitis, neque in occasione avaritiæ: Deus testis: neque quærentes ab hominibus gloriam [38]. » — « Non enim qui seipsum commendat, ille probatus est, sed quem Dominus commendat [39]. » In hunc etiam modum loquitur beata illa Samuelis mater Anna: « Ne glorietur prudens in prudentia sua, et potens in potentia sua, et dives in divitiis suis, sed in hoc glorietur, si intelligit et facit judicium et justitiam [40]. » Rex etiamnum Ezechias hominum gloriam quasi quadam venatiuncula captans, ac profusiore gaudio victus, suos omnes thesauros Chaldæis visendos explicuit [41]: et ecce in vestigio misit Dominus Isaiam, qui diceret: « Ecce dies venient et sument quæ viderunt omnia, in Babylonem [42], » sicut nobis quoque nunc contigit: Dedecore atque ignominia perfusi sumus, et ecce rebellionis calces obtrudimus. Tradidit Dominus fidei nostræ robur venerabilem et honore præcipuo dignam crucem Chaldæis, sanctuaria nostra in solitudinem redacta sunt. Pulchre igitur Parœmiastes dicit: « Melior vir qui in ignominia sua servit, quam qui asciscit sibi alicunde honorem, et indiget pane [43]. » Rursus: « Laudet te proximus, et non os tuum; alienus, et non labia tua [44]. » Psaltes item regius: « Deus dissipavit ossa eorum qui hominibus placent, confusi sunt quoniam Deus sprevit eos [45]. » Apostolus: « Quid enim habes quod non accepisti? quid gloriaris, quasi non acceperis [46]? » Colossenses item admonens: « Non ad oculum servientes quasi hominibus placentes, sed quodcunque facitis, ex animo operemini, quasi Domino et non hominibus servientes [47]. »

Δεινὸν οὖν ἐστιν, ὡς εἴρηται, τὸ τῆς κενοδοξίας πάθος· καὶ πάσας τὰς ἀρετὰς ἃς ἐργάζεται ὁ ἄνθρωπος, παρεμβάλλει ἑαυτῷ· καὶ σπουδάζει ἀχρειῶσαι τοὺς καρποὺς τοῦ μοναχοῦ. Καὶ τὸ χαλεπώτερον· ὅτι ἐπὶ μὲν τῶν ἄλλων παθῶν, πορνείας φημὶ, καὶ ὀργῆς, λυπούμεθα εἰκὸς, καὶ θρηνοῦμεν, καὶ εὐχόμεθα ἀπαλλαγῆναι· ἐπὶ δὲ τῆς κενοδοξίας οὔτε πονοῦμεν, οὔτε λυπούμεθα, οὔτε τὸν Θεὸν παρακαλοῦμεν ἐλευθερωθῆναι ἐξ αὐτῆς. Μισήσωμεν οὖν, ἀδελφοὶ, τὸ τέλειον μῖσος, τὸ τῆς κενοδοξίας πάθος, ἵνα μὴ ἀπολέσωμεν τοὺς καμάτους ἡμῶν· τῆς γὰρ τοῦ Χριστοῦ δουλείας καὶ τῆς εἰς Θεὸν πίστεως ἀφίστησιν τὸν ἄνθρωπον, καθὼς φησιν ὁ Κύριος· « Πῶς δύνασθε πιστεύειν εἰς ἐμὲ, δόξαν παρ' ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες; » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

B Hæc inanis gloriæ affectio sane quam vehemens et perplexa est, juxta superiorem sententiam: nullam enim relinquit virtutum quas operetur homo, cui non impudentius obluctetur, seque objiciat. In hoc operam navat accuratissimam, fructus monachi intercipere ut possit et reddere inutiles. Habet in se et hoc cæteris periculosius. Inter alias enim animi perturbationes constituta (puta in fornicatione, et ira) mœrore conficimur, nec injuria, lugemus quoque, oramus insuper eximi earum laqueis: adversus inanem gloriam ne laboramus quidem, nihil nos contristant pellaces illius illecebræ, sed nec Deum obsecramus, nos ut liberet et subducat illius jugo. Sane blandissimam hanc sed et veteratoriam intemperiem gloriæ inanis oderimus, quæso, fratres, odio prorsus perfecto, ut ne per eam quanticunque nostri labores eant pessum, sintque vacui et inanes frugis bonæ. Hominem enim ipsa evocat a Christi servitute: denique et a fide qua in Deum credimus, transfugam reddit et desertorem, vel teste Domino: « Quomodo, inquit, potestis credere in me, qui gloriam vobisipsis capitis, et gloriam quæ a solo Deo est, non quæritis [50]? » Ipsi gloria in sæcula. Amen.

C

ΛΟΓΟΣ ΜΔ'.

Περὶ ὑπερηφανίας.

Τὸ τῆς ὑπερηφανίας νόσημα χεῖρον τυγχάνει ὅλων τῶν παθῶν, καὶ θεοστύγητον πάνυ καὶ μὴ ἁρμόζον ὅλως ἀνθρώποις, ἀλλ' αὐτῷ μόνῳ τῷ δυσμενεῖ διαβόλῳ, πρὸς τὴν αὐτοῦ κακίαν, τῷ δι' ὑπερηφανίαν

HOMILIA XLIV.

1098 *De superbia.*

Superbiæ ægritudo gravitate malitiæ cæteras animi turbulentas affectiones longe exsuperat: quam et Deus odit infensissime, nec ulli prorsus hominum consentanea est aut congruens. Pulchre

[37] Galat. I, 10. [38] I Thess. II, 4-6. [39] II Cor. X, 18. [40] Jerem. IX, 23, 24. [41] IV Reg. XX, 13. [42] Isa. LII, 20. [43] Prov. XII, 9. [44] Prov. XXVII, 2. [45] Psal. LII, 6. [46] I Cor. IV, 7. [47] Coloss. III, 22. [50] Joan. V, 44.

illi competit et soli qui nostræ est æmulus salutis, nempe diabolo, ad suam ipsius explendam malitiam, cum per eam deturbatus sit regno cœlorum. Is cum gloriosius subsultaret, ac prægestiens diceret : « Ponam thronum meum super astra cœli [49], » momento inventus est non habens ullum tranquillæ quietis locum, sed quasi unus aliquis manceps miserrimæ captivitatis, quovis locorum triumphatus ostentatur ad gloriam summi Dei. Atque ita peculiaris hic dæmon superbiæ, cum præter cæteras affectiones animam miserrime afflictet et cruciet; eos tamen omnium maxime impugnat, et ut deturbet atque evertat, aggreditur, qui profectu virtutum aliquousque jam promoverunt. Superbia perinde est ac morbus quidam pestilens et tabificus, qui non unum modo corporis membrum, sed corpus ipsum dira putrilagine depascitur, vitiat, conficit. Aliæ enim quantæcunque passiones sint, unam aliquam portionem animæ suis offundunt tenebris, atque eam obturbant : superbiæ intemperies nullam non animæ vim horrenda caligine circumfundit, inque non simplicem ruinam agit præcipitem. Anima enim superbi in præcelsum aliquod ac sublime fastigium sinitur conscendere, unde commodius deturbetur in subjectam foveam. Ut ramum copia fructuum exuberantem moles onerosa diffringere solet, sic animam generosam multiplicique fetu virtutum præfertilem plerumque superbia dejicit gradu. Quemadmodum fructus marcore aut carie vitiatus cultori suo nihil affert commodi, ita et superbi oratio nihil ex Deo relatura est frugis bonæ. Ne dederis superbiæ animam tuam ; et imagines horrendas atque plenas formidinis non cogeris perspicere ; anima enim superbi divino destituitur præsidio : quo fit, ut in dæmonum vertatur ludibrium ac deridiculam gratulationem. Monachus superbus arbor prorsus infrugifera est : quippe quæ radicem non habet, eoque violentas impressiones ventorum assilientium nunquam feret. Quemadmodum inundantis aquæ bulla, mox ut rumpitur, mox evanescit, ita superbi memoria a morte vel momento deperit atque intercipitur oblivione. Sicut modesti sive humilis oratio Dei inflectit iram, ita superbi deprecatio exacerbat Deum. Quicunque turgentes superbiæ tumore ac dissidentes cum fratribus detrectant imperium, eamdem cum diabolo conserunt pugnam. Neque enim naturalis est superbia, sed contumacissimi dæmonis simulacrum, attestante Scriptura : « Non concreata est homini superbia. » Rursus : « Sedes principum superborum destruxit Dominus [50]. » Principium enim superbi hominis est recedere a Domino, quia « initium peccati superbia ; et qui tenuerit illam, inundabit in illum abominatio, et in fine subvertetur [51]. « In lege item scriptum est : « Anima quæ quidvis fecerit in manu superbiæ, exterètur de populo [52]. »

1099 In Isaia : « Et disperdam omnes super-

ἐξ οὐρανοῦ πεσοντι. Ὁ γὰρ καυχησάμενος, καὶ λέγων· « Θήσω τὸν θρόνον μου ἐπ' ἄνω τῶν ἄστρων τοῦ οὐρανοῦ, » εὑρέθη μὴ ἔχων χώραν ἀναπαύσεως, ἀλλ' ὡς αἰχμάλωτος πανταχοῦ θριαμβεύεται. Οὗτος ὁ τῆς ὑπερηφανίας δαίμων χαλεπώτατος πάντων τῶν παθῶν ὑπάρχων, πάνυ τοὺς ἐν προκοπῇ πολεμεῖ, καὶ ἐπιχειρεῖ καταστρέφειν. Καὶ καθάπερ νόσος λοιμικὴ καὶ φθοροποιὸς οὐχ ἓν μέλος τοῦ σώματος, ἀλλ' ὅλον διαφθείρει, οὕτω καὶ τὸ πάθος τοῦτο. Καὶ τὰ μὲν ἄλλα πάθη ἐκ μέρους ἐπισκοτοῦσι τὴν ψυχήν, ἡ καὶ ταράσσουσιν αὐτήν· τὸ δὲ τῆς ὑπερηφανίας πάθος πᾶσαν αὐτὴν σκοτεῖ, καὶ εἰς μεγάλην πτῶσιν κατάγει. Ἡ γὰρ ψυχὴ τοῦ ὑπερηφάνου εἰς ὕψος μέγα ἀναβαίνει· κἀκεῖθεν ἑαυτὸν εἰς βυθὸν καταβάλλει. Ὥσπερ γὰρ βάρος κατέαξε κλῶνα ἔγκαρπον, οὕτως ὑπερηφανία ψυχὴν ἐνάρετον καταβάλλει. Καὶ ὥσπερ καρπὸς σεσηπὼς ἄχρηστος γεωργῷ, οὕτως ἀρετὴ ὑπερηφάνου οὐ χρησιμεύει τῷ Θεῷ. Μὴ δῷς ὑπερηφανίᾳ σὴν ψυχήν, καὶ οὐ μὴ ἴδοις φαντασίας φρικτάς. Ψυχὴ γὰρ ὑπερηφάνου καταλιμπάνεται ὑπὸ τοῦ Θεοῦ, καὶ γίνεται δαιμόνων ἐπίχαρμα. Ὑπερήφανος μοναχὸς δένδρον ἄκαρπον, καὶ ἄῤῥιζον, καὶ οὐ μὴ ἐνέγκῃ ποτὲ προσβολὴν ἀνέμου. Καὶ ὥσπερ πομφόλυξ ῥαγεῖσα ἀφανίζεται· οὕτω μνήμη ὑπερηφάνου μετὰ θάνατον ὄλλυται· καὶ ὥσπερ προσευχὴ ταπεινοῦ κάμπτει Θεὸν, οὕτω παροξύνει Θεὸν δέησις ὑπερηφάνου. Καὶ ὅσοι δι' ὑπερηφανίαν ἀφηνιάζουσι τὸν ἀδελφὸν, τῷ διαβόλῳ ἀμιλλῶνται. Οὐ γὰρ φυσική ἐστιν ἡ ὑπερηφανία, ἀλλ' ἴνδαλμα τοῦ ἀφηνιαστοῦ δαίμονος· καθὼς μαρτυρεῖ ἡ Γραφή. Φησὶν γάρ· « Οὐ συνέκτισται ἀνθρώποις ὑπερηφανία. » Καὶ αὖθις· « Θρόνους ἀρχόντων ὑπερηφάνων καθεῖλε Κύριος. » Ἀρχὴ γὰρ ὑπερηφανίας ἀνθρώπου ἀποστῆναι ἀπὸ Κυρίου Ὅτι « Ἀρχὴ ἁμαρτίας ὑπερηφανία· καὶ ὁ κρατῶν αὐτὴν, ἐξομβρίσει βδέλυγμα, καὶ καταστραφήσεται εἰς τέλος. » Καὶ ἐν τῷ νόμῳ δὲ γέγραπται· « Ψυχὴ ἥτις ἐποίησεν ἐν χειρὶ ὑπερηφανίας, ἐκτριβήσεται ἐκ τοῦ λαοῦ. » Καὶ ὁ Ἡσαΐας· « Καὶ ἀπολῶ πάντας ὑπερηφάνους. » Καὶ ὁ Ψαλμῳδός· « Διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ὑπερηφανία εἰς τέλος, ὅτι περιεβάλλοντο ἀδικίαν καὶ ἀσέβειαν αὐτῶν. » Καί· « Ἐξέλιπον καὶ ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν. » Καὶ αὖθις· « Ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη διὰ παντός. » Ὅθεν πάσῃ σπουδῇ κέχρηνται τὰ ἱερά σου καθελεῖν, καὶ τὰ ἁγιά σου ἐρημῶσαι. Ἀλλ' ἔπαρον τὰς χεῖρας σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος, ὅπως αἰσχυνθείησαν οἱ ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἡμᾶς. Ἀεὶ γὰρ ὑπερήφανοι ὡς οἱ ἐν τῇ ἐρήμῳ πατέρες αὐτῶν παρηνόμουν ἕως σφόδρα. Ὁ δὲ δοῦλός σου Δαυὶδ ἀπὸ τοῦ νόμου σου οὐκ ἐξέκλινε· οὔτε « ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ » συνῆσθιεν, οὐδ' ὅλως κατῴκει « ἐν μέσῳ τῆς οἰκίας· » αὐτοῦ, λογισμὸς ποιῶν ὑπερηφανίαν. Καὶ ὁ Παροιμιαστής· « Φόβος Κύριου μισεῖ κακίαν, ὕβριν τε καὶ ὑπερηφανίαν, καὶ ὁδοὺς πονηράς. » Ἐπάγει· « Ὅσῳ μέγας εἶ, τοσοῦτον ταπείνα σεαυτὸν, καὶ εὑρήσεις

[49] Isa. xiv, 44. [50] Eccli. x, 22. [51] ibid. 15. [52] Levit. xxvi, 19.

χάριν ἐναντι Κυρίου. » Καί · « Μὴ ἐξύψου σεαυτὸν ἵνα μὴ πέσῃς, ὅτι μισητὸς ἐναντι Κυρίου καὶ ἀνθρώπου πᾶς ὑπερήφανος. » Καὶ ὁ Ἰάκωβος· Ὑπερηφάνοις Κύριος ἀντιτάσσεται, ταπεινοῖς δίδωσι χάριν. » Καὶ ἐπιφέρει · « Ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ, ἵνα ὑψώσῃ ὑμᾶς. » Φοβηθῶμεν οὖν, ἀδελφοὶ, καὶ πάσῃ φυλακῇ τηρήσωμεν τὴν ἑαυτῶν καρδίαν ἀπὸ τοῦ θανατηφόρου πνεύματος τῆς ὑπερηφανίας. Ὅταν γὰρ κατακυριεύσῃ τῆς ἀθλίας ψυχῆς, ὥσπερ τις χαλεπώτατος τύραννος μεγάλην πόλιν καὶ ὑψηλὴν παραλαβὼν, ὅλην αὐτὴν κατασκάπτει. Καὶ τὸ ἐλεεινότατον, ὅτι οὗτος ὁ ἐπικατάρατος δαίμων τοὺς τελείους, ὡς εἴρηται, μάλιστα, καὶ εἰς τὸ ὕψος τῶν ἀρετῶν ἀναβεβηκότας ἐπιχειρεῖ καταστρέφειν · καὶ οὐδὲ πρὸς μετάνοιαν αὐτοὺς συγχωρεῖ ἐπιστρέψαι. Πῶς γὰρ μετανοήσωσιν οἱ ὅλον διάβολον δεχόμενοι ἐν ἑαυτοῖς διὰ τῆς ὑπερηφανίας, καὶ τὸν Θεὸν ἀντιτασσόμενον αὐτοῖς καθιστῶντες; Ἡμεῖς οὖν διὰ τῆς ταπεινοφροσύνης ἀποκρουσώμεθα τὸν ὑπερήφανον δαίμονα· ἐπιλέγοντες ἑαυτοῖς τὸ τοῦ Ἀποστόλου, ὅταν ἀρετήν τινα κατορθώσωμεν · « Οὐκ ἐγὼ δὲ, ἀλλὰ ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί · » καὶ πάλιν · « Οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. » Καὶ τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον · « Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. » Οὕτως γὰρ δυνησόμεθα πάλιν ἀκοῦσαι αὐτοῦ τοῦ Κυρίου λέγοντος · « Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα · ἰδοὺ, ἔδωκα ὑμῖν τὴν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. » Αὐτῷ τῷ ἀγαθῷ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A bos [53]. » Psaltes regius : « Ideo tenuit eos superbia in finem, quia operti sunt iniquitate et impietate sua [54]. » Et : « Defecerunt et perierunt propter impietatem suam [55]. » Et : « Superbia eorum qui te oderunt, ascendit semper [56]. » Unde et omni studio usi sunt, sancta tua ut demolirentur, sanctuaria tua in solitudinem redigerent. Cæterum, tu alleva manus tuas in superbias eorum in finem [57], ut confundantur superbi, quia injuste et inique egerunt contra nos [58]. Semper enim superbi isti, quemadmodum patres eorum in eremo, nimis quam prævaricati sunt legem tuam. Atqui servus tuus David non declinavit a lege tua, nec cum « superbo oculo et insatiabili corde [59] » simul edebat, et nec omnino talis habitabat « in medio domus [60] » illius ; B cogitatio videlicet ulla resipiens superbiam. Parœmiastes : « Timor Domini odit malitiam, contumeliamque, et superbiam, ac vias pravas [61]. » Inducit: « Quanto major es, tanto humilia teipsum, et invenies gratiam in conspectu Domini [62]. » Et : « Ne exaltes teipsum, ut ne cadas [63], quia odibilis ante Dominum et homines omnis superbus [64]. » Jacobus : « Dominus superbis resistit, humilibus autem dat gratiam [65]. » Infert : « Humiliamini igitur sub potenti manu Dei, ut vos exaltet [66]. » Timeamus itaque, fratres, et omni custodia cor hoc nostrum liberum conservemus, ac purum exitialis et mortiferi spiritus superbiæ. Si quando enim illius tyranni adversus miserabilem prorsus animam invaluerit, haud secus facit ac si tyrannus quispiam supra C modum ferox et immanis, unam aliquam civitatem et amplitudine loci et situs sublimitate celebrem velut per manus captam a fundamentis totam subruit, æquatum solo, suffodit. Longe et hoc omni comploratione dignissimum ; exsecrabilis siquidem dæmon hic, viros, ut mihi dictum est, in perfectionis culmine jam constitutos, ac maxime, qui sublimis theoriæ merito ad cœlorum usque fastigium conscendisse videbantur, modis omnibus admolitur ut subruat ac præcipitet. Sed ne illos quidem post lapsum sinit ad pœnitentiæ portum ceu postliminio reverti. Quo enim pacto isti ad pœnitudinis ac resipiscentiæ sinum se conferant, qui totum diabolum in se excipientes per superbiam, Deum per hoc colluctatorem sibi constituere et adversarium ? Nos igitur humilitatis præsidio subnixi, principem hunc superbiæ omnis a nobis quam longissime profligemus et amoliamur, nobiscum taciti mussitantes illud Apostoli elogium, cum quidpiam operis confecerimus virtutis nomine dignum : « Non ego autem, sed gratia Dei mecum [67]. » Iterum : « Non volentis, neque currentis, sed miserentis Dei [68]. » Sed et illud a Domino dictum arcana cogitatione adversum superbiæ tentationem admurmurandum venit : « Sine me nihil potestis facere [69]. » Ita enim ab eodem Domino promerebimur audire et illud : « Videbam Satanam tanquam fulgur de cœlo cadentem ; ecce dedi vobis potestatem calcandi super serpentes et scorpionem et super omnem virtutem inimici [70]. » Clementem et benignum Deum addecet gloria in sæcula sæculorum. Amen.

ΛΟΓΟΣ ΜΕ'.

Περὶ ὑψηλοφροσύνης.

Ὁ ὑψηλόφρων ἕτερος μέν ἐστιν τοῦ ὑπερηφάνου· παρήλλακται δὲ πρὸς τὸν κενόδοξον. Ἑνὸς γὰρ δένδρου κλάδοι εἰσὶν, ὁ δὲ καρπὸς ἐνηλλαγμένος · ὁ μὲν τῷ δοκεῖν κεκυφὼς, ὁ δὲ μετεωρόκλαδος. Καὶ ὁ μὲν πιστακοκενὸς, ὁ δὲ καρυόκουφος · ἀμφότεροι δὲ

D

1160 HOMILIA XLV.

De specie superbiæ, qua quis de se quam sit par, sentit altiora.

Qui de se, quam æquum sit, sentit altiora, complex utique superbi est, et eodem conspirat. Ad vaniglorium tamen collatus nonnihil evariat et abit diversus. Et quidem unius arboris cum sint rami, fructus utriusque, habent discerniculi ali-

[53] Isa. II, 12. [54] Psal. LXXII, 16. [55] ibid. 19. [56] Psal. LXXIII, 23. [57] ibid. 3. [58] Psal. CXVIII, 78. [59] Psal. C. 5. [60] ibid. 7. [61] Prov. VIII, 13. [62] Eccli. III, 20. [63] Eccli. X, 29. [64] ibid. 7. [65] Jac. IV, 6. [66] I Petr. V, 6. [67] I Cor. XV, 10. [68] Rom. IX, 16. [69] Joan. XV, 5. [70] Luc. X, 18, 19.

quid. Nam hîc, ut ne videatur, propendet in terram declivis ; ille vero vanæ gloriæ ramus in cœlum usque prospectat. Hic, fidem ut commodet vanis, mire alacer ac credulus ; ille, ad consectanda gulæ irritamenta agilis admodum et expromptus. Vis dicam ? Plane infrugi isti fructus et inutiles. Qui enim animas nostras infense oderunt dæmones, quibusdam insusurrant ac suggerunt, quasi gratuiti beneficii loco nobis eam instillent et conferant animi inflationem. Deinde ut indulgentius solito nos ipsos laxemus, adhortantur. Quod si animo præmolliti, locum cesserimus stultæ isti de nobis existimationi ; nihil est quod deinceps inimici laborent ut nos in captivitatem abducant. Providendum igitur ne vel tempore orationis nostræ ipsi occasionem ullam insultandi nobis demus inimico : quod fit dum extrahimur mente, et per eorum suggestionem absurdis prorsum et externis inescamur cogitationibus, quemadmodum docet Parœmiastes : « Noli altum sapere, et ne sis justus multum ; et ne sapias superflua, ne forte declines [71]. » Et : « Altam qui facit domum suam, quærit contritionem ; qui autem renuit discere, incidet in mala [72]. » Rursum : « Immundus est apud Dominum omnis qui alto est corde [73]. » Iterum : « Ne gloriosus appareas coram rege, et in locis principum ne steteris ; melius enim ut dicatur tibi : Ascende ad me, quam ut humiliet te coram principibus [74]. » Alius : « Ne gloriemini et ne loquamini sublimia ad fastum, neque egrediatur verbum jactantiæ de ore vestro. » Paulus quoque Timotheo ait : « Dominis hujus sæculi præcipe non sublime sapere, neque sperare in incerto divitiarum, sed in Deo qui præstat in nobis omnia abunde [75]. » Alibi : « Fratres, non alta sapientes, sed humilibus consentientes [76]. » Romanis item : « Dicis ergo mihi : Fracti sunt rami ut ego inserar. Bene : propter incredulitatem fracti sunt, tu autem fide stas, noli altum sapere, sed time ; si enim Deus naturalibus ramis non pepercit, ne forte nec tibi parcat [77]. » Nos igitur sinceriter ea ipsa quæ opere perfecit David, melico concentu emodulemur : « Domine, non est exaltatum cor meum, neque elati sunt oculi mei ; neque ambulavi in magnis, neque in mirabilibus super me, sed humiliter sentiebam, sicut ablactatus super matrem suam [78]. » Consimilem in modum cum tribus illis pueris : « Quia, Domine, imminuti sumus super omnes gentes, et sumus humiles hodie propter peccata nostra [79]. »

1101 « Quis enim gloriabitur mundum se habere cor ? Aut quis profitebitur purum se esse a peccatis [80] ? Si enim iniquitates observaveris, Domine, Domine, quis sustinebit ? quia apud te propitiatio est [81]. » Ut hanc plane melicam harmoniam recinentes corde sincero, ab ipso Domino audire promereamur : « Qui se humiliat, exaltabitur [82] : » et qui de se quam par sit, sublimius aliquid sentiunt, coarguentur. Ut et Pharisæi ab ipso Salvatore nostro, qui et illis dixit : « Vos estis qui justificatis

ἄχρηστοι. Οἱ δὲ μισοῦντες τὰς ψυχὰς ἡμῶν δαίμονες ὑποτίθενταί τισιν ὥστε τινὰ φυσίωσιν ἡμῖν χαρίσασθαι · εἶτα πρὸς ταύτην ἡμᾶς διαλυθῆναι προτρέπουσιν. Ἐὰν τοίνυν χαυνωθέντες τῇ οἰήσει, δῶμεν τόπον τῇ ὑψηλοφροσύνῃ, οὐ κάμνουσιν λοιπὸν οἱ ἐχθροὶ ἡμῶν αἰχμαλωτίσαι ἡμᾶς. Μὴ οὖν γενώμεθα δοξοχαρεῖς, καὶ ὑψηλόφρονες, ἵνα μὴ οὐ μόνον ἐπὶ τοῦ νώτου, ἀλλὰ καὶ ἐν τῷ προσώπῳ ἡμῶν τεκταίνωσιν οἱ ἁμαρτωλοὶ, καὶ γενώμεθα ἐπίχαρμα αὐτοῖς κατὰ τὸν καιρὸν τῆς προσευχῆς, ἐξελκόμενοι, καὶ δελεαζόμενοι ὑπ' αὐτῶν ἐν λογισμοῖς ἀλλοκότοις · καθὼς καὶ ὁ Παροιμιαστὴς διδάσκει ἡμᾶς · « Μὴ ὑψηλοφρόνει, φησὶν, καὶ μὴ γίνου δίκαιος πολὺ, καὶ μὴ σοφίζου περισσὰ, μήποτε ἐκκλίνῃς. Καί · « Ὁ ὑψηλὸν ποιῶν τὸν ἑαυτοῦ οἶκον, ζητεῖ συντριβήν · ὁ δὲ σκολιάζων τοῦ μαθεῖν, ἐμπεσεῖται εἰς κακά. » Καὶ πάλιν · « Ἀκάθαρτος παρὰ Κυρίου πᾶς ὑψηλοκάρδιος. » Καὶ αὖθις · « Μὴ ἁλαζονεύου ἐνώπιον βασιλέως, καὶ ἐν τόποις δυναστῶν μὴ ἐφίστασο. Κρεῖσσον γάρ σοι ῥηθῆναι, Ἀνάβηθι πρός με, ἢ ταπεινῶσαί σε ἐνώπιον δυναστῶν. » Καὶ ἄλλος · « Μὴ καυχᾶσθε, καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπεροχὴν, μηδὲ ἐξελθέτω μεγαλορημοσύνη ἐκ τοῦ στόματος ὑμῶν. » Καὶ ὁ Παῦλος Τιμοθέῳ φησὶν · « Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐπὶ τῷ Θεῷ, τῷ παρέχοντι πάντα ἡμῖν πλουσίως. » Καὶ ἑτέρωθι · « Ἀδελφοὶ, μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι. » Καὶ Ῥωμαίοις · « Ἐρεῖς οὖν μοι, Ἐξεκλάσθησαν κλάδοι, ἵνα ἐγὼ ἐγκεντρισθῶ. Καλῶς, τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν · σὺ δὲ τῇ πίστει ἕστηκας · μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ. Εἰ γὰρ ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, μή πως οὐδὲ σοῦ φείσεται. » Ἡμεῖς οὖν μετὰ τοῦ Δαυὶδ διαπράξωμεν, εἰλικρινῶς μετὰ τοῦ Δαυὶδ ψάλλωμεν · « Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ · ἀλλ' ἐταπεινοφρόνουν ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ. » Ὡσαύτως καὶ μετὰ τῶν τριῶν παίδων · « Ὅτι, Δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον, διὰ τὰς ἁμαρτίας ἡμῶν. »

« Τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν, Ἢ τίς παῤῥησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν ; Ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται σοί ; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν. » Ταύτην οὖν ἐν εἰλικρινεῖ καρδίᾳ ἀναμέλποντες τῷ Θεῷ τὴν ᾠδὴν, ἀκούωμεν παρ' αὐτοῦ, ὅτι « Ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται, » οἱ δὲ ὑψηλοφρονοῦντες, ἐλεγχθήσονται. Ὡς οἱ Φαρισαῖοι παρὰ τοῦ Σωτῆρος λέγοντος πρὸς αὐτούς · « Ὑμεῖς ἐστε οἱ δικαιοῦντες ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων. » Ὁ δὲ Θεὸς γινώ-

[71] Eccle. VII, 17. [72] Prov. XVII, 16. [73] Prov. XVI, 5. [74] Prov. XXV, 6, 7. [75] I Tim. VI, 17. [76] Rom. XII, 16. [77] Rom. XI, 19-21. [78] Psal. CXXX, 1, 2. [79] Dan. III, 37. [80] Prov. XX, 9. [81] Psal. CXXIX, 3, 4. [82] Luc. XIV, 11.

σκει τὰς καρδίας ὑμῶν, ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν, A βδέλυγμα ἐνώπιον τοῦ Θεοῦ. Λέγει δὲ καὶ τοῖς μαθηταῖς ἑαυτοῦ· « Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Καὶ ἐπιφέρει· « Ὅστις οὖν ταπεινώσει ἑαυτὸν ὡς τὸ παιδίον, οὗτός ἐστιν ὁ μείζων εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

vos ipsos in conspectu hominum [84]; » Deus autem novit corda vestra, quia quod inter homines altum videtur, abominatio est apud Deum. Dicit proinde discipulis suis : « Amen, amen dico vobis, nisi conversi fueritis et efficiamini sicut parvuli, non intrabitis in regnum cœlorum [85]. » Infert : « Quicunque igitur humiliaverit se sicut parvulus iste, hic major est in regno cœlorum [86]. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΜΣ'.

Περὶ τοῦ μὴ μεγαλοφρονεῖν παρ' ἑαυτῷ.

Καὶ τὸ μεγαλοφρονεῖν παρ' ἑαυτῷ, ψεκτὸν καὶ ἀπηγορευμένον εὑρίσκομεν παρὰ τῇ θείᾳ Γραφῇ. Ὁ τοιοῦτος ἐν τοῖς ἄφροσι τέτακται, μᾶλλον δὲ ἐν τοῖς μωροῖς. Φησὶν γάρ· « Μωρὸς, καθ' ἑαυτοῦ φρόνιμος. » Μὴ οὖν κρατήσωμεν, ἀγαπητοὶ, τὸ μάταιον τοῦτο φρόνημα· ἀλλὰ μᾶλλον κατέχωμεν τὰς διδασκαλίας τῶν πνευματοφόρων ἀνδρῶν, τουτέστιν τὴν ταπεινοφροσύνην, καὶ βαίνωμεν κατόπισθεν αὐτῶν, καὶ μὴ ἐπαρθῶμεν ἐν τῇ καρδίᾳ ἡμῶν τὸ παράπαν ἔν τινι, ἢ ἐν ἔργῳ, ἢ ἐπιτηδειότητι, ἢ ἐν διαταγῇ, ἢ ἐν διοικήσει πραγμάτων, ἢ ἐν λόγῳ σοφίας, ἢ ἐπινοήμασι Γραφικοῖς, μήποτε τὸν Θεὸν παροργίσωμεν, καὶ τῷ πνεύματι τῆς βλασφημίας περιπέσωμεν κατὰ νοῦν. Καλὸν δὲ μανθάνειν μᾶλλον, κἂν λίαν τις φρόνιμος τυγχάνει. Ἡ γὰρ οἰκονομία τοῦ Θεοῦ, ὠφελιμωτέρα ἐστὶν τῆς ἡμετέρας φρονήσεως. Καλὸν δέ ἐστιν, πάντα ἐνεργῶς λαλεῖν. Ὁ γὰρ ἐκτὸς ἔργου σοφιζόμενος, καὶ λέγων λόγον, ἐξ ἀδικίας πλουτεῖ. Καὶ οἱ πόνοι αὐτοῦ εἰς οἴκους ἀλλοτρίους εἰσέρχονται κατὰ τὴν Γραφήν. Πρῶτος ὁ Παροιμιαστὴς παραινῶν λέγει· « Ἔσο πεποιθὼς ἐν ὅλῃ καρδίᾳ σου ἐπὶ Κύριον· ἐπὶ δὲ τῇ σοφίᾳ μὴ ἐπαίρου. » Καί· « Μὴ ἴσθι φρόνιμος παρὰ σεαυτοῦ· φοβοῦ δὲ τὸν Κύριον, καὶ ἀπὸ παντὸς κακοῦ ἔκκλινον. » Καί· « Μὴ καυχῶ τὰ εἰς αὔριον· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. » Καὶ αὖθις· « Υἱὲ, ἐὰν σοφὸς γένῃ σεαυτῷ, σοφὸς ἔσῃ καὶ τοῖς πλησίον σου. Ἐὰν δὲ κακὸς ἀποβήσῃ, μόνος ἀντλήσεις τὰ κακά. » Καὶ πάλιν· « Ἶδον ἄνδρα δόξαντα παρ' ἑαυτῷ εἶναι σοφὸν, ἐλπίδα μέντοι γε ἔσχεν μᾶλλον ὁ ἄφρων αὐτοῦ. » Καὶ πάλιν· « Σοφὸς παρ' ἑαυτῷ, ἀνὴρ πλούσιος· πένης δὲ νοήμων κατάγνώσεται αὐτοῦ. » Καὶ πάλιν· « [Ἔγγονον κακὸν, δίκαιον ἑαυτὸν κρίνει. Τὴν δὲ ἔξοδον ἑαυτοῦ οὐκ ἐνῆψεν.] Ἔγγονον κακὸν ὑψηλοὺς τοὺς ὀφθαλμοὺς ἔχει, καὶ τοῖς βλεφάροις αὐτοῦ ἐπαίρεται. » Γράφει δὲ καὶ Ἰάκωβος· « Νυνὶ δὲ καυχᾶσθε ἐν ταῖς ἀλαζονείαις ὑμῶν· πᾶσα καύχησις τοιαύτη, πονηρά ἐστιν. » Ὡσαύτως καὶ ὁ Παῦλος· « Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς. » Καὶ ὁ Ἡσαΐας· « Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες. » Ὁ δὲ Ψαλμῳδός· « Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶν μάταιοι. » Καί· « Κύριος διασκεδάζει βουλὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόν-

HOMILIA XLVI.

Apud temetipsum ne quid de te magni concipias.

Magnum quiddam de se sentire, aut insolescere, et sibi placere, vituperabile est. Ejusmodi elatione animi insolescentis sacræ Scripturæ decreto inter B dicimur, cum talis jure in sensu numeretur imprudentium, magis vero stultorum. Ait enim : « Stultus apud semetipsum videtur sapiens [87]. » Nihil igitur, charissimi, nobis sit curæ, flaccidam hanc et inanem assequi prudentiam, magis vero illorum doctrinam virorum quos Spiritus afflavit, in armariolo memoriæ pressius recondamus, puta modestiam animi quam humillima de se sentientis : atque eorumdem ingrediamur vestigiis, nec ullam ob rem corde efferamur aut insolescamus omnino, non propter operis solertiam, idoneitatem sive industriam, ordinem, jurisdictionem sive rerum administrationem, non ob sermonem sapientiæ, sive multiplicem Scripturarum intelligentiam, ne forte C Domini adversus nos proritemus iram et exasperemus ; qua fiat, ut mente emota sinamur in spiritum devolvi atque incidere blasphemiæ. Sane præstiterit, te ut tradas in discipulum, tametsi multa obrueris prudentiam. Dispensatio enim Dei, comparabiliter commodior atque utilior est, nostra hac qualicunque prudentia : longe enim per omnia plus affert emolumenti, si efficaciter loquaris. Dum enim doces sapientiam, aut sermonem edisseris absque operis suffragio, ditescis quidem tu, sed de iniquitate. Atqui tui isti labores, juxta Scripturam, in alienas commigrant domos. Primus Parœmiastes per admonitionem dicit : « Esto fiduciam habens ex toto corde tuo in Dominum, ob tuam autem sapientiam ne eleveris [87]. » Et : « Ne sis prudens D apud temetipsum, time vero Dominum et declina ab omni malo [88]. » Et : « Ne glorieris in crastinum, non enim scis quid paritura sit crastina dies [89]. » Rursus : « **1102** Fili, si sapiens fueris, tibimetipsi sapiens eris et proximo ; si autem malus evaseris, solus hauries mala [90]. » Iterum : « Vidi virum qui apud semetipsum videbatur esse sapiens, spem præ illo habebat stultus [91]. » Rursum : « Sapiens apud semetipsum vir dives, pauper autem intelligens condemnabit eum [92]. » Item : « Filius malus sublimes habet oculos, palpebris autem suis extollitur [93]. » Scribit et Jacobus : « Nunc autem

[84] Luc. XVI, 15. [85] Matth. XVIII, 3. [86] ibid. 4. [87] Prov. XII, 15. [87] Prov. III, 5. [88] ibid. 7. [89] Prov. XXVII, 1. [90] Prov. IX, 12. [91] Prov. XXVI, 12. [92] Prov. XXVIII, 11. [93] Prov. XXX, 13.

exsultatis in superbiis vestris. Omnis exsultatio talis maligna est [94]. » Eodem conspirat illud Pauli : « Nolite esse prudentes apud vosmetipsos [95]. » Isaias : « Væ qui prudentes estis apud vosmetipsos, et in conspectu vestro scientes [96]. » Psaltes item regius : « Dominus scit cogitationes hominum, quoniam vanæ sunt [97]. » Et : « Dominus dissipat consilia gentium, reprobat autem cogitationes populorum, et reprobat consilia principum [98]. » Corinthiis per Epistolam Paulus : « Et ego, ait, quando veni ad vos, fratres, non veni in sublimitate sermonis aut sapientiæ, annuntians vobis mysterium Christi. Non enim judicavi me aliquid scire inter vos nisi Jesum Christum, et hunc crucifixum ; et ego in infirmitate et in timore et tremore fui ad vos [99]. » Inducit : « Non in doctis humanæ sapientiæ verbis, sed in doctrina spiritus, spiritualibus spiritualia comparantes. Animalis autem homo non percipit ea quæ sunt spiritus Dei : stultitia enim est illi, et non potest intelligere, quia spiritualiter examinatur ; spiritualis autem dijudicat omnia, et ipse a nemine judicatur [1]. » Rursum : « Confidentiam talem habemus ad Deum, non quod sufficientes simus cogitare aliquid a nobis, quasi ex nobis ipsis ; sed idoneos nos fecit ministros novi testamenti, non littera, sed spiritus : littera enim occidit, spiritus autem vivificat [2]. » Iterum : « Ego me ipsum nondum arbitror comprehendisse : unum autem, ea quæ sunt retro obliviscens; ad ea vero quæ sunt priora, extendens meipsum [3]. »

Sane hanc Apostoli modestiam sese ad eum modum demittentis pro virili, fratres, imitemur, ac desinamus magnifice de nobis ipsis sentire ob qualemcunque nobis indultam sapientiam et intelligentiam, parabola exterriti quam induxit Dominus de Pharisæo sese gloriosius venditante atque Publicano.

Ait enim : « Stans Pharisæus apud semetipsum hæc orabat : Deus, gratias ago tibi, quia non sum sicut cæteri hominum, raptores, injusti, aut etiam ut hic publicanus ; Publicanus contra percutiebat pectus suum, dicens : Deus, propitius esto mihi peccatori [4]. » Inducit : « Dico vobis, descendit hic justificatus in domum suam magis quam ille ; quia omnis qui se exaltat, humiliabitur ; et qui se humiliat, exaltabitur [5]. » Ipsi gloria in sæcula sæculorum. Amen.

1103 HOMILIA XLVII.

Neminem debere contemni.

Neutiquam fas sit ullum hominum contemnere, aut illius imminuere famam, aut certe adversus alium sese efferre impotentius, puta quod idiota sit, nec agat pro potestate sed privatus, aut quia deformis est, cunctator et ignavus, peccator, rudis et inscius litterarum, denique ob similem quamcunque causam. Quos enim nihil ducimus et aspernamur, Deus clementer respectat, et quorum imminuimus famam, illos Dei benignitas revocat ad moderatam vitæ temperiem. Rursus : Si quod

Μιμησώμεθα οὖν, ἀδελφοί, τὴν ταπεινοφροσύνην τοῦ Ἀποστόλου, καὶ ἀποβαλώμεθα τὸ μέγα φρονεῖν ἐπὶ τῇ ἑαυτῶν σοφίᾳ καὶ συνέσει · φοβούμενοι μάλιστα τὴν παραβολὴν τοῦ Κυρίου, τὴν περὶ τοῦ μεγαλαύχου Φαρισαίου, καὶ τοῦ τελώνου.

Φησὶν γάρ · « Σταθεὶς ὁ Φαρισαῖος, πρὸς ἑαυτὸν ταῦτα ηὔχετο · Ὁ Θεός, εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ, ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, [μοιχοὶ], ἢ καὶ ὡς οὗτος ὁ τελώνης. Ὁ δὲ τελώνης ἔτυπτεν τὸ στῆθος αὐτοῦ λέγων · Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. » Καὶ ἐπάγει · « Λέγω ὑμῖν, ὅτι κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, ἢ ἐκεῖνος. Ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, καὶ ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΜΖ'.

Περὶ τοῦ μὴ ἐξουθενεῖν τινα.

Οὐ θεμιτόν ἐστιν ἐξουθενεῖν τινα, ἢ εὐτελίζειν, ἢ ἐπαίρεσθαι κατά τινος, ὡς ὅτι ἰδιώτης ἐστὶν, ἢ ἀνείδεος, ἢ ἀμαθὴς, ἢ ἀμελὴς, ἢ ἁμαρτωλὸς, ἢ περὶ οἱουδήποτε πράγματος. Οὓς γὰρ ἡμεῖς ἐξουθενοῦμεν, τούτους ὁ Θεὸς ἐπιλέγεται · καὶ οὓς ἡμεῖς εὐτελίζομεν, τούτους ὁ Θεὸς εἰς μέτρον ἄγει · πλὴν, εἰ εἴληφας χάρισμα πνευματικὸν, καὶ λόγον σοφίας, ἢ γνώσεως, ἢ διδασκαλίας ἢ προφητείας, ἢ διακονίας, εὐλογητὸς ὁ Θεὸς ὁ πάμπλουτος, ὁ Θεὸς, ὁ διδοὺς πᾶσιν ἀνθρώποις, καὶ μὴ ὀνειδίζων. » Σὺ οὖν μὴ ἐπαίρου

[94] Jac. iv, 16. [95] Rom. xii, 16. [96] Isa. v, 21. [97] Psal. xciii, 11. [98] Psal. xxxii, 10. [99] I Cor. ii, 1, 2. [1] ibid. 4, 14, 15. [2] II Cor. iii, 4-6. [3] Philipp. iii, 13. [4] Luc. xviii, 11-13. [5] ibid. 14.

κατὰ τοῦ πλησίον, ἐπεὶ οὐ παραμένει σοι ἡ χάρις · οὐ βδελύττεται γὰρ τοὺς τοιούτους. Χάρισμα ἔχεις παρὰ Κυρίου, διακόνησον τοῖς πνευματικοῖς, τοῖς γινώσκουσιν, ὅτι ἃ λέγεις, Κυρίου ἐστὶν, εἰς οἰκοδομὴν τῆς ἐν Χριστῷ ἀδελφότητος, ἐν πάσῃ ταπεινοφροσύνῃ καὶ πραότητι · ὅπερ ἐστὶν καλὸν καὶ ὠφέλιμον τοῖς ἀνθρώποις. Γέγραπται δὲ ἐν ταῖς Παροιμίαις · « Μὴ ἐπαινέσῃς ἄνδρα ἐν κάλλει αὐτοῦ, καὶ μὴ βδελύξῃς ἄνθρωπον ἐν ὁράσει αὐτοῦ. Μικρὰ ἐν πετεινοῖς ἡ μέλισσα, καὶ ἀρχὴ γλυκάσματος ὁ καρπὸς αὐτῆς. » Καὶ πάλιν · « Πολλοὶ τύραννοι ἐκάθισαν ἐπ' ἐδάφους · ὁ δὲ ἀνυπονόητος ἐφόρεσεν διάδημα. » Καὶ ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν, περὶ τῶν υἱῶν Ἰεσσαὶ εἶπεν Κύριος πρὸς Σαμουήλ · « Μὴ ἐπιβλέψῃς εἰς τὴν ὄψιν αὐτοῦ, μηδὲ εἰς τὴν ἕξιν τοῦ μεγέθους αὐτοῦ, ὅτι ἀπώσομαι αὐτόν · ὅτι οὐχ ὡς ἴδοι ὁ Θεὸς, ὄψεται ἄνθρωπος · ὅτι ἄνθρωπος ὄψεται εἰς πρόσωπον, ὁ δὲ Θεὸς εἰς καρδίαν. » Καὶ παρήγαγεν Ἰεσσαὶ τοὺς ἑπτὰ υἱοὺς αὐτοῦ, τοὺς δυνατούς. Καὶ οὔτε ἕνα ἐξ αὐτῶν ἐξελέξατο ὁ Κύριος, εἰ μὴ τὸν μειρακίσκον Δαυΐδ, τὸν παρ' ἀνθρώποις ἀψήφιστον, παρὰ δὲ Θεῷ ψηφιστόν · τὸν πρᾶον, καὶ ταπεινὸν, ὃ καὶ ἐμαρτύρησεν ὁ Θεὸς, μετὰ ταῦτα λέγων, « Εὗρον Δαυΐδ τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου. » Καὶ ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν εἶπεν Ἡσαΐας ὁ προφήτης πρὸς Ἐζεκίαν · « Τάδε λέγει Κύριος · Ἐξουδένωσέν σε παρθένος, θυγάτηρ Σιὼν ἐπὶ σὲ κεφαλὴν ἐκίνησεν. » Καὶ ἐπάγει · « Οὐκ εἰσελεύσεται εἰς τὴν πόλιν ταύτην. Καὶ ἐξῆλθεν ἄγγελος Κυρίου, καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας · » Ὁ δὲ Δαυΐδ · « Κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς · ἴδοσάν με, καὶ ἐσάλευσαν κεφαλὰς αὐτῶν. » Καί · « Ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς · καὶ σὺ βοηθός μου κραταιός. » Καὶ ὁ Ἰώβ · « Νυνὶ δὲ κιθάρα εἰμὶ αὐτῶν, καὶ ἐμὲ θρύλλημα ἔχουσιν. » Καὶ ἐπειδὴ θρύλλημα αὐτὸν ἔσχον, ὁ δὲ Θεὸς ὕψωσεν αὐτὸν πολλαπλασίως. Ὁ δὲ Παροιμιαστής · « Πλοῦτος προστίθησιν φίλους πολλούς · ὁ δὲ πτωχὸς καὶ ἀπὸ τοῦ ὑπάρχοντος διαχωρίζεται. » Ταῦτα τῶν κολάκων καὶ κοιλιοδούλων εἰσὶν, οἱ τὰ πρόσκαιρα ἀφορῶντες μόνον · καὶ ἡ σοφία τοῦ πένητος ἐξουδένωται, οἱ λόγοι αὐτοῦ οὐκ εἰσὶν ἀκουόμενοι. Καὶ ταῦτα τῶν πεφυσιωμένων. Καὶ ἐν τῷ Εὐαγγελίῳ · « Ἐλθὼν, φησὶν, ὁ Ἰησοῦς ἐν τῇ πατρίδι αὐτοῦ ἐδίδασκεν τοὺς Σαββασιν ἐν τῇ Συναγωγῇ αὐτῶν, καὶ ἔλεγον, Πόθεν τούτῳ ταῦτα, καὶ τίς ἡ σοφία ἡ δοθεῖσα αὐτῷ, καὶ δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ γίνονται ; Οὐχ οὗτός ἐστιν ὁ τέκτων ὁ υἱὸς Μαρίας, ἀδελφὸς δὲ Ἰακώβου καὶ Ἰωσῆφ ; καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. » Ὁ δὲ ἀμνησίκακος Κύριος πάντα ἔφερεν. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A accepisti spirituale donum, puta, sermonem sapientiæ, aut scientiæ, aut doctrinæ, aut prophetiæ, aut ministrationis, benedictus Deus per omnia dives : « Deus, inquam, qui dat omnibus hominibus, nec improperat [6]. » Tibi interim prospiciendum, ne quando hoc nomine elevere adversus proximum insolentius. Isthæc enim gratia, cum temporaria sit, non est penes te unum permansura. Tales Dominus abominationi habet et exsecratur. Donum quodpiam sortito accepisti, Dei benignitate, fac illud impertiare communiter et administres spiritualibus. Utique isti persuasum habent et pro comperto, quia quæ dicis tu, Domini utique sunt, idque ad ædificationem, cum omni modestia et mansuetudine, quod ad communem omnium cedit magnopere ad commendandam utilitatem. Scriptum quippe est in Proverbiis : « Ne laudaveris virum in specie illius, et ne abomineris hominem in visu ejus : brevis in volatilibus apis, et initium dulcoris fructus ejus est [7]. » E diverso : « Multi tyranni sederunt super pavimentum, insuspicabilis autem portavit diadema [8]. » Sed et in primo Regnorum de filiis Jesse dixit Dominus Samueli : « Ne respicias ad vultum ejus, neque ad habitum magnitudinis ipsius, quia abjeci eum ; quia non sicut viderit Deus, videbit homo : homo enim in faciem prospiciet, Deus autem intuetur cor [9]. » Et adduxit Jesse septem filios suos, utique potentes robore, neminemque ex istis elegit Dominus, nisi adolescentulum illum David, qui in hominum quidem B prospectu in nullo videbatur censu numerandus, at apud Deum magni habebatur loco suffragii, ut qui mansuetus erat admodum et modeste humilis : cui et secundum hæc testimonium reddidit Deus, dicens : « Inveni David filium Jesse virum secundum cor meum [10]. » Sed et regnorum quarto dixit Isaias propheta ad Ezechiam : « Contempsit te, virgo filia Sion ; super te caput movit [11]. » Inducit : « Num ingredietur civitatem hanc ? et exiit angelus Domini et interfecit de castris Assyriorum centum octoginta quinque millia [12]. » David item : « Et ego factus sum opprobrium illis, viderunt me et moverunt capita sua [13]. » Et : « Tanquam prodigium factus sum multis, et tu adjutor fortis [14]. » Job quoque : « Nunc autem cithara sum eorum, et me D in proverbium habent [15]. » Cumque hunc in proverbii deridiculi vicem habuissent, tunc illum multo copiosius extulit in sublime. Parœmiastes **1104** item : « Divitiæ addunt multos amicos ; pauper autem etiam ab eo qui erat, destituitur [16]. » Plane hæc assentatorum sunt et ventri suo servientium, qui in hæc solum quæ temporaria sunt, defigunt aciem mentis ac suspiciunt venerabundi. Atqui pauperis interim sapientia contemnitur, nec ipsius sermones exaudiuntur. Hæc quis dubitet esse eorum qui toti extuberant ac turgent tumore superbiæ ? simile quid ex Evangelio : « Cum venisset Jesus in patriam suam, docebat Sabbatis in Synagoga eorum, et dicebant : Unde huic talia ? et quæ sapientia data est ei ? sed et virtutes tales per manus ejus

[6] Jac. I, 5. [7] Eccli. XI, 2. [8] ibid. 5. [9] I Reg. XVI, 7. [10] Act. XIII, 22. [11] Isa. XXXVII, 22. [12] IV Reg. XIX, 33-35. [13] Psal. CVIII, 25. [14] Psal. LXX, 7. [15] Job XXX, 9. [16] Prov. XIX, 4.

fiunt, nunquid non hic est fabri filius, frater Jacobi et Joseph? et scandalizabantur in eo [17]. » Ipse autem malorum omnium immemor nihil non tolerabat mitissimus. Ipsi gloria in sæcula. Amen.

HOMILIA XLVIII.

Ne quempiam derisui habeto.

Derisui habere unum aliquem atque contemptui parile quidem jugum est, et unum. Utrumque enim vicissim et absurda atque indecentia arat, et loliaceos demetit zizaniorum fructus, in combustionem ignis. Contingere id mali nobis consuevit per hoc quod ad expendenda propria peccata tam lentescimus oscitanter, quod de eis nihil anxie ac sedulo recogitemus, nec formidabilem illum judicii diem sollicita pensitemus mente : quo quidem die nudi necesse sit ut præsentemur judici, et magno tremore inhorrescentes. Nemo non illic pro se est responsurus, ac pœnas depensurus non operum modo, sed et verborum, et cogitationum, arcanarum insuper animi motionum. Horum memoriam si sedula cogitatione renovaremus, nullus nobis resideret locus sic insolescendi per jactantiam, nullo unquam tempore per arrogantiam efferremur adversus tanto nobis meliores. Non convenit, fratres mei, nos qui ingenue Christianos profitemur, hanc improbandæ vitæ sectari formulam, ad quam vivunt isti qui spem omnem a se dispunxerunt futuræ illius resurrectionis ; imo luctum magis exerceamus præfervido lacrymarum defluvio madentem, quarum gratia nos Dominus ab amaritudine liberet supplicii æterni. « Beati enim qui lugent nunc, quoniam ipsi consolabuntur [18]. » Plane, qui sua luget peccata, huic nullus relinquitur locus alterum ut derideat, aut deridiculis sannis aspergat et exacerbet fratrem. Audi enim, quid dicat Parœmiastes : « Ne deriseris hominem in amaritudine animæ suæ [19]. Et ; « Qui deridet pauperem, exacerbat Factorem ejus [20]. » Rursus : « Oculum ejus qui deridet patrem, et qui inhonorat senectutem matris, effodient corvi convallium [21]. » Malignos et obliquos, in vias obliquas mittet Deus. Rursum : « Qui vir deridet cives suos, in deminoratione sensus erit ; vir autem prudens tacet [22]. » Jacobus admonens dicit : **1105** « Quis sapiens et sciens inter vos? ostendat per bonam conversationem opera sua, in mansuetudine sapientiæ [23]. » Paulus : « Turpitudo, aut stultiloquium, aut scurrilitas quæ ad rem non pertinent, ne nominentur quidem in vobis [24]. » Multo igitur profuerit deriderí te, quam unum aliquem ut ipse derideas. Justi enim derisui ac ludibrio haberi solent, non item deridere ; traduntur enim in manus peccatorum [25], juxta beati Job sententiam. Et mellicus ille concentor hympnorum : « Adversum me loquebantur, qui sedebant in porta, et in me psallebant, qui bibebant vinum [26]. » Et : « Opprobria exprobrantium tibi ceciderunt super me [27]. » Domini itaque interminationem illam pio tremore accensi revereamur qua dicit : « Væ qui ridetis nunc, quia flebitis et lugebitis [28]. » Neminem deinceps habeamus derisui (derisio enim proximi per

[17] Matth. XIII, 54-57. [18] Matth. V, 5. [19] Eccli. VII, 12. [20] Prov. XVII, 5. [21] Prov. XXX, 17. [22] Prov. XI, 12. [23] Jac. III, 13. [24] Ephes. V, 4. [25] Job VI, 12. [26] Psal. LXVIII, 13. [27] ibid. 10. [28] Luc. VI, 25.

ΛΟΓΟΣ ΜΗ'.

Περὶ τοῦ μὴ καταγελᾶν.

Τὸ καταγελᾶν, καὶ τὸ ἐξουθενεῖν, ζεῦγος μέν ἐστιν ἐνηλλαγμένον, ἀροτριῶν δὲ τὰ ἄτοπα, καὶ θερίζον καρποὺς ζιζανιώδεις εἰς καῦσιν πυρός. Τοῦτο δὲ ἡμῖν συμβαίνει, διὰ τὸ μὴ βλέπειν ἡμᾶς τὰς ἰδίας ἁμαρτίας, μηδὲ μεριμνᾷν περὶ αὐτῶν, μηδὲ ἔχειν ἐν νῷ τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως, ἐν ᾗ γυμνοὶ καὶ τετραχηλισμένοι παραστησόμεθα τῷ κριτῇ, ἕκαστος ὑπὲρ ἑαυτοῦ ἀπολογούμενος, καὶ εὐθύνας εἰσπραττόμενος, οὐ μόνων τῶν ἔργων, ἀλλὰ καὶ λόγων, καὶ ἐννοιῶν, καὶ κινήσεων · εἰ γὰρ τούτων ἀμεριμνῶμεν ἁπάντων, οὐκ ἂν ἐγαυριῶμεν, καὶ ἐπαιρόμεθα κατὰ τῶν κρειττόνων ἡμῶν. Οὐ χρὴ δέ, ἀδελφοί μου, Χριστιανοὺς ἡμᾶς ὄντας, οὕτως πολιτεύεσθαι, ὡς καὶ οἱ μὴ ἔχοντες ἐλπίδα ἀναστάσεως · ἀλλὰ μᾶλλον ἀσκήσωμεν τὸ πένθος, τὸ μεμεστωμένον τῶν δακρύων, ἵνα ῥύσηται ἡμᾶς τῆς πικρᾶς κολάσεως. « Μακάριοι γὰρ οἱ πενθοῦντες νῦν, ὅτι αὐτοὶ παρακληθήσονται. » Ὁ γὰρ πενθῶν τὰ οἰκεῖα κακὰ, οὐ καταγελᾷ, οὐδὲ μυκτηρίζει ἄλλον. Ἀκούει γὰρ τοῦ Παροιμιαστοῦ λέγοντος · « Μὴ καταγελάσῃς ἄνθρωπον ὄντα ἐν πικρίᾳ ψυχῆς αὐτοῦ. » Καί · « Ὁ καταγελῶν πτωχὸν, παροξύνει τὸν ποιήσαντα αὐτόν. » Καὶ πάλιν · « Ὀφθαλμὸν καταγελῶντα πατρὸς, καὶ ἀτιμάζοντα γῆρας μητρὸς, ἐκκόψαισαν αὐτὸν κόρακες ἐκ τῶν φαράγγων · » πρὸς γὰρ τοὺς σκολιοὺς σκολιὰς ὁδοὺς ἐξαποστέλλει ὁ Θεός. Καὶ πάλιν · « Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν · ἀνὴρ δὲ φρόνιμος, ἡσυχίαν ἄγει. » Ὁ δὲ Ἰάκωβος παραινῶν ἔλεγεν · « Τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν ; δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ ἐν πραότητι σοφίας. » Καὶ ὁ Παῦλός φησιν · « Αἰσχρότης, ἢ μωρολογία, ἢ εὐτραπελία, ἃ οὐκ ἀνῆκεν, μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν. » Λυσιτελέστερον οὖν ἐστιν μᾶλλον, καταγελᾶσθαι, ἢ καταγελᾷν. Δίκαιοι γὰρ καταγελῶνται. Παραδίδονται γὰρ εἰς χεῖρας ἁμαρτωλῶν [καὶ ἀσεβῶν], κατὰ τὸν Ἰώβ. Καὶ ὁ Ὑμνῳδός φησιν · « Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλῃ, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον. » Καί · « Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε, ἐπέπεσαν ἐπ' ἐμέ. » Φοβηθῶμεν οὖν τοῦ Κυρίου τὴν ἀπειλὴν λέγοντος · « Οὐαὶ οἱ γελῶντες νῦν, ὅτι κλαύσετε, καὶ θρηνήσετε. » Ἀποστῶμεν οὖν καὶ τοῦ καταγελᾶν τινος · Ἀπὸ γὰρ ἀφοβίας Θεοῦ γίνεται τὸ καταγελᾶν · ἵνα μὴ ἀκούσωμεν καὶ ἡμεῖς παρὰ τοῦ Κυρίου, « Ὑποκριτὰ, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου. » Καὶ πάλιν · « Ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προσφέρει τὸ πονηρόν. Ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας αὐτοῦ λαλεῖ τὸ στόμα. » Τῷ δὲ Χριστῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

hoc sit, quia abest Dei timor), ne audire contingat nos a Domino : « Hypocrita, ejice primum trahem ex oculo tuo [29]. » Et rursus : « Malus homo de malo thesauro cordis sui profert malum ; ex abundantia enim cordis os loquitur [30]. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ. ΜΘ'.

Περὶ τοῦ μὴ κατακρίνειν.

Τὸ κατακρίνειν [1] χεῖρον πάντων ἐστίν. Οὓς γὰρ δοκοῦμεν ἡμεῖς κατακρίνειν, ἐκεῖνοι μὲν τοῦ βάρους ἐλαφροῦνται, ἡμεῖς δὲ ἀντ' αὐτῶν ἀχθοφοροῦμεν, καὶ εὑρισκόμεθα ἑαυτοὺς κατακρίνοντες. Πάσῃ οὖν σπουδῇ, ἀγαπητοὶ, φύγωμεν τοῦ μὴ κατακρίνειν τινάς. Ὄνειδος γὰρ ἡμῖν ἐστι μέγα, ἀνίατα νοσοῦντας, καὶ δυσίατα ἕλκη ἔχοντας, καὶ ὑποχρέους ὄντας ἡμᾶς μυρίων ὀφλημάτων, τὰ ἀλλότρια πταίσματα περιεργάζεσθαι καὶ κατοπτεύειν. Οὐ γὰρ καλὸν κατακρῖναι τὸν πόρνον, ἐὰν τοῦ λοιποῦ σωφρονήσῃ. Καλὸν δὲ φυγεῖν τὴν πρᾶξιν, μὴ ψέγειν τὸν πράξαντα. Ὁ γὰρ εἰπὼν, « Οὐ φονεύσῃς, » εἶπεν, « Οὐ κατακρινῇς. » Εἰ δὲ κατακρίνεις, σὺν τούτῳ κατακρίνῃ, δι' ὧν αὐτὸν κατακρίνεις. Οὐ γὰρ ἡμῶν ἐστι τὸ κρῖναι, ἢ κατακρῖναι, ἀλλὰ μόνου Θεοῦ καὶ μεγάλου κριτοῦ, τοῦ ἐπισταμένου τὰς καρδίας ἡμῶν, καὶ τὰ κρυπτὰ πάθη τῆς φύσεως. Τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παῤῥησιάσεται, λέγων, « Καθαρός εἰμι ἀπὸ ἁμαρτιῶν; » Μὴ οὖν προπετῶς καὶ ἀδασανίστως ἀπογινώσκωμεν τοὺς πταίοντας, κἂν εἰς αὐτὰ τὰ ἔσχατα τῆς κακίας ἀφίκωνται, κἂν ἔρημοι τῆς ἀρετῆς γένωνται, καὶ ἀποσχυνθῶσι μακρότερον, κἂν πᾶσαν, κατὰ τὸ φαινόμενον, ἐξαφανίσωσι τὴν κατὰ φύσιν καλλίστην κατάστασιν. Εἰκὸς γὰρ τοὺς τοιούτους ποτὲ ἐξυπνισθέντας πρὸς Θεὸν ἀναβλέψαι, καὶ τοσοῦτον γενέσθαι ἐγγὺς τῶν ποδῶν τοῦ Κυρίου, ὅσῳ μακρότερον ὑπῆρχον. Ἔστι γοῦν ὁ ὀλισθαίνων λόγῳ, καὶ οὐκ ἀπὸ ψυχῆς· τίς δέ ἐστιν ὃς οὐχ ἡμαρτεν ἐν γλώσσῃ αὐτοῦ; Ἡμεῖς οὖν ἃ προετάχθημεν, ταῦτα διανοηθῶμεν, τουτέστιν, τοῦ πενθεῖν καὶ κλαίειν τὰ ἑαυτῶν ἐλαττώματα, καὶ δέεσθαι τοῦ Θεοῦ καθαρίσαι ἡμᾶς ἀπὸ τῆς σαρκίας ἡμῶν, καὶ συμπάσχειν καὶ συναλγεῖν τοῖς ὁμογενέσι, καὶ συσσώμοις, καὶ ὁμοχρίστοις. Ἐν τούτοις γὰρ εὐαρεστεῖται ὁ Θεός. Ἐπιστέλλει δὲ καὶ ὁ Ἀπόστολος, λέγων, » Σὺ τί κρίνεις τὸν ἀδελφόν σου; » ἢ καὶ σὺ τί ἐξουθενεῖς τὸν ἀδελφόν σου; « Πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ. Ἄρα οὖν ἕκαστος περὶ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ. Μηκέτι οὖν ἀλλήλους κρίνωμεν, ἀλλὰ τοῦτο κρίνατε μᾶλλον τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ εἰς σκάνδαλον. » Καὶ ἐπιφέρει, « Διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων· ἐν ᾧ γὰρ κρίματι κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων. Οἴδαμεν γὰρ ὅτι τὸ κρῖμα τοῦ Θεοῦ ἐστι κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας. » Καὶ αὖθις, « Οἴδαμεν δὲ τὸν εἰπόντα· Ἐμοὶ ἐκδί-

HOMILIA XLIX.

Non temere condemnandum esse proximum.

Pronuntiare in fratrem damnationis sententiam nunquid non cætera suapte malignitate antegreditur? Nam quos sic temere condemnare videmur, adeo illos non gravamus, ut allevemus magis, dum interim quæ illos urgebat molem judicii, in nosmet nostra temeritate reclinamus, et comperimur in nos ipsos eam damnationis censuram detorquere. Omni itaque studio, dilectissimi, providendum nobis, ut ne quem condemnemus. Quanto enim dedecore digni nos, qui cum incurabili ex se morbo laboremus, cum animas habeamus ulceribus nullo prope remedio sanandis misere suggillatas ; cum simus debitis obnoxii, nulli explicandis (tam multa sunt), aliena interim minutula errata excutimus curiosius, ac tota mentis acie contemplamur et exploramus ? At ne fornicarium quidem debes sententia percellere damnationis, is modo sibi imposterum temperet a fornicatione, et ad vitæ melioris se recipiat frugem. Operationem ipsam fornicationis bonum est ut vites ; eum autem qui id admisit flagitii, ne concerpas amarulentius. Qui enim dixit : « Non occides [31], » utique et illud dixit, « Non condemnabis [31*]. » Quod si condemnas, jam per eadem judicas per quæ et condemnas. Atqui neutiquam nostræ est functionis de salute ullius judicio vel condemnatione decernere ; sed illius, et plane solius, qui intimos recessus cordis nostri clarissime novit, et retrusissima quæque naturæ totius intelligit perspectissime. Quis porro gloriabitur mundum se habere cor ? aut, quis omni cum fiducia ausit dicere : « Mundus sum a peccatis [32] ? » Ne igitur sic temere et inexpense eorum qui peccant, desperemus salutem, tametsi ad dexteram usque lineam provecti jam sint malitiæ et improbitatis, etiam si tales omni virtutum destituantur præsidio, **1106** et a se pudorem quam longissime ablegarint, licet naturæ istius conspicuæ elegantissimum quemque ordinem perverterint, ac pudendis flagitiis corruperint. Par est enim credere tales aliquando experrectos, et a gravi quo premebantur, veterno excussos, ad Deum erecturos esse aciem mentis, et tanto propius se advoluturos pedibus Domini, quanto se longius disjunxerant. Esto, quis labitur (non jam de anima loquor), quis, quæso, est qui non vel lingua sua peccavit ? Nos igitur quæ præscripsimus, hæc cogitemus attenti, nimirum proprios defectus ut lugeamus, lacrymarum aspergine

[29] Luc. VI, 42. [30] ibid. 45. [31] Exod. XX, 13. [31*] Luc. VI, 37. [32] Prov. XX, 9.

VARIÆ LECTIONES.

[1] Κατακρίνειν, *ut apud Basilium et Damascenum.* Καταδικάζειν καὶ καταγινώσκειν, *est definite, pronuntiare, unum aliquem, nunquam mores mutaturum, aut damnatum iri : quod est eximiæ temeritatis, cum de nullius (dum vivit) desperandam correctione sit et salute. Exemplo sunt Manasses et Latro ille pius : vide præfationem :* καρδιογνώστης *enim est solus Deus.*

oblitteremus, Deum precemur supplices, et per hæc, ab inveterata et cariosa peccatorum putredine nos ipsos expurgemus; nec solum, sed et alienæ compatiamur calamitati, atque indolescamus ex animo, eorum maxime qui nobis germanitate junguntur, vel generis, vel fidei quæ in Christum est, eoque sunt concorpores. Per hæc sane quis Dei possit tibi conciliare et emereri gratiam. Apostolus proinde per Epistolam ait : Tu quid judicas fratrem tuum [33] ? Aut etiam cur spernis fratrem tuum ? « Omnes enim præsentabimur ante tribunal Christi, itaque rationem reddet suorum factorum unusquisque Deo ; ne igitur in posterum, invicem judicemus, sed hoc judicate magis, ne ponatis offendiculum fratri, aut scandalum [34]. » Infert : « Propter quod inexcusabilis es, o homo omnis qui judicas. In quo enim judicas alterum, teipsum condemnas : eadem enim agis quæ judicas. Scimus enim quia judicium Dei et secundum veritatem in eos qui talia agunt. » Rursus : « Scimus autem eum qui dixit mihi vindictam, ego retribuam, dicit Dominus [35] ; » quia judicabit Dominus populum suum. Haud aliter Jacobus, hæc colligit : « Unus est legislator et judex, qui potest salvare et perdere ; tu autem quis es qui judicas proximum [36] ? » Rursum Paulus : « Tu qui es qui judicas alienum servum ? suo domino stat aut cadit ; stabit autem, potens enim est Deus statuere illum [37] : » Dominus his concinit : « Nolite judicare, ut non judicemini ; nolite condemnare, ut non condemnemini [38]. » Ipsi gloria in sæcula. Amen.

κησις. Ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. » Καὶ ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ. Ὁμοίως καὶ ὁ Ἰάκωβος ταῦτα ἐπιλέγει, « Εἷς ἐστιν ὁ νομοθέτης καὶ κριτὴς, ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι· σὺ δὲ τίς ὁ κρίνων τὸν πλησίον ; » Καὶ πάλιν ὁ Παῦλος, « Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην ; τῷ ἰδίῳ κυρίῳ στήκει, ἢ πίπτει. Σταθήσεται δέ. Δυνατὸς γάρ ἐστιν ὁ Θεὸς στῆσαι αὐτόν. » Καὶ ὁ Κύριος, « Μὴ κρίνετε, ἵνα μὴ κατακριθῆτε, καὶ μὴ καταδικάζετε, ἵνα μὴ καταδικασθῆτε. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

HOMILIA L.

Nemini dandum esse scandalum.

Omni custodia, fratres, nos ipsos conservemus atque advigilemus, ne cui demus ullam scandali sive offendiculi occasionem, liberi ut simus atque immunes miserrimæ illius calamitatis, quam talibus apprecati sunt cum prophetæ tum apostoli : nec solum, sed et Dominus noster Jesus Christus. Primus se offert propheta Habacuc : Væ, ait, qui potat proximum suum eversione dolosa [39]. » Ecclesiastes item : « Qui fodit foveam proximo suo, incidet in eam [40]. » Et : « Qui volvit lapidem, super eum volvit [41]. » Et : « Qui demolitur sepem, mordebit eum coluber [42]. » Parœmiastes : « Circumcide abs te os pravum, **1107** et labia iniqua longe fac a te [43], quia coram oculis Dei sunt viæ viri [44]. » Apostolus quoque ad Hebræos ait : « Terra enim sæpe bibens imbrem super se venientem, et pariens herbam opportunam illis a quibus colitur, accipit benedictionem a Deo ; proferens autem spinas et tribulos, reproba et maledictioni proxima est, cujus finis in combustionem [45]. » Hæc plane disserebat istis de scandalo, quo fidei acceptæ segetem premebant, qui semen quidem verbis acceperant, sed illud spinarum instar aculeatis cogitationibus præfocabant, nihil proinde proferentes frugis bonæ. Idem et Romanis : « Obsecro igitur vos, fratres, ut observetis eos qui dissensiones et offendicula faciunt, præter doctrinam quam vos didicistis : et declinate ab eis : tales enim Domino nostro Jesu Christo non serviunt, sed suo ventri, et per suavem sermonem et benedictionem seducunt corda innocentium [46]. » Iterum : « Videte ne forte potestas vestra offendiculum fiat infirmis; si quis

ΛΟΓΟΣ Ν'.

Περὶ τοῦ μὴ σκανδαλίζειν.

Πάσῃ φυλακῇ τηρήσωμεν ἑαυτοὺς, ἀδελφοὶ, τοῦ μὴ δοῦναι ἀφορμὴν σκανδάλου, ἢ προσκόμματός τινι, ἵνα ῥυσθῶμεν τοῦ ταλανισμοῦ τῶν προφητῶν καὶ ἀποστόλων, καὶ αὐτοῦ τοῦ Δεσπότου ἡμῶν καὶ φιλανθρώπου Χριστοῦ. Πρῶτον γοῦν ὁ προφήτης Ἀββακοὺμ, « Οὐαὶ, φησὶν, ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπὴν θολερὰν. » Καὶ ὁ Ἐκκλησιαστὴς, « Ὁ ὀρύσσων βόθρον τῷ πλησίῳ, ἐμπεσεῖται εἰς αὐτόν. » Καὶ, « Ὁ κυλίων λίθον, ἐφ' ἑαυτὸν κυλίσει. » Καὶ, « Καθαιροῦντα φραγμὸν, δήξεται αὐτὸν ὄφις. » Καὶ ὁ Παροιμιαστὴς, « Περίελε ἀπὸ σοῦ σκολιὸν στόμα, καὶ ἄδικα χεῖλη μακρὰν ἀπὸ σοῦ ποίησον, ὅτι ἐνώπιόν εἰσιν τῶν τοῦ Θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρός. » Ὁ δὲ Ἀπόστολος Ἑβραίοις, « Γῆ γὰρ, φησὶν, ἡ πιοῦσα πολλάκις τὸν ἐπ' αὐτῆς ἐπερχόμενον ὑετὸν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ. Ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος, καὶ κατάρας ἐγγύς· ἧς τὸ τέλος εἰς καῦσιν. » Ταῦτα περὶ τοῦ εἰς πίστιν σκανδάλου διελέγετο πρὸς αὐτοὺς, ὡς δεξαμένους μὲν τὸν σπόρον τοῦ λόγου, ἀκανθώδεσιν δὲ λογισμοῖς συμπνίγοντας τὸν λόγον, καὶ μὴ καρποφοροῦντας. Ῥωμαίοις δέ φησιν, « Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοὶ, σκοπεῖν τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα, παρὰ τὴν διδαχὴν, ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας, καὶ ἐκκλίνατε ἀπ' αὐτῶν. Οἱ γὰρ τοιοῦτοι, οὐ τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ, καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσιν τὰς καρδίας τῶν ἀκάκων. » Καὶ πάλιν, « Βλέπετε μήπως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν· ἐὰν γάρ, φησὶν, ἴδῃ σε τὸν ἔχοντα γνῶσιν ἐν εἰδωλείῳ κατακείμενον

[33] Rom. XIV, 10, 12, 13. [34] Rom. II, 1, 2. [35] Rom. XII, 19. [36] Jac. IV, 12, 13. [37] Rom. XIV, 4. [38] Luc. VI, 37. [39] Habac. II, 15. [40] Eccli. XXVII, 29. [41] Prov. XXVI, 27. [42] Eccle. X, 8. [43] Prov. IV, 24. [44] Eccli. XVII, 13. [46] Hebr. VI, 7, 8. [46] Rom. XVI, 17, 18.

οὐχὶ ἡ συνείδησις αὐτοῦ, ἀσθενοῦς ὄντος, οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; » Καὶ ἐπάγει, « Ἀπόλλυται γὰρ ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι' ὃν ὁ Χριστὸς ἀπέθανεν· οὕτως δὲ αὐτῶν τύπτοντες τὴν συνείδησιν, εἰς Χριστὸν ἁμαρτάνετε. » Καὶ αὖθις· « Ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; εἰ ἐγὼ χάριτος μετέχω, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ; » Ὁ δὲ Κύριος ἀπεφήνατο λέγων· « Ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων. » Καὶ ἐπιφέρει, « Ὁρᾶτε μὴ καταφρονῆτε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν, ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσιν τὸ πρόσωπον τοῦ Πατρός μου. » Καὶ αὖθις, « Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων· δεῖ γὰρ ἐλθεῖν τὰ σκάνδαλα. » Πλὴν « Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ τὸ σκάνδαλον ἔρχεται. » Δοξάσωμεν οὖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

enim viderit te qui habes scientiam, in idolio recumbentem, nunquid conscientia ipsius cum sit infirma, ædificabitur ad manducandum idolothyta [47]? » Inducit : « Et peribit infirmus frater in tua scientia, pro quo Christus mortuus est : atque ita ipsorum percutientes conscientiam, in Christum peccatis [48].» Rursus : « Ut quid enim libertas mea judicatur ab aliena conscientia? Si ego cum gratia participo, quid blasphemor pro eo quod gratias ago [49]? » Dominus porro adversus tales pronuntiavit, dicens : « Qui scandalizaverit unum ex his pusillis, etc., dico vobis quia angeli eorum in cœlis vident faciem Patris mei [50]. » Rursus : « Væ mundo a scandalis [51]. » Et : « Verumtamen væ homini illi per quem scandalum venit [52] » Benignum et clementem Deum nostrum addecet gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΝΑ'.

Περὶ τοῦ μὴ ὀνειδίζειν, ἀλλὰ μᾶλλον ὀνειδίζεσθαι.

Ὁ ὀνειδίζων τὸν πλησίον ἔν τινι πλημμελήματι, τοῖς αὐτοῖς δικτύοις περιπλακήσεται. « Ὃ γὰρ σπείρει ἄνθρωπος, τοῦτο καὶ θερίσει· » Ἐγκαταλιμπάνεται γὰρ ὑπὸ τοῦ Θεοῦ, διὰ τὸ ἀσυμπαθὲς καὶ τὴν ἔπαρσιν. Καὶ εἰς τὸ αὐτὸ πταῖσμα περιπίπτει, εἰ μὴ διὰ μετανοίας ἐξιλεώσηται τὸν Θεὸν, ἐξομολογούμενος τὸ πταῖσμα αὐτοῦ. Ὁ δὲ ὀνειδισθεὶς, ἐὰν ἀταράχως καὶ εὐχαρίστως δέξηται τὸν ὀνειδισμὸν, λογιζόμενος ἑαυτὸν ὑπεύθυνον εἶναι τοῦ ὀνειδισμοῦ, διὰ τὴν ταπείνωσιν αὐτοῦ ὁ Θεὸς σκεπάζει αὐτὸν, τοῦ μηκέτι ἐν τοῖς αὐτοῖς ἡττᾶσθαι ἁμαρτήμασιν. Ὀνειδισμὸς γὰρ ἀνθρώπου, θλῖψιν μὲν παρέχει τῇ καρδίᾳ, ἀγνείας δὲ αἴτιος γίνεται τῷ ὑπομένοντι. Καὶ ὅσην μὲν ἂν τις ὑπὲρ ἀληθείας Χριστοῦ καταδέξηται ἐντροπὴν, πολυπλασίως ὑπὸ πλήθους δοξασθήσεται, καὶ ἀκούσει παρὰ τοῦ ἰατροῦ τῶν ψυχῶν ἡμῶν, « Ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε. » Λέγει δὲ καί τις σοφός· « Μὴ ὀνείδιζε ἄνθρωπον ἀποστρέφοντα ἀπὸ ἁμαρτίας, » ἀλλὰ μᾶλλον προνοοῦ καλὰ ἐνώπιον Κυρίου καὶ ἀνθρώπων. Τηρήσωμεν οὖν, ἀγαπητοὶ, τὴν καρδίαν ἡμῶν ἐρηρεισμένην, τοῦ μὴ προσέχειν ἀλλοτρίοις πταίσμασιν, καὶ ὀνειδίζειν, ἵνα μὴ ἀκούσωμεν παρὰ τοῦ Δαυὶδ· « Υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν, ὅπλα καὶ βέλη· καὶ ἡ γλῶσσα αὐτῶν, μάχαιρα ὀξεῖα. Καὶ γὰρ τοῦ Ἰὼβ οἱ φίλοι ὀνειδίζοντες αὐτὸν ἔλεγον, « Ποῦ ἔστιν οἶκος ἄρχοντος; » Καὶ πάλιν, « Τί γὰρ ἐὰν σὺ ἀποθάνῃς, ἀοίκητος ἡ ὑπ' οὐρανόν; » ὁ δὲ Ἐλιφὰζ πρότερόν φησιν, « Οὐχὶ ἡ κακία σού ἐστιν πολλή; Ἀναρίθμητοι δέ εἰσιν αἱ ἁμαρτίαι σου, ἐνεχύραζες δὲ τοὺς ἀδελφούς σου διὰ κενῆς· ἀμφίασιν δὲ γυμνῶν ἀφεῖλου· οὐδὲ ὕδωρ διψῶντας ἐπότισας, ἀλλὰ πεινώντων ἐστέρησας ψωμόν· χήρας δὲ ἐξαπέστειλας κενάς· ὀρφανοὺς δὲ ἐκάκωσας. Τοιγαροῦν ἐκύκλωσάν σε παγίδες. »

HOMILIA LI

Ut neminem afficias probro aut dedecore, magis autem optes affici.

Qui contumeliosus in proximum opprobrat quidquam delicti, suis ipse, quæ alteri intexuit et adornavit, irretietur retibus. Jure quidem. « Quod enim seminat quis, hoc et metet [53]. » Is siquidem medio in discrimine destituitur Dei præsidio, quod per elationem mentis adeo non indolescit calamitati alienæ, ut etiam inclementer insultet : is ut plurimum in eamdem ruinam nec semel prolabetur, ni erratum suum confessus, per pœnitentiam Deum sibi conciliet et reddat propitium. Ille vero in quem intortum est contumeliosus opprobrium, siquidem eam contumeliam imperturbato animo exceperit et cum gratiarum actione, **1108** per eam humiliationem divina ope protegitur, ne in eadem jam victus revolvatur peccata. Contumelia enim hominis cordi afflictivam tribulationem affert : at æquo animo sustinenti auctor est idem munditiæ et puritatis. Sed et quanto quis pro Christi veritate exceperit insigniorem objectæ confusionis ignominiam, tanto is uberiorem gloriam promerebitur. Audiet et illud ab animarum nostrarum principe medico : « Ecce sanus factus es, jam amplius noli peccare [54]. » Unus proinde inter sapientes dicit ; « Ne exprobres homini avertenti se a peccato [55] : » quin potius provide bona coram Deo et hominibus. Cor igitur nostrum, charissimi, solide firmemus et communiamus, ne se occupet explorandis aliorum peccatis, neu cuiquam opprobrium intendat aut contumeliam, ne nos merito nostro audire contingat a beato Davide : « Filii hominum, dentes eorum arma et sagittæ et lingua eorum gladius acutus [56]. » Amici quoque beati Job exprobratorie dicebant : « Ubi est domus principis [57]? » Rursus : « Quid enim si tu morieris, critne subcœ-

[47] I Cor. VIII, 9, 10. [48] ibid. 11, 12. [49] I Cor. X, 29, 30. [50] Matth. XVIII, 6, 10. [51] ibid. 7. [52] ibid. [53] I Cor. IX, 6. [54] Joan. V, 14. [55] Eccli. VIII, 6. [56] Psal. LVI, 5. [57] Job XXI, 28.

lestis hæc plaga inhabitabilis[58]? » Sed et Eliphaz aliquanto prius ait : « Nunquid malitia tua multa ? Innumerabilia sunt peccata tua. Pignorabas a fratribus tuis frustra, vestimentum vero nudorum abstulisti : at ne aquæ quidem poculo refocillasti sitientes, sed et esurientes privasti frustulo panis. Viduas emisisti vacuas, pupillos vero afflixisti. Itaque laquei circumdederunt te[59]. » Et hæc quidem commenti adornato mendacio, justo isti contumeliosius opprobrabant, non quod illum odissent, sed ut asperitate verborum humiliarent alioqui humillimum : illi etenim, beato viro affines erant. [*Amici Job non male affecti in eum. Eliphaz erat patruus Job.*] Nam Eliphaz frater patris Job erat primus. Attamen justus hic contorta in se contumeliæ spicula omnia generoso pectore ferebat, et quidem tali plaga inclementer cum esset saucius. Quin et hos suos exprobratores conciliabat Deo, et repropitiabat, quod utique non contigisset, nisi preces intercessissent admirabilis hujus Job. Jam quando juxta Scripturam : « Homo improperans verbis improperit, omnibus diebus suis non erudietur[60] : » et nos igitur Christiani, recta per sanctorum callem incedentes dicamus : « Quoniam si inimicus meus maledixisset mihi, sustinuissem utique, et si is qui me oderat, super me magna locutus fuisset, abscondissem me forsitan ab eo[61]. » Et : « Tota die exprobrabant mihi inimici, et qui laudabant me in adversum me jurabant[62]. Ego autem tanquam surdus non audiebam[63]. » Ait autem et beatus Petrus : « Si reprobramini in nomine Domini, beati, quoniam quod est honoris et virtutis, et qui est Dei Spiritus, super vos requiescit[64]. » Et Apostolus : « In hoc enim et laboramus et maledicimur, quia speramus in Deo vivo, qui Salvator est omnium hominum, maxime fidelium[65]. » Sed et Dominum a cruce pendentem qui præteribant, blasphemabant, **1109** moventes capita : nec secus principes sacerdotum cum Scribis illudebant dicentes : « Alios salvos fecit, non potest se salvare. Idem prorsus et latrones qui cum ipso crucifixi erant, improperabant ei[66]. » Longanimis Dominus ex contrario pro istis sic impiis repropitiabat Patrem : « Pater, ignosce illis peccatum, non enim sciunt quid faciunt[67]. » Quid aliquanto prius, nonnihil injiciens discipulis audaciæ, dicebat ? « Beati eritis cum exprobraverint vos et persecuti vos fuerint, et dixerint omne verbum adversum vos, mentientes : gaudete et exsultate, quia merces vestra multa est in cœlis[68]. » Ipsi gloria in sæcula. Amen.

A Ταῦτα μὲν ψευδηγοροῦντες ὠνείδιζον αὐτόν· οὐ διὰ μῖσος δὲ, ἀλλὰ διὰ τὸ ταπεινωθῆναι αὐτὸν τοῖς ῥήμασιν. Ἦν γὰρ γένος ἦσαν· ὁ γὰρ Ἐλιφὰζ ἀδελφὸς τοῦ πατρὸς αὐτοῦ ἦν πρῶτος· πλὴν ὁ δίκαιος πάντα ἔφερεν γενναίως· καίτοιγε ἐν τοιαύτῃ πληγῇ ὤν, καὶ ὀνειδιζόμενος, ὑπὲρ αὐτῶν ἐξιλεοῦτο τὸν Θεόν· καὶ εἰ μὴ διὰ τῶν εὐχῶν τοῦ Ἰώβ, ἀπώλεσεν ἂν αὐτοὺς ὁ Θεός. Καὶ ταῦτα μὲν περὶ τοῦ Ἰώβ. Ἐπεὶ καὶ « Ἄνθρωπος συνεθιζόμενος λόγοις ὀνειδισμοῦ, ἐν πάσαις ταῖς ἡμέραις αὐτοῦ οὐ μὴ παιδευθῇ, » κατὰ τὴν Γραφήν. Ἡμεῖς οὖν ὡς Χριστιανοὶ τῇ ὁδῷ τῶν ἁγίων βαδίζοντες εἴπωμεν, « Ὅτι εἰ ὁ ἐχθρὸς ὠνείδισέν με, ὑπήνεγκα ἄν. Καὶ εἰ ὁ μισῶν με, ἐπ' ἐμὲ ἐμεγαλορημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ. » Καὶ τὸ, « Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου· καὶ B οἱ ἐπαινοῦντές με, κατ' ἐμοῦ ὤμνυον. Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον. » Φησὶ δὲ καὶ ὁ μακάριος Πέτρος· « Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Κυρίου, μακάριοι, ὅτι τὸ τῆς δόξης καὶ τῆς δυνάμεως, καὶ τὸ τοῦ Θεοῦ πνεῦμα ἐφ' ὑμᾶς ἀναπέπαυται. » Καὶ ὁ ἀπόστολος Παῦλος, « Εἰς τοῦτο γὰρ καὶ κοπιῶμεν, καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι· ὅς ἐστι πατὴρ πάντων ἡμῶν, μάλιστα δὲ πιστῶν. » Καὶ τὸν Κύριον ἐπὶ τοῦ σταυροῦ, οἱ παραπορευόμενοι ἐβλασφήμουν, κινοῦντες τὰς κεφαλάς. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς μετὰ τῶν Γραμματέων ἐμπαίζοντες ἔλεγον, « Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι, Τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρωθέντες ὠνείδιζον αὐτόν. » Ὁ δὲ μακρόθυμος Κύριος, τὸ ἐναντίον, C ὑπὲρ αὐτῶν ἐξιλεοῦτο τὸν Πατέρα· καὶ ἔλεγεν, « Πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν· οὐ γὰρ οἴδασιν τί ποιοῦσιν. » Καὶ πρὸ τούτου, θαρσοποιῶν τοὺς μαθητὰς, ἔλεγεν, « Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσιν, καὶ εἴπωσιν πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ. Χαίρετε, καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

HOMILIA LII.

Quod malum malo retaliandum non sit.

Paulo quidem prius de eo quod nemini ingerendum sit improperium, sed ingestum tolerandum æquanimiter, nonnihil disseruimus : nunc nobis est sermo alio transcribendus, nempe ut doceamus non convenire Christiano, malum ut repenset, aut retaliet mala. Sane Christi cohæredes si esse cupimus, magnopere nobis est contendendum perquam similes ut inveniamur sanctis Christo charissimis. Id fiet, si mansueti Davidis imita-

D

ΛΟΓΟΣ ΝΒ'.

Περὶ τοῦ μὴ ἀνταποδοῦναι κακόν.

Πρώην μὲν περὶ τοῦ μὴ ὀνειδίζειν, ἀλλ' ὀνειδίζεσθαι, ὀλίγα διαλαβόντες, νῦν περὶ τοῦ μὴ ἀνταποδοῦναι κακίαν, τὸν λόγον μετενέγκωμεν. Εἰ οὖν βουλόμεθα συγκληρονόμοι Χριστοῦ εἶναι, ἐφάμιλλοι γενώμεθα τοῖς τοῦ Χριστοῦ φιλτάτοις. Μιμησώμεθα τὸ πρᾶον τοῦ Δαυΐδ, ὅπως καὶ ἡμεῖς ἀκούσωμεν παρὰ τοῦ Θεοῦ, Εὗρον ἄνδρα κατὰ τὴν καρδίαν μου· « Εὗρον γάρ, φησὶν ὁ ὑπεράγαθος καὶ φιλάγαθος, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ

[58] Eccle. III, 20. [59] Job XXII, 5-10. [60] Eccli. XXIII, 20. [61] Psal. LIV, 13. [62] Psal. CI. 9. [63] Psal. XXXVII, 14. [64] II Petr. IV, 14. [65] I Tim. IV, 10. [66] Matth. XXVII, 42, 44. [67] Luc. XXIII, 34. [68] Matth. V, 11, 12.

θελήματά μου, » περὶ τοῦ ἀμνησικάκου Δαυΐδ, καὶ καὶ περὶ ἐχθροὺς ἀγαθοῦ. Καὶ ἡμεῖς οὖν μὴ ποιήσωμέν τι πρὸς ἄμυναν ἀδελφοῦ κατηδικηκότος ἡμᾶς, ἵνα μὴ ἅπαντα ἡμῖν σκολιὰ γένηται ἐν καιρῷ προσευχῆς. Ὁ νόμος παρακελεύεται προνοεῖν τὸ ὑποζύγιον τοῦ ἐχθροῦ· καὶ ὁ Ἰὼβ, ὡς ἐχόμενος ἀπὸ κακίας παρὰ τοῦ Θεοῦ ἐμαρτυρεῖτο. Καὶ ὁ Ἰωσὴφ, τοὺς ἐπιβούλους ἀδελφοὺς οὐκ ἠμύνατο. Καὶ Ἄβελ ἁπλῶς καὶ ἀνυπόπτως συνεπορεύετο τῷ ἀδελφοκτόνῳ Κάϊν. Καὶ πάντως ἁπλῶς ἀνακηρύττει ἡ θεολογία τοὺς ἐν ἀκακίᾳ πολιτευομένους ἁγίους. Φησὶν δέ τις, « Ὃς ἀνταποδίδωσιν κακὸν ἀντὶ ἀγαθῶν, οὐ κινηθήσεται κακὰ ἐκ τοῦ οἴκου αὐτοῦ. » Καὶ πάλιν, « Ὁ βαλὼν λίθον εἰς ὕψος, ἐπὶ τὴν κεφαλὴν τὴν ἑαυτοῦ βάλλει. » Καὶ, « Ὁ ὀρύσσων τῷ πλησίον βόθρον, ἐμπεσεῖται εἰς αὐτόν. » Καὶ, « Ὁ ἱστῶν παγίδα, ἁλώσεται ἐν αὐτῇ, καὶ ποιοῦντι πονηρὰ, ἐπ' αὐτὸν κυλισθήσεται. » Ὁ δὲ Ἱερεμίας, ἐντυγχάνων τῷ Θεῷ, κατὰ τὸν Ἰσραὴλ λέγει· « Εἰ ἀνταποδίδοται ἀντὶ ἀγαθῶν κακὰ, μνήσθητι ὡς ἐλάλησα ὑπὲρ αὐτῶν ἀγαθά. » Οὕτως ὁ δίκαιος, νυκτός τε καὶ ἡμέρας ὑπὲρ αὐτῶν τὸν Θεὸν ἐξιλεοῦτο· ὅθεν καὶ ἅπαξ καὶ δὶς ἤκουσεν παρὰ τοῦ Θεοῦ, ὅτι μὴ ἀξίου ὑπὲρ αὐτῶν, ὅτι « Οὐκ εἰσακούσομαί σου· αὐτοὶ δὲ ἀντημείψαντο αὐτὸν, » χαλάσαντες αὐτὸν ἐν τῷ βορβόρῳ τοῦ λάκκου. Τοιαῦτα γὰρ ἀεὶ τῶν Ἰουδαίων τὰ ἀνδραγαθήματα. Καὶ Ἰωσὴφ δὲ, οὐ μόνον οὐκ ἠμύνατο τοὺς ἀδελφοὺς αὐτοῦ, ἀλλὰ καὶ ἔκλαυσεν ἐπὶ τὸν τράχηλον αὐτῶν ἐξ ἀγάπης πολλῆς· καὶ ἔλεγεν, « Μὴ φοβεῖσθε, ἐγὼ διαθρέψω ὑμᾶς. » Ἴδωμεν τί καὶ ὁ Δαυΐδ ἐντυγχάνει τῷ Θεῷ· « Κύριε, ὁ Θεός μου, φησὶν, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακὰ, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός. » Ὁ δὲ Πέτρος παραινῶν λέγει· « Μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ, ἢ λοιδορίαν ἀντὶ λοιδορίας· τοὐναντίον δὲ εὐλογοῦντες, ὅτι εἰς τοῦτο ἐκλήθητε, ἵνα εὐλογίαν κληρονομήσητε. » Καὶ ὁ Παῦλος, « Ὁρᾶτε, φησὶν, μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε, καὶ εἰς ἀλλήλους, καὶ εἰς πάντας. » Καὶ αὖθις· « Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν. » Ὁ δὲ Κύριος, « Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς. Εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς. Καὶ ὅστις σε ῥαπίσει εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. Καὶ τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιόν σου. » Καὶ, « Εἴ τις σε ἀγγαρεύσῃ μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο. » Καὶ, « Γίνεσθε οἰκτίρμονες καὶ τέλειοι, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

bimur lenitatem, ut et nos quiddam assimile audire a Deo promereamur, quod et de ipso Davide pronuntiavit, viro injuriarum immemore prorsus, et erga inimicos perquam benigno, nimirum illud: « Invenire virum secundum cor meum, qui faciet omnes voluntates meas[69]. » Et nos igitur tanti herois provocati exemplo, nonnihil auxilii præstemus ac suffragemur fratri, a quo qualicunque injuria pulsati sumus: ne vel tempore orationis postulatio omnis nostra repudietur, resque abeat in diversum quam petimus. Jubet lex subjugale animale inimici [ipsissimis verbis eadem prorsus Dionysii Areop. epistola 8.] (si fors labi contingat) ut proinde subleves[70]. Job testimonium a Deo reportare promeruit, quod suam adhuc retineret ac tueretur innocentiam. Joseph de fratribus nullam expetivit ultionem, quos alioqui vitæ insidiatores suæ fuerat passus. Abel amabili simplicitate præditus nec ullius suspicax in se injuriæ, simul cum fratricida concessit in agrum. In genere quotquot sanctos divinæ concelebrant Litteræ, eos astruunt per innocentiæ callem vitam instituisse suam. Sed et unus aliquis ait: « Qui reddiderit mala pro bonis, non movebuntur mala de domo ejus[71]. » Iterum: « Qui jacit lapidem in altum, in suum caput jacit[72]. » Et: « Qui fodit foveam proximo, incidet in eam[73]. » Et: « Qui statuit laqueum, capietur in eo, et qui facit mala, in eum devolventur[74]. » Jeremias quoque Deum interpellans adversus Israel dicit: « Si redduntur pro bonis mala, recordare, quanta locutus sim pro eis bona[75]. » Adeo justus hic, perdius et pernox istis sic ingratis exorabilem Dei elementiam studebat conciliare, et flectere iram: **1110** unde et semel et secundo divina voce accepit responsum: « Noli orare pro eis, non enim exaudiam te[76]. » Ecquid tandem excepit dignæ retributionis? Utrique tam bene de se merentem demiserunt in lacum fetulentum ac cœno madidum. Hæc perpetuo Judæos comitata est male grata strenuitas, sic se fortes præstiterunt. Joseph præterea adeo nihil interminatus est ultricis vindictæ fratribus, ut unumquemque complexus seorsim, colla illorum opplerit lacrymis[77]: tanta erga illos liquescebat charitate. Sed et dicebat: « Nolite timere, ego pascam vos[78]. » Quid proinde postularit David a Deo, expendendum nunc: « Domine, Deus meus, si feci istud, ait, si est iniquitas in manibus meis, si reddidi retribuentibus mihi mala, decidam utique ab inimicis meis inanis[79]. » Petrus item admonens, ait: « Non reddentes malum pro malo, aut maledictum pro maledicto, sed e contrario benedicentes; quia in hoc vocati estis, ut benedictionem hæreditate possideatis[80]. » Paulus etiamnum: « Videte ne quis malum pro malo reddat, sed semper quod bonum est, sectemini et in invicem et in omnes[81]. » Rursum: « Noli vinci a malo, sed vince in bono malum[82]. » Quid Dominus? « Diligite ini-

[69] I Reg. XIII, 14. [70] Exod. XXIII, 4, 5. [71] Prov. XVII, 13. Prov. XXVI, 8. [72] ibid. 27. [73] Eccli. XXVII, 29, 30. [74] Jerem. XVIII, 20. [75] Jerem. XI, 14. [76] Gen. XLIII, 30. [77] Gen. XLV, 5, 11. [78] Psal. VII, 4, 5. [79] I Petr. III, 9. [80] I Thess. V, 15. [81] Rom. XII, 21.

micos vestros, benefacite his qui oderunt vos, benedicite maledicentibus vobis : quicunque percusserit te in dexteram maxillam, præbe ei et alteram ; et ei qui vult tecum contendere in judicio, et tunicam tuam tollere, dimitte ei et pallium tuum [83]. » Et : « Si quis angariaverit te milliare unum, vade cum eo et alia duo [84]. » Et : « Estote misericordes et perfecti, sicut Pater vester cœlestis [85]. » Ipsi gloria in sæcula. Amen.

HOMILIA LIII.

De memoria acceptæ injuriæ.

Absoluto utcunque sermone, de eo quod pro malo neutiquam rependendum sit malum, ad eum transcendamus, qui est de memoria acceptæ injuriæ. Non modo, fratres, non debemus meminisse ullius mali a contribulibus aut affinitate propinquis accepti ; sed ex diverso cuncti veniunt Christiana longanimitate tolerandi, ac mali nostra sunt sublevandi benignitate : nec utcunque, verum erga tales nostræ conduplicemus argumenta liberalitatis, ut vel piorum operum efficacia nos ipsos declaremus ingenuos Christi esse discipulos : ipse enim Christus in malos atque inutiles suam effundit benignitatem. Ad eum modum pia contentione B imitari Dominum debemus, quatenus sinunt viriculæ nostræ. Sane si qua incessit cupido obtinendæ aliquando beatitudinis, ejus necesse sit iram ut arceamus, non ab opere solum, sed nec in mentis domicilium sinamus alicunde irrepere. Neque enim tanti est in ipso incandescentis iræ articulo frenare os, nec ullum depromere verbum concepti furoris index : **1111** quanti est expurgare cor ab omni acceptæ injuriæ inamœna et insuavi memoria, ut ne tecum adversus fratrem quidpiam malignæ cogitationis tacita mente obverses. Siquidem evangelica doctrina cum primis jubet ab radice peccata exscindi. Iræ enim radicem prorsus a corde si excideris, jam non odium erit, non invidia ad opus usque progredietur. Itaque ut radiosissimum C solis jubar subtercurrens obumbrat et occulit nubes, ita et menti nostræ vel sola acceptæ injuriæ cogitatio densam oppandit caliginem. In anima enim sic tenaci injuriarum insidiosæ vulpes suum sibi figunt atque exædificant umbratile tabernaculum, inque ejusmodi corde turbulento, tanquam in spelæis retrusissimis delitescunt feræ immanes. Ut quisque casti pudoris amantissimus, longissime se submovet ab obsceno et infami diverticulo meretricum, ita quoque Deus cor aversatur et defugit ejus qui fixius memoria tenet irrogatam sibi injuriam. Quemadmodum fumus obturbat et circumfundit quamlibet perspicacem aciem oculorum, sic et orationis tempore memoria contumeliæ mentem sua intemperie exagitat. Quid D itaque faciendum nobis præscribat Dominus, per se suosque servos, intenta percipiamus aure. In primis suo testimonio præscriptam confirmat sententiam Zacharias propheta : « Malitiam, inquit, ne meminerit unusquisque adversus proximum suum in cordibus vestris [86]. » Alius eodem

A

ΛΟΓΟΣ ΝΓ'.

Περὶ τοῦ μὴ μνησικακεῖν.

Τὸν περὶ τοῦ μὴ ἀνταποδοῦναι κακὸν ἀντὶ κακοῦ λόγον τελέσαντες, μετέλθωμεν καὶ εἰς τὸν τῆς μνησικακίας. Οὐ μόνον γὰρ, ἀδελφοὶ, οὐκ ὀφείλομεν μνησικακεῖν τοῖς ὁμογενέσιν καὶ ὁμοσάρκοις, ἀλλὰ τοὐναντίον, Χριστιανικῶς φερόμενοι, καὶ τοὺς κακοὺς ἀγαθύνοντες, καὶ ἐφαπλοῦντες ἐπ' αὐτοὺς πολλὴν ἀγαθότητα, καὶ ἐπιδεικνύντες διὰ τῶν ἔργων ἑαυτοὺς ἀληθινοὺς μαθητὰς τοῦ Χριστοῦ, ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς πονηροὺς καὶ ἀχαρίστους. Οὕτως οὖν καὶ ἡμεῖς ὀφείλομεν, ἐν ἅπασι, κατὰ τὸ δυνατὸν ἡμῖν, μιμήσασθαι τὸν Κύριον ἡμῶν. Εἰ τοίνυν ἐπιθυμοῦμεν τοῦ μακαρισμοῦ αὐτοῦ, οὐ μόνον τὴν κατ' ἐνέργειαν ὀργὴν κωλῦσαι ὀφείλομεν, ἀλλὰ καὶ τὴν κατὰ διάνοιαν. Οὔτε γὰρ τοσοῦτόν ἐστιν τὸ κρατεῖν τοῦ στόματος ἐν καιρῷ θυμοῦ, καὶ μὴ ἐκφέρειν ῥήματα μανιώδη· ὅσον τὸ καθαρίζειν τὴν καρδίαν ἀπὸ μνησικακίας, καὶ μὴ ἀναστρέφειν ἐν τῇ διανοίᾳ κατὰ τοῦ ἀδελφοῦ πονηροὺς λογισμούς. Τὰς ῥίζας γὰρ τῶν ἁμαρτημάτων ἐκκόπτεσθαι παραγγέλλει ἡ εὐαγγελικὴ διδασκαλία. Τῆς ῥίζης γὰρ ἐκκοπείσης τοῦ θυμοῦ ἀπὸ τῆς καρδίας, οὔτε μῖσος, οὔτε φθόνος εἰς ἔργον προαχθήσεται. Ὥσπερ οὖν σκοτίζει ἥλιον ὑποδραμὸν νέφος, οὕτως νοῦν λογισμὸς μνησικακίας. Ἐν μνησικάκῳ γὰρ ψυχῇ ἀλώπεκες κατασκηνώσουσιν, καὶ ἐν τεταραγμένῃ καρδίᾳ θηρία φωλεύσουσιν. Καὶ ὥσπερ ἀνὴρ σεμνὸς καταγώγιον αἰσχρὸν φεύγει, οὕτως καὶ ὁ Θεὸς, μνησίκακον καρδίαν· καὶ ὃν τρόπον καπνὸς ταράσσει ὀφθαλμοὺς, οὕτως μνησίκακος ἐν καιρῷ προσευχῆς. Ἀκούσωμεν οὖν τί ἐντέλλεται ἡμῖν δι' ἑαυτοῦ, καὶ τῶν δούλων αὐτοῦ ὁ Κύριος. Τοιγαροῦν διαμαρτύρεται ἡμῖν ὁ προφήτης Ζαχαρίας, λέγων, « Κακίαν ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ μὴ μνησικακείτω ἐν ταῖς καρδίαις ὑμῶν. » — « Ἕκαστος τὴν κακίαν τοῦ πλησίον αὐτοῦ μὴ λογιζέσθω ἐν ταῖς καρδίαις ὑμῶν. » Καὶ ἄλλος, « Ὃς μνησικακεῖ, παράνομος. » Καὶ πάλιν, « Ὁ κρύπτων ἔχθραν, συνίστησιν δόλον. Ἐν παντὶ ἀδικήματι μὴ μνησικακήσῃς τὸν πλησίον. » Ἀλλ' « Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, τρέφε αὐτόν· καὶ ἐὰν διψᾷ, πότιζε αὐτόν. » Καὶ πάλιν, « Ἄφες τὸ ἀδίκημα τῷ πλησίῳ σου. Καὶ τότε δεηθέντος σοῦ αἱ ἁμαρτίαι σου λυθήσονται. » Καὶ ἐπάγει· « Ἄνθρωπος ἀνθρώπῳ συντηρεῖ ὀργὴν, καὶ παρὰ Θεοῦ ζητεῖ ἴασιν. Αὐτὸς σὰρξ ὢν, διατηρεῖ μῆνιν, καὶ τίς ἐξιλάσεται τὰς ἁμαρτίας αὐτοῦ; » Καὶ ἐπιφέρει· « Μνήσθητι τὰ ἔσχατά σου, καὶ παῦσαι ἐχθραίνων. » Καὶ αὖθις, « Ἀπόσχου ἀπὸ μάχης, καὶ ἐλαττώσεις ἁμαρτίας. » Καὶ ὁ Παροιμιαστὴς, « Φόβος Κυρίου, μισεῖ κακίαν, ὕβριν τε καὶ ὑπερηφανίαν, καὶ ὁδοὺς πονηρῶν. »

[83] Matth. v, 39, 40, 44. [84] ibid. 41. [85] Luc. vi, 36. [86] Zach. viii, 17.

Καὶ πάλιν, « Μὴ εἴπῃς, Ὃν τρόπον ἐχρήσατό μοι, χρήσομαι αὐτῷ· ἢ, Τίσομαι αὐτὸν, ἃ με ἠδίκησεν. » Καὶ αὖθις, « Μὴ εἴπῃς, Τίσομαι τὸν ἐχθρόν μου· ἀλλ' ὑπόμεινον τὸν Κύριον ἵνα σοι βοηθήσῃ. Ἐν ὁδοῖς γὰρ δικαιοσύνης ζωὴ, ὁδοὶ δὲ μνησικάκων εἰς θάνατον. » Καὶ ὁ Ἰάκωβος· « Ἀποθέμενοι οὖν πᾶσαν ῥυπαρίαν, καὶ περισσείαν κακίας, ἐν πραότητι δέξασθε τὸν ἔμφυτον λόγον, δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν. » Ὁ δὲ Παῦλος, « Μὴ παιδία γίνεσθε ταῖς φρεσὶ, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε. » Φύγωμεν οὖν, ἀδελφοὶ, τὸ ὀλέθριον πάθος τῆς μνησικακίας, ἵνα μὴ ἀπαλλοτριώσῃ ἡμᾶς τῆς πρὸς Θεὸν παῤῥησίας· οὐ γὰρ τολμήσει τις, νοσῶν τοῦτο τὸ νόσημα τῆς μνησικακίας, παραστῆναι τῷ Θεῷ ἐν καθαρᾷ προσευχῇ. Κωλύεται γὰρ ὑπ' αὐτοῦ τοῦ Κυρίου, λέγοντος, « Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθεὶς ὅτι ἔχει ὁ ἀδελφός σού τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

respicit : « Unusquisque malitiam proximi sui ne cogitetis in cordibus vestris [87]. » Rursus : « Qui meminit injuriæ, iniquus [88]. » Iterum : « Qui occultat inimicitiam, concinnat dolum [89]; In omni injustitia, ne sis memor injuriæ proximi [90]; » sed : « Si esurierit frater tuus, cibe illum; si sitit, potum da ei [91]. » Et : « Dimitte injuriam proximo, et tunc deprecante te, peccata tua solventur [92]. » Inducit : « Homo homini conservat iram, et a Deo quærit medelam? Talis caro cum sit, reservat iram; et quis propitiabit peccata illius [93]? » Infert : « Memento novissimorum, et desine inimicari, abstine a lite, et minues peccata [94]. » Parœmiastes : « Timor Domini odit malitiam, contumeliam, superbiam, et vias pravorum [95]. » Rursus : « Ne dixeris : Quomodo fecit mihi, faciam ei quæ mihi fecit injuste [96]. » Et : « Ne dixeris : Vindicabo me de inimico meo; sed sustine Dominum, ut tibi auxilietur [97] : in viis enim justitiæ, vita; viæ autem reminiscentium injuriæ, ad mortem [98]. » Jacobus : « Deponentes igitur omnem immunditiam et abundantiam malitiæ, in mansuetudine suscipite insitum verbum quod potest salvare animas vestras [99]. » Paulus item : « Nolite pueri effici sensibus, sed innocentia parvuli estote [1]. » Hæc itaque perniciosa perturbatio, memoriæ nempe retentricis injuriarum, nobis, fratres, magnopere vitanda est, ut ne nos a fiducia abalienet quam erga Deum habemus. Neque enim qui hoc ægrotet genere morbi, Deo se ausit præsentare cum sinceritate orationis, nec enim potest. **1112** Dominico etenim illo præcepto revocatur et arcetur : « Si offers munus tuum ante altare, et ibi recordatus fueris, quia habet aliquid frater tuus adversum te, relinque ibi munus tuum ante altare, et vade prius ut reconcilieris fratri tuo, et tunc ubi redieris, offer munus tuum [2]. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΝΔ'.

Περὶ τοῦ μὴ ἐχθραίνειν.

Τὸ ἐχθραίνειν ἀνθρώποις ὁμοφύλοις καὶ ὁμοπίστοις, ἀθέμιτον καὶ ἀνάρμοστον τοῖς φοβουμένοις τὸν Θεὸν, καὶ ἐπαγγελλομένοις θεοσέβειαν. Ὁ γὰρ Θεὸς ἔχθραν οὐκ ἐνομοθέτησεν ἀνθρώποις, εἰ μὴ μόνον πρὸς τὸν ὄφιν, ἦγουν πρὸς τὸν δι' αὐτοῦ ἐξ ἀρχῆς ἀπατήσαντα, καὶ ἐξαγαγόντα ἐκ παραδείσου τὸν ἄνθρωπον, ἀνθρωποκτόνον διάβολον. Ὁμοίως δὲ καὶ ἐχθραίνειν προσετάχθημεν τοῖς Μαδιηναίοις, τουτέστιν, τοῖς ἀκαθάρτοις πνεύμασιν τῆς πορνείας καὶ ἀσελγείας, τοῖς σπείρουσιν τοὺς πονηροὺς καὶ βεβήλους λογισμοὺς εἰς τὴν καρδίαν. Τούτους δὴ πάσῃ δυνάμει ἐχθραίνειν καὶ ἀποστρέφεσθαι, ἵνα μὴ ἐχθροὺς ἡμᾶς ποιήσωσιν τοῦ Θεοῦ ἐκ τῆς πρὸς αὐτοὺς φιλικῆς ὁμιλίας, κατὰ τὸ εἰρημένον, « Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα, καὶ ἐπὶ τοῖς ἐχθροῖς σου ἐξετηκόμην; τέλειον μῖσος ἐμίσουν αὐτοὺς, εἰς ἐχθροὺς ἐγένοντό μοι. » Πρὸς δὲ ἄνθρωπον οὐ χρὴ ἔχθραν ἔχειν· μάλιστα περὶ ζημίας σωματικῆς, ἢ καταλαλιᾶς, ἢ ὕβρεως, ἢ ὅσα τῷ αἰῶνι τούτῳ ἁρμόζει. Οὐ χρὴ δι' αὐτὰ ἀπεχθῶς διακεῖσθαι πρὸς τὸν ὁμόφυλον, ἀλλὰ μᾶλλον εὐχαριστεῖν, ὅτι πρόξενοι ἡμῖν γίνονται σωτηρίας. Ἡ γὰρ κακία, τῆς μὲν εἰς Θεὸν συναφείας ἀπέστησεν, καὶ τοὺς ἀνθρώπους ἀλλήλων διέστησεν. Ταύτην οὖν πρὸ

HOMILIA LIV.

Inimicitias in nullum prorsus exerceri debere.

Infense atque inimiciter persequi unum aliquem qui tibi sit contribulis, aut fidei germana communione fœderetur, nefarium prorsus, nec ulli consentaneum qui Deum vereatur, seque ex professo cultui divino manciparit. Neque enim Deus inimicitias ulli hominum exercendas sua sanxit lege, præterquam adversus illum homicidam diabolum qui ipso statim initio orbis conditi hominem illici lenocinio inescatum decepit, atque adeo deceptum, amœnitate exegit paradisi. Haud secus jubemur Madianitas exsecrari et odisse, nimirum impuros illos spiritus fornicationis atque omnifariæ libidinis incentores, qui improbas cogitationes et nimisquam obscenas quasi semina cordibus inseruit nostris. Hos pro virili portione ut oderis, necesse sit, eosque declines quam ocissime, nequando nos reddant invisos Deo per impuram cum ipsis conflictationem et amicitiam, juxta sententiam illam : « Nonne qui oderunt te, Domine, oderam, et super inimicos tuos tabescebam? Perfecto odio oderam illos, inimici facti sunt mihi [3]. » Adversus autem alium quemvis, locum nullum habet inimicitia, præsertim si de damno agitur corporali, de detractione, vel contumelia, aut quæcunque tandem

[87] Eccli. XIX, 10. [88] Eccli. X, 6. [89] Psal. XLIX, 19. [90] Eccli. X, 6. [91] Prov. XXV, 21. [92] Eccli. XXVIII, 2. [93] ibid. 3, 4. [94] ibid. 8, 10. [95] Prov. VIII, 13. [96] Prov. XVIV, 29. [97] Prov. XX, 22. [98] Prov. XII, 28. [99] Jac. I, 21. [1] I Cor. XIV, 20. [2] Matth. III, 23, 24. [3] Psal. CXXXVIII, 21, 22.

sunt conformia isti sæculo et consentanea. Neque enim adversus tuum gentilem sive contribulem debes hostilem affectum induere ob hæc temporaria, potius agendæ veniunt gratiæ, quod nobis sunt salutis certius obtinendæ parati. Sola enim est malitia quæ nos a familiari Dei congressu diremit, hominesque a charitate mutua avulsit. Hanc igitur adversum homines inimicitiam, ante omnia abs te ut amoliaris ac vites, operæ pretium est: at virtutem continenti studio persequere, quæ te Deo conciliet, et proximis agglutinet mutuæ glutinio charitatis. Scopus enim unicus hic est virtutis et philosophiæ, ut citra fucum quidvis agat, præsertim si cum prudentia conjungitur. Isaias propheta nostrum sermonem suo confirmat patrocinio, ait enim: « Nec eris cum pluribus in malitia [4]. » Hæc quidem de impuris et obscenis cogitationibus dicens. Inducit autem: « Lavamini, mundi estote, offerte malitias ab animabus vestris, quiescite a malitiis vestris, discite benefacere [5]. » **1113** Paræmiastes item: Ne diligas inimicitias adversus hominem frustra, ne forte in te aliquid mali operetur [6]. » Iterum: « Timor Domini odit malitiam [7], impudens autem cum contumelia operatur mala [8]. » David item suppliciter Deo procidens, ait: « Ne gaudeant super me qui adversantur mihi inique, qui oderunt me gratis, sed confundantur et revereantur quærentes animam [9]. » Et: « Averte mala inimicis meis, et in veritate tua (hoc est in Christo) disperde illos [10]. » Et: « Dominus mihi adjutor, et ego despiciam inimicos meos [11]. In Deo faciemus virtutem, et ipse ad nihilum deducet inimicos nostros [12]. » Et hæc quidem orasse intelligi debet adversus spirituales inimicos, non item adversus homines. Historia testimonio est adversus intellectuales hostes Davidem esse precatum Deum. Cum enim Saul animam David propensissime appeteret, eumque persequeretur manu stipatus virorum trium millium, et esset Saul semel et secundo traditus in manus ipsius David et eorum qui cum ipso erant, qui etiam dicerent: « Ecce dies in qua tradidit Dominus inimicum tuum in manu tua [13]; » respondit David: « Vivit Dominus, non injiciam manum meam in christum Domini [14]. » Neque id modo fecit, sed et Saulis mortem luxit, eumque dedidit neci, qui cædem renuntiarat Saulis [15]. Nec aliter Absalonis lugebat mortem, qui necem tam studiose expetiverat patris [16]. Arbitror sane per hæc

πάντων δεῖ φεύγειν, καὶ διώκειν τὴν ἀρετὴν, καὶ θεῷ προσάγουσαν, καὶ ἀλλήλοις συνάπτουσαν. Ἀρετῆς δὲ καὶ φιλοσοφίας ὅρος, τὸ μετὰ συνέσεως ἁπλοῦν. Συνηγορεῖ δὲ τῷ λόγῳ ἡμῶν καὶ ὁ προφήτης Ἡσαΐας· φησὶν γὰρ, « Οὐκ ἔσῃ μετὰ πλειόνων ἐν κακίᾳ· » περὶ τῶν ἀκαθάρτων λέγων λογισμῶν. Καὶ ἐπάγει, « Λούσασθε, καὶ καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν, παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν, μάθετε καλὸν ποιεῖν. » Καὶ ὁ Παροιμιαστὴς φησιν, « Μὴ φιλεχθρήσῃς εἰς ἄνθρωπον μάτην, μή ποτε εἰς σὲ κακόν τι ἐργάσηται. » Καὶ πάλιν, « Φόβος Κυρίου μισεῖ κακίαν· ὁ δὲ ἀναιδὴς μεθ' ὕβρεως πράσσει κακά. Καὶ ὁ φιλομαχῶν χαίρει μάχαις. » Καὶ πάλιν, « Ἀνὴρ εὐμετάβολος γλώσσῃ, ἐμπεσεῖται εἰς κακά. » Ὁ δὲ Δαυὶδ ἀντιβολῶν φησιν πρὸς τὸν Θεὸν, « Μὴ ἐπιχαρῶσί μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως, οἱ μισοῦντές με δωρεάν· ἀλλ' αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. » Καὶ, « Ἀποστρέψῃς τὰ κακὰ τοῖς ἐχθροῖς μου. » Καὶ, « Ἐν τῇ ἀληθείᾳ σου » τουτέστιν, ἐν τῷ Χριστῷ, « ἐξολόθρευσον αὐτούς. » Καὶ, « Κύριος ἐμοὶ βοηθὸς, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου· ἐν τῷ Θεῷ γὰρ ποιήσομαι δύναμιν· καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν. » Ταῦτα δὲ περὶ τῶν νοητῶν ἐχθρῶν προσηύχετο, καὶ οὐχὶ περὶ ἀνθρώπων. Καὶ μάρτυς ἡ κατ' αὐτὸν ἱστορία. Τοῦ γὰρ Σαοὺλ ζητοῦντος τὴν ψυχὴν αὐτοῦ, καὶ διώκοντος αὐτὸν μετὰ τρισχιλίων ἀνδρῶν, καὶ παραδοθέντος εἰς τὰς χεῖρας αὐτοῦ ἅπαξ, καὶ δὶς, καὶ τῶν μετ' αὐτοῦ λεγόντων, « Ἰδοὺ ἡ ἡμέρα ᾗ Κύριος παρέδωκεν τὸν ἐχθρόν σου ἐν τῇ χειρί σου· » αὐτὸς ἀπελογεῖτο· « Ζῇ Κύριος, οὐ μὴ ἐπαγάγω τὴν χεῖρά μου ἐπὶ χριστὸν Κυρίου. » Καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ἐπένθει θανόντος αὐτοῦ. Καὶ ἐθανάτωσεν τὸν εὐαγγελισάμενον αὐτῷ τὴν σφαγὴν αὐτοῦ. Ὁμοίως πάλιν ἐπένθει καὶ περὶ τοῦ θανάτου Ἀβεσαλὼμ τοῦ ζητοῦντος αὐτὸν ἀποκτεῖναι. Σαφῶς οὖν ἀποδέδεικται διὰ τούτων, ὅτι οὐ πρὸς ἀνθρώπους ἦν αὐτῷ ἡ ἔχθρα, ἀλλὰ πρὸς τοὺς μισητοὺς δαίμονας. Καὶ ἡμεῖς οὖν τῷ πάντων Θεῷ ἀναθώμεθα, καὶ αὐτὸς σώζει ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, τῶν νοητῶν καὶ αἰσθητῶν, μάλιστα ἐὰν ἀκούσωμεν τοῦ Ἰακώβου, λέγοντος, « Μὴ στενάζετε, ἀδελφοί μου, κατ' ἀλλήλων, ἵνα μὴ κριθῆτε. » Καὶ αὐτοῦ τοῦ Κυρίου εἰρηκότος, « Ὑμῖν δὲ λέγω τοῖς ἀκούουσιν, Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

nihil obscuris argumentis declaratum istius inimicitias neutiquam in homines intentas fuisse, sed adversus dæmones odio omni dignissimos. Et nos igitur qui præ cæteris (vel ipso teste habitu) spirituales videmur, audiamus Jacobum dicentem: « Nolite ingemiscere in alterutrum, fratres mei, ut ne in judicium decidatis [17]. » Sed et ipse Dominus quid dixerit, attenta ac fideli aure percipiamus: « Vobis autem dico audientibus: Diligite inimicos vestros, benefacite his qui oderunt vos; orate pro his qui calumniantur et persequuntur vos [18]. » Ipsi gloria in sæcula. Amen.

[4] Prov. XXIV, 21. [5] Isa. I, 16, 17. [6] Prov. III, 30. [7] Prov. VIII, 13. [8] Prov. XIX, 28. [9] Psal. XXXIV, 19, 4. [10] Psal. LIII, 7. [11] Psal. CXVII, 7. [12] Psal. CVII, 14. [13] I Reg. XXVI, 23. [14] ibid. 11. [15] I Reg. I, 15, 17. [16] II Reg. XVIII, 33. [17] Jac. V, 12 [18] Matth. V, 44.

ΛΟΓΟΣ ΝΕ'.

Περὶ τοῦ μὴ φθονεῖν.

Ἡ ταπεινοφροσύνη ὑψιπετεῖ, καὶ ἀεροπόρον ἀποτελεῖ τὸν ἄνθρωπον. Ὅσον γάρ τις ἑαυτὸν ταπεινοῖ, πολλαπλασίως ὑψοῖ αὐτὸν ὁ Θεός· καθὼς καὶ ὁ τοῦ Θεοῦ συνόμιλος Μωϋσῆς ταπεινοφρονῶν, οὐκ ἀπεβάλλετο τὴν συμβουλίαν τοῦ γαμβροῦ αὐτοῦ Ἰώθωρ, καίτοι μετὰ τοσαύτας θεοφανίας, ἀλλ' ὅσα εἶπεν αὐτῷ, ἐποίησεν· διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσεν παρὰ πάντας τοὺς ἐπὶ γῆς. Ὁμοίως δὲ καὶ ὁ Γεδεὼν ἀπελογεῖτο μετρίῳ φρονήματι τῷ Ἐφραΐμ λέγων, « Τί ἐποίησα νῦν καθὼς ὑμεῖς ἐποιήσατε; ἢ οὐχὶ κρείττων ἐπιφυλλὶς Ἐφραΐμ, ἢ τρυγητὸς Ἀβιέζερ; ἐν χειρὶ ὑμῶν παρέδωκεν Κύριος τοὺς ἄρχοντας Μαδιάμ· καὶ τί ἠδυνήθην ποιῆσαι καθὼς ὑμεῖς; » Καίτοι γε αὐτῷ τὴν νίκην ἐδωρήσατο ὁ Θεὸς ἐν τοῖς τριακοσίοις ἀνδράσι. Ἀλλ' ὁ δίκαιος διὰ τῆς ταπεινοφροσύνης κατέσπασεν τὸν θυμὸν αὐτῶν. Καὶ πρὸ τούτου πρὸς τὸν ἄγγελον ἔλεγεν, Τίς εἰμι ἐγὼ, ἢ ὁ οἶκος τοῦ πατρός μου; ἡ χιλιάς μου ταπεινοτέρα ἐν Μανασσῇ. Λέγει δὲ καί τις σοφός· « Ὅσον μέγας εἶ, τοσοῦτον ταπεινοῦ σεαυτὸν, καὶ ἐναντι Κυρίου εὑρήσεις χάριν, » ὅτι πάντα τὰ ἔργα τοῦ ταπεινοῦ, φανερὰ παρὰ Κυρίου. Καὶ στόμα ταπεινοῦ μελετᾷ σοφίαν. Σύνεσις δὲ ἀγαθὴ, δίδωσι χάριν. Ὁ δὲ Ψαλμῳδός φησιν· « Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων, καὶ ἐξουδένωμα λαοῦ. » Καὶ πάλιν, « Ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, καὶ σὺ βοηθός μου κραταιός. » Ὁ ταπεινόφρων καὶ ἔργον ἔχων πνευματικὸν, ἀναγινώσκων τὰς θείας Γραφὰς, πάντα εἰς ἑαυτὸν νοεῖ, καὶ οὐκ εἰς τὸν ἕτερον. Ἐὰν οὖν θέλωμεν τῷ ὄντι εὐαρεστῆσαι Θεῷ, καὶ τὴν μακαριωτάτην φιλιωθῆναι φιλίαν, γυμνὸν τὸν νοῦν ἡμῶν παραστήσωμεν, μηδὲν ἐπισυρόμενον τοῦ παρόντος αἰῶνος, μή τινα τεχνάσματα, ἢ σοφίσματα, ἢ δικαιολογίαν· ἀποστρέφεται γὰρ τὸ θεῖον τοὺς μετὰ οἰηματικοῦ τοῦ τρόπου τούτου προσερχομένους αὐτῷ. Ἐὰν γὰρ θεοσεβὴς καὶ ταπεινόφρων ὑπάρχει τις, καὶ μὴ ὑπεραιρόμενος σωματικῷ ὄγκῳ, μήποτε προπετευόμενος, ἀλλὰ κατεαγμένος τῇ καρδίᾳ, καὶ λογιζόμενος ἑαυτὸν ἀχρεῖον δοῦλον εἶναι, τότε ἐπιβλέπει καὶ ἐνοικεῖ ἡ χάρις τοῦ Θεοῦ. Ἀληθινῆς γὰρ ταπεινοφροσύνης γνώρισμα, οὐ τὸ ἑαυτῷ καταχέειν ὕβρεις, ἀλλὰ τὸ παρὰ ἄλλων ὑβριζόμενον γενναίως φέρειν· καὶ οὐδεὶς ταπεινόφρων δικαιολογεῖται ποτε. Ὥσπερ οὖν καρπὸς πολὺς κάμπτει κλῶνας δένδρου, οὕτως ἀρετῆς πλῆθος ταπεινοῖ φρόνημα ἀνδρός. Καὶ ὥσπερ

HOMILIA LXX.

De modestia animi sive humilitate.

Modestia animi sese ultro dimittentis, sive humilitas, hominem altivolum efficit et aerivagum. Quanto enim quis se infra dejicit, tanto hunc sublimius subvehit Deus et allevat. Sic Moses, qui Deo tam familiariter congrediebatur. Hic tantus, de se cum modestissime sentiret, consilium neutiquam aversatus est sui soceri Jethro, tametsi tanta prius fuisset, nempe augustissima Dei visione perfruitus. Verum quæcunque ille suggessĕrat, hic effecit; eoque ipsum Deus præter cæteros omnes qui in terra morabantur, evexit in sublime [10]. Haud secus Gedeon respondebat tribui Ephraim, moderata usus et eo opportuniore prudentia dum dicit : « Quid feci nunc ut vos fecistis? Nunquid non melior est racemulus Ephraim quam vindemia Abiezer? In manibus vestris tradidit Dominus principes Madian. Ecquid tale facere potui, quale vos [11]? » Atqui huic Deus eam contulerat victoriam **1133** in trecentis viris. Cæterum justus hic modestia ac lenitate responsi excitatam iram repressit ac sedavit, quin prius aliquanto angelo respondit, Quis sum ego, aut quæ est domus patris mei? Millenarius meus abjectior est et humilior in Manasse [12]. Sapiens quidem dicit : « Quanto major es, tanto humilia teipsum, et coram Domino invenies gratiam [13]. » Nam opera omnia humiliantis se manifesta sunt et conspicua oculis Domini [14]. Os enim humile meditatur sapientiam [15]; intellectus autem bonus dat gratiam [16]. Ait item Psaltes regius : « Ego autem sum vermis et non homo, opprobrium hominum et abjectio plebis [17]. » Rursus : « Tanquam prodigium factus sum multis, et tu adjutor meus fortis [18]. » Qui de se moderate sentit et opus tractat spirituale, interim divinas dum legit Scripturas, quæcunque occurrunt, universa in seipsum tacita cogitatione reflectit, et non in alterum. Si cupimus Deo nostro magnopere esse gratiosi et amabiles, amicitiamque ejus felicissimam exosculari suavissime et amplecti : mentem illi nostram exhibeamus nudam et ab omni concretione materiæ defæcatam, quæ nihil sæculi istius alicunde ad se asciscat, nullas advocet molitiones fraudum, nihil commentitium aut sophisticum, non item causificationes sive disceptationes juris. Aversatur enim numen illud eos qui se adeunt superciliosa quadam freti persuasione. Contra si quis

[9] Eccl. xiv, 22. [10] Exod. xviii, passim. [11] Judic. viii, 2, 3. [12] Judic. vi, 15. [13] Eccli. iii, 20. [14] Psal. iv, 13. [15] Psal. xxxvi, 30. [16] Prov. xiii, 15. [17] Psal. xxi, 7. [18] Psal. lxx, 18.

Deicola ac pius de se alioqui quam abjectissime sentiens, neutiquam turgescens aut veluti extuberans inani fastu, nihil temere sibi ascribens meritorum tacita cogitatione, magis vero qui se inutilem esse servum deputet; hunc talem clementer respicit Dominus, ejusque inhabitat mentem gratia Dei. Verissimæ humilitatis insigne hoc est, nullas in quempiam intorquere contumelias, sed ab aliis in te contortas generose et infracto perferre animo. Siquidem nemo (modo is sit non fucate) humilis, qui causificetur aut partes unquam sustineat tuendi se. Ut enim arborum ramos exuberans copia fructuum deorsum versus inflectit, ita et accessio dives virtutum sensum hominis se possidentis demittit atque humiliat. Rursus, quemadmodum statumen aut vineæ pedamentum ramum communit ac gestitat fructuum ubertate prægnantem, ita timor Dei eum suffulcit, qui virtute adornat se. Beatus ille Paulus extenuans ac supprimens nostrum hunc fastum, per epistolam dicit : « Miser ego homo, quis me liberabit de corpore mortis hujus [19] ? » Iterum : « Ut purgamenta mundi facti sumus, omnium peripsema [20]. » Hæc porro verba in exemplum posita sunt insinuandæ humilitatis. Rursus : « Cognoscite gratiam Dei, quia propter nos dives cum esset, pauper factus est, ut nos illius paupertate divites essemus [21]. » Inducit : « Obsecro itaque vos ego vinctus in Domino, digne ut ambulemus vocatione qua vocati sumus, cum omni humilitate et mansuetudine, cum longanimitate supportantes invicem in charitate [22]. » Denique infert : « Postremo omnium tanquam abortivo visus est et mihi. **1134** Ego enim sum minimus apostolorum, qui non sum dignus vocari apostolus [23]. » Quisquis igitur studet indipisci virtutem humilitatis, quæ a solo Deo prærogatur, simulque declinare parentem vanitatis, Deo modis omnibus invisum tumorem superbiæ, ceu prius dictum mihi est, nihil omittat eorum quæ conducunt ad parandum humilitatis legitimam functionem, sed tali adsint habitus, pallium, incessus, sedile, alimonia, stratus, sermo, ipse corporis motus, aspectus, congressus cum proximo ac familiari colloquium, denique quæ ab illo cum labore fiunt, ad frugalitatem et parcimoniam spectent omnia. In primis suo de se judicio ne se totum permittat, memor sit Domini, qui nequaquam indignum duxit submittere se lavandis discipulorum pedibus, qui et dixit : « Exemplum enim dedi vobis, » nempe humilitatis, « ut quemadmodum feci vobis, et vos faciatis invicem [24]. » Si hæc scitis, beati eritis si feceritis ea. Ipsi gloria in sæcula. Amen.

A χάραξ βαστάζει κλῶνα κατάκαρπον, οὕτως φόβος Θεοῦ ἐνάρετον. Ὁ δὲ μακάριος Παῦλος καταστέλλων ἡμῶν τὸ φρόνημα, ἐπιστέλλει, λέγων· « Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου ; » καὶ πάλιν, « Ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα. » Ταῦτα δὲ τὰ ῥήματα, ταπεινοφροσύνης ὑπόδειγμα. Καὶ αὖθις· « Γινώσκετε γὰρ τὴν χάριν τοῦ Θεοῦ, ὅτι δι' ἡμᾶς ἐπτώχευσεν πλούσιος ὤν, ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε. » Καὶ ἐπάγει· « Παρακαλῶ οὖν ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἧς ἐκλήθητε μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος, μετὰ μακροθυμίας ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ. » Καὶ ἐπιφέρει, « Τὸ ὕστερον πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη κάμοί. Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος πάντων τῶν ἀποστόλων. Ὃς οὐκ εἰμὶ ἄξιος κληθῆναι ἀπόστολος, » [διότι ἐδίωξα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ.] Ὁ οὖν βουλόμενος κτήσασθαι τὴν θεοδώρητον ταύτην ἀρετὴν τῆς ταπεινοφροσύνης, καὶ φυγεῖν, καθὼς προείρηται, τὸν μάταιον καὶ θεοστύγητον ὄγκον τῆς ὑπερηφανίας, μηδὲν παραλειπέτω τῶν συντελούντων εἰς τὴν κατόρθωσιν αὐτῆς, ἀλλ' ἔστω αὐτῷ καὶ σχῆμα, καὶ ἱμάτιον, καὶ βάδισμα, καὶ καθέδρα, καὶ τροφή, καὶ στρωμνή, καὶ λόγος, καὶ κίνησις, καὶ βλέμμα, καὶ ἡ πρὸς τὸν πλησίον ἔντευξις, πάντα πρὸς εὐτέλειαν ἠσκημένα. Πρὸ πάντων δὲ ἐν μηδενὶ πιστευέτω ἑαυτῷ, ἀλλ' ὑποτασσέσθω τῷ πλησίον, καὶ δουλευέτω αὐτῷ, μεμνημένος τοῦ Κυρίου, μὴ ἀπαξιώσαντος νίψαι τοὺς πόδας τῶν ἑαυτοῦ μαθητῶν· καὶ εἰρηκότος· « Ὑπόδειγμα γὰρ ὑμῖν δέδωκα » τῆς ταπεινοφροσύνης, « ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε ἀλλήλοις. » Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας Ἀμήν.

B

C

HOMILIA LXXI.

De eo quod proximo condonandum sit.

Ut proximo ignoscas in plenitudine cordis, Dominicum urget te mandatum, universo hominum generi apprime salutiferum. Domini autem mandatum æterna est vita. Itaque condonando proximis, veniam ipsi impetramus. Sin remittemus ex animo, nostra ipsorum peccata per hoc quasi quopiam signaculo insignimus, ne veniam promereamur. Quis igitur (sapiens modo sit) qui cum magnopere cupiat suorum nec ulli numerandorum de-

D

ΛΟΓΟΣ ΟΑ'.

Περὶ τοῦ συγχωρεῖν τῷ πλησίον.

Τὸ συγχωρεῖν τῷ πλησίον ἀπὸ καρδίας, Δεσποτική ἐντολή ἐστιν, καὶ σωτήριος πᾶσιν ἀνθρώποις. Ἡ γὰρ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν. Ἐὰν οὖν συγχωροῦμεν, συγχωρούμεθα· ἐὰν δὲ μή, ἐπισφραγίζομεν τὰς ἑαυτῶν ἁμαρτίας. Τίς οὖν σοφός, ὁ θέλων τυχεῖν τῆς ἀφέσεως τῶν ἀναριθμήτων αὐτοῦ πλημμελημάτων, μὴ μετὰ χαρᾶς ἀφήσει τῷ πλησίον αὐτοῦ τὰ ἐλάχιστα ἐλαττώματα; Οὐ μόνον δὲ ὁ Κύριος τοῦτο ἐντέλλεται ἡμῖν ποιεῖν, ἀλλὰ καὶ ἔργῳ ἡμῖν

[19] Rom. VII, 24. [20] I Cor. IV, 13. [21] II Cor. VIII, 9. [22] Ephes. IV, 1, 2. [23] I Cor. XV, 8, 9. [24] Joan. XIII, 15.

ὑπέδειξεν πῶς δεῖ αὐτὴν ἐκτελεῖν. Ἐν γὰρ τῷ σταυρῷ ὢν παρεκάλει ὑπὲρ τῶν εἰς αὐτὸν ἀνομησάντων, τὸν ἑαυτοῦ Πατέρα, λέγων· « Πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασιν τί ποιοῦσιν. » Ἰδοὺ ὁ εὔσπλαγχνος, καὶ ὑπεράγαθος ὑπεραπολογεῖται ὑπὲρ αὐτῶν, λέγων· « Οὐ γὰρ οἴδασιν τί ποιοῦσιν. » Καὶ πρὸ τούτου δὲ τῶν μαθητῶν ἀγανακτούντων κατά τινων Σαμαρειτῶν μὴ δεξαμένων αὐτοὺς, καὶ αἰτούντων θεηλάτῳ πυρὶ ἀναλωθῆναι αὐτοὺς, ἐπετίμησεν αὐτοῖς, λέγων, « Οὐκ οἴδατε ποίου πνεύματός ἐστε. » Τουτέστιν, τοῦ πράου, καὶ ἀγαθοῦ. Τὸ αὐτὸ δὲ καὶ διὰ τῶν προφητῶν ἐκδιδάσκει ἡμᾶς. Φησὶν ὁ Ζαχαρίας, « Κρῖμα δίκαιον κρίνατε, καὶ ἔλεος καὶ οἰκτιρμὸν ποιεῖτε ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ. » Καὶ ὁ Παῦλός φησιν, « Γίνεσθε οὖν εἰς ἀλλήλους χρηστοὶ, εὔσπλαγχνοι, μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητὰ, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν. » Ὁ δὲ προφήτης Ἀβδιοὺ, « Ὃν τρόπον πεποίηκας, ἔσται σοι οὕτως· καὶ τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεταί σοι εἰς κεφαλήν σου. » Ὀφείλομεν οὖν συμπάσχειν καὶ συγχωρεῖν ἀλλήλοις, ὅτι ἓν σῶμά ἐσμεν καὶ ἀλλήλων μέλη, καὶ τὸ αὐτὸ ὀφείλομεν ὑπὲρ ἀλλήλων φρονεῖν· φοβούμενοι καὶ τὴν αὐτοῦ τοῦ Κυρίου φοβερὰν ἀπόφασιν, καὶ ἀπὸ καρδίας συγχωρήσωμεν ἀλλήλοις. Εἶπεν γὰρ, ὅτι Οὕτως ποιήσει ὑμῖν ὁ Πατήρ μου ὁ οὐράνιος, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν. « Δοῦλε γὰρ, φησὶν, πονηρὲ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με, οὐκ ἔδει καὶ σὲ, ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς κἀγώ σε ἠλέησα; καὶ ὀργισθεὶς παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον. » Καὶ τῷ Πέτρῳ δὲ ἐρωτήσαντι, « Ποσάκις ἀφήσω τῷ ἀδελφῷ μου ἐὰν ἁμαρτήσει εἰς ἐμέ; ἕως ἑπτάκις; » ἀπεκρίνατο αὐτῷ ὁ Κύριος, « Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά. » Διὰ τοῦτο ἐπάγει, « Ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν. » Καὶ ἐὰν ἁμαρτήσει εἰς σὲ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ. Καὶ ἐὰν μετανοήσει, ἄφες αὐτῷ· καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμαρτήσει εἰς σὲ, καὶ ἑπτάκις τῆς ἡμέρας ἐπιστρέψῃ πρὸς σὲ, λέγων, Μετανοῶ, ἄφες αὐτῷ. Αὐτῷ ἡ δόξα τῷ εὐσπλάγχνῳ καὶ φιλανθρώπῳ Χριστῷ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A lictorum perfrui absolutione, non cum ingenti gaudio festinet proximo condonare minutissimos quosque defectus? Jam hoc a nobis ut fiat, non ore solum præscripsit Dominus, sed et opere ipso præmonstravit, quo pacto expleri debeat. Patrem enim suum cruci confixus interpellabat, ipsis apprecatus veniam qui se extreme et iniquissime divexabant : « Pater, ait, dimitte illis, non enim sciunt quid faciunt [25]. » Quin et aliquanto prius, cum dequererentur discipuli adversus quosdam Samaritas, ut qui hos detrectarant excipere hospitio, rogarent proinde, sic inclementes igne cœlitus misso consumi, quid respondit Dominus? Utique eos increpuit : « Nescitis, inquit, cujus spiritus estis [26]; » nimirum mansueti, clementis et benigni. Hoc ipsum B nos propheticis oraculis edocuit Dominus; ait enim Zacharias : « Judicium justum judicate, misericordiam et miserationem facite unusquisque cum proximo suo [27]. » Sed et Paulus : « Estote igitur invicem benigni, misericordes, imitatores Dei, sicut filii charissimi, donantes vobismetipsis sicut et Deus donavit vobis [28]. » Abdias item propheta : « Quemadmodum **1135** fecisti, fiet tibi; retributio tua retribuetur in caput tuum [29]. » Debemus sane alienis indolescere malis, nec gravatim mutuas donare offensas; sumus enim unum corpus, et alteri aliorum membra. Debemus insuper idipsum inter nos atque idem sapere : perculsi terrore formidabilis sententiæ Domini, ex corde invicem remittamus offensas. Dixit enim, quia sic C faciet vobiscum Pater meus cœlestis, si non dimiseritis unusquisque fratri suo de cordibus vestris peccata ipsorum. « Serve, ait, nequam, omne illud debitum dimisi tibi, quia rogasti me; nonne oportebat et te misereri conservo tuo, sicut et ego tui misertus sum : et iratus tradidit eum tortoribus, quousque redderet omne debitum [30]. » Quin Petro roganti : « Quoties dimittam fratri meo, si peccaverit in me? usque septies? » Respondit Dominus : « Non dico usque septies, sed usque septuagies septies : » eoque subjecit : « Dimittite et dimittetur vobis [31]. » Quod si peccaverit in te frater tuus, corripe eum; si resipuerit per pœnitentiam, dimitte ei, si septies etiamnum in die ad te reversus fuerit, dicens : Me pœnitet; dimitte ei. Deum nostrum addecet gloria in sæcula sæculorum. Amen.

ΛΟΓΟΣ ΟΒ'.

Περὶ τοῦ εὔχεσθαι ὑπὲρ ἀλλήλων, καὶ τῶν ἐχθρῶν.

Καλὸν, ἀγαπητοὶ, τὸ διὰ πασῶν ὁδεύειν τῶν ἐντολῶν τοῦ Χριστοῦ· ἐπειδὴ ἑτέρα τῆς ἑτέρας ἔχεται ὡς ἐπὶ ἁλύσιος χρυσῆς. « Πίστει γὰρ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ, ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. » Δεῖ οὖν τὸν ἀληθινῶς θέλοντα μαθητεῦσαι τῷ Χριστῷ, καὶ ἐκκαιόμενον τῷ πυρὶ τῆς ἀγαπήσεως αὐτοῦ μηδεμίαν παρελθεῖν ἐντολὴν αὐτοῦ, εἰ καὶ

D

HOMILIA LXXII.

Quod pro invicem orandum sit, et quamlibet inimicis.

Præclare nobiscum agetur, fratres, si per omnia ingrediemur ad præscriptam nobis a Christo formulam mandatorum : quandoquidem sic alterum alteri cohærescit et innectitur, quasi annuli aureæ cujuspiam catenulæ conserti inter se et implexi : « Fidelia enim omnia mandata ejus confirmata in sæculum sæculi [32]. » Prorsus necesse sit eum qui

[25] Luc. XXIII, 34. [26] Luc. IX, 55. [27] Zach. VII, 9. [28] Ephes. IV, 32. [29] Abd. 15. [30] Matth. XVIII, 32, 33. [31] ibid. [32] Psal. CX, 8.

velit verus esse Christi discipulus, tanto erga Christum succendi charitatis ardore, ut ne ullum quidem mandatorum ipsius prætergrediatur, tametsi id exigui momenti aut grave esse videatur. Ipse enim dixit : « Si diligitis me, mandata mea servate [33]. » Rursus : « Amen dico vobis, nisi abundaverit justitia vestra plusquam Scribarum et Pharisæorum, nunquam intrabitis in regnum cœlorum [34]. » Et quidem, dilectissimi, hesterna collatione edisseruimus vobis quam sit necesse ut animo ignoscamus proximis; hodie vero non id suggerimus solum charitati vestræ, ut condonetis offensas : quin et hortamur, ut pro illis quoque preces effundatis. Jam quando Dominus ipse ac nostræ assertor salutis utraque hæc observari oportere sanxit, nemo in posterum censeat gravia esse mandata ejus. « Jugum enim meum suave est, inquit, et onus meum leve [35]. » Non abludit a sententia Domini Apostolus : « Diligentibus Deum omnia cooperantur in bonum [36]. » **1136** Ad eum modum invenire liceat in divinis Scripturis, mandatum hoc opere implesse sanctos omnes, veritis multo absoluisse omnia. Et quidem propheta ille Samuel populo respondit : « Absit hoc a me ut recedam a Domino, ut cessem clamare, ut desinam orare pro vobis ad Dominum [37]. » Rursus idem : « Absit hoc a me, ut peccem in Domino, ut cessem orare pro vobis [38]. » Ut hunc admirabilem e pristinæ dignitatis gradu dejecerint Judæi, imo exinaniverint, petito super se rege, nulli arbitror non perspicuum. Sed et Jeremias insignis etiamnum propheta, per Judæorum ingratitudinem tanta passus, pro eisdem nullo non tempore precabatur. Id verum esse liquido colligitur per ea quæ illi dicebat Deus : «Et tu ne ores pro eis, neque enim exaudiam te [39].» Ad eumdem modum Moses dicebat Deo : « Si quidem dimittis eis peccatum, dimitte; quod si non, dele me de libro tuo [40]. » Et hoc sane non illi modo faciebant qui sub Veteris Testamenti vivebant jugo, sed et qui sub gratia Novæ legis. Beatus Jacobus Domini frater, angelicam vitam in terris cum vixisset, omnium suffragiis dici promeruit, justus : nimirum per conversationem sanctioris vitæ. Hic talis munimentum erat populi. Festus igitur dies Paschæ cum illuxisset, inque templum multæ convenissent myriades Judæorum, et hunc beatum in pinnaculum templi extulissent, Juste, te obsecramus, aiunt, ut dicas populo ne in posterum exerret post eum qui dicitur Jesus; tibi enim omnes nos fidem habemus. Respondit beatus : « Quid me interrogatis de Filio hominis? en ipse sedet ad dexteram Dei in excelsis? » Exleges illi et iniqui pontifices ac Pharisæi acclamarunt : O o, etiam justus hic in errorem prolapsus est. Et dixerunt ad invicem : Male fecimus, talem testem produximus qui secundum se testimonium ferret pro Jesu : ipso

βραχεῖά τις, ἢ βαρεῖα δοκεῖ εἶναι. Αὐτὸς γὰρ εἶπεν, « Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσατε. » Καὶ αὖθις, « Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη, πλέον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Χθὲς οὖν, ἀγαπητοί, περὶ τοῦ ἀφῆσαι τῷ πλησίῳ διελέχθημεν· σήμερον οὐ μόνον τοῦ ἀφῆσαι, ἀλλὰ καὶ εὔχεσθαι ὑπὲρ αὐτῶν ὑμᾶς ὑπομιμνήσκομεν, ἤγουν παρακαλοῦμεν, ἐπειδὴ ἀμφότερα ὁ Δεσπότης ἡμῶν καὶ Σωτὴρ ἐντέλλεται. Μηδεὶς οὖν βαρείας ἡγείσθω τὰς ἐντολὰς αὐτοῦ. « Ὁ γὰρ ζυγός μου, φησὶν, χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν. » Καὶ ὁ Ἀπόστολος, « Τοῖς ἀγαπῶσιν τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν. » Καθὼς καὶ ἐν ταῖς θείαις Γραφαῖς εὑρίσκομεν πάντας τοὺς ἁγίους, ἔργῳ ἐκτελέσαντας τὴν ἐντολὴν ταύτην, μᾶλλον δὲ καὶ πάσας. Φησὶν γοῦν ὁ προφήτης Σαμουὴλ πρὸς τὸν λαόν· « Μή μοι γένοιτο ἀποστῆναι ἀπὸ Κυρίου, τοῦ μὴ βοᾶν ὑπὲρ ὑμῶν προσευχόμενον. » Καὶ πάλιν, « Ἐμοὶ μὴ γένοιτο τοῦ ἁμαρτεῖν τῷ Κυρίῳ, τοῦ διαλείπειν προσευχόμενον ὑπὲρ ὑμῶν. » Ὅπως δὲ ἀπώσαντο καὶ αὐτοὶ, καὶ ἐξουδένωσαν, αἰτήσαντες βασιλέα, πᾶσιν πρόδηλόν ἐστιν. Καὶ ὁ Ἱερεμίας δὲ ὁ προφήτης ὁ τοσαῦτα κακὰ ὑπομείνας παρ' αὐτῶν, πάντοτε προσηύχετο ὑπὲρ αὐτῶν. Καὶ δῆλον ἐξ ὧν πρὸς αὐτὸν ἔλεγεν ὁ Θεός· « Καὶ σὺ μὴ ἄξιοῦ περὶ αὐτῶν, ὅτι οὐκ εἰσακούσομαί σου. » Ὡσαύτως καὶ ὁ Μωϋσῆς ἔλεγεν πρὸς τὸν Θεόν· « Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, ἐξάλειψον κἀμὲ τῆς βίβλου σου. » Οὐ μόνον δὲ οἱ ἐν τῇ Παλαιᾷ τοῦτο ἐποίουν, ἀλλὰ καὶ οἱ ἐν τῇ Νέᾳ. Ὁ οὖν μακάριος Ἰάκωβος, ὁ ἀδελφὸς τοῦ Κυρίου, ἀγγελικὸν βίον ζήσας ἐπὶ τῆς γῆς, ἠκουσεν παρὰ πάντων δίκαιος, ἤγουν ὀβλίας, ὅ ἐστιν περιωχὴ τοῦ λαοῦ. Ἑορτῆς οὖν οὔσης τοῦ Πάσχα, καὶ πολλῶν μυριάδων συνελθόντων ἐν τῷ ναῷ Ἰουδαίων, ἀνενέγκαντες αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, εἶπον, Ἀξιοῦμέν σε, δίκαιε, εἰπεῖν τῷ λαῷ ὅπως μὴ πλανᾶται ὀπίσω τοῦ λεγομένου Ἰησοῦ, σοὶ γὰρ πάντες πειθόμεθα· Ὁ δὲ ἀποκριθεὶς εἶπεν, « Τί με ἐρωτᾶτε περὶ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, Καὶ αὐτὸς κάθηται ἐν δεξιᾷ τοῦ Θεοῦ ἐν ὑψηλοῖς; » Οἱ δὲ παράνομοι ἀρχιερεῖς καὶ Φαρισαῖοι ἔκραξαν, Ὦ, ὦ, καὶ ὁ δίκαιος ἐπλανήθη. Καὶ εἶπαν πρὸς ἀλλήλους, Κακῶς ἐποιήσαμεν τοιαύτην μαρτυρίαν καθ' ἑαυτῶν ὑπὲρ τοῦ Ἰησοῦ παραγαγόντες. Πολλοὶ γοῦν ἐκ τοῦ λαοῦ ἀκούσαντες αὐτοῦ, ἐπίστευσαν. Οἱ δὲ λοιποὶ ἀνελθόντες, κατέβαλον αὐτὸν ἄνωθεν κάτω· ὁ δὲ πεσὼν ἐπὶ γόνατα, οὐ παραχρῆμα ἀπέθανεν, ἀλλ' ὑπὲρ αὐτῶν προσηύχετο· καὶ ἐγγίσας τις τῶν υἱῶν Ῥαχαβὶ, ἤκουσεν αὐτοῦ· καὶ λέγει αὐτοῖς· « Τί ποιεῖτε; ὁ δίκαιος ὑπὲρ ὑμῶν προσεύχεται. » Τότε δραμών τι κναφεὺς ἔδωκεν αὐτῷ εἰς τὸ κρανίον, μετὰ τοῦ ξύλου, ἐν ᾧ τὰ ἱμάτια ἀποπιέζουσιν, καὶ ἐθανάτωσαν αὐτόν. Ὡσαύτως δὲ καὶ ὁ μακάριος Στέφανος ἑστὼς ἐν μέσῳ τῶν παρανόμων, ἔκραξεν, « Ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς

[33] Joan. XIV, 15. [34] Matth. V, 20. [35] Matth. XI, 30. [36] Rom. VIII, 28. [37] I Reg. VII, 8. [38] I Reg. XII, 23. [39] Jer. XI, 11. [40] Exod. XXXII, 32.

ἀνεψγμένους, καὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ. » Συναρπάσαντες δὲ αὐτὸν, ἐξέβαλον ἔξω τῆς πόλεως, καὶ ἐλιθοβόλουν αὐτὸν, ἐπικαλούμενον καὶ λέγοντα, « Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. » Ἰδοὺ τοίνυν βλέπομεν τοὺς ἁγίους ὅτι ἕως θανάτου ὑπερηύχοντο τῶν ἐχθρῶν αὐτῶν. Καὶ γὰρ ἀδικούντων ἀνθρώπων ὁ ὑπερευχόμενος καταράσσει μὲν δαίμονας, αὐτὸς δὲ βασιλείας οὐρανῶν ἀποδείκνυται κληρονόμος. Παρακελεύεται δὲ καὶ ὁ Ἀπόστολος, ὑπὲρ πάντων ἀνθρώπων προσεύχεσθαι. Τὸ δὲ εὔχεσθαι ὑπὲρ πάντων σημαίνει, ὅτι οὐ μόνον ὑπὲρ τῶν φίλων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐχθρῶν δεῖ προσεύχεσθαι. Ἐὰν οὖν βουλώμεθα μιμηταὶ τῶν ἁγίων καὶ μαθηταὶ γνήσιοι τοῦ Κυρίου ἀναδειχθῆναι, χρεωστοῦμεν καὶ ἡμεῖς, οὐ μόνον ὑπὲρ τῶν φίλων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐχθρῶν προσεύχεσθαι, καθὼς καὶ αὐτὸς ἔργῳ ἡμῖν τοῦτο ὑπέδειξεν, ἐν μὲν τῷ σταυρῷ ὑπὲρ τῶν σταυρούντων αὐτὸν, παρακαλῶν τὸν ἑαυτοῦ Πατέρα· πρὸ δὲ τοῦ σταυροῦ ἐν τῷ μυστικῷ δείπνῳ ὑπὲρ τῶν ἑαυτοῦ φίλων καὶ μαθητῶν. « Ὑμεῖς γὰρ φίλοι μου ἐστὲ, » φησίν. Καὶ, « Οὐκ ἔτι λέγω ὑμᾶς δούλους. » Ἠξίου λέγων, « Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι. » Καὶ αὖθις, « Οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἀπὸ τοῦ πονηροῦ. Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου· ὁ λόγος ὁ σὸς, ἀλήθειά ἐστιν. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A enim audito non pauci ex plebe crediderunt. Cæteri qui cum eo ascenderant, e sublimi præcipitarunt sanctum : qui cum in genua recidisset, nec statim oppetiisset mortem, sed oraret pro ipsis, unus filiorum Rhecam propius cum se illi admovisset, audivit orantem et dixit : « Quid facitis? en quoque pro vobis justus orat. » Tunc unus quispiam arte fullo, cum accurrisset, lignum intorsit in calvariam ejus, quo quidem opifices illi sordidas vestes exprimunt, vitamque illi ademit. Similem in modum beatus Stephanus in medio consistens iniquorum, exclamavit : « Ecce video cœlos apertos et Filium Dei stantem a dextris ipsius [61]. » Cumque rapuissent eum, ejecerunt extra civitatem, et lapidabant invocantem et dicentem : « Domine, ne statuas illis hoc peccatum. » Ecce igitur ipsi perspicimus pro suis etiamnum inimicis orasse adusque mortem sanctos. **1137** Jure quidem : nam qui pro se afficientibus injuria quapiam effundit precem, illidit quidem et deturbat dæmones; se autem hoc ipso opere declarat hæredem esse regni cœlorum. Admonet præterea Apostolus, ut pro hominum oremus genere, utique cum ait : « Pro omnibus [62] : » per hoc indicat, nos non pro amicis solum, sed et pro inimicis oportere orare. Itaque si Domini imitatores videri velimus, necesse sit non pro amicis solum ut oremus, sed et pro inimicis, provocati Domini exemplo. Ipse enim opere docuit facere hoc nos oportere. Siquidem a cruce dum penderet, Patrem interpellavit pro se crucifigentibus; pro amicis item antequam in crucem subrigeretur, proque discipulis in mystico illo convivio orasse legitur. « Vos enim amici mihi estis [63] » ait. Et : « Jam non dico vos servos [64]. » Orabat tum dicens : « Pater sancte, serva eos in nomine tuo quos dedisti mihi [65].» Rursus : « Non rogo ut tollas eos de mundo, sed ut serves eos a malo, sanctifica eos in veritate tua, sermo tuus veritas est [66]. » Ipsi gloria in sæcula. Amen.

B

C

ΛΟΓΟΣ ΟΓ'.

Περὶ τοῦ μὴ ζητεῖν τὰ ἑαυτοῦ.

Ὥσπερ χρεωστοῦμεν ἐκ τῆς ἐντολῆς τοῦ Θεοῦ τὸ συγχωρεῖν, καὶ ε�ύχεσθαι ὑπὲρ ἀλλήλων, οὕτως ὀφείλομεν, καὶ τὸ μὴ ζητεῖν τὰ ἑαυτῶν, ἀλλὰ καὶ τὰ τῶν ὁμοσώμων ἀδελφῶν· ἵνα μὴ παρέχωμεν ἑαυτοῖς βλάβης ἀφορμήν. Λέγει γὰρ ὁ Θεὸς τῷ Μωϋσῇ, « Λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου· » τουτέστιν, Λῦσόν σου τὸ δικαίωμα, τὸ σαρκικὸν φρόνημα τοῦ ἰδίου θελήματος· « Ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας, γῆ ἁγία ἐστίν· » ἣν κληρονομοῦσιν πραεῖς. Καὶ ἡμεῖς οὖν κόψωμεν τὰ θελήματα ἡμῶν τὰ σαρκικὰ, καὶ τῷ τοῦ Θεοῦ κατάσχωμεν, ἵνα μὴ ἐγκληθῶμεν ὑπ' αὐτοῦ διὰ Ἱερεμίου λέγοντος, « Ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος. » Καὶ, « Ἐπορεύθησαν τοῖς θελήμασιν αὐτῶν τοῖς κακοῖς. » Πρόσχωμεν οὖν ἀσφαλῶς, μήποτε ποτίσωμεν τοὺς ἀδελφοὺς ἡμῶν ἀνατροπὴν θολερὰν, δι' οἱουδήποτε σκανδάλου. Εἰ γὰρ διὰ βρῶμα, φησὶν, ὁ ἀδελφός σου λυπεῖται, ἢ σκανδαλίζεται, ἢ ἀσθενεῖ, ἢ προσκόπτει, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς· « Μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν. » Οὕτως δὲ

HOMILIA LXXIII.

De non quærendo quæ sua sunt.

Quemadmodum Dominico mandato urgemur et mutuas donare offensas et pro invicem orare, ita nec debemus quæ nostra ipsorum sunt, quærere cupidius, sed quæ fratrum qui ejusdem sunt membra corporis, ut ne nostro vitio ullam adeant occasionem noxæ aut detrimenti. Dixit enim Deus Moysi : « Solve calceamentum pedum tuorum [67] : » hoc est, solve justificationem tuam, carnalem istam prudentiam ac fastum propriæ voluntatis. » Locus enim in quo tu stas, terra sancta est [68], » quam utique sortito hæreditant mansueti. Nos itaque carnalis istius voluntatis nostræ præcidamus præputium, eam explentes quæ Dei est : ne ab eo excidamus qui per Jeremiam dicit : « Me dereliquerunt fontem aquæ viventis [69]. » Et : « Ambulaverunt post voluntates suas malas [70]. » Magna nobis cautione providendum, ne fratres nostros exsatiemus poculo turbulentæ subversionis, nempe scandali. Si enim propter cibum, ait Paulus, frater tuus contristatur, aut infirmatur, aut offendit,

[61] Act. VII, 55. [62] I Tim. II, 8. [63] Joan. XV, 14. [64] ibid. 15. [65] Joan. XVII, 11. [66] ibid. 15-17. [67] Exod. III, 5. [68] ibid. [69] Jer. II, 13. [70] ibid. 5.

non jam secundum charitatem ambulas : « Noli cibo tuo illum perdere, pro quo Christus mortuus est [51]; » sic autem peccantes in conscientiam infirmam, in Christum peccamus. Ideoque si esca scandalizat fratrem meum, **1138** dicamus et nos qui religiosi sumus : Non manducabo carnes in æternum, ut ne fratrem meum scandalizem. Hæc nihil obscure faciebat, fratres mei, beatus ille fidelis prorsus, Dei et Christi ejus amantissimus, idemque salutis proximorum cupientissimus. Hic ne quis improbo suo exemplo scandalizaretur, irreprehensibilem se per omnia exhibebat, mortem denique oppetivit. Itaque, fratres, in omnibus voluntati nostræ injiciamus frenum, proximi causa eam præcidentes : ut ne auctores ullius simus scandali aut subversionis audientibus, atque vitæ istius nostræ institutum explorantibus. Ille perquam beatus qui pietatis tuendæ gratia cuncta veretur ac timet. Scriptura namque habet ac beatus Paulus : « Nemo quærat quæ sua sunt, sed quæ proximi [52]. »—« Irreprehensibiles estote, ait, et Judæis et Græcis et Ecclesiæ Dei ; quemadmodum et ego omnibus per omnia placeo, non quærens quod mihi ipsi utile est, sed quæ multorum, ut salvi fiant [53]. » Et rursus : « Charitas non quærit quæ sua ipsius sunt, non irritatur, omnia suffert, omnia sustinet [54]. » Sed et is infert : « Debemus autem nos qui potentes sumus, infirmitates impotentium sustinere, et non nobismetipsis placere; etenim ipse Christus non sibi ipsi placuit [55]. » Iterum : « Quis infirmatur, et ego non infirmor? quis scandalizatur et ego non uror [56]? » Sed et Dominus : « Meus cibus est ut faciam voluntatem ejus qui misit me, Patris, et perficiam opus ejus [57]. » Voluntas autem ipsius est, ut salvem omnem hominem. Rursus : « Descendi de cœlo, non ut faciam voluntatem meam, sed voluntatem ejus qui misit me, Patris [58]. » Ipsi gloria in sæcula sæculorum. Amen.

A καὶ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνομεν. Διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν σου, εἴπωμεν καὶ ἡμεῖς οἱ εὐλαβεῖς· Οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω· ταῦτα δὲ λέγει, ἤγουν ποιεῖ, ὁ ὄντως πιστὸς, καὶ φιλόθεος, καὶ φιλόχριστος, καὶ φιλοπλούσιος, ὁ κατὰ πάντα ἀπρόσκοπον ἑαυτὸν τηρῶν, ἵνα μὴ δι' αὐτοῦ τις σκανδαλισθεὶς ἀποθάνῃ. Κόψωμεν οὖν, ἀδελφοὶ, τὰ θελήματα ἡμῶν, τῷ πλησίον ἡμῶν ἐν πᾶσι, ἵνα μὴ γενώμεθα αἴτιοι σκανδάλων, καὶ καταστροφῆς τοῖς ἀκούουσιν, καὶ βλέπουσιν τὴν διαγωγὴν ἡμῶν. Μακάριος ὃς καταπτήσσει πόντα δι' εὐλάβειαν. Γράφει δὲ καὶ ὁ μακάριος Παῦλος, «Μηδεὶς τὰ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὰ τοῦ πλησίον ἕκαστος. »—« Ἀπρόσκοποι γίνεσθε, φησὶ, καὶ Ἰουδαίοις, καὶ Ἕλλησιν, καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ· καθὼς κἀγὼ παντάπασιν ἀρέσκω, οὐ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν. » Καὶ πάλιν, « Ἡ ἀγάπη οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, πάντα στέγει, πάντα ὑπομένει. » Καὶ ἐπιφέρει· « Ὀφείλομεν δὲ καὶ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν. Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν. » Καὶ πάλιν, « Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι ; » Καὶ ὁ Κύριός φησιν, « Ἐμὸν βρῶμά ἐστιν ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με Πατρὸς, καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. » Θέλημα δὲ τοῦ Πατρὸς αὐτοῦ ἐστιν τὸ σωθῆναι πάντα ἄνθρωπον. Καὶ πάλιν, « Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

B

C

HOMILIA LXXIV.

De non concupiscendo.

Scriptum est : « Quicunque Spiritu Dei aguntur, hi filii sunt Dei [59] : » Quod si filii Dei filias diligunt hominum, hoc est, humani favoris vel existimationis ducuntur affectibus : cui obscurum sit, talium commistura gigni in posterum gigantes initio statim conditi orbis celebres opinione atque famosos? hoc est, e quibus germen emersit gloriæ inanis, nempe superbia, elatio, inflatio sive fastus, arrogantia sive immodica existimatio sui, jactantia sive gloriatio. A sæculo enim emersit superbia, ac cæteri vitiosi affectus ex ipsa enati sunt. Sed quid Deus? « Non permanebit Spiritus meus in hominibus his in æternum [60] ; » quia carnales sunt per pravæ concupiscentiæ corruptelam, quemadmodum et Paulus Galatas coarguens, dicit : « Cum spiritu cœperitis, nunc carne consummamini [61]. »Egregium sane fuerit, si quidem ab ejusmodi quæ in mundo sunt, concupiscentiis excidemur. Talis enim

ΛΟΓΟΣ ΟΑ'.

Περὶ τοῦ μὴ ἐπιθυμεῖν.

Γέγραπται, « Ὅσοι Πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ. » Ἐὰν οὖν υἱοὶ τοῦ Θεοῦ ἀγαπήσωσιν τὰς θυγατέρας τῶν ἀνθρώπων, τουτέστιν, δόξας ἀνθρωπίνας, ἐκ τούτων λοιπὸν γεννῶνται γίγαντες, D οἱ ἀπ' αἰῶνος ὀνομαστοί· τουτέστιν, ἐκ τῆς τοιαύτης δόξης γεννᾶται ὑπερηφανία, ἔπαρσις, φυσίωσις, οἴησις, ὕψος, ἀλαζονεία· ἀπ' αἰῶνος γὰρ ἡ ὑπερηφανία καὶ τὰ λοιπὰ πάθη. Καὶ λέγει ὁ Θεὸς, « Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, εἰς τὸν αἰῶνα, » διὰ τὸ εἶναι αὐτοὺς σαρκικοὺς τῶν κακῶν ἐπιθυμιῶν. Καθὼς καὶ ὁ Παῦλος λέγει, μεμφόμενος Γαλάτας· « Πνεύματι ἀρξάμενοι, νῦν σαρκὶ ἐπιτελεῖσθε. Καλὸν οὖν ἐστιν τὸ ἀνακόπτεσθαι ἀπὸ τῶν ἐπιθυμιῶν τῶν ἐν τῷ κόσμῳ, ὅτι πᾶσα ἐπιθυμία κατὰ τοῦ πνεύματος στρατεύεται· ἡ γὰρ φιλήδονος καρδία εἰρκτὴ, καὶ ἄλυσις τῇ ψυχῇ ἐν καιρῷ ἐξόδου γίνεται· ἡ δὲ φιλόπονος, θύρα ἐστὶν ἀνεῳγμένη. Τὸ γὰρ τῆς ἐπιθυμίας πάθος, βλάστη μα

[51] Rom. XIV, 15. [52] I Cor. X, 24. [53] ibid. 33. [54] I Cor. XIII, 5, 7 [55] Rom. XV, 1, 3. [56] II Cor. XI, 29. [57] Joan. IV, 34. [58] Joan. VI, 38. [59] Rom. VIII, 14. [60] Gen. VI, 3. [61] Galat. III, 3.

τῆς ἀργίας ὑπάρχει. Ἡ γὰρ ἀργία, ἀπογεννᾷ τὴν ἐπιθυμίαν, καὶ τὴν ὀκνηρίαν, μᾶλλον δὲ καὶ τὴν ἀνελπιστίαν. Εἰ γὰρ ἐγινώσκομεν ὅτι πάροικοί ἐσμεν ἐπὶ τῆς γῆς, καὶ εἴχομεν τὰ παρόντα φθαρτὰ καὶ παρατρέχοντα ἡμᾶς, χειμάρρου τρόπον, οὐκ ἂν ὠρεγόμεθα τὰ μὴ ἡμέτερα, καὶ ὀλιγοχρόνια, ἀλλ' ἐπεθυμοῦμεν τὰ ὄντως ἡμέτερα, καὶ διαιωνίζοντα, τουτέστιν τὸ μετὰ Χριστοῦ εἶναι, καὶ ἀπολαύειν τῆς αὐτοῦ γλυκύτητος καὶ βασιλείας. Οἱ γὰρ τὸν αὐτοῦ πόθον ἔχοντες, τὰ τοῦ παρόντος αἰῶνος πάντα, πλοῦτόν φημι, καὶ δόξαν, καὶ δυναστείαν, καὶ κάλλη σωμάτων ὡς σκύβαλα ἡγοῦνται. Καὶ οὐ δύναται ἔν τινι ἀπατῆσαι αὐτοὺς ὁ ἄρχων τοῦ αἰῶνος τούτου, καὶ ἀποστῆσαι τῆς τοῦ Χριστοῦ ἀγάπης. Καθὼς καὶ ὁ Σολομών φησιν, « Ἐπιθυμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. » — « Ζητήσατε φρόνησιν, καὶ κατορθώσατε σύνεσιν ἐν γνώσει · » καὶ ὅσα ἕτερα τοιαῦτα γέγραπται. Τὰ γὰρ αἰσχρὰ πάντα, καὶ ἀλλότρια, ἀπαγορεύει ἐπιθυμεῖν· ὥστε συλλήβδην που, μετὰ πολλὴν διαφοράν, μεταξὺ τοῦ καλοῦ καὶ τοῦ πονηροῦ, δεικνῦναι. Φησὶν γὰρ, « Ἆρον ἀπὸ σοῦ πᾶσαν ἐπιθυμίαν πονηράν· ἔνδυσαι δὲ ἐπιθυμίαν ἀγαθὴν καὶ σεμνήν. » Ἐνδιδυσκόμενος γὰρ τὴν ἐπιθυμίαν ταύτην, μισήσεις τὴν πονηρὰν ἐπιθυμίαν, καὶ χαλιναγωγήσεις αὐτὴν, καθὼς βούλει. Ἀγρία γάρ ἐστιν ἡ ἐπιθυμία ἡ πονηρὰ, καὶ δυσκόλως ἡμεροῦται. Φοβερωτέρα γάρ ἐστιν, καὶ λίαν τῇ ἑαυτῆς ἀγριότητι δαπανᾷ τοὺς ἀνθρώπους. Ἐν δὲ τῷ λέγειν, « Ἀγρία ἐστὶν ἡ ἐπιθυμία ἡ πονηρὰ, » σημαίνει, ὅτι ἑαυτὴν ἀναφύει ὡς ἀγρία βοτάνη, εἰς ἀγεώργητον χωρίον· ἢ ὡς ἄγριον ζῶον ἐν ἑαυτῷ νεμόμενον, ἄνευ λογικῆς ἐπιστάσεως. Τίς δὲ καὶ ποταπή ἐστιν οὐ μόνον ἡ πονηρία, ἀλλὰ καὶ ἀγαθὴ ἐκθυμία, ἐν τῷ καθεξῆς διαλόγῳ ἀκριβῶς ἐκτίθεται, ἵνα δῆλον, ὅτι ἀποστραφέντες πᾶσαν πονηρὰν ἐπιθυμίαν ἐμπολιτευσώμεθα τῇ ἀγαθῇ καὶ σεμνῇ ἐπιθυμίᾳ. Ὅθεν τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν, καλὸν, καὶ πονηρὸν, δεικτικόν ἐστιν τοῦ τὸν ἄνθρωπον δεκτικὸν εἶναι γνώσεως καλοῦ καὶ πονηροῦ· διαφορὰν δὲ ἐμφαίνει, οὐχ ἵνα τις ἐν τῷ αὐτῷ τὸ πονηρὸν μετὰ τοῦ καλοῦ ποιῇ, ἀλλ' ἵνα ποιῶν τὸ καλὸν, ἐκκλίνῃ ἀπὸ τοῦ πονηροῦ, κατὰ τὸν λέγοντα, « Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. » Πρῶτος ὁ νόμος παρακελεύεται, λέγων, « Οὐκ ἐπιθυμήσεις ὅσα τοῦ πλησίον σου ἐστίν. » Ὁ δὲ Ἀχαὰβ παραβὰς τὴν ἐντολὴν ταύτην, ἐπεθύμησεν τὸν ἀμπελῶνα Ναβουθέ· καὶ τὸν μὲν δίκαιον ἀπέκτεινεν ἑαυτῷ δὲ καὶ τῷ οἴκῳ αὐτοῦ ἀπήνεγκεν ὄλεθρον ἀπωλείας αἰώνιον. Ἐπεθύμησεν δὲ καὶ ὁ λαὸς ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ, καὶ ἐκεῖ ἔπεσαν τὰ κῶλα αὐτῶν. Λέγει δὲ καὶ ὁ Παροιμιαστὴς, « Πᾶς ἔργος ἐν ἐπιθυμίᾳ ἔσται. Χεῖρες δὲ ἀνδρείων, ἐν ἐπιμελείᾳ. » Καὶ πάλιν, « Ῥεμβασμὸς ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. » Καὶ πάλιν, « Ἀσεβὴς ὅλην τὴν ἡμέραν ἐπιθυμεῖ ἐπιθυμίας κακάς. Ὁ δὲ δίκαιος, ἐλεεῖ, καὶ οἰκτείρει ἀφειδῶς. » Καὶ ἐπάγει, « Μή σε νικήσῃ κάλλος ἐπιθυμίας, μηδὲ ἀγρευθῇς σοῖς ὀφθαλμοῖς. » Ὁ δὲ ἄμεμπτος Ἰὼβ, πατήσας τὸ

concupiscentia omnis adversus spiritum militat : **1139** Cor enim voluptatum assectatoris carcer utique est, et catena animæ in ipso exitus articulo : contra industrio et laboris patienti, ut libera evolet, aperta est janua. Affectus namque concupiscentiæ germen est ex otio suppullulans. Otium enim suo velut semine gignit concupiscentiam, atque animi lentorem, magis vero desperationem. Si enim recto rationis judicio perpenderemus, quia super terram inquilini sumus, et quia celerius emigrandum hinc nobis est, cuncta utique istæc temporaria obnoxia corruptioni et quæ nos rapidissimi torrentis instar prætereunt, neutiquam tanto expeteremus studio, quippe quæ nostra non sunt ac vix tantillo durant tempore. Quare sinum nostræ concupiscentiæ fusissime laxemus ad ea quæ vere nostra sunt, et quæ perennabunt nobiscum : nimirum ut simus cum Christo, ut ejus incogitabili dulcedine atque regno mereamur perfrui. Nam qui tales, præsentis istius sæculi omnia, divitias dico, gloriam, præfecturam, decoram atque amabilem corporis elegantiam, ut fœdissima stercora deputant, istis nulla in re imponere queat princeps hujus sæculi, ut a rectitudine deflectant, aut avocare a charitate Christi, astruente hoc Salomone : « Concupiscite, ait, sapientiam, ut in æternum regnetis [62]. » Et : « Quærite prudentiam, et perficite in scientia intelligentiam [63], » et alia id genus non pauca scripta sunt. Ab omnibus enim Scripturæ nobis interdicunt, quæ sunt per se obscœna et ab honestate aliena, ita ut veluti in unum fascem confertim, ubi multa contentione differentiam explicavit bonæ malæque concupiscentiæ, subnectat : « Aufer a te ipso omnem concupiscentiam malam [64], induere vero eam quæ bona est et pudica [65]. » Hac siquidem redimitus veste concupiscentiæ, facile illam exsecrabere atque infense oderis quæ improba est et vitiosa, proque animi tui sententia quasi injecto in os freno moderabere. Est enim isthæc maligna concupiscentia mire agrestis ac præferox ; nec citra negotium cicuratur aut mansuefit. Supra modum enim formidabilis est, quandoquidem cunctos prope absumit ac devorat. Per id quod dicit : « Agrestis est concupiscentia mala [66] ; » insinuat talem suopte genio emergere, ceu assolet emicare herba agrestis in agro minime proscisso et inarato, aut certe ceu animal naturæ agrestis, quod se in agris exsatiat pascuo gramine, citra moderationem rationis. Quæ tandem maligna hæc est et qualis concupiscentia ? Cæterum utriusque indoles bonæ juxta ac vitiosæ, sermone proximo explicatur eo exactius, ut utriusque discrimine lucidius explicato, adversarti eam omnem quæ vitiosa est, vitam nostram instituamus ad præscriptum canonem illius quæ bona est et per se honesta. Unde et lignum illud scientiæ ad infusionem pertinens cognitionis, capax est et boni et

[62] Sap. VI, 12. [63] Prov. IV, 1. [64] I Cor. V, 13. [65] Eccli. VI, 32. [66] Hebr. X, 22.

mali; et hominem indicat capacem esse cognitionis et boni et mali. Discrimen vero utriusque explicat pressius, non eo ut quis malum cum bono promiscue operetur; quin magis, ut faciens quod bonum est, declinet a malo, juxta sententiam dicentis : « Declina a malo et fac bonum [67]. » Sed et primaria illa lex edicto cavet, **1140** « Ne quid eorum concupiscas quæ sunt proximi tui [68]. » Et quidem Achas mandatum hoc transgressus, vineam Nabuthæ concupivit, sed et justum dedidit neci, sibi autem ac domui suæ extremam invexit cladem æternæ perditionis [69]. Concupivit proinde populus concupiscentiam in deserto, quapropter illic prociderunt membra illorum [70]. Dicit et Paræmiastes : « Otiosus omnis in concupiscentia erit, manus autem fortium in diligentia [71]. » Rursus : « Vana occupatio mentem perscrutatur et explorat non malam. » Itemque : « Impius tota die concupiscit concupiscentias non bonas, justus autem misericors et miserator, nec parce [72]. » Et inducit : « Ne te vicerit pulchritudinis concupiscentia, neque irretiaris tuis palpebris [73]. » Inculpatus quoque nec ulli obnoxius reprehensioni Job qui et pulchre affectum hunc concupiscentiæ protriverat, dicit : « Si oculum meum secutum est cor meum [74], » etc. Apostolus item Petrus : « Charissimi, obsecro vos tanquam advenas et peregrinos abstinere vos a carnalibus desideriis, quæ militant adversus animam [75]. » Eodem contendit Paulus : « Mortificate itaque membra vestra quæ sunt super terram : fornicationem, immunditiam, passionem, concupiscentiam malam [76]; non enim vocavit nos Deus in immunditiam, sed in sanctificationem [77]; non igitur regnet peccatum in vestro mortali corpore, in hoc ut obediatis concupiscentiis ejus [78], sed induimini Dominum nostrum Jesum Christum, et carnis curam ne infeceritis in desideriis [79]. » Rursus : « In quibus omnes nos conversati sumus aliquando in concupiscentiis cordium nostrorum, facientes voluntates carnis et cogitationum nostrarum [80]. » Quisquis igitur cupit concupiscentiam fugere, totius corruptelæ artificem, quæ hominem recta transmittit in penitissimam abyssum inferni, is sibi studiose paret Dei timorem. « Timor enim Domini sanctus, permanens in sæculum sæculi [81], » ait David. Rursus idem : « Confige timore tuo carnes meas [82]. » Qui enim jugiter ob oculos mentis ponit et obversat impendentem mortem, ignem illum æternum, insomnem nec unquam interquiescentem vermem, illas exteriores tenebras, fletum ac stridorem dentium, dedecus quoque illud ignominiæ perquam plenum quo aspergendi sunt reprobi, ante formidabile Christi tribunal, inque conspectu et angelorum hominum constituti, nullo negotio is interpolat ac prorsus dissolvit quantamlibet lenocinantem illecebram voluptatis, omnem denique concupiscentiam qua oppugnatur, in amorem transcribit Dei. Labores igitur capessamus et corporis et spiritus, et in articulo suscepti laboris secedit concupiscentia. Pigrum enim ac socordem concupiscentia occidit : non enim volunt manus ejus quidquam operari. Dominus animarum amantissimus ait : « Si oculus tuus dexter scandalizat te, erue eum et projice abs te; melius enim tibi sit, **1141** ut pereat unum membrorum tuorum, et non totum corpus projiciatur in gehennam [83]. » Ipsi gloria in sæcula sæculorum. Amen.

A πάθος τῆς ἐπιθυμίας, λέγει· « Εἰ δὲ καὶ τῷ ὀφθαλμῷ μου ἐπηκουλούθησεν ἡ καρδία μου, τὰ δέ μοι σκυθρωπὰ συμβαίνῃ. » Φησὶν καὶ ὁ ἀπόστολος Πέτρος, « Ἀγαπητοὶ, παρακαλῶ, ὡς παροίκους καὶ παρεπιδήμους ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς. » Καὶ ὁ Παῦλος, « Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν· οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ. Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν σώματι εἰς τὸ ὑπακούειν ταῖς ἐπιθυμίαις αὐτοῦ, ἀλλ' ἐνδύσασθε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. » Καὶ αὖθις, « Ἐν οἷς πάντες, φησὶν, ἡμεῖς ἀνεστράφημέν ποτε ἐν ταῖς ἐπιθυ- B μίαις τῶν καρδιῶν ἡμῶν, ποιοῦντες τὰ θελήματα τῶν καρδιῶν καὶ τῶν διανοιῶν ἡμῶν. » Ὁ οὖν θέλων ἐκφυγεῖν τὴν φθοροποιὸν ταύτην ἐπιθυμίαν, τὴν κατάγουσαν τὸν ἄνθρωπον εἰς πυθμένα ᾅδου, τὸν φόβον τοῦ Θεοῦ κτησάσθω. « Ὁ φόβος γὰρ, φησὶ, Κυρίου ἁγνὸς, διαμένων εἰς αἰῶνα αἰῶνος. » Καὶ πάλιν, « Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου. » Ὁ γὰρ ἐνθυμούμενος ἀεὶ τὸν θάνατον, καὶ τὸ πῦρ τὸ αἰώνιον, καὶ τὸν σκώληκα τὸν ἀκοίμητον, καὶ τὸ σκότος τὸ ἐξώτερον, καὶ τὸν κλαυθμὸν, καὶ βρυγμὸν τῶν ὀδόντων, καὶ τὴν αἰσχύνην ἐκείνην, τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, ἐνώπιον ἀγγέλων καὶ ἀνθρώπων, διαλύει μὲν τὸ λίαν τῆς ἡδονῆς, πᾶσαν δὲ τὴν ἐπιθυμίαν αὐτοῦ εἰς Θεὸν μετατίθησιν. Ἐφαψώμεθα οὖν, ἀγαπητοὶ, τῶν C σωματικῶν καὶ πνευματικῶν κόπων, καὶ ἡ ἐπιθυμία ὑποχωρεῖ. Ἐπιθυμίαι γὰρ ὀκνηρὸν ἀποκτείνουσιν. Οὐ γὰρ προαιροῦνται αἱ χεῖρες αὐτοῦ ποιεῖν τι. Ὁ δὲ φιλόψυχος Κύριος φησὶν, « Ἐὰν ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ· συμφέρει γάρ σοι, ἵνα ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς τὴν γέενναν » [τοῦ πυρός. Οὗ ῥυ[σ]θείημεν χάριτι Χριστοῦ Κυρίου ἡμῶν.] Αὐτῷ ἡ δόξα [τῷ ἀγαθῷ Θεῷ] εἰς τοὺς αἰῶνας. Ἀμήν.

[67] I Petr. III, 11. [68] Exod. XX, 17. [69] III Reg. XXI passim. [70] Num. XI, passim. [71] Prov. X, 4. [72] Prov. XXI, 10, 12. [73] Prov. VI, 25. [74] Job XXXI, 7. [75] I Petr. II, 11. [76] Coloss. III, 5. [77] I Thess. IV, 7. [78] Rom. VI, 12. [79] Rom. XIII, 14. [80] Ephes. II, 3. [81] Psal. XVIII, 10. [82] Psal. CXVIII, 120. [83] Matth. V, 29.

ΛΟΓΟΣ ΟΕ'.

Περὶ δικαιοκρισίας.

Οἱ βουλόμενοι δικαίως κρίνειν, πρῶτον μὲν αἰτήσονται παρὰ τοῦ Θεοῦ σοφίαν καὶ σύνεσιν, κατὰ τὸν Σολομῶντα, ταύτην μόνην καὶ πρώτην αἴτησιν παραλαβόντα δοθῆναι αὐτῷ, καὶ οὐ μόνον λαβόντος τὴν χάριν, ἀλλὰ καὶ ἐπαινεθέντος παρὰ Θεοῦ, ὡς καλῶς αἰτήσαντος. Ἔπειτα δὲ καὶ τὸν οἶνον παραιτήσονται. Φησὶ γὰρ ἡ θεία Γραφή, « Ἄνοιγε σὸν στόμα λόγῳ Θεοῦ, καὶ κρῖνε πάντα ὑγιῶς. » Καὶ αὖθις· « Οἱ δυνάσται θυμώδεις εἰσὶν, οἶνον μὴ πινέτωσαν, ἵνα μὴ ἐπιλάθωνται τῆς σοφίας, καὶ ὀρθὰ κρῖναι οὐ δύνωνται τοῖς ἀσθενέσιν. » Καὶ ὅταν τις λῦσαι θέλει πρᾶγμα συμπεπλεγμένον, ζητήσει περὶ αὐτοῦ, πρῶτον τί τῷ Θεῷ ἀρέσκει, καὶ εὑρίσκῃ αὐτοῦ τὴν λύσιν ἐπωφελῆ. Πρῶτος ὁ νόμος ἐντέλλεται λέγων, « Οὐ ποιήσετε ἄδικον ἐν κρίσει· καὶ οὐ προστεθήσῃ μετὰ πλήθους ἐκκλῖναι κρίσεις. » Καὶ, « Πένητα οὐκ ἐλεήσεις ἐν κρίσει καὶ οὐ διαστρέψεις κρίσιν πένητος· οὐ λήψῃ πρόσωπον πτωχοῦ, οὐδὲ θαυμάσεις πρόσωπον δυνάστου· ἐν δικαιοσύνῃ κρινεῖς τὸν πλησίον σου. » Καὶ, « Οἱ κριταί σου κρίσιν δικαίαν κρινοῦσιν, καὶ οὐκ ἐπιγνώσονται πρόσωπον, οὐ λήψονται δῶρα. Τὰ γὰρ δῶρα ἐξαίρει λόγους δικαίων. » Καὶ δίκαιος τὸ δίκαιον δώξει. Καὶ ὁ Ἱερεμίας, « Ποιήσατε κρῖμα καὶ δικαιοσύνην, καὶ ἐξαιρεῖσθε διηρπασμένον ἐκ χειρὸς ἀδικοῦντος. » Καὶ ἄλλος, ἐν ἄλλοις, Ὃς δίκαιον κρίνει, τὸν ἄδικον· ἄδικον δὲ, τὸν δίκαιον, καὶ ἀμφότεροι βδελυκτοὶ παρὰ Κυρίῳ· ὁ δὲ ζητῶν τὸν Κύριον, εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης. Καὶ πάλιν, « Καρδία ἀνδρὸς λογιζέσθω δίκαια, ἵνα ὑπὸ τοῦ Θεοῦ διορθωθῇ τὰ διαβήματα αὐτοῦ. » Καὶ ὁ Παροιμιαστὴς, « Ἐπίσταται ὁ δίκαιος κρίνειν πενιχρούς· ὁ δὲ ἀσεβὴς οὐ νοήσει γνῶσιν. » Καὶ πάλιν, « Ἀνὴρ φρόνιμος κατευθύνων πορεύεται· καὶ ἀρχὴ ὁδοῦ ἀγαθῆς, τοῦ ποιεῖν δίκαια. » Καὶ ὁ Ἰὼβ, « Δικαιοσύνην, φησὶν, ἐνεδεδύκειν, ἡμφιασάμην δὲ κρῖμα, ἴσα διπλοΐδος. » Καὶ αὖθις, « Εἰ ἐξέκλινεν ὁ πούς μου ἐκ τῆς ὁδοῦ· εἰ δὲ καὶ ἐφαύλισα κρῖμα θεράποντός μου. Καὶ ταῦτα μὲν περὶ δικαιοκρισίας. Καλὸν δὲ ἐπιμνησθῆναι καὶ τὸ τοῦ Ἀποστόλου ῥητὸν τὸ φάσκον, « Τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ μᾶλλον ἐπὶ τῶν ἁγίων; » Καὶ ἐπάγει, « Ἤδη μὲν οὖν ὅλως ἥττημα ὑμῖν ἐστιν, ὅτι κρῖμα ἔχετε μεθ' ἑαυτῶν· διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε; ἀλλ' ὑμεῖς ἀδικεῖτε, καὶ τοῦτο ἀδελφούς. » Καὶ ἐπάγει, « Ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν; » Ἀλλὰ μηδεὶς οἰέσθω μόνοις τοῖς τὰ κοινὰ πράγματα δικάζουσιν ἁρμόζειν τὸν περὶ τῆς δικαιοκρισίας νόμον, καὶ ὑπτίως κείσθω ῥέγχων ἀμερίμνως. Πᾶσιν γὰρ ἐξ ἴσου τὸ ζωοποιὸν Πνεῦμα ἐγκελεύεται τὴν ἐντολὴν ταύτην Φησὶ γὰρ καὶ διὰ τοῦ Δαβὶδ, « Παιδεύθητε, πάντες οἱ κρίνοντες τὴν γῆν, δουλεύσατε τῷ Κυρίῳ

A

HOMILIA LXXV.

De justo judicio.

Qui rectitudinem servare cupiunt judicii, primum quidem postulent a Deo, sibi prærogari sapientiam atque intellectum, Salomonis exemplum secuti : hanc quippe unam, et primam, et solam postulationem dari sibi obsecravit. Neque tamen solam hanc accepit gratiam, sed et Dei præconio promeruit laudari, quod recte postulasset. Deinde vinum vitent : ait enim Scriptura : « Aperi os tuum sermoni Dei, et recte cuncta decerne [84]. » Rursus : « Potentes facile incandescunt, vinum itaque ne bibant, ne obliviscantur sapientiæ, ne recte judicare possint in causa debilium [85]. » Si quando quid perplexum et explicatu difficile occurrerit, quod cupies dissolvere, a Deo quære primum quid illi acceptum sit et gratiosum : mox ejus solutionem nanciscere accommodam ac perutilem. Et quidem primaria lex jubet, dicens : « Non facies quod injustum est in judicio, nec adjicies ut cum multitudine declines judicium [86]. » Et : « Non pervertes judicium pauperis, non accipies personam pauperis, nec revereberis vultum potentis. In justitia judicabis proximum tuum [87]. » Et : « Judices tui judicium justum judicabunt, neque agnoscent personam, non accipient munera ; etenim munera auferunt verba justorum [88]. » Justus quod justum est persequitur. Et Jeremias : « Facite judicium et justitiam, eripite eum qui patitur rapinam, de manu oppressoris [89]. » Alioqui tam qui justum decernit esse injustum, quam qui injustum judicat esse justum, uterque apud Dominum exsecrabilis. Qui quærit Dominum, inveniet scientiam cum justitia. Rursus : « Cor viri cogitet justa [90], ut a Deo dirigantur gressus ejus [91]. » Et Parœmiastes : « Novit Dominus judicare pauperculos, impius autem non intelliget scientiam [92]. » Iterum : « Vir prudens, via recta ingreditur ; et principium viæ bonæ, facere quæ justa sunt [93]. » Job item : « Justitia indutus sum ; vestitus autem sum judicium, quasi diploidem [94]. » Rursus : « Si declinavit pes meus de via, si contempsi judicium famuli mei [95]. » Et hæc quidem de judicii æquitate. Non inconcinnum alioqui fuerit meminisse apostolicæ sententiæ, quæ dicit : « Audet aliquis vestrum negotium habens adversus alterum, judicari apud iniquos, et non magis apud sanctos [96] ? » Inducit : « Jam enim omnino delictum in vobis est, quia judicium habetis inter vosmet? **1142** quare non magis fraudem patimini ? sed vos injuriam facitis; et hoc fratribus! an nescitis, quia iniqui regnum Dei non possidebunt [97] ? » Atqui nemo existimet nostrum de justo judicio sermonem solis iis competere qui de communibus negotiis lites diremptur sententiam ferunt, atque hinc supinus ob-

B

C

D

[84] Prov. xxxi, 9. [85] ibid. 5. [86] Exod. xxiii, 2. [87] Levit. xix, 15. [88] Exod. xxiii, 8. [89] Jer. xxii, 3. [90] Prov. xxi, 12. [91] Prov. xx, 24. [92] Prov. xxix, 7. [93] Prov. xxi, 8. [94] Job xxix, 14. [95] Job xxxi, 7. [96] I Cor. vi, 1. [97] ibid. 7-9.

dormiscat, destertens interim ac securus curæ omnis : omnibus enim ex æquo vivificator ille Spiritus hoc præscribit mandatum. Ait enim is, per os David : « Erudimini, omnes qui judicatis erram, servite Domino in timore, et exsultate ei in tremore, apprehendite disciplinam, ne quando irascatur Dominus, et pereatis de via justa [98]. » Rursus : « Beati qui custodiunt judicium, et faciunt justitiam in omni tempore [99]. » Et : « Si vere utique justitiam loquimini, recte judicate, filii hominum [1]. » Si vere utique, non commentitie ac mendaciter, neque per hypocrisin. Dixeris : quid igitur ad me istud attinet mandatum, cui nulla concredita functio judiciariæ potestatis, qui nihil minus quam judicem profiteor? Huic responderim, Deus qui hominem condidit, fecit eum suæ esse spontis ac liberi arbitrii : capacem præterea propositi alterutrius, aut virtutis aut vitii. Cumque in faciem hominis inspirans, multiplicem sensum insevisset, perinde atque in agello quopiam, explesseque satellitum ordinem ; in horum medio jussit mentem residere primariam atque sensuum moderatricem, ceu regem stipatum satellitio milite, regem plane, ex conditione bonum ac justum. Penes eum igitur omnino est judicandi libertas, quo discerniculo virtus a vitio distinguatur, puta temperantia ab effreni libidine; ingluvies ab exercitio abstinentiæ, ira a mansuetudine, inanis gloriæ sitis ab humilitate. Virtus denique omnis vitium habet cui reluctetur, quo cum judicium exerceat. Mens igitur si malitiam condemnet, ferat autem pro virtute sententiam, recte judicavit, fecitque judicium et justitiam. Quod si per immoderatam sumptionem vini seipsam fugerit ac nescierit, prolapsa jam est a rectitudine judicii, ut ille olim Ochozias, ac misere ægrotat ægrotatione ad mortem [2] : hoc est, descivit a justo rationis judicio, ultroque malitiæ cessit palmaris victoriæ tesseram, ac se æternæ morti addixit. Hæc Dominus suo astruit testimonio, dicens : « Cur autem a vobisipsis non judicatur quod justum est [3]? » Quando vadis cum adversario tuo ad principem, in via da operam liberari ab eo, nequando trahat te ad judicem, et judex tradat te tortori, et tortor mittat te in carcerem. Amen amen dico tibi, non exibis illinc donec reddideris novissimum quadrantem [4]. Ipsi gloria soli justo judici Christo in sæcula. Amen.

A ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ· πᾶς ἄνθρωπος δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας, » Καὶ πάλιν, « Μακάριοι οἱ φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ, » Καὶ, « Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθέα κρίνατε, υἱοὶ τῶν ἀνθρώπων. » Εἰ ἀληθῶς ἄρα, καὶ μὴ ψεῦδος, μηδὲ καθ' ὑπόκρισιν. Τί οὖν, φησὶν, πρός με, τὸν μὴ ἐμπεπιστευμένον δικαστικὴν ἀρχήν; Τὸ παράγγελμα τοῦτο ἐγώ σοι ἐρῶ· Ὁ Θεὸς ὁ κτίσας τὸν ἄνθρωπον, αὐτεξούσιον αὐτὸν ἐποίησεν, δεκτικὸν προσβολῆς, ἀρετῆς, καὶ κακίας. Φυτεύσας δὲ τὰς πλείους αἰσθήσεις, ὥσπερ ἐν μικρῷ τινι χωρίῳ, τῇ ὄψει δορυφόρων τάξιν ἐκπληρούσας, ἐνθρονίζει αὐταῖς, ὥσπερ βασιλέα ἀγαθὸν καὶ δίκαιον, τὸν ἡγεμόνα νοῦν. Κρίνεται οὖν B πάντως ἀρετῇ καὶ κακίᾳ, τουτέστιν, σωφροσύνῃ καὶ ἀκολασίᾳ, γαστριμαργίᾳ καὶ ἄσκησις θυμὸς καὶ πραότης κενοδοξίᾳ καὶ ταπεινοφροσύνῃ· καὶ ἁπλῶς πᾶσα ἀρετὴ δίκην ἔχει πρὸς τὴν ἀντιδιαστελλομένην αὐτῇ κακίαν. Ἐὰν οὖν ὁ νοῦς κατακρίνει τὴν κακίαν, δικαιώσει δὲ τὴν ἀρετὴν, εὐθέα ἔκρινεν, καὶ ἐφύλαξεν κρῖμα καὶ δικαιοσύνην. Εἰ δὲ ἐκ πολυποσίας ἐπιλάθηται ἑαυτοῦ, πίπτει ἐκ τοῦ δικαίου, ὡς Ὀχοζίας, καὶ ἀῤῥωστεῖ ἀῤῥωστίαν πρὸς θάνατον, τουτέστιν ἀπόλλει τὴν διάκρισιν, καὶ δίδωσιν τὴν νικῶσαν ψῆφον τῇ κακίᾳ, καὶ ἀποθνήσκει τὸν αἰώνιον θάνατον. Τούτοις δὲ ἐπιμαρτυρεῖ καὶ ὁ Κύριος, λέγων, « Τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον; » Ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου C ἐπ' ἄρχοντα, ἐν τῇ ὁδῷ δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ' αὐτοῦ, μήποτε κατασύρῃ σε πρὸς τὸν κριτὴν, καὶ ὁ κριτὴς παραδώσῃ σε τῷ πράκτορι, καὶ ὁ πράκτωρ βάλῃ σε εἰς φυλακήν. Ἀμὴν ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως οὗ ἀποδῷς τὸν ἔσχατον κοδράντην. Αὐτῷ ἡ δόξα τῷ μόνῳ δικαιοκριτῇ Χριστῷ εἰς τοὺς αἰῶνας. Ἀμήν.

1143 HOMILIA LXXVI.

De justa mensura.

Quæ justa sunt omnia, perquam amabilia Deo sunt et accepta. Ut enim æquitatem judicii, ita et D in metiendo servatam justitiam diligit Deus. Justus enim cum sit, in id respicit clementer, quod justum est. Jure igitur jubet Scriptura servandam esse æquitatem et ponderis et mensuræ. [5] Nefarium prorsus atque omnem expurgans iniquitatem est duplices habere mensuras, parvam et magnam. Unde et propheta Amos, ejusmodi immorigeros nec dicto audientes indicans longe esse miserrimos : « Væ ei, ait, qui desiderat diem Domini ;

ΛΟΓΟΣ ΟϚ'.

Περὶ δικαιομετρίας.

Πάντα τὰ δίκαια θεόφιλα καὶ εὐάρεστα. Ὥσπερ γὰρ τὴν δικαιοκρισίαν ἀγαπᾷ ὁ Θεὸς, οὕτως καὶ τὴν δικαιομετρίαν. Δίκαιος γὰρ ὢν, προνοεῖ τοῦ δικαίου. Εἰκότως οὖν ἡ Γραφὴ παραγγέλλει περὶ ἰσοσταθμίας καὶ ἰσομετρίας· ἀθέμιτον γάρ ἐστιν, καὶ πάσης ἀδικίας ἐπέκεινα, δισσὰ μέτρα ἔχειν, μικρὸν καὶ μέγα. Ὅθεν καὶ ὁ προφήτης Ἀμὼς φησιν, ταλανίζων τοὺς ἀνηκόους, « Οὐαὶ ὁ ἐπιθυμῶν τὴν ἡμέραν Κυρίου, καὶ αὕτη ἐστὶν σκότος· τοῦ ποιῆσαι μικρὸν μέτρον, καὶ ζυγὸν ἄδικον. » Ὁμοίως καὶ ὁ Μιχαίας, « Εἰ δικαιωθήσεται, λέγων, ἐν ζυγῷ

[98] Psal. II, 10-12. [99] Psal. CV, 3. [1] Psal. LVII, 2. [2] IV Reg. I, 2. [3] Luc. XII, 57. [4] Matth. V, 25, 26. [5] Luc. VI, 38.

ἄνομος, καὶ ἐν μαρσίππῳ σταθμία δόλου. » Τὰ αὐτὰ καὶ ὁ Ψαλμῳδός· « Ψευδεῖς γάρ εἰσιν υἱοὶ τῶν ἀνθρώπων, ἐν ζυγοῖς τοῦ ἀδικῆσαι. » Καὶ δεικνύων ὅτι τῆς πλεονεξίας ἐστὶν τὸ νόσημα, [καὶ] ἐπιφέρει, « Αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτὸ μὴ ἐλπίζετε, ἐπ' ἀδικίαν καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε. Πλοῦτος ἐὰν ῥέει, μὴ προστίθεσθε καρδίαν. » Καὶ ὁ νόμος προστάττει, λέγων· Ἐν μέτροις, καὶ ἐν σταθμοῖς καὶ ἐν ζυγοῖς, δίκαια ἔσται ὑμῖν. Καὶ αὖθις, « Οὐ μετακινήσεις φησὶν, ὅρια, ἃ ἔθεντο οἱ πατέρες σου. » Ὁ δὲ προφήτης Σοφονίας, « Κρῖμα ἐργάζεσθε, καὶ δικαιοσύνην ζητήσατε, ὅπως σκεπασθῆτε ἐν ἡμέρᾳ ὀργῆς Κυρίου. » Ὡσαύτως δὲ καὶ ὁ Ἰεζεκιὴλ, « Κρῖμα καὶ δικαιοσύνην ποιήσατε, λέγων, ζυγὸν δίκαιον, καὶ μέτρον δίκαιον, καὶ χοῖνιξ δικαία ἔσται ὑμῖν. » Ὁ δὲ Παροιμιαστής· « Συγοὶ δόλιοι, βδέλυγμα ἐνώπιον Κυρίου, σταθμεῖον δὲ δίκαιον δεκτὸν αὐτῷ. » Καὶ πάλιν, « Σταθμεῖον μέγα, καὶ μικρὸν, καὶ μέτρα δισσὰ, ἀκάθαρτα ἐνώπιον Κυρίου, καὶ ἀμφότερα ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν συμποδισθήσονται. » Ἴσως δοκεῖ ταῦτα τοῖς πολλοῖς τοῦ μηδενὸς ἄξια εἶναι· ἀλλ' οὐδὲν εἰκῇ καὶ μάτην αἱ θεόπνευστοι Γραφαὶ διαγορεύουσιν. Πάντα δὲ πρὸς σωτηρίαν ἡμῶν καὶ ζωὴν αἰώνιον τὸ προσκυνητὸν ἐνομοθέτησεν Πνεῦμα. Φυλαξώμεθα τοίνυν, ἀγαπητοὶ, τὸ πάθος τῆς πλεονεξίας, τῆς δευτέρας εἰδωλολατρείας. Τοῦτο γὰρ παιδευόμεθα διὰ τῆς ἰσομετρίας, ὡς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τοῖς Εὐαγγελίοις προστάττει ἡμῖν λέγων, « Δίδοτε, καὶ δοθήσεται ὑμῖν· μέτρον καλὸν ἐπιπεπιεσμένον, καὶ σεσαλεύμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν. Τῷ αὐτῷ γὰρ μέτρῳ ᾧ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A ipsa enim est tenebræ [6]: ut faciat parvum mensuram et stateram [7]. Nec abludit Michæas : « Si justificabitur in statera iniquus, et in marsupio statera dolosi [8]. » Concinit his regius Psaltes : « Mendaces filii hominum in stateris, ut injuste agant [9]. » Simulque insinuans tales morbo impotentis avaritiæ ægrescere, infert : « Ipsi de vanitate in idipsum nolite sperare, in iniquitatem et rapinam nolite concupiscere; divitiæ si affluant, nolite cor apponere [10]. » Quin lex ipsa jubet, ut in mensuris, in ponderibus et in stateris justa sint vobis. Addit et illud : « Non transferes terminos quos posuerunt patres tui [11]. « Sed et Sophonias propheta : « Judicium operemini et justitiam exquirite ut protegamini in die iræ Domini [12]. » Nec B secus Ezechiel : « Judicium et justitiam facite. Statera justa, et mensura justa, et chœnix justa erit vobis [13]. » Accedit his Parœmiastes : Statera dolosa abominatio est ante Dominum, pondus autem justum acceptabile est ei [14]. » Iterum : Pondus magnum et parvum, et mensuræ duplices immunda sunt coram Domino; et utraque in studiis irretientur [15]. » Forte hæc aliquammultis videri potuerunt nullius prope momenti, et indigna quæ depromantur in aerem : at certe nihil horum temere sive frustratorie enuntiant aut produnt Scripturæ divinitus inspiratæ. Cuncta enim ad salutem nostram, æternam quoque parandam vitam, sanxit sacer ille ac suppliciter adorandus Spiritus. Magno igitur studio vitemus, charissimi, vitiosam C avaritiæ affectionem, quæ (erudiente nos Apostolo) secundum idololatriam, primas tenet. « Date, ait Dominus in Evangeliis, et dabitur vobis; mensuram bonam, coagitatam dabunt in sinum vestrum : eadem enim mensura qua mensi fueritis, remetietur vobis [16]. » Ipsi gloria in sæcula sæculorum. Amen.

ΛΟΓΟΣ ΟΖ'.

Περὶ μετανοίας.

Ὡς γλυκεῖά ἐστιν, ἀδελφοί μου, ἡ μετάνοια· οὐδὲν ἕτερον ἀλλ' ἢ φάρμακον [i] ζωῆς. Μάλιστα ὅτι ὁ γλυκὺς Δεσπότης ἡμῶν, ἀμνησίκακος, ἀγαθὸς, ὁ οἰκτίρμων, ὁ φιλάνθρωπος, ὁ φιλόψυχος, ὁ φιλόπτωχος, ὁ κηδεμὼν τῆς σωτηρίας ἡμῶν, ἀεὶ διψᾷ τὴν μετάνοιαν ἡμῶν. Εὐφραίνεται γὰρ ἐπὶ τοῖς δάκρυσι τῶν μετανοούντων, ἀγάλλεται ἐπὶ τῇ ἐξομολογήσει, D χαίρει ἐπὶ τῇ συντετριμμένῃ καὶ τεταπεινωμένῃ καρδίᾳ, καὶ μετὰ μακροθυμίας πολλῆς ἀναμένει τὴν ἐπιστροφὴν ἡμῶν, καὶ οὐκ ἀπολείπει ἕως ἐσχάτης ἀναπνοῆς· [ποθεῖ πολλὰ τὴν μετάνοιαν ἡμῶν, καὶ ὡς τὸν μετανοήσαντα ἄσωτον υἱὸν δέχεται καὶ καταφιλεῖ·] παρακαλῶν καὶ προτρεπόμενος ἕνα ἕκαστον ἡμῶν μετὰ μυρίας ἀθεμιτουργίας καὶ διαβολικὰς πράξεις πρὸς αὐτὸν ἐπιστρέψαι· καθὼς βοᾷ διὰ

1144 HOMILIA LXXVII.

De pœnitentia.

Quantum in se habet dulcoris, fratres mei, pœnitentia, quam est suavis! Aliud prorsus nihil quam sarciendæ vitæ salutare pharmacum, ut eo maxime, quia suavis est Dominus noster, male nobis commissorum facile immemor, benignus, miserator, humani generis, imo animarum nostrarum amantissimus, modis omnibus prospiciens nostræ omnium saluti. Hic talis nihil tam sitit quam ut resipiscamus, nosque pœniteat vitæ turpiter actæ. Super lacrymis se recipientium, ad meliorem vitæ frugem mire lætatur et exhilarescit. Exsultat super confessione pœnitentium super contrito corde et humiliato incredibili gaudio perfunditur. Quin nimisquam longanimiter nostram operitur conversionem, nec interim conquiescit, ad supremum

[6] Amos v, 10. [7] Amos viii, 5. [8] Mich. vi, 11. [9] Psal. lxi, 10. [10] ibid. 11. [11] Exod. xix, 24. [12] Sophon. ii, 3. [13] Ezech. vl, 9, 10. [14] Prov. xi, 1. [15] Prov. xx, 10. [16] Luc vi, 38.

VARIÆ LECTIONES.

[i] Φάρμακον, dictio medica est, ut probatur, De verborum significa. l. 236, ex 4 Odysseæ. Hic in bonam partem sumitur pro antidoto sive remedio. (Ex Dion. Areop. *Epist. ad Dorotheum.*)

usque vitæ nostræ halitum sustinens, ac demum post tot aliorum infandorum criminum myriades, post tot flagitia quæ incentore diabolo ipsi gessimus, invitans et exhortans ad ipsum ut convertamur, quemadmodum voce clamat prophetica : Et cum hæc omnia feceris, vel sero ad me revertere. Addo, nobis longe disjunctis ultro obvius occurrit, circumplectitur et astringit ; totque piaculorum notis interstinctum, tot aspersum probris, et cervicem usque nulla non parte sordibus squalentem dignatur benignissimus suavi osculo ; ac ne cum ejusmodi quidem de eatenus commissis expostulat, magis autem felicissimæ illius vitæ futura bona se daturum pollicetur : atque ut est perquam clemens, indulgentissime non solum priora delicta, sed et nobis prærogat arrham vitæ secuturæ, nimirum gratiam Spiritus sancti, stolamque exhibet primariam illam incorruptionis [17], quam ipsi accepimus primum regenerati facti unda baptismatis, sed eadem per peccatum misere eramus spoliati. Hanc ipsam nobis sinceriter pœnitentibus ac toto pectore ad eum conversis gratuito donat pius Ad hæc, diem indicit transigi festum, eo beatas illas ac sibi perquam charas virtutes, ostentans gratulabundus quam invenit drachmam (nimirum æterni Regis imaginem), ovemque erraticam impositam humeris gestitans, ad sui Patris inducit conspectum, ubi lætantium omnium habitatio in ipso est, animam istius supra omnes locat, qui a tam clementi Patre ultronei resiliunt ac secedunt. Sed et nobis subinde ac temere dequerentibus ac secum expostulantibus, non raro sustinet ac perfert longanimis. Itaque, fratres, talem cum habeamus et sic misericordem Dominum, ne cunctemur ad eum converti, neu intolerandorum ac innumerabilium more exterriti peccatorum nos ipsos dedamus socordiæ, aut in abyssum pertrudamus desperationis. **1145** Dum enim lentescimus et cunctamur converti, plenum paramus diabolo gaudium ; desperatio autem recta ad mortem deducit.

Accedamus interim ad pœnitentiam, quæ nostri causa apud Deum plena fungatur legatione ac precetur. Nos quoque cum Jeremia propheta clamemus voce exserta : « Quia peccata nostra ipsa restiterunt nobis, et quia multæ prævaricationes nostræ coram te, Domine ; sed fac nobiscum pro gloria nominis tui [18]. Et : « Tu in nobis es, Domine, et nomen sanctum tuum invocatum est super nos [19]. » Et cum Michæa oppleremus : « Iram Domini portabo, quoniam peccavi ei [20]. » Cum David : « Delictum meum cognitum tibi feci, et peccatum meum non abscondi [21]. » Sed revelabo « Et confitebor adversum me injustitiam meam Domino, et tu remisisti impietatem cordis mei [22]. » Tu enim dixisti, Domine : « Dic tu primus iniquitates tuas, ut justificeris [23]. » Spe igitur fretus, Domine, inexhaustæ et abyssalis misericordiæ tuæ, ex ore meo impuro, et labiis immundis, hanc unam supplicationem offero tibi. Memor esto, quia nomen tuum sanctum invocatum est super me, qui me redemisti pretioso tuo sanguine.

A τοῦ προφήτου λέγων· Μετὰ ταῦτα πάντα πρός με ἀνάστρεψον. Καὶ ἔτι μακρὰν ἡμῶν ἀπεχόντων προστρέχει, καὶ καταφιλεῖ καὶ καταλαμβάνει τὸν κατάστικτον καὶ κηλιδωμένον καὶ ὀλορύπαρον ἡμῶν τράχηλον· καὶ οὐκ ἐγκαλεῖ περὶ τῶν προτέρων, ἀλλ' ἐπαγγέλλεται τὰ μέλλοντα· καὶ ὡς ὑπεράγαθος οὐ μόνον συγχωρεῖ τὰς ἁμαρτίας, ἀλλὰ καὶ τὸν ἀῤῥαβῶνα τῆς ζωῆς παρέχει, τὴν χάριν τοῦ ἁγίου Πνεύματος, καὶ τὴν πρώτην στολὴν τῆς ἀθανασίας, καὶ τῆς ἀφθαρσίας, ἣν ἐνεδύθημεν διὰ τοῦ ἁγίου βαπτίσματος, καὶ ἀπεδυσάμεθα διὰ τῆς ἁμαρτίας· αὖθις εἰλικρινῶς ἡμῶν μετανοούντων καὶ ὁλοκαρδίως ἐπιστρεφόντων ἡμῶν πρὸς αὐτὸν, χαρίζεται ἡμῖν καὶ ἑορτὴν ἄγει, καὶ συγκαλεῖ τὰς φίλας αὐτῷ ἁγίας δυνάμεις, ἐπιδεικνὺς αὐτοῖς τὴν δραχμὴν ἣν B εὗρε, τουτέστι τὴν βασιλικὴν εἰκόνα αὐτοῦ καὶ καθομοίωσιν· καὶ ἐπ' ὤμων φέρων τὸ πλανώμενον πρόβατον εἰσάγει πρὸς τὸν ἴδιον Πατέρα· ἔνθα εὐφραινομένων πάντων ἡ κατοικία ἐν αὐτῷ, καὶ τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν ἀποφυγόντων. Καὶ πολλάκις καὶ εἰκῆ κατεγκαλούμενος παρ' ἡμῶν μακροθυμεῖ καὶ ἀνέχεται. [Καὶ χαίρει ἐπὶ τῇ ἐπιστροφῇ καὶ μετανοίᾳ ἡμῶν.] Ἔχοντες οὖν, ἀδελφοὶ, τοιοῦτον εὔσπλαγχνον Δεσπότην, μὴ ὀκνήσωμεν ἀποστρέψαι πρὸς αὐτὸν συντόμως, μηδὲ βάλλωμεν ἑαυτοὺς εἰς ῥαθυμίαν, καὶ ἀπόγνωσιν διὰ τὰ ἀνύποιστα καὶ ἀναρίθμητα ἡμῶν ἁμαρτήματα. Αὕτη γάρ ἐστιν ἡ τελεία χαρὰ τοῦ διαβόλου· αὕτη ἐστὶν ἡ πρὸς θάνατον ἁμαρτία, ἣν λέγει ἡ Γραφή.

C Προσέλθωμεν οὖν τῇ μετανοίᾳ, καὶ αὕτη πρεσβεύει ὑπὲρ ἡμῶν πρὸς τὸν Θεόν· βοήσωμεν καὶ ἡμεῖς μετὰ τοῦ προφήτου Ἱερεμίου, « Ὅτι αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν, ὅτι πολλαὶ αἱ ἀνομίαι ἡμῶν ἐναντίον σου, Κύριε· ποίησον ἡμῖν ἕνεκεν τοῦ ὀνόματός σου. » Καὶ, « Σὺ ἐν ἡμῖν, Κύριε, καὶ τὸ ὄνομά σου ἐπικέκληται ἐφ' ἡμᾶς. » Καὶ μετὰ Μιχαίου, « Ὀργὴν Κυρίου ὑποίσω, διότι ἥμαρτον αὐτῷ. » Καὶ μετὰ τοῦ Δαβὶδ, « Τὴν ἀνομίαν μου ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα, » ἀλλ', « Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. » Σὺ γὰρ εἶπας, Κύριε· « Εἰπὲ πρῶτος ἀνομίας σου ἵνα δικαιωθῇς. » Θαῤῥῶν οὖν, Δέσποτα, εἰς τὸ πέλαγος τῆς εὐσπλαγχνίας σου, προσφέρω σοι ἐκ στόμα- D τος ῥυπαροῦ καὶ χειλέων ἀκαθάρτων τὴν ἱκεσίαν ταύτην. Μνήσθητι ὅτι τὸ ὄνομά σου τὸ ἅγιον ἐπικέκληται ἐπ' ἐμοὶ, καὶ ἐξηγόρασάς με τῷ τιμίῳ σου αἵματι· ὅτι ἐσφράγισάς με τῷ ἀῤῥαβῶνι τοῦ ἁγίου σου Πνεύματος, καὶ ἀνήγαγές με ἐκ τοῦ βυθοῦ [τῆς] τῶν ἀνομιῶν μου, ἵνα μὴ ἀποσυλήσῃ με ὁ

[17] Luc. xv, 22. [18] Jer. xiv, 7. [19] ibid. 9. [20] Mich. vii, 9. [21] Psal. xxxi, 5. [22] ibid. [23] Isa. xliii, 26.

ἐχθρός. Ἰησοῦ Χριστε, ἀντίσχου μοι καὶ γενοῦ μοι βοηθὸς κραταιὸς ἐν πολέμῳ, ὅτι δοῦλός εἰμι ἐπιθυμίας, καὶ πολεμοῦμαι ὑπ' αὐτῆς · ἀλλὰ σὺ, Κύριε, μὴ ἐγκαταλίπῃς με τὸν ἐπὶ γῆς ἐρριμμένον ἐν καταδίκῃ ἔργων μου · ἐλευθέρωσόν με, Δέσποτα, τῆς πονηρᾶς δουλείας τοῦ κοσμοκράτορος, καὶ οἰκείωσόν με ἐν τοῖς προστάγμασί σου · ἡ ὁδὸς τῆς ζωῆς μου ὁ Χριστός μου · καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, τὸ πρόσωπόν σου. Θεὲ Δέσποτα, καὶ Κύριε τῆς ζωῆς μου, μετεωρισμὸν ὀφθαλμῶν μου μὴ δῴης μοι · καὶ ἐπιθυμίαν κακὴν ἀπόστησον ἀπ' ἐμοῦ. Ἀντίσχου με, Χριστὲ, τῇ χειρί σου τῇ ἁγίᾳ · ὀρέξεις καὶ συνουσιασμοὶ μὴ καταλαβέτωσάν με, καὶ ψυχῇ ἀναιδεῖ μὴ παραδῷς με. Λάμψον ἐν ἐμοὶ τὸ φῶς τοῦ προσώπου σου, Κύριε, ἵνα μὴ ἡ σκοτία καταλάβῃ με, καὶ ὁ περιπατῶν ἐν αὐτῇ ὑφαρπάσῃ με. Μὴ παραδῷς, Κύριε, θηρίοις ἀοράτοις ψυχὴν ἐξομολογουμένην σοι. Μὴ καταδέξῃ, Κύριε, πληγῆναι δοῦλόν σου ὑπὸ κυνῶν ἀλλοτρίων · ξενίαν τοῦ ἁγίου σου Πνεύματος καταξίωσόν με, Πάτερ ἅγιε, γενέσθαι, καὶ οἶκον τοῦ Χριστοῦ σου · οἰκοδόμησόν με, ὁ ὁδηγὸς τῶν πεπλανημένων · ὁδήγησόν με, ἵνα μὴ ἐκκλίνω εἰς τὰ ἀριστερά · πρόσωπόν σου, Κύριε, ἰδεῖν ἐπιποθῶ · ὁ Θεὸς, τῷ φωτὶ τοῦ προσώπου σου ὁδήγησόν με · ῥοῦν δακρύων χάρισαί μοι τῷ δούλῳ σου, καὶ ἰκμάδα τοῦ ἁγίου σου Πνεύματος δώρησαι τῷ πλάσματί σου, ἵνα μὴ ξηρανθῶ ὡς ἡ συκῆ ἣν σὺ κατηράσω · καὶ ἔστω τὰ δάκρυά μου εἰς ἐμὸν πόμα · καὶ ἡ προσευχή μου ἀντὶ βρώσεως. Τρέψον, Κύριε, τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί · καὶ δέξαι με εἰς τὰς αἰωνίους σου σκηνάς · φθασάτω με ἡ ἐλεημοσύνη σου, Κύριε, καὶ οἱ οἰκτιρμοί σου καταλαβέτωσάν με, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. Σὺ γὰρ εἶ Θεὸς ἀληθινὸς ἀφιὼν ἀνομίας. Καὶ μὴ καταδέξῃ, Κύριε, ἀτιμάσαι τὰ ἔργα τῶν χειρῶν σου, διὰ τὰ πλήθη τῶν ἀνομιῶν μου, ἀλλὰ ἀνακάλεσαί με, Δέσποτα, διὰ τοῦ μονογενοῦς σου Υἱοῦ τοῦ Σωτῆρος ἡμῶν · καὶ ἔγειρόν με κείμενον ὡς Λευὶ τὸν τελώνην · καὶ ζωοποίησόν με τὸν ἐν ἁμαρτίαις νενεκρωμένον, ὡς τῆς χήρας τὸν υἱὸν, ὅτι σὺ μόνος ὑπάρχεις ἡ ἀνάστασις τῶν τεθνεώτων. Καὶ σοὶ δόξα πρέπει εἰς τοὺς αἰῶνας. Ἀμήν.

A Signasti enim me arrhabone sancti tui Spiritus: reduxisti enim me ex altissima voragine iniquitatum mearum, ut ne in præda abduceret me inimicus. Jesu Christe, suffulci me atque sustenta, et esto mihi auxiliaris, tu in bello potens. Servus enim sum concupiscentiæ, ab hac misere oppugnor; sed tu, Domine, ne me derelinquas in terram disjectum, quandoquidem agnosco et damno opera mea. Emancipa me, Domine, jugo depressum miserandæ servitutis, qua mundi istius obstringor principi. Tuæ me ascribito clientelæ, tuus ut sim per observationem mandatorum tuorum, tu qui via es vitæ meæ, et Christus meus, sed et facies tua lumen oculorum meorum est. Deus Domine, et Domine vitæ meæ, extollentiam oculorum B meorum ne dederis mihi, et concupiscentiam pravam averte a me. Sustenta me, Domine, manu tua sancta. Appetitus ventris et concubitus non apprehendant me, et animæ irreverenti ne tradas me. Illustra in me lumen vultus tui, Domine, ut ne comprehendant me tenebræ, sed et qui obambulat eas, ne clancularii is suis dolis abripiat me. Ne tradas, Domine, bestiis invisibilibus animam confitentem tibi. Ne patiaris, Domine, servum tuum immaniter torqueri a canibus istis, qui a te alieni sunt et defecerunt. Dignum me efficito, Pater sancte, hospitali munere sancti tui Spiritus, meque exædifica in domicilium Christi tui. Dux eorum qui exerrarunt a via, prædux mihi esto et co- C mitare, ut ne ad sinistram declinem. Faciem tuam, mi Domine, flagrantibus votis videre concupisco. Deus, illustratione vultus tui dirige me in viam, flumen lacrymarum indulge mihi servo tuo, humorem sancti tui Spiritus huic tuo plasmati liberaliter impertire, ut ne exarescat exemplo ficulneæ illius cui tu maledixisti. Poculum mihi meæ sint lacrymæ, vicem alimoniæ suppleat oratio mea. **1146** Verte planctum meum in gaudium mihi; admitte me in æterna tabernacula tua. Anticipet me misericordia tua, Domine, et miserationes tuæ apprehendant me, et remitte omnia peccata mea. Tu enim, Deus verus, qui remittis iniquitates. Ne patiaris, Domine, opus manuum tuarum ullo atrociore aspergi opprobrio, ob multitudinem iniquitatum mearum; quin revoca me per unigenitum Filium tuum nostræ omnium salutis vindicem. Excita me misere jacentem, ut olim illum telonem Levi; vivifica me peccatorum morte tabefactum, ut tunc filium viduæ; tu solus resurrectio es mortuorum. Tibi gloria in sæcula. Amen.

Θέλει δὲ ὁ ἐν ἀληθείᾳ μετανοῶν ἐφ' οἷς ἔπραξε κακοῖς καὶ ἑαυτὸν ἐπιμέμφεσθαι, καὶ τὰ παρ' ἄλλων ὀνείδη καρτερῶς φέρειν · μετάνοια γάρ ἐστι τὸ ὑπ' ἀφρόνων χλευάζεσθαι, καὶ καρτερεῖν, καὶ ὁλοκαρδίως προσφέρειν τῷ Θεῷ ἐξομολόγησιν. Ὁ Ἡσαΐας ποτνιώμενος περὶ τῶν σκληρῶν καὶ ἀμετανοήτων, λέγει · « Μὴ οὐκ ἰσχύει Κύριος τοῦ σῶσαι ; ἀλλὰ διὰ τὰς ἁμαρτίας ὑμῶν ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ ἀφ' ὑμῶν, ὅτι οὐδεὶς λαλεῖ δίκαια, οὐδ' ἔστιν κρίσις ἀληθινή. » Ἕτερος δέ φησι · « Ὡς καλὸν ἐλεγχθέντα φανερῶσαι μετάνοιαν! Οὕτω γὰρ φεύξῃ

D Optet in primis, quem vere pœnitet, et se ob ea quæ perperam gessit, durius coargui, et quæ ab aliis ingeruntur opprobria, generose ferat; pœnitentia enim est ab imprudentibus subsannari: ac interim dum hæc toto perfers pectore, non desinis Deo offerre confessionem. Isaias Deum suppliciter obtestans pro duri admodum cordis hominibus, proque impœnitentibus, dicit: « Numquid non potest Dominus vos salvos facere? sed propter peccata vestra avertit faciem suam a vobis, quia nemo justa loquitur, neque est judicium verum [24]. »

[24] Isa. LIX, 1-3.

Sed et alter : « Quam bonum est, eum qui coarguitur, manifestare pœnitentiam ! sic enim effugies voluntarium peccatum [25]. » Rursus : « Peccasti ? ne addas ultra ; sed et pro peccatis tuis prioribus deprecare [26]. » Inducit item : « Quasi a facie serpentis fuge a peccato [27] ; » —« Sapiens enim timore correptus declinat a malo [28]. » Job item : « Quod si postquam peccavi, voluntarie occultavi peccatum meum, non enim reveritus sic sum copiosam multitudinem civitatis, quominus proderem, confiterer et evulgarem illud in conspectu eorum [29]. » Et in Actibus Petrus multitudini dixit : « Pœnitemini igitur et convertimini, ut deleantur peccata vestra, si quando venerint tempora refrigerii [30]. » Et nos, charissimi, quemadmodum superius mihi dictum est, una pœniteat vitæ prioris, corde prorsus sincero, a malis quæ ipsi gessimus, conversos ad Deum, ac dicentes : Peccavimus, propitius esto ; inique egimus, condona ; offendimus, conciliare tu nobis. Expurga nos, exemplo meretricis illius, ut publicanum illum nos etiamnum justifica. Veniat super me misericordia tua, super me roscidus humor clementiæ tuæ distillet, neque sinas me venundari pretio peccatorum meorum, nequando obdormiscam et emoriar amarissima morte peccati ; quin potius redime me a præsenti sæculo nequam. Indulge mihi pœnitentiæ tempus, locum purgandæ conscientiæ imparti. « Non enim est pax in ossibus meis a facie peccatorum meorum, quia iniquitates meæ supergressæ sunt caput meum, sicut onus grave gravatæ sunt super me [31] : » etenim, « Domine, si observaveris iniquitates, quis sustinebit ? quia apud te propitiatio est [32]. » **1147** Credamus igitur Deo, qui urgentibus peccatis, propriæ vitæ spem abjecimus, et convertamur ad Dominum Deum in plenitudine cordis nostri, operantes interim justitiam, quodque superest vitæ istius nostræ vertamus in legitimam ipsius servitutem pro bona ejus voluntate, ut medelam accuret oblitterandis prioris vitæ delictis, nobisque virtutem suggerat, qua adversus commenta diabolicæ malignitatis ipsi prævaleamus. Terriculamenta minasve ejus nihil omnino est quod timeamus. Emarcuit enim illius impuri virtus, quasi nervi prærmortui ; Quin potius omnipotentem Dominum revereamur, illius observemus mandata, atque in hoc vitam expleamus. Si ad eum modum cum gemitu ac lacrymis ipsum supplices obtestati fuerimus, utique respondebit quod per Ezechielem prophetam dixit : « Vivo ego, dicit Dominus, quia nolo mortem peccatoris, magis autem ut convertatur et vivat [33]. » Rursus : « In quacunque die conversus fuerit iniquus ab omnibus iniquitatibus suis, et fecerit justitiam, non erunt ultra in memoria peccata illius [34]. » Desiderat « Dominus magnopere salutem nostram [35]. » Dixit enim discipulis suis :

A ἐκούσιον ἁμαρτίαν. » Καὶ πάλιν, « Ἥμαρτες, μὴ προσθῇς ἔτι, καὶ περὶ τῶν προτέρων σου δεήθητι. » Καὶ ἐπάγει, « Ὡς ἀπὸ προσώπου ὄφεως φεῦγε ἀπὸ ἁμαρτίας. » — « Σοφὸς γὰρ φοβηθεὶς ἐξέκλινεν ἀπὸ κακοῦ. » Φησὶν δὲ καὶ ὁ Ἰὼβ, « Εἰ γὰρ καὶ ἁμαρτὼν ἐκουσίως, ἔκρυψα τὴν ἁμαρτίαν μου· οὐ γὰρ διετράπην πολυοχλίαν πόλεως, τοῦ μὴ ἐξαγορεῦσαι ἐνώπιον αὐτῶν. » Καὶ ἐν ταῖς Πράξεσιν ὁ Πέτρος τῷ πλήθει· « Μετανοήσατε οὖν καὶ ἐπιστρέψασθε, εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας, ὅπως ἂν ἔλθωσιν καιροὶ ἀναψύξεως. » Καὶ ἡμεῖς, ἀγαπητοὶ, καθὼς προείρηται, ἐξ εἰλικρινοῦς καρδίας μετανοήσωμεν ἀπὸ τῶν κακῶν, ὧν ἐπράξαμεν, ἐπιστραφέντες πρὸς τὸν Θεὸν, καὶ λέγοντες, Ἡμάρτομεν, ἱλάσθητι· ἠνομήσαμεν, συγχώρησον· προσεκρούσαμεν, καταλλάγηθι. Ὡς τὴν πόρνην καθάρισον· ὡς
B τὸν τελώνην δικαίωσον· ἐλθέτω ἐπ' ἐμὲ τὸ ἔλεός σου· ἐπισταξάτω ἐπ' ἐμὲ ἡ φιλανθρωπία σου. Καὶ μὴ συγχωρήσῃ με πραθῆναι ταῖς ἁμαρτίαις μου, μηδ' ὑπνῶσαι καὶ ἀποθανεῖν τὸν πικρὸν τῆς ἁμαρτίας θάνατον, ἀλλ' ἐξαγόρασόν με ἀπὸ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ. Δός μοι καιρὸν μετανοίας, καὶ τόπον ἀπολογίας, ὅτι « Οὐκ ἔστιν εἰρήνη τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου· ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου. Ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται ; ὅτι παρὰ σοῦ ἱλασμός ἐστιν. » Πιστεύσωμεν οὖν τῷ Θεῷ, οἱ διὰ τὰς ἁμαρτίας ἡμῶν ἀπεγνωκότες τῆς ζωῆς
C ἡμῶν· καὶ ἐπιστρέψωμεν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν ἐξ ὅλης τῆς καρδίας ἡμῶν· καὶ ἐργασώμεθα τὴν δικαιοσύνην τὰς λοιπὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, καὶ δουλεύσωμεν αὐτῷ ὀρθῶς κατὰ τὸ θέλημα αὐτοῦ· καὶ ποιήσει ἴασιν τοῖς προτέροις ἡμῶν παραπτώμασι. Καὶ ἔχομεν δύναμιν τοῦ κατακυριεῦσαι τῶν ἔργων τοῦ διαβόλου. Τὴν δὲ ἀπειλὴν αὐτοῦ ὅλως μὴ φοβηθῶμεν· ἄτονος γάρ ἐστιν, ὥσπερ νεκροῦ νεῦρα· ἀλλὰ φοβηθῶμεν τὸν παντοδύναμον Κύριον, καὶ τὰς ἐντολὰς αὐτοῦ φυλάξωμεν, καὶ ζήσωμεν ἐν αὐτῷ. Καὶ ἐὰν οὕτω μετὰ στεναγμῶν καὶ δακρύων ἱκετεύσωμεν πρὸς αὐτὸν, λέξει καὶ πρὸς ἡμᾶς διὰ Ἰεζεκιὴλ τοῦ προφήτου· « Ζῶ ἐγὼ, λέγει Κύριος, οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ
D ἐπιστρέψαι καὶ ζῆν αὐτόν. » Καὶ αὖθις, « Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπιστρέψῃ ὁ ἄνομος ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ, καὶ ποιήσει δικαιοσύνην, οὐ μὴ μνησθῶ ἔτι τὰ ἁμαρτήματα αὐτοῦ. » — « Πολλὰ γὰρ ποθεῖ ὁ Κύριος τὴν ἡμῶν σωτηρίαν. » Φησὶν γὰρ τοῖς ἑαυτοῦ μαθηταῖς, « Λέγετε αὐτοῖς, Μετανοεῖτε· ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. » Διὰ τοῦτο γὰρ καταλιπὼν τὰ ἐννενήκοντα ἐννέα πρόβατα ἐν τῷ ὄρει ὁ ποιμὴν ὁ καλὸς, πορεύεται ζητῶν τὸ ἀπολωλὸς, καὶ εὑρὼν βαστάζει ἐπὶ τοὺς ὤμους αὐτοῦ χαίρων, καὶ συγκαλεῖ τὰς ἄνω δυνάμεις, χαίρων καὶ λέγων, « Συγχάρηθη[τέ] μοι, ὅτι εὗρον τὸ ἀπολωλός. » Καὶ ἐπάγει, « Λέγω ὑμῖν ὅτι οὕτως χαρὰ ἔσται ἐν τῷ

[25] Eccli. xx, 4. [26] Eccli. xxi, 1. [27] ibid. [28] Prov. xiv, 16. [29] Job xxxi, 33, 34. [30] Act. iii, 19. [31] Psal. xxxvii, 4, 5. [32] Psal. cxxix, 3, 4. [33] Ezech. xviii, 23. [34] Ezech. xxxiii, 12, 13. [35] Tim. ii, 4.

οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι ἢ ἐπὶ ἐννενήκοντα ἐννέα δικαίοις, οἵτινες οὐ χρείαν ἔχουσι μετανοίας. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A « Dicite eis : Pœnitentiam agite, appropinquavit enim regnum cœlorum [36]. » Ob hoc enim bonus hic pastor, relictis nonaginta novem ovibus, in monte erraticam illam ubi invenit, impositam humeris refert ad caulam gaudens. Convocat sublimes illas virtutes, dicens : « Congratulamini mihi quia inveni perditam illam oviculam [37]. » Et inducit : « Dico vobis, quia sic erit gaudium in cœlo super uno peccatore pœnitentiam agente magis quam super nonaginta novem justis qui non indigent pœnitentia [38]. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΟΗ'.

Περὶ ὑπομονῆς.

Ὀλίγα τινὰ περὶ μετανοίας ἡμῖν προδιαλεχθέντες, εἴπωμεν Θεοῦ συνεργοῦντος καὶ περὶ ὑπομονῆς τῆς σωζούσης τὸν ἄνθρωπον· ὅσα ἡ αὐτοῦ παρέχει φιλανθρωπία. Χρῄζει γὰρ ἡ μετάνοια τῆς ὑπομονῆς, καὶ χωρὶς αὐτῆς τελειωθῆναι οὐ δύναται. Μονόπτερος γὰρ ἀετὸς οὐ δύναται εἰς ὕψος ἀναπτῆναι· καὶ ὑπομονὴ τελειοῖ τὴν μετάνοιαν, καὶ στεφανηφοροῦσαν αὐτὴν ἀναδείκνυσιν. Οὐ μόνον δέ ἐστιν χρήσιμος ἡ ὑπομονὴ εἰς τὴν τῆς μετανοίας συνέργειαν, ἀλλ' οὐδ' ὅλως ἀρετὴν ἢ ἐντολὴν Θεοῦ δυνάμεθα χωρὶς αὐτῆς κατορθῶσαι. Τὸ κεφάλαιον οὖν τῶν ἐν ἡμῖν ἀγαθῶν ἡ ὑπομονὴ τυγχάνει. Καὶ χρὴ πάντα πειρασμὸν καὶ θλῖψιν μεθ' ὑπομονῆς καὶ εὐχαριστίας προσδέξασθαι, ὅπως καταλάβωμεν τὴν γῆν τῆς ἐπαγγελίας. Καλὸν δὲ τὸ μὴ μεταβαίνειν ἐκ τόπου εἰς τόπον. Ἕκαστος γὰρ ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ μενέτω. Ἡ ὑπομονὴ πόνον ἐκδιδάσκει, καὶ τοὺς ἔξωθεν πειρασμοὺς κατὰ τῆς ἐγκρατείας καρτερῶς φέρει. Ὃν τρόπον γάρ, μὴ θερμανθεὶς μηδὲ μαλαχθεὶς ὁ κηρὸς ἐπὶ πολὺ, οὐ δύναται τὴν ἐπιτιθεμένην αὐτῷ σφραγῖδα δέξασθαι· οὕτως οὐδὲ ἄνθρωπος ἐὰν μὴ διὰ πόνων καὶ ἀσθενειῶν δοκιμασθῇ, οὐ δύναται χωρῆσαι τῆς ἀρετῆς τοῦ Θεοῦ τὴν σφραγῖδα. Διὰ τοῦτο ὁ Κύριος ἔλεγε τῷ Παύλῳ· « Ἀρκεῖ σοι ἡ χάρις μου. Ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. » Ὅτε ἀφῆκεν ὁ διάβολος τὸν Κύριον, τότε ἦλθον οἱ ἄγγελοι, καὶ διηκόνουν αὐτῷ. Ὥσπερ οὖν ἐν τῷ πειράζεσθαι αὐτὸν οὐ παρῆσαν οἱ ἄγγελοι, οὕτως καὶ ἡμῶν πειραζομένων καιρῷ τινι ὑποχωροῦσιν οὐ μακρὰν οἱ τοῦ Θεοῦ ἄγγελοι, καὶ μετὰ τὴν ἀναχώρησιν τῶν πειραζόντων, ἔρχονται πρὸς ἡμᾶς διακονοῦντες θεῖα νοήματα, φωτισμὸν, κατάνυξιν, γλυκασμὸν, καὶ ὑπομονήν· καὶ λοιπὸν ἀνακτᾶται ψυχὴ, ὡς κοπιάσασα. Διὰ τοῦτο καὶ ὁ Ἡσαΐας λέγει· « Οἱ ὑπομένοντες τὸν Θεὸν, ἀλλάξουσιν ἰσχύν· πτεροφυήσουσιν ὡς ἀετοί· δραμοῦνται, καὶ οὐ κοπιάσουσι· βαδιοῦνται, καὶ οὐ πεινάσουσιν. » Καθὼς φησιν καὶ ὁ Μωϋσῆς πρὸς τὸν λαόν· « Διὰ τοῦτο ἐπείρασέ σε, καὶ ἐκάκωσέ σε, ἵνα ψωμίσῃ σε τὸ μάννα, ἵνα γνωσθῇ τὰ ἐν τῇ καρδίᾳ σου. Ὡς εἴ τις παιδεύει ἄνθρωπος τὸν υἱὸν αὐτοῦ, οὕτως Κύριος ἐπαίδευσέ σε. » Καὶ αὖθις, « Καὶ ἐκάκωσέ σε Κύριος, ἵνα εὖ σοι ποιήσῃ ἐπ' ἐσχάτων. » Λέγει δὲ καὶ ὁ προφήτης Ναούμ· « Χρηστὸς Κύριος τοῖς ὑπομένουσιν αὐτὸν ἐν ἡμέρᾳ θλίψεως. » Ἄλλος δέ· « Μὴ εἴπῃς, Κακῶς χρήσομαι τὸν ἐχθρόν μου, ἀλλ' ὑπόμεινον τὸν Κύ-

HOMILIA LXXVIII.

De patientia.

Et quidem de pœnitentia cum perpauca disseruerimus vobis priore sermone, superest, Deo cooperante, nonnihil ut dicamus de patientia, quæ sane hominem recta provehit ad salutis portum. Ea utique dicemus, quæcunque ipsius Domini suggeret benignitas. Pœnitentia enim indiga admodum est patientiæ, citra cujus operam perfici neutiquam possit. Neque enim aquila unialis si est et alterutrius destituta præsidio, queat unquam subvolare et in sublime sustolli. Patientia pœnitentiam perficit, et eam velut indice ostentat præsigni corona redimitam. Nec eo solum conducibilis nobis censenda est patientia, quod efficaciter cooperetur perficiundæ pœnitentiæ, sed quod nulla prorsum virtus, nullumve Dei mandatum nisi hac comite, legitime perfici queat. Bonorum igitur (si qua in nobis sunt) cardo et caput patientia est. Omnem proinde tentationem, afflictionem omnem necesse sit ut suscipiamus cum patientia et gratiarum actione, quo vel tandem assequi detur terram illam promissionis. **1148** Egregium plane sit, non facile (plani in morem ac vagi) e loco in locum diduci. Unusquisque enim in quod vocatus est, in eo et maneat. Patientia solum hoc te edocet, per abstinentiam infracto ut feras animo tentationes quæ alicunde extrinsecus te adoriuntur. Quemadmodum enim cera ut plurimum, nisi recalescat aut præmolliatur, non facile in se recipit sigilli impressionem; ita et homo, nisi laborum ac multivariæ infirmitatis probetur exercitio, neutiquam sinet insigniri se signaculo divinæ gratiæ. Ob hoc Paulo respondit Dominus : « Sufficit tibi gratia mea, virtus enim mea in infirmitate perficitur [39]. » Quando Dominum dimisit diabolus, tunc venerunt angeli, et ministrabant ei [40]. Quemadmodum igitur dum tentaretur, non leguntur affuisse angeli, ita nobis quoque in tentatione positis, tantillo interim se submovent tempore, nec procul tamen absistunt angeli Dei. Cæterum mox a tentatoris secessu, instant nobis suggerentes quæ ad divinæ bonitatis cogitationem faciant; puta, illustrationem mentis, compunctionem, dulcedinem spiritus et patientiam; atque ita deinceps, anima talis amissas resumit vires, ac refovetur pro modulo toleratæ afflictionis. Propter hoc Isaias : « Sustinentes Deum mutabunt fortitudinem, assument

[36] Matth. III, 2. [37] Luc. XV, 6. [38] ibid. 7. [39] I Cor. XII, 9. [40] Matth. IV, 11.

pennas ut aquilæ, current et non lassescent, vadent et non esurient [41]. » Et Moses ad populum : « Propter hoc tentavit te et afflixit te, ut pasceret te manna, ut nota fierent quæ in corde tuo versabantur, quasi si quis erudit homo filium suum, sic Dominus erudivit te [42]. » Rursus : « Et afflixit te Dominus, ut bene tibi faceret in postremis tuis [43]. » Dicit autem et propheta Nahum : « Bonus Dominus exspectantibus eum in die tribulationis [44]. » Alius item : « Ne dicas, Ultionem expetam de inimico meo, sed sustine Dominum ut auxilietur tibi, non enim fraudabit patientia pios [45]. » Ad eum modum nihil non sufferebat lenissimo et placabili animo vir David. Neque enim is cum intoleranda maledicentia lacesseretur, et audiret : « Egredere, vir iniquus [46], » ullum dedit concitati animi indicium. Sed et consobrinus ipsius tali indignitate permotus cum dixisset, « Quis hic est canis qui maledicit domino meo regi? Profectus hinc, percutiam eum, et auferam caput ipsius [47]; » hunc durius coarguit, dicens : « Dimitte eum, ut maledicat mihi, ut videat Dominus et pro maledictione hac retribuat mihi bona [48]. » Quocirca non abs re psallebat : « Exspectans exspectavi Dominum, et intendit mihi, et exaudivit deprecationem meam [49]. » [Rursus : « Exspectabo nomen tuum, quoniam bonum in conspectu sanctorum tuorum [50]. »] Qui et nos ad patientiam adhortatur, dicens : « Viriliter age, et confortetur cor tuum, et sustine Dominum [51]; sustinentes enim Dominum ipsi hæreditabunt terram viventium [52]. » Et : « Non confundentur, qui exspectant te, Domine, Domine virtutum [53]. » Vasa enim figuli probat fornax, et tentatio hominis in cogitationibus ejus [54]. Væ autem iis qui perdiderunt **1149** patientiam. Et quid facient, cum visitabit Dominus [55]? Patientia enim pauperum non peribit in finem [56]. » Ait autem et Sophonias : « Si moram fecerit, exspecta eum; quia veniens veniet et non tardabit [57]. » Et : « Si subtraxerit se justus, non placebit in illo anima mea [58]. » Et Paulus : « Si sustinuerimus, et conregnabimus [59]. » Rursus : « Patientia vobis necessaria est, ut voluntatem Dei facientes reportetis promissiones [60]. » Jacobus quoque : « Omne gaudium existimate, fratres mei, cum in tentationes varias incideritis, scientes quod probatio fidei vestræ patientiam operatur; patientia autem opus perfectum habeat [61]. » Inducit idem : « Beatus vir qui suffert tentationem, quoniam, cum probatus fuerit, accipiet coronam vitæ [62]. » Dominus item : « Qui sustinuerit usque in finem, hic salvus erit [63]. » Iterum : « In patientia vestra possidebitis animas vestras [64]. » Ipsi gloria in sæcula. Amen.

ριον ἵνα σοι βοηθήσῃ· οὐ καθυποστερήσει γὰρ ὑπομονὴ εὐσεβεῖς. » Οὕτως ὑπέμεινε καὶ ὁ πραΰτατος Δαβίδ· κατακείμενος γὰρ καὶ λιθαζόμενος ὑπὸ τοῦ Σεμεΐ, καὶ ἀκούων, « Ἐξελθε, ἀνὴρ ὁ παράνομος, » οὐκ ἠγανάκτησε. Χαλεπήναντος δὲ ἐπὶ τούτῳ τοῦ ἀνεψιοῦ αὐτοῦ, καὶ εἰπόντος· « Τίς ἐστιν οὗτος ὁ κύων ὃς καταρᾶται τὸν Κύριόν μου τὸν βασιλέα, παρελθὼν δὲ πατάξω αὐτὸν, καὶ ἀφελῶ τὴν κεφαλὴν αὐτοῦ· » ἐπετίμησεν αὐτῷ, λέγων· « Ἄφετε αὐτὸν καταρᾶσθαί με, ὅπως ᾖδῃ Κύριος, καὶ ἀνταποδώσῃ μοι ἀγαθά. » Ὅθεν εἰκότως ἔψαλλεν· « Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι· καὶ εἰσήκουσεν τῆς δεήσεώς μου. » Προτρεπόμενος δὲ ἡμᾶς, φησίν· « Ἀνδρίζου καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον. Οἱ γὰρ ὑπομένοντες τὸν Κύριον, αὐτοὶ κληρονομήσουσι γῆν τῶν ζώντων. » Καὶ, « Οὐ μὴ αἰσχυνθείησαν οἱ ὑπομένοντές σε, Κύριε, Κύριε τῶν δυνάμεων. Σκεύη γὰρ κεραμέως δοκιμάζει κάμινος, καὶ πειρασμὸς ἀνθρώπου ἐν διαλογισμοῖς αὐτοῦ. Οὐαὶ δὲ τοῖς ἀπολωλεκόσι τὴν ὑπομονήν. Καὶ τί ποιήσωσιν ὅταν ἐπισκέπτηται ὁ Κύριος; Ἡ γὰρ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος. » Καὶ ὁ Σοφονίας· « Ἐν ὑστερήσῃ, ὑπόμεινον αὐτόν· ὅτι ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. » Καὶ, « Ἐὰν ὑποστείληται ὁ δίκαιος, οὐκ εὐδοκεῖ ἐν αὐτῷ ἡ ψυχή μου. » Καὶ ὁ Παῦλος· « Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. » Καὶ πάλιν· « Ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσητε τὰς ἐπαγγελίας. » Καὶ ὁ Ἰάκωβος· « Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις, γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν· ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω. » Καὶ ἐπάγει· « Μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμὸν, ὅτι δόκιμος γενόμενος, λήψεται τὸν στέφανον τῆς ζωῆς. » Ὁ δὲ Κύριός φησιν· « Ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. » Καὶ πάλιν· « Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσεσθε τὰς ψυχὰς ὑμῶν. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

HOMILIA LXXIX.

De agone.

Agon commilito est et consors patientiæ. Verius initium est et finis; ac prope dixerim, amplius quiddam. Adeo enim alterutra alterius ope eget ac mutua compagine, ut neutra possit ad victricem pertingere coronam sine sua compare. Con-

ΛΟΓΟΣ ΟΘ'.

Περὶ ἀγῶνος.

Ὁ ἀγὼν, συστρατιώτης ἐστὶν καὶ συμμέτοχος τῆς ὑπομονῆς· μᾶλλον δὲ ἀρχὴ καὶ τέλος, καὶ σχεδὸν εἰπεῖν, ἓν τί ἐστιν δεόμενον τῆς παρ' ἀλλήλων βοηθείας καὶ συνάρσεως. Οὐδὲ γὰρ δυνατὸν ἑτέραν χωρὶς θατέρας στεφανωθῆναι. Ἐναρμονίως γοῦν καὶ

[41] Isa. XL, 31. [42] Dent. VIII, 2, 5. [43] ibid. 16. [44] Nahum I, 7. [45] Prov. XX, 22. [46] II Reg. XVI, 17. [47] ibid. 9. [48] ibid. 10. [49] Psal. XXXIX, 1. [50] Psal. LI, 11. [51] Psal. XXVI, 14. [52] Psal. XXXVI, 2. [53] Psal. LXVIII, 7. [54] Eccli. XXVII, 6. [55] Eccli. II, 16, 17. [56] Psal. IX, 19. [57] Imo Habac. II, 3. [58] Hebr. X, 38. [59] II Tim. II, 12. [60] Hebr. X, 36. [61] Jac. I, 2-4 [62] Ibid. 12. [63] Marc. XIII, 13. [64] Luc. XXI, 19

ἀκολούθως ἐζεύξαμεν τῇ ὑπομονῇ τὸν ἀγῶνα, ὅτι κατὰ παντὸς πάθους διαβολικοῦ τὴν νίκην ἀποφέρονται, συνεπισχύοντος καὶ ἐπαμύνοντος τοῦ ἀγωνοθέτου Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται, καὶ οὐ παύεται, ἕως ἂν ἐξαλείψῃ Κύριος πάντας τοὺς ἐχθροὺς ἀπὸ προσώπου αὐτοῦ. Ἡ οὖν ἐγκράτεια διπλῆ ἐστιν. Ἐπὶ τινῶν γὰρ δεῖ ἐγκρατεύεσθαι, ἐπὶ τινῶν δὲ οὐ δεῖ. Τὸ πονηρὸν γὰρ δεῖ ἐγκρατεύεσθαι, καὶ μὴ ποιεῖν αὐτό. Τὸ δὲ ἀγαθὸν μὴ ἐγκρατεύεσθαι, ἀλλὰ ποιεῖν. Ἐγκράτευσαι οὖν ἀπὸ πάσης πονηρίας, ἐργαζόμενος τὸ ἀγαθόν· ἐγκράτευσαι ἀπὸ μοιχείας, πορνείας, μεθύσματος, ἀνομίας, ἀπὸ τρυφῆς, ἀπὸ πονηρίας, ἀπό τε ἐδεσμάτων πολλῶν, καὶ πολυτελείας, πλούτου καὶ καυχήσεως, ὑψηλοφροσύνης καὶ ὑπερηφανίας, καὶ ἀπὸ ψεύσματος, καὶ καταλαλιᾶς καὶ ὑποκρίσεως, καὶ μνησικακίας, καὶ πάσης βλασφημίας, κλέμματος, ἀποστερήσεως, ψευδομαρτυρίας, πλεονεξίας, ἐπιθυμίας πονηρᾶς, ἀπάτης, κενοδοξίας, ἀλαζονείας, καὶ ὅσα τούτοις ὅμοιά ἐστιν. Τούτων δὴ τῶν ἔργων δεῖ ἐγκρατεύεσθαι τὸν ἀγωνιστὴν καὶ δοῦλον τοῦ Θεοῦ. Εἰσὶν δὲ καὶ ἔργα ἀγαθὰ ἃ δεῖ ἐργάζεσθαι καὶ μὴ ἐγκρατεύεσθαι· πρὸ δὲ πάντων, πίστις, φόβος Κυρίου, ἀγάπη, ὁμόνοια, ῥήματα δικαιοσύνης, ἀλήθεια, ὑπομονή, χήραις ὑπηρετεῖν, ὀρφανοὺς ὑστερουμένους ἐπισκέπτεσθαι, ἐξ ἀναγκῶν λυτροῦσθαι τοὺς δούλους τοῦ Θεοῦ, φιλόξενον εἶναι, ἡσυχον, ἐνδεέστερον γενέσθαι πάντων ἀνθρώπων, πρεσβύτας σέβεσθαι, ἀσκεῖν δικαιοσύνην, ἀδελφότητα συντηρεῖν, μακρόθυμον εἶναι, μνησικακίαν μὴ ἔχειν, κάμνοντας τῇ ψυχῇ παρακαλεῖν, ἐσκανδαλισμένους ἀπὸ πίστεως μὴ ἀποβάλλεσθαι, ἀλλ' ἐπιστρέφειν καὶ εὐθύμους ποιεῖν, ἁμαρτάνοντας νουθετεῖν, χρεώστας μὴ θλίβειν ἐνδεεῖς· καὶ εἴ τινα τούτοις ὅμοιά ἐστιν. Ταῦτα γὰρ ἐάν τις φυλάξῃ καὶ μὴ ἐγκρατεύσηται ἀπ' αὐτῶν, ζήσεται τῷ Θεῷ. Χρὴ δὲ τὸν ἀγωνιστὴν καὶ ἐκτήκειν τὸν ἀντίπαλον ἐν τῇ ἑαυτοῦ σαρκὶ, ἵνα μὴ διὰ τῆς ὑγρότητος ὀλισθαίνῃ ὁ νοῦς εἰς τὸ λεῖον τῶν ἡδονῶν, ὅπως ὁ νοῦς τῶν ἀγωνιζομένων ὑπὸ τοῦ θείου φωτὸς ἐνεργῆται, καὶ τῷ θείῳ νόμῳ δουλεύῃ καὶ συνήδηται, κατὰ τὸν Ἀπόστολον.

A cinno igitur ordine ac rationi consentaneo patientiæ connexuimus agonem. Utraque enim Domino nostro Jesu Christo (qui spiritualis palæstræ totius agonothetes est) vires suggerente ac protegente, palmarem victoriam reportat adversus omnem diabolicæ perturbationis violentam impressionem. Qui in agone contendit, ab omnibus se abstinet, nec interquiescit donec inimicos remoliatur et aboleat a facie sua. Sane temperantia duplex est. Quædam enim sunt a quibus necesse sit tibi ut temperes, alia item sunt quæ opus sit ut exsequaris. Ab improbitate, operæ sit pretium ut abstineas, nec expleas opere : contra, ab eo quod bonum est et honestum manus ne contrahito, magis autem eas fac accommodes pio operi. Ab B omni igitur malitia manus amolitor honesto cuipiam operi attentus. Fac contineas ab adulterio, a fornicatione, ab ebrietate, ab iniquitate et legis transgressione, a geniali luxu deliciarum, ab eduliorum immoderata copia, ab immodico quæstu divitiarum, ab impotenti jactantia, ne quid de te senseris sublimius, ne per superbiam evehere. Abstine a mendacio, detractione, hypocrisi. Acceptæ injuriæ memor ne esto. Provide tibi ut temperes ab omni blasphemia, a furto, a veteratoria fraude, falso testimonio, avaritia, concupiscentia mala, impostura et circumventione, ab inanis gloriæ appetitu, et arrogantia, denique ab iis quæcunque horum sunt perquam similia. Ab istis igitur operibus quisquis es, o serve Dei, qui C spiritualis vitæ aggrederis certamen, modis omnibus temperandum censeo. **1150** Sunt contra et bona opera quæ ut opereris, necesse sit, non item ut ab eis contineas. Omnium primum fides est, deinde timor Domini, charitas, concordia animorum, verba justitiæ, veritas, patientia, subservire viduis, pupillos solatio destitutos parentum intervisere, servos Dei quavis necessitate oppressos extricare ac redimere, hospitio excipere peregrinos, esse requietum et taciturnum, postremo ut de omnibus in commune bene merearis, senes reveretor, justitiam excerceto, fraternam conservato dilectionem. Longanimem convenit esse te ac tolerantem, nullius a quopiam acceptæ injuriæ memineris, fac eos consoleris qui animo afflictantur et laborant. Qui etiamnum in fide hærent perplexi et scandali quidpiam adierunt, hos ne abjicito, magis autem adnitere, in viam ut redeant fidei, bonoque sint et alacri ad fidem animo. In errores devios qui exorbitant, tuo hortatu et consilio ad rectitudinem revoca. Debito quopiam obstrictos tibi, inopia si premuntur, ne afflictes ; et si qua his confinia sunt. Isthæc opera quisquis rite observaverit, non item ab ejusmodi manus contraxerit per socordiam ac lentorem animi, utique vivet Deo. Opus ad hæc fuerit, ut qui in spirituali agone decertat, suum maceret et tabe conficiat adversarium in carne propria delitescentem, ne humore exsudanti periclitetur mens, et concidat præceps in livorem ac planitiem illicium voluptatum, quo mens ipsa spiritualem agonem sustinentium, illustrata divini luminis splendore, efficacius operetur, legi Dei serviat et condelectetur [68], juxta Apostoli sententiam.

Δεῖ οὖν εὐτρεπίσαι τὸν νοῦν καὶ μετῳκίσαι τὴν διάνοιαν, καὶ ὑπερκύψαι τὸν οὐρανὸν, καὶ πάσης κτίσεως ὑπεράνω που γενέσθαι, καὶ διαπύρῳ ἐπιθυμίᾳ, ἀκταπαύστῳ τῇ διανοίᾳ πρὸς ἐκεῖνα προσδε-

D Sed et eadem adornanda venit et immutanda animi cogitatio, et ad cœlum usque transcribenda est et attollenda, supraque omnem creaturam in sublime est erigendus animus, et flagranti

[68] Rom. VII, 22.

desiderio, irrequieta atque perpeti cogitatione par est ut adhærescat et astringatur præceptis, quæ agonistæ illi veraces opere ipso repræsentarunt, suaque sententia sanxerunt piis observanda, dum se agone spirituali exercerent. Illi enim eminus et e longinquo prospectu, per fidem contemplati promissiones, nullam afflictionum accessionem prolixitudinemve recusarunt perferre. Etenim fidelem esse eum crediderunt, qui repromisit; exspectantes interim diem illum Dominici adventus insigni claritate prælustrem futurum, quo suos famulos publico præconio declaraturus est, cum venerit in nubibus cœli, inque unum suos aggregabit sanctos, nimirum spirituales agonistas et integerrimos. Necesse igitur est ut decertemus : et quidem corpus continuæ asperitati objiciendum adversus autem improbas cogitationes omni securitate et patientia præmuniendæ sunt animæ. Oportet insuper, ut accuremus testimonium conscientiæ propriæ habere in conspectu Dei. « Exspectans, » enim, « exspectavi Dominum; intendit mihi [66]. » Non enim potest quis indipisci virtutem, ni prius (pro illius assecutione) cum labore et tolerantia afflictionum, cum hoste congrediatur. Ex adverso enim obluctandum peccato est usque ad mortem, et acri certamine atque indesinenter in procinctu consistendum [67], juxta Paulinam vocem. Dicit proinde Scriptura : « Ante hominem posita sunt vita et mors, et quod placuerit, dabitur ei [68]. » Sed enim **1151** pia ac prudens cogitatio, domina astruitur esse affectionum : per frugalitatem enim vitæ sive temperantiam adversus ventris ingluviem prævalet et concupiscentiam : justitia autem comite, malitiam omnem subigit, vincit vero fortitudine iracundiam, at prudenti consideratione suppeditat timorem et excludit : idque non quod asserat eas animi affectiones vi illarum virtutum prorsus exinaniri, quin potius mistione quadam esse invicem conjunctas. Neque enim consideratio sive ratiocinatio quantalibet, possit ab radice convellere omnem passionum intemperiem, sed in hoc indulta homini est, ut ipsis obluctetur ac repugnet i. Ob hoc ait quidem : Concupiscentiam nemo vestrum prorsus exstirpare potest : sed quid? Ut ne concupiscentiæ serviatur, hoc ipso præstare potest consideratio. Sane non mediocri opus agone, ut revera et efficaciter dicere possimus cum Paulo : « Bonum certamen certavi, cursum consummavi, fidem servavi : in reliquum reposita est mihi corona justitiæ [69]. » Idem nos ad exempli similis imitationem exercens, dicebat : « Qui in agone contendit, non coronabitur nisi legitime decertaverit [70]. » Iterum : « Nescitis, quod qui in stadio currunt, omnes quidem currunt, sed unus accipit bravium! sic currite, ut comprehen-

A δέσθαι ἃ καὶ οἱ ἀληθινοὶ ἀγωνισταὶ ἔδειξαν, καὶ ἐδοξάσθησαν ἐν τῷ ἀγῶνι αὐτῶν. Πόῤῥωθεν γὰρ ἐωρ-κότες τὰς ἐπαγγελίας διὰ πίστεως, μῆκος θλίψεων ὑπέμειναν, ἐπεὶ πιστὸν ἡγήσαντο τὸν ἐπαγγειλάμενον, ἀπεκδεχόμενοι τὴν λαμπρὰν ἡμέραν τοῦ Δεσπότου, ἐν ᾗ ἀναδείξει ὁ Θεὸς τοὺς ἑαυτοῦ θεράποντας, ὅταν ἔλθῃ ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, καὶ συναγάγῃ τοὺς ὁσίους αὐτοῦ τοὺς τελείους ἀγωνιστάς. Χρὴ οὖν δοκιμάζεσθαι καὶ ὑποφέρειν συνεχέσι μὲν ἀνωμαλίαις τὸ σῶμα, λογισμοῖς δὲ πονηροῖς τὰς ψυχάς. Οὐκοῦν μετὰ πάσης ἀσφαλείας καὶ ὑπομονῆς χρὴ τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν κατεργάζεσθαι ἡμᾶς ἐνώπιον τοῦ Θεοῦ. « Ὑπομένων γὰρ, ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι. » Οὐ δύνα-

B ται γάρ τις κτήσασθαι ἀρετὴν, εἰ μὴ πρότερον ὑπὲρ αὐτῆς ἕως αἵματος παρατάξηται. Δεῖ γὰρ ἕως θανάτου ἀντικαθίστασθαι πρὸς τὴν ἁμαρτίαν, ἀγωνιστικῶς καὶ ἀνεκλύτως, κατὰ τὸν ἀπόστολον Παῦλον. Λέγει δὲ καὶ ἡ Γραφή· « Ἐναντίον ἀνθρώπου ἡ ζωὴ καὶ ὁ θάνατος, καὶ ὃ ἐὰν εὐδοκήσῃ, δοθήσεται αὐτῷ. » Καὶ γὰρ δεσπότης τῶν παθῶν λέγεται εἶναι ὁ ἀσεβὴς καὶ φρόνιμος λογισμός· διὰ μὲν σωφροσύνης ἐπικρατεῖν γαστριμαργίας τε καὶ ἐπιθυμίας· διὰ δὲ δικαιοσύνης, πάσης κακίας· διὰ δὲ ἀνδρείας, θυμοῦ καὶ λογισμοῦ καὶ φόβου· καὶ ταῦτα οὐχ ὥστε αὐτὰ καταλῦσαι, ἀλλ' ὥστε αὐτοῖς μὴ εἶξαι. Οὐ γὰρ ἐκριζωτής ἐστι τῶν παθῶν ὁ λογισμὸς, ἀλλ' ἀνταγωνιστής. Διόπερ, φησὶν, ἐπιθυμίαν τις ὑμῶν οὐ δύναται ἐκκόψαι, ἀλλὰ μὴ δουλωθῆναι τῇ ἐπιθυμίᾳ δύναται

C ὁ λογισμὸς παρισχέσθαι. Πολλοῦ οὖν ἀγῶνος χρεία, ἵνα καὶ ἡμεῖς σὺν τῷ Παύλῳ ἐνεργῶς εἴπωμεν, « Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα, λοιπὸν ἀπόκειταί μοι τῆς δικαιοσύνης στέφανος. » Ἐπαλείφων δὲ καὶ ἡμᾶς πρὸς τὸν ὅμοιον ζῆλον, ἔλεγεν· « Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. » Καὶ πάλιν· « Οὐκ οἴδατε, ὅτι ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον; οὕτω τρέχετε, ἵνα καταλάβητε. Ἐγὼ τοίνυν οὕτως τρέχω ὡς οὐκ ἀδήλως, οὕτως πυκτεύω, ὡς οὐκ ἀέρα

D δέρων· ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. » Ἐπιστέλλει δὲ καὶ Φιλιππησίοις· « Τὸν αὐτὸν ἀγῶνα ὃν εἴδετε καὶ ἐμάθετε ἐν ἐμοὶ, καὶ νῦν ἀκούετε. » Τοῖς δὲ Ἑβραίοις φησίν· « Οὔπω μέχρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι· καὶ ἐκλέλησθε τῆς παρακλήσεως ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται· Υἱὲ, φησὶν, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει, μαστιγοῖ δὲ πάντα Υἱὸν ὃν παραδέχεται. » Ἄλλους δὲ ἐγκωμιάζων λέγει· « Ὥστε ἡμᾶς καυχᾶσθαι ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν, καὶ πίστεως ἐν πᾶσι τοῖς διωγμοῖς ὑμῶν καὶ θλίψεσιν, αἷς ἀνέχεσθε, ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ Θεοῦ, ὑπὲρ ἧς καὶ πάσχετε. Ὅσοι γὰρ θέλουσι

[66] Psal. xxxix, 2. [67] Ephes. vi, 12. [68] Deut. xxx, 19. [69] II Tim. iv, 7, 8. [70] II Tim. ii, 5.

VARIÆ LECTIONES.

i Nota hunc non tueri immobilitatem erga passiones.

εὐσεβῶς ζῆν ἐν Χριστῷ, διωχθήσονται. » Ὁ δὲ Ἰωάννης, « Μὴ θαυμάζετε, φησὶν, ἀδελφοί, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος· ἡμεῖς οἴδαμεν ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. » Καὶ ὁ Κύριος· « Ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν· καὶ πολλοί εἰσιν οἱ εἰσπορευόμενοι δι' αὐτῆς, ὅτι στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, » [ἧς ἀξιωθείημεν χάριτι Χριστοῦ τοῦ Θεοῦ.] Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A datis [71]; ego igitur sic curro, non quasi in incertum; sic pugno, non quasi aerem verberans; sed castigo corpus meum et in servitutem redigo, ne forte cum aliis prædicaverim, ipse reprobus efficiar [72]. » Ad Philippenses autem per Epistolam dicit : « Certamen quod vidistis et didicistis in me, et nunc auditis [73]. » Ad Hebræos quoque : « Nondum usque ad sanguinem restitistis adversus peccatum repugnantes, et obliti estis consolationis quæ vobis tanquam filiis loquitur : Fili, ait, noli negligere disciplinam Domini, neque fatigeris dum ab eo argueris : quem enim diligit Dominus, castigat : flagellat autem omnem filium quem recipit [74]. » Alios item non mediocri laude commendans, ait : « Ita ut nos gloriemur pro patientia vestra et fide in omnibus persecutionibus vestris et tribulationibus, quas sustinetis in exemplum justi judicii Dei, pro qua et patimini [75]; quicunque enim volunt pie vivere in Christo, persecutionem patientur [76]. » Joannes autem ait : « Nolite mirari (fratres) si odit vos mundus, nos scimus quia translati sumus de morte ad vitam [77]. » Dominus vero : « Contendite intrare per angustam portam, quia lata est porta et spatiosa via quæ ducit ad perditionem, et multi sunt qui vadunt per eam : quam angusta vero porta, et arcta est via quæ ducit ad vitam [78]. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ Π'.

Περὶ ὁμονοίας.

Εὐαπόδεκτον Θεῷ τῆς ἑνώσεως τῆς Ἐκκλησίας φροντίζειν, ἧς οὐδὲν ἄμεινον ἐν ἀνθρώποις. Καὶ τὸ, πάντας βαστάζειν, ὡς καὶ ἡμᾶς ὁ Κύριος, καὶ πάντων ἀνέχεσθαι ἐν ἀγάπῃ. Καὶ οὐ χρὴ εὐλόγῳ δῆθεν προφάσει, ἵνα μὴ εἴπω, καὶ λίαν ἀλόγῳ, ἀποσπᾶν ἑαυτοὺς τοῦ σώματος τῆς Ἐκκλησίας, καὶ ἰδιάζειν, ἀλλ' ἐπὶ τὸ αὐτὸ μία προσευχὴ, μία δέησις, εἷς νοῦς, μία ἐλπὶς, ἐν ἀγάπῃ, ἐν τῇ χαρᾷ τῇ ἀμώμῳ, ὅ ἐστιν Ἰησοῦς Χριστὸς, οὗ οὐδὲν θυμηδέστερον. Πάντες οὖν ὀφείλομεν συντρέχειν ὡς ἐπὶ ἓν θυσιαστήριον, μία ψυχὴ, κἂν ἐν πολλοῖς τοῖς μέλεσιν μία γνώμη ἑνὶ θελήματι, ὡς ἓν σῶμα ὑπάρχοντες. Ὥσπερ γὰρ σμῆνος μελισσῶν ἐργάζεται κηρίον, οὕτως σύστημα ἀδελφῶν βασιλείαν Θεοῦ· καὶ ὥσπερ σάλπιγξ διεγείρει προθυμίαν πολεμιστῶν, οὕτως μαθητῶν σπουδὴ, διδασκαλία πρακτικῆς ἀρετῆς. Ὁ γὰρ χωρίζων ἑαυτὸν, ἔοικεν ὀρνέῳ ἐκπετασθέντι τῆς ἰδίας νοσσιᾶς καὶ τόπον ἐκ τόπου ἀμείβοντι. Ὅπερ εὐεπιβούλευτον γίνεται παντὶ ἰξευτῇ καὶ θηρευτῇ. Πάντοθεν γὰρ παγίδες, καὶ σκάνδαλα ἀνομίας αὐτῷ καταπεπήγασιν οἱ νοητοὶ ἰξευταὶ καὶ θηρευταὶ, ἀλλὰ καὶ οἱ ἁρπακταὶ κόρακες ἐξορύσσουσιν αὐτοῦ τοὺς ὀφθαλμούς. Κατὰ πάντα οὖν καλὴ καὶ εὐάρμοστος ἡ συμφωνία τῆς ἀδελφότητος μετὰ ὁμονοίας, μάλιστα ὅπου τελεία ἀγάπη ἐρρίζωσεν· καθὼς εὑρίσκομεν Ἐλισαῖον μετὰ Ἠλίου· ἀκούσας γὰρ ἅπαξ καὶ δὶς, « Κάθου ἐνταῦθα, » αὐτὸς μεθ' ὅρκου ἀπεκρίνατο, « Ζῇ Κύριος, λέγων, καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε. » Ὁμοίως καὶ Ῥοὺθ ἡ Μωαβῖτις, τῇ πενθερᾷ αὐτῆς· « Τάδε ποιήσαι μοι Κύριος, καὶ τάδε προσθείη, λέγουσα, ὅτι ὁ θάνατος διαστελεῖ ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. » Εἰκότως οὖν ὁ Βόὼζ, εὐλόγησεν αὐτὴν, λέγων· « Ἀποτίσαι Κύριος τὴν ἐργασίαν σου, καὶ γένοιτο ὁ μισθός σου

B

1152 HOMILIA LXXX.

De concordia.

Deo quam acceptum sit tuendæ ecclesiasticæ unitatis studium, quis oratione consequatur? Hac una nihil usquam inter homines comperietur melius. Sed et portandi omnes sunt, Domini exemplo qui nos patientissime tulit, omnes (inquam) in charitate tolerandi veniunt. Nec ullo prætextu, quamlibet videri possit rationabilis, ut non dicam quod id a ratione alienum sit, convenit se ab ecclesiastici corporis unitate divellere ac seorsim degere; sed in unum coadunatis una sit oratio, deprecatio una, mens una, una spes in charitate, in gaudio quod nulli pateat justæ reprehensioni, C qui Jesus Christus est, quo quidem nihil potest animo insidere gratius. Debemus igitur omnes nos parili et eodem animo perinde ac ad altare (ita modo loqui liceat) concurrere. Tametsi simus multiplici varietate membrorum distincti, eadem sit et sententia et par voluntas, cum unum idemque simus corpus. Quemadmodum enim examen apum favum sibi conficit melli, ita fratrum congregatio regnum representat Dei. Sicut tubarum clangor bellantium promovet et excitat alacritatem, ita et practicæ virtutis doctrina studia discipulorum mire exacuit. Nam quisquis se a cæteris segregat et in totum avellit, nihil differre videtur ab avi quæ e nido proprio evolavit, eoque cogitur D e loco permutare. Avicula quæ talis est nihil difficile capitur per aucupis aut venatoris insidias. Omni enim ex parte aucupes illi et spirituales captores laqueos ac scandala iniquitatis præstruunt et agglomerant illi vago, corvique rapaces istiusmodi excavant et exterebrant oculos. Decora prorsus et aperte per omnia congruens fraternæ e-

[71] I Cor. IX, 24. [72] ibid. 26, 27. [73] Philipp. I, 30. [74] Hebr. XII, 4-6. [75] II Thess. I, 4, 5. [76] II Tim. III, 12. [77] Joan. III, 13. [78] Matth. VII, 13, 14; Luc., 13, 24.

unionis consensio cum animorum concordia : id quod locum habet vel maxime, ubi solida ac perfecta charitas radices suas fixius impressit. Exemplum invenimus in Elisæo cum Elia. Ille enim semel et bis cum audisset : « Sede hic », cum juramento respondit : « Vivit Dominus, et vivit anima tua, si deseram te [79]. » Nec secus Ruth illa Moabitis socrui suæ : « Hæc faciat mihi Dominus et hæc addat, quia mors inter me et te sola distinguet [80]. » Jure igitur Booz benedixit ei, dicens : « Reddat Dominus opus tuum, et sit merces tua plena a Domino [81]. » Hæc alioqui alienæ cum esset gentis, connubio juncta est ipsi Booz, ex quo genuit eximii Davidis avum. Ecce sane, « quid bonum aut quid jucundum, si non habitare fratres in unum [82]? » Parœmiastes item : « Frater qui adjuvatur a fratre, quasi civitas firma [83] », et in editiore loco sita. Et : « Boni duo super unum, quibus est eis merces : quia, si ceciderint, unus eriget consortem suum [84]. » Et : « Væ uni, si ceciderit, et non sit secundus qui erigat eum [85]. » Et : **1153** « Si unus impegerit, duo consistent adversus eum. Funiculus triplex non cito rumpetur [86]. » Sed in Actibus apostolorum scriptum est, quia « Quotquot crediderant erant in unum, et habebant omnia communia [87]. » Aliquanto post : « Multitudinis eorum qui crediderant erat cor unum et anima una : et nemo quidquam eorum quæ possidebat, dicebat esse suum, sed erant illis omnia communia [87]. » Beatus igitur is monachus, qui, quod ad Deum pertinet, cæteros omnes admirationi ducit et honori, idque post Deum. Beatus plane monachus, qui in genere omnium salutem et promotionem, peræque ac propriam, omni cum gaudio et animi jucunditate pervidet. Monachus est, qui unum se esse inter cæteros deputat, per hoc quod credit imprætermisse seipsum contueri in unoquoque fratrum. Apostolus : « Sicut in uno corpore multa membra habemus, omnia autem membra non eumdem actum habent, ita et multi unum corpus sumus in Christo, singuli autem alter alterius membra [88]. » Inducit : « Sed Deus temperavit corpus, ei cui deerat abundantiorem tribuens honorem, ut non sit schisma in corpore, sed in idipsum pro invicem sollicita sint membra [89]. » Ob id debemus mutuiter præstare operam in sublevandis aliorum oneribus, et concordibus animis eadem sentire, ac pia erga alios gestare viscera, modeste ac humiliter de nobis sentire, nihil non designantes operis in charitate, quo vel his operibus promereamur nobis ipsis Dei gratiam asisccere et conciliare favorem, ut in illius oculis acceptabilis fiat nostra deprecatio. Dicit enim ipse Dominus : « Amen dico vobis, quia si duo ex vobis consenserint super terram, de quacunque re quam postulaverint, fiet eis a Patre meo qui est in cœlis; ubi enim sunt congregati duo vel tres in nomine meo, ibi sum in medio eorum [90]. » Ipsi gloria in sæcula. Amen.

πλήρης παρὰ Κυρίου. » Καὶ ἀλλογενὴς οὖσα ἡρμόσθη τῷ Βοὼζ, καὶ ἐγέννησεν τὸν πάππον τοῦ Δαβίδ. Λέγει δὲ καὶ αὐτὸς οὗτος ὁ Δαβίδ· « Ἰδοὺ δὲ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; » Καὶ ὁ Παροιμιαστὴς φησιν· « Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ, » καὶ ὑψηλή. Καί· « Ἀγαθοὶ οἱ δύο ὑπὲρ τὸν ἕνα, οἷς ἐστιν ὁ μισθὸς αὐτοῖς, ὅτι ἐὰν πέσωσιν, ὁ εἷς ἐγείρει τὸν μέτοχον αὐτοῦ. » Καί· « Οὐαὶ τῷ ἑνὶ, ἐὰν πέσῃ, καὶ μὴ ᾖ δεύτερος τοῦ ἐγεῖραι αὐτόν. » Καί· « Ἐὰν κραταιωθῇ [k] ὁ εἷς, οἱ δύο στήσονται κατέναντι αὐτοῦ, καὶ τὸ σπαρτεῖον τὸ ἔντριτον οὐ ταχέως ἀποῤῥαγήσεται. » Καὶ ἐν ταῖς Πράξεσιν τῶν ἀποστόλων γέγραπται, ὅτι « Πάντες οἱ πιστεύσαντες ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ εἶχον ἅπαντα κοινά. » Καὶ μετ' ὀλίγον· « Τοῦ δὲ πλήθους τῶν πιστευόντων ἦν ἡ ψυχὴ, καὶ ἡ καρδία μία, καὶ οὐδείς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. » Μακάριος οὖν ἐστιν ὁ μοναχὸς ὁ πάντας ἀνθρώπους ὡς Θεὸν μετὰ Θεὸν ἡγούμενος· μακάριός ἐστιν μοναχὸς ὁ τὴν ἁπάντων σωτηρίαν καὶ προκοπὴν, ὡς οἰκείαν μετὰ πάσης χαρᾶς ἡδέως ὁρῶν. Μοναχός ἐστιν, ὁ ἑαυτὸν μετὰ πάντων ἡγούμενος· διὰ τὸ ἐν ἑκάστῳ ἑαυτὸν ἀπαραλείπτως δοκεῖν καθορᾶν. Καὶ ὁ Ἀπόστολος δέ φησιν· « Καθάπερ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα, οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν· οὕτως καὶ οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, τὸ δὲ καθ' εἷς, ἀλλήλων μέλη. » Καὶ ἐπάγει· « Ἀλλ' ὁ Θεὸς συνεκέρασεν τὸ σῶμα, τῷ ὑστεροῦντι περισσοτέραν δοὺς τιμὴν, ἵνα μὴ ᾖ σχίσματα ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων τὰ μέλη μεριμνῶσιν. » Διὰ τοῦτο ὀφείλομεν ἀλλήλων τὰ βάρη βαστάζειν, καὶ εἶναι πάντες ὁμόφρονες, ὁμόψυχοι, εὔσπλαγχνοι, ταπεινόφρονες, πάντα ποιοῦντες ἐν ἀγάπῃ, ἵνα καὶ οὕτως τὸν Θεὸν πρὸς ἑαυτοὺς ἐπισπασώμεθα, καὶ εὐπρόσδεκτος γένηται ἡ προσευχὴ ἡμῶν. Λέγει γὰρ ὁ Κύριος· « Ἀμὴν λέγω ὑμῖν, ὅτι ἐὰν δύο ἐξ ὑμῶν συμφωνήσουσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσονται, γενήσεται αὐτοῖς παρὰ τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Οὗ γάρ εἰσιν συνηγμένοι δύο ἢ τρεῖς εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. » Αὐτῷ ἡ δόξα [καὶ τὸ κράτος] εἰς τοὺς αἰῶνας. Ἀμήν.

HOMILIA LXXXI.

De cogitationibus.

Dicit Scriptura : « Legem in adjutorium dedit [91]. »

ΛΟΓΟΣ ΠΑ'.

Περὶ λογισμῶν.

Φησὶν ἡ Γραφή· « Νόμον εἰς βοήθειαν ἔδωκε. »

[79] IV Reg. II, 6. [80] Ruth. I, 17. [81] Ruth. II, 12. [82] Psal. CXXXII, 1. [83] Prov. XVIII, 19. [84] Eccle. IV, 9. [85] ibid. 10. [86] ibid. 12. [87] Act. I, 44. [87] Act. IV, 32. Hæc mentem reddunt auctoris, non item verba, corruptus enim locus est. [88] Rom. XII, 4, 5. [89] I Cor. XII, 24. [90] Matth. XVIII, 19. [91] Isa. VIII, 20 sec. LXX; Galat. III, 24

VARIÆ LECTIONES.

[k] Pro καταραχθῇ, Aldinum exemplar habet ἐπικραταιωθῇ. vietus fuerit.

Βοήθειαν δηλαδὴ τῇ φύσει τῶν ἀνθρώπων πρὸς τὴν τῆς ἀρετῆς γεωργίαν· ὡς γεωργὸς πρὸς τὸ καθαίρειν τὸ φυτὸν τῷ σιδήρῳ· ἀπὸ μὲν σαρκὸς ἀποβάλλειν ὅτε διοχλοῦσιν αἱ φυσικαὶ πρὸς ἡδονὴν ἐπιθυμίαι· ἀπὸ δὲ ψυχῆς ὁμοίως τοὺς ταράσσοντας αὐτὴν ἀσθενεῖς λογισμούς, ἢ τὰ σαρκὸς φρονοῦντας, ἢ τὰ πρόσκαιρα καὶ γήϊνα προσκλίναντας, καὶ ἐκ φύσεως οὕτως ὁρμώντων, καὶ ἐξ ὑπερβολῆς δὲ πονηρῶν πνευμάτων ἐπικλυζόντων τὴν φύσιν, ὡς ἡ πεῖρα οἶδε· καὶ διὰ τοῦτο διδομένου νόμου, ἵνα μὴ ὡς ἀμελοῦντος γεωργοῦ χερσωθῇ τὸ φυτὸν τὸ ἐπιτήδειον μὴ φέρον καρπόν. Λέγει δὲ καὶ ὁ Ἀπόστολος· « Βούλομαι τοὺς ἄνδρας προσεύχεσθαι ἐν παντὶ τρόπῳ ἐπαίροντας ὁσίας χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμῶν. » Καὶ πάλιν· « Λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. » Σκοπὸς οὖν ἐστι τῷ Ἀποστόλῳ καθαροὺς ἡμᾶς εἶναι ἀπὸ λογισμῶν ἀκαθάρτων, μάλιστα ὅταν τῷ Θεῷ προσευχὴν παριστάμεθα· οὐ γὰρ συμφωνεῖ δυσωδία εὐωδίᾳ, οὐδὲ δυσοσμία τῷ μύρῳ. Ὁ γὰρ λογισμοῖς συναπαγόμενος ἐκτυφλοῦται ὑπ' αὐτῶν. Ὅπου γὰρ εἰκόνες λογισμῶν, ἐκεῖ καὶ συγκατάθεσις γίνεται. Χρὴ οὖν τὴν πρώτην προσβολὴν ἀεὶ ἀνατρέπειν, καὶ ἐξολοθρεύειν τοὺς ἁμαρτωλοὺς λογισμοὺς ἐκ τῆς γῆς, ἥτις ἐστὶν ἡ καρδία ἡμῶν κατὰ τὸν λόγον τοῦ Κυρίου. Καὶ ὡς ἔτι εἰσὶ νήπιοι υἱοὶ Βαβυλῶνος, τουτέστιν οἱ πονηροὶ λογισμοὶ, ἐδαφίζειν τούτους καὶ συντρίβειν πρὸς τὴν πέτραν, ἥτις ἐστὶν ὁ Χριστός. Μάλιστα τοὺς τρεῖς γενικωτάτους καθ' ἡμῶν λογισμοὺς τοῦ διαβόλου· δι' ὧν καὶ πολεμεῖ ὁ φθονερὸς δαίμων, καὶ ὑποβάλλει ἡμῖν, τὸν τῆς γαστριμαργίας φημὶ, καὶ φιλαργυρίας, καὶ κενοδοξίας· δι' ὧν καὶ αὐτὸν τὸν Κύριον ἡμῶν καὶ Σωτῆρα, ἐν τῷ τελέσαι αὐτὸν, πάντα πειρασμὸν ἐπεχείρησε πειράσαι, ὅθεν καὶ ἡττημένος ἀπεκρούσθη. Ὑπόδειγμα ἡμῖν ὁ Κύριος εἰς πάντα γενόμενος, τουτέστι τοῦ διὰ νηστειῶν καὶ διὰ προσευχῶν τοῦτον ἄπρακτον καθιστᾷν. Ἐνεδρεύει γὰρ ὁ δόλιος ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ κρύπτειν ἡμῖν παγίδας, καὶ θήρατρα λογισμῶν ἀκαθάρτων καὶ ἀσεβῶν. Χρὴ οὖν τοὺς πολυμόρφους λογισμοὺς, ὡς εἴρηται, συντόμως προαποκλίνειν δι' εὐσεβοῦς ἀντιλογίας καὶ προσευχῆς, καὶ μάλιστα τοὺς κοινοῦντας, ἵνα μὴ κοινώσωσι τὸν ἅγιον τόπον, καὶ τὸν ἄνθρωπον τοῦ Θεοῦ βεβηλώσωσι. Μετὰ παντὸς οὖν φόβου ὀφείλομεν τὰς λειτουργίας ἐκτελεῖν τῷ Θεῷ, μήποτε εὑρεθῶμεν τοῖς μὲν χείλεσι τῷ Θεῷ προσδιαλεγόμενοι, τῇ δὲ καρδίᾳ αἰχμάλωτοι εἰς Βαβυλῶνα ἀκάθαρτα τρώγοντες· καὶ ἀκούσωμεν· « Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ. » Ἀγῶνος οὖν χρεία, ἀγαπητοὶ, καὶ νήψεως πολλῆς, ἵνα συμφωνῇ ὁ νοῦς σὺν τῇ καρδίᾳ καὶ τοῖς χείλεσιν ἐν τῇ ψαλμῳδίᾳ, ἵνα μὴ παροργίσωμεν τὸν Κύριον ἀντὶ τοῦ θεραπεῦσαι αὐτὸν, ἐν τῇ προσευχῇ μίσγοντες ἐν τῷ θυμιάματι κνίσσαν κακήν· καὶ εὐρεθῇ ἡ θυσία τῆς προσευχῆς ἡμῶν ἐπίμωμος ὡς ἡ τοῦ Καΐν. Πολὺ

A Adjutorium, ipsi videlicet hominum naturæ : quo homo subnixus, perinde atque agricola ferro assolet plantam perpurgare, ita agricolationem strenue exerceret virtutis. A carne quidem, ut a te repellas ac profliges, cum perstrepunt atque obturbant ventosæ illæ fastus ampullæ, et ad obscenam voluptatem proliciunt irritatrices concupiscentiæ : ab anima vero consimiliter ; quæcunque cogitationes per infirmitatem ipsi animæ turbulentam conciunt intemperiem, ut primum sentis obrepere, provideto ut a te quam citissime submoveas, **1154** sive ad ea illectent quæ studium carnis percolendæ resipiunt, sive inclinent te ad isthæc temporaria ac terrena. Et quidem ad eum modum afficimur partim conditione naturæ fragilioris, partim B item eo nos promovet et instigat malignorum spirituum insidiosa suggestio, qui naturam ipsam sua malignitate quasi destagnantibus undis tantumnon obruunt, ut et doctrice experientia perspicue novimus. In hoc igitur data lex est, ne, velut per ocitantiam agricolæ, planta alioqui utilis, nullum afferens fructum, obsolescat squalore. Dicit autem et Apostolus : « Volo viros orare in omni loco, levantes sanctas manus sine ira et disceptationibus cogitationum [92]. » Iterum : « Consilia destruentes, et omnem altitudinem extollentem se adversus scientiam Dei [93]. » Hic itaque unicus Apostolo fuit scopus, nos ut redderet puros obscenarum et turpium cogitationum, maxime cum sistimur offerendæ Deo orationi. Inter enim graveolentiam et suavem fragrantiam nulla intercedit consensio, neque C quidquam convenit ori putido ac fetulento, cum unguento suaviter spirante. Qui se sinit cogitationum turbellis abstrahi, ab eis utique excæcatur. Ubi enim imagines cogitationum hærent diutius, ibi et consensio gignitur. Sane primus ille assultus profligandus venit semper et prosternendus, ac disperdendæ cogitationes [94] de terra, quæ radices sunt peccatorum : e terra, inquam, quæ est cor nostrum, juxta Dominicum sermonem. Duinque infantiles adhuc ac tenelli filii Babylonis (improbæ nimirum cogitationes) offerunt se menti, allidendæ sunt solo, conterendæque ad petram [95] quæ est Christus. Tres omnium maxime generales cogi- D tationes, incentore diabolo adversum nos promotæ, in vestigio eliminandæ sunt cordis aditu. Harum malignitate nitens nostræ salutis æmulus dæmon, et bellum nobis indicit, et eas clam instillat ac suggerit. Tres dixerim, ventris ingluviem, studium congerendæ pecuniæ, et ambitionem gloriæ inanis. Per has et ipsum Dominum nostrum Jesum Christum ac Salvatorem, cum integro ætatis flore adolevisset, aggressus est [96], omni genere tentationum ut tentaret : unde et victus rejectus est. Hinc nos suo docuit Dominus exemplo, qua arte illius impuri insidiosæ omnes pedicæ inefficaces reddi debeant, nempe jejuniis et orationibus. Omni enim conatu

[92] I Tim. II, 8. [93] II Cor. X, 4. [94] Psal. XXXIII, 17. [95] Psal. XIII, 6, 9. [96] Matth. IV, 1 seqq.

leo hic dolosus nobis apparat ac molitur insidias, desidens in spelunca sua. Clam enim concinnat hic malorum incentor pedicas nobis, ac retia obscenarum cogitationum, et quæ nos a pietate avocent. Atqui, sicut dictum jam est, multifariæ ejusmodi cogitationes, nulla mora, sed ipso statim aditu profligandæ sunt ac declinandæ studio piæ contradictionis atque orationis. Hæ maxime prævertendæ veniunt, quæ mentem defœdant ac veluti prostituunt, ut ne inquinent sanctitatem loci, neu hominem Dei profanent et contaminent. **1155** Omnem igitur divini officii cultum debemus persolvere Deo, ne quando deprehendamur Deum quidem compellare et alloqui labiis tenus, corde vero media in Babylone desidentes et captivi, arrodere quidquid impurum est: ita ut in nos audiamus jure detorqueri: « Populus hic labiis me honorat, cor autem eorum longe est a me[97]. » Agone igitur nobis opus est, dilectissimi, ac pervigili attentione, ut interim dum emodulamur Psalmos, mens una cum corde concinat labiis, ut ne per hoc quod orantes credimur Domini gratiam emereri, et conciliare illius favorem, ipsum tanto exacerbemus atrocius, dum suave fragranti orationis incenso tetrum inspergimus culinæ nidorem, ac proinde orationis nostræ hostia reproba comperiatur ac magnopere reprehensibilis, ut olim rejectitia illa Caini oblatio[98]. Exsecratur enim impendio Deus[99], ac devovet spurcas atque obscenas cogitationes, imo ipsum cor odit tanto infensius, quod eas enititur ac parit, id quod lex liquido docet: « Non arabis, ait, in vitulo et asino[1]; » hoc est, in munda simul et inmunda cogitatione non offeres orationem. Neque adduces pro victima ovem quæ præferat maculam decolorem, vel quæ aurem habeat desectam, aut caudam detruncatam ostentet et mutilam, aut fœda scabie prurientem, sed neque de manu tua fructum accipiet qui elutus sit ac parum sincerus. Quanto magis orationem a se repellet ac repudiabit tot turbulentam intemperiis, et per contemptum oblatam? Novit Dominus arcana cordium nostrorum, vel teste David: « Novit Dominus cogitationes hominum, quoniam vanæ sunt[2]. » Et quidem ille pervigili studio adnitebatur, quo eluctari posset et extricari a cogitationum intemperie, dicens: « In matutino interficiebam omnes peccatores terræ, ut disperderem de civitate Domini omnes operantes iniquitatem[3]. » Neque enim ullus immundus sinebatur ingredi domum Domini, juxta legem, cujus quidem Domini domus sumus nos: sed et Jerusalem intra nos est. Peccatores porro terræ, cogitationes sunt, reptilium more repentes humi, quæ in arcano cordis ceu latibulis delitescunt. Apposite igitur orat dicens: « Restitue animam meam a malignitate eorum[4]. » Et: « Disperge gentes quæ bella volunt[5]. » Et: « Salvum me fac de luto ut non infigar, quia tu patientia mea, Domine[6]. » Unde et Dominus ad eos qui quapiam tribulatione afflictantur: « Invocasti me

A γὰρ βδελύττεται ὁ Θεὸς τοὺς ἀκαθάρτους λογισμούς, μᾶλλον δὲ τὴν τίκτουσαν αὐτοὺς καρδίαν, ὡς δηλοῖ καὶ ὁ νόμος. Φησὶν γάρ· « Οὐκ ἀροτριάσῃς ἐν μόσχῳ καὶ ὄνῳ, » τουτέστιν, ἐν καθαρῷ καὶ ἀκαθάρτῳ λογισμῷ· οὐ προσοίσεις προσευχήν· οὐ προσάξεις εἰς θυσίαν πρόβατον ἐπίμωμον, ἢ ὠτότμητον, ἢ κολοβόκερκον, ἢ ψωριῶν. Ἀλλ' οὐδὲ καρπὸν ἐξίτηλον προσδέξηται ἐκ τῆς χειρός σου· πόσῳ μᾶλλον εὐχὴν θολώδη καὶ καταφρονητικήν; Ἐπίσταται γὰρ τὰ κρυπτὰ ἡμῶν, ὡς μαρτυρεῖ Δαβὶδ, λέγων· « Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων ὅτι εἰσὶ μάταιοι. » Καὶ πολλὴν σπουδὴν ἐποιεῖτο τοῦ ἐλευθερωθῆναι ἀπ' αὐτῶν, λέγων· « Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. » Οὐ γὰρ συγκεχώρηται ἀκαθάρτῳ B εἰσιέναι εἰς οἶκον Κυρίου, καθὼς φησιν ὁ νόμος· οὗ οἰκός ἐσμεν ἡμεῖς· καὶ Ἱερουσαλὴμ ἐκτὸς ἡμῶν ἐστιν. Ἁμαρτωλοὶ δὲ τῆς γῆς οἱ χαμερπεῖς καὶ ὀφιώδεις λογισμοὶ οἱ ἐν τῇ καρδίᾳ ἐμφωλεύοντες. Προσφόρως· οὖν εὔχεται λέγων, « Ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν. » Καί· « Διασκόρπισον ἔθνη, τὰ τοὺς πολέμους θέλοντα. » Καί· « Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ· ὅτι σὺ εἶ ἡ ὑπομονή μου, Κύριε. » Ὅθεν καὶ ὁ Κύριος πρὸς αὐτὸν ἐν θλίψει φησίν· « Ἐπεκαλέσω με, καὶ ἐῤῥυσάμην σε· ἐπῆκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος. » Καὶ ἡμεῖς οὖν, ἀδελφοί, ὀφείλομεν ἐν ἐκτάσει χειρῶν, καὶ τεταμένῃ διανοίᾳ δυσωπῆσαι τὸν φιλάνθρωπον Θεὸν, καταπέμψαι ἡμῖν βοήθειαν, ὅπως νικήC σωμεν τοὺς ἐχθροὺς ἡμῶν, ὥσπερ Μωσῆς τὸν Ἀμαλήκ. Δεινὸν γὰρ καὶ ὀλέθριον τὸ συμπείθεσθαι κρυπτῶς τοῖς ἀκαθάρτοις λογισμοῖς. Ἐκ γὰρ τῶν λογισμῶν καὶ εἰς τὴν πρᾶξίν τι; κατασύρεται, καὶ κατὰ μικρὸν ἀλλοτριοῦται τοῦ Θεοῦ. Ὁπόταν καὶ ὁ συγκατατιθέμενος αὐτοῖς, ὡς ἐργασάμενος τὴν ἁμαρτίαν, κατακρίνεται. « Εἰς γὰρ κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίας. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ. Ἅγιον γὰρ Πνεῦμα σοφίας φεύξεται δόλον, καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων, » κατὰ τὴν Γραφήν. Φησὶ δὲ καὶ ὁ Κύριος· Ἐκ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροὶ, φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαὶ, ψευδομαρτυρίαι, βλασφημίαι. » ΤαῦD τα ἔχει ὁ πονηρὸς ἄνθρωπος ἐν τῷ θησαυρῷ τῆς καρδίας αὐτοῦ. Ἡμεῖς δὲ παραῤῥίψωμεν ἑαυτοὺς ἐνώπιον τῆς ἀγαθότητος τοῦ Θεοῦ, δεόμενοι αὐτοῦ κατὰ πᾶσαν ὥραν, ἵνα καθαρίσῃ τὰς καρδίας ἡμῶν, ὥστε προσενέγκαι αὐτῷ δῶρα ἐπὶ τὴν νοητὴν Ἱερουσαλὴμ, καὶ ἀκοῦσαι παρ' αὐτοῦ· « Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προσφέρει ἀγαθὰ βλαστήματα τῷ Θεῷ. » ὯΙ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[97] Isa. XXIX, 13. [98] Gen. IV, 1 seqq. [99] Deut. XXIII, 19. [1] Deut. XXII, 10. [2] Psalm. XCIII, 11. [3] Psal. C, 8. [4] Psalm. XXXIV, 17. [5] Psal. LXVII, 31. [6] Psal. LXVIII, 15.

et liberavi te; exaudivi te in abscondito tempestatis [7]. » Manibus igitur expansis et attenta mente, fratres, clementissimus Deus nobis venit exorandus ac repropitiandus, ut e solio suo emittat auxiliare præsidium, quo freti, hostes superemus, quemadmodum Moses prostravit Amalec [7a]. Non enim mediocris est periculi, imo exitiale prorsus, arcana quadam persuasione pacisci et assentiri impuris cogitationibus. Ab istis enim cogitationibus pertrahitur quis ad operationem, ac sensim desciscit a Deo. **1156** Proinde qui ex compacto assensum præbet istis, damnatur, ac si operetur peccatum. Neque enim « In malevolam animam intrabit sapientia, sed nec habitabit in corpore subdito peccatis: perversæ enim cogitationes separant a Deo; sanctus enim Spiritus sapientiæ effugiet fictum, et subtrahet se a cogitationibus quæ sunt sine intellectu [8], » juxta sacræ dogma Scripturæ. Sed et Dominus : « Ex corde exeunt cogitationes malæ, homicidia, adulteria, fornicationes, furta, falsa testimonia, blasphemiæ [8a]. » Ejusmodi sunt vitia quæ in thesauro cordis sui, ut reprobus quisque est, recondit. Atqui nos ipsos nullo non tempore provolvamus in conspectum divinæ benignitatis, ac projiciamus, obsecrantes Dominum, corda nostra ut expiet, sic ut digni habeamur qui illi offeramus dona in spiritualem illam transcribenda Jerusalem, et ab ipso audiamus: « Bonus homo de thesauro cordis sui profert bonos fructus Deo [9]. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΠΒ'.

Περὶ παιδείας.

Καλὴ ἐστιν ἡ παιδεία κατὰ πᾶσαν αἰτίαν, μάλιστα δὲ κατὰ Θεόν. Τὸν ἐκ νεαρᾶς γὰρ ἡλικίας ἐκφιλοσοφοῦντα, καὶ παιδευόμενον παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου, ἕως γήρους, καὶ πρεσβείου, οὐ μὴ ἐγκαταλίπῃ ὁ Θεός. Οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τῆς παιδείας, καὶ τοῦ κόπου τῶν διὰ τὸ ὄνομα αὐτοῦ ὑπομενόντων. Ἡ γὰρ κατὰ Θεὸν παιδεία ἐπ' ἐσχάτων παῤῥησιασθήσεται ἐν πολλῇ ἀνέσει· εἴγε καὶ τὰ καλὰ ἐξ ἡμῶν πολλάκις ἀφαιρεῖται Κύριος, ὥσπερ τὸν πλοῦτον τοῦ Ἰώβ· « Κύριος γὰρ ἔδωκεν, Κύριος ἀφείλατο. » Πάντως που καὶ τὰ κακὰ ἅπερ ἡμῖν ἐπήγαγεν ὁ αἰώνιος, ἐκ χειρὸς ἡμῶν λήψεται· « Ἀγαθὰ γὰρ καὶ κακὰ παρὰ Κυρίου, » φησίν. Καὶ ὁ ἐπαγαγὼν ἡμῖν τὰ κακά, αὐτὸς ἐπάξει ἡμῖν τὴν αἰώνιον εὐφροσύνην. Οὐκοῦν ὀφείλεται ἐσμὲν τὰς ἐν παντὶ παιδείας εὐχαρίστως δέξασθαι. Ὁ γὰρ μὴ αἱρούμενος τοὺς ὑπὲρ ἀληθείας πόνους, ἑκουσίως ὑπὸ τῶν ἀκουσίων χαλεπωτέρως παιδεύεται. Ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ κατὰ δύναμιν, διὰ μικρῶν πόνων τοὺς μεγάλους ἐκφεύξεται. Φησὶν δὲ καὶ ὁ Παροιμιαστής· « Ὁ φοβούμενος τὸν Κύριον ἐκδέξεται παιδείαν. » Καὶ αὖθις· « Ὃς φείδεται τῆς ἑαυτοῦ βακτηρίας, μισεῖ τὸν ἑαυτοῦ υἱόν· ὁ δὲ ἀγαπῶν, ἐπιμελῶς παιδεύει. » Καὶ πάλιν· « Παίδευε τὸν υἱόν σου· οὗτος γὰρ ἔσται εὔελπις. Ἄκουε, υἱὲ, καὶ δέξαι ἐμοὺς λόγους, καὶ πληθυνθήσονταί σοι ἔτη ζωῆς σου. Ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφείς· υἱὸς γὰρ ἀπολιμπανόμενος φυλάξαι παιδείαν πατρὸς, μελετήσει ῥῆσις κακάς. » Καὶ πάλιν· « Ἄφρων μυκτηρίζει παιδείαν πατρός· ὁ δὲ φυλάσσων ἐλέγχους, πανουργότερος. » Καὶ πάλιν· « Δὸς εἰς παιδείαν τὴν καρδίαν σου, τὰ δὲ ὁσιά σου ἑτοίμασον λόγοις αἰσθήσεως. » Καὶ πάλιν· « Μὴ ἀπόσχῃ νήπιον παιδεύειν, ὅτι ἐὰν πατάξῃς αὐτὸν ῥάβδῳ, οὐκ ἀποθανεῖται, τὴν δὲ ψυχὴν αὐτοῦ σώσεις. » Καὶ αὖθις· « Παίδευε υἱόν σου, καὶ ἀναπαύσει σε, καὶ δώσει κόσμον τῇ σῇ ψυχῇ. » Καὶ πάλιν· « Ἀγαθὸν τὸ ἀκοῦσαι ἐπιτίμησιν σοφοῦ, ὑπὲρ ἄνδρα ἀκούοντα ᾄσμα ἀφρόνων. »

HOMILIA LXXXII.

De disciplina sive correptione.

Disciplina quominus bona videri debeat, nulla suppetit ratio, maxime si secundum Deum est. Neque enim eum qui ab ineunte primum ætate philosophatus sit et eruditus ad disciplinæ et Dominicæ admonitionis tenorem, usque in senectam et senium hunc Deus derelinquet. Non enim injustus Deus, ut obliviscatur disciplinæ et laboris eorum qui pro gloria nominis ipsius non instrenue sustinent. Quæ secundum Deum est disciplina, in extremis suis multa cum libertate ac fiducia loquetur. A nobis utique Deus etiam bona aufert, quemadmodum a sancto Job divitias: « Dominus enim dedit, et Dominus abstulit [10]. » Quæcunque ab initio conditi sæculi mala intulit, de manu ejus accepimus: « Bona enim et mala Domino [11], » ait Scriptura. Proinde qui mala hæc invehit nobis, idem quoque Deus æternam inducet lætitiam. Debemus itaque multa cum gratiarum actione accipere in omnibus disciplinam et correptionem Domini: qui enim pro veritate quamlibet perplexos labores non fert ultroneus, nolit licet, multo plectetur disciplina atrociore. Quisquis autem explendæ divinæ voluntati se spontaneus accommodat, per modicos labores ultronee toleratos longe evadet acerbiores. Parœmiastes siquidem ait: « Qui timet Dominum excipiet disciplinam [12]. » Rursus: « Qui parcit baculo, odit filium; qui autem diligit, diligenter erudit illum [13]. » Iterum: « Erudi filium tuum, sic enim bonæ spei erit. Audi, fili, et excipe meos sermones, et multiplicabuntur anni vitæ tuæ; **1157** suscipe correptionem meam, ne dimittas eam; filius enim qui omittit custodire disciplinam patris, excogitabit colloquia prava [14]. » Iterum: « Stultus subsannat disciplinam patris, qui autem custodit correptiones, astutior erit [15]. » Rursus: « Da ad disciplinam cor tuum, aures autem tuas accommoda sermonibus sensus [16]. » Iterum: « Ne omiseris erudire puerum; quia si virga eum per-

[7] Psal. LXXX, 8. [7a] Exod. XVII, 11. [8] Sap. I, 4, 5. [8a] Matth. XV, 18, 19. [9] Matth. XII, 35. [10] Job I, 21. [11] Job II, 10. [12] Prov. XIII, 13. [13] ibid. 24. [14] Prov. XIX, 18. [15] Prov. XV, 5. [16] Prov. IV, 20.

cusseris, non morietur, animam autem ejus salvabis [17]. » Rursus: « Erudi filium tuum, et refocillabit te, et dabit ornamentum animæ tuæ [18]. » Iterum: « Melius est audire correptionem sapientis, quam audire canticum stultorum [19]. » Inducit: « Audite, filii, disciplinam patris, et attendite, ut sciatis intelligentiam; donum enim bonum dabo vobis, legem meam ne derelinquatis [20]. Intelligite, simplices, astutiam, et ineruditi, apponite cor, accipite disciplinam et non argentum, et scientiam magis quam aurum probatum [21]. » Per Sophoniam prophetam Deus: « Timebitis me, et accipietis disciplinam, et non peribitis, ut serviatis Domino sub jugo uno [22]. » Michæas: « Pasce populum tuum in virga [23]. » Paulus Hebræis dicit per epistolam: « Fili, noli negligere disciplinam Dei, neque fatigeris dum ab eo argueris, Quem enim diligit Dominus, castigat, flagellat autem omnem filium, quem recipit. Quis enim filius, quem non corripit pater? Quod si extra disciplinam estis, ergo adulterini et non filii estis [24]. » Corinthiis item: « Si enim ego contristo vos, et quis est qui lætificat me nisi is qui contristatur per me [25]? » Infert: « Omnis autem disciplina in præsenti quidem non videtur esse gaudii, sed mœroris, postea vero fructum pacatum per eam exercitatis reddet justitiæ [26]. » David: « Beatus homo quem tu erudieris, Domine, et de lege tua docueris eum [27]; » et: « Castigans castigavit me Dominus, et morti non reddidit me [28]. » Iterum: « Corripiet me justus in misericordia, et increpabit me [29]. » Et: « Disciplina tua ipsa me docebit [30]. » Et qui Davidis ætatem antevertit Job: « Nunquid non locus tentationis est vita hominis super terram [31]? » Et, quasi mercenarii diei unius vita ejus. Quod si hominis vita super terram locus est tentationis, qui fieri possit ut non tentetur qui in loco consistit tentationis? Sane a Domino et Salvatore dictum est: « Vigilate et orate, ut non intretis in tentationem [32]. » Utique, hoc veluti indice docet, ut ne sinamus nos absorberi a tentatione ac vinci: prorsus enim tentationem vincere, res commendatione atque insigni præconio digna est. Dominus iterum: « Quis vestrum habens servum arantem aut pascentem, qui regresso de agro dicat illi: Statim ubi transieris, recumbe: **1158** et non magis dicet ei: Para quod cœnem, et præcinctus ministra mihi donec manducem et bibam, et post hæc tu manducabis et bibes tu [33]? » Inducit: « Nunquid gratiam habet servo illi, quia fecit quæ ei imperaverat? non puto; sic et vos cum feceritis omnia quæ præcepta sunt vobis, dicite, quia inutiles servi sumus [34]. » Ipsi gloria in sæcula. Amen.

Καὶ ἐπάγει: « Ἀκούσατε, παῖδες, παιδείαν πατρός· καὶ προσέχετε γνῶναι ἔννοιαν. Δῶρον γὰρ ἀγαθὸν δωροῦμαι ὑμῖν, τὸν ἐμὸν νόμον μὴ ἐγκαταλίπητε. Νοήσατε, ἄκακοι, πανουργίαν· οἱ δὲ ἀπαίδευτοι, ἔνθεσθε καρδίαν· λάβετε παιδείαν, καὶ μὴ ἀργύριον, καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον. » Καὶ διὰ τοῦ προφήτου Σοφονίου φησὶν ὁ Θεός· « Φοβεῖσθέ με καὶ δέξασθε παιδείαν, καὶ οὐ μὴ ἐξολοθρευθῆτε, τοῦ δουλεύειν Κυρίῳ ὑπὸ ζυγὸν ἕνα. » Καὶ ὁ Μιχαίας φησίν· « Ποίμαινε λαόν σου ἐν ῥάβδῳ. » Ὁ δὲ Ἀπόστολος ἐπιστέλλων Ἑβραίοις, λέγει· « Υἱέ, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. Τίς γάρ ἐστιν υἱὸς ὃν οὐ παιδεύει ὁ πατήρ; εἰ δὲ χωρίς ἐστε παιδείας, ἄρα νόθοι ἐστὲ, καὶ οὐχὶ υἱοί. » Καὶ Κορινθίοις· « Εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; » Καὶ ἐπιφέρει· « Πᾶσα δὲ παιδεία, πρὸς μὲν τὸ παρὸν, οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης. Ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσιν δικαιοσύνης. » Καὶ ὁ Δαβὶδ, λέγων· « Μακάριος ἄνθρωπος ὃν ἂν παιδεύσῃς, Κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν. » Καί· « Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, τῷ δὲ θανάτῳ οὐ παρέδωκέν με. » Καὶ πάλιν, « Παιδεύσει με δίκαιος ἐν ἐλέῳ, καὶ ἐλέγξει με. » Καί· « Ἡ παιδεία σου ἀνώρθωσέν με εἰς τέλος, καὶ ἡ παιδεία σου αὐτή με διδάξει. » Καὶ ὁ Ἰὼβ δέ· « Πότερον οὐχὶ πειρατήριόν ἐστιν ὁ βίος τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς; » Καὶ ὥσπερ μισθίου αὐθημερινοῦ ἡ ζωὴ αὐτοῦ. Εἰ γὰρ πειρατήριόν ἐστιν ὁ βίος τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς, πῶς δὲ ἐν τῷ πειρατηρίῳ ὄντα μὴ πειράζεσθαι; τὸ γὰρ παρὰ τοῦ Σωτῆρος εἰρημένον, « Γρηγορεῖτε, καὶ προσεύχεσθε, ἵνα μὴ ἐμπέσητε εἰς πειρασμὸν, » μηνύει τοῦ μὴ καταποθῆναι ὑπὸ τοῦ πειρασμοῦ, καὶ ἡττηθῆναι. Τὸ γὰρ περιγενέσθαι, καὶ ἀοίδιμον, καὶ εὐκλεές. Λέγει δὲ πάλιν ὁ Κύριος· « Τίς ἐξ ὑμῶν ἔχων δοῦλον ἀροτριῶντα, ἢ ποιμαίνοντα, ὃς εἰσελθόντι ἐκ τοῦ ἀγροῦ ἐρεῖ, Εὐθέως παρελθὼν ἀνάπεσε· ἀλλ' οὐχὶ ἐρεῖ αὐτῷ· Ἑτοίμασόν τί δειπνήσω, καὶ περιζωσάμενος διακόνει μοι, ἕως ἂν φάγω, καὶ πίω· καὶ μετὰ ταῦτα, φάγεσαι καὶ σὺ, καὶ πίσαι; » Καὶ ἐπάγει· « Μὴ χάριν ἔχει τῷ δούλῳ ἐκείνῳ ὅτι ἐποίησεν τὰ διαταχθέντα; οὐ δοκῶ· οὕτως καὶ ὑμεῖς, ὅταν ποιήσητε τὰ διαταχθέντα ὑμῖν πάντα, λέγετε ὅτι Ἀχρεῖοι δοῦλοί ἐσμεν· ὃ ὀφείλομεν ποιῆσαι, πεποιήκαμεν. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

HOMILIA LXXXIII.

De consultatione, sive consilio.

In quocunque negotio non mediocris operæ fe-

ΛΟΓΟΣ ΠΓ'.

Περὶ συμβουλίας.

Τὸ συμβουλεύεσθαι ἐν παντὶ πράγματι, καλὸν καὶ

[17] Prov. xxiii, 13. [18] Prov. xxix, 17. [19] Eccle. vii, 6. [20] Prov. iv, 1, 2. [21] Prov. viii, 10. [22] Sophon. iii, 7. [23] Mich. vii, 14. [24] Hebr. xii, 5-8. [25] II Cor. ii, 2. [26] Hebr. xii, 11. [27] Psal. xciii, 12. [28] Psal. cxvii, 18. [29] Psal. cxl, 5. [30] Psal. xvii, 36. [31] Job vii, 1. [32] Matth. xxvi, 41. [33] Luc. xvii, 7, 8. [34] ibid. 9, 10.

θεάρεστόν ἐστιν. Οὐδεὶς γὰρ ὁ μὴ χρῄζων συμβού- A
λου, εἰ μὴ μόνος ὁ Θεὸς, ὁ τὴν σοφίαν κτίσας. Πᾶς
δὲ ἄνθρωπος χρείαν ἔχει συμβουλίας ἀγαθῆς μᾶλλον
ἢ τὸν ἀέρα ἀναπνεῖν. Καθὼς καὶ παρὰ τῆς θείας
Γραφῆς παιδευόμεθα. Φησὶν γάρ· « Μετὰ βουλῆς
πάντα ποίει, μετὰ βουλῆς οἰνοπότει· » τὸν πνευμα-
τικὸν δηλαδὴ οἶνον, τὸν εὐφραίνοντα καρδίαν. Ὁ
τοιοῦτος οὐδέποτε ἀστοχεῖ, ἀλλ' ἀμερίμνως παρ-
οδεύει πάντα τὸν βίον αὐτοῦ. Μισοτυφίας γὰρ καὶ
ταπεινώσεως τεκμήριον, τοῦ δεῖσθαι συμβουλίας,
μάλιστα τῶν ἐν πείρᾳ γερόντων. Πρόδηλον δὲ ὅτι
ταπεινοῖς δίδωσιν ὁ Θεὸς χάριν, ὑπερηφάνοις δὲ ἀν-
τιτάσσεται. Καθώς φησιν καὶ ὁ Τοβίας τῷ υἱῷ αὐ-
τοῦ· « Συμβουλίαν παρὰ παντὸς φρονίμου ζήτησον,
καὶ μὴ καταφρονήσῃς ἐπὶ πάσης συμβουλίας χρη-
σίμης. » Ὁ γὰρ μετέχων συμβουλίας ἀγαθῆς, ἐν τῇ B
ὁδῷ τῶν ἐντολῶν τοῦ Κυρίου βαδίζει· ἀνὴρ δὲ ἀσύμ-
βουλος, ἑαυτοῦ πολέμιος, ὡς Ῥοβοὰμ, ὁ τοῦ Σολο-
μῶντος. Ἐγκαταλείψας γὰρ τὴν ἀγαθὴν βουλὴν
τῶν πρεσβυτέρων, καὶ κατασχὼν τὴν τῶν παιδαρίων
βουλὴν, ἀνεκτραφέντων μετ' αὐτοῦ, ηὑρέθη ἀπόλλων
τὴν βασιλείαν τῶν δέκα σκήπτρων τοῦ Ἰσραήλ. Κα-
λῶς οὖν ταλανίζει τοὺς τοιούτους ὁ Ἡσαΐας. « Οὐαὶ
γὰρ, φησὶν, οἱ βουλευόμενοι, οὐ διὰ Κυρίου, οἱ ἐν
κρυφῇ ποιοῦντες· καὶ ἔσται ἐν σκότει τὰ ἔργα αὐ-
τῶν. » Ἡ γὰρ βουλὴ τῶν πονηρῶν ἄνομα βουλεύε-
ται· οἱ δὲ εὐσεβεῖς, συνετὰ ἐβουλεύσαντο· καὶ ἄλλος
Σοφὸς ἔλεγεν· « Ἀπὸ κακοῦ συμβούλου φύλαξον τὴν
ψυχήν σου· καὶ γὰρ αὐτὸς ἑαυτῷ βουλεύεται, καὶ
στήσεται ἐξ ἐναντίας, ἰδεῖν τὸ συμβησόμενον. » Καὶ C
αὖθις· « Μὴ βουλεύου μετὰ ὑποβλεπόντων σε, καὶ
ἀπὸ τῶν ζηλούντων σε, κρύψον βουλήν. » Εἰκότως
οὖν καὶ ἀραρότως, καθὼς προείρηται, ὀφείλομεν ἐν
πᾶσιν τῆς πνευματικῆς συμβουλίας τῶν ἐμπείρων
γερόντων μετέχειν, φεύγειν δὲ τὰς τῶν σαρκικῶν
καὶ ἀπαιδεύτων συμβουλίας· ἵνα μὴ ἀντὶ στηριγμοῦ
φοινικίνης βακτηρίας, καλαμίνην ῥάβδον κατάσχω-
μεν· ἥτις τὴν χεῖρα τοῦ ἀνθρώπου τρήσει, καὶ τὸν
ἰὸν τῆς φύσεως ἐκβάλλει, καὶ ἀντὶ προβάτου λύκῳ
περιπέσωμεν. « Ὁ γὰρ συμπορευόμενος σοφοῖς,
σοφὸς ἔσται· ὁ δὲ συμπορευόμενος ἄφροσιν, γνωσθή-
σεται· αἴσθησις γὰρ παρὰ φρονίμοις, εὐχερής. » Ὁ
δὲ Σολομὼν, « ὃς πλανᾷ, φησὶν, εὐθεῖς ἐν ὁδῷ κακῇ,
εἰς διαφθορὰν αὐτὸς ἐμπεσεῖται. » Καὶ πάλιν· « Υἱὲ,
μὴ καταλάβῃ σε βουλὴ κακὴ, ἡ ἀπολείπουσα δίδα- D
σκαλίαν νεότητος. Οἷς γὰρ μὴ ὑπάρχει κυβέρνησις,
πίπτουσιν ὡς φύλλα· σωτηρία δὲ ὑπάρχει ἐν πολλῇ
βουλῇ. Ὥσπερ γὰρ πόλις ἀτείχιστος, οὕτως ἀνὴρ μὴ
μετὰ βουλῆς πράσσων τι » Ὁ τοῦ Θεοῦ συνόμιλος
Μωϋσῆς, οὐκ ἀπηξίωσεν τῆς συμβουλίας τοῦ Ἰοθὼρ,
ἀλλὰ καὶ ὅσα εἶπεν αὐτῷ, εὐδοκῶν, πάντα ἐποίησεν,
καὶ οὐκ ἐπῆρεν αὐτὸν ἡ τοσαύτη δόξα τοῦ Θεοῦ καὶ
τῶν ἀνθρώπων. Καὶ ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λα-
λοῦντα Παῦλος ὁ ἀπόστολος φησὶν πρὸς Γαλάτας·
« Ἀνέβην εἰς Ἱερουσαλὴμ, καὶ ἀνεθέμην αὐτοῖς τὸ
Εὐαγγέλιον, ὃ κηρύσσω, κατ' ἰδίαν δὲ τοῖς δοκοῦ-

ceris pretium, remque Deo magnopere acceptam, si consilium expetes. Nemo enim invenietur qui non indigus sit consiliarii, nisi Deus solus, penes quem sapientia est omnis. Nam homo omnis indigus est probæ consultationis, præ halitu quem ore efflat ac spirat, ut nos divinæ Scripturæ eruduint hunc in modum: « Omnia fac cum consilio, cum consilio vinum bibe[35]: » nimirum id quod cor lætificat, spirituale videlicet vinum. Qui talis est, nunquam aberrat a scopo, sed liber anxiæ sollicitudinis, suam omnem tranquille exigit vitam. Consilium enim a quopiam corrogare et expetere, plane argumentum est hominum qui superbiam oderint, et de se modeste sentiant, eorum maxime qui præsenti urgentur periculo. Nulli arbitror obscurum, quia « humilibus Deus dat gratiam, superbis autem resistit[36]. » Quemadmodum Tobias dicit filio: « Consilium ab omni sapiente perquire, et ne contempseris consilium utile[37]. » Qui enim particeps est boni consilii, per viam ingreditur mandatorum Domini; vir autem inconsultus, sibiipsi hostis est. Exemplo est Roboam Salomonis filius, qui, derelicto seniorum probo consilio, dum puerorum qui secum indulgentius fuerant educati, adhærescit consilio, Israelitici regni sceptra decem perdidit[38]. Recte igitur sic inconsultos deprædicat miseros Isaias, dicens: « Væ qui ineunt consilium, non per Dominum, in occulto facientes, et erunt in tenebris opera eorum[39]. Consilium enim malignorum iniqua consultat, pii autem prudentia iniere consilia. Alius item sapiens dicebat: « A malo consiliario custodi animam tuam: etenim ille sibiipsi consulit, et stabit ex opposito ut videat quid eventurum sit[40]. » Rursus: « Ne consilieris cum eo qui te torve intuetur, et a zelantibus te absconde consilium[41]. » Non igitur abs re, sed congrue (ut prædictum est) in omnibus exspectandum nobis est consortium spiritualis consilii a senioribus quos usus rerum prolixior prudentes reddidit, carnalium vero et ineruditorum consultationes vitandæ prorsus, ut ne pro fulcimento scipionis e robore palmæ decerpti **1159** arundineam retineamus virgam, quæ manum hominis fodicet ac perforet, suæque inspergat venenum naturæ, aut pro ove, in lupum revolvamur et incidamus. « Qui enim graditur cum sapientibus, sapiens erit; stultis ac dementibus sensus est proclivior[42]. » Salomon vero: « Qui seducit rectos in via mala, in corruptionem ipse devolvetur[43]. » Iterum: « Fili, ne te apprehendat consilium malum, quod relinquit doctrinam juventutis[44]: quibus enim non suppetit gubernatio, foliorum instar decidunt, salus autem adest, ubi multa consilia[45]: sicut enim civitas nullis cincta mœnibus, ita qui quidpiam agit sine consilio[46]. » Moyses, qui tam familiariter cum Deo loquebatur, neutiquam repudiavit consilium Jothor

[35] Prov. xxii, 10. [36] Jac. iv, 6. [37] Tob. iv, 1-9. [38] III Reg. xii, passim. [39] Isa. xxix, 15. [40] Eccli. xxxvii, 9. [41] ibid. 7. [42] Prov. xiii, 20. [43] Eccli. xxvii, 30. [44] Prov. iii, 1. [45] Prov. xi, 14. [46] Prov. xxv, 28.

sed quæcunque ipsius relatu didicit, explevit opere, eadem comprobans : neque hinc in superbiam extulit se, tanta alioqui apud Deum et homines perfruitus gloria [47]. Sed et Paulus apostolus, Christum in se loquentem qui habebat, ait Galatis : « Ascendi in Jerusalem, et contuli cum eis Evangelium quod prædico, seorsum autem his qui videbantur esse, ne forte in vanum currerem aut cucurrissem [48]. » Et is qui dicit se non ab hominibus didicisse, sed per revelationem Jesu Christi, nihil gravatim tulit cum condiscipulis conferre, consilii ineundi gratia. Neque enim privato judicio tantum sibi uni tribuit fiduciæ, veritus ne in vanum curreret aut cucurrisset. Nos autem, quos latet quæ sit aut dextera aut sinistra, quanto æquius est nihil moliri operis absque spiritualium Patrum arbitratu et consilio, exemplo tanti istius Apostoli? sed omni studio illorum consilio usi, non item in re quavis nitentes nostra qualicunque prudentia, aut propriis cogitationibus fidem accommodantes, magis autem ad eorum qui nostram hanc anteverterunt ætatem, consilium decretumve, ceu ad scopum recta collineemus, ne forte contingat insidiosa malignitate dæmonum nobis illudi. Pro sua enim veteratoria voluntate res quaslibet in aliam subinde permutant formam, in eorum maxime prospectu qui commentitias artes illorum non admodum scite callent, aut qui plus æquo nituntur fiducia sui arcus, sive brachii. In nos enim per humilitatem, sidit ac delabitur sancti Spiritus gratia, quemadmodum nos edocuit Dominus : « Cum adduxerint vos ad synagogas et principatus et potestates, nolite cogitare quomodo aut quid respondeatis : Spiritus enim sanctus docebit vos in illa hora quid vos oporteat dicere [49]. » Ipsi gloria et imperium in sæcula. Amen.

σιν, μή πως εἰς κενὸν τρέχω, ἢ ἔδραμον. » Ὁ λέγων μὴ διδαχθῆναι παρ' ἀνθρώπου, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ, οὐκ ἀπηξίωσεν συμβουλεύσας τοῖς συμμαθηταῖς αὐτοῦ. Οὐδὲ γὰρ ἑαυτῷ ἐπίστευσεν, φοβούμενος μὴ εἰς κενὸν τρέχῃ, ἢ ἔδραμεν. Ἡμεῖς δὲ οἱ μὴ γινώσκοντες, ποῖα δεξιὰ ἢ ἀριστερὰ, παλλῷ μᾶλλον ὀφείλομεν πάντα μετὰ γνώμης τῶν πνευματικῶν ἡμῶν Πατέρων πράττειν, φοβούμενοι τὸ ὑπόδειγμα τοῦ Ἀποστόλου· καὶ πάσῃ σπουδῇ τῇ συμβουλίᾳ χρησάμενοι· ἐν μηδενὶ θαῤῥοῦντες ἑαυτοῖς, ἢ πιστεύοντες τοῖς λογισμοῖς ἡμῶν, ἀλλὰ στοιχοῦντες τῇ συμβουλῇ καὶ τῇ κρίσει τῶν περὶ ἡμῶν Πατέρων, μήποτε ἐμπαιχθῶμεν ὑπὸ τῶν πονηρῶν δαιμόνων. Ὡς γὰρ θέλουσιν μετασχηματίζουσιν τὰ πράγματα, μάλιστα τοῖς τὰς τέχνας αὐτῶν μὴ ἐπισταμένοις, ἢ πεποιθόσιν ἐπὶ τῷ τόξῳ καὶ τῷ βραχίονι αὐτῶν. Διὰ γὰρ τῆς ταπεινώσεως ἐπελεύσεται ἐφ' ἡμᾶς ἡ χάρις τοῦ ἁγίου Πνεύματος· καθὼς καὶ ὁ Κύριος ἐδίδαξεν ἡμᾶς λέγων· « Ὅταν προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς, καὶ τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας, μὴ μεριμνήσητε· πῶς ἢ τί ἀπολογήσεσθε. Τὸ γὰρ ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

1160 HOMILIA LXXXIV.

De insomniis.

Jam quando nonnulli sunt qui per hoc quod fidem habuerunt insomniis, a rectitudine viæ abducti in pudendos errores deflexerunt, hujusce rei gratia submonemus vos, dilectissimi, ne quando istiusmodi aerivagis et multiformibus insomniis commodetis fidem. Sunt enim hæc aliud nihil quam mentis implanatæ ac deerrantis simulacra, imaginationes, et frustratoriæ ludificationes reproborum dæmonum, nobis ut imponant et implanent; sic misere seductos ut inescent istis deliniamentis atque oblectent, ut deinceps nullo negotio hominem pertrahant ad captanda lenocinia illecebrosæ voluptatis, juxta verbum Judæ apostoli Jacobi fratris, de ejusmodi quibusdam, dicentis : « Similiter et hi insomnia sua sectantes, carnem quidem maculant, dominationem autem spernunt, majestatem vero blasphemant [50]. » Ecclesiastes item præcipit, dicens : « Insomnium in multitudine tentationis, et vox stulti in multitudine sermonum [51]. » Inducit : « Ne des os tuum ut exerrare facias carnem tuam, ut ne irascatur Deus super voce tua, et corrumpat labores manuum tuarum, quia in multitudine somniorum et vanitatum et sermonum multorum [52]. » Jesus item Sirach filius : « Insomnia extollunt imprudentes [53]. » Infert : « Quemadmodum

ΛΟΓΟΣ ΠΔ'.

Περὶ ἐνυπνίων.

Ἐπειδή τινες ἐμπιστεύσαντες ἐνυπνίοις, παρετράπησαν τῆς εὐθείας ὁδοῦ, τούτου χάριν ὑπομιμνήσκομεν ὑμᾶς, ἀγαπητοὶ, ὡς οὐ χρὴ ῥᾳδίως ἐμπιστεῦσαι τοῖς ἀστροπόλοις καὶ πολυσχιδέσιν ἐνυπνίοις. Ταῦτα γὰρ οὐδὲν ἕτερόν εἰσιν ἢ διανοίας πλανωμένης ἐνδάλματα, καὶ φαντασίαι, καὶ χλεύη τῶν πονηρῶν δαιμόνων, πρὸς τὸ ἀπατᾶσθαι ἡμᾶς, καὶ ἐξαπολουθεῖν αὐτῶν τοῖς δελεάσμασι, λοιπὸν δὲ ἵνα καὶ πρὸς ἡδονὴν κατασύρωσι τὸν ἄνθρωπον, ὡς λέγει ὁ ἀπόστολος Ἰούδας ὁ Ἰακώβου περί τινων τοιούτων. Φησὶ γάρ· « Ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι, σάρκα μὲν μιαίνουσι, κυριότητας δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦσι. » Ὁ δὲ Ἐκκλησιαστὴς, παραγίνεται γάρ λέγων· « Ἐνύπνιον ἐν πλήθει περισπασμοῦ, καὶ φωνὴ ἄφρονος ἐν πλήθει λόγων. » Καὶ ἐπάγει· « Μὴ δῷς τὸ στόμα σου ἐξαμαρτεῖν τὴν σάρκα σου· ἵνα μὴ ὀργισθῇ ὁ Θεὸς ἐπὶ φωνῇ σου, καὶ διαφθείρῃ τὰ ποιήματα τῶν χειρῶν σου, ὅτι ἐν πλήθει ἐνυπνίων καὶ ματαιοτήτων καὶ λόγων πολλῶν. » Καὶ ὁ τοῦ Σειράχ φησιν, ὅτι « Ἐνύπνια ἀναπτεροῦσιν ἄφρονας. » Καὶ ἐπιφέρει, « Ὥσπερ ὁ δρασσόμενος σκιᾶς, καὶ ὁ διώκων ἀνέμους, οὕτως ὁ ἐπέχων ἐνυπνίοις. Ἀπὸ γὰρ ψεύδους τί ἀληθεύσει; » Καὶ πάλιν· « Μαντεῖαι, καὶ οἰωνισμοὶ, καὶ ἐνύπνια μάταιά ἐστι· πολλοὺς γὰρ ἐπλάνησαν τὰ ἐνύπνια,

[47] Exod. xvii, passim. [48] Galat. ii, 2. [49] Matth. x, 19. [50] Jud. 8. [51] Eccle. v, 2. [52] ibid. 5. [53] Eccli. xxxiv, 1.

καὶ ἐξέπεσον ἐλπίζοντες ἐπ' αὐτοῖς. » Ἐὰν οὖν ὀφθῇ τινι τῶν ἀγωνιζομένων, ἢ φῶς, ἢ σχῆμά τι πυροειδὲς, μηδαμῶς καταδεξάσθω τὸ τοιοῦτον ὅραμα. Ἀπάτη γάρ ἐστι σαφὴς ἐκ τῆς κακοτεχνίας τοῦ ἐχθροῦ. Τοῦτο δὲ σαφῶς καὶ ὁ Ἀπόστολος διδάσκει ἡμᾶς, « Εἰς ἄγγελον φωτὸς » αὐτὸν λέγων μετασχηματίζεσθαι. Καλὸν οὖν ἐστι πρὸ ὕπνου ἐπὶ κοίτης εἰς φυλακτήριον ψυχῆς, καὶ φυγαδευτήριον τῆς πλάνης εὔχεσθαι τὴν εὐχὴν ταύτην·

A qui pugno captat umbras et persequitur ventos, sic qui intendit insomniis, a mendace enim quid egredietur veritatis[54] ? » Iterum : « Divinationes et auguria et insomnia vana sunt, multos enim errare fecerunt insomnia, et exciderunt spem ponentes in eis[55]. » Si cuipiam igitur vestrum qui in hoc spirituali desudat agone, se visendam obtulerit aut lux aut alia quævis figura imaginem repræsentans ignis, nullo pacto ejusmodi spectrum sinat animo illabi : aliud enim id nihil est quam luculenta fraus, subdola arte inimici concinnata. Hoc perspicue docet nos Apostolus, dum astruit impurum illum solere se transfigurare « in angelum lucis[56]. » Profuerit igitur, priusquam carpendo sopori in cubili dedas te, ad animæ salutare antidotum et ad amoliendam et propulsandam ab ea dæmonum impostaram, ut ores orationem hanc :

Παντοκράτωρ Λόγε τοῦ Πατρὸς, ὁ αὐτοτελὴς Θεὸς Ἰησοῦ Χριστὲ, τὰ ταχέα σου σπλάγχνα Ἰησοῦ, ὁ μηδέποτε χωριζόμενος τῶν σῶν οἰκετῶν, ἀλλ' ἀεὶ ἐν αὐτοῖς ἀναπαυόμενος, Ἰησοῦ ὁ ποιμὴν ὁ καλὸς τῶν σῶν προβάτων, μὴ παραδῷς με τῇ ἐπιβουλῇ τοῦ ὄφεως, μηδὲ τῇ ἐπιθυμίᾳ τοῦ Σατανᾶ καταλίπῃς με, ὅτι σπέρμα φθορᾶς πέφυκεν ἐν αὐτῷ. Σὺ οὖν, Κύριε, βασιλεῦ παντὸς, ὁ Θεὸς ὁ προσκυνητὸς Ἰησοῦ Χριστὲ, καθεύδοντά με φύλαξον τῇ ἀθανάτῳ σου βουλῇ καὶ τῷ Πνεύματί σου τῷ ἁγίῳ, ᾧ ἡγίασας τοὺς σοὺς μαθητὰς, ῥυόμενός με ἐκ τῆς ἐπιβουλῆς τοῦ ὄφεως. Δὸς δέ μοι τῷ ἀναξίῳ τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου ἐπὶ τῆς κοίτης μου, καὶ φώτισόν μου τὸν νοῦν τῷ φωτὶ τῆς γνώσεως τοῦ Εὐαγγελίου σου. Τὴν ψυχήν μου ἐν τῇ ἀγάπῃ τοῦ σταυροῦ σου· τὴν καρδίαν μου ἐν τῇ καθαρότητι τοῦ λόγου σου· τὸ σῶμά μου ἐν τῷ σῷ πάθει, τῇ σῇ ἀπαθείᾳ· τοὺς λογισμούς μου ἐν τῇ σῇ εἰρήνῃ διαφύλαξον· καὶ ἔγειρόν με ἐν καιρῷ εὐθέτῳ πρὸς σὴν δοξολογίαν· ὅτι προσκυνητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

Omnipotens Verbum Patris[1], *tuapte natura perfectus Deus Jesu Christe ; per viscera tua, Jesu bone,* B *quæ ad misericordiam propensissima sunt ; qui nunquam a famulis tuis te disjungis, sed in ipsis conquiescis : quæso, Pastor bone ovium tuarum, Iesu, ne me tradas insidiosæ malignitati serpentis, neu sinas me intercipi concupiscentia Satanæ : semen enim corruptelæ in ipso prognatum est. Tu igitur, Domine mi, rex sanctissime, Deus adorande Jesu Christe, custodi me dormientem, immortali tuo consilio ; tuoque sancto Spiritu, quo tuos illos sanctificasti discipulos. Exime me serpentis veteratorii insidiis.* **1161** *Mihi quamlibet indigno impartire gaudium tui salutaris in cubili meo, mentemque meam illustra luce cognitionis Evangelii tui. Animam meam in dilectione sanctæ tuæ crucis ; cor meum in sinceritate verborum tuorum ; corpus meum in passione tua ;* C *idque per gratiam tuæ impassibilitatis ; cogitationes meas in pace tua custodi : opportuno tempore expergefacito me ad glorificandum nomen tuum. Adorandus enim tu et glorificandus cum Patre et sancto Spiritu in sæcula. Amen.*

Εἰσὶ δὲ ἐνύπνια καὶ ἄλλα, οἷόν τι ὡς λέγει ὁ Ἰώβ· « Ἓν γὰρ τῷ ἅπαξ λαλήσει Κύριος· ἐν δὲ τῷ δευτέρῳ ἐνυπνίῳ ὡς ὅταν ἐμπίπτει φόβος ἐν νυκτί. » Ἡμεῖς δὲ, ἀγαπητοὶ, οὐκ ὀφείλομεν πιστεύειν, ἢ συγκατατίθεσθαι τοῖς ἐνυπνίοις· εἰ καὶ, ὡς εἰκὸς, ἐκ θείας τινὸς ἀποκαλύψεως καταπεμφθῇ ἡμῖν ὅραμα, μὴ πρόσχωμεν τούτῳ, ἵνα μὴ ἀντὶ φωτὸς καπνὸν ὑποδεξώμεθα· οὐδὲν γὰρ ἐν τούτῳ παροργίζομεν τὸν Κύριον, ἀλλὰ μᾶλλον καὶ ἀποδέξηται ἡμᾶς μετὰ φόβου φυλάττοντας τὸν ἐμπιστευθέντα ἡμῖν παρ' D αὐτοῦ θησαυρόν. Καὶ εἴχομεν πολλὰ διηγήματα ἐλθόντα εἰς ἐμὲ παλαιὰ καὶ νέα ἐφ' ἡμῶν γινόμενα περὶ τῶν χλευασθέντων ἀπὸ ἐνυπνίων, καὶ ἐλεεινῶς ἐκπεσόντων, ἐνθέσθαι τῇ παρούσῃ γραφῇ πρὸς ἀσφάλειαν τῶν ἐντυγχανόντων· ἀλλ' ἵνα μὴ ἐκπέσωμεν τοῦ προκειμένου ἡμῖν σκοποῦ, ἓν καὶ μόνον κεφάλαιον παραθεὶς καταπαύσω τὸν λόγον. Ἐγένετό τις παράδειγμα μοναχὸς ἐν τῷ ὄρει τῷ Σινᾷ· ὃς τοσαύτην ἐγκράτειαν ἐπιδειξάμενος, καὶ ἐν κελλίῳ, καὶ

Sunt proinde et alia insomnia, quale illud de quo Job : « Etenim semel loquetur Dominus, in secundo autem insomnio, sicut cum inciderit timor in nocte[57]. » Nos proinde, dilectissimi, non facilem commodare fidem debemus aut assentiri insomniis, tametsi in speciem videri possint ad nos cœlitus demissa esse (nisi adsit discretio spirituum, certa nec fallax interpres rei visæ) ne proluce fumum inanem capiemus. Num, quæso, per hoc exacerbamus adversum nos Dominum? Adeo nihil illum hac una re exasperamus, ut illi etiam faturi simus gratiores, quippe qui cum timore et circumspectione nec mediocri asservamus thesaurum ab ipso nobis concreditum. Et quidem non pauca ejus generis exempla possimus enarrare quæ ad nos usque pervenerunt, cum vetera, tum nova ut quæ ætate etiam hac nostra contigerunt, de his qui per insomnia ludificationes dæmonum perpessi sunt, et misere conciderunt per fidem habitam insomniis. Sane hæc præsenti scripto venirent inserenda ad

[54] Eccli. xxxiv, 2. [55] ibid. 5, 7. [56] II Cor. xi, 14. [57] Job xxxiii, 15.

[1] Secus habet editio nostra et LXX.

B βείας, εὐθέως ἅπαντα τὰ προσόντα ἡμῖν διαπωλεῖν. Καὶ τὰ ἀπὸ τούτων χρήματα κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου, διοικεῖν, καὶ μὴ προφάσει τοῦ θέλειν διὰ παντὸς ἐντολὰς ποιεῖν, παρακούωμεν τοῦ σωτηρίου κελεύσματος. Πρῶτον μὲν γὰρ ἐκ τούτου ἔσται ἡ καλὴ ἀμεριμνία, καὶ ἡ ἐντεῦθεν ἀνεπιβούλευτος πενία· λέγει οὖν ὁ Ἀπόστολος, « Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα. » Τοῦτο περὶ τῶν ἀθλητικῶν νόμων διαγορεύει. Ὥσπερ οὖν ἐκεῖνοι οἱ μόνον ἀποδυσάμενοι (ἀρχὴ γὰρ τοῦ ἀγωνίσασθαι, τὸ ἀποδύσασθαι), ἀλλὰ καὶ ἀποκειράμενοι τὴν κόμην, ἀλειψάμενοι ἐλαίῳ, ἵνα μὴ φυέντες θριξὶν, ἀλλὰ καὶ ὀλισθῆσαι παρασκευάσωσιν διὰ τοῦ ἐλαίου τοῦ ἀντιπάλου τὰς χεῖρας, οὕτως ἐπὶ τὸν ἀγῶνα χωροῦσιν·
C οὕτως καὶ ἡμεῖς, εἴγε στεφανῖται γενέσθαι ποθοῦμεν, ἀποδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον, σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ τὰ ἔξωθεν ἀποκειράμενοι, καὶ εἰς ἐλεημοσύνας καταναλώσαντες, γυμνοὶ πάσης φροντίδος καὶ ἀχίτωνες, εἰς τὸ στάδιον τῆς ἀρετῆς ἀναδῶμεν. Φησὶ δὲ καὶ τοῖς Ἑβραίοις, « Τοῖς δεσμίοις συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν ἐν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ μένουσαν. » Ὁ δὲ Ψαλμῳδός· « Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν. » Καλῶς γοῦν εἶπεν « Ἐὰν ῥέῃ· » ὀχετοῦ γὰρ τρόπον παροδεύει ἡμᾶς ὅλα
D τὰ τοῦ κόσμου τούτου, σήμερον τούτου, αὔριον ἄλλου γινόμενα. Ἡμεῖς οὖν τὰ τοῦ Δαβὶδ μετὰ τοῦ Δαβὶδ μελῳδήσωμεν, τό· « Ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. » Καί· « Ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον· » Καὶ, « Πτωχὸς καὶ πένης αἰνέσουσίν σε, Κύριε. » Ὁ δὲ Κύριος τῷ πλουσίῳ, « Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς αὐτὰ πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς. » Καί· « Δεῦρο, ἀκολούθει μοι, » ἆρας τὸν σταυρόν. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

lauded tuas

[41] I Cor. II, 9. [42] Rom. VIII, 17. [43] Ephes. VI, 12. [44] Hebr. X, 34. [45] Psal. LXI, 11. [46] Psal. CXVIII, 45. [47] ibid. 127. [48] Psal. LXXIII, 21.

facultates, et da pauperibus, et habebis thesaurum in cœlis[49]. » Et : « Veni, sequere me [50] » sublata cruce. Ipsi gloria in sæcula sæculorum. Amen.

ΛΟΓΟΣ ϟ'.

A

Περὶ πένθους.

Τὸ πένθος συμμέτοχόν ἐστι τῆς ἀκτημοσύνης καὶ πᾶσιν ἡμῖν ἁρμόδιόν ἐστιν καὶ ἐπωφελές. Οὐ μόνον γὰρ ἐργάζεται τὰς ἀρετὰς, ἀλλὰ καὶ φυλάσσει. Καὶ μετὰ τὴν ἐντεῦθεν μετάστασιν αἴτιον χαρᾶς αἰωνίου τοῖς μέχρι τέλους κατέχουσιν αὐτὸ γίνεται, καὶ παρακλήσεως πρόξενον κατὰ τὸν λόγον τοῦ Κυρίου. Ὑπὲρ αὐτοῦ οὖν πρὸ πάντων αἰτήσωμεν τὸν Θεὸν, ἵνα χαρίσηται ἡμῖν αὐτὸ ἀδιάστατον πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν. Οἱ γὰρ τοῦ πένθους ἐρασταὶ ἔχοντες αὐτὸ παράμονον καὶ τῇ προσευχῇ προσκαρτεροῦσι· καὶ οἱ τοιοῦτοι ἐνδύονται τὰ ὅπλα τοῦ φωτός. Καὶ ἀκούουσιν, « Σοῦ δὲ ἡ στολὴ θερμή. » Οἱ δὲ ἐχθροὶ αὐτῶν καθάπερ διπλοΐδα αἰσχύνην περιβάλλουσιν, καὶ αἱ διαδοχαὶ τοῦ πένθους εἰσὶν, καθὼς εἴρηται, ἐπουράνιος χαρὰ, καὶ τρυφὴ ἀνερμήνευτος, καὶ δόξα ἀνεκλάλητος. Τοῦτο γὰρ καὶ ὑπὸ τοῦ Ἐκκλησιαστοῦ διδασκόμεθα, λέγοντος· « Ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους, ἢ πορευθῆναι εἰς οἶκον πότου. » Καὶ πάλιν· « Καρδία σοφῶν ἐν οἴκῳ πένθους· καρδία δὲ ἀφρόνων εἰς οἶκον εὐφροσύνης. » Καὶ ἐπάγει· « Μὴ ὑστέρει μετὰ κλαιόντων, καὶ μετὰ πενθούντων πένθησον. » Λέγει δὲ καὶ ὁ προφήτης Ἀμώς· « Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἐξαποστελῶ λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου· καὶ πενθήσει ἡ γῆ, καὶ τὰ ἐν αὐτῇ. » Νυνὶ δὲ πεπλήρωται ἡ προφητεία αὕτη ἐν τοῖς καιροῖς ἡμῶν. « Πάντες γὰρ ἐξεκλίναμεν, ἅμα ἠχρειώθημεν. » Φησὶ δὲ καὶ ὁ Ἡσαΐας, « Διὰ τοῦτο εἶπα, Ἄφετέ με, πικρῶς κλαύσομαι ἐπὶ τῷ συντρίμματι τοῦ γένους μου, μὴ κατισχύσατε παρακαλεῖν με. » Καὶ ὁ Ἱερεμίας, « Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὰς δακρύων, καὶ κλαύσομαι ἡμέρας καὶ νυκτός; » Ἔλεγε δὲ καὶ τῷ λαῷ· « Καταγαγέτωσαν οἱ ὀφθαλμοὶ ὑμῶν, δάκρυα ἡμέρας καὶ νυκτός. » Ἀλλ' ἐν ἡμῖν οὐκ ἔστιν ὁ συνιών· τὰ γὰρ προγραφέντα, εἰς ἡμᾶς κατήντησεν. Ὁ δὲ Δανιήλ· » Καὶ ἔδωκα τὸ πρόσωπόν μου πρὸς Κύριον τὸν Θεόν μου ἐν νηστείᾳ καὶ σάκκῳ. » Καὶ ὁ Δαυΐδ, « Ὡς πενθῶν καὶ σκυθρωπάζων οὕτως ἐταπεινούμην. » Καὶ, « Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην, ὅτι αἱ ψύαι μου ἐμπλήσθησαν ἐμπαιγμάτων. » Καὶ ὁ Ἰὼβ, « Βέλη πειρατῶν αὐτοῦ ἐπ' ἐμέ· ἡ γαστήρ μου συγκέκαυται ἀπὸ κλαυθμοῦ· ἐπὶ βλεφάροις μου σκιὰ θανάτου. » Πρόσχωμεν οὖν καὶ ἡμεῖς, ἀγαπητοὶ, καὶ συνιῶμεν τοὺς βίους τῶν ἁγίων ἀνδρῶν, πῶς τὸν χρόνον αὐτῶν διήνυσαν ἐν κλαυθμῷ καὶ σάκκῳ καὶ κοπετῷ, καὶ γεγόνασιν διὰ τῆς

HOMILIA XC.

De luctu.

Luctus inopiæ consors est, ui et omnibus nobis congruit, estque perquam utilis. Neque enim virtutes modo operatur, sed et easdem solerti tuetur custodia, nobisque hinc emigrantibus (juxta Domini sermonem) auctor æterni fit gaudii, et consolationis pararius, si modo ipsum penes nos retinemus usque in finem. Pro impetrando igitur luctu ante omnia interpellemus Deum, nobis ut eum gratuito conferat, futurum individuum comitem omni tempore vitæ istius nostræ. Hunc enim perpetem possident qui ipsius sunt amatores, sed et orationi invigilant constanter. Qui tales sunt, induuntur arma lucis, et audiunt illud : « Stola tua fervida est. » Istorum vero inimici quasi diploide confusione circumamiciuntur. Luctus sane istius succedanea hæreditas hæc, cœleste gaudium, deliciæ non interpretabiles, ineloquibilis gloria, nunquam desitura exsultatio. Hoc ipsum nos instruit Ecclesiastes : « Melius est ire ad domum luctus, quam pergere ad domum convivii[51]. » Iterum : « Cor sapientium in domo luctus, cor autem stultorum in domo lætitiæ[52]. » Inducit : « Ne pigrieris cum flentibus flere, et cum lugentibus lugere[53]. » Dicit autem et propheta Amos : « Ecce dies veniunt, dicit Dominus, et emittam famem super terram, non famem panis, neque sitim aquæ, sed famem audiendi verbum Domini, et lugebit terra, et ea quæ in ipsa erunt[54]. » His nunc nostris temporibus [m] impletum est istius prophetæ oraculum : « Omnes enim declinavimus, simul inutiles facti sumus[55]. » Sed et Isaias : « Propter hoc dixi : Recedite a me, amare flebo super contritione gentis meæ : et ne detis operam, ut consolemini me[56]. » Jeremias insuper : « Quis dabit capiti meo aquam, et oculis meis fontem lacrymarum ; et plorabo die ac nocte[57] ? » Dicebat item et populo : « Deducent oculi mei lacrymas die ac nocte[58]. » Atqui inter nos non est qui intelligat. Quæ enim propheticis oraculis præsignata sunt, occurrerunt nobis. Daniel quoque : « Dedi faciem meam ad Dominum Deum meum in jejunio et sacco[59]. » David : « Tanquam lugens et contristatus sic humiliabar[60]. » Et : « Miser factus sum, et curvatus usque in finem ; tota die contristatus ingrediebar, quoniam lumbi mei impleti sunt illusionibus[61]. » Job item. « Sagittæ tentationum ejus, super me : venter meus exæstuavit a fletu, super palpebras autem meas umbra mortis[62]. » **1172** Attenti igitur simus et nos, charissimi, et intelligamus sanctorum viro-

[49] Matth. XIX, 22. [50] ibid. [51] Eccle. VII, 3. [52] ibid. 5. [53] Rom. XII, 15. [54] Amos. VIII, 11. [55] Psal. XIII, 3. [56] Isa. XXII, 4. [57] Jerem. IX, 1. [58] ibid. 18. [59] Dan. IX, 3. [60] Psal. XXXIV, 14. [61] Psal. XXXVII, 7. [62] Job VI, 4, 6.

VARIÆ LECTIONES.

[m] Sub Cosroa Persarum tyranno.

rum quis fuerit, dum viverent, tenor ac formula: acie mentis condiscamus quo pacto isti tempus suum exegerint in fletu, sacco et planctu, utque per afflictionem et luctum promeruerint effici pueri, famuli et amici Jesu Christi. Et hæc eo sunt prodita memoriæ, ut nos ad studium invitent concupiscendi luctum, « Ut sint nobis lacrymæ panis die ac nocte [65], » ut per singulas quasque noctes stratum nostrum rigemus lacrymarum profluvio, ut decolores notæ peccatorum expientur, quibus circumfundimur toti, ut vel sic digni habeamur quos nuptiali stola convestiat et adornet Dominus [66]: qui enim ea nuptiarum veste deprehendetur non esse indutus, excludetur regni aditu. Cum igitur habeamus sic benignum ac clementem Dominum, omnisque immemorem injuriæ, ipsum exoremus ac repropitiemus per suspiriosos gemitus et lacrymas, ut in ejus adventu splendida illa amicti stola inveniamur. Magnopere is diligit salutem nostram: in hoc enim jubet, a se ut auferat Jesus Josedech vestimenta sordium eluvie defœdata, et amiciatur podere, ad talos imos usque propendente [68]; dicit enim ipsi Jesu, « Ecce abstuli iniquitates tuas [69]. » Nobis itidem: « Beati qui lugent, quoniam ipsi consolabuntur: Beati qui flent nunc, quia ridebunt [67]. » Deum nostrum addecet gloria in sæcula. Amen.

A

B

κακουχίας καὶ τοῦ πένθους παῖδες καὶ θεράποντες καὶ φίλοι Θεοῦ. Ταῦτα δὲ ἐγράφησαν, ἵνα ἡμᾶς εἰς ζῆλον ἄγωσιν τῆς ἐπιθυμίας τοῦ πένθους τοῦ· « Γενέσθαι ἡμῖν τὰ δάκρυα ἄρτον ἡμέρας καὶ νυκτός· » καὶ τοῦ βρέξαι καθ' ἑκάστην νύκτα τὴν στρωμνὴν ἡμῶν ἐν δάκρυσιν, καὶ καθαρισθῆναι τῆς κηλίδος ἧς περικείμεθα, ὅπως ἄξιοι γενώμεθα ἐνδυθῆναι τὴν στολὴν τοῦ γάμου· ὁ γὰρ μὴ ἐνδεδυμένος τὴν στολὴν τοῦ γάμου, ἔξω βλήσεται. Ἔχοντες οὖν τοιοῦτον ἀγαθὸν Δεσπότην, καὶ ἀμνησίκακον, δυσωπήσωμεν αὐτὸν διὰ στεναγμῶν καὶ δακρύων, ὅπως λαμπροστόλοι εὑρεθῶμεν ἐν τῇ παρουσίᾳ αὐτοῦ. Ἀγαπᾷ γὰρ τὴν σωτηρίαν ἡμῶν. Διὰ τοῦτο γὰρ καὶ κελεύει ἀφελεῖν τὰ ῥυπαρὰ ἱμάτια Ἰησοῦν τὸν Ἰωσεδὲκ, καὶ ἐνδυθῆναι ποδήρη· λέγει γὰρ αὐτῷ· « Ἰδοὺ ἀφῄρηκα τὰς ἀνομίας σου. » Καὶ ἡμῖν· « Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται· μακάριοι οἱ κλαίοντες νῦν, ὅτι αὐτοὶ γελάσονται. » Τῷ Θεῷ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

HOMILIA XCI.

Quod semper captanda sit temporis opportunitas.

Nulla non in re spectanda venit tempestivitas, præterquam in oratione. Nunquam enim intempestiva potest esse oratio. Ait enim David: « Benedicam Dominum in omni tempore, semper laus ejus in ore meo [66]. » Et illud: « Indesinenter orate, in omnibus gratias agite [69]. » Quod autem cæteris in rebus spectari debeat et observari temporis commoditas, per Ecclesiastem erudimur; ait enim: « Omnibus suum est tempus, et tempus omni rei, tempus tacendi et tempus loquendi [70]. » Et: « Si est tibi intellectus, responde fratri tuo, sin autem, manum superpone ori tuo [71]: quod si tempus appetit loquendi, bonum fuerit ut in tempore dicas verbum [72]. » Ait enim, « Sermo vester semper sit sale conditus [73], » in hoc ut noveritis, quo pacto oporteat unicuique respondere. Omnis enim sermo interruptus. Et: « Qui addit scientiam, addit et laborem [74], » sive dolorem. « Qui autem temerarius est labiis, incidet in mala, propter enim ineruditionem linguæ superveniunt iræ: » innocens servat suam linguam, ut qui diligit suam animam. Qui adulatione utuntur, seducunt corda innocentum, et qui beatificant, in errorem mittunt. Illud, « Tempus flendi [74a]: » pro eo sumitur quod est, affligitote animas vestras. Et hoc: « Tempus ridendi [75]: » **1173** pro eo, celebrate mihi diem festum. γελάσαι enim, tempus nimirum ridendi, lætitiæ et gaudii est index. « Tempus belli: » luctæ scilicet, cum adversus hominem cominus confligit, et cooritur diabolus in illum, multiplicium tenta-

C

D

ΛΟΓΟΣ ΛΑ'.

Περὶ τοῦ, Καιρὸς τοῦ παντός.

Καιρὸς μὲν τῷ παντὶ πράγματι χωρὶς τῆς εὐχῆς· ἡ γὰρ εὐχὴ, πάντοτε καιρὸν ἔχει. « Εὐλογήσω γὰρ, φησὶν, τὸν Κύριον ἐν παντὶ καιρῷ· διὰ παντὸς γὰρ ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. » Καί· « Ἀδιαλείπτως προσεύχεσθε, καὶ ἐν παντὶ εὐχαριστεῖτε. » Περὶ γὰρ τῶν ἄλλων πραγμάτων, ὅτι χρὴ σκοπεῖν καιρὸν, καὶ ἐπιτηρεῖν, ταῦτα ὑπὸ τοῦ Ἐκκλησιαστοῦ διδασκόμεθα. Φησὶν γάρ· « Τοῖς πᾶσιν ὁ χρόνος, καὶ καιρὸς τῷ παντὶ πράγματι· καιρὸς τοῦ σιγᾶν, καὶ καιρὸς τοῦ λαλεῖν. » Καί· « Εἰ ἔστι σοι σύνεσις, ἀποκρίθητι τῷ ἀδελφῷ σου· εἰ δὲ μήγε, χεῖρα ἐπίθες ἐπὶ τῷ στόματί σου· εἰ δὲ καιρὸς τοῦ λαλεῖν, καλὸν εἰπεῖν λόγον ἐν καιρῷ. » Φησὶν γάρ· « Ὁ λόγος ὑμῶν εἴη πάντοτε ἁλατι ἠρτυμένος· » εἰδέναι πῶς δεῖ ἑνὶ ἑκάστῳ ἀποκρίνασθαι. Πᾶς γὰρ ὁ λόγος, ἔγκοπος. Καί· « Ὁ προσθεὶς γνῶσιν, προστίθησιν ἄλγημα. » — Ὁ δὲ προπετὴς χείλεσιν, πεσεῖται εἰς κακὰ, δι' ἀπαιδευσίαν γὰρ γλώσσης ἐπέρχονται ὀργαί. » Ὁ δὲ ἄκακος τηρεῖ τὴν ἑαυτοῦ γλῶσσαν, ὡς ἀγαπῶν τὴν ἑαυτοῦ ψυχήν. Οἱ γὰρ τῇ κολακείᾳ χρώμενοι, ἐξαπατῶσιν τὰς καρδίας τῶν ἀκάκων, καὶ μακαρίζοντες πλανῶσιν. « Καιρὸς τοῦ κλαῦσαι, » ἀντὶ τοῦ, Κακώσατε τὰς ψυχὰς ὑμῶν. Καί· « Καιρὸς τοῦ γελᾶσαι· » καὶ τοῦτο ἀντὶ τοῦ, Ἑορτάσατέ μοι τὴν ἑορτήν. Τὸ γὰρ γελᾶσαι, χαρμοσύνη ἐστίν. « Καιρὸς πολέμου· » τοῦτο περὶ πάλης λέγει, ὅτι ὁ διάβολος συμβάλλει τὸν ἄνθρωπον, ἐπιχειρῶν αὐτῇ διὰ πολλῶν καὶ ποικίλων πειρασμῶν. » Καὶ καιρὸς εἰρήνης· » ὅτι μετὰ τοῦ πειρασθῆναι αὐτὸν, παραγίνεται ἡ χάρις, χαροποιοῦσα τὴν ψυχήν. « Καιρὸν

[65] Psal. XLI, 4. [66] Matth. XXII, 11. [68] Zach. III, 3-5. [69] Matth. IX, 2. [67] Matth. V, 5. [66] Psal. XXXIII, 2. [69] I Thess. V, 17, 18. [70] Eccle. V, 7. [71] Eccli. V, 14. [72] Eccli. XI, 7, 8. [73] Coloss. IV, 6. [74] Eccle. I, 18. [74a] Eccle. III, 4. [75] ibid.

κρίσεως » γινώσκει καρδία σοφοῦ, καὶ τοῦτο ὅταν ἐλευθεροῦται τῆς πλάνης καὶ τῶν παθῶν· χαίρουσα ἡ ψυχὴ λέγει· « Ἔκρινέν μοι ὁ Θεὸς, ἀπὸ τοῦ ἀντιδίκου μου, ὅτι παντὶ πράγματι ἔστιν καιρὸς καὶ κρίσις, καὶ ἀπάντημα· ἐν συναντήσεται τοῖς πᾶσιν αὐτοῖς. » Καὶ τοῦτο περὶ τῆς τελευτῆς τοῦ ἀνθρώπου λέγει, διὰ τὸ ἄδηλον τοῦ βίου. Ἐπάγει γὰρ, « Ὅτι οὐκ ἔγνω ἄνθρωπος τὸν καιρὸν αὐτοῦ, ὡς οἱ ἰχθύες οἱ θηρευόμενοι ἐν ἀμφιβλήστρῳ. » Καὶ αὖθις· « Εἶδον πάντα τὸν περισσασμὸν ὃν ἔδωκεν ὁ Θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων, τὸ περισσᾶσθαι ἐν αὐτῷ. » Τὸ δὲ *ἔδωκεν*, ἀντὶ τοῦ, *συνεχώρησεν*, ἐκληπτέον. Καλὸν οὖν, καὶ εὐαπόδεκτόν ἐστιν ποιεῖν τὸ εἰρημένον. Ἔστωσαν γὰρ, φησὶ, ἐν παντὶ καιρῷ τὰ ἱμάτιά σου λευκὰ, καὶ ἔλαιον ἐπὶ τῆς κεφαλῆς σου μὴ ὑστερησάτω. » Τουτέστιν, Αἱ μὲν πράξεις τῆς ψυχῆς σου, καὶ τοῦ σώματος διὰ παντὸς ἔστωσαν καθαραὶ καὶ ἄμωμοι. Πάσῃ δὲ τῇ δυνάμει σου, τὸ ἔλαιον τῆς ἐλεημοσύνης διὰ τῶν πενήτων ἐπίχεε ἐπὶ τὴν κεφαλήν σου Χριστόν. Αὐτὸς γὰρ ἡμῶν ἡ κεφαλὴ, λέγων· « Ἐμοὶ ἐποιήσατε ὅσα τοῖς ἐλαχίστοις τοῖς ἀδελφοῖς μου ἐποιήσατε. » Καὶ διὰ τοῦ Ἡσαΐου, « Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. » Ὅτε οὖν ἦλθεν ὁ δεκτὸς καιρὸς, καὶ ἡ ἡμέρα τῆς σωτηρίας ἡμῶν ἡ χάρις, τοῦτον ὁ Ἀπόστολος φανεροποιῶν τὸν καιρὸν, λέγει· « Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας, μηδεμίαν ἐν μηδενὶ διδόντες προκοπὴν, ἵνα μὴ μωμηθῇ ἡ διακονία· ἀλλὰ πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω. » Ὅθεν καὶ ὁ Κύριος τοῦτον δεικνύων, ἐγκαλούμενος ὑπὸ τῶν Γραμματέων, καὶ Φαρισαίων, διὰ τί μὴ νηστεύουσιν οἱ μαθηταὶ αὐτοῦ, ἐπεστόμισεν αὐτοὺς, λέγων· « Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος, ἐφ' ὅσον χρόνον μετ' αὐτῶν ὁ νυμφίος ἐστὶν, νηστεύειν· ἐλεύσονται δὲ ἡμέραι, ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις. » Αὐτῷ ἡ δόξα τῷ ἀθανάτῳ νυμφίῳ Χριστῷ τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

tionum armatus telis. « Tempus pacis; » ubi discussa tentationum nube, serenitas amœna divinæ gratiæ affulget et inclarescit, incredibile gaudium inserens animæ. « Tempus judicii » novit cor sapientis, idque cum a lucta ac multijuga impressione passionem emancipatur anima et asseritur in libertatem: gaudio enim perfusa dicit: « Judicavit in me Deus de adversario meo. Cuique enim rei præstituta sunt et tempus et judicium [76]: et unus idemque occursus occurret omnibus his [77]: » hoc dicit de hominis morte, propter vitæ incertitudinem. Inducit enim: « Quia nescit homo tempus [78] » suum, sicut pisces capti verriculo. Rursus: « Vidit omnem occupationem quam dedit Deus filiis hominum, ut occuparentur in ea [79]. » Illud, ἔδωκεν, dedit, venit exponendum pro συνεχώρησε, permisit. Profuerit igitur (sed et res commendatione cum primis digna) ut quod dictum est, implendum curemus; nempe illud: « Sint in omni tempore vestimenta tua candida, et oleum in capite tuo ne deficiat [79a]. » Hoc est, actiones quidem animæ et corporis tui puræ sordium semper sint et inculpatæ. Omni proinde studio oleum eleemosynæ tuæ per pauperum manus effunde super caput tuum, Christum videlicet. Ipse enim caput nostrum est qui dicit: « Mihi fecistis quæcunque fratribus meis minimis fecistis [80]. » Et per Isaiam: « Tempore accepto exaudivi te, et in die salutis audivi te [81]. » Sane tempus illud sic acceptum ubi advenit et dies salutis nostræ, nempe gratia: tunc et Apostolus illud velut indice manifestius prodens, ait: « Ecce nunc tempus acceptabile, dies salutis, nemini dantes ullam offensionem, ut non vituperetur ministerium nostrum, sed honeste et secundum ordinem omnia fiant [82]: » Unde et Dominus hoc ipsum tempus indicans, cum accusaretur a Scribis et Pharisæis propterea quod illius discipuli neutiquam jejunarent: ora illorum temere et impudenter oblatrantia compescuit, dicens: « Non possunt filii sponsi, quanto tempore sponsus est cum eis, jejunare: venient autem dies, cum ablatus fuerit ab eis sponsus, tunc jejunabunt in illis diebus [83]. » Ipsi sponso immortali Christo Deo nostro gloria in sæcula sæculorum. Amen.

ΛΟΓΟΣ ΚΒ'.

Περὶ τοῦ συμπάσχειν.

Τὸ συμπάσχειν ἀλλήλοις, καὶ συναλγεῖν, συντρέχειν τε, καὶ συγκοπιᾷν, εὐάρεστόν ἐστιν τῷ Θεῷ. Καὶ γὰρ χρεωστοῦμεν τοῦτο πράττειν ὡς δοῦλοι, καὶ πάρεδροι, καὶ ὑπηρέται τοῦ Θεοῦ Λόγου. Ἵνα εὐαρέσωμεν, ᾧ ἐστρατεύθημεν. Ἀφ' οὗ καὶ τὰ ὀψώνια κομισόμεθα. Ψυχὴν ἐλεήμονα κέκτηται ὁ συμπαθής. Ὁ γὰρ τὴν ψυχὴν τοιαύτην ἔχων, πάντα ἀναβλύσει τὰ καλά. Κἂν γὰρ χρήματα ἔχει, προήσεται· κἂν ἐν συμφοραῖς ἴδῃ τινὰ, κλαύσεται, κἂν ἐπηρεαζομένῳ περιτύχῃ, χεῖρα ὀρέξει, καὶ οὐδενὶ παραλείψει τῶν εἰς αὐτὸν φθανόντων. Ἀγωνισώμεθα οὖν, ἵνα ἡ πίστις ἡμῶν, καὶ ἡ ἀγάπη, καὶ ἡ ὑπομονὴ, ὡς

1174 HOMILIA XCII.

Alienæ calamitati indolescendum compassionis affectu.

Ob alienam calamitatem angi animo, incommodisque proximorum mutuiter condolescere, suffragari item et collaborare, quam sit Deo gratiosum et acceptum, quis explicet? Hoc etenim reipsa ut præstemus, vel debito obstringimur, ut qui servi sumus, assessores et subministri Dei Verbi, ut illi nos probemus in cujus accenturiati sumus et ascripti militiam, a quo relaturos nos stipendia navatæ insigniter operæ certo scimus. Animam utique ad officia exercendæ pietatis erga proximos mire habet proclivem, quisquis sic condolescit alienæ infelicitati. Qui talem possidet animam, nihil non

[76] Luc. xviii, 5, 7, 8. [77] Eccl. ix, 1 seqq. [78] Eccle. ix, 12. [79] Eccle. i, 13. [79a] Eccli. xxxix, 31. [80] Matth. xxv, 40. [81] Isa. xlix, 8. [82] Cor. vi, 2, 3. [83] Matth. ix, 15.

bonorum ex se, tanquam ex illimi quopiam fonte edet, et in cœlum transcribet. Quod si facultates habuerit et peculium, nihil dubitabit in hunc pietatis usum depromere atque insumere. Si quem viderit calamitate premi, prorumpet in fletum; si quem compererit oppugnari calumnia, manum illi exporriget auxiliarem, nec ulli alii talem deseret, quotquot ad se pervenerint. Certatim igitur contendamus, ut fides nostra, charitas, patientia, tanquam galea, et quasi hasta, omnisque species armorum, nos in procinctu spirituali conserentes, circumsistant. Longanimitatem mutuam invicem præstemus, vitam hanc exigamus in mansuetudine et placabilitate, ut et nobiscum Deus. Abjectum et humilem illacrymantem ne contemptim prætereamus, ut ne lacrymæ tempore orationis fusæ, a Deo despectim videantur. Si qua interim gratuita dona possidemus, nequid hinc nobis arrogemus, quin potius pio affectu compartiamur non habenti, eoque nobiscum id doni in finem usque permanebit. Dicit igitur qui inter primos in proximum affectu pientissimo legitur fuisse Job : « Ego autem super omni impotente flevi, ingemui vero, si quem vidi virum afflictum necessitate, et quod si despexi nudum, nec vestivi eum [84] : » Et « Janua autem mea omnibus aperta fuit [85]. » Eodem respicit illud Tobiæ : « Eleemosynas multas faciebam : si quando videbam mortuos in humum projectos, colligebam et sepeliebam eos [86]. » Propheta Osee : « Persequamur, ut cognoscamus Dominum, propter quod misericordiam vult et non sacrificium, et scientiam Dei plus quam holocausta [87]. » Michæas : « Annuntiatum est tibi, o homo, quid bonum aut quid Dominus quærit a te, nisi facere judicium et diligere misericordiam [88] ? » Sed et in Sapientia habes : « Erue eos qui ducuntur ad mortem, et redimere occisos ne parcas [89]. » Jacobus item : « Si frater aut soror nudi fuerint et egeant victu quotidiano, dicat autem quis illis : Ite in pace, calefacimini et saturamini, non dederitis autem eis quæ necessaria sunt corporis, quid proderit [90] ? » Admonet autem et Paulus dicens : « Induimini igitur tanquam electi Dei, sancti, dilecti, viscera misericordiæ, benignitatem, longanimitatem, supportantes invicem [91]. »

περικεφαλαίαι καὶ ὡς ὅπλου, καὶ πανοπλία ἡμῖν ἑστωσαν, μακροθυμοῦντες μετ' ἀλλήλων, καὶ ἐν πραότητι διάγοντες, ὡς καὶ ὁ Θεὸς μεθ' ἡμῶν. Ταπεινὸν δακρύοντα μὴ παρίδωμεν, ἵνα μὴ παροφθῇ τὰ τῆς εὐχῆς ἡμῶν δάκρυα. Καὶ ἐάν τι χάρισμα ἔχωμεν, μὴ φλαζονευώμεθα, ἀλλὰ συμπαθήσωμεν τοῖς μὴ ἔχουσιν, καὶ παραμείνῃ ἡμῖν τὸ δώρημα ἕως τέλους. Λέγει οὖν πρῶτος ὁ συμπαθέστατος Ἰώβ· « Ἐγὼ δὲ ἐπὶ παντὶ ἀδυνάτῳ ἐκλαυσα· ἐστέναξα δὲ, ἰδὼν ἄνδρα ἐν ἀνάγκαις· » καὶ, « Εἰ δὲ καὶ ὑπερεῖδον γυμνὸν, καὶ οὐκ ἡμφίασα. » Καὶ, « Ἡ δὲ θύρα μου παντὶ ἐλθόντι ἠνέῳκτο. » Ὡσαύτως καὶ ὁ Τωβίας· « Ἐλεημοσύνας φησὶν πολλὰς ἐποίουν. Καὶ ὅταν ἐθεώρουν τεθνεῶτας ἐῤῥιμμένους, συνέστελλον, καὶ ἔθαπτον αὐτούς. » Ὁ δὲ προφήτης Ὡσηέ φησιν· « Διώξωμεν τοῦ γνῶναι τὸν Κύριον, διότι ἔλεον θέλει, καὶ θυσίαν· καὶ ἐπίγνωσιν Θεοῦ, ἢ ὁλοκαυτώματα. » Καὶ ὁ Μιχαίας, « Εἰ ἀνηγγέλη σοι, ἄνθρωπε, τί καλὸν, ἢ τί Κύριος ἐκζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ τοῦ ποιεῖν κρίμα, καὶ ἀγαπᾶν ἔλεος; » Ἔχει δὲ καὶ ἐν τῇ Σοφίᾳ, « Ῥῦσαι ἀπαγομένους εἰς θάνατον· καὶ ἐκπρίου κτεινομένους, μὴ φείσῃ. » Ὁ δὲ Ἰάκωβος· « Ἐὰν ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχουσιν, καὶ λειπόμενοι τῆς ἐφημέρου τροφῆς, εἴποι δέ τις αὐτοῖς, Ὑπάγετε, ἐν εἰρήνῃ θερμαίνεσθε, καὶ χορτάζεσθε, μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος, τί τὸ ὄφελος; » Παραινεῖ δὲ καὶ ὁ Παῦλος· « Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ, ἅγιοι, καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν, ἀνεχόμενοι ἀλλήλων. » Φησὶ δὲ καὶ περὶ ἑαυτοῦ, « Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, ὅτι λύπη μοι ἐστὶν μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ· ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου τῶν κατὰ σάρκα. » Καὶ, « Ὅτι εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη. » Καὶ ὁ Πέτρος· « Τὸ δὲ τέλος, πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, ταπεινόφρονες, μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ, ἢ λοιδορίαν ἀντὶ λοιδορίας· τοὐναντίον δὲ εὐλογοῦντες ὅτι εἰς τοῦτο ἐκλήθητε, ἵνα εὐλογίαν κληρονομήσητε. » Ὁ δὲ εὔσπλαγχνος Κύριος βουλόμενος υἱοὺς ἡμᾶς ἀναδεῖξαι τοῦ οἰκείου Πατρὸς, φησίν· « Γίνεσθε οἰκτίρμονες, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος, οἰκτίρμων ἐστίν. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

1175 Sed et de seipso : « Veritatem dico, non mentior, quia tristitia mihi est magna et continuus dolor cordi meo : optabam enim ipse anathema esse a Christo pro fratribus meis cognatis meis secundum carnem [92]. » Et : « Quia sive patitur unum membrum, compatiuntur omnia membra [93]. » Petrus : « In fine autem, omnes unanimes, compatientes, fraternitatis amatores, misericordes, humiles, non reddentes malum pro malo, nec maledictum pro maledicto, sed e contrario benedicentes, quia in hoc vocati estis, ut benedictionem hæreditate possideatis [94]. » Ipse etiamnum Dominus ineffabilis clementiæ nos cum vellet declarare insigni quopiam argumento suiipsius Patris germanos esse filios, ait. « Estote misericordes, sicut et Pater vester cœlestis misericors est [95]. » Ipsi gloria in sæcula. Amen.

HOMILIA XCIII.

De non habenda personarum acceptione.

Personæ acceptio germana vicinitate annectitur

ΛΟΓΟΣ ΛΓ'.

Περὶ τοῦ μὴ προσωποληπτεῖν.

Ἡ προσωποληψία γειτνιάζει τῇ ἀνθρωπαρεσκείᾳ,

[84] Job xxx, 25. [85] Ibid. 14. [86] Tob. II, 16. [87] Osee VI, 3, 6. [88] Mich. VI, 8. [89] Prov. XXIV, 11. [90] Jac. II, 15, 16. [91] Coloss. III, 13. [92] Rom. IX, 1-3. [93] I Cor. XII, 26. [94] I Petr. III, 8, 9. [95] Luc. VI, 36.

ἀμφότερα δὲ μεμπτέα καὶ ἀπηγορευμένα παρὰ τῇ θείᾳ Γραφῇ εὑρίσκομεν. Ἀεὶ γὰρ οἱ προσωπολῆπται λόγους κολακευτικοὺς, καὶ μακαρισμοὺς ψευδεῖς τοῖς ἐν ὑπεροχῇ καὶ δυναστείᾳ ὑπάρχουσιν, ξύλα καὶ χόρτον, ὕλην εὔφθαρτον προσαναφλέγοντες τῷ τῆς φύσεως αὐτῶν πυρί. Περὶ ὧν φησιν ὁ προφήτης, « Οἱ μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς, » θαυμάζοντες πρόσωπα ὠφελείας χάριν. Πλούσιος γὰρ προστίθησιν φίλους πολλοὺς, ὁ δὲ πτωχὸς καὶ ἀπὸ τοῦ ὑπάρχοντος φίλου διαχωρίζεται. Καὶ ἡ σοφία τοῦ πένητος ἐξουδενωμένη. Οὐ θέμις τοιγαροῦν οὕτως ἡμᾶς πράττειν, ἀλλ' ὀφείλομεν πάντες ὁμοπιστίαν Θεοῦ λαβόντες, ἐντρέπεσθαι ἀλλήλους, καὶ μὴ κατὰ σάρκα ὁρᾷν τὸν πλησίον, ἀλλ' ἐν Χριστῷ ἀλλήλους διὰ παντὸς ἀγαπᾷν. Καὶ μηδὲν ἔστω ἐν ὑμῖν ὃ δυνήσεται ὑμᾶς μερίσαι· ἀλλὰ τοὐναντίον, κατὰ τὸν Ὑμνῳδὸν, « Ἐξέλεσθε πένητα καὶ πτωχὸν, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐτόν· ὁ γὰρ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων, κατῃσχύνθησαν ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς. » Οὐ γὰρ καλὸν αἰδεῖσθαι πρόσωπον, κατὰ τὴν Γραφὴν, ἐν κρίσει. « Καὶ μὴ λάβῃς πρόσωπον κατὰ τῆς ψυχῆς σου, μηδὲ ἐντραπῇς εἰς πτῶσίν σου. » Φησὶ δὲ καὶ ὁ δίκαιος Ἰώβ· « Νῦν δὲ εἰσβλέψας εἰς πρόσωπον ὑμῶν οὐ ψεύσομαι. » Καὶ ὁ Ἰάκωβος, « Ἀδελφοὶ, μὴ ἐν προσωποληψίαις ἔχετε τὴν πίστιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐὰν γὰρ, φησὶν, εἰσέλθῃ εἰς τὴν Συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος, ἐν ἐσθῆτι λαμπρᾷ, εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι, καὶ ἐπιβλέψητε ἐπὶ τὸν φοροῦντα τὴν ἐσθῆτα τὴν λαμπρὰν, καὶ εἴπητε αὐτῷ, Σὺ κάθου ὧδε καλῶς· καὶ τῷ πτωχῷ, Σὺ στῆθι ἐκεῖ, οὐ διεκρίθητε ἐν ἑαυτοῖς, καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν; » Καὶ ἐπάγει· « Εἰ μέντοι νόμον βασιλικὸν τελεῖτε κατὰ τὴν Γραφὴν, ἀγαπήσεις τὸν πλησίον, καλῶς ποιεῖτε· εἰ δὲ προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε, ἐλεγχόμενοι ὑπὸ τοῦ νόμου ὡς παραβάται. » Ὁμοίως καὶ ὁ Παροιμιαστὴς, « Θαυμάσαι πρόσωπον ἀσεβοῦς οὐ καλὸν, οὐδὲ ὅσιον ἐκκλίνειν τὸ δίκαιον ἐν κρίσει. » Καὶ ἄλλος· « Αἰσχύνεσθαι πρόσωπον ἐν κρίσει, οὐ καλόν. Ὁ εἰπὼν τὸν ἀσεβῆ, Δίκαιός ἐστιν, ἐπικατάρατος λαοῖς ἔσται, καὶ μισητὸς εἰς ἔθνη. Οἱ δὲ ἐλέγχοντες, βελτίους φανοῦνται. Ἐπ' αὐτοὺς δὲ ἥξει εὐλογία ἀγαθή. » Καὶ ὁ Παῦλος· « Οὐ γάρ ἐστιν προσωποληψία παρὰ τῷ Θεῷ. » Καὶ πάλιν· « Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι, ὁποῖοί ποτε ἦσαν, οὐδέν μοι διαφέρει· πρόσωπον Θεὸς ἀνθρώπου οὐ λαμβάνει. » Ὁ δὲ Θεὸς πρὸς τὸν Σαμουὴλ, περὶ τῶν υἱῶν Ἰεσσαί· « Μὴ ἐπιβλέψῃς, φησὶν, εἰς τὴν ὄψιν καὶ τὸ μέγεθος αὐτῶν, ὅτι ἄνθρωπος εἰς πρόσωπον βλέψεται, ὁ δὲ Θεὸς εἰς καρδίαν ὁρᾷ. » Αὐτὸς δὲ ὁ Κύριος ἀκούσας παρά τινος· « Ἰδοὺ ἡ μήτηρ σου, καὶ οἱ ἀδελφοί σου ἔξω ἑστηκότες ζητοῦσί σε, » ἀπεκρίθη αὐτῷ, « Τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου; » καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ, εἶπεν· « Ἰδοὺ ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου. Ὅστις γὰρ ἂν ποιήσει τὸ θέλημα τοῦ Πατρός

ambitioni, qua gratiam captas hominum et favorem. Edicto divinæ Scripturæ comperimus nobis utroque esse interdictum, ut reprehensibili ac vitioso. Qui enim vitio isti accipiendæ personæ obnoxii sunt, nullo non tempore sermones promunt assentatorios, ac nescio cujus commentitiæ beatitudinis prætexunt umbram iis qui prærogativa quapiam eminent dignitatis et potentiæ : videlicet proferunt ligna et fenum : utique materiam suapte natura acclivem corruptioni, incendentes igne, de quibus ait et propheta : « Qui vos beatificant, seducunt vos [96] : » admirantes personas quæstus causa. Dives enim addit amicos multos, pauper vero, et ab eo qui erat amicus, disparatur, sapientia pauperis nihili habita ac despecta [97]. » Atque non justum sit talia ut operemur, debemus magis fidem nihilo disparem complexi mutuo nos revereri honore : non quidem metientes proximum germanitate carnis, sed in Christo invicem amoris individui glutino confœderati, adeo ut nihil alicunde occurrat, quod nos possit a compagine mutuæ dilectionis dirimere : sed e diverso juxta sententiam ejus qui hymnos emodulatus est : « Eripite pauperem, et egenum ; de manu peccatoris liberate eum [98] : Deus enim dissipavit ossa eorum qui hominibus placent ; confusi sunt, quoniam Deus sprevit eos [99]. » Non enim bonum revereri personam in judicio, juxta Scripturam. Et : « Ne acceperis personam contra animam tuam, ne autem confundaris in casum tuum [1]. » Justus item Job : « Nunc autem inspecta persona vestra non mentiar [2]. » Jacobus quoque : « Fratres, nolite in personarum acceptione habere fidem Domini nostri Jesu Christi ; si enim introierit in conventum vestrum vir habens aureum annulum in veste splendida, introierit autem et pauper in sordido habitu, et intendatis in eum qui indutus est veste præclara, et dixeritis ei : Tu sede hic bene; pauperi autem dicatis : Tu sta illic, aut sede sub scabello pedum meorum : nonne judicatis apud vosmetipsos, et facti estis judices cogitationum iniquarum [3] ? » **1176** Inducit : « Si tamen legem perficitis regalem secundum Scripturam (Diliges proximum tuum sicut te ipsum), benefacitis; si autem personam accipitis, peccatum operamini, redarguti a lege quasi transgressores [4]. » Nec abludit Parœmiastes : « Admirari personam impii non est bonum, neque sanctum declinare justum in judicio [5]. » Alius : « Vereri personam in judicio, non est bonum ; qui dicit impio : Justus es, maledicetur in populis, et odibilis erit inter gentes ; qui autem reprehendunt, meliores apparebunt, super eos autem veniet benedictio bona [6]. » Paulus item : « Non enim est personarum acceptio apud Deum [7]. » Iterum : « Ab his qui videbantur esse, quales aliquando fuerint, nihil mea interest : personam Deus non accipit [8]. » Deus proinde Sa-

[96] Isa. IX, 16. [97] Eccle. IX, 16. [98] Psal. LXXXI, 4. [99] Psal. LII, 6. [1] Prov. XVIII, 5; Deut. XVI, 19. [2] Job. VI, 28. [3] Jac. II, 1-4. [4] ibid. 8, 9, [5] Prov. XXIV, 23. [6] Ibid. 24, 25. [7] Rom. II, 11. [8] Galat. II, 6.

mueli de filiis Jesse ait : « Ne respicias in vultum et ad magnitudinem ejus, quia homo in faciem videbit, Deus autem intuetur cor [9]. » Ipse porro Dominus cum a quodam audivisset : « Ecce mater tua et fratres tui foris stant quærentes te [10], » respondit illi : : « Quæ est mater mea, et qui sunt fratres mei [11]? » Cumque extendisset manum suam in discipulos, dicit : « Ecce mater mea et fratres mei : quicunque enim fecerit voluntatem Patris mei qui est in cœlis, hic meus frater et mater est [12]. » Ipsi gloria in sæcula sæculorum. Amen.

μου τοῦ ἐν οὐρανοῖς, οὗτός μου ἀδελφὸς, καὶ ὁδελφὴ, καὶ μήτηρ μού ἐστιν. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

HOMILIA XCIV.

Cohabitandum paucis quidem, sed bonis.

Profuerit, charissimi, cum paucis quidem habitare, sed bonis : id quod Deo longe gratius, quam ut multis cohabites qui sint contemptores mandatorum Domini. Ubi enim timor Domini, illic charitas et fratrum concordia : ubi nullus relinquitur timori Dei locus, ibi contentio ac zelus : ubi reverentia ac pietas erga Deum, et amabilis erga proximum affectus, illic intermedius horum habitat Deus : ubi autem invidia ac male morigera et inobsequens subjectio, illic e regione ambitio regnat gloriæ inanis. Commodum fuerit ac frugi nos mordicus tueri ac retinere simplicitatem et innocentiam, atque ad infantilis vitæ formulam mores instituere, quibus incomperta est prorsus improba malignitas, humanæ vitæ expultrix : neque simus adversum nos invectæ ullius injuriæ memores, neu per malitiam leges prævaricemur : magis autem omnem deponamus malitiam, omnem amaritudinem divinæ legis prævaricatricem, inque unum coalescamus spiritum, omni prorsus a nobis depulsa simulatione, quatenus in nobis dignetur habitare Dominus pacis, ut spiritus ipse revalescat, pristinæ sanitati quam gratuito acceperat, in integrum restitutus. Si quispiam nostrum vestem dederit fulloni, novam quidem illam atque incolumem ; et hanc a fullone recipere velit, **1177** fullo autem si frustillatim concisam et dissectam reddiderit, itane (quæso) accipiet eam dominus vestis?

Nunquid non cum illo velitaribus verbis delitigabit, vitioque illi vertet, dicens : Vestimentum dedi in manus tuas sanum et incolume, quid ita lacere concidisti, ut nulli jam usui accommodum redderes? Quod si unus aliquis pro qualicunque vestimento, ad eum modum mœrore conficitur, pugnaque velitari contendit, quia non integrum recipit : quantum nos adituros supplicii par est credere, ultore Domino, qui cum spiritum acceperimus nulla contage decolorem sed sanum, ipsum mœrere fecimus, quodque vitam hanc nostram minus composuimus religiose, reddidimus inutilem adeo ut nulli jam usui esse possit domino suo? Usus enim ipse spiritus nostri, nostra ipsorum culpa deperiit. Dum enim sic per contentionem, zelum, et omnifariam iniquitatem vitam traducimus, utique nulli obscurum est, quin ipsi nobismet apud Dominum concilemus iram, denique et mortem. Multo igitur sit præstabilius degere cum paucis qui boni sint, quam cum crebra multitudine inutilium, ut et divinæ tradiderunt Scripturæ. Ait enim Parœmiastes : « Ne desideres esse cum mul-

[9] Reg. xvi, 17. [10] Matth. xii, 46. [11] Marc. iii, 33. [12] Luc. viii, 21.

ΛΟΓΟΣ ΛΔ'.

Περὶ τοῦ οἰκεῖν μετὰ ὀλίγων καλῶν.

Καλόν ἐστιν, ἀγαπητοὶ, οἰκεῖν μετὰ ὀλίγων εὐαρεστούντων τῷ Θεῷ, ἢπερ μετὰ πολλῶν καταφρονητῶν τῶν ἐντολῶν Κυρίου. Ὅπου γὰρ φόβος Κυρίου, ἐκεῖ καὶ ἀγάπη, καὶ ὁμόνοια ἀδελφῶν· ὅπου δὲ ἀφοβία, ἐκεῖ ἔρις καὶ ζῆλος· ὅπου εὐλάβεια Θεοῦ, καὶ στοργὴ τοῦ πλησίον, ἐκεῖ ὁ Θεὸς οἰκεῖ ἐν μέσῳ αὐτῶν· ὅπου δὲ φθόνος καὶ ἀνυποταξία, ἐκεῖ ὁ ἐξ ἐναντίας ἐναβρύνεται. Καλόν ἐστιν κρατεῖν τὴν ἁπλότητα καὶ τὴν ἀκακίαν, καὶ εἶναι ὡς τὰ νήπια τὰ μὴ γινώσκοντα τὴν πονηρίαν, τὴν ἀπολλύουσαν τὴν ζωὴν τῶν ἀνθρώπων· καὶ μὴ εἶναι μνησικάκους, μήτε παρανόμους τῇ κακίᾳ, ἀλλ' ἀποθέσθαι τὰς κακίας, καὶ τὰς πονηρίας, καὶ τὰς πικρίας τὰς παρανόμους, καὶ γενέσθαι ἐν πνεῦμα, καὶ τὰ σχήματα τὰ πονηρὰ ἀνατρέψαι, ὅπως ὁ Κύριος τῆς εἰρήνης κατοικήσῃ ἐν πᾶσιν, ἵνα καὶ τὸ πνεῦμα ὑγιὲς γένηται, ὥσπερ αὐτὸ ἔλαβεν ὁ ἄνθρωπος. Ἐὰν γάρ τις κναφεῖ δώσῃ ἱμάτιον καινὸν καὶ ὑγιὲς, καὶ τοῦτο θέλει κομίσασθαι· ὁ δὲ κναφεὺς σχίσας τὸ ἱμάτιον, ἀποδώσει, ἆρα λήψεται αὐτό;

Οὐχὶ μαχήσεται, καὶ ὑβρίσει, λέγων αὐτῷ· Ἱμάτιόν σοι ὑγιὲς ἔδωκα, διὰ τί αὐτὸ ἔσχισας, καὶ πεποίηκας ἄχρηστον; Εἰ οὖν οὕτως περὶ ἱματίου λυπεῖταί τις καὶ μάχεται, ὅτι οὐκ ἀπεῖληφεν ὑγιὲς τὸ ἱμάτιον, εἰ δοκοῦμεν ἡμεῖς παθεῖν ὑπὸ τοῦ Κυρίου, τὸ πνεῦμα λαβόντες ὑγιὲς, καὶ τοῦτο λυπήσαντες, καὶ ἀχρειώσαντες, μὴ ἐν σεμνότητι πολιτευσάμενοι; καὶ εἰς οὐδεμίαν χρῆσιν δύναται εἶναι τῷ Κυρίῳ ἑαυτοῦ; Ἡ γὰρ χρῆσις τοῦ πνεύματος ὑφ' ἡμῶν κατεφθάρη. Τῷ γὰρ ἐν ἔριδι, καὶ ζήλῳ, καὶ πάσῃ ἀνομίᾳ διάγειν, φανερὸν ὅτι ὀργὴν καὶ θάνατον παρὰ Κυρίου ἑαυτοῖς ἐπιφέρομεν. « Αἱρετώτερον οὖν ἐστι μετὰ ὀλίγων καλῶν διάγειν, ἢ μετὰ πλήθους ἀχρήστων, εἰ μὴ ἐστι φόβος Κυρίου μετ' αὐτῶν. Κρεῖσσων γὰρ εἷς δίκαιος, ἢ χίλιοι ἁμαρτωλοί. Ἐν Συναγωγῇ γὰρ ἁμαρτωλῶν ἐκκαυθήσεται πῦρ. Καὶ, εἰ ἦ σκληροτράχηλος, θαυμαστὸν τοῦτο, εἰ ἀθωωθήσεται· ἔλεος γὰρ καὶ ὀργὴ παρὰ Κυρίου. » Καὶ ἄλλος· « Μὴ ἐπιθύμει πλῆθος ἀχρήστων· ἐὰν πληθυνθῶσιν, μὴ εὐφραίνου ἐπ' αὐτοῖς, εἰ μὴ ἐστι φόβος Κυρίου μετ' αὐτῶν. Μὴ ἐμπιστεύσῃς τῇ ζωῇ αὐτῶν· στενάξεις γὰρ πένθει ἀώρῳ. Κρεῖσσων γὰρ εἷς δί-

καιος ποιῶν τὸ θέλημα τοῦ Θεοῦ, ἢ μύριοι παράνομοι. » Καὶ, « Δίκαιον ἀποθανεῖν ἄτεκνον, ἢ ἔχειν τέκνα ἀσεβῆ. Ἀπὸ γὰρ ἑνὸς συνετοῦ συνοικισθήσεται πόλις. » Ὁ δὲ Ἀπόστολός φησιν· « Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ. » Καὶ, « Ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα τοῦ Κυρίου. » Καὶ ἐπιφέρει· « Ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστιν μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα, καὶ ἃ μὲν εἰς τιμήν, ἃ δὲ εἰς ἀτιμίαν. » Ὅσοι οὖν ἐσμεν ξύλινα καὶ ὀστράκινα σκεύη, ἐκκαθάρωμεν ἑαυτούς, ἵνα γενώμεθα σκεύη χρηστὰ τῷ Δεσπότῃ, πρὸς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένα· καὶ μὴ ἀκούσωμεν παρὰ τοῦ Δεσπότου· « Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον· ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. » — « Ὁμοία γάρ, φησὶν ὁ Κύριος, ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ παντὸς γένους συναγαγούσῃ· ἣν ὅτε ἐπληρώθη, ἀναβιβάσαντες ἐπὶ τὸν αἰγιαλὸν, συνέλεξαν εἰς ἀγγεῖα, τὰ δὲ σαπρὰ ἔξω ἔβαλον. » Καὶ ἐπιφέρει· « Οὕτως ἔσται ἐν τῇ συντελείᾳ, ἐξελεύσονται οἱ ἄγγελοι, καὶ ἀφοριοῦσιν τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Ἐκεῖ ἔσται ὁ κλαυθμὸς, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Πολλοὶ γάρ εἰσιν κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί. » — « Πλατεῖα γὰρ ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς. » Περὶ δὲ τῶν ὀλίγων εὐλαβῶν καὶ καλῶν φησίν· « Ὅτι στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, καὶ ὀλίγοι εἰσὶν οἱ εἰσερχόμενοι δι' αὐτῆς. » Καὶ πάλιν, « Μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον, ὅτι εὐδόκησεν ὁ Πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

titudine inutilium, nisi adsit timor Domini cum eis : melior enim est unus justus, quam mille peccatores; in Synagoga enim peccatorum, exardescet ignis : et si fuerit unus duræ cervicis, mirabile hoc si innocens erit : misericordia enim et ira a Domino[13]. » Alius item : « Ne concupiscas multitudinem inutilium, si multiplicati fuerint : ne læteris super eis, nisi sit timor Dei cum ipsis : ne te credas vitæ illorum ; ingemisces enim luctu intempestivo. Melior enim unus faciens voluntatem Domini, justus, quam decem millia prævaricantium legem[14]. » Et : « Justius est emori sine liberis, quam habere filios impios : ab uno enim sensato inhabitabitur civitas. » Apostolus proinde : « Novit Dominus qui sunt ejus[15]. » Et : « Discedat ab iniquitate omnis qui invocat nomen Domini. » Infert : « In magna autem domo non solum sunt vasa aurea et argentea, sed lignea et testacea : quædam quidem in honorem, quædam vero in contumeliam[16]. » Quotquot igitur sumus lignea vasa et testacea, expurgemus nosmetipsos ut efficiamur vasa ad usum Domini accommoda, ad omne bonum apparata, ut ne tandem ab ipso contingat nos audire : « Discedite a me, maledicti, amen dico vobis, non novi vos unde sitis[17]. » Idem Dominus : « Simile est regnum cœlorum sagenæ missæ in mare, et ex omni genere piscium congreganti : quæ cum impleta esset, ascenderunt ad littus, et elegerunt bonos in vasa sua, putidos vero foras miserunt[18]. » Infert : « Sic erit in consummatione : exibunt angeli et separabunt malos de medio justorum : et mittent eos in caminum ignis ardentem ; ibi erit fletus et stridor dentium[19]. Multi enim sunt vocati, pauci vero electi[20]. » —

1178 « Lata enim est porta et spatiosa via quæ ducit ad perditionem, et multi sunt qui gradiuntur per eam[21]. » De paucis proinde piis ac bonis, ait : « Quia angusta est porta[22], » et tribulationum spinis septa undique via quæ ducit ad vitam, et pauci sunt qui ingrediuntur per eam. Iterum : « Noli timere pusillus grex, quia complacuit Patri vestro dare vobis regnum[23]. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΚΕ'.

Περὶ τοῦ μὴ γελᾶν.

Τὸ γελᾶν ὅλως Χριστιανοῖς οὐκ ἐπιτρέπεται, μάλιστα δὲ μοναχοῖς, τοῖς σταυρώσασιν ἑαυτοὺς τῷ κόσμῳ. « Εἴ τις γὰρ θέλῃ, φησὶν, ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. » Καὶ πῶς ἐνδέχεται τὸν ἐμπεπαρμένον τοῖς γλυκέσι ἥλοις τοῦ σταυροῦ, διαχεῖσθαι καὶ γελᾶν; Οὐ γὰρ εἰς μετεωρισμὸν ἐκλήθημεν, καὶ γέλωτα, ἵνα κληρονομήσωμεν τὸ, οὐαὶ, ὡς οἱ ἐθνικοὶ, ἀλλὰ διὰ τοῦ πένθους τῆς παρακλήσεως ὡς ἐντὸς γενώμεθα. Περὶ γὰρ ψυχῆς ἅπας ὁ ἀγὼν ἡμῶν γίνεται, περὶ ἧς πολὺς κίνδυνος, καὶ ὁ αἰώνιος βάσανος· οὐκ ἔστιν γὰρ ἐν ᾅδου ἐξομολόγησις, οὐκ ἔστιν δάκρυα καὶ στεναγμοὶ, τὰ δυσωποῦντα τὸν κριτήν· οὐκ ἔστιν προσθεσμίας ὅρος ἐκεῖ, οὐδὲ μετά-

HOMILIA XCV.

Temperandum a solutiore et immoderato risu

Ridere solutius neutiquam iis permissum qui sint germane Christiani : sed omnium minime convenit monachis, qui se jam crucifixerunt mundi istius vitiis. Ait enim Dominus : « Si quis vult post me venire, abneget semetipsum, et tollat crucem suam et sequatur me[24]. » Qui (quæso) probabile sit, hunc crucis Christi dulcibus clavis esse transfixum, qui sic soleat profusiore lætitia diffundi et ridere solutius ? Neque enim ad ejusmodi animi elationem aut risum solutiorem vocati sumus, ne per hæc demum contingat nos assequi una cum ethnicis illud, væ, magis vero per luctum, gustum qualemcunque prælibemus internæ consolationis. Pro animæ enim paranda salute

[13] Eccli. xxiv, 4 seqq. [14] Eccli. xvi, 1-3. [15] II Tim. ii, 19. [16] ibid., 20. [17] Matth. xxv, 41. [18] Matth. xiii, 47, 48. [19] ibid., 49, 50. [20] Matth. xxii, 14. [21] Matth. vii, 13. [22] Luc. xiii, 24. [23] Luc. xii, 32. [24] Luc. ii, 2-3.

universus hic nobis susceptus est agon, cui alias non mediocre impendet periculum, non leve eam tormentum manet, sed æternum. Quis enim in inferno relinquitur confessioni locus[25]? Nullis illic lacrymis aut suspiriosis gemitibus ira flectitur judicis æquissimi. In nullius item gratiam, præfinitæ legis terminus prorogari illic potest, sed neque pœnitentia ulla jam residet. Ab exitu istius vitæ nulli conceditur reditus : quin ad metam ubi perventum est hujus peregrinationis, nihil jam occurret peccatrici animæ non plenum amaritudinis, nihil non plenum intolerabilis molestiæ et acerbitatis iis qui indultum ad pœnitentiam tempus neglectim et sine fructu transmiserint. His enim primum horrenda prorsus nullique non formidabilis facies peccatorum quæ eatenus admiserint, ultro se ingeret visendam, dirum plane spectaculum et omni supplicio amarius. Sed et hos conscientia interiore flagro conscindens, eo adiget ut continenter et vociferentur et ejulent verbis illis comploratione omni dignissimis : Væ mihi ; quidni hunc prævidi diem, miser ego? Is quaquaversum circumaget oculos, angelos illic circumvolitantes intuebitur, a commiseratione usque adeo abhorrentes, ut vel sola specie incredibilem atque intolerandum incutiant spectatori terrorem. Sub horam tantæ istius adeundæ necessitatis suspirabunt amarius, cum nunquam finiendis, sed æternum duraturis tradentur tenebris illis exterioribus cum fletu et stridore dentium, quando nunquam intermorituro vermi arrodendi mancipabuntur, cum in profundam inferni voraginem agentur præcipites, **1179** nempe in Tartarum ac gehennam omni acerbitate superiorem. Hæc plane sunt, sunt, inquam, loca hæc atrocissimi examinis, omni recogitanda circumspectione, quæ peccatrices animas hiulco ore excipiunt : non item sic animus diffundi debet risu solutiore, aut insolescere per elationem. Præ ejusmodi tamen par est, oculos mentis indivulse et pressius defigere in propositum omnibus ceu scopum, gratiam Dei ; quemadmodum et beatus David, qui cum ipsius gratiam venerabundus suspiceret, cum admiratione dicebat : « Sicut oculi servorum in manibus dominorum, ita oculi nostri ad Dominum Deum nostrum[26]. » Iterum : « Neque elati sunt oculi mei[26]. » Ad eum modum debemus et nos attenti esse et pervigiles, inque eam Dei gratiam oculos mentis fixius intendere, ne ipsi occumbamus in mortem, lethali dum abripimur morsu serpentium, hoc est, quæ ipsi admisimus, peccatorum. Qui enim se agnoscunt subesse legi gratiæ, sua ipsorum delicta nullo non tempore habent præ oculis cordis, secumque, dum benignitatem erga se demirantur, taciti insusurrant, et quantis nos malis Deus ipse submovit et eripuit, ecquid nos indigni, retribuere possimus. Non igitur in risu, non in elatione mentis insumamus no-

νοια, οὐκ ἔστιν ἐπάνοδος μετὰ τὴν ἐντεῦθεν ἔξοδον· ἀλλὰ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν πάντα ὅλα πικρὰ συναντήσουσιν τοῖς ἀπολέσασιν τὸν καιρὸν τῆς μετανοίας. Συναντήσεται γὰρ αὐτοῖς ἡ φρικώδης καὶ φοβερὰ ὄψις ἐκείνη τῶν οἰκείων ἁμαρτημάτων πάσης κολάσεως πικροτέρα, καὶ συνειδὸς μαστιγοῦν αὐτοὺς ἔνδοθεν συνεχῶς φθέγγεσθαι τὰ ἐλεεινὰ ῥήματα ἐκεῖνα· Οἴμοι ἐγὼ, ὅτι εἶδον τὴν ἡμέραν ταύτην· ὅπου γὰρ ἐὰν περιαγάγῃ τὸν ὀφθαλμὸν, ἐκεῖ ὄψεται ἀγγέλους ἀνελεήμονας, φρικωδέστατον ἔχοντας εἶδος. Ἐν ἐκείνῃ γὰρ τῇ ὥρᾳ τῆς ἀνάγκης, στενάξουσιν πικρῶς, ὅταν θανάτῳ καὶ αἰωνίῳ παραδίδωνται σκότει ἐξωτέρῳ, καὶ κλαυθμῷ, καὶ βρυγμῷ ὀδόντων, καὶ σκώληκι ἀτελευτήτῳ, καὶ πυθμένι ᾅδου, καὶ ταρτάρῳ, καὶ γεέννῃ χαλεπωτάτῃ. Ταύτης γὰρ δεῖ περιβλέπεσθαι τὰ βασανιστήρια, τὰ ἀπεκδεχόμενα τοὺς ἁμαρτωλούς· καὶ μὴ διαχεῖσθαι ἐν γέλωτι, ἢ μετεωρισμοῖς. Ἀλλὰ μᾶλλον ἀτενίζειν ἀδιαλείπτως εἰς τὴν χάριν τοῦ Θεοῦ, καθὼς ὁ μακάριος Δαυὶδ, ἀποβλέπων εἰς τὴν χάριν τοῦ Θεοῦ, ἔλεγεν· « Ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν. » Καὶ πάλιν· « Οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου. » Οὕτως καὶ ἡμεῖς ὀφείλομεν νήφειν, καὶ ἐφορᾷν εἰς τὴν χάριν τοῦ Θεοῦ, ἵνα μὴ ἀποθάνωμεν ὑπὸ τῶν θανατηφόρων ὄφεων· τουτέστιν, τῶν ἁμαρτιῶν ἡμῶν. Οἱ γὰρ ὑπὸ χάριν ὄντες, ἀεὶ κατὰ νοῦν ἔχουσιν τὰ ἑαυτῶν πλημμελήματα, καὶ θαυμάζοντες τὴν ἀγαθότητα τοῦ Θεοῦ, καὶ λέγοντες ἐν ἑαυτοῖς· Ἐκ πόσων κακῶν ἐῤῥύσατο ἡμᾶς ὁ Θεός! καὶ τί ἡμεῖς οἱ ἀνάξιοι ἔχομεν ἀποδοῦναι αὐτῷ; καὶ μὴ ἐν γέλωτι καὶ μετεωρισμῷ ἀναλίσκωμεν τὰς τῆς παροικίας ἡμέρας. Πάσῃ οὖν φυλακῇ τηρήσωμεν ἑαυτοὺς, ἀγαπητοὶ, τοῦ μὴ ἁλῶναι ὑπὸ τοῦ Ἐχθροῦ, ἐν τοῖς δικτύοις τοῦ γέλωτος· πολλὰ γάρ εἰσιν τὰ ἐξ αὐτοῦ τικτόμενα ἄτοπα καὶ διαβολικὰ πάθη· τῶν γὰρ ἀφρόνων ἐστὶν ὁ γέλως, μᾶλλον δὲ τῶν ἐπὶ σκηνῆς ἑταιριζομένων ἀσυνέτων. Διὰ τοῦτο οὖν οὐ συμφέρει ἄφρονι τρυφῆ, ἵνα μὴ ἐπαίρηται· ὥσπερ ὁ ἐξ Αἰγύπτου λαὸς ἐξελθών. Ἐκεῖνοι γὰρ ὅτε ἀπηλλάγησαν τῶν Αἰγυπτίων, καὶ ἴδον τὸν βυθὸν αὐτῶν τάφον γεγενημένον, τότε εἰς εἰδωλολατρείαν ἐτράπησαν· διαβάντες γὰρ τὴν θάλασσαν, καὶ μηδὲν κινδυνῶδες ὑπομείναντες, ἐλθόντες εἰς τὴν γῆν ἐναυάγησαν· ὅτε τῆς πικρᾶς δουλείας, καὶ τοῦ πένθους ἐλευθερώθησαν, τότε ἐξώκειλαν. Καλῶς τοίνυν ὁ Παροιμιαστὴς· φησὶ γάρ· « Γέλως ἀσυνέτων ἐν σπατάλῃ ἁμαρτίας. » Καὶ πάλιν· « Ἄφρων ἐν γέλωτι ἀνυψοῖ φωνὴν αὐτοῦ· ἀνὴρ δὲ πανοῦργος, μόλις ἡσυχῇ μειδιάσει. » Καὶ πάλιν· « Ὡς κατασπαταλᾷ ἐκ παιδόθεν, ἱκέτης ἔσται· ἔσχατον δὲ ὀδυνηθήσεται ἐφ' ἑαυτόν. » Καὶ ἐπάγει· « Ὡς φωνὴ τῶν ἀκανθῶν ὑπὸ τὸν λέβητα, οὕτως ὁ γέλως τῶν ἀφρόνων. » Ἡμεῖς οὖν εἴπωμεν σὺν τῷ Ἰὼβ, « Εἰ δὲ καὶ ἥμην πεπορευμένος μετὰ γελοιαστῶν, τὰ δέ μοι σκυθρωπὰ συμβαίνοι. » Ἢ καὶ μετὰ Ἱερεμίου· « Κύριε, οὐκ ἐκάθισα μετὰ συνεδρίου πτιζόντων αὐτῶν, ἀλλ' εὐ-

[25] Psal. vi, 6. [26] Psal. cxxii, 2. [26] Psal. cxxx, 1.

λαβούμην ἀπὸ προσώπου χειρός σου, καὶ κατὰ μόνας ἐκαθήμην, ὅτι πικρίας ἐπλήσθην. » Ὁ δὲ Ἰάκωβος, οὐ μόνον τὸ γελᾷν ἀποτρέπει, ἀλλὰ καὶ κλαίειν ἐπιμελῶς καὶ ὀλολύζειν προστάττει. « Ταλαιπωρήσατε γάρ, φησὶν, καὶ κλαύσατε· ὁ γέλως ὑμῶν εἰς πένθος μεταστραφήτω, καὶ ἡ χαρὰ εἰς κατήφειαν. Ἐν γὰρ γέλωτι ἄφρων πράσσει κακά· ἡ δὲ σοφία τίκτει ἀνδρείαν καὶ φρόνησιν. » Γενώμεθα οὖν, ἀδελφοὶ, φρόνιμοι, ἀποστυγοῦντες τὸν ἄφρονα γέλωτα, ἵνα μὴ παραπέμψῃ ἡμᾶς τῇ αἰωνίᾳ κολάσει, κατὰ τὴν ἀπόφασιν Κυρίου, τὴν λέγουσαν· « Οὐαὶ οἱ γελῶντες νῦν, ὅτι αὐτοὶ κλαύσονται καὶ πενθήσουσιν. » Ἀλλὰ μᾶλλον ἐπαινεθῶμεν, ἀκούοντες παρὰ τοῦ Σωτῆρος, « Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A stri istius incolatus dies. Nos ipsos, quæso, charissimi, pervigili custodia servemus, ne hostis nos intercipiat irretitos intempestivi risus laqueis. Quam multas intempestivus hic risus ex se parit indecoras prorsus, imo diabolicas animæ perturbationes: plane risus talis imprudentium est: verius dixerim, stultorum ac mente captorum, in contubernio lupanaris scortantium. Ob hoc scriptum est non convenire stulto delicias[27], ut ne hinc sumat animos, seque efferat impotentius, quemadmodum ille olim populus profectus ex Ægypto. Ut enim primum jugo Ægyptiorum emancipati sunt, videruntque tumulum in altam voraginem depressum sibi patere: tunc ad idololatriam conversi sunt. B Trajecto enim mari, cum nihil sibi viderent impendere jam periculi, simul atque attigerunt terram, naufragati sunt[28]. Tunc impegerunt, cum prius lugentes promeruissent jugo eximi amaræ servitutis. Pulchre igitur ait Parœmiastes: « Risus stultorum in deliciis peccati[29]. » Iterum: « Stultus in risu exaltat vocem suam, vir autem astutus vix tacite ridebit[30]. » Iterum: « Qui in deliciis nutritur a pueritia servus erit: in novissimo autem dolebit super se[31]. » Inducit: « Quasi vox spinarum sub lebete, ita risus stultorum[32]. » Nos igitur cum beato Job dicamus: « Quod si incedebam cum derisoribus, quæ tristia sunt, contingant mihi[33]. » Et cum Jeremia: « Domine, non sedi cum concilio ludentium, sed timui a facie manus tuæ: seorsim sedebam, quia amaritudine repletus sum[34]. » Jacobus item non a risu modo absterret nos, sed et ut fleamus sedulo mandat, atque ejulemus: **1180** « Miseri estote et plorate, ait. Risus vester in luctum convertatur, et gaudium vestrum in mœrorem[35]. In risu enim stultus operatur mala: sapientia autem parit virilem prudentiam[36]. » Itaque, fratres studiosi prudentiæ stultum hunc oderimus risum, ne nos demum transmittat ac præcipitet in æternum illud supplicium, juxta Dominicam sententiam: « Væ, inquit, qui rident nunc, quia flebunt et lugebunt[37]. » Quin imo strenuam demus operam, ut Dominica tandem voce laudemur atque audiamus: « Beati qui lugent, quoniam ipsi consolabuntur[38]. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΙϚ'.

Περὶ τοῦ ἀγαπᾷν τὸν πλησίον.

Ὁ ἀγαπῶν τὸν πλησίον, μακρὰν ἐστιν ἀπὸ πάσης ἁμαρτίας. Πᾶσα γὰρ Γραφὴ παλαιά τε, καὶ νέα, τοῦτο ἡμῖν παρακελεύεται, τὸ « Ἀγαπᾷν τὸν πλησίον ὡς ἑαυτόν. » Δευτέραν γὰρ αὐτὴν μετὰ τὴν πρὸς Θεὸν ἀγάπην ὁ Κύριος ἐντολὴν ἀπέδειξεν ἐκ τοῦ νόμου εἶναι. Ὅθεν τοῦτο σαφῶς ἐπιστάμενος Ἰωνάθαν ὁ Υἱὸς Σαοὺλ, ἠγάπησεν τὸν Δαυὶδ εἰλικρινῶς, ὑπὲρ ἀγάπησιν γυναικός. Κρεῖσσων γὰρ μικρὰ μερὶς μετὰ φόβου Κυρίου, ἢ θησαυροὶ μεγάλοι ἀφοβίας· καὶ, Κρεῖσσων ξενισμὸς λαχάνων πρὸς φιλίαν καὶ χάριν, ἢ μόσχος μετὰ ἔχθρας, κατὰ τὴν Γραφήν. Καὶ πάλιν, Κρεῖσσων ὀλίγη λῆψις μετὰ δικαιοσύνης, ἢ πολλὰ γεννήματα μετὰ ἀδικίας· D « Κρεῖσσων ψωμὸς μεθ' ἡδονῆς ἐν εἰρήνῃ, ἢ οἶκος πλήρης ἀγαθῶν μετὰ μάχης. » Φησὶν δὲ καὶ ὁ Ἰωάννης, Ἀδελφοὶ, ἀγαπῶμεν ἀλλήλους ὅτι ὁ Θεὸς ἀγάπη ἐστίν. Καὶ, Ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει. Καὶ πάλιν· Ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ φωτὶ μένει, καὶ σκάνδαλον ἐν αὐτῷ οὐκ ἔστιν. Καὶ ὁ Πέτρος· « Ἑαυτοὺς ἐν ἀγάπῃ τηρήσωμεν, προσδεχόμενοι τὸ ἔλεος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. » Καὶ αὖθις· « Τὸ δὲ τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας καὶ συνειδήσεως ἀγαθῆς. »

C

HOMILIA XCVI.

De dilectione proximi.

Proximum qui diligit, is se longius jam ab omni submovit peccato. Quin hoc ut faciamus, jubet Scriptura omnis, cum vetus tum nova: « Diliges proximum sicut teipsum[39]. » Ipse siquidem Dominus mandatum hoc verbis ex lege desumptis declaravit esse secundum a primo quod est de dilectione Dei. Unde et Jonathan Saulis filius, id liquido cum nosset, præ uxore dilexit Davidem affectu prorsus sincero. Melior enim parva particula cum timore Domini, quam thesauri magni absque timore. Melior invitatio ad convivium olerum, ad amicitiam et gratiam, quam ferculum vitulorum cum inimicitia, juxta Scripturam. Iterum: Melior pauca acceptio cum justitia, quam multa germina cum iniquitate. « Melior est buccella cum voluptate in pace, quam domus plena bonis cum jurgio[40]. » Sed et Joannes: Fratres, diligamus invicem, quia Deus charitas est, et qui manet in charitate, in Deo manet. Iterum: Qui diligit fratrem suum, in lumine manet, et scandalum non est in eo. Petrus quoque: « Nosmetipsos in charitate servemus, exspectantes misericordiam Domini nostri Jesu Christi[41]. » Rursus: « Finis

[27] Prov. xix, 10. [28] Exod. xiv, 23-27. Cum antea sæpius murmurassent pro cibo et potu. [29] Eccli. xxvii, 14. [30] Eccli. xxi, 23. [31] Prov. xxix, 21. [32] Eccle. vii, 7. [33] Job xxix, 24. [34] Jerem. xv, 17. [35] Jac. iv, 9. [36] Prov. x, 23. [37] Luc. vi, 25. [38] Matth. v, 5. [39] Levit. xix, 18; Matth. xxii, 39. [40] Prov. xvii, 1. [41] Imo Judæ 21.

autem præcepti est charitas de corde puro et conscientia bona [43]. » Iterum Petrus : « Ministrate in patientia pietatem, in pietate autem amorem fraternitatis, in amore autem fraternitatis charitatem [44]. » Et post pauca : « Ante omnia autem mutuam in vobismetipsis charitatem continuam habentes, quia charitas operit multitudinem peccatorum [45]. » Conformiter et Paulus : « In charitate radicati et fundati, ut possitis comprehendere cum omnibus sanctis [46]. » Iterum : « Charitas patiens est, benigna est, charitas nunquam excidit [47]. » Et inducit : « Plenitudo igitur legis est dilectio [48]. » Rursus : « Estote igitur invicem benigni, misericordes, imitatores Dei sicut filii charissimi [49]. »

1181 Et : « Consideremus invicem in provocationem charitatis et bonorum operum [50]. » Et : « Super omnia hæc charitatem habete, quæ est vinculum perfectionis [51]. » Et : « Vos autem Dominus multiplicet, et abundare faciat charitatem in invicem et in omnes [52]. » Aliis idem dicit : « De charitate autem fraternitatis ipsi vos a Deo didicistis ut diligatis invicem [53]. » Et nos igitur, fratres, perfecta charitate eos complectamur qui nobis uniuntur parilitate fidei, sicut et a nobis repetit Dei lex : pro illis quoque et animas parati exponere, siquidem eo nos ulla occasio invitet. « Majorem enim hac dilectionem nemo habet, quam ut animam suam ponat quis pro amicis suis [54]. » Et : « Mandatum novum do vobis, ut diligatis invicem [55]. » Et : « In hoc scient omnes quod mei estis discipuli, si dilectionem habueritis ad invicem [56]. » Ipsi gloria in sæcula. Amen.

A Καὶ πάλιν, « Ἐπιχορηγήσατε ἐν τῇ ὑπομονῇ τὴν εὐσέβειαν ἐν δὲ τῇ εὐσεβείᾳ, τὴν φιλαδελφίαν, ἐν δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην. » Καὶ μετ' ὀλίγα, « Πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες, ὅτι ἡ ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν. » Ὡσαύτως καὶ ὁ Παῦλος, ἐν ἀγάπῃ ἐῤῥιζωμένοι, καὶ τεθεμελιωμένοι, ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις. » Καὶ πάλιν· « Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται· ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. » Καὶ ἐπάγει· « Πλήρωμα οὖν νόμου ἡ ἀγάπη. » Καὶ αὖθις· « Γίνεσθε εἰς ἀλλήλους χρηστοί, εὔσπλαχνοι, μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά. » Καὶ, « Κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων. » Καὶ, « Ἐπὶ πᾶσι τούτοις τὴν ἀγάπην, ἥτις ἐστὶν σύνδεσμος τῆς τελειότητος. » —

B « Ὁ δὲ Κύριος πλεονάσαι καὶ περισσεύσαι ὑμᾶς τῇ ἀγάπῃ, τῇ εἰς ἀλλήλους, καὶ εἰς πάντας. » Φησὶν δὲ καὶ ἄλλοις, « Περὶ δὲ τῆς φιλαδελφίας αὐτοὶ ὑμεῖς θεοδίδακτοί ἐστε, εἰς τὸ ἀγαπᾷν ἀλλήλους. » Καὶ ἡμεῖς οὖν, ἀδελφοί, ἀγαπήσωμεν τοὺς ὁμοπίστους ἡμῶν ἐν τελείᾳ ἀγάπῃ, καθὼς ἀπαιτεῖ ἡμᾶς ὁ νόμος τοῦ Θεοῦ, τιθέντες ὑπὲρ αὐτῶν τὰς ψυχὰς ἡμῶν, εἰ καιρὸς καλέσῃ. « Μείζονα γὰρ ταύτης ἀγάπην οὐδεὶς ἔχει, ὡς φησιν ὁ Κύριος, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. » Καί· « Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. » Καί· « Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

HOMILIA XCVII.

De hospitalitate sive benignitate erga peregrinos.

Hospitalitas speciosa admodum virtus est ac Deo perquam gratiosa, maxime si conferatur in domesticos fidei. Hujusce virtutis merito Abraham amicus Dei vocatus est. Lot quoque per hanc ignis cœlitus demissi vindicem fugit iram. Raab meretrix per hospitalitatem cum universa domo servata est incolumis: sed et hæc virtus sanctorum omnium celebrata est præconiis. Primus Parœmiastes dicit: « Benedictio Domini super caput justi: eadem ditat, et nunquam addetur ei tristitia in corde [57]. » Job insuper peregrinorum amator, præter cæteras virtutes, benignam hospitum acceptionem deprædicat: « Eram, ait, pater imbecillium, servavi enim D pauperem de manu potentum [58]. » Iterum: « Benedictio pereuntis super me veniat, os autem viduæ mihi benedixit: oculus eram cæcorum, pes autem claudorum; janua mea aperta fuit omni afflicto [59]. » Isaias item: « Pauperes sine tecto induc in domum tuam: si videris nudum, operi, et a domesticis tuis ne avertas faciem: tunc clamabis et Deus exaudiet te; adhuc loquente te, dicet, Ecce adsum [60]. » Iterum: « Si abstuleris a te verbum mur-

C

ΛΟΓΟΣ ΙΖ'.

Περὶ φιλοξενίας.

Καλή ἐστιν ἡ φιλοξενία, καὶ τῷ Θεῷ ἀρέσκουσα, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως. Διὰ γὰρ τῆς φιλοξενίας φίλος Θεοῦ ὁ Ἀβραὰμ ἐκλήθη, καὶ ὁ Λὼτ, ἀπειλῆς θεηλάτου πυρὸς δι' αὐτῆς διέφυγεν, καὶ Ῥαὰβ ἡ πόρνη, διὰ φιλοξενίας πανοικὶ διεσώθη· καὶ παρὰ πάντων ἡ φιλοξενία ἐγκωμιάζεται τῶν ἁγίων. Πρῶτος ὁ Παροιμιαστὴς λέγει· « Εὐλογία Κυρίου ἐπὶ κεφαλὴν δικαίου· αὕτη πλουτίζει, καὶ οὐ μὴ προστεθῇ αὐτῇ λύπη ἐν καρδίᾳ. » Καὶ ὁ φιλόξενος δὲ Ἰὼβ, πρὸς ταῖς λοιπαῖς ἀρεταῖς καὶ τὴν φιλοξενίαν ἐκόμα. « Ἐγὼ γὰρ, φησὶν, ἤμην πατὴρ ἀδυνάτων· διέσωσα γὰρ πτωχὸν ἐκ χειρὸς δυναστῶν. » Καὶ πάλιν· « Εὐλογία ἀπολλυμένου ἐπ' ἐμὲ ἦλθεν· στόμα δὲ χήρας εὐλόγησέν με· ὀφθαλμὸς δὲ τυφλῶν ἤμην, ποῦς δὲ χωλῶν· καὶ ἡ θύρα μου ἠνέῳκτο παντὶ ἐρχομένῳ. » Ὁ δὲ Ἡσαΐας· « Πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου· ἐὰν ἴδῃς γυμνὸν περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων σου οὐχ ὑπερόψῃ. Τότε βοήσῃ, καὶ ὁ Θεὸς εἰσακούσεταί σου· ἔτι λαλοῦντός σου ἐρεῖ, Ἰδοὺ, πάρειμι. » Καὶ πάλιν· « Ἐὰν ἀφέλῃς ἀπὸ σοῦ ῥῆμα γογγυσμοῦ, καὶ δῷς τὸν ἄρτον σου πεινῶντι, ἐκ ψυχῆς σου, καὶ ψυχὴν τεταπει-

[43] I Tim. I, 5. [44] II Petr. I, 7. [45] I Petr. IV, 8. [46] Ephes. III, 17. [47] I Cor. XIII, 4. [48] Rom. XIII, 10. [49] Ephes. V, 1. [50] Hebr. X, 24. [51] Coloss. III, 14. [52] I Thess. III, 12. [53] I Thess. IV, 9. [54] Joan. XV, 13. [55] Joan. XIII, 34. [56] ibid., 35. [57] Prov. X, 6. [58] Job XXIX, 16. [59] ibid. 13-15. [60] Isa. LVIII, 7-9

νωμένην ἐμπλήσῃς· τότε ἀνατελεῖ ἐν τῷ σκότει τὸ φῶς σου, καὶ ἔσται ὁ Θεὸς μετὰ σοῦ διὰ παντός· καὶ ἐμπλησθήσῃ καθάπερ ἐπιθυμεῖ ἡ ψυχή σου. » Καὶ ὁ Παῦλος· « Ἡ φιλαδελφία μενέτω, τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. » Καὶ αὖθις· « Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός. » Φησὶν δὲ καὶ ἄλλος· « Φιλόξενοι γίνεσθε εἰς ἀλλήλους, ἄνευ γογγυσμοῦ. » Εἰ γὰρ ἡ προθυμία πρόκειται, καθ' ὃ ἐὰν ἔχῃ τις, εὐπρόσδεκτος, οὐ καθ' ὃ οὐκ ἔχει· « Οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν δὲ θλῖψις, ἀλλ' ἐξ ἰσότητος ἐν τῷ νῦν καιρῷ. » Καὶ πρὸς Τίτον· « Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλὼ ταχέως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ· μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι, καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. » Καὶ πάλιν· « Ἀσπάζεταί ὑμᾶς Γάϊος, ὁ ξένος μου, καὶ τῆς Ἐκκλησίας ὅλης »· ἀντὶ τοῦ, ὁ ξενοδόχος πάντων. Καὶ ὁ Κύριος δὲ προσκαλούμενος μετὰ τῶν ἐλεημόνων καὶ τοὺς φιλοξένους, φησὶ πρὸς αὐτούς· « Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν· ξένος γὰρ ἤμην, καὶ συνηγάγετέ με· ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· γυμνὸς ἤμην, καὶ περιεβάλετέ με. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A murationis, et dederis panem esurienti, ex anima tua, et animam exinanitam repleveris: tunc orietur in tenebris lux tua, et erit Deus tuus tecum semper, et impleberis sicut desiderat anima tua[60]. » Paulus item: « Amor fraternitatis maneat, hospitalitatis nolite oblivisci: per hanc enim placuerunt quidam, angelis hospitio receptis[61]: » **1182** Rursus: « Beneficentiæ et communionis nolite oblivisci: talibus enim hostiis promeretur Deus[62]. » Sed alius: « Hospitales invicem sine murmuratione[63]. » Si enim voluntas prompta est, secundum id quod habet, accepta est, non secundum id quod non habet: « Non enim ut alius sit remissio, vobis autem tribulatio, sed ex æqualitate in tempore præsenti[64]. » Idem ad Titum: « Zenam legisperitum, B et Apollinem sollicite præmitte, ut nihil illis desit, discant autem et nostri, bonis operibus præesse ad usus necessarios, ut non sint infructuosi[65]. » Iterum: « Salutat vos Caius hospes meus et universæ Ecclesiæ[66], » pro eo quod est, exceptor hospitum omnium. Dominus quoque una cum eleemosynas conferentibus peregrinos qui excipiunt, advocans, dicturum se pronuntiat: « Venite, benedicti Patris mei, possidete paratum vobis regnum: hospes enim eram, et collegistis me, esurivi, et dedistis mihi manducare: sitivi et dedistis mihi hibere: nudus eram, et operuistis me[67]. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΙΗ'.

Περὶ φιλοπτωχίας.

Ἡ φιλοπτωχία καὶ ἡ φιλοξενία δύο κλάδοι εἰσὶν τῆς πιότητος τῆς ἐλαίας, ἧς ὁ καρπὸς μυρίζει πάντας, ἐξ ἧς ἀλείφεται ὁ Κύριος τὴν κεφαλὴν, καὶ τοὺς πόδας, καὶ ἀνταμείβεται τὸν ἀλείφοντα, βασιλείαν οὐρανῶν. Ὁ γὰρ οὕτω φιλόπτωχος ἀκούει τοῦ λέγοντος· « Ἐλεημοσύναι καὶ πίστις μὴ ἐκλειπέτωσάν σε. Ἄφαψαι δὲ αὐτὰς ἐπὶ σῷ τραχήλῳ, καὶ εὑρήσεις χάριν. » — « Προνοοῦ καλὰ ἐνώπιον Κυρίου καὶ ἀνθρώπων. » Καί· « Ὁδοὶ δικαίων, ὁμοίως φωτὶ λάμπουσιν. Προπορεύονται καὶ φωτίζουσιν ἕως κατορθώσῃ ἡ ἡμέρα. » Ἐντέλλεται δὲ καὶ ὁ νόμος λέγων· « Ἀνοίγων ἀνοίξεις τὰς χεῖράς σου τῷ πένητι, ἵνα μὴ βοήσηται κατὰ σοῦ πρὸς Κύριον. » Ὁ δὲ Παροιμιαστής· « Ζωὴν τοῦ πτωχοῦ μὴ ἀποστερήσῃς. » Καί· « Ψυχὴν πεινῶσαν μὴ λυπήσῃς, καὶ παρελκύσῃς δόσιν ἐπιδεομένου, ἱκέτην θλιβόμενον μὴ ἀπαναίνου, καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ πτωχοῦ. » Καὶ πάλιν· « Τῇ ψυχῇ αὐτοῦ ἀγαθοποιεῖ ἀνὴρ ἐλεήμων, ἐξόλλυσι δὲ τὸ ἑαυτοῦ σῶμα ἀνελεήμων. » Καὶ ὁ προφήτης Ὡσηέ· « Σπείρατε εἰς δικαιοσύνην, καὶ ἔλεον, καὶ κρῖμα φυλάσσου, καὶ ἔγγιζε πρὸς τὸν Θεόν σου διὰ παντός. » Καὶ ὁ Δανιὴλ τῷ Ναβουχοδονόσωρ· « Ἡ βουλή μου, φησὶν, ἀρεσάτω σοι, βασιλεῦ, τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀδικίας σου, ἐν οἰκτιρμοῖς πενή-

HOMILIA XCVIII.

De amore et pio affectu erga pauperes.

C Propensus ille in pauperes et peregrinos amor, ramus uterque bifidus est pinguedinis olivæ: cujus utriusque fructus myrrha perquam suave fragranti perfundit universos, cujus aspergine sivit Dominus sibi inungi et caput et pedes[68]. Sed et hunc suum inunctorem vicaria mercede repignerat, nempe regno cœlorum talem dignatur. Prorsus pauperum amator a Domino promeretur audire: « Misericordia et fides non te deserant, alliga eas collo tuo, et invenies gratiam[69]. » Et: « Provide bona coram Domino et hominibus[70]. » Et: « Viæ justorum ut lux splendent, proceduntque et illuminant donec illucescat dies[71]. » Mandat autem et lex dicens: D « Aperiens aperies manus tuas pauperi ut ne clamet contra te ad Dominum[72]. » Paræmiastes vero: « Vitam pauperis ne defraudes[73]. » Et: « Animam esurientis ne contristaveris, et ne retraxeris donum ab indigente: famulum afflictum ne abjicias, et ne avertas faciem tuam a paupere[74]. » Iterum: « Animæ suæ benefacit vir misericors, perdit autem suum corpus immisericors[75]. » Propheta Osee: « Semina in justitia misericordiam, et judicium custodi, et appropinqua ad Deum tuum semper[76]. » Daniel quoque Nabuchodonosor ait: « Consilium meum placeat tibi, o rex: peccata tua eleemosynis

[60] Isa. x, 11. [61] Hebr. xiii, 1,2. [62] ibid. 16. [63] I Petr. iv, 9. [64] II Cor. viii, 13. [65] Tit. iii, 13. [66] Rom. xvi, 23. [67] Matth. xxv, 34, 35. [68] Luc. vii, 37 seqq. [69] Prov. iii, 3. [70] II Cor. ii, 12. [71] Prov. iv, 8. [72] Deut. xv, 8. [73] Eccli. iv, 1. [74] ibid 2. [75] Prov. xi, 17. [76] Osee. x, 12.

redime, et iniquitates tuas in misericordiis pauperum [77].» David: « Dispersit, dedit pauperibus, justitia ejus manet in sæculum sæculi [78], » Et: « Diligit misericordiam et judicium Deus [79]. » — « Beatus igitur qui intelligit super egenum et pauperem [79], in die enim mala liberabit eum Dominus [80].» Job insuper: **1183** « Quod si permisi imbecillem egredi januam meam sinu vacuo [81].» Alius: «Inclina autem tuam ad pauperem, et responde ei pacifica in mansuetudine; omni eleemosynæ facito locum: unusquisque enim secundum opera sua inveniet [82].» Et iterum: « Qui miseretur pauperis, ipse enutrietur: panem enim suum dedit pauperi: qui dat pauperibus, non patietur penuriam [83]. » Iterum: « Omnia quæcunque potest manus tua facere; quantacunque suppetit tibi facultas, facito [84]. Animæ suæ benefacit vir misericors [85]. » Et: « Benedictio Domini super caput distribuentis [86]. » Et: « Redemptio animæ viri, divitiæ propriæ [87].» Et: « Eleemosynis et fide purgantur peccata [88]. » Et: « Qui miseretur pauperis, feneratur Deo: secundum donum ejus retribuetur ei [89]. » Bonum igitur fuerit, quæsita etiam propriis laboribus quæ tibi suppeditavit Deus, in usus inopum, candido ac simplici animo dispertiri: neutram in partem vacillando, cui dare debeas, cui item non: Vult enim Deus, in commune omnibus ut des ex propriis donis. Non vult ut fluctuans disceptes tecum, cui debeas dare, cui non item. Hoc enim munus obsequii in pauperem collati cum animi candore confectum, plurimum obtinet apud Deum gloriæ. Nam qui nihil dubius sed simplici animo sic administrat pauperi, Deo utique vivet. Sane eximium quiddam est homo, et pretiosus vir misericors. Apostolus: « Qui parce seminat, parce et metet, et qui seminat in benedictionibus, de benedictionibus et metet [90]. » Inducit: « Macedónia autem et Achaia probaverunt collationem aliquam facere in pauperes sanctorum qui sunt in Jerusalem [91]. » Dominus etiamnum ait: « Vendite quæ possidetis, et date eleemosynam: facite vobis sacculos qui non veterascunt, thesaurum non deficientem in cœlis: ubi enim est thesaurus vester, illic erit et cor vestrum [92]. » Sed et: « Attendite ne eleemosynam vestram faciatis coram hominibus ut videamini ab eis [93]. » Ipsi gloria in sæcula. Amen.

των.» Καὶ ὁ Δαυὶδ· « Ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. » Καί· « Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ Κύριος.» — « Μακάριος οὖν ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα. » — « Ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος. » Ὁ δὲ Ἰὼβ φησιν· « Εἰ δὲ καὶ εἴασα ἀδύνατον ἐξελθεῖν τὴν θύραν μου κόλπῳ κενῷ. » Καὶ ἄλλος· Κλῖνον τὸ οὖς σου πτωχῷ, καὶ ἀποκρίθητι αὐτῷ εἰρηνικά, ἐν πραότητι καὶ πάσῃ ἐλεημοσύνῃ ποίησον τόπον. Ἕκαστος γὰρ κατὰ τὰ ἔργα αὐτοῦ εὑρήσει. » Καὶ αὖθις· « Ὁ ἐλεῶν πτωχὸν, αὐτὸς διατραφήσεται· τὸν γὰρ ἑαυτοῦ ἄρτον ἔδωκεν τῷ πτωχῷ. Ὃς δίδωσι πτωχοῖς, οὐκ ἐνδεηθήσεται. » Καὶ πάλιν· « Πάντα ὅσα ἔχῃ ἡ χείρ σου ποιεῖν, ὅσῃ δύναμίς σου, ποίησον· τῇ ψυχῇ αὐτοῦ ἀγαθοποιεῖ ἀνὴρ ἐλεήμων. » Καὶ, « Εὐλογία Κυρίου εἰς κεφαλὴν τοῦ μεταδιδόντος. » Καί· « Λύτρον ψυχῆς ἀνδρὸς ὁ ἴδιος πλοῦτος. » Καὶ, « Ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι, καὶ ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ, κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδοθήσεται αὐτῷ. » Καλὸν οὖν ἐστιν ἐκ τῶν ἰδίων κόπων ὧν ὁ Θεὸς ἐπιχορηγεῖ, πᾶσιν ὑστερουμένοις παρέχειν ἁπλῶς, μηδὲν διστάζοντα, τίνι δῷς, τίνι μὴ δῷς. Πᾶσιν γὰρ ὁ Θεὸς δίδοσθαι θέλει ἐκ τῶν ἰδίων δωρημάτων, καὶ μὴ διακρῖναι τίνι δῷ ἢ τίνι μὴ δῷ. Ἡ γὰρ διακονία αὕτη ἁπλῶς τελεσθεῖσα, ἔνδοξος ὑπάρχει παρὰ τῷ Θεῷ. Καὶ οὕτως, ἁπλῶς διακονῶν Θεῷ ζήσεται. Μέγα οὖν ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων. Καὶ ὁ Ἀπόστολος τοῦτο δέ· « Ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίας, ἐπ' εὐλογίας καὶ θερίσει.» Καὶ ἐπάγει· « Μακεδονία γὰρ καὶ Ἀχαΐα ηὐδόκησαν κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱερουσαλήμ. » Ὁ δὲ Κύριος· « Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην· ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς. Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται. » Ἀλλὰ, « Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ θεαθῆναι αὐτοῖς. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

HOMILIA XCIX.

De visitatione.

Visitatio contubernalis et conviva est propensi in peregrinos panperesque amoris ac benignitatis. Sane: « Funiculus triplex difficile rumpitur [94]; » quin verius, triluminare candelabrum suo eos circumfundens et illustrans splendore qui proximos deamant sinceriter, quique laborum sunt tolerantissimi, ac viam iisdem præstruens rectave deducens ad vitam æternam. Ait enim: « Hospes eram et collegistis me, esurivi et pavistis me, infirmus fui

ΛΟΓΟΣ ιθ

Περὶ τοῦ ἐπισκέπτεσθαι.

Καὶ ἡ ἐπίσκεψις ὁμόσκηνος καὶ ὁμοδίαιτός ἐστιν τῆς φιλοξενίας, καὶ τῆς φιλοπτωχίας. « Σχοινίον γὰρ ἔντριτόν ἐστιν ἀῤῥαγές· » μᾶλλον δὲ λυχνία τρίφωτος, περιλάμπουσα τοῖς φιλοπλουσίοις καὶ φιλοπόνοις, καὶ ὁδηγοῦσα εἰς αἰώνιον ζωήν. « Ξένος γὰρ ἤμην, φησὶν, καὶ συνηγάγετέ με· ἐπείνασα, καὶ ἐθρέψατέ με· ἠσθένησα, καὶ ἐπεσκέψασθέ με. » Ὁ οὖν ἐπισκεπτόμενος τοὺς ἐν ἀῤῥωστίαις, ἢ ἐν φυλακαῖς, ἢ ἐν ἀνάγκαις, τὸν δι' ἡμᾶς πτωχεύσαντα

[77] Dan. IV, 24. [78] Psal. CI, 9. [79] Psal. XXXII, 5. [80] Psal. XL, 2. [81] Job XXXI, 32. [82] Eccli. IV. 8. [83] Tob. IV, 7. [84] ibid. 8-10. [85] Prov. XI, 17. [86] Prov. X, 6. [87] Prov. XIII, 8. [88] Prov. XV, 27. [89] Prov. XIX, 17. [90] II Cor IX, 6. [91] Rom. XV, 26. [92] Luc. XII, 33, 34. [93] Matth. VI, 1. [94] Eccle. IV, 12.

Θεὸν Λόγον ἐπισκέπτεται, καθὼς αὐτὸς μαρτυρεῖ. Ὅτι δὲ καλὸν τὸ ἐπισκέπτεσθαι ὀρφανοὺς, καὶ χήρας, ἐν τῇ θλίψει αὐτῶν, καὶ πολυτέκνους πένητας, μάλιστα δὲ πρῶτον καὶ τοὺς οἰκείους τῆς πίστεως, πᾶσιν πρόδηλα καὶ ἀναντίῤῥητά ἐστιν. Ὅτι δὲ καὶ τοῦτο καλὸν καὶ ὠφέλιμον τῇ ἐν Χριστῷ ἀδελφότητι τοὺς δαιμονιῶντας ἐπισκέπτεσθαι, καὶ εὔχεσθαι ἐπάνω αὐτῶν εὐχὴν τῷ Θεῷ ἀρέσκουσαν, πιστῶς, καὶ μὴ ἐκ συνθέσεως λόγων πολλῶν, ἢ μελέτας ἐξορκισμῶν πρὸς ἐπίδειξιν ἀνθρωπαρεσκείας, πρὸς τὸ φανῆναι εὐλάλους, ἢ μνήμονας ἡμᾶς, δίκην αὐλοῦ ἠχοῦντας πρὸς τοὺς ἐνεργουμένους, φλυαρίας καὶ βαττολογίας, καὶ οὐκ ἐν πίστει ἀληθείας, καθὼς ἐδίδαξεν ὁ Κύριος· τοῦτο γάρ φησιν· « Τὸ γένος ἐν προσευχῇ ἐκτενεῖ, καὶ πίστει μετὰ νηστείας, ἐξέρχεται. » Νηφόντως οὖν τὸν κάμνοντα ἐπισκεψώμεθα, ὡς ἐν πνεύματι ταπεινώσεως. Καλὸν οὖν τὸ συγκοπιᾷν τοῖς κάμνουσιν ἀδελφοῖς, ὡς εἴρηται, δι' ἀγρυπνιῶν, καὶ νηστειῶν, καὶ εὐχῶν ἀδιαλείπτων. Ἐῤῥέθη γὰρ ὑπὸ τοῦ Κυρίου, « Δαιμόνια ἐκβάλλετε, » μετὰ καὶ τῶν ἄλλων ἰάσεων· « Δωρεὰν ἐλάβετε, δωρεὰν δότε. » Πάντα δὲ εὐσχημόνως, καὶ κατὰ τάξιν, ὡς πρέπει ἀνθρώποις φοβουμένοις τὸν Θεόν. Ποιήσωμεν παράκλησιν καὶ παραμυθίαν τῶν νοσούντων, ἢ καμνόντων ἀδελφῶν ἡμῶν. Ἀλλὰ μὴ εὑρεθῶμεν, ὡς οἱ φίλοι τοῦ Ἰὼβ, προσονειδίζοντες, ὡς εἰκὸς, σφάλμα, ἢ ἁμάρτημα τοῖς ἀδελφοῖς ἡμῶν, ἢ καὶ ἐν τῇ καρδίᾳ ἡμῶν, κρυπτῶς κατακρίνοντες αὐτοὺς, ἢ ἐξ ἀπροσεξίας λαλοῦντες λόγον κεντοῦντα αὐτούς· καὶ ἁμαρτήσωμεν εἰς Θεὸν ἐν ἀγνοίᾳ. Γέγραπται γὰρ ἐν ταῖς Παροιμίαις, « Ὃς φράσσει τὰ ὦτα αὐτοῦ, τοῦ μὴ ἀκοῦσαι ἀσθενοῦς, καὶ αὐτὸς ἐπικαλέσεται Κύριον, καὶ οὐκ εἰσακούσεται αὐτοῦ. » Καθὼς φησιν ὁ Ἰὼβ, « Οὐ προσεῖδόν με οἱ ἐγγύτατοί μου· θεράποντά μου ἐκάλεσα, καὶ οὐχ ὑπήκουσέν μου· στόμα δέ μου ἐκέτευσεν τὴν γυναῖκά μου, ἀλλογενὴς ἦμην παρ' αὐτοῖς· οἰκεία γὰρ παντὶ θνητῷ γῆ. » Καὶ ἄλλος σοφός· « Μὴ ὤκνει ἐπισκέπτεσθαι ἀῤῥώστους. » Ὁ δὲ Ἰάκωβος· « Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ Θεῷ καὶ Πατρὶ αὕτη ἐστὶν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν· ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου. » Καὶ ὁ Παῦλος· « Μιμνήσκεσθε τῶν δεσμίων, ὡς συνδεδεμένοι, τῶν κακουχουμένων, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι. » Καὶ ἐπάγει· « Ὡς καιρὸν ἔχομεν, ἐργασώμεθα τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως. » Καὶ Φιλιππησίοις φησίν· « Ὅτι ἐν ἀρχῇ τοῦ Εὐαγγελίου, οὐδεμία Ἐκκλησία ἐκοινώνησέν μοι εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι, ὅτι ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε. Ἀπέχω δὲ πάντα καὶ περισσεύω· πεπλήρωμαι δεξάμενος παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν, ὀσμὴν εὐωδίας, θυσίαν δεκτὴν, εὐάρεστον τῷ Θεῷ. » Τί δὲ διὰ τούτων παιδευόμεθα; Τὸ, μὴ μόνον ἐπισκέπτεσθαι τοὺς χρείαν ἔχοντας, ἀλλὰ καὶ προσαναπληροῦν τὰ ὑστερήματα

A et visitatis me [96]. » Qui igitur ægrotos, aut carcere retentos, denique quavis necessitate misere afflictos intervisit, eum utique, ipsomet teste, visitat, qui nostri causa pauper fieri voluit, nempe Dei Verbum. Nulli proinde reor esse obscurum, quam bonum sit pupillos **1184** ac viduas in tribulatione eorum visitare, pauperes insuper quos præter privam penuriam degravat ac premit fecunditas filiorum : in primis tamen et omnium maxime illos si visites qui domestici sunt fidei, hoc esse virtutis opus, nemini putem controversandum. Rursus quis inficietur eximiæ cujusdam esse bonitatis et alendæ fratrum dilectioni (quæ in Christo est) perquam utile, intervisere eos qui infesto dæmone quopiam divexantur? super illos unam aliquam quæ B Deo placeat, effundere orationem, fide magis quam verborum multiplicium conscientia nitentem; potius quam exercitia illa exorcismorum ad ostentationem studio emerendæ hominum gratiæ, ut ipsi beneloquentes videamur ac memoriæ vivacis ; dum interim apud energumenos fistulæ instar personamus meras nugas ac battologias, non item in fide veritatis, quemadmodum nobis sua doctrina præscripsit Dominus? Ait enim : « Hoc certe genus in oratione intenta et (fide cum) jejunio ejicitur [96]. » Prudenter itaque et ut exigit decorum, in spiritu humiliatis, sic ægrotans nobis visitandus est. Bonum sane est collaborare fratribus, ceu dictum est, qui morbo quopiam afflictantur et laborant, idque C per vigilias, jejunia et indivulsas orationes. Dictum enim a Domino est : « Dæmonia ejicite [97] ; » cum cæteris, sanitatis gratuito conferendæ donis : « Nam gratis accepistis, gratis date [98]. » Omnia autem honeste et secundum ordinem transigenda nobis sunt (ceu eos addecet qui sancte Deum verentur) ad fratrum nostrorum exhortationem et consolationem, qui aut ægrotant aut laborum gravi mole premuntur. Atqui solerter providendum, ne deprehendamur nihilo dissimiles amicis Job, cum probro objicientes fratribus verisimile aliquod erratum, sive etiam peccatum, aut in arcano cordis nostri recessu illos condemnantes, aut certe dum inattenti nec satis providi, verbum in illos detorquemus quod eorum animam urat et pungat : qua D una re nulli dubium quin in Deum peccemus. Scriptum enim est in Proverbiis : « Qui obturat aures suas ne audiat infirmum, ipse invocabit Dominum, et Dominus non exaudiet eum [99]. » Sicut et Job ait : « Non aspexerunt me proximi mei : famulum meum vocavi, et non obedivit mihi, ore autem supplicabam uxorem meam : alienigena eram apud eos : domus enim omni mortali, terra [1]. » Alius item Sapiens ait : « Ne pigriteris visitare ægrotos. » Jacobus autem : « Religio munda et immaculata apud Deum Patrem hæc est : visitare pupillos, et viduas in tribulatione eorum, et immaculatum se

[96] Matth. xxv, 35. [97] Matth. xvii, 20. [98] Matth. x, 8. [99] ibid. [99] Prov. xxi, 13. [1] Job xix, 16.

custodire ab hoc sæculo [2]. » Paulus quoque : « Mementote vinctorum, tanquam simul vincti, et laborantium, tanquam et ipsi in corpore morantes [3]. » Inducit : « Dum tempus habemus, operemur bonum ad omnes : maxime autem ad domesticos fidei [4]. » Ad Philippenses quoque : « Quod in principio Evangelii, nulla Ecclesia mihi communicavit in ratione dati et accepti, nisi vos soli, quia et Thessalonicam **1185** semel et bis misistis mihi : habeo autem omnia et abundo : repletus sum acceptis ab Epaphrodito quæ misistis, in odorem suavitatis, hostiam acceptam, placentem Deo [5]. » Quid proinde per hæc instruimur aliud, quam ut eos benigne visitemus qui quavis necessitate premuntur, utque nostra copia, illorum suppleamus inopiam? Idque, ut vel tandem ipse Dominus cum cæteris nos quoque excipiat, ac dicat : « Venite, benedicti Patris mei, possidete paratum vobis regnum : infirmus enim fui, et visitastis me : in carcere eram, et venistis ad me [6]. » Ipsi gloria in sæcula. Amen.

A αὐτῶν· ἵνα καὶ ὁ Κύριος μετὰ τῶν ἄλλων ἀποδεξάμενος καὶ ἡμᾶς, εἴπωι· « Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν. Ἠσθένησα γάρ, καὶ ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθατε πρός με. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

HOMILIA C.

Spem in nullo hominum esse collocandam.

Quacunque tandem de re, in nullum prorsus hominem reclinanda spes nostra est : « Maledictus enim qui confidit in homine [7], » sed in eum conjicienda qui curam nostri gerit perpetim, nempe in Dominum ; etenim divinis Litteris prohibemur spem projicere in ullum hominum. Enimvero qui talis est, maledicti censura percellitur voce Jeremiæ, dicentis : « Maledictus qui spem habet in homine, et nititur carne brachii sui [8]. » Et : Benedictus qui confidit in Domino, et erit Dominus spes ejus [9]. » Sed et propheta Osee : « Corruptioni tuæ, Israel, quis auxiliabitur? ubi est rex tuus? salvum te faciat [10]. » Consimiliter et David : « Nolite confidere in principibus, in filiis hominum quibus non est salus [11]. » — « Bonum enim confidere in Domino, quam confidere in homine : bonum sperare in Domino, quam sperare in principibus [12]. » Infert : « Da nobis auxilium de tribulatione [13]. » Et : « Vana salus hominis [14] : nisi enim Dominus custodierit civitatem, frustra vigilaverit qui custodit eam [15]. » Isaias insuper de novo populo ait : « Nec erunt ultra confidentes in hominibus, sed in illum qui fecit eos [16]; » de vetere autem illo populo : « Væ qui descenditis in Ægyptum ad auxilium, qui in equis fiduciam habetis et in curribus [17]. » Et : « Non erant confidentes in sancto Israel [18]. » Apostolus item Corinthiis : « Infirma mundi elegit Deus ut confundat fortia, ut ne glorietur omnis caro in conspectu ejus [19]. » Inducit : « Et ego in infirmitate et timore et tremore multo fui apud vos; et sermo meus et prædicatio mea non in persuasibilibus humanæ sapientiæ verbis, sed in ostensione spiritus et virtutis, ut fides vestra non sit in sapientia hominum, sed in virtute Dei [20]. » **1186** A nobis itaque, dilectissimi, excutiamus hanc de Deo pusillanimem fiduciam, ex qua id nobis obtorum est mali, ut toti ex hominibus fiducia pendeamus ac spe; quod genus facti hominem reddit maledicto obnoxium : imo in illum solidam spem projiciamus qui dixit : « Nolite sol-

B

C

D

ΛΟΓΟΣ Γ'.

Περὶ τοῦ μὴ ἐλπίζειν ἐπ' ἄνθρωπον.

Οὐ χρή, ἀδελφοί, ἐλπίζειν ἐν οἱῳδήποτε πράγματι ἐπ' ἄνθρωπον· « Ἐπικατάρατον γάρ· » ἀλλ' ἐπὶ τὸν ἀεὶ μεριμνῶντα ὑπὲρ ἡμῶν Κύριον, ὅτι αὐτῷ μέλει περὶ ἡμῶν. Καὶ γὰρ παρὰ τῇ θείᾳ Γραφῇ ἀπηγόρευται τοῦ μὴ ἔχειν τὴν ἐλπίδα ἐπ' ἄνθρωπον. Οὐ μὴν ἀλλὰ καὶ ὑπὸ κατάραν ἵστησιν τὸν τοιοῦτον, διὰ τοῦ Ἱερεμίου· « Ἐπικατάρατος γάρ, φησίν, ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, καὶ στηρίσει σάρκα βραχίονος αὐτοῦ. » Καί· « Εὐλογημένος ἄνθρωπος ὃς πέποιθεν ἐπὶ Κύριον. Καὶ ἔσται Κύριος ἐλπὶς αὐτοῦ. » Ὁ δὲ προφήτης Ὡσηέ, « Τῇ διαφθορᾷ σου, Ἰσραήλ, τίς βοηθήσει; ποῦ ὁ βασιλεύς σου, καὶ σωσάτω σε; » Ὁμοίως καὶ ὁ Δαυΐδ, « Μὴ πεποίθατε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστιν σωτηρία. » — « Ἀγαθὸν γὰρ πεποιθέναι ἐπὶ Κύριον ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. » Καί, « Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχουσιν. » Καὶ ἐπιφέρει, « Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως. » Καί· « Ματαία σωτηρία ἀνθρώπου. Ἐὰν γὰρ μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. » Ὁ δὲ Ἡσαΐας, περὶ τοῦ νέου λαοῦ φησιν· « Καὶ οὐκ ἔτι ἔσονται πεποιθότες ἐπ' ἀνθρώποις, ἀλλ' ἐπὶ τὸν ποιήσαντα αὐτούς. » Περὶ δὲ τοῦ παλαιοῦ· « Οὐαί, οἱ καταβαίνοντες εἰς Αἴγυπτον ἐπὶ βοήθειαν, οἱ ἐφ' ἵπποις πεποιθότες, καὶ ἐφ' ἅρμασιν. » Καί· « Οὐκ ἦσαν πεποιθότες ἐπὶ τὸν ἅγιον τοῦ Ἰσραήλ. » Καὶ ὁ Ἀπόστολος πρὸς Κορινθίους, « Τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, λέγων, ἵνα καταισχύνῃ τὰ ἰσχυρά, ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ. » Καὶ ἐπάγει· « Κἀγὼ ἐν ἀσθενείᾳ, καὶ ἐν φόβῳ, καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς· καὶ ὁ λόγος μου, καὶ τὸ κήρυγμά μου, οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως· ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπου, ἀλλ' ἐν δυνάμει Θεοῦ. » Ἀπορρίψωμεν οὖν, ἀγαπητοί, ἀφ' ἡμῶν τὴν ὀλιγοψυχίαν ἐξ ἧς τίκτεται τὸ ἔχειν εἰς ἄνθρωπον τὴν ἐλπίδα, καὶ ποιοῦν ὑπὸ κατάραν τὸν ὑπεύθυνον. Ἀλλὰ τελείως ἐλπίσωμεν ἐπὶ τὸν εἰπόντα· « Μὴ μεριμνήσητε, τί φάγητε, ἢ τί

[2] Jac. I, 27. [3] Hebr. XIII, 3. [4] Galat. VI, 10. [5] Philipp. VI, 15-18. [6] Matth. XXV, 34. [7] Jerem. XVII, 5. [8] ibid. [9] ibid. 7. [10] Osee XIII, 9, 10. [11] Psal. CXLV, 3. [12] Psal. CXVII, 8, 9. [13] Psal. LIX, 13. [14] ibid. [15] Psal. CXXVI, 1, 2. [16] Jerem. XVII, 7. [17] Isa. XXXI, 1. [18] ibid. [19] I Cor. I, 27. [20] I Cor. II, 3-5.

πίητε, ἢ τί περιβάλησθε· οἶδεν γὰρ ὁ Πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε. » — « Ζητήσωμεν δὲ κατὰ τὸν λόγον αὐτοῦ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, » ἵνα μετὰ τῶν ἐπιγείων, καὶ τὰ οὐράνια κληρονομήσωμεν. Μιμησώμεθα τοὺς Μάγους, οἵτινες οὐ μόνον οὐκ ἐφοβήθησαν τὸν Ἡρώδην, ἀλλὰ καὶ ἐνέπαιξαν αὐτῷ, δι' ἄλλης ὁδοῦ ἀναχωρήσαντες εἰς τὴν χώραν αὐτῶν· καὶ τὴν πίστιν τῆς αἱμορροούσης, ἥτις, παρωσαμένη τοὺς ἰατροὺς, ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου τοῦ Κυρίου, καὶ παραχρῆμα ἰάθη. Καὶ ἡμεῖς, εἰς τὸν Κύριον ἔχοντες τὰς ἐλπίδας, δοξάσωμεν αὐτὸν εἰς τοὺς αἰῶνας. Ἀμήν.

A liciti esse quid manducetis, aut quid bibatis, aut quo operiamini : scit enim Pater vester quibus opus sit [21]. » — « Quæramus autem, juxta ejusdem verbum, primum regnum Dei et justitiam ejus [22] : » ut cum istis terrenis præsidiis cœlestia quoque possideamus. Imitemur illos Magos qui adeo nihil Herodem extimuerunt, ut etiam illuserint ei, per aliam viam regressi in civitatem suam [23]. Fidem contemplemur hæmorrhoousæ, quæ, medicis neglectim habitis et transmissis, retro accedens Domino, oram attigit vestis Dominicæ, et in vestigio sanitati est restituta [24]. Nos igitur qui toti ex Christo spe optima pendemus, glorificemus eum in sæcula. Amen.

ΛΟΓΟΣ ΡΑ'.

Περὶ τοῦ μὴ πεποιθέναι ἐπὶ τῇ ἰδίᾳ ἰσχύϊ.

Ὡς ἀπέδειξεν ὁ λόγος ὅτι ἀθέμιτόν ἐστιν ἐλπίζειν ἐπ' ἄνθρωπον, καὶ ἐπικατάρατον· οὕτως ἐπανατείνεται τὸν πεποιθότα ἐπὶ τῇ ἰδίᾳ ἰσχύϊ. Πρῶτος τοίνυν Μωϋσῆς παραγγέλλει, λέγων, « Πρόσεχε σεαυτῷ, μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, Ἡ ἰσχύς μου καὶ τὸ κράτος τῆς ἰσχύος μου ἐποίησεν τὴν δύναμιν ταύτην. Καὶ μνησθήσῃ Κυρίου τοῦ Θεοῦ σου, ὅτι αὐτὸς δίδωσί σοι ἰσχύν. » Ὁμοίως καὶ ὁ προφήτης Ἀμὼς φησιν· « Ὁ μαχητὴς οὐ μὴ σώσει τὴν ψυχὴν αὐτοῦ· καὶ ὁ ὀξὺς τοῖς ποσὶν αὐτοῦ οὐ μὴ διασωθῇ. » Καὶ ἡ τοῦ προφήτου Σαμουὴλ μήτηρ Ἄννα ἔλεγεν· « Μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ· ὅτι οὐκ ἐν ἰσχύϊ δυνατὸς ἀνήρ· τόξον δυνατὸν ἠσθένησεν, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν. » Καὶ ἐν ταῖς Παροιμίαις· « Ἵππος ἑτοιμάζεται εἰς ἡμέραν πολέμου, παρὰ δὲ Κυρίου ἡ βοήθεια. » Καὶ ὁ Ψαλμῳδός· « Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ. Οὐ γὰρ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν. Καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. » Ἀλλὰ καὶ, « Ψευδὴς ἵππος εἰς σωτηρίαν· ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. Οὔτε δὲ ἐγὼ ἐλπιῶ ἐπὶ τὸ τόξον μου· οὐ γὰρ σώζει με ἡ ῥομφαία μου· » ἀλλὰ σὺ, Κύριε, σῶσόν με ἐκ τῶν θλιβόντων με. Καταίσχυνον τοὺς μισοῦντάς με, ὅτι σὺ μόνος εἶ ὁ ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ· καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν. Ἐν σοὶ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμὲν, καὶ ἡ ἰσχὺς ἡμῶν καὶ ἡ εὐρωστία παρὰ σοῦ ἐστιν· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ἡμῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ σοῦ τοῦ πλαστουργοῦ καὶ Πατρὸς ἡμῶν. Ταῦτα οὖν μαθόντες ἐκ τῆς θείας Γραφῆς, μὴ τολμήσωμεν ὅλως πεποιθέναι ἢ μέγα φρονεῖν ἐπὶ τῇ δυνάμει ἢ εὐρωστίᾳ τοῦ σώματος ἡμῶν. Ἵνα μὴ τὴν κατάραν τοῦ στηρίζοντος σάρκα βραχίονος αὐτοῦ ἐφ' ἑαυτοῖς ἐπενέγκωμεν. Πολλοὶ γάρ εἰσιν οἱ καυχώμενοι, καὶ λέγοντες, Αἱ χεῖρές μου τρέφουσιν καὶ ἐμὲ καὶ ἄλλους· καὶ ἔχων τὰς χεῖράς μου, δύναμαι ζῆσαι. Οὗτοί εἰσιν ἀληθῶς οἱ ματαιόφρονες, καὶ μα-

HOMILIA CI.

Ne qua fiducia nitamur propriis viribus.

Quemadmodum sermo prior expresse docuit, nemini licere spem suam in unum aliquem projicere mortalium, et qui talis sit, maledicto reddi obnoxium : ita et hic interminatur et percellit, non dispari censura eum qui præfidenter propriis nititur viribus. Primus itaque Moses præcipit dicens : « Attende tibi ne dicas in corde tuo, fortitudo mea et robur fortitudinis meæ fecit mihi potentiam hanc ; sed recordare Domini Dei tui qui ipse dat tibi fortitudinem [25]. » Nec alio spectat illud prophetæ Amos : « Pugnator non salvabit animam suam, et velox non salvabitur pedibus suis [26]. » Sed et Anna illa Samuelis prophetæ mater dicebat : « Ne glorietur potens in potentia sua, quia non in fortitudine potens vir ; arcum enim potentium infirmavit, infirmi accincti sunt robore [27]. » In Proverbiis : « Equus paratur in die belli, a Domino autem venit auxilium [28]. » Psaltes regius : « Non in fortitudine equi voluntatem habebit, nec in tibiis viri beneplacitum est ei [29]. Non enim salvatur rex per multam virtutem, et gigas non salvabitur in multitudine fortitudinis suæ [30]. » Sed et : « Mendax equus ad salutem, in multitudine virtutis suæ non salvabitur [31] : neque enim ego sperabo in arcu meo : non enim salvabit me gladius meus [32] ; » sed tu, Domine, salvum me fac a tribulantibus me, pudore et confusione eos aspergens qui oderunt me, quia tu solus es qui recipis pauperem et egenum a diripientibus eum ; in te siquidem vivimus et movemur et sumus [33]. Et fortitudo nostra et robur abs te est, sed et capillus de capite nostro non cadet super terram absque tuo nutu [34], o plasmator noster et humanæ salutis assertor! **1187** Hæc igitur cum probe noverimus, divina nos erudiente Scriptura, de nostri corporis aut viribus aut integra valetudine nihil omnino temere ac præfidenter sustineamus præsumere, aut prægestienti animo insolescere, ut ne illius maledictionem adversum

[21] Matth. VI, 25. [22] Luc. XII, 31. [23] Matth. II, 2 seqq. [24] Matth. IX, 20 seqq. [25] Deut. VIII, 17, 18. [26] Amos II, 14. [27] I Reg. II, 3, 4. [28] Prov. XXI, 31. [29] Psal. CXLVI, 10. [30] Psal. XXXII, 16. [31] Ibid. 17. [32] Psal. XLIII, 7. [33] Act. XVII, 28. [34] Matth. X, 30.

nos reportemus, qui confirmat carnem brachii sui. Plerique enim sunt qui glorianter se his venditant verbis : Manus hæ meæ et me alunt et alios, sed et quem tuentur manus meæ, vivere potest. Plane tales verissime vanæ sunt mentis ac vaniloqui, crassa oblivione negligentes Deum factorem suum, qui sanitatem impartit et alimoniam omni carni : et confidunt in virtute sua. Qui talis est, non simplici superbiæ morbo laborat, quippe qui a Deo se ultroneus diremit ac descivit refuga, dum privæ suæ virtuti ascribit quæ gessit cum laude. Quemadmodum autem aranea, ubi ad telæ suæ fastigium conscendit, velut evanescens momento ruit præceps, ita et qui temere propriis nititur viribus, mox sidit, et ad priorem habitum evanidus relabitur. Tales videri possint neutiquam audisse Job dicentem : « Si autem et manum meam imponens ori deosculatus sum, et hoc mihi utique magna iniquitas imputetur [35], » quia mentitus sum coram Domino altissimo. Sed neque Ecclesiasten; is enim ait : « Verti me et vidi quia non est velocibus cursus, non est potentibus bellum, sed nec sapienti panis, intelligentibus non adsunt divitiæ, neque cognoscentibus gratiæ [36]. » Inducit : « Bona est sapientia præ soliis belli [37]. » Et : « Peccans unus perdet bonitatem multam [38]. » Dominus quoque suis ait discipulis : « Manete in me, et ego in vobis. Sicut palmes non potest ferre fructum a semetipso, nisi manserit in vite, sic nec vos nisi in me manseritis. Ego sum vitis, vos palmites : qui manet in me, et ego in eo, hic fert fructum multum, quia sine me nihil potestis facere [39]. » Jure quidem : ipse enim hominum est lux et vita, et, « Omnia denique per ipsum facta sunt, et sine ipso factum est nihil quod factum est [40]. » Ipsi gloria in sæcula sæculorum. Amen.

A ταιολόγοι, οἱ ἐπιλανθανόμενοι τοῦ ποιήσαντος αὐτοὺς Θεοῦ, τοῦ παρέχοντος ὑγείαν καὶ τροφὴν πάσῃ σαρκί, καὶ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν. Ὑπερηφανίαν γὰρ νοσεῖ ὁ ἀποστήσας ἑαυτὸν τοῦ Θεοῦ, καὶ ἰδίᾳ δυνάμει ἐπιγράφων τὰ κατορθώματα αὐτοῦ. Ὥσπερ δὲ ὁ ἐπιβὰς ἀράχνῃ διαπεσὼν κατηνέχθη κάτω· οὕτως συμπίπτει ὁ θαρρῶν τῇ ἰδίᾳ δυνάμει. Οὐδὲ κἂν τοῦ Ἰὼβ ἤκουσαν λέγοντος· « Εἰ δὲ καὶ χεῖρά μου ἐπιθεὶς ἐπὶ στόματι ἐφίλησα, καὶ τοῦτο ἄρα μοι μεγάλη ἀνομία λογισθείη, » ὅτι ἐψευσάμην ἔναντι Κυρίου τοῦ ὑψίστου. Ὡσαύτως καὶ τοῦ Ἐκκλησιαστοῦ· φησὶν γὰρ ἐκεῖνος· « Ἐπέστρεψα, καὶ εἶδον ὅτι οὐ τοῖς κούφοις ὁ δρόμος, οὐδὲ τοῖς δυνατοῖς ὁ πόλεμος. Καί γε οὐ τῷ σοφῷ ἄρτος, καὶ οὐ τοῖς συνετοῖς ὁ πλοῦτος· καὶ οὐ τοῖς γινώσκουσιν ἡ χάρις. » Καὶ ἐπάγει, « Ἀγαθὴ σοφία ὑπὲρ σκεύη πολέμου. » Καί, « Ἁμαρτάνων εἷς, ἀπολέσει ἀγαθωσύνην πολλήν. » Καὶ ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς φησιν, « Μείνατε ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν. Καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ· οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε· ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα· ὁ μένων ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν· ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. » Καὶ εἰκότως· αὐτὸς γάρ ἐστιν τὸ φῶς καὶ ἡ ζωὴ τῶν ἀνθρώπων, καὶ « Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

B

HOMILIA CII.

Importunam familiaritatem esse vitandam.

Nimis quam bonum, nec minus utile fuerit, intempestivam hominum consuetudinem defugere, et de eorum via decedere, atque aversari illos qui nihil tam resipiunt quam quæ sunt mundi, modo nulla intercedat ingens necessitas. Longe enim alius urget affectus eos, qui mundo huic vale dixere supremum, et alius eos quos totos mundi amor sibi devinxit. Quemadmodum enim bos si accidat bubalo, si onagro veterinum quodpiam adhinniat, nulla edetur vox nisi obstrepera ac dissona, **1188** sic, si familiarius cum hominibus mundi monachi congredientur. Monachus sui ipsius potestatem non habet : illius enim se addixit ac mancipavit servituti, cujus accensus est militiæ et ascriptitius : cervicem enim illius substravit jugo qui ipsum delegit, ut eos demetat, universim desecet, qui in concavis vallibus modestæ humilitatis divino abundant frumento, rivos nempe in imum devexos, pluviis e cœlo et vivificante Spiritu sidentibus inebriatos, cujus roscidis guttulis stillatim cœlo labentibus anima hominis, ejusmodi germi-

C

ΛΟΓΟΣ ΡΒ'.

Περὶ τοῦ παραιτεῖσθαι τὰς ἀκαίρους συντυχίας.

Καλὸν ἄγαν καὶ λίαν ἐπωφελὲς, τὸ παραιτεῖσθαι τὰς ἀκαίρους συντυχίας· καὶ ἐκτρέπεσθαι τοὺς κοσμόφρονας, ἄτερ μεγάλης ἀνάγκης. Ἄλλη γὰρ διάθεσις τοῖς ἔξω τοῦ κόσμου, καὶ ἄλλη τοῖς ἐν τῷ κόσμῳ. Ὥσπερ οὖν ἀσύμφωνος ἡ σύνοδος τοῦ βοὸς, καὶ τοῦ βουβάλου, καὶ ὑποζυγίου, καὶ ὀνάγρου· οὕτως καὶ ἡ τῶν μοναχῶν, καὶ τῶν κατὰ κόσμον. Ὁ μοναχὸς ἐξουσίαν ἑαυτοῦ οὐκ ἔχει· δεδούλωται γὰρ τῷ στρατολογήσαντι αὐτὸν, ὅτι ὑποκέκλικεν τὸν αὐχένα αὐτοῦ τῇ ζεύγλῃ τοῦ ἐξελαυνομένου αὐτὸν τέμνειν ἀμεταστρεπτὶ τοὺς ἐν ταῖς κοιλότησι τῆς ταπεινοφροσύνης πληθύνοντας τὸν θεῖον σῖτον αὔλακας, τοὺς μεθυσκομένους ἐκ τῆς ἐπομβρίας τοῦ οὐρανοῦ, καὶ ζωοπαρόχου Πνεύματος. Οὗ τοῖς σταγόσιν εὐφραίνεται ἡ ἀνατέλλουσα τὰ θεῖα νοήματα τοῦ ἀνθρώπου ψυχή. Ὁ γὰρ ὀρεγόμενος ἡσυχίας, καὶ ἀπερισπάστως βουλόμενος προσομιλεῖν τῷ Θεῷ, οὐκ ὀφείλει ὅλως συντυχεῖν τινι τὸ σύνολον· τῶν γὰρ τελείων ἐστὶν τὸ μέτρον τοῦτο τῶν νεκρωσάντων ἑαυτοὺς τῷ κόσμῳ, κεκολλημένων δὲ τῇ ἀγάπῃ τοῦ Θεοῦ. Εἰ δὲ καὶ χρεία γένηται συντυχίας, Πατρά-

[35] Job xxxi, 27, 28. [36] Eccle. ix, 11. [37] ibid. [38] ibid. 18. [39] Joan. xv, 4, 5. [40] Joan. i, 3.

σιν πνευματικοῖς καὶ συναγωνισταῖς, ἢ ἀδελφοῖς δεομένοις ὠφελείας συντυγχάνειν. Ἡ γὰρ τοιαύτη συντυχία, εἰς θεολογίαν λογίζεται· καὶ πάντως ἢ ὠφελήσει, ἢ ὠφεληθήσεται. Φησὶν δὲ καὶ ἡ Γραφή, « Ἄνδρα εὑρὼν φρόνιμον, ὄρθρισον πρὸς αὐτόν. » Καὶ, « Τίς σοφός; αὐτῷ προσκολλήθητι. Ὁ γὰρ συνδιάγων σοφοῖς, σοφὸς ἔσται. » Ἡ δὲ τοῦ κόσμου συντυχία, ἀσύμφορος ἡμῖν ἐστιν· λαλοῦσιν γὰρ τὰ τοῦ αἰῶνος τούτου. Καὶ λοιπὸν χαυνοῦται ὁ νοῦς, καὶ καταργεῖται ἐκ τῆς πνευματικῆς ἐργασίας καὶ ἐκλύεται πρὸς τὸν τῆς ἀσκήσεως τόνον. Λοιπὸν δὲ καὶ ἐστιατορία, καὶ αὐτὴ ἐνηλλαγμένη. Ἕκαστος γὰρ ἐκ τῆς ἰδίας γεωργίας τοὺς καρποὺς ἐπιδείκνυσιν. Διὰ τοῦτο εἴρηκα, ὅτι ἀμέτοχος καὶ ἀσύμφωνός ἐστιν ὁ βίος τῶν ἀζύγων καὶ τῶν κοσμικῶν. Ἀνάγκη οὖν διὰ τὴν τῆς ψυχῆς βλάβην, ῥᾳδίως κόπτειν τὰς αὐτῶν συντυχίας. Καὶ γὰρ μετὰ τὴν αὐτῶν ἀναχώρησιν, ἄχθεται ὁ νοῦς διά τε τὴν τοῦ κανόνος ἀργίαν, καὶ τὴν τῆς διαίτης ἐναλλαγήν. Διὰ τοῦτο οἱ ἀγωνισταὶ τὰς ἐρήμους ἐδίωκον, ἵνα τούτων ἐκτὸς γενόμενοι, ἀνεμποδίστως τῷ Θεῷ προσομιλήσωσιν. Ὥσπερ γὰρ παρθένος φυλαττομένη ποθεῖται παρὰ τῶν ἔξω, ἐπειδὰν δὲ προσέλθῃ, οὐ πᾶσιν ἀρέσκει, ἀλλὰ μᾶλλον ὑπὸ πολλῶν ψέγεται· οὕτως καὶ ὁ μοναχὸς, ὅταν γένηται ἄπολις καὶ ἀδημοσίευτος, τίμιός ἐστιν, καὶ Θεῷ καὶ ἀγγέλοις, μᾶλλον δὲ καὶ ἀνθρώποις. Ἐπειδὰν δὲ κατέλθῃ ἐκ τῆς ὑψηλῆς πολιτείας καὶ θεωρίας, καὶ ἐμπλακῇ ταῖς τοῦ βίου πραγματείαις καὶ συντυχίαις, ἀδόκιμος τῷ Θεῷ, καὶ τοῖς ἀνθρώποις εὐκαταφρόνητος γίνεται. Ἄμεινον οὖν ἐστιν ἀπαυτομολῆσαι τῶν κοσμικῶν, καὶ φυλακισθῆναι ἐν τῷ κελλίῳ, καὶ σωθῆναι ὡς δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. Βρόχοι γὰρ καὶ παγίδες εἰσὶν τοῖς ἐθέλουσιν σωθῆναι, αἱ τῶν κοσμικῶν συντυχίαι καὶ μακρολογίαι, ἀπασχολοῦσαι τὸν νοῦν ἀπὸ τῆς τοῦ Θεοῦ δοξολογίας καὶ εὐφροσύνης, καὶ ποιοῦσαι ἀδολεσχεῖν εἰς τὰς ἑαυτῶν ματαιολογίας· ὡς φησιν ὁ Παροιμιαστής, « Ἀπεπλάνησεν δὲ αὐτὸν πολλὴ ὁμιλία. Λόγοις [a] δὲ χειλέων ἐξώκειλεν αὐτόν. » Οἱ μέντοι περὶ ὠφελείας ψυχῆς πλησιάζουσιν ἡμῖν δι' ὀλίγων λόγων ἅλατι θείῳ ἡρτυμένων· ποιησώμεθα τὴν πρὸς αὐτοὺς συντυχίαν, καὶ ἀπολύσωμεν. Πλέον γὰρ οἰκοδομηθήσονται ἐν τῇ πνευματικῇ βραχυλογίᾳ ἤπερ ἐν τῇ κοσμικῇ μακρολογίᾳ. Εἰ δὲ λέγει τις, Διὰ τί ὁ Παῦλος παρέτεινεν τὸν λόγον μέχρι μεσονυκτίου; πρῶτον μὲν διὰ τὸ μέλλειν αὐτὸν ὁδεύειν· ἔπειτα δὲ, ὅτι καὶ νεοκατήχητοι ἦσαν. Ἀρχὴ γὰρ ἦν τοῦ κηρύγματος. Πλὴν ὅτι ὁ Παῦλος ἀνάπλεως ἦν Πνεύματος θείου, καὶ τὸ Πνεῦμα ἐλάλει δι' αὐτοῦ. Σημεῖον δὲ τοῖς ἔχουσιν τὸ ἄνωθεν Πνεῦμα· πρῶτον μὲν πραΰς ἐστιν, καὶ ἡσύχιος, καὶ ταπεινόφρων, καὶ ἀπεχόμενος ἀπὸ πάσης ἐπιθυμίας ματαίας τοῦ αἰῶνος τούτου. Καὶ ἑαυτὸν ἐνδεέστερον ποιεῖ πάντων τῶν ἀνθρώπων. Καὶ οὐδὲ ὅταν θέλει ὁ πνευματοφόρος λαλεῖν, λαλεῖ τὸ Πνεῦμα·

tium se acceptabiles sunt apud Dominum[17]. » Et,
« Orationibus justorum obedit Dominus[18]. » David:
« Vovete et reddite Domino Deo vestro[19]. » Ite-
rum: « Immola Deo sacrificium laudis, et redde
Altissimo vota tua[20]. » Et, « Ego vota mea Domino
reddam in conspectu omnis populi ejus[21]. » Paulus
quoque: « Sollicitudine non pigri, spiritu ferventes,
Domino servientes, orationi instantes[22]. » Rursus:
« Per omnem orationem et obsecrationem orantes
in omni tempore, in spiritu, et in hoc ipsum vigi-
lantes in omni instantia et obsecratione[23]. » Ite-
rum: « Volo viros orare in omni loco, levantes
sanctas manus sine ira et disceptationibus[24]. » Et
in Actibus apostolorum: quia « erant instantes C
doctrinæ apostolorum, et communi, et fractioni
panis, et orationibus[25]. » Iterum: « Nos autem
orationi et ministerio verbi instantes erimus[26]. »
Sapientia: « Sicut vovisti votum Domino, ne mo-
reris reddere illud, quia quæcunque voveris, red-
des: melius enim non vovisse, quam vovisse et non
reddere[27]. » Sed et iniquorum osor Job: « Nihil
injustum erat in manibus meis, oratio autem mea
pura fuit[28-30]. » Petrus: « Sobrii estote et vigilate
in orationibus, et resistite diabolo[29]. » Dominus
item: « Propterea dico vobis, omnia quæcunque
orantes petitis, credite quia accipietis, et fient
vobis[30]. » Is cum esset in quopiam loco orans,
utque interquievit, quidam discipulorum ejus D
rogavit illum: « Domine, doce nos orare[31]; » dixit
Jesus: « Cum oraveritis, dicite: Pater noster qui
es in cœlis, sanctificetur nomen tuum[32], » etc. Inducit: « Petite, et dabitur vobis; quærite, et in-
venietis; pulsate, et aperietur vobis[33]. » Infert: « Si igitur vos cum sitis mali, nostis dona bona dare
filiis vestris, quanto magis Pater cœlestis dabit Spiritum sanctum petentibus se[34]? » Nosque cupiens,
votis omnibus expetendus et desiderabilis Dominus arcana sua operatione erudiri ad offerendam Deo
orationem, dicit: **1199** « Cum oraveris, intra in cubiculum tuum, et clauso ostio tuo ora Patrem
tuum qui est in absconso, et Pater tuus qui videt in absconso, reddet tibi in manifesto[35]. » Ipsi glo-
ria in sæcula. Amen.

ριον. Καὶ μνήσθητι θυμοῦ ἐν ἡμέρᾳ τελευτῆς· καὶ
ἀγωνίζου εἰς προσευχὴν, ὅτι εὐχαὶ κατευθυνόντων
δεκταὶ παρὰ Κυρίου. » Καὶ, « Εὐχὰς δικαίων ἐπα-
κούει Κύριος. » Καὶ ὁ Δαυΐδ, « Εὔξασθε, καὶ ἀπό-
δοτε Κυρίῳ τῷ Θεῷ ὑμῶν. » Καὶ πάλιν· « Θῦσον
τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ Ὑψίστῳ
τὰς εὐχάς σου. » Καὶ, « Τὰς εὐχάς μου τῷ Κυρίῳ
ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. » Φησὶν δὲ
καὶ ὁ Παῦλος· « Τῇ σπουδῇ μὴ ὀκνηροὶ, τῷ πνεύ-
ματι ζέοντες, τῷ Κυρίῳ δουλεύοντες, τῇ προσευχῇ
προσκαρτεροῦντες. » Καὶ αὖθις· « Διὰ πάσης προσ-
ευχῆς καὶ δεήσεως προσευχόμενοι ἐν παντὶ καιρῷ,
ἐν πνεύματι, καὶ εἰς αὐτὸ τοῦτο, ἀγρυπνοῦντες
ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει. » Καὶ πάλιν·
« Βούλομαι τοὺς ἄνδρας προσεύχεσθαι ἐν παντὶ τό-
πῳ, ἐπαίροντας ὁσίας χεῖρας χωρὶς ὀργῆς καὶ
διαλογισμοῦ. » Καὶ ἐν ταῖς Πράξεσιν, ὅτι « Ἦσαν
προσκαρτεροῦντες τῇ διδαχῇ τῶν ἀποστόλων, καὶ τῇ
κοινωνίᾳ καὶ τῇ κλάσει τοῦ ἄρτου, καὶ ταῖς προσ-
ευχαῖς. » Καὶ πάλιν· « Ἡμεῖς δὲ τῇ προσευχῇ, καὶ τῇ
διακονίᾳ τοῦ λόγου προσκαρτερήσωμεν. » Καὶ ἡ Σοφία·
« Καθὼς ηὔξω εὐχὴν τῷ Κυρίῳ, μὴ χρονίσῃς τοῦ
ἀποδοῦναι αὐτὴν, ὅτι ὅσα ηὔξω ἀποδώσῃς. Ἀγαθὸν
τὸ μὴ εὔξασθαι, ἢ εὔξασθαι, καὶ μὴ ἀποδοῦναι. »
Ὁ δὲ μισάδικος Ἰὼβ, « Ἄδικον, λέγων, οὐδὲν ἦν
ἐν χερσί μου, εὐχὴ δέ μου καθαρά. » Καὶ ὁ Πέτρος·
« Σωφρονήσατε οὖν καὶ νήψατε εἰς προσευχάς, καὶ
ἀντίστητε τῷ διαβόλῳ. » Ὁ δὲ Κύριος· « Διὰ τοῦτο
λέγω ὑμῖν, πάντα ὅσα ἂν προσευχόμενοι αἰτεῖσθε,
πιστεύετε ὅτι λαμβάνετε, καὶ ἔσται ὑμῖν. » Καὶ ἐν τῷ
εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον, ὡς ἐπαύ-
σατο, εἶπέ τις τῶν μαθητῶν αὐτοῦ· « Κύριε, δίδαξον
ἡμᾶς προσεύχεσθαι, » καὶ εἶπεν· « Ὅταν προσεύ-
χησθε, λέγετε, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου, » καὶ ἑξῆς. Καὶ ἐπάγει·
« Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε·
κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. » Καὶ ἐπιφέρει·
« Εἰ οὖν ὑμεῖς, πονηροὶ ὑπάρχοντες, οἴδατε διδόναι
τοῖς τέκνοις ὑμῶν δόματα ἀγαθὰ, πόσῳ μᾶλλον
ὁ Πατὴρ ὁ ἐξ οὐρανοῦ δώσει Πνεῦμα ἅγιον τοῖς
αἰτοῦσιν αὐτόν! » Καὶ βουλόμενος ἡμᾶς ὁ πολυπό-
θητος Κύριος διὰ κρυπτῆς ἐργασίας τὴν εὐχὴν τῷ
Θεῷ προσφέρειν, λέγει· « Ὅταν προσεύχῃ, εἴσελθε
εἰς τὸ ταμεῖόν σου, καὶ κλείσας τὴν θύραν σου,
πρόσευξαι τῷ Πατρί σου ἐν τῷ κρυπτῷ· καὶ ὁ Πατήρ
σου, ὁ βλέπων ἐν τῷ κρύπτῳ, ἀποδώσει σοι ἐν τῷ
φανερῷ. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

[13] Rom. VIII, 26. [14] Eccle. V, 3; Levit, XXI, 9 [15] Num. XXX, 3. [16] Judic. XI, 35. [17] Eccli. XVIII, 22-24. [18] Prov. XV, 29. [19] Psal. LXXV, 12. [20] Psal. XLIX, 14. [21] Psal. CXV, 18. [22] Rom. XII, 11. [23] Ephes. VI, 18. [24] I Tim. II, 8. [25] Act. II, 42. [26] Act. VI, 4. [27] Eccle. V, 3, 4. [28-30] Job XXXI, 6. [29] I Petr. V, 8. [30] Marc. XI, 24. [31] Luc. XI, 1. [32] Matth. VI, 9. [33] Matth. VII, 7. [34] Luc. XI, 13. [35] Matth. VI, 6.

ΛΟΓΟΣ ΡΖ'.

Περὶ κατανύξεως.

Ἡ κατάνυξις τίκτει τὸν κλαυθμὸν καὶ τὰ δάκρυα· κόπῳ δέ τινι ἔρχεται, εἰ μὴ διὰ πολλῆς ἀδολεσχίας καὶ ὑπομνήσεως τῆς φοβερᾶς ἡμέρας τῆς κρίσεως, καὶ ἀνταποδόσεως ὧν ἡμάρτομεν ἐν λόγῳ, καὶ ἔργῳ, καὶ διανοίᾳ· καὶ τῆς αἰσχύνης ἐκείνης τῆς ἐπὶ τοῦ φοβεροῦ βήματος, ἐνώπιον ἀγγέλων καὶ ἀνθρώπων, καὶ ὅλων τῶν ἐπουρανίων δυνάμεων, ὅτε γυμνὰ καὶ τετραχηλισμένα πάντα, ὅτε ἕκαστος ἡμῶν παρίσταται ὑπὲρ ἑαυτοῦ ἀπολογούμενος, ὅτε οὐδεὶς οὐδενὶ βοηθὸς, ὅτε φανεροῦνται τὰ κεκρυμμένα, ἃ οὐδεὶς τέως οἶδεν, εἰ μὴ ἡ συνείδησις ἡμῶν, μᾶλλον δὲ τὰ πλεῖστα οὐδὲ ἡ καρδία ἐπίσταται, εἰ μὴ μόνος ὁ ἐτάζων καρδίας καὶ νεφροὺς, ὁ Θεὸς, ὅτε « Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. » Ὅτε καταδικάζονται οἱ μὲν εἰς τὸ σκότος τὸ ἐξώτερον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· οἱ δὲ εἰς τὸ πῦρ τὸ αἰώνιον· ἄλλοι παραπέμπονται τῷ ἀκοιμήτῳ σκώληκι, ἄλλοι τῷ ταρτάρῳ παραδίδονται· καὶ τί δεῖ πάντα κατὰ λεπτὸν ἀπαγγέλλειν, καὶ ἀκηδίαν ἐμποιεῖν τοῖς ἀκροαταῖς; Ταῦτα οὖν πάντα καὶ τὰ ὅμοια ἐννοοῦντες, ἀγαπητοὶ, ἔλθωμεν εἰς κατάνυξιν, καὶ παυσώμεθα τῶν κακῶν ἡμῶν πράξεων· καὶ κλαύσωμεν ἡμέρας καὶ νυκτὸς, ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς. Ὅπου γὰρ δάκρυα, ἐκεῖ δυσώπησις Θεοῦ· ἡ πόρνη διὰ θερμῶν δακρύων, μιᾶς ὥρας, πολλῶν ὀφλημάτων ἄφεσιν ἐκομίσατο· τὰ δάκρυα τὴν εὐχὴν τῷ Θεῷ παριστῶσιν, καὶ εὐπρόσδεκτον αὐτὴν ποιοῦσιν. Ὁ Πέτρος, διὰ μιᾶς ὥρας πικρῶν δακρύων, οὐ μόνον συνεχωρήθη τῷ πταίσματι τῆς ἀρνήσεως, ἀλλὰ καὶ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν πιστεύεται. Ἐζεκίᾳ τῷ βασιλεῖ, δι' ὀλίγων δακρύων δεκαπέντε ἔτη τῇ ζωῇ προσετέθη. Αἱ ῥανίδες τῶν δακρύων ὡς μέλι γλυκάζον εἰσὶν ἐν τῇ καρδίᾳ, καὶ θυμίαμα εὐῶδες παρὰ τῷ Θεῷ. Χρὴ οὖν, πρὸ παντὸς αἰτήματος, κατόρθωσιν κεχρῆσθαι τοῖς δάκρυσιν. Πάνυ γὰρ χαίρει ὁ Δεσπότης ἡμῶν δεχόμενος προσευχὴν ἐν δάκρυσιν μετὰ ταπεινῆς καρδίας, μηδαμῶς ἐπαιρομένης, ὡς ὑπὲρ τοὺς πολλοὺς ὄντων ἡμῶν, ἵνα μὴ ἐπὶ πλεῖον παροργίσωμεν τὸν δεδωκότα τὴν χάριν. Πολλοὶ γὰρ δακρύοντες ὑπὲρ ἁμαρτιῶν, ἐπιλανθανόμενοι τοῦ σκοποῦ τῶν δακρύων, μανέντες ἐξεπλάγησαν. Ἐὰν δέ τις τελείαν κατάνυξιν κέκτηται, αἰσθάνεται ἑαυτὸν παρὰ τοῦ ἄρτου τῆς ζωῆς, τροφὴν δεχόμενον πνευματικὴν, τροφὴν τοῦ κρείττονος φόβου, τροφὴν πόθου ἐπουρανίου, καὶ στεναγμοῦ παρηγορίας καὶ κατανύξεως, καὶ μελῳδίας, καὶ γνώσεως βαθυτέρας, καὶ θείων τινῶν μυστηρίων. Ἡ κατάνυξις δακρυώδους τινὰς καὶ ἡπίους ἐννοίας τὴν καρδίαν παρασκευάζει φέρειν· ὅθεν ὄντως ἔστιν ἰδεῖν τὰ σπέρματα τῆς εὐχῆς μετὰ δακρύων ἐν τῇ γῇ τῆς καρδίας ἐνσπειρόμενα διὰ τὴν ἐλπίδα τῆς τοῦ θερισμοῦ χαρᾶς. Ἡ μετὰ κατανύξεως καὶ προσευχῆς μελέτη, τίκτει τὸν τοῦ Θεοῦ φόβον ἐν ἡμῖν. Φησὶ γὰρ

A

HOMILIA CVII.

De compunctione.

Compunctio fletum parit et lacrymas: non mediocri negotio obvenit homini, nisi forsan exercitatio prolixior anteverterit, aut commemoratio formidabilis judicii, et vicariæ retributionis eorum quæ inique gessimus sermone, opere, cogitatione: aut certe per pudorem ac dedecus quod damnandos manet ante illud formidabile tribunal, in conspectu angelorum et hominum, universarumque cœlestium virtutum, cum nuda et aperta erunt omnia, quando unusquisque nostrum præsentabitur pro se responsurus, cum nemo alteri poterit esse auxilio; quando cunctis arcana patescent, nulli eatenus B comperta et explorata, nisi quæ cujusque conscientia novit: quin potius plurima quæ ne cor quidem nostrum scit, præter Deum qui corda scrutatur et renes; cum, « Ignis in conspectu ejus procedet, et inflammabit in circuitu inimicos ejus[46]: » quando condemnabuntur hi quidem in tenebras exteriores ablegandi, quæ paratæ sunt diabolo et angelis ejus: illi vero præcipitandi in ignem æternum[47]. Et quidem alii propellentur, addicendi nunquam dormituro vermi, alii voragini tradentur tartareæ[48]. Ecquid necesse sit singula hæc minutim ut percenseam, quorum censu auditoribus tædium ingenerem? Hæc igitur atque his perquam similia, charissimi, si expenderimus, ad compunctionem utique pertingemus, nosque quam ocissime recipiemus a consuetis operibus improbis; die ac nocte C plorabimus in conspectu Domini qui fecit nos. Ubi enim lacrymæ, ibi exorabilis Dei clementia. Meretrix illa lacrymis unius horæ sed præfervidis, multorum retulit remissionem debitorum. Lacrymæ præsentem exhibent Deo orationem, eamque gratiosam reddunt et acceptabilem. Petrus ipse amarulentis lacrymis una hora profusis non peccatum modo abnegationis promeruit sibi condonari, sed et in earum gratiam illi concreditæ sunt claves regni cœlorum[49]. Ezechiæ regi eximio, quod tantillum fudisset lacrymarum, accreverunt ad illius vitam anni quinque et decem[50]. Rorulentæ aspergines lacrymarum ut dulcor mellis sunt cordi, aut D suave fragrans thymiama apud Deum. Omnimodam igitur ante petitionem necesse sit lacrymarum utaris præsidio, ad vitæ obtinendam correctionem. Ipse enim Dominus noster summopere gaudet dum orationem excipit quam lacrymæ comitantur cum humili corde, **1200** nec ullo pacto se efferente quasi præter multos qui inter nos sunt: ea enim animi exigitur modestia, ut ne tanto amplius largitorem istius gratiæ exacerbemus. Sunt enim plerique pro peccatis illacrymantes, quos alioqui fugit, qui sit scopus lacrymarum. Hi insania perciti, demum mente etiam moti sunt. Si quis proinde perfectius, assecutus est compunctionem, sensu

[46] Psal. XLIX, 3. [47] Matth. XXV, 41. [48] Isa. LXVI, 24; Marc. IX, 45. [49] Matth. XVI, 19. [50] Isa. XXXVIII, 1 seq.

ipso experietur, se a pane vitæ alimoniam accipere spiritualem: alimoniam dico, præstantioris illius (nempe filialis) timoris, alimoniam desiderii cœlestis, suspiriosum gemitum internæ consolationis et compunctionis, melleique ac suavis cantici scientiæ profundioris et divinorum quorumdam mysteriorum. Compunctio adornat cor concipiendis cogitationibus quæ sint profundendis lacrymis idoneæ et perquam suaves, unde videre prorsus liceat, semina orationis cum lacrymis inspersa esse in terra cordis nostri propter spem metendi olim gaudii. Meditatio quam comitantur compunctio et oratio, gignit in nobis castum Dei timorem; ait enim lex: « Sedens in domo tua, et ambulans in via, et dormiens ac surgens[51]: fixa sint et immobilia ante oculos tuos, ut discas timere Dominum Deum tuum[52]. » Dicit autem et Job: « Perveniat deprecatio mea ad Dominum, coram autem eo stillet oculus meus[53]. » Anna insuper consternata in Seloin, fensque, orationem effudit ad Dominum, dicens: « Si respiciens respexeris ad humilitatem meam, et dederis mihi semen viri[54]: » et hanc Dominus exaudivit, deditque prophetam Samuelem. Altera item Anna Joachimi uxor, flens in horto suo, cum petitionem suam obtulisset pro impetrando filio, promeruit accipere sanctam Virginem Mariam, Domini ac Dei et Salvatoris nostri Jesu Christi secundum carnem, Matrem. David ipse: « Exaudi orationem meam, Domine, et deprecationem meam: auribus percipe lacrymas meas: ne silueris[55]. » Et exauditus ait: « Misericors Dominus et justus, quia humiliatus sum, et salvavit me[56]. » Et, « Eripuit animam meam de morte, oculos meos a lacrymis, pedes meos a lapsu[57]. » Et, « Qui seminant in lacrymis in exsultatione metent[58]. » Deinde et illud: « Placebo Domino in regione vivorum[59]. » Illud item: « Euntes ibant et flebant[60]. » Ut puto, hæc de nostra captivitate reddidit oracula, si quidem præscripta hæc in nos incurrerunt (1). Nos igitur, pro nobis ipsis atque illis debemus lacrymas profundere amaritudinis plenas. Primum quidem, quod civitas sancta Jerusalem incendio conflagrarit, crux quoque sancta Christi Dei nostri in Persidem transmigravit (2): in eorum item gratiam qui tot accisi bellis perierunt: nobis enim erant concorpores, et eadem nobiscum insigniebantur fide. Ad quem modum Joel propheta clamat: **1201** « Plangite, sacerdotes qui ministratis altari, quia misere afflicta est omnis terra. Flete, sacerdotes qui ministratis Domino, et dicite, Parce, Domine, populo tuo, et ne des hæreditatem tuam in opprobrium, ut dominentur ejus nationes, ut ne dicant, ubi est Deus eorum[61]? » In nostra enim situm est potestate exo-

A ὁ νόμος, « Καθήμενος ἐν οἴκῳ, καὶ πορευόμενος ἐν ὁδῷ, καὶ κοιταζόμενος καὶ ἀνιστάμενος· ἧτω ἀσάλευτα πρὸ ὀφθαλμῶν σου, ἵνα μάθῃς φοβεῖσθαι Κύριον τὸν Θεόν σου. » Λέγει δὲ καὶ ὁ Ἰώβ, « Ἀφίκοιτό μου ἡ δέησις πρὸς Κύριον, ἐναντι δὲ αὐτοῦ στάζοι μου ὁ ὀφθαλμός. » Καὶ ἡ Ἄννα ἠθύμει ἐν Σιλὼμ καὶ ἔκλαιεν. Καὶ προσηύξατο πρὸς Κύριον, λέγουσα, « Ἐὰν ἐπιβλέψῃς ἐπὶ τὴν ταπείνωσίν μου, καὶ δῷς μοι σπέρμα ἀνδρός. » Καὶ εἰσήκουσεν αὐτῆς Κύριος. Καὶ παρέσχεν αὐτῇ τὸν προφήτην Σαμουήλ. Καὶ ἡ ἄλλη Ἄννα τοῦ Ἰωακεὶμ κλαίουσα καὶ αἰτοῦσα ἐν τῷ παραδείσῳ αὐτῆς περὶ τέκνου, ἐκομίσατο τὴν ἁγίαν Παρθένον Μαρίαν, τὴν κατὰ σάρκα Μητέρα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ ὁ Δαυΐδ, « Εἰσάκουσον τῆς προσευχῆς B μου, Κύριε, καὶ τῆς δεήσεώς μου· ἐνώτισαι τῶν δακρύων μου, μὴ παρασιωπήσῃ. » Καὶ εἰσακουσθείς, φησὶν, « Ἐλεήμων ὁ Κύριος καὶ δίκαιος, ὅτι ἐταπεινώθην καὶ ἔσωσέν με. » Καὶ, « Ἐξεῖλετο τὴν ψυχήν μου ἐκ θανάτου· τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος. » — « Οἱ γὰρ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θερισοῦσι. » Λοιπὸν, « Εὐαρεστήσωμεν τῷ Κυρίῳ ἐν χώρᾳ ζώντων. » Καὶ τὸ, « Πορευόμενοι δὲ ἐπορεύοντο, καὶ ἔκλαιον, » ὡς οἶμαι, ὅτι περὶ τῆς ἡμετέρας αἰχμαλωσίας φάσκει. Τὰ γὰρ προγραφέντα, εἰς ἡμᾶς κατήντησεν. Καὶ ἡμεῖς οὖν ὀφείλομεν, ὑπὲρ ἑαυτῶν κἀκείνων πικρῶς δακρύειν. Πρῶτον μὲν διὰ τὸν ἐμπρησμὸν τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, καὶ τὴν τοῦ ἁγίου σταυροῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν μετάC στασιν ἐν Περσίδι, καὶ διὰ τοὺς ἐν τοσούτοις πολέμοις ἀπολλυμένους, ὅτι σύσσωμοι ἡμῶν εἰσιν, καὶ ὁμόπιστοι. Καθὼς ὁ προφήτης Ἰωὴλ βοᾷ· « Πενθεῖτε, λέγων, οἱ ἱερεῖς οἱ λειτουργοῦντες τῷ θυσιαστηρίῳ, ὅτι τεταλαιπώρηκεν πᾶσα ἡ γῆ· κλαύσατε, οἱ ἱερεῖς οἱ λειτουργοῦντες τῷ Κυρίῳ, καὶ ἐρεῖτε, Φείσαι, Κύριε, τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος, τοῦ κατάρξαι αὐτὴν ἔθνη· ὅπως μὴ εἴπωσιν, ποῦ ἔστιν ὁ Θεὸς αὐτῶν; » Ἐν ἡμῖν γὰρ ἐστιν τοῦ δυσωπῆσαι τὸν ἀμνησίκακον Κύριον, καθὼς καὶ ὁ προφήτης Σοφονίας διδάσκει, λέγων, « Παρέθηκέν σοι πῦρ, καὶ ὕδωρ, οὗ, ἐὰν θέλῃς, ἔκτεινόν σου τὴν χεῖρα· ἐναντίον ἀνθρώπου ζωὴ καὶ θάνατος. Καὶ οὗ ἐὰν εὐδοκήσει, δοθήσεται αὐτῷ. Τὸν D γὰρ ἁμαρτάνοντα εἰς τὴν ψυχὴν αὐτοῦ, τίς δικαιώσει, » εἰ μὴ ζεστὰ δάκρυα μετὰ κατανύξεως; Διψᾷ γὰρ ἀεὶ τὴν σωτηρίαν ἡμῶν ὁ ἀγαθὸς καὶ εὔσπλαγχνος Δεσπότης· καθὼς ὁ Ἀπόστολος μαρτυρεῖ λέγων, « Ὅτι πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. » Γέγραπται δὲ καὶ ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ, « Καὶ ἰδοὺ γυνὴ ἐν τῇ πόλει ἥτις ἦν ἁμαρτωλὸς, καὶ ἐπιγνοῦσα ὅτι κατάκειται ὁ Κύριος ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσα-

[51] Deut. xi, 19. [52] Deut. xiv, 23. [53] Job xvi, 21. [54] I Reg. i, 11. [55] Psal. xxxviii, 13. [56] Psal. cxiv, 6. [57] ibid. 8. [58] Psal. cxxv, 5. [59] Psal. cxiv, 19. [60] Psal. cxxv, 6. [61] Joel i, 13; ii, 17.

NOTÆ.

(1) Sub Cosdroa tyranno Persidis.
(2) Hierosolymitanæ urbis incendium sub Cosdroa.

σα ἀλάβαστρον μύρου, καὶ στᾶσα ὀπίσω παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσιν, καὶ ταῖς θριξὶν τῆς κεφαλῆς αὐτῆς ἐκμάσσειν, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ, καὶ ἤλειφεν τῷ μύρῳ, » καὶ ἤκουσεν παρὰ τοῦ Σωτῆρος, « Ἀφέωνταί σου αἱ ἁμαρτίαι. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A rare tam clementem Dominum, et qui facile malorum omnium obliviscitur: juxta oraculum Sophoniæ prophetæ, dicentis: « Apposuit tibi ignem et aquam: ad utrumlibet volueris, extende manum tuam: ante homines vita et mors, et quodcumque placuerit, dabitur eis. Peccantem enim in animam suam quis justificabit [61]? » Quis, inquam, nisi præfervidæ lacrymæ, quas comitetur compunctio? Sitit quidem semper nostram omnium salutem benignus et misericors Dominus vel teste Apostolo: « Qui omnes homines vult salvos fieri, et ad agnitionem veritatis venire [62]. » Scriptum autem est et in Lucæ Evangelio: « Et ecce mulier quæ erat in civitate peccatrix, ut cognovit quia accumberet Dominus in domo Pharisæi, attulit alabastrum unguenti: cumque stetisset retro secus pedes ejus, flens cœpit rigare pedes ejus lacrymis, et capillis capitis sui detergere, et unguento ungebat [63]; » et eo promeruit voce Salvatoris illud audire: « Dimittuntur tibi peccata tua [64]. » Ipsi gloria in sæcula. Amen.

B

ΛΟΓΟΣ ΡΗ'.

Περὶ τιμῆς γονέων.

Τοῦ τιμᾷν τοὺς τεκόντας ἡμᾶς, καὶ ἀμοιβὰς αὐτοῖς ἀποδιδόναι ὀφειλέται ἐσμὲν καὶ ἐκ τῆς φυσικῆς νομοθεσίας. Ἐν πρώτοις μὲν, ὅτι τὸ αἰσθητὸν τοῦτο φῶς δι' αὐτῶν ἐωράκαμεν· ἔπειτα δὲ καὶ τὸ νοητὸν, τουτέστιν τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν διὰ τοῦ βαπτίσματος ἐπίγνωσιν· καὶ διὰ τὴν φυσικὴν αὐτῶν πρὸς τὰ ἴδια ἔγγονα στοργήν· καὶ διὰ τὸν κόπον ὃν ὑπομένουσιν περὶ τῆς ἐντροφῆς αὐτῶν, καὶ τὴν μέριμναν ἣν ἔχουσιν νυκτὸς καὶ ἡμέρας δι' αὐτά· μή τι τῶν ἀβουλήτων αὐτοῖς συναντήσῃ· καὶ ἐργαζόμενοι καὶ μοχθοῦντες περὶ ἐνδύματος καὶ τροφῆς αὐτῶν, καὶ τοῦ ἀποθησαυρίσαι αὐτοῖς μετὰ θάνατον. Ποίας οὖν ἀξίας ἀμοιβὰς ὑπὲρ τούτων πάντων δυνάμεθα ἀνταποδοῦναι αὐτοῖς; Πάντοτε τοιγαροῦν σπουδάσωμεν τὰ εἰς τὴν τιμὴν καὶ θεραπείαν καὶ ἀνάπαυσιν αὐτῶν διαπράττεσθαι, ἐξαιρέτως δὲ ἐν τῷ γήρει αὐτῶν, ἵνα ἐν ὁράσει τῶν τέκνων ἀναζωπυροῦνται, ὡς ὁ Ἰακὼβ ἑωρακὼς τὸν Ἰωσήφ. Γενώμεθα ἐφάμιλλοι κἂν τοῖς ὀρνέοις τοῖς λεγομένοις ἔποψιν. Ἐκεῖνα γὰρ ὅταν ἴδωσιν τοὺς γονεῖς αὐτῶν γηράσαντας, καὶ ἀμβλυωπήσαντας, τὰ τέκνα ἐκτίλλουσιν τὰς πτέρυγας τῶν γονέων, καὶ λείχουσιν τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ θάλπουσιν τοὺς γονεῖς αὐτῶν ὑπὸ τὰς ἑαυτῶν πτέρυγας, καὶ νοσσοποιοῦσιν· καὶ νέοι γίνονται οἱ γονεῖς αὐτῶν· λέγοντες τοῖς γονεῦσιν αὐτῶν, ὡς καὶ ὑμεῖς ἐνοσσοποιήσατε ἡμᾶς, καὶ τετλήκατε κάμνοντες, καὶ τρέφοντες, καὶ ἡμεῖς τὸ ὅμοιον ὑμῖν ποιοῦμεν. Καὶ πῶς λογικοὶ ἡμεῖς ὄντες, οὐ πολὺ πλέον ἀγαπήσωμεν τοὺς ἑαυτῶν γονεῖς; Μὴ οὖν στενάξουσιν καθ' ἡμῶν· ἀλυσιτελὲς γὰρ τοῦτο ἡμῖν, μᾶλλον δὲ καὶ ἐπιβλαβές· καὶ εἰκότως εὑρισκόμεθα πατρολῷαι καὶ μητρολῷαι. Ἐν τῷ νόμῳ γέγραπται, « Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. » Καὶ, « Ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω. » Ὡσαύτως καὶ ὁ Ἡσαΐας, « Ὁ λέγων τῷ πατρὶ, Τί γεννήσῃς; καὶ τῇ μητρὶ, Τί ὠδίνῃς; γινώσκω ἐγὼ ὅτι σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν, ὁ τράχηλός σου. » Ἄλλος δὲ, « Ὁ τιμῶν πατέρα, εὐφρανθήσεται ἐπὶ τέκνοις, καὶ ἐν ἡμέρᾳ προσευχῆς

HOMILIA CVIII.

De honore parentum.

Parentes ut honore prosequamur, utque vicem rependamus beneficiorum, vel ipse naturæ tenor atque ordo docet nos jure obstringi, idipsum confirmat sanctio legis divinæ. In primis, quia sensile hoc lumen, illorum opera contuemur; deinde et spiritualem lucem hausimus, nimirum agnitionem fidei quæ nos per regenerativi lavacri gratiam recta ducit ad Dominum nostrum Jesum Christum: tum propter pium erga suos liberos, quem illorum animis natura insevit, affectum: ob laborem quem pro illorum educatione sustinent, et anxiam sollicitudinem qua interdiu noctuque C aguntur dum male metuunt, ne quid filiis suis occurrat fortuiti et adversi casus: sedulo item dum operantur, ac perplexos adeunt labores quibus liberis suis indumentum parent et alimoniam, utque posteritati seponant thesaurum et a morte relinquant. Quam, quæso, vicem universis his condignam rependere possimus? Quocirca adnitamur pro virili, ea explere quæ ad eorum attinent honorem, famulatum, requiem, idque peculiariter, senio dum gravantur: **1202** ut vel ipso filiorum aspectu recreentur ac prope reviviscant: quemadmodum Jacob, viso mox Joseph. Concertemus cum aviculis quæ upupæ dicuntur; illis ne dispares deprehendamur et dissentanei. Si quando enim parentes suos viderint consenuisse, et per senium D hebetiores esse visu: filii alares pilos parentum convellunt, deinde allambunt oculos illorum, mox ipsos parentes suismet alis subjectos excalefaciunt ac refovent, atque ita demum eos quasi pullos recens editos revocant ad florem ætatis, sic ut juvenes videri possint: quasi si suis dicant parentibus: Quemadmodum vos pullescere nos fecistis, et labores tolerastis pro educatione nostra, et nos simile quiddam vobis repensamus. Quidni igitur nos parentes arctiore vinculo charitatis prosequemur rationis compotes, ut ne adversum nos ingemiscant? Plane res ejuscemodi neutiquam futura nobis est ulli emolumento, magis autem detrimen-

[61] Imo Eccli. xv, 17, 18; x, 32. [62] I Tim. II, 4. [63] Luc. VII, 37 seqq. [64] Ibid. 47.

tosa admodum, ut qui comperiemur et patris fuisse et matris cæsores. In lege scriptum est : « Honora patrem tuum et matrem tuam ut bene tibi sit et sis longævus super terram[66]. » Et, « Qui maledixerit patri aut matri, morte moriatur[67]. » Nec abluditIsaias : « Qui dicit patri : Quid generas? et matri: Quid parturis? Scio ego, quia durus es, et nervus ferreus cervix tua[68]. » Alius item : « Qui honorat patrem, jucundabitur in filiis suis, et in die orationis suæ exaudietur[69]. » Iterum « Oratio patris confirmat domos filiorum ; maledictio autem matris eradicat fundamenta[70]. » Apostolus : « Filii, obedite parentibus vestris in Domino: hoc enim justum est. Honora patrem tuum et matrem, quod est primum mandatum in promissionibus[71]. » Rursus : « Filii discant primum propriam domum religiose regere, et mutuam vicem reddere parentibus : hoc enim bonum et acceptum coram Deo[72]. » Parœmiastes item : « Filius astutus obedit patri : filius inobediens in perditione erit[73]. » Iterum : « Maledicentis patri aut matri exstinguetur lucerna[74]. » Iterum : « Qui vim facit patri aut matri, et credit se non peccare, socius est viri impii[75]. » Idipsum et Dominus ad Pharisæos, « Quare et vos transgredimini legem Dei propter traditionem vestram? nam Deus dixit : Honora patrem tuum et matrem, et qui maledixerit patri vel matri, morte moriatur ; vos autem dicitis : Quicumque dixerit patri vel matri suæ Corban : (quod est munus), quodcumque est ex me tibi proderit ; et non honorificabit patrem suum aut matrem[76]. » Sed hæc sufficere putem, ad explicationem sumpti argumenti, nempe quod parentibus vicem debeamus resolvere. Atqui ne illud quidem ignorare conveniat, a nobis non id repeti solum, ut parentibus secundum carnem vicem redhibeamus, verum tanto ampliorem honorem cultumque nos debere iis qui secundum spiritum patres sunt nostri, ut per nos hæreditate assequamur benedictionem Dei. **1203** Neque enim minus nostri causa isti afflictantur, aut minore cura premuntur, quin majore multo : siquidem illi carne, hi autem spiritu nos regenerant. Hæc porro omnia non sermone solum, sed et opere nos edocet Dominus; ait enim Scriptura, quia « Subditus erat patri et matri suæ[77]. » Et ad Matrem : « Ecce filius tuus[78]. » Ipsi gloria in sæcula. Amen.

A αὐτοῦ ἐισακουσθήσεται. » Καὶ πάλιν, « Εὐχὴ πατρὸς στηρίζει οἶκον τέκνων· κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια οἴκου. » Καὶ ὁ Ἀπόστολος, « Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν, ἐν Κυρίῳ. Τοῦτο γάρ, φησὶν, ἐστὶ δίκαιον, Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου. Ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίαις. » Καὶ αὖθις, « Τὰ τέκνα μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν, καὶ ἀμοιβὰς ἀποδοῦναι τοῖς προγόνοις. Τοῦτο γάρ ἐστιν καλὸν, καὶ εὐπρόσδεκτον ἐνώπιον τοῦ Θεοῦ. » Καὶ ὁ Παροιμιαστὴς, « Υἱὸς πανοῦργος, ὑπήκοος πατρί. Υἱὸς δὲ ἀνήκοος, ἐν ἀπωλείᾳ ἔσται. » Καὶ πάλιν, « Κακολογοῦντος πατέρα ἢ μητέρα, σβεσθήσεται λαμπτήρ. » Καὶ πάλιν, « Ὃς ἀποβιάζεται πατέρα ἢ μητέρα, καὶ δοκεῖ μὴ ἁμαρτάνειν, οὗτος κοινωνός ἐστιν ἀνδρὸς ἀσεβοῦς. »

B Τὸ αὐτὸ δὲ καὶ ὁ Κύριος πρὸς τοὺς Φαρισσαίους, « Διὰ τί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν; ὁ γὰρ Θεὸς εἶπεν, Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, καὶ, ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω. Ὑμεῖς δὲ λέγετε, Ὃς ἂν εἴποι τῷ πατρὶ ἢ τῇ μητρὶ αὐτοῦ, Κορβᾶν, ὅ ἐστι δῶρον, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς· οὐ μὴ τιμήσει τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα. » Ἀλλὰ ταῦτα μὲν ἱκανὰ παραστῆσαι, ὅτι ὀφείλεται ἐσμὲν πᾶσαν ἀμοιβὴν ἀποδοῦναι τοῖς γονεῦσιν ἡμῶν. Δεῖ δὲ κἀκεῖνο μὴ ἀγνοεῖν, ὅτι οὐ μόνον τοὺς κατὰ σάρκα γονεῖς ἡμῶν ταῦτα ἀπαιτούμεθα, ἀλλὰ καὶ τοὺς πνευματικοὺς ἡμῶν πατράσι χρεωστοῦμεν πλείονα τιμὴν καὶ σέβας ἀπονέμειν, ἵνα δι' αὐτῶν κληρονομήσωμεν τὴν εὐλογίαν τοῦ Θεοῦ. Οὐκ ἔλαττον γὰρ

C καὶ αὐτοὶ κοπιῶσιν καὶ μεριμνῶσιν ὑπὲρ ἡμῶν, μᾶλλον δὲ καὶ πολὺ πλέον· εἴπερ οἱ μὲν σαρκικῶς, οἱ δὲ πνευματικῶς ἡμᾶς γεννῶσιν. Ταῦτα δὲ πάντα οὐ μόνον λόγῳ, ἀλλὰ καὶ ἔργῳ ὁ Κύριος ἡμᾶς ἐκπαιδεύει. « Ἦν γὰρ, φησὶν, ὑποτασσόμενος τῷ πατρὶ καὶ τῇ μητρὶ αὐτοῦ. » Καὶ ἐν τῷ σταυρῷ πρὸς τὸν μαθητήν· « Ἰδοὺ, ἡ μήτηρ σου· » καὶ πρὸς τὴν Μητέρα, « Ἰδοὺ ὁ υἱός σου. »

HOMILIA CIX.

Reverentiam deberi senibus.

D Et quidem senes revereri modis omnibus Deo est acceptum, et hominibus commendabile. Sed et honorem deferre sane debitum declivi jam ac devexa ætate viris, nihilominus Deo gratiosum, nobis vero nimis quam accommodum et utile. Nos etenim si contingat ad ea usque tempora prorogare vitam, eamdem prorsum recipiemus mercedem. Si vero hinc abeundum sit intempesta ætate, nihilominus sumus habituri Dominum nostrum mercedis repigneratorem. In utrovis ipse merces, qui et mercedis dignæ est distributor, sive hinc senex migrabis, sive ætatis flore. Ait enim ille : « Quemadmodum

ΛΟΓΟΣ ΡΘ'.

Περὶ τοῦ εὐλαβεῖσθαι πρεσβυτέρους.

Καὶ τὸ εὐλαβεῖσθαι πρεσβύτας, πάνυ εὐάρεστον τῷ Θεῷ, καὶ ἀνθρώποις ἐπαινετὸν, καὶ τὸ τὴν ὀφειλομένην τιμὴν ἀπονέμειν τοῖς γέρουσιν, ὁμοίως τῷ Θεῷ μὲν εὐαπόδεκτον, ἡμῖν δὲ λίαν χρήσιμον καὶ ὠφέλιμον. Εἰ μὲν γὰρ καὶ ἡμεῖς τοὺς αὐτοὺς χρόνους βιώσωμεν, πάντως τὴν αὐτὴν ἀναμοιβὴν ἐξωμεν. Εἰ δὲ ὥρᾳ ἡλικίᾳ ἀναλύσωμεν ἐντεῦθεν, ἔχωμεν τὸν Κύριον ἡμῶν μισθαποδότην. Καὶ ἐν ἀμφοτέροις μὲν ὁ αὐτὸς μισθὸς μισθοπάροχός ἐστιν, εἴτε ἐν γήρει, εἴτε ἐν νεότητι. Φησὶν γὰρ, « Ὃν τρόπον ἐποίησας, ἔσται σοι. » Πρῶτος Μωϋσῆς ἐντέλλεται, λέγων, « Ἀπὸ προσώπου πολιοῦ ἐξαναστήσει, καὶ τιμήσεις

[66] Exod. xx, 12. [67] Ibid. xxi, 17. [68] Isa. xlv, 10; xlviii, 4. [69] Eccle. iii, 6. [70] Eccli. iii, 11. [71] Ephes. vi, 1, 2. [72] I Tim. v, 4. [73] Prov. xv, 20. [74] Prov. xx, 20. [75] Prov. xix, 26. [76] Matth. xv, 2-6; Marc. vii, 9-13. [77] Luc. ii, 51. [78] Joan. xix, 26, 27.

πρόσωπον πρεσβυτέρου. » Ὁ δὲ Ἰώβ· « Ἐν πολλῷ χρόνῳ, σοφία· ἐν δὲ πολλῷ βίῳ, ἐπιστήμη. » Καὶ ἄλλος· « Στέφανος γερόντων πολυπειρία, καὶ τὸ καύχημα αὐτῶν, φόβος Κυρίου. » Καὶ ὁ Ἀπόστολος Τιμοθέῳ· « Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς, ἀλλὰ παρακάλει ὡς πατέρα. » Ἀλλὰ πάντως ἐρεῖς μοι, « Χρὴ τοὺς πρεσβύτας νηφαλέους εἶναι, σεμνούς, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, » κατὰ τὸν Ἀπόστολον. « Γῆρας γὰρ τίμιόν ἐστιν, οὐ τὸ πολυχρόνιον. Οὐδὲ ἀριθμὸς ἐτῶν μετρεῖται· πολιαὶ δέ εἰσιν φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρους, βίος ἀκηλίδωτος, » κατὰ τὴν Γραφήν. Τοῦτο οὐχ ἡμῶν ἐστιν κρῖναι, ἀλλὰ τοῦ δοκιμάζοντος τὰς καρδίας ἡμῶν Θεοῦ. Ἡμῶν δέ ἐστι πᾶσιν ἀποδοῦναι τὰς ὀφειλάς, « Τῷ τὸν φόβον, τῷ φόβῳ· τῷ τὴν τιμὴν, τῇ τιμῇ· οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς σκολιοῖς. » Καὶ τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι, « Τῇ τιμῇ ἀλλήλους προηγούμενοι. » Γέγραπται γάρ· « Υἱὲ, ἐὰν σοφὸς ἔσῃ σεαυτῷ, σοφὸς ἔσῃ καὶ τοῖς πλησίον σου· ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἀντλήσεις τὰ κακά. » Ὡσαύτως καὶ ὁ Πέτρος· « Οἱ νεώτεροι ὑποτάγητε πρεσβυτέροις· πάντες δὲ ἐν ἀλλήλοις τὴν ταπεινοφροσύνην ἐγκολπίσασθε, ὅτι ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. Ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ, ἵνα ὑμᾶς ὑψώσῃ ἐν καιρῷ. » Πρέπει οὖν τοῖς Χριστιανοῖς πᾶσιν, ἀποδοῦναι τὰς ὀφειλάς. Τοῦτο γὰρ ἐξ αὐτοῦ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παιδευόμεθα. Διὰ γὰρ τὴν ἄφατον αὐτοῦ πρὸς ἡμῶν συγκατάβασιν, οὐκ ἀπηξίωσεν παραγενέσθαι πρὸς Ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. Ὁ δὲ διεκώλυεν αὐτὸν, λέγων· « Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; » ὁ δὲ Δεσπότης τῷ δούλῳ· « Ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἡμῖν ἐστιν πληρῶσαι πᾶσαν δικαιοσύνην. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

fecisti, fiet tibi [79]. » Primus Moses mandat dicens : « A facie cani capitis consurges, et honorabis vultum senioris [80]. » Job vero : « In multo tempore, sapientia, et in vita prolixiore, scientia [81]. » Alius item : « Corona senum, multa peritia, et gloriatio eorum timor Domini [82]. » Apostolus insuper Timotheo : « Seniorem ne increpaveris, sed obsecra ut patrem [83]. » Omnino illud forsan objeceris : « Oportet senes sobrios esse, castos, sanos fide et dilectione [84], » juxta ejusdem Apostoli sententiam. « Senectus enim honorabilis est non diuturna, neque annorum numero computata, cani enim sunt sensus hominis, et ætas senectutis vita immaculata, » juxta Scripturam [85]. Nostræ non est facultatis, pronuntiare de ejusmodi, magis autem Dei, qui probat corda nostra : nostræ autem functionis unicuilibet reddere sua debita : « Cui timorem, timorem : cui honorem, honorem : non solum bonis et modestis, sed et dyscolis [86]. » Sed et fraterna charitate invicem benevoli : « Honore invicem prævenientes [87]. » Scriptum quippe est : « Fili, si sapiens fueris, tibi ipsi eris et proximo : si autem malus, interibis, et solus exhauries mala [88]. » Nec diversus abit Petrus : « Juniores, subjecti estóte senioribus : omnes autem invicem humilitatem insinuate, quia Deus superbis resistit, humilibus autem dat gratiam. **1204** Humiliamini ergo sub potenti manu Dei, ut exaltet vos in tempore [89]. » Addecet igitur nos qui Christiani sumus, singulis quibusque ut reddamus debita. Nam et hoc ab ipso Domino Deo et Salvatore nostro Jesu Christo instruimur : per ineffabilem enim suam ad nos dignationem, nihil indignum duxit Joannem ut adiret, ab ipso baptizandus. Ille porro prohibebat eum, dicens : « Ego opus habeo a te baptizari, et tu venis ad me? » Dominus autem servo : « Sine nunc : sic enim decet nos implere omnem justitiam [90]. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΡΙ'.

Περὶ μακροθυμίας καὶ ὀξυχολίας.

Πᾶσαι μὲν αἱ ἀρεταὶ ἐπαινετοὶ, καὶ εὐαπόδεκτοι. Ὁ δὲ μακρόθυμος καὶ ἀόργητος μὲν οὗτος σοφὸς καὶ συνετὸς, ἀπέρπερός τε καὶ ἐπιεικής. Ὁ τοιοῦτος πάντοθεν κεκόσμηται, καὶ ἐκ τῆς ἰδίας μακροθυμίας οἰκοδομὴ τοῖς πλησίον γίνεται, καὶ εὑρίσκεται τοῦ μακροθύμου Θεοῦ τέκνον, τοῦ φέροντος ἀεὶ τὰ ἐλαττώματα ἡμῶν. « Γίνεσθε γὰρ, φησὶν, τέλειοι, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος. » Ὥσπερ γὰρ πηγὴ ἡσυχάζουσα, πᾶσιν τοῖς περιοῦσιν προσηνὲς ποτὸν παρέχει, οὕτως ὁ μακρόθυμος ἀνὴρ τοῖς πᾶσιν ὠφέλιμος ὑπάρχει. Τοῦ μακροθύμου τὸ πρόσωπον, καὶ τὸ ἦθος ἀεὶ κατεσταλμένον, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ, προσηνὲς βλέπουσιν. Μακρόθυμος γὰρ ἀνὴρ, φησὶν, πολὺς ἐν φρονήσει· ὁ δὲ ὀλιγόψυχος, ἰσχυρὸς ἄφρων. Ὁ μακρόθυμος, γαληνὸς, ἀτάραχος, βασταγὸς ἀεὶ

HOMILIA CX.

De longanimitate sive lenitate animi, et iracundia.

Virtutes quidem omnes laude et commendatione cum primis dignæ sunt : qui autem placabili animo est, nec ad iram ullis prolicitur quantislibet pulsatus injuriis, talis utique sapiens prudensque est, minus præceps sed moderatus. Talis omni ex parte perpolitus est et ornatus, ac propria longanimitate magnopere ædificat proximos, ejusque comperitur esse filius, qui nullo non tempore nostros perfert longanimiter defectus : qui et ait : « Estote perfecti, sicut Pater vester cœlestis [91]. » Quemadmodum enim fons silentibus scatebris præterfluens, quotquot se adeunt, ultroneus præfert suavem potum : ita et vir longanimis ac placidus. Ipse vultus atque indoles viri sic cuncta longanimiter tolerantis moderationem animi promittunt ac repræsentant. Ipsi-

[79] Tob. IV, 16; Matth. VII, 12; Luc. VI, 31. [80] Levit. XIX, 32. [81] Job XXXII, 7. [82] Eccli. XXV, 8. [83] I Tim. V, 1. [84] Tit. II, 2. [85] Sap. IV, 8. [86] I Petr. II, 18. [87] Rom. XII, 10. [88] Prov. XXIII, 15 16. [89] I Petr. V, 5, 6. [90] Matth. III, 14, 15. [91] Matth. V, 48.

que oculi placide ac leniter respectant. Longanimis enim vir multus est in prudentia, pusillanimis vero fortis stultus. Longanimis proximos deprehenditur sufferre semper, citra omnem intemperiem ac turbelam. Suos semper, non item proximi attendit defectus : cogitat secum anxie, qui possit se probare Deo. Quisquis tandem sic efficietur longanimis, hunc Spiritus sanctus sane purus sordium, placide inhabitat, nec patietur eo inferri a maligno spiritu quidvis caliginosum, sed spatiose habitans cum suo vase quod inhabitare dignatur, exhilarescit. Quin et talis Domino ministrat multa perfusus hilaritate. Si qua proinde iracundia ingruerit, mox Spiritus ille sanctus in angustum se contrahit, non jam locum habens suæ sinceritati congruentem : illinc etiamnum quærit desciscere, quod locum non habeat (prout expetit) ad serviendum Domino idoneum. In longanimitate habitat Dominus, in iracundia vero diabolus. Spiritus igitur uterque eumdem si inhabitet locum, minus conducit, imo in malum cedit homini quem uterque inhabitat spiritus. Si quis enim accepto in manus absinthio, **1205** ex eo nonnihil infundat dolio mellis, nunquid non totius mellis dulcor deperditur et evanescit? Et quidem per portiunculam absinthii tantæ suavitatis fit depulsio; perdit enim nativam dulcedinem, et amarescit, nec quidquam servat pristinæ gratiæ apud dominum suum, quod degenerarit in amaritudinem. Plane vides longe esse etiam præ melleo dulcore dulcissimam : quin et ea utitur Dominus quam commodissime; cum contra iracundiæ furor et amarulentus est et prorsum inutilis. Si quando illa concitati animi incandescentia simul et patientia permiscentur, cui dubium sit, patientiam fœda contagione pollui et conspurcari? sed nec congressus ejusmodi patientiæ usui esse Deo potest. Iracundia enim maligna cum sit, sua ipsius improba operatione subvertit servos Dei. Simul enim ut viderit homines requietos nec ulla seditione tumultuantes, seipsam colligit ac inserit cordi unius illorum, qui nulla ex re amarescit totus, et exasperatur ob res temporarias, aut certe ob edulia, aut quia colloquium incidit prolixius et idem vanum; puta de dato et accepto; deve similibus negotiis : hæc enim omnia aliud nihil servis Dei sunt, quam stultitia et vanitas. E diverso, longanimitas iisdem Dei servis magna prorsus ac robusta, et quæ admirabili præpollet potentia : quod pravum est, ad rectitudinem revocat, et exsultans, secura cum sit rerum omnium, Dominum glorificat, nihil in se habens amaritudinis, lenis et tranquilla. Hæc animi moderatio domicilium habet commune cum illis qui incolumem retinent et perfectam fidem : iracundia vero stultorum est. Ex stultitia deinceps resistit amaritudo, ex amaritudine furor : ex ira autem incandescentia perseverans. Sanctus igitur Spiritus, ut qui loci temperie mire se oblectat ac deliciatur, cuive nulla intercedit consuetudo cum implacabili acrimonia reprobi spiritus, ab ejusmodi homine

A εὑρίσκεται, τὰ ἑαυτοῦ πάντοτε προσέχων, οὐχὶ τὰ τοῦ πλησίον ἐλαττώματα· καὶ μεριμνᾷ πῶς ἀρέσει τῷ Θεῷ. Ἐὰν γάρ τις μακρόθυμος γένηται, τὸ Πνεῦμα τὸ ἅγιον κατοικεῖ ἐν αὐτῷ κάθαρὸν, μὴ ἐπισκοτούμενον ὑπὸ ἑτέρου πονηροῦ πνεύματος· ἀλλ' ἐν εὐρυχώρῳ κατοικοῦν εὐφραίνεται μετὰ τοῦ σκεύους οὗ κατοικεῖ, καὶ λειτουργεῖ τῷ Κυρίῳ ἐν ἱλαρότητι πολλῇ. Ἐὰν δέ τις ὀξυχολίᾳ ἐπέλθῃ, εὐθέως τὸ Πνεῦμα τὸ ἅγιον στενοχωρεῖται μὴ ἔχον τόπον καθαρὸν, καὶ ζητεῖ ἀποστῆναι, διὰ τὸ μὴ ἔχειν τόπον, λειτουργῆσαι τῷ Κυρίῳ καθὼς βούλεται. Ἐν γὰρ τῇ μακροθυμίᾳ, ὁ Κύριος κατοικεῖ· ἐν δὲ τῇ ὀξυχολίᾳ, ὁ διάβολος. Ἀμφότερα οὖν τὰ πνεύματα ἐπὶ τὸ αὐτὸ κατοικοῦντα, ἀσύμφορόν ἐστιν καὶ πονηρὸν τῷ ἀνθρώπῳ, οὗ κατοικοῦσιν ἀμφότερα. Ἐὰν

B γὰρ λαβὼν ἀψίνθιον, μικρὸν, εἰς κεράμιον μέλιτος ἐπιχέῃς, οὐχὶ ὅλον τὸ μέλι ἀφανίζεται, καὶ τοσοῦτον μέλι, ὑπὸ ἐλαχίστου ἀψινθίου ἀπόλλυται; ἀπόλλυσι γὰρ τὴν γλυκήτητα, καὶ πικρὸν γίνεται· καὶ οὐκ ἔχει χάριν παρὰ τοῦ δεσπότου αὐτοῦ, ὅτι ἐπικράνθη. Βλέπεις ὅτι ἡ μακροθυμία γλυκυτάτη ἐστὶν ὑπὲρ τὸ μέλι, καὶ εὐχάριστος τῷ Κυρίῳ; ἡ δὲ ὀξυχολία, καὶ πικρὰ καὶ ἄχρηστός ἐστιν. Ἐὰν οὖν μιγῇ ἡ ὀξυχολία, καὶ ἡ μακροθυμία, μιαίνεται ἡ μακροθυμία, καὶ οὐκ ἔστιν εὔχρηστος τῷ Θεῷ ἡ ἔντευξις αὐτῆς. Ἡ γὰρ ὀξυχολία, πονηρὰ οὖσα, καταστρέφει τοὺς δούλους τοῦ Θεοῦ τῇ ἑαυτῆς ἐνεργείᾳ. Ὅταν γὰρ ἴδῃ τοὺς ἀνθρώπους εὐσταθοῦντας, παραβάλλει ἑαυτὴν εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου, καὶ ἐκ τοῦ

C μηδενὸς πικραίνεται, ἕνεκεν βιωτικῶν πραγμάτων, ἢ περὶ ἐδεσμάτων, ἢ ὅτι μικρολογία τις ἐνέπεσεν ματαία, ἢ περὶ δόσεως. Ταῦτα γὰρ πάντα μωρά ἐστιν καὶ κενὰ τοῖς δούλοις τοῦ Θεοῦ· ἡ δὲ μακροθυμία, μεγάλη ἐστὶν καὶ ἰσχυρὰ, ἔχουσα δύναμιν στιβαρὰν, καὶ εὐθύνει, καὶ ἀγαλλιωμένη ἀμέριμνος οὖσα δοξάζει τὸν Κύριον, μηδὲν ἐν αὐτῇ ἔχουσα πικρὸν, διότι πραΰς ἐστιν καὶ ἡσύχιος. Αὕτη οὖν ἡ μακροθυμία κατοικεῖ μετὰ τῶν τὴν πίστιν ἐχόντων ὁλόκληρον. Ἡ δὲ ὀξυχολία, ἄφρων ἐστίν. Εἶτα, ἐκ τῆς

D ἀφροσύνης γίνεται πικρία, ἐκ δὲ τῆς πικρίας θυμὸς, ἐκ δὲ τῆς ὀργῆς μῆνις. Τὸ οὖν ἅγιον Πνεῦμα ὡς τρυφερὸν ὄν, καὶ μὴ ἔχον συνήθειαν μετὰ τοῦ σκληροῦ καὶ πονηροῦ πνεύματος, ἀποχωρεῖ ἀπὸ τοῦ τοιούτου ἀνθρώπου, καὶ ζητεῖ κατοικῆσαι μετὰ τοῦ μακροθύμου, καὶ γίνεται ὁ ἄνθρωπος ἐκεῖνος κενὸς τοῦ πνεύματος τοῦ δικαίου, καὶ ὅλως ἀποτυφλοῦται ἀπὸ τῆς διανοίας τῆς ἀγαθῆς. Φησὶν δὲ καὶ ὁ λόγος, « Κρείσσων ἀνὴρ μακρόθυμος ἰσχυροῦ. » Καὶ, « Ὥσπερ δοκιμάζεται ἄργυρος καὶ χρυσὸς ἐν καμίνῳ, οὕτως ἐκλεκτὰς καρδίας δοκιμάζει ὁ Κύριος, » κατὰ τὴν Γραφήν. Καὶ πάλιν· « Πραΰθυμος ἀνὴρ καρδίας ἰατρὸς, καὶ μακρόθυμος ἀνὴρ κατασβεννύει κρίσιν. » Καὶ πάλιν· « Ὃς φείδεται ῥῆμα προελέσθαι σκληρὸν, ἐπιστήμων. Καὶ αὖθις, « Τέκνον, εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν. Εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι ἀσμένως. Καὶ ἐν ἀλλάγμασιν ταπεινώσεώς σου μακροθύμησον· πίστευσον αὐτῷ, καὶ ἀντιλήψεταί σου. » Καὶ ἡμεῖς οὖν, ἀδελφοὶ, διὰ

μακροθυμίαν ψάλωμεν σὺν τῷ Δαυΐδ, τό· « Δοκίμασόν με, Κύριε, καὶ γνῶθι τὴν καρδίαν μου, ἔτασόν με, καὶ γνῶθι τὰς τρίβους μου, καὶ ἴδε, εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί· καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην. Αὐτρωσαί με, Κύριε, καὶ ἐλέησόν με. » Καὶ τό· « Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα. » Λέγει δὲ καὶ ὁ Σολομών· « Μακρόθυμος ἀνὴρ, φρόνιμος. » Καί· « Ἀνοήτῳ ἐπερωτήσαντι σοφίαν, σοφία λογισθήσεται αὐτῷ. Σύννουν δὲ καὶ ἐνεὸν ἑαυτὸν ποιήσας, δόξει φρόνιμος εἶναι. » Καὶ πάλιν· « Ἐλεήμων ἀνὴρ μακροθυμεῖ. » Καὶ ὁ Ἰάκωβος· « Μακροθυμήσατε οὖν, ἀδελφοὶ, ἕως τῆς παρουσίας τοῦ Κυρίου. Ἰδοὺ ὁ γεωργὸς ἐκδέχεται τὸν τίμιον καρπὸν ἐπὶ τῆς γῆς, μακροθυμῶν ἐπ' αὐτῷ, ἕως ἂν λάβῃ καρπὸν πρώϊμον καὶ ὄψιμον. Μακροθυμήσατε οὖν καὶ ὑμεῖς· ὑπόδειγμα λάβετε τῆς κακοπαθείας, καὶ τῆς μακροθυμίας, τοὺς προφήτας. » Καὶ ἐν τῷ Εὐαγγελίῳ γέγραπται· « Ἰδόντες δέ φησιν οἱ μαθηταὶ, Ἰάκωβος καὶ Ἰωάννης, ὅτι οὐκ ἐδέξαντο αὐτοὺς οἱ Σαμαρεῖται, εἶπον· « Κύριε, θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπ' οὐρανοῦ, καὶ ἀναλώσει αὐτοὺς, ὡς καὶ Ἠλίας ἐποίησεν; Στραφεὶς δὲ ὁ Ἰησοῦς, ἐπετίμησεν αὐτοῖς, καὶ εἶπεν· « Οὐκ οἴδατε ποίου πνεύματός ἐστε. Ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθεν ψυχὰς ἀνθρώπων ἀπολέσαι, ἀλλὰ σῶσαι. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A longius se submovet, deligens sibi domicilium in homine patiens qui sit et longanimis. At interim homo ille inanis fit spiritus justi; excæcatur totus, dum exuitur mentis dulcedine ac benignitate. Ait autem Scriptura : « Melior vir patiens forti [91]. » Et : « Sicut probatur aurum et argentum in fornace, sic electa corda probat Deus, » juxta Scripturam [92]. Iterum : « Vir mansuetus cordis medicus est [93]. » Rursus : « Fili, si accesseris ad servitutem Dei, præpara animam tuam ad tentationem, dirige cor tuum et sustine : omne quod applicitum fuerit tibi, suscipe libenter, et in mutationibus humiliationis tuæ patientiam habe : crede ei et recuperabit te [94]. » Nos itaque (fratres) longanimitatis ac patientiæ merito subnixi, una cum Davide concinamus : « Proba me, Domine, et scito cor meum; interroga me, et cognosce semitas meas, et vide si via iniquitatis in me est, et deduc me in via æterna [95]: **1206** quia ego in innocentia mea ingressus sum, redime me et miserere mei [96]. » Et illud : « Me autem propter innocentiam suscepisti, et confirmasti me in conspectu tuo in æternum [97]. » Dicit item Salomon : « Vir longanimis, sapiens est [98]. » Et : « Stulto interroganti sapientiam, sapientia illi imputabitur : mutum autem is qui seipsum fecerit, videbitur esse prudens [99]. » Iterum : « Vir misericors, longanimis est [1]. » Jacobus : « Patientes igitur estote (fratres) usque ad adventum Domini : ecce agricola exspectat pretiosum fructum terræ patienter ferens donec accipiat pluviam temporaneam et serotinam : patientes igitur estote et vos, exemplum accipite laborum et patientiæ, prophetas [2]. » In Evangelio quoque scriptum est : « Videntes autem discipuli Jacobus et Joannes, quia noluissent eos recipere Samaritani, dixerunt : « Domine, vis dicamus ut ignis descendat de cœlo, et consumat eos quemadmodum Elias fecit [3]? Conversus autem Jesus increpavit eos, et dixit : « Nescitis, cujus spiritus estis : Filius hominis non venit perdere animas hominum, sed salvas eas facere [4]. » Ipsi gloria in sæcula sæculorum. Amen.

B

C

ΛΟΓΟΣ ΡΙΑ'.

Περὶ ἡγουμένων.

Φησὶν ἡ θεία Γραφὴ, ὡς « Ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν. » Πρῶτον ἐποίησε καὶ οὕτως ἐδίδαξεν. Ὁμοίως καὶ αὐτὸς ἐντέλλεται λέγων· « Ὃς ποιήσει καὶ διδάξει, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. » Ὁ ἐμπιστευόμενος ὑπὸ τοῦ Θεοῦ ψυχὰς, πολλοῦ ἀγῶνος δεῖται ὑπὲρ τῶν ἀρχομένων, ὡς εἰδὼς ὅτι τὸν ὑπὲρ αὐτῶν ὑφέξει κίνδυνον καὶ ἀπολογίαν, οὐκ ἔλαττον τῶν περὶ ἑαυτοῦ· ὁ γὰρ παρέθεντο πολὺ, περισσότερον ἀπαιτήσουσιν αὐτοῦ. Ὀφείλει οὖν ὁ ποιμὴν ὅλος νοῦς καὶ ὀφθαλμὸς εἶναι, ἵνα μὴ ἐν τῶν ἐμπιστευθέντων αὐτῷ θρεμμάτων ἀπρόσδεκτον γένηται διὰ τῆς ἀμελείας, ἢ λειχηνιοῦν ἀπὸ λογισμῶν, ἢ ψωριοῦν τῇ συγκαταθέσει αὐτῶν, ἢ χωλὸν δι' ἀσέμνου βαδίσματος, ἢ ὠτότμητον διὰ παρακοῆς, ἢ τυφλὸν διὰ κακῆς ὁράσεως, ἢ θηριάλωτον καὶ θνησιμαῖον διὰ κακῆς πράξεως. Ὡς οὖν εἴρηται γινώσκων ὅτι λόγον ὑπὲρ αὐτῶν ὑφέξει, πολὺ ὀφείλει ἐναγρυπνεῖν τῇ ποίμνῃ αὐτοῦ. Καὶ ὡς ἄριστος ἰατρὸς τὴν προσήκουσαν ἑκάστῳ πάθει βοήθειαν

HOMILIA CXI.

De his qui præsunt.

Ait Scriptura, quia « cœpit Jesus facere et docere [5]. » Primum fecit, et sic docuit, nec secus sancit præcepto faciendum, dicens : « Qui fecerit et docuerit, hic magnus vocabitur in regno cœlorum [6]. » Is igitur cujus fidei tutela animarum a Deo concredita est, non mediocri studio advigilare debet pro salute subditorum : quippe qui certo sciat se pro illis aditurum esse animæ propriæ periculum, at quidem pro se ne minimam habiturum esse excusationem. Ab eo enim cui multa apposita sunt, abundantius repetent. Debet igitur pastor totus esse mens et oculus, ut ne una quidem concreditarum sibi pecudum rejicula fiat et D indigna quæ recipiatur a Domino per oscitantiam, aut decolor sit impetigine cogitationum [7], aut per suam pastoris indulgentiam laboret ac pruriat pecus fœda scabie, ne claudicet per irreligiosum ac minus gravem incessum, aut defecta sit aure per inobedientiam ne cæca esse comperiatur per

[91] Prov. xvi, 32. [92] Sap. iii, 6. [93] Prov. x, 8. [94] Eccli. ii, 1-6. [95] Psal. cxxxviii, 23, 24. [96] Psal. xxv, 1. [97] Psal. xl, 13. [98] Sap. i, 6. [99] Prov. xvii, 27, 28. [1] Prov. ii, 17. [2] Jac. v, 7, 8. [3] Luc. ix, 54. [4] ibid. 55, 56. [5] Act. i, 1. [6] Matth. v, 19. [7] Levit. xxi, 1 seqq.

vitiosum aspectum, aut capta a bestiis sive morticina per improbam operationem [8]. Cum igitur is probe noverit (ceu mihi dictum est) se pro illis rationem esse repositurum, par est, ut pervigili cura suo prospiciat gregi : moremque imitatus medici longe experientissimi, cuique affectui vitioso opportunum et competens afferat auxilium, nullo illorum neglectim transmisso. Peritus enim si est præses, neutiquam sinet discipulum ullius vulneris impressione sauciari. Si quem norit jam saucium nihil cunctatus sanandum suscipiet.

προσενέγκαι ἑνὶ ἑκάστῳ αὐτῶν. Ὁ γὰρ ἐπιστήμων ἡγούμενος οὐκ ἐάσει τρωθέντα μαθητὴν, τρωθέντα δὲ ἰάσεται ταχέως.

1207 Tu igitur quisquis præsides, discipulos tuos sermonibus obarma, quibus se cautim observent ac tueantur. Illorum præmuni pectus, certa permissione futurorum bonorum; scuto vere fidei circumsepi eos; ad finem usque provehito, præduce spe quæ in Christum ceu scopum recta collineet. Pedes obtura ac circumtege angelicis disciplinis. Præcinge lumbum illorum spiritualis lætitiæ sermonibus. Da illis in manum gladium, nempe acrimoniam præcidentem vitiosos animi affectus. Si quos senseris cingi ac premi improbo agmine perturbationum aut voluptatum, coordina et tu adversus utrumque instructissimam aciem. Cave moveris animum adversus discipulum peccantem : neque enim sancti viri est ea functio, tibi ipsi vulnus infligere et consociare, dum aliis studes mederi : sed et qui cæteros latent, clementer eos emenda. Medicus etenim medetur quidem morbis, non item adversus eum qui invitus ægrescit, indignam ullam movet querelam. Ut igitur medicus cum carnis putrilaginem secat, hoc utique facit citra iram : ita et doctor, interim dum reprehendit, non iracundiæ furorem immiscet suæ reprehensioni, nec rursus contradicentium susurris deterritus, quæ addecent frugemve afferunt subjectis, silentio premit, ut ne unius noxa in multorum perniciem, sua contage recurrat et dimanet. Hic ne te præstes longanimiter patientem : non item quæras quod tibi utile est, sed quod multis, ut incolumes serventur. Rursus vide ne subdito consenseris dicenti tibi : Fac mecum potestatem temporariæ cujuspiam morulæ, dum interim recipiam me, ut et hoc vel illud probem, sicque quod decorum est et ex officio concitus absolvam : qui enim ad eum loquitur modum, nimirum undecunde venatur occasionem perficiendæ propriæ voluntatis : eam vero cui se ex pacto obstrinxit, frustratur et elidit obedientiam. Oportet interim ut cum patientia hoc observet. Qui enim alimonia verbi divini exprompte atque alacriter pascit subjectos, præparet mentem suam ad excipienda flagra, sed spiritualia, omnemque tentationum procellam generoso ferat pectore : fere enim fit ut et doctor ad ignominiam et dedecus elocetur, tentationes dum sustinet pro his quæ ad spiritualem suorum utilitatem in commune contulit. « Nos enim ignobiles, ait Paulus, et colaphizamur perinde ac palo quopiam cæsi, vos autem fortes et gloriosi. » Necesse igitur sit, ut homo Dei, in omni opere et sermone bono instructus sit ac perpolitus, nihilque non perficiat ho-

A suetudo, Deo ipsi gratiosa est et perquam amabilis. Ait enim : « Ad quem respiciam nisi ad humilem et mansuetum et quietum, ac trementem sermones meos [84]? » Jucunda sane quam est pacifici status contemplatio (1). Constratis etenim maris fluctibus, delphines prono in æquor capite desilientes urinantur et adnant. Ordo tranquilla in pace si est, sermones abunde effunduntur, decori admodum et modesti. Ait autem et Jacobus : « Abjicientes omnem immunditiam, in mansuetudine suscipite insitum verbum quod potest salvare animas vestras [85]. » Hymnorum regius concentor David : « Suscipiens mansuetos Dominus, humilians autem peccatores usque ad terram [86]. » Et : « Docebit mites vias suas [87]. » Alius : « Populum humilem salvum faciet Dominus, oculos autem superborum humiliabit [88]. » Sed et benignus ipse Dominus noster : « Tollite jugum meum super vos, et discite a me quia mitis sum et humilis corde, et invenietis requiem animabus vestris; jugum enim meum suave est, et onus leve est [89]. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΡΙϚ'.

Περὶ τοῦ ἀδικεῖσθαι, καὶ μὴ ἀδικεῖν.

Περὶ τοῦ μὴ ἀδικεῖν ὁ παλαιὸς νόμος προστάττει. Περὶ δὲ τοῦ ἀδικεῖσθαι καὶ εὐχαριστεῖν, ὁ νέος παρακελεύεται, μᾶλλον δὲ ὁ τοῦ νόμου πληρωτὴς, εἰς τελειότητα καὶ υἱοθεσίαν ἄγων τὸν ἄνθρωπον. « Γίνεσθε γὰρ, φησὶν, οἰκτίρμονες, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστίν. » Χρὴ τοίνυν τὸν βουλόμενον λαμπρὰν ἀναδύσασθαι νίκην, μὴ μόνον ὑβριζόμενον καὶ ἀδικούμενον φέρειν γενναίως, ἀλλὰ καὶ πλείονα παρέχειν τῷ ἀδικοῦντι, ὧν βούλεται λαβεῖν· καὶ τοὺς ὅρους τῆς πονηρᾶς ἐπιθυμίας ἐκείνου τῇ δαψιλείᾳ τῆς οἰκείας ὑπερβῆναι φιλοτιμίας. » Ὁ θέλων οὖν γενέσθαι μαθητὴς τοῦ Χριστοῦ, τὰ μαθήματα τοῦ διδασκάλου ἐμπράκτως ἐναποδείξεται. « Ὡς λοιδορούμενος, φησὶν, οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει. » Ἐπεὶ ἀκοῦσαι ἔχει· « Τί με λέγετε, Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω; » Ὁ ὄντως μαθητὴς, θέλει ἀδικεῖσθαι, καὶ μὴ ἀδικεῖν, καὶ διὰ ταπεινώσεως νικῆσαι τοὺς ἀδικοῦντας αὐτὸν, καὶ πρὸς τὰς ὀργὰς αὐτῶν πραῢς εἶναι. Πρὸς τὸ μεγαλορρῆμον αὐτῶν, ταπεινόφρων, πρὸς τὸ ἄγριον, ἥμερος· καὶ μὴ ὁμοιοῦσθαι αὐτοῖς ἐν μηδενὶ, ἀλλὰ τῇ ἐπιεικείᾳ, ὡς μιμητὴς τοῦ Κυρίου, σπουδάζων μᾶλλον ἀδικηθῆναι, ἢπερ ἀδικῆσαί τινα. Καλὸν οὖν ἐστιν τὴν βίαν φέρειν τῶν θελόντων ἡμᾶς ἀδικεῖν, καὶ εὔχεσθαι ὑπὲρ αὐτῶν, ἵνα διὰ μετανοίας ἡμῶν καὶ διὰ τῆς ἀνταποδόσεως, ὧν ἀφ' ἡμῶν ἥρπασαν, ἀπολυθῶσιν τοῦ ἐγκλήματος τῆς πλεονεξίας· τοῦτο γὰρ τὸ θέλημα Θεοῦ ἐστιν, ἵνα τὸν πλεονέκτην αὐτὸν κερδήσωμεν, οὐχὶ τὸ πλεονεκτηθέν. Καὶ γὰρ ἐκφεύγει ἁμαρτίας ὁ παρὰ ἀνθρώπων ἀδικούμενος, ἀλλὰ καὶ ὁμοίαν τῆς θλίψεως εὑρήσει ἀντίληψιν. Ὁ μετασχὼν γνώσεως ἁγίας καὶ γλυκύτητος Θεοῦ γευσάμενος, οὔτε δικάζειν ὀφείλει πότε, οὔτε δίκην κινεῖν ὅλως πρός τινα, κἂν αὐτὰ ἀφερῆταί τις ἅπερ ἠμφίασται. Ἐπεὶ ποία διαφορὰ τῶν τροφίμων τοῦ Θεοῦ,

1217 HOMILIA CXVI.

Injuriam ferto patienter, ac nemini interim sis injurius.

Ne quid injuriæ cuipiam inferas, lex præscribit vetus : et nova hortatur, illata ut feras æquanimiter, nec solum, sed et eam ut excipias cum gratiarum actione. Imo verius, is qui legis est consummator, ad perfectionem atque adoptionem in filios, provehit hominem, dicens : « Estote misericordes, sicut Pater vester cœlestis misericors est [90]. » Necesse igitur sit, ut qui ardentibus votis cupis, obtenta victoriæ laurea, palmarem ex hoste referre coronam, non solum ut contumelias injuriasque generose perferas, sed et ut optes etiam atrociora accipere, quam is irrogare velit, ac liberalitatis exuberantia supergredi limites improbandæ concupiscentiæ raptoris illius. Qui Christi vult esse discipulus, sui documenta doctoris, opere efficaci exprimet, qui « Cum malediceretur (teste Petro), non remaledicebat, cum pateretur, non comminabatur [91]. » Alioqui jure is promerebitur audire : « Quid me dicitis, Domine, et non facitis quæ dico [92] : » Qui non fucate Domini est discipulus, exerceri vult tolerantia injuriarum, non item in alios esse injurius : perque humilitatem vincere in se injurios : adversus impotentem illorum iram, mansuetudine utetur. Adversus talium magniloquam ostentationem, modestus erit, nihil sibi magnifice arrogans. Contra efferatam et agrestem ferociam, placidus ac lenis, adeo ut nulla in re istis assimilis possit videri. Talis pro virili contendet irrogatas injurias, æquo animo ut ferat potius quam ut in quempiam sit injurius. Itaque, juxta sententiam superiorem, præstiterit, talium violentam impressionem excipere patientia, proque talibus effundere preces, ut per pœnitentiam ad Dominum se recipiant, non item ut pereant retaliatione acceptæ injuriæ, dum cum

[84] Isa. LXVI, 2. [85] Jac. I, 21. [86] Psal. CXLVI, 6. [87] Psal. XXIV, 9. [88] Psal. XVII, 28. [89] Matth. XI, 29, 30. [90] Luc. VI, 36. [91] I Petr. II, 23. [92] Luc. VI, 46.

NOTÆ.

(1) Vide Arist. IX *De hist. animalium;* Ælianum item, et Plinium, lib. IX, c. 8.

eis expostulamus ob ea quæ per immoderatam cupiditatem extorserunt a nobis. Plane ea est Dei voluntas ut lucremur ipsum rei nostræ occupatorem, non rem fraude occupatam. Etenim qui sic hominum malignitate afficitur, vitat peccata, sed et in tribulatione nihil disparem nanciscitur Domino succurrente defensionem. Qui particeps efficitur sanctæ cognitionis, plusque melleam degustavit dulcedinem, non debet is aliquando de quoquam sententiam ferre, aut actionem intendere ulli hominum, tametsi toga aut pallio spolietur. Quam enim immane est discrimen, quo inter sese dissident et Dei et sæculi istius alumni? Mandat lex : « Non facies injuriam proximo tuo[22.23]. » Et : « Non dormiet merces mercenarii apud te[1]. Non maledices surdo, et coram cæco non pones offendiculum[2]. » Parœmiastes : « Non facias violentiam pauperi, pauper enim est, neque inhonores infirmum in portis : Dominus enim judicabit judicium.[24] » **1218** Et hæc quidem vetus illa lex, ut quæ imperfecta erat, cum nondum adultis et pusionibus ad eum modum texebat sermones ; Christi autem lex perfecta cum sit, perfectis jam et qui participes facti sunt solidi cibi, sua præscribit mandata. Ait enim Dominus : « Orate pro calumniantibus vos et persequentibus[3]. » Hoc expleverunt præceptum initio fidei coruscantis illi germane Christi discipuli, Stephanus et Jacobus[4]. Ille quidem creberrimo lapidum jactu adobrutus, hic vero, præcipitio traditus neci, uterque pro suis interfectoribus preces fudit[5]. De Jacobo enim Joannis fratre memoriæ proditum est, quod is cujus dilatione fuerat denuntiatus, cum vidisset Jacobum rapi ad mortem, ductus pœnitentia, pedibus procidit beati, dicens : Indulge mihi. Beatus vero aliquantum morulæ restitans, respondit : Pax tibi ; hoc dicto, in illius amplexus ruit et oscula. At ille voce exerta Christianum se esse professus est, eique annumeratus est, quem incusarat, et bravium cum illo assecutus supernæ vocationis. Ait autem et Petrus : « Quæ enim gloria si peccatis, et colaphizati suffertis? Sed si benefacientes patienter sustinetis, hæc est gratia apud Deum ; ut in eo quod detractant de vobis tanquam de malefactoribus, suppudescant qui calumniantur vestram in Christo sanctam conversationem[6]. » Inducit : « Novit enim Dominus pios de tentatione eripere, iniquos autem in diem judicii cruciandos servare[7]. » David : « Qui facit judicium injuriam patientibus, qui dat escam esurientibus[8]. » Propter hoc et ego : « Iniquitatem odio habui, legem autem dilexi[9]. » Jam quando mandatum tuum est, ut illatam injuriam fortiter ferens, nemini sim injurius, isti reddiderunt mala pro bonis[10] : « Ego autem orabam, Deus meus, eripe me de manu contra legem agentis et iniqui[11]. » Paulus item : « Ut quid non magis injuriam patimini? Sed vos facitis

καὶ τῶν τοῦ αἰῶνος τούτου ἀνθρώπων ; Ὁ μὲν γὰρ νόμος ἐντέλλεται· « Οὐκ ἀδικήσεις τὸν πλησίον σου. » Καί· « Οὐ κοιμηθήσεται ὁ μισθὸς τοῦ μισθωτοῦ παρὰ σοί. Οὐ κακῶς ἐρεῖς κωφῷ, καὶ ἀπέναντι τυφλοῦ οὐ θήσεις σκάνδαλον. » Καὶ ὁ Παροιμιαστής· « Μὴ ἀποδιάζου πένητα, πτωχὸς γάρ ἐστιν· μηδὲ ἀτιμάσῃς ἀσθενῆ ἐν πύλαις· ὁ γὰρ Κύριος κρινεῖ αὐτῶν τὴν κρίσιν. Καὶ ταῦτα μὲν ὁ παλαιὸς, ἅτε δὴ ὡς ἀτελῆ νηπίοις διελέγετο. Ὁ δὲ τοῦ Χριστοῦ νόμος, τέλειος ὤν, τοῖς τελείοις τῆς τελείας τροφῆς μετέχουσιν διατάσσεται. Φησὶν γὰρ ὁ Κύριος· « Εὔχεσθε ὑπὲρ τῶν διωκόντων ὑμᾶς καὶ ἐπηρεαζόντων. » Ταύτην τὴν ἐντολὴν εὐθέως ἐκπληροῦσιν οἱ ἀληθινοὶ μαθηταὶ τοῦ Χριστοῦ, Στέφανος καὶ Ἰάκωβος· καὶ ὁ μὲν λιθαζόμενος, ὁ δὲ κρημνιζόμενος, προσηύχοντο ὑπὲρ τῶν ἀναιρούντων αὐτούς. Φησὶν δὲ καὶ περὶ Ἰακώβου τοῦ ἀδελφοῦ Ἰωάννου, ὅτι ἰδὼν αὐτὸν ἀπαγόμενον τὴν ἐπὶ θάνατον, ὁ κατηγορήσας αὐτὸν μεταμεληθείς, προσέπεσεν αὐτῷ, λέγων· Συγχώρησόν μοι. Ὁ δὲ ἐπισχὼν μικρὸν, εἶπεν· Εἰρήνη σοι· καὶ κατεφίλησεν αὐτόν. Ὁ δὲ εὐθέως φωνῇ μεγάλῃ Χριστιανὸν ἑαυτὸν ἀνηγόρευσεν. Καὶ συγκατακριθεὶς τῷ ἑαυτοῦ κατηγορηθέντι, σὺν αὐτῷ τοῦ βραβείου τῆς ἄνω κλήσεως ἔτυχεν. Φησὶν δὲ καὶ ὁ Πέτρος· « Ποῖον κλέος οἱ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομενεῖτε ; ἀλλ' εἰ ἀγαθοποιοῦντες καὶ πάσχοντες ὑπομενεῖτε, ἵνα ἐν ᾧ καταλαλῶσιν ὑμῶν ὡς κακοποιῶν καταισχυνθῶσιν οἱ ἐπηρεάζοντες τὴν ἐν Χριστῷ ἀγνὴν ἀναστροφὴν ὑμῶν. » Καὶ ἐπάγει· « Οἶδεν Κύριος εὐσεβεῖς ἐκ πειρασμῶν ῥύσασθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν. » Καὶ ὁ Δαυΐδ· « Ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσιν. » Διὰ τοῦτο κἀγώ· « Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα. » Καὶ ἐπειδὴ, Δέσποτα, σὴ ἐντολή ἐστιν ἀδικεῖσθαι, καὶ μὴ ἀδικεῖν· ἀνταπέδοσάν μοι κακὰ ἀντὶ ἀγαθῶν. Ἐγὼ δὲ προσηυχόμην, ὁ Θεός μου, ῥῦσαί με ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος. » Ὁ δὲ Παῦλος· « Διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε ; ἀλλ' ὑμεῖς ἀδικεῖτε, καὶ ἀποστερεῖτε· καὶ ταῦτα ἀδελφούς. Ἢ οὐκ οἴδατε ὅτι ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν ; » Καὶ ἐν ἄλλοις· « Ἀδελφοὶ, ἀναμιμνήκεσθε τὰς πρότερον ἡμέρας ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων. Τοῦτο μὲν ὀνειδισμοῖς τε καὶ θλίψεσιν θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες. » Λέγει δὲ ὁ Κύριος· « Ἐάν τίς σε ἀγγαρεύσῃ μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο, καὶ τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιόν σου· καὶ τῷ τύπτοντί σε ἐπὶ τὴν δεξιὰν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην. Μακάριοι γάρ ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ἀφορίσωσιν ἕνεκεν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου· χαίρετε, καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

[22.23] Exod. xx, 16. [1] Levit. xix, 13. [2] ibid. 14. [24] Prov. xxii, 22, 23. [3] Matth. v, 44. [4] Act. vii, 1 seq. [5] Vide Eusebium, c. 9, lib. II *Eccl. Hist.* [6] I Petr. ii, 20 ; iii, 16. [7] II Petr. ii 9 [8] Psal. cxlv, 7. [9] Psal. cxviii, 113. [10] Psal. xxxiv, 12. [11] Psal. lxx, 4.

injuriam et fraudatis; et hoc fratribus. An non scitis quia iniqui regnum Dei non consequentur [12]?» Alio item loco : « Rememoramini pristinos dies in quibus illuminati magnum certamen sustinuistis passionum; in altero quidem opprobriis et tribulationibus spectaculum facti, in altero autem socii taliter conversantium effecti [13]. » Dicit autem et Dominus : « Si quis angariaverit te milliare unum, vade cum eo et duo; et ei qui vult tecum in judicio contendere, et tunicam tuam tollere, dimitte ei et pallium tuum; si quis te percusserit in dexteram maxillam, præbe ei et aliam; beati enim eritis cum oderint vos homines, et separaverint propter Filium hominis; gaudete, quia merces vestra multa est in cœlis. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΡΙΖ'.

Περὶ εὐχαριστίας.

Τοῦ ἐν παντὶ εὐχαριστεῖν ὀφειλέται ἐσμὲν, κατὰ τὸν Ἀπόστολον, εἴτε παρακαλούμεθα, εἴτε θλιβόμεθα. Ὁ γὰρ προνοητὴς τῶν ψυχῶν ἡμῶν Κύριος, τὰς θλίψεις ὑπὲρ τοῦ συμφέροντος ἐπάγει, ὡς ἄριστος ἰατρός· καὶ τοὺς δριμεῖς καυστῆρας πρὸς τὸ νόσημα προσφέρει, ἵνα ἄρτιος γένηται ὁ ἄνθρωπος· καὶ ὡς φιλόστοργος πατὴρ, ὅταν μὲν ὁρᾷ τὸν ἑαυτοῦ υἱὸν ἀτακτοῦντα, παιδεύει· ὅταν δὲ ἴδῃ ὀλιγωροῦντα, ἢ δυσφοροῦντα, παρακαλεῖ· οὕτως ποιεῖ ἡμῖν ἀγαθὸς ἡμῶν Δεσπότης καὶ Πατὴρ, πάντα πρὸς τὸ συμφέρον ἡμῖν ἐπιφέρει· εἴτε παράκλησιν, εἴτε παιδείαν, ὡς φιλότεκνος. Ἡμεῖς οὖν ἐν ταῖς θλίψεσιν πλεῖον ὀφείλομεν εὐχαριστεῖν, ὡς γνήσιοι, καὶ οὐχ ὡς νόθοι υἱοί. Εἰ Χριστὸς Δεσπότης κατ' οὐσίαν, καὶ Δεσπότης κατ' οἰκονομίαν. (Ὅτι καὶ μὴ ὄντας ἐποίησεν, καὶ θανόντας τῇ ἁμαρτίᾳ, διὰ τοῦ ἰδίου αἵματος ἐξηγόρασεν.) Ἡμεῖς δὲ οἱ ἀχρεῖοι δοῦλοι, ποίαν εὐχαριστίαν δυνάμεθα αὐτῷ ἀποδοῦναι, ἐπεὶ ἐὰν ταῖς εὐημερίαις μόνον εὐχαριστοῦμεν, ὅμοιοι εὑρισκόμεθα τοῖς ἀχαρίστοις Ἰουδαίοις· οἵτινες, ὅταν μὲν ἔτρωγον ἐν τῇ ἐρήμῳ θαυματουργοῦντος τοῦ Κυρίου, ἔλεγον· « Οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης, » καὶ ἤθελον αὐτὸν ἁρπάσαι, καὶ ποιῆσαι βασιλέα. Ὅταν δὲ ἔλεγεν αὐτοῖς, « Ἐργάζεσθε, μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, » ἔλεγον, « Τί σημεῖον δεικνύεις ἡμῖν; Οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ. » Εἰκότως οὖν ἁρμόζει ἡμῖν τό· « Ἐξομολογήσονταί σοι, ὅταν ἀγαθύνεις αὐτούς. » Καὶ ὁ τοιοῦτος, « Ἕως αἰῶνος οὐκ ὄψεται φῶς. » Μὴ οὖν ὁμοιωθῶμεν τοῖς ἀχαρίστοις, ἀλλ' ὡς μαθηταὶ τῆς χάριτος ὑπόδειγμα αὐτῆς διὰ τῆς εὐχαριστίας γενώμεθα, ἵνα καὶ αὐτοὶ δυνηθῶσιν, ὁρῶντες τὸ φῶς τῆς εὐχαριστίας ἡμῶν, ἀποστῆναι τοῦ κατέχοντος αὐτοὺς σκότους τῆς ἀχαριστίας. Τὸ γάρ· « Ἐν παντὶ εὐχαριστεῖτε, » περιεκτικὴ ἐντολή ἐστιν· εἴτε εὐθυμεῖ τις, εἴτε ἀθυμεῖ, εἴτε θλίβεται, εἴτε χαίρει, ὀφειλέτης ἐστὶν τοῦ εὐχαριστεῖν· οἷος ἦν ὁ μέγας Ἰώβ. Ἀπολέσας γὰρ πάντα τὰ ἑαυτοῦ, ἔτι δὲ καὶ τὴν δεκ[άστεγον] καλιὰν τῶν τέκνων, συγχωσθέντων αὐτῶν ὑπὸ συμπτώματος, ἐν τῷ συμποσίῳ, εὐχαριστήσας ἔλεγεν· « Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο. Ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον. » Καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ἐν τῇ κοπρίᾳ καθήμενος, ἐν σαπρίᾳ σκωλήκων, καὶ ἀκούσας παρὰ τῆς συμβίου αὐτοῦ τό· « Εἰπὲ ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα, »

A

1219 HOMILIA CXVII.

De gratiarum actione.

Sive ipsi consolamur, sive afflictat nos quæpiam tribulatio, et quocunque in statu consistimus, juxta apostolicam sententiam, gratiarum actionem debemus exsolvere. Dominus enim animarum nostrarum curator providentissimus, perinde atque unus aliquis medicæ rei experientissimus, nostro omnium usui consulens tribulationes infligit, et acrimoniam asperitatemque urentis cauterii adversus coalescentem morbum admovet, integer ut sit homo et incolumis. Et tanquam Pater in liberos pientissimus, si quando perpenderit suum ipsius filium quipdiam designare indecori, castigat illum: B quod si perspexerit neglectim admittere correptionem, aut implacide ferre, obsecrat et hortatur; ita nobiscum agit benignus noster Dominus ac Pater; quæ novit nostræ profutura saluti, invehit omnia, sive consolatione opus est aut certe asperitate correptionis, ut qui tam amanter erudit filios Tribulationibus igitur attriti tanquam genuini ac legitimi, non item ut spurii, tanto ampliorem debemus rependere gratiarum actionem. Si Christus suapte substantia Dominus est noster, si idem et Dominus est dispensatione assumptæ carnis (ipse enim, nos, cum non essemus, condidit, conditos: sed peccati tyrannide mortuos, proprio redemit sanguine), nos inutiles servi, quam illi resolvere dignam possumus gratiarum actionem? Quod si C tum gratias rependimus, tantisper dum commode habemus, felici rerum lætissime cadentium successu, nihilo deprehendimur ingratis illis Judæis dissimiles: qui, cum Domino suspicienda miracula edente, in eremo vescerentur panibus, dicebant: « Hic est vere propheta [18], » eumque prope arreptum regem erant facturi. At ubi istis tam male gratis dicebat: « Operamini non cibum qui perit, sed qui manet in vitam æternam [16], » subjunxere: « Quod signum ostendis nobis? Patres nostri comederunt manna in deserto [17]. » Sic enim merito in nos apposite detorquebitur illud: « Confitebitur tibi cum benefeceris ei [18]. » Qui plane talis comperietur: « Usque in sæculum non videbit lumen [19]. » Ne (quæso) tam averse gratos repræsentemus morum similitudine, magis autem discipuli gratiæ qui sumus, simus per continentem actionem gratiarum illis exemplo, ut in nobis contemplati lumen splendescere piæ gratitudinis, queant D

[12] II Cor. v, 7-9. [13] Hebr. x, 32-33 [14] Matth. v, 39-41. [15] Joan. vi, 14. [16] ibid. 27. [17] ibid. 31. [18] Psal. xlviii, 19. [19] ibid. 11.

a densissima caligine ingratitudinis qua obvallantur, emergere. Illud enim Pauli : « In omnibus grati estote [20] ; » in genere vim obtinet præcepti, sive quis animi jucunditate perfruitur, sive tribulatione, sive nubilo tegitur tristitiæ, et afflictatur anxius, aut certe diffunditur gaudio, debet nihilominus agere gratiarum actionem : qualis nihil obscure fuit eximuis ille Job. Is enim perditis semel omnibus, **1220** domo insuper decem contignationibus fastigiosa adæquata solo, sed et filiis (interim dum geniali epulo invitant se et indulgent) ruina oppressis : quam Domino pro his rependit gratiarum actionem? Nimirum, accepto hoc nuntio, dicebat : « Dominus dedit, Dominus abstulit, sicut Domino placuit, ita et factum est : sit nomen Domini benedictum [21]. » Nec eatenus solum perspicuum specimen edidit suæ in Deum gratitudinis, sed et in sterquilinio sedens, in vermium erumpentium saniosa consistens putredine, simul atque convivam uxorem audivit objicientem illud : « Dic verbum adversus Dominum et morere [22] ; » os impudenti obturavit, dicens : « Quasi una de stultis mulieribus locuta es : si bona suscepimus de manu Domini, mala quidni sustineamus [23] ? » Hoc insigni argumento internoscitur qui nihil fucate gratus est, dum inter medias deprehensus calamitates, toto pectore gratias agit Domino. Contra, cognoscibile indicium viri male grati : is dum angitur quapiam tribulatione, si est querulus, si murmure interstrepit, si discruciatur ob hoc misere, si tuetur causam suam et excusat innocentiam : et si qua his similia. David item sane quam adversitatis tolerans, dumque afflictaretur in latitudine cordis permanens, ut primum mortem intellexit pueruli, e terra erexit se et supplex adoravit Dominum. Is nonnunquam dicebat : « Quis sum ego, Domine mi, mi Domine, qui in tantum me dilexisti [24] ? » Rursus hymnos cantu mellico personans, dicebat : « Omnia ossa mea dicent : Domine, quis similis tibi, eripiens inopem de manu fortiorum ejus [25] ? » Iterum : « Quæ fecisti mihi, Deus, magnalia, quis similis tibi [26] ? Quia tenuisti manum dexteram meam, et in voluntate deduxisti me, et cum gloria suscepisti me [27]. » Propter hoc : « Exaltabo te, Deus meus rex, et confitebor nomini tuo in sæculum [28]; quia exaudisti me et factus es mihi in salutem [29]. Ex omni enim tribulatione eripuisti me [30]. Memor fui tui, Domine, et delectatus sum [31]. » Et : « Benedictus est Deus qui non amovit orationem meam et misericordiam suam a me [32]. » Sed et Isaias : « Benedicam te, Domine, quoniam iratus es mihi, et misertus es mei [33]. » Zacharias : « Si quid bonum, ejus : et si quid pulchrum, ab eo [34]. » Paulus quoque ait : « Omne quodcunque facitis in verbo aut in opere, omnia in nomine Jesu Christi facite [35], gratias agentes Deo et Patri per ipsum [36]. » Iterum : « Quam enim gratiarum actionem possumus reddere pro vo-

A ἐπιστομίσας αὐτὴν λέγει· « Ἵνα τί ὡς μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας; εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; « Οὕτως γνωρίζεται ὁ ἀληθινὸς εὐχάριστος, ὁ ἐν ταῖς μεγίσταις συμφοραῖς ἀνθομολογούμενος τῷ Κυρίῳ. Γνώρισμα δὲ τοῦ ἀχαρίστου, τὸ μεμψίμοιρον ἐν ταῖς θλίψεσιν, τὸ γογγυστικὸν, τὸ ἄχθεσθαι, τὸ ἀπολογεῖσθαι, καὶ τὰ τούτοις ὅμοια. Ὁ δὲ καρτερικὸς καὶ πλατὺς ἐν θλίψεσιν Δαυὶδ, ἰδὼν ὅτι τέθνηκεν τὸ παιδάριον, ἀνέστη ἐκ τῆς γῆς, καὶ προσεκύνησεν τῷ Κυρίῳ· καὶ ὅλοτε ἔλεγεν· « Τίς εἰμι ἐγὼ, Κύριέ μου, Κύριε, ὅτι ἠγάπησάς με ἕως τούτων; » Καὶ αὖθις ὑμνῳδῶν ἔλεγεν· « Πάντα τὰ ὁστᾶ μου ἐροῦσιν, Κύριε, Κύριε, τίς ὅμοιός σοι; ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτῶν. » Καὶ πάλιν· « Ἃ
B ἐποίησάς μοι μεγαλεῖα, ὁ Θεός· τίς ὅμοιός σοι; ὅτι ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, καὶ ἐν τῇ βουλῇ σου ὁδήγησάς με, καὶ μετὰ δόξης προσελάβου με. » Διὰ τοῦτο· « Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν. Ἐκ γὰρ πάσης θλίψεως, ἐῤῥύσω με· ἐμνήσθην σου, Δέσποτα, καὶ ηὐφράνθην. » Καὶ, « Εὐλογητὸς εἶ, ὁ Θεὸς, ὃς οὐκ ἀπέστησας τὴν προσευχήν μου, καὶ τὸ ἔλεός σου ἀπ' ἐμοῦ. » Φησὶν δὲ καὶ ὁ Ἡσαΐας· « Εὐλογήσω σε, Κύριε, διότι ὠργίσθης μοι, καὶ ἠλέησάς με. » Καὶ ὁ Ζαχαρίας· « Εἴτι ἀγαθὸν, αὐτοῦ· καὶ εἴτι καλὸν, παρ' αὐτοῦ. » Ὁ δὲ Παῦλος, « Πᾶν ὅ τι ἂν ποιῆτε, φησὶν, ἐν λόγῳ, ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, εὐχαριστοῦντες
C τῷ Θεῷ καὶ Πατρὶ, δι' αὐτοῦ. » Καὶ πάλιν· « Τίνα γὰρ εὐχαριστίαν δυνάμεθα ἀποδοῦναι ὑπὲρ ἡμῶν; Καὶ ἡμεῖς οὖν ἀδιαλείπτως εὐχαριστήσωμεν τῷ Θεῷ καὶ Πατρὶ, ὅτι οὐκ ἐφείσατο τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν. » Εὐχαριστήσωμεν τῷ Υἱῷ, ὅτι διὰ τοῦ ἰδίου αἵματος ἐξηγόρασεν ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. Καὶ τίνα αἶνον ἢ τίνα εὐχαριστίαν δυνάμεθα ἀποδοῦναι αὐτῷ περὶ πάντων τῶν ἀγαθῶν ὧν πλουσίως παρέσχεν ἡμῖν τοῖς ταπεινοῖς; Εὐχαριστήσωμεν τῷ ἁγίῳ Πνεύματι, τῷ λαλήσαντι ἐν νόμῳ καὶ προφήταις καὶ τῇ Καινῇ Διαθήκῃ, τῷ φωτίζοντι τὰς διανοίας ἡμῶν τῶν ἐσκοτισμένων, εἰς κατανόησιν καὶ ἐργασίαν τῶν αὐτοῦ ἐντολῶν·
D καὶ ἀνοίγοντι τὸ στόμα ἡμῶν εἰς ἐξομολόγησιν καὶ εὐχαριστίαν τῆς αὐτοῦ ἀγαθότητος. Φησὶν δὲ καὶ ὁ εὐαγγελιστής· « Ἐν ἐκείνῳ τῷ καιρῷ, ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν, Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· » ναὶ, ὁ Πατὴρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

[20] Coloss. VI, 15. [21] Job I, 21. [22] Job II, 9. [23] ibid. 10. [24] II Reg. 12, 25. [25] Psal. XXXIV, 10. [26] Psal. LXX, 19. [27] Psal. LXXII, 24. [28] Psal. CXLIV, 1 [29] Psal. CXIV, 14. [30] Psal. LIII, 9. [31] Psal. LXXVI, 14. [32] Psal. LXV, 20. [33] Isa. XII, 1. [34] Zachar. IX, 17. [35] Ephes. V, 20. [36] Rom. VIII, 32.

bis[36*]? Nos itaque Deo et Patri perpetem et indivulsam gratiarum actionem rependamus, qui ne unigenito quidem Filio suo pepercit, sed pro nobis omnibus tradit illum[36**]. Gratias insuper agamus Christo Deo, quia nos tanti æstimavit quos proprio sanguine redimeret de maledicto legis, factus ipse nostri causa maledictum [37]. Ecquam laudem, quamve gratiarum actionem ipsi possimus exsolvere pro omnibus bonis quæ nobis humilibus opulenter contulit? Gratias denique agamus sancto Spiritui, qui in lege, in prophetis, **1221** in Novo item locutus est Testamento, qui mentes nostras prius quidem densa caligine ignorationis tectas illustrare dignatus est ad cognitionem operationemque suorum ipsius mandatorum, qui os nostrum adaperuit ad confessionem et gratiarum actionem bonitatis ipsius. Ait insuper evangelista : « In illo tempore respondens Jesus dixit : Confiteor tibi, Pater Domine cœli et terræ, quia abscondisti hæc a sapientibus et prudentibus, et revelasti ea parvulis. Ita, Pater, quia sic fuit placitum ante te [38]. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΡΙΗ'.

Περὶ τῆς ἐν Θεῷ εὐφροσύνης.

Ἡ ἀοίδιμος εὐφροσύνη, τῶν τὴν πρὸς Θεὸν τελείαν ἀγάπην κεκτημένων ἐστίν. Ὅσοι ἐμφορηθέντες τοῦ ἁγίου Πνεύματος ἐν αὐτῷ εὐφραίνονται, οἱ περὶ τοὺς ἀποστόλους, καὶ προφήτας, καὶ μάρτυρας, καὶ οἱ τέλειοι ἀσκηταί, οἵτινες τοὺς διωγμοὺς, καὶ τὰς θλίψεις, καὶ τὰς βασάνους, εὐφροσύνην ἡγοῦντο· καὶ πάντα τὰ τοῦ κόσμου, ὡς σκύβαλα ἐλογίσαντο, ἵνα Χριστὸν κερδήσωσιν. Τὸ πῦρ, τὰ θηρία, τὰ ξίφη, ἡ λιμὸς, ὁ κρυμὸς, καὶ τὰ λοιπὰ πάντα ηὔφρανεν αὐτοὺς, διὰ τὴν εἰς Θεὸν ἀγάπην· καθὼς καὶ Ἡσαΐας διαγορεύει. « Ἔσονται, φησὶν, λελυτρωμένοι καὶ συνηγμένοι διὰ Κύριον· εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν· καὶ ἀγαλλίαμα καὶ εὐφροσύνη καταλήψεται αὐτούς. » Καὶ πάλιν· « Εὐφροσύνη ὑπὲρ κεφαλῆς αὐτῶν. Πᾶς ὁ ὁρῶν αὐτοὺς, ἐπιγνώσεται αὐτοὺς, « Ὅτι οὗτοί εἰσιν σπέρμα εὐλογημένον ὑπὸ Θεοῦ, καὶ εὐφρανθήσονται ἐπὶ Κύριον. » Καὶ αὖθις· « Ἰδοὺ οἱ δουλεύοντές μοι, φάγονται, καὶ πίονται, καὶ εὐφρανθήσονται καὶ ἀγαλλιάσονται ἐν εὐφροσύνῃ. » Καὶ ὁ Σοφονίας· « Ἐπάξει ἐπὶ σὲ εὐφροσύνην καὶ αἴνεσιν ἐν τῇ ἀγαπήσει αὐτοῦ. » Καὶ Ναοὺμ, « Ἑόρταζε, λέγων, Ἰούδα τὰς ἑορτάς σου, ἀπόδος Κυρίῳ τὰς εὐχάς σου· ὅτι ἀνέβη ὁ ἐμφυσῶν εἰς πρόσωπόν σου. » Καὶ ὁ Χριστὸς τοῖς ἀποστόλοις, λέγων· « Λάβετε Πνεῦμα ἅγιον. » Καὶ ὁ Δαυΐδ, « Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί. » — « Αὕτη γὰρ ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ· » δηλαδὴ ἡ τοῦ Χριστοῦ ἀναστάσιμος. » Καί· « Εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου. Ὅτι πρὸς σὲ, Κύριε, ἦρα τὴν ψυχήν μου. » Καὶ, « Ἡ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ, τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ. » — « Καὶ γὰρ ηὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου, ὅτι πληρώσεις με εὐφροσύνης, μετὰ τοῦ προσώπου σου. » Καὶ ἐμπλησθῇ τις τοιαύτης εὐφροσύνης διὰ τῆς εἰς Θεὸν ἀγάπης. Ἡ γὰρ εὐφροσύνη τῶν δικαίων, ἡ εἰς Θεὸν ἀγάπη ἐστίν. Λοιπὸν καὶ ἄλλους προτρέπεται, « Δεῦτε, λέγων, Ἀγαλλιασώμεθα τῷ Κυρίῳ. » Καὶ, « Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ καὶ ἐν εὐφροσύνῃ. » Καὶ, « Κατατρύφησον τοῦ Κυρίου, » τουτέστιν, Ἀπόλαυσον τῆς γλυκύτητος αὐτοῦ. » Φάγε γὰρ, υἱὲ, μέλι,

HOMILIA CXVIII.

De lætitia et delectatione in Deo.

Eorum est oblectatio lætitiaque illa celebris, qui erga Deum charitatem perfectam indepti jam sunt. Nam quotquot præsentia perfruuntur Spiritus sancti, in ipso jucundantur et exhilarescunt, qui nimirum Apostolorum sunt assectatores, Prophetarum et Martyrum, qui in monastica disciplina exercent se, qui persecutiones, afflictiones, tormenta ducunt animi esse integram jucunditatem, et quæ mundi sunt omnia ad suaves illecebras prolicientia, loco habuerunt vilium stercorum, et Christum lucrifacerent. Ignis, bestiæ, gladii, fames, præcipitia, et quæ supersunt cætera, tales oblectant, dum toti in Deum flagrant charitate, contestante Isaia, « Erunt redempti et congregati per Dominum, lætitia sempiterna super caput eorum [39]. » Omnis videns eos, cognoscet illos, « quia isti sunt semen benedictum a Deo, et lætabuntur super Dominum [40]. » Rursus : « Ecce qui serviunt mihi, comedent, bibent, et lætabuntur, et exsultabunt in lætitia [41]. » Sophonias : « Inducet super te lætitiam in dilectione sua [42]. » Naum, « Celebra, Judæa, festivitates tuas, redde Domino vota tua, quia ascendit insufflans in faciem tuam [43]. » Dominus item ait discipulis : « Accipite Spiritum sanctum [44]. » David, « Lætabor et exsultabo in te [45]. » — « Hæc enim dies quam fecit Dominus, exsultemus et lætemur in ea [46] : » nempe resurrectio Christi. Et : « Lætifica animam, Domine, servi tui, quia ad te levavi animam meam [47]. » Et : « Anima mea exsultabit in Domino, delectabitur super salutari suo [48]. » — « Etenim lætatum est cor meum, et exsultavit lingua mea, quia replebis me jucunditate cum vultu tuo [49]. » Jucunditate enim tali adimpletur quis per charitatem erga Deum; lætitia enim justorum ipsa est erga Deum charitas. Talis denique alios etiam eo adhortatur, dicens· **1222** « Venite, exsultemus Domino [50]. » Et· « Servite Domino in lætitia [51]. » Et : « Delectare in Domino [52]; » hoc est, fruere dulcedine ejus. Dicit enim Scriptura : « Comede, fili, favum, ut edulcetur guttur tuum, et dabit tibi petitiones

[36*] Ephes. v, 20. [36**] Rom. VIII, 32. [37] Galat. III, 13. [38] Matth. XI, 25, 26. [39] Isa. XXV, 10. [40] Isa. LXV, 23. [41] ibid. 13. [42] Soph. III, 17. [43] Naum. I, 15. [44] Joan. XX, 22. [45] Psal. IX, 3. [46] Psal. CXVII, 24. [47] Psal. LXXXV, 3. [48] Psal. XXXIV, 77. [49] Psal. XV, 9. [50] Psal. XCIV, 1. [51] Psal. XCIX, 1. [52] Psal. XXXVI, 4.

cordis tui[53]. » Discipulis enim dixit Dominus : « Si diligitis me, et mandata mea servaveritis, quodcunque volueritis, petetis a Patre meo, et dabit vobis in nomine meo[54]. » Iterum : « Lætetur cor quærentium Dominum[55]. » Et : « Lætamini justi in Domino[56]. » Et : « Lætabitur justus in Domino[57]. » Et : « Lætetur Israel in eo qui fecit eum, et filii Sion exsultent in rege suo[58]. » — « Habitatio enim in te quasi lætantium omnium[59]. » Alius item : « His qui serviunt mihi, vocabitur nomen novum, quod benedictum erit super terram[60]. » Quotquot enim serviunt ei in timore, et exsultant in tremore[61], hi sunt filii Dei viventis. Parœmiastes proinde ait : « In lætitiis non admiscetur tristitia[62]. » A choro enim justorum fugit dolor et tristitia et gemitus. Et : « In die bonitatis vive in bono[63]. » Iterum : « Oculus videns bona delectat cor[64]. Corde autem exhilarato facies revirescit[65]. » Ait enim Dominus : « Si oculus tuus simplex fuerit, totum corpus tuum lucidum erit[66]. » — « Fama autem bona impinguat ossa[67], » quemadmodum et anima Pauli, cum dicebat : « Gaudeo et congaudeo omnibus vobis[68]. » Et : « Cor gaudens bene valere facit[69]. » Apostolus : « Gaudete in Domino, iterum dico, gaudete[70]. » Sed et in Evangelio ait filio pater : « Lætari autem et gaudere oportebat, quia filius meus hic mortuus erat, et revixit : perierat, et inventus est[71]. » Ipsi gloria in sæcula. Amen.

φησίν· ἀγαθὸν γάρ, ἵνα γλυκανθῇ σου ὁ λάρυγξ, καὶ δώῃ σοι τὰ αἰτήματα τῆς καρδίας σου. » Λέγει γὰρ ὁ Κύριος τοῖς μαθηταῖς· « Ἐὰν ἀγαπᾶτέ με, καὶ τὰς ἐντολάς μου τηρήσητε, καὶ, ὃ ἐὰν θέλητε, αἰτήσατε τὸν Πατέρα μου, καὶ δώσει ὑμῖν ἐν τῷ ὀνόματί μου. » Καὶ πάλιν· « Εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον. » Καὶ, « Εὐφράνθητε, δίκαιοι, ἐν τῷ Κυρίῳ. » Καὶ, « Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ. » Καὶ, « Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτὸν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν. Ἡ γὰρ ἐν σοὶ κατοικία ὡς εὐφραινομένων πάντων. » Καὶ ἄλλος· « Τοῖς γὰρ δουλεύουσίν μοι κληθήσεται ὄνομα καινὸν, ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς· καὶ εὐφροσύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐπ' αὐτῆς. Ὅσοι γὰρ δουλεύουσιν αὐτῷ ἐν φόβῳ, καὶ ἀγαλλιῶνται αὐτῷ ἐν τρόμῳ· οὗτοί εἰσιν υἱοὶ Θεοῦ ζῶντος. » Φησὶν δὲ καὶ ὁ Παροιμιαστὴς, « Ἐν εὐφροσύναις οὐ προσμίγνυται λύπη· ἀπὸ γὰρ τοῦ χοροῦ τῶν δικαίων ἀπέδρα καὶ ὀδύνη, καὶ λύπη, καὶ στεναγμός. » Καὶ, « Ἐν ἡμέρᾳ ἀγαθοσύνης ζῆθι ἐν ἀγαθῷ. » Καὶ πάλιν, « Θεωρῶν ὀφθαλμὸς καλὰ, εὐφραίνει καρδίαν. » Καρδίας δὲ εὐφραινομένης, πρόσωπον θάλλει· « Ἐὰν γὰρ ὁ ὀφθαλμός σου, φησὶν, ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται. Φήμη δὲ ἀγαθὴ λιπαίνει ὀστᾶ· « ὡς καὶ ἡ τοῦ Παύλου ψυχὴ ἡ λέγουσα, Χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν. » Καὶ, « Καρδία εὐφραινομένη εὐεκτεῖν ποιεῖ. » Καὶ ὁ Ἀπόστολος· « Χαίρετε ἐν Κυρίῳ πάντοτε, καὶ πάλιν ἐρῶ, χαίρετε. » Ἔχει δὲ καὶ ἐν τῷ Εὐαγγελίῳ· « Εὐφραν-

Θῆναι δὲ καὶ χαρῆναι δεῖ, φησὶν ὁ Πατὴρ, ὅτι ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησεν· ἀπολωλὼς ἦν καὶ εὑρέθη. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

HOMILIA CXIX.

Anxiam et intempestivam sollicitudinem esse vitandam.

Cura illa nimisquam anxia de his quæ temporariæ istius vitæ cernunt usum, hominis est plane infidi et pusillanimis. Neque enim sic solliciti in eum jam inclinamus in dubia spe, cui de nobis provida est cura, Deum nempe nostrum, sed in nosipsos reclinamus spem, de nobisipsis tantopere solliciti. Si enim visibilium curam bonorum quæ nobis benigne benignus impartit, non permittimus ejus fidei, quo pacto de invisibilibus, quæ alioqui se certo nobis promisit daturum, fidem illi commodabimus? Non hic consentaneus est ordo bona obtinendi, magis autem quæramus ipsius regnum, et hæc omnia adjicientur nobis, juxta ejusdem verbum[72]. Tanto sane præstiterit, inque rem nostram cedet felicius, si his, quæ nostra neutiquam sunt, contemptim transmissis, quæ proprie nostra sunt, tota alacritate expetemus, **1223** nempe incorruptionem et immortalitatem.

Incorrupti enim ubi jam et immortales fuerimus per purissimam speculationem, conspicua expleti Dei apparitione, quaquaversum illustrante nos et circumfundente radiantissimis illis splendoribus, ut olim discipulos in augustissima illa Christi transfi-

ΛΟΓΟΣ ΡΙΘ'.

Περὶ τοῦ μὴ μεριμνᾶν.

Ἡ τῶν βιωτικῶν πραγμάτων μέριμνα, ἀπίστου καὶ ὀλιγοψύχου ἀνθρώπου ἐστίν. Οὐκ ἔτι γὰρ εἰς τὸν μεριμνῶντα Θεὸν ἐλπίζομεν, ἀλλ' εἰς ἑαυτοὺς, καὶ περὶ ἡμῶν μεριμνῶμεν. Εἰ γὰρ τὰ ὁρώμενα, ἃ παρέχει ἡμῖν ὁ ἀγαθὸς Θεὸς ἀγαθὰ, οὐκ ἐμπιστεύομεν αὐτῷ, περὶ τῶν μὴ ὁρωμένων, ὧν ἐπηγγείλατο, πῶς ἐμπιστεύσωμεν αὐτῷ; Οὐ χρὴ δὲ οὕτως ἡμᾶς κρατεῖν, ἀλλὰ μᾶλλον τὴν αὐτοῦ βασιλείαν ζητήσωμεν, καὶ ταῦτα πάντα προστεθήσεται ἡμῖν, κατὰ τὸν λόγον αὐτοῦ· λυσιτελέστερον ἡμῖν ἐστιν, καταφρονεῖν τῶν μὴ ἡμετέρων, καὶ ὀρέγεσθαι τὰ ἡμέτερα, τὴν ἀφθαρσίαν καὶ τὴν ἀθανασίαν λέγω.

Ὅταν γὰρ ἄφθαρτοι γενώμεθα καὶ ἀθάνατοι, τῆς μὲν ὁρατῆς αὐτοῦ θεοφανίας ἐν πανάγνοις θεωρίαις ἀποπληρούμενοι, φανοτάταις ἡμᾶς μαρμαρυγαῖς περιαυγαζούσαις, ὡς τοὺς μαθητὰς ἐν ἐκείνῃ τῇ θειοτάτῃ μεταμορφώσει· τῆς δὲ νοητῆς αὐτοῦ φωτοδο-

[53] Prov. xxiv, 13. [54] Joan. xiv, 13, 15. [55] Psal. civ, 3. [56] Psal. xcvi, 12. [57] Psal. lxiii, 11. [58] Psal. cxlix, 2. [59] Psal. lxxxvi, 7. [60] Isa. lxii, 2. [61] Psal. ii, 10. [62] Eccle. v, 17. [63] Eccle. vii, 15. [64] Prov. xv, 13. [65] ibid. 30. [66] Matth. vi, 2. [67] Prov. xv, 30. [68] Philipp. ii, 17. [69] Prov. xv, 17. [70] Philipp. iv, 4. [71] Luc. xv, 42. [72] Matth. vi, 33.

σίας, ἐν ἀπαθεῖ καὶ ἀΰλῳ τῷ νῷ μετέχοντες, καὶ τῆς ὑπὲρ νοῦν ἑνώσεως, ἐν ταῖς τῶν περιφανῶν ἀκτίνων, ἀγνώστοις καὶ μακαρίοις ἐπιβουλαῖς ἐν θειοτέρᾳ μιμήσει τῶν ἐπουρανίων νοῶν· ἰσάγγελοι γὰρ, ὡς ὁ θεῖος λόγος, ἐφη, ἐσόμεθα, καὶ υἱοὶ Θεοῦ, τῆς ἀναστάσεως ὄντες υἱοί. » Καλῶς οὖν ὁ Ἐκκλησιαστὴς διαγορεύει, φήσας· « Γλυκὺς ὁ ὕπνος τῷ δούλῳ, εἰ ὀλίγον καὶ εἰ πολὺ φάγεται. » Καὶ ἐπάγει· « Ἔστιν ἀῤῥωστία ἣν ἶδον ὑπὸ τὸν ἥλιον, πλοῦτον φυλασσόμενον τῷ παρ' αὐτοῦ, εἰς κακίαν αὐτοῦ· καὶ ἀπολεῖται ὁ πλοῦτος ἐκεῖνος ἐν περισπασμῷ πονηρῷ· καί γε πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἐν σκότει, καὶ πένθει, καὶ θυμῷ πολλῷ καὶ ἀῤῥωστίᾳ· καὶ ὁ μόχθος αὐτοῦ εἰς ἄνεμον. Ὥσπερ γὰρ παρεγένετο γυμνὸς, οὕτως καὶ ἀπελεύσεται. Πολλάκις δὲ οὐκ ἐξουσιάσει αὐτῷ ὁ Θεὸς φαγεῖν ἀπ' αὐτοῦ, ἀλλ' ὁ ξένος φάγεται αὐτόν. Διότι πένης οἶδεν πορευθῆναι κατέναντι τῆς ζωῆς. » Καὶ ἄλλος· « Μὴ μεριμνήσῃς περὶ τοῦ αὔριον· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. » Καὶ πάλιν· « Μὴ δὴ καυχάσθω εἰς αὔριον. Οὐ γὰρ οἶδας τί σοι ἀπαντήσει· παρελεύσεται γὰρ ὁ βίος ἡμῶν, ὡς ἴχνη νεφέλης· σκιᾶς γὰρ ὁδὸς, ὁ καιρὸς ἡμῶν. Καὶ οὐκ ἔστιν ἀναποδισμὸς τελευτῆς ἀνθρώπου. » Ὁ δὲ Δαυὶδ· « Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει. Οὐ γὰρ ἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους· οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ, καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται. Τὴν γὰρ θήραν αὐτῆς εὐλογῶν, εὐλογήσω, καὶ τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτον. » Καὶ ὁ Πέτρος, « Πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιῤῥίψατε ἐπ' αὐτὸν, ὅτι αὐτῷ μέλει περὶ ὑμῶν. » Ὁμοίως καὶ ὁ Παῦλος, « Ὁ Κύριος, λέγων, ἐγγὺς, μηδὲν μεριμνᾶτε. Ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν. » Καὶ αὖθις· « Δυνατὸς δὲ ὁ Θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς· ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες περισσεύσητε εἰς πᾶν ἔργον ἀγαθόν. » Καὶ ὁ Κύριος, « Μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν, τί φάγητε, ἢ τί πίητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε· οἶδεν γὰρ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι χρῄζετε τούτων ἁπάντων· ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

guratione: participes autem intellectilis ipsius in nos effusæ lucis, consortes quoque unionis intellectum longe exsuperantis, in illis constituti nullidum cognitis ac beatis ejaculationibus sive vibramentis prænitentium radiorum, in diviniore cœlestium mentium felici imitatione. Tunc enim, ut divinum asseruit Verbum, angelis æquales erimus et filii Dei, resurrectionis, inquam, erimus filii. Eleganter sane concionatur Ecclesiastes: « Dulcis somnus servi, si parum et si multum comedet[73]. » Inducit: « Est infirmitas quam vidi sub sole: divitias conservantem, et hoc suo labore in malum sibi: et peribunt divitiæ illæ in occupatione malæ: et certe omnes dies ejus in tenebris et luctu et indignatione multa et infirmitate: et labor ejus in ventum transvolabit. Quemadmodum enim advenit nudus, sic et abibit: subinde vero potestatem non dabit illi Deus ut comedat de labore suo, sed vel extraneus comedet illius divitias. Propter quod pauper novit pergere obviam vitæ[74]. » Alius item: « Ne sollicitus sis de crastino, non enim scis quid crastina pariet dies[75]. » Iterum: « Noli gloriari in crastinum, neque enim scis quid tibi occurret: transibit enim vita nostra tanquam vestigia nubis. Umbræ enim via, tempus nostrum, et non est reversio finis hominis[76]. » David quoque: « Jacta super Dominum curam tuam, et ipse te enutriet[77]: non enim vidi justum derelictum, nec semen ejus quærens panes: non confundentur in tempore malo, sed in diebus famis saturabuntur. Venationem enim benedicens benedicam, pauperes ejus saturabo panibus[78]. » Petrus item: « Omnem sollicitudinem vestram projicite in eum, quia ipsi cura erit de vobis[79]. » Nec aliter Paulus: « Dominus prope est, nihil solliciti sitis, sed in omni oratione et obsecratione petitiones vestræ cum gratiarum actione innotescant apud Deum[80]. » Rursus: « Potens autem est Deus omnem gratiam superabundare facere in vobis, ut in omnibus omnem sufficientiam habentes, abundetis in omne opus bonum[81]. » Dominus item: « Nolite solliciti esse animæ vestræ quid manducetis aut quid bibatis, neque corpori vestro, quæ induamini: scit enim Pater vester cœlestis, quia his omnibus indigetis: quærite autem primum regnum cœlorum, et hæc omnia adjicientur vobis[82]. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΡΚ'.

Περὶ ἀπαρχῶν.

Περὶ τῶν ἀπαρχῶν, πᾶσι τρόποις κεχρεωστήκαμεν τὰ ἐκ τοῦ Θεοῦ τῷ Θεῷ προσφέρειν ἐκ τῶν ἰδίων καμάτων, καὶ ἐκ τῆς ἰσχύος, ἧς αὐτὸς ἐπιχορηγεῖ, καὶ ἐξ ὧν αὐτὸς προνοούμενος φροντίζει ἡμῶν, κατὰ τὴν Γραφήν· « Τίμα γὰρ, φησὶ, τὸν Κύριον, ἐκ σῶν πόνων δικαίων, καὶ ἀπάρχου αὐτῷ ἐκ σῶν καρπῶν δικαιοσύνης, ἵνα ἐμπιμπλῶνται τὰ ταμιεῖά σου πλη-

1224 HOMILIA CXX.

De primitiis.

Quantum attinet ad primitias, his exsolvendis modis omnibus obstringimur, ex his etiamnum quæ sunt proprio quæ sita labore, ex corporis viribus, quas benigne ipse suppeditat Dominus, quasque sua solius providentia suggerit, dum nostri providam agit curam, juxta Scripturæ tenorem dicentis: « Honora Dominum de tuis justis labori-

[73] Eccle. v, 11. [74] Eccle. vi, 8. [75] Isa. iv, 14. [76] Sap. ii, 5. [77] Psal. liv, 23. [78] Psal. xxxvi, 19. [79] I Petr. v, 7. [80] Philipp. iv, 5, 6. [81] II Cor. ix, 8, 9. [82] Luc. xii, 30, 31.

bus, et primitias offer ei de tuis fructibus justitiæ, ut impleantur horrea tua frumento[85]. » Lex quoque : « Non apparebis vacuus in conspectu meo[86]. » Et : « Primitias fructuum tuorum inferes Domino Deo tuo[87]. » Et : « Ne sis incredulus ei : nomen enim tuum in illo est. Primitias areæ et torcularis non tardabis reddere : donum primitiarum offeret hæc Domino[88]. » Et : « Offeres sacrificium primitivorum tuorum[89]. » Et : « Placationis hostiam offeret sacerdos pro peccato suo, et auferetur ab eo[90]. » Rursus : « Et obtulerunt principes dona sua ante altare[91]. » Ezechiel : « Omnis populus dabit primitias ei qui præsidet[92]. » Propter hoc Tobias dicebat : « Primitias fetuum meorum dabam sacerdotibus ante altare[93]. » Alius : « Non apparebis in conspectu meo vacuus[94]. » Hæc enim omnia propter mandatum da Altissimo, juxta datum ipsius, et multipliciter retribuet tibi. In bono oculo glorifica Deum, et ne imminuas decimas manuum tuarum. In omni dato hilarem fac vultum tuum, quia oblatio justi impinguat altare. Sed et præcepti istius observans David : « Introibo in domum tuam in holocaustis, reddam tibi vota mea quæ distinxerunt labia mea. Holocausta medullata offeram tibi cum incenso et arietibus, offeram tibi boves cum hircis[95]. » Idem hortatorio sermone alios submonens : « Afferte Domino, filii Dei, afferte Domino filios arietum[96]. » — « Tollite hostias et introite in atria ejus[97]. » Et : « Vovete et reddite Domino Deo nostro. Omnes qui in circuitu ejus afferent munera[98], » hoc est, qui propius adeunt illum. Apostolus : « Ut sim minister Jesu Christi in gentes administrans Evangelium Dei, ut fiat oblatio gentium acceptabilis, sanctificata in Spiritu sancto[99]. » Itaque, ut dixi, homo omnis primitias ac decimas offerre debet Domino Deo : nec ullus est qui prætexere possit ac tueri se velamine paupertatis. Nemo enim vidua illa pauperior uspiam invenitur, quæ duo minuta obtulit[100] : cæteris alioqui omnibus ampliorem retulit gratiam. Præcipue autem monachi offerre Deo debent primitias et decimas : **1225** nec eas modo quæ in conspicuo sunt ac propalam videntur, hoc est, ex iis quæ aliorum munere ipsis distribuuntur, aut ex opere manuum resiliunt commoda : sed et spirituales hostias, aut quarum oblatione gaudet tanto præ illis Deus. Offer totum te Deo in holocaustum per aram confessionis et lacrymarum. Id quod subindicat illud : « Boves cum hircis[101] : » comite quidem oratione, sed quæ sincera sit : et hæc evaporatio est fragrantis incensi. Offer ei pectoris tui partem intimam, illam nimirum quæ suapte natura est ad iracundiam proclivior. Offer duos renes, temperantiam videlicet; caput item cum pedibus, mentem nempe animæ portionem primiceriam una

σμονὴν σίτου. » Καὶ ὁ νόμος, « Οὐκ ὀφθήσῃ. λέγων, ἐνώπιόν μου κενός. » — « Τὰς ἀπαρχὰς τῶν γεννημάτων σου οἴσεις εἰς οἶκον Κυρίου τοῦ Θεοῦ σου. » Καὶ, « Μὴ ἀπείθει αὐτῷ· τὸ γὰρ ὄνομά σου ἐστὶν ἐπ' αὐτῷ. Ἀπαρχὴν ἅλωνος καὶ ληνοῦ, οὐ καθυστερήσεις. Δῶρον ἀπαρχῆς προσοίσεται αὐτὰ Κυρίῳ. » Καὶ, « Προσοίσεις θυσίαν τῶν προγεννημάτων σου· » Καὶ, « Ἐξιλάσεται ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ, καὶ ἀφεθήσεται αὐτῷ. » Καὶ αὖθις, « Προσήνεγκαν, φησὶν, οἱ ἄρχοντες τὰ δῶρα αὐτῶν ἀπέναντι τοῦ θυσιαστηρίου. » Λέγει δὲ καὶ Ἰεζεκιήλ· « Πᾶς ὁ λαὸς δώσει τὴν ἀπαρχὴν τῷ ἀφηγουμένῳ. » Διὰ τοῦτο καὶ ὁ Τωβίας ἔφασκεν· « Τὰς ἀπαρχὰς τῶν γεννημάτων μου ἐδίδουν τοῖς ἱερεῦσι εἰς τὸ θυσιαστήριον. » Καὶ ἄλλος· « Μὴ ὀφθήσῃ ἐνώπιον Κυρίου κενός. » Ταῦτα γὰρ πάντα χάριν ἐντολῆς δὸς Ὑψίστῳ· καὶ κατὰ τὴν δόσιν αὐτοῦ, καὶ ἐπταπλασίονα ἀνταποδώσει σοι. Ἐν ὀφθαλμῷ ἀγαθῷ δόξασον τὸν Θεόν· καὶ μὴ σμικρύνῃς ἀπαρχὴν χειρῶν σου. Ἐν πάσῃ δόσει ἱλάρωσον τὸ πρόσωπόν σου, ὅτι προσφορὰ δικαίου λιπαίνει θυσιαστήριον. Ὁ δὲ ἐντολοφύλαξ Δαυὶδ, « Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, φησὶ, ἐν ὁλοκαυτώμασιν ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλεν τὰ χείλη μου. Ὁλοκαυτώματα μεμυελωμένα ἀνοίσω σοι, μετὰ θυμιάματος καὶ κριῶν· ἀνοίσω σοι βόας μετὰ χειμάρρων. » Καὶ ἄλλος δὲ προτρεπτικῷ λόγῳ· « Ἐνέγκατε τῷ Κυρίῳ, υἱοὶ Θεοῦ· ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν. Ἄρατε θυσίας, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ. » Καὶ, « Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν. » Καὶ πάλιν, « Πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα. » τουτέστιν οἱ ἐγγίζοντες αὐτῷ. » Καὶ ὁ Ἀπόστολός φησιν, Εἰς τὸ « εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ, εἰς τὰ ἔθνη ἱερουργοῦντα τὸ Εὐαγγέλιον τοῦ Θεοῦ, ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν Πνεύματι. » Πάντες μὲν οὖν οἱ ἄνθρωποι, ὡς ἔφην, χρεωστοῦμεν ἀπαρχὰς καὶ δεκάτας προσφέρειν τῷ Θεῷ· καὶ μηδεὶς προβαλέσθω πενίαν. Οὐ γὰρ εὑρίσκεται πτωχότερος τῆς τὰ δύο λεπτὰ προσενεγκούσης χήρας, καὶ πλείω πάντων προσδεχθείσης. Ἐξαιρέτως δὲ, οἱ μοναχοὶ χρεῶσταί εἰσιν προσφέρειν τῷ Θεῷ ἀπαρχὰς, καὶ δεκάτας, οὐ μόνον τὰς φαινομένας ταύτας, τουτέστιν, ἐξ ὧν καὶ αὐτοὶ ἀπὸ ἄλλων οἰκονομοῦνται, καὶ ἐκ τοῦ ἔργου τῶν χειρῶν, ἀλλὰ πνευματικὰς θυσίας, αἷς καὶ μᾶλλον χαίρει ὁ Θεός· ὁλοκαύτωσον σεαυτὸν ὅλον τῷ Θεῷ, διὰ βωμῶν ἐξομολογήσεως καὶ δακρύων, ὅπερ σημαίνει, « Βόας μετὰ χειμάρρων. » Διὰ καθαρᾶς προσευχῆς ὅπερ ἐστὶν τὸ θυμίαμα, προσένεγκαι αὐτῷ τὸ στηθήνιον, τὸ θυμικὸν, καὶ τὸν λοβὸν τοῦ ἥπατος, τὸ ἐπιθυμητικὸν, καὶ τοὺς δύο νεφροὺς, τὴν σωφροσύνην· κεφαλὴν σὺν τοῖς ποσὶν, τὸν ἡγεμόνα νοῦν σὺν ταῖς πράξεσιν τῆς εἰς ζωὴν φερούσης ὁδοῦ. Πᾶσαν ἔννοιαν, πᾶσαν πρᾶξιν, καὶ κίνησιν, καὶ θεωρίαν ἀνάθου τῷ Θεῷ ἐν πνεύματι συντετριμμένῳ καὶ τε-

[85] Deut. XII, 6. [86] Exod. XXIII, 15. [87] ibid. 23. [88] Exod. XXII, 29. [89] Levit. II, 12. [90] Levit. IV, 26. [91] Num. VII, 10. [92] Ezech. XLV, 16. [93] Tob. I, 6. [94] Exod. XXIII, 34. [95] Psal. LXV, 13, 15. [96] Psal. XXVIII, 1. [97] Psal. XCV, 8. [98] Psal. LXXV, 12. [99] Rom. XV, 16; I Thess. III, 2. [100] Luc. XXI, 2-4. [101] Psal. LXV, 15.

ταπεινωμένῳ· Ἐὰν οὕτως ὁλακαυτώσῃς σεαυτὸν τῷ Θεῷ, ἀποκαθαίρῃ μὲν τὰς λέπρας τῶν ἀκαθάρτων παθῶν, γίνῃ δὲ θυσιαστήριον καὶ ναὸς τοῦ ἁγίου Πνεύματος, καὶ ἀκούεις· « Ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, » τῷ Χριστῷ, « καὶ προσένεγκαι τὸ δῶρον, ὃ προσέταξέν σοι τῷ ἐν πνεύματι Ἰουδαίῳ « ὁ Μωσῆς, εἰς μαρτύριον, » ἧς ἔτυχες υἱοθεσίας. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A cum operationibus viæ, sive conversationis recta ad vitam provehentis; omnem offer animi conceptionem, da illi opera omnia, et motum corporis atque contemplationem Deo consecrandam transcribe corde contrito. Teipsum si sic in holocaustoma obtuleris Deo, lepram animæ tuæ pressius adhærescentem, obscenas nimirum passiones expurgabit: efficiere autem tu altare, imo templum Spiritus sancti. Audies dici tibi: « Vade, ostende teipsum sacerdoti » qui Christus est, « et offer munus quod præcepit Moyses, » ei qui in spiritu Judæus est, « in testimonium [1] » ejus adoptionis quam assecutus es. Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΡΚΑ'.

Περὶ ἐξιλασμοῦ.

Δέον ἐστὶν τὸν ἱερέα πρῶτον ὑπὲρ ἑαυτοῦ ἐξιλεώσασθαι τὸν Θεὸν, καὶ οὕτως ὑπὲρ τοῦ λαοῦ. Εἶτα κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου λέγοντος· « Καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου, καὶ τότε τὸ ἐκτός. » Πῶς γὰρ δύναταί τις ἱλεωποιήσασθαι τὸν Θεὸν ὑπὲρ ἄλλου, εἰ μὴ πρῶτον ὑπὲρ ἑαυτοῦ; τοῦτο γὰρ καὶ νόμιμόν ἐστιν, καθὼς φησιν ὁ Μωϋσῆς πρὸς Ἀαρὼν, τὸν ἀδελφὸν αὐτοῦ· « Προσένεγκαι τὸ ὁλοκαύτωμά σου, καὶ ἐξιλάσῃ περὶ αὐτοῦ καὶ τοῦ οἴκου σου, καὶ ποιήσεις τὰ δῶρα περὶ τοῦ λαοῦ, καὶ ἐξιλάσῃ περὶ αὐτοῦ· » δῆλον δὲ ὅτι ὅτε ἑαυτὸν ἐκάθαιρεν, καὶ τοὺς οἰκείους, τότε λοιπὸν ἐξάρας Ἀαρὼν τὰς χεῖρας εὐλόγησεν τὸν λαόν. Ὁ δὲ Ἰεζεκιὴλ, περὶ τῶν ἱερέων ἔφησεν οὕτως, « Οἶνον μὴ πίωσιν πᾶς ἱερεὺς, ἐν τῷ εἰσπορεύεσθαι αὐτοὺς εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν. » Καὶ ὁ Ἀπόστολος· « Ὥσπερ οἱ ἀρχιερεῖς, φησὶν, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρουσιν, ἔπειτα ὑπὲρ τῶν τοῦ λαοῦ ἀγνοημάτων. » — « Ὁ νόμος γὰρ, φησὶν, καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν. » Καὶ αὖθις· « Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεὸν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, μετριοπαθεῖν δυνάμενος, τοῖς ἀγνοοῦσιν καὶ πλανωμένοις. Ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν, καὶ διὰ ταύτην ὀφείλει καθὼς ὑπὲρ τοῦ λαοῦ οὕτως καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν. » Δεῖ οὖν, ὡς εἴρηται, τὸν καλούμενον ὑπὸ τοῦ Θεοῦ, εἰς τὸ προσφέρειν δῶρα καὶ θυσίας ὑπὲρ τοῦ λαοῦ, πρῶτον τὴν ἑαυτοῦ ψυχὴν καὶ τὸ σῶμα καθαρίσαι ἀπὸ ὅλου τοῦ παλαιοῦ ἀνθρώπου, εἶθ' οὕτως τολμῆσαι τὰς ὑπὲρ ἄλλων πρεσβείας προσφέρειν τῷ Θεῷ· καὶ μιμεῖσθαι τὸν μέγαν ἀρχιερέα Ζαχαρίαν τὸν πατέρα τοῦ Προδρόμου. « Ἦν γὰρ, φησὶν, δίκαιος, πορευόμενος ἐν πάσαις ταῖς ἐντολαῖς καὶ τοῖς δικαιώμασιν τοῦ Κυρίου ἀμέμπτως. Ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν, εἰσῆλθεν τοῦ θυμιάσαι εἰς τὸν ναὸν, καὶ ἦν πᾶν τὸ πλῆθος ἔξω • προσευχόμενον ἐν τῷ καιρῷ τοῦ θυμιάματος. Ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου· καὶ εἶπεν· « Μὴ φοβοῦ, Ζαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς

HOMILIA CXXI.

De propitiatione seu placatione.

ducere salutem, ut ne vel tantillo tempore excludamur Sponsi aditu : Sponsi (inquam) desiderabilis adeo modisque omnibus expetendi fruitione spoliemur? Ut cum fores ictibus crebro repetitis pulsaverimus, nullo nostro fructu desideamus, suspiriose per hanc nostram ignaviam ingemiscentes? Quin potius (fratres mei) alacriore utamur studio, et in id toti incumbamus ut aliquando detur apprehendere supremam illam arcem, imo civitatum omnium matrem nostram sublimem illam Jerusalem, quæ sane omnium nostrum mater est, ac regio felicissime viventium : in qua lux suos quaquaversum evibrat et ejaculatur radios, inexstinguibilis fax refulget, ubi oculus pervigil non dormitat, bonorumque nullo fine intercipiendorum largitor Deus. Si igitur (dilectissimi) cum timore, ardenti desiderio, simul et comite fiducia accedentes, tam clementi Domino prociderimus, illic contemplari licebit naturam omnem angelorum, archangelorum, virtutum et potestatum, denique bona ineffabilia quæ diligentibus Deum initio statim conditi sæculi conservata sunt. Quotquot enim cœlestem illam Jerusalem ex animo dilexerunt, ex ea succum lactis exsugent, oblectabuntque se ab uberibus consolationis ejus, et abunde se proluent ac invitabunt torrente voluptatis. Ipsi igitur accollemur et adhærescamus, ei qui dixit :« Appropinquate mihi, et appropinquabo vobis [74]. » Ad illum nos recipiamus qui legem sanxit : « Si audieritis vocem meam, eritis mihi populus peculiaris, regale sacerdotium, gens sancta, et sanctificabimini, et eritis mihi sancti, quia ego sanctus Dominus Deus vester [75]. » Et : « Te prælegi mihi ipsi in populum peculiarem præter omnes gentes [76]. » Sapientia proinde ait : « Accedite ad me qui concupiscitis me, et a generationibus meis implemini [77]. » Et : « Memoria mei super mel dulcis, qui edunt me, adhuc esurient, et qui bibunt me, adhuc sitient : nam qui audit me, nunquam confundetur [78]. » Iterum : « Venite, comedite panem meum, et bibite vinum quod miscui vobis : derelinquite stultitiam ut vivatis, et quærite in cognitionem intelligentiam [79]. » David item : « Accedite ad eum et illuminamini, et facies vestræ non confundentur [80]. » Apostolus quoque : « Si igitur consurrexistis cum Christo, quæ sursum sunt quærite, ubi Christus in dextra Dei sedens est [81]. »

1236 Inducit : « Itaque non jam estis hospites et advenæ, sed concives sanctorum et domestici Dei [82]. »— « Accedamus igitur cum fiducia ad thronum gratiæ, ut accipiamus misericordiam, et inveniamus gratiam in auxilio opportuno [83]. » Dominus noster, hominum amator ac salvans nos ultro ad se advocat, dicens : « Venite ad me, omnes qui laboratis et onerati estis, et ego reficiam vos, tollite jugum meum super vos, et discite a me quia mitis sum et humilis corde, et invenietis requiem animabus vestris : jugum enim meum suave est, et onus meum leve est [84]. » Sed et illud : « Venite post me, et faciam vos piscatores fieri hominum [85]. » Ipsi gloria in sæcula. Amen.

πολλὰ κρούσαντες, ἄπρακτοι μείνωμεν στενάζοντες ἀνόνητα. Ἀλλὰ μᾶλλον, ἀδελφοί, τῇ σπουδῇ χρησώμεθα, ἵνα καταλάβωμεν τὴν ἀκρόπολιν· μᾶλλον δὲ τὴν ἡμῶν μητρόπολιν τὴν ἄνω Ἰερουσαλήμ, ἥτις ἐστὶν μήτηρ πάντων ἡμῶν, τὴν τῶν ζώντων χώραν· ἐν ᾗ τὸ φῶς τῆς ζωῆς καταυγάζει, ὁ ἄσβεστος λαμπτήρ, ὁ ἀκοίμητος ὀφθαλμὸς, ὁ τῶν αἰωνίων ἀγαθῶν χορηγός. Ἐὰν οὖν, ἀγαπητοὶ, μετὰ φόβου καὶ πόθου, καὶ παῤῥησίας προσέλθωμεν τῷ ἀγαθῷ ἡμῶν Δεσπότῃ, ἐκεῖ ὀψόμεθα πᾶσαν φύσιν ἀγγέλων τε καὶ ἀρχαγγέλων, καὶ δυνάμεων, καὶ ἐξουσιῶν, καὶ τὰ ἀπ' αἰῶνος τετηρημένα ἀῤῥητα ἀγαθὰ τοῖς ἀγαθοῖς αὐτοῦ. Ὅσοι γὰρ ἐρασταὶ γεγόνασι τῆς ἄνω Ἰερουσαλὴμ, ἐξ αὐτῆς θηλάσουσιν καὶ τρυφήσουσιν ἀπὸ μασθῶν παρακλήσεως αὐτῆς, καὶ ἐκ τοῦ χειμάῤῥου τῆς τρυφῆς ποτισθήσονται. Αὐτῷ οὖν κολληθῶμεν τῷ φήσαντι, « Ἐγγίσατέ μοι, καὶ ἐγγιῶ ὑμῖν. » Εἴξωμεν τῷ νομοθέτῃ τῷ φάσκοντι, « Ἐὰν ἀκούσητε τῆς φωνῆς μου, ἔσεσθέ μοι λαὸς περιούσιος, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, καὶ ἁγιασθήσεσθε, καὶ ἔσεσθέ μοι ἅγιοι, ὅτι ἐγὼ ἅγιος Κύριος ὁ Θεὸς ὑμῶν. » Καὶ, « Σὲ προειλάμην ἐμαυτῷ, λαὸν περιούσιον, παρὰ πάντα τὰ ἔθνη. » Ἡ δὲ Σοφία φησὶν, « Προσέλθετε πρός με, οἱ ἐπιθυμοῦντές με, καὶ ἀπὸ τῶν γεννημάτων μου ἐμπλησθήσεσθε. » — « Τὸ γὰρ μνημόσυνόν μου, ὑπὲρ μέλι, γλυκύ. Οἱ ἐσθίοντές με, ἔτι πεινάσουσιν· οὐκοῦν καὶ οἱ πίνοντές με, ἔτι διψήσουσιν. Ὁ ὑπακούων μου, οὐκ αἰσχυνθήσεται διὰ παντός. » Καὶ πάλιν· « Δεῦτε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε τὸν οἶνόν μου, ὃν κεκέρακα ὑμῖν· ἀπολείπετε ἀφροσύνην, καὶ ζήσεσθε. Καὶ ζητεῖτε ἐν γνώσει σύνεσιν, » [ἵνα βιώσητε.] Καὶ ὁ Δαυὶδ· « Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. » Καὶ ὁ Ἀπόστολος· « Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. » Καὶ ἐπάγει· « Ἄρα οὖν οὐκ ἔτι ἐστὲ ξένοι, καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων, καὶ οἰκεῖοι τοῦ Θεοῦ. Προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεος, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν. » Ὁ δὲ φιλάνθρωπος Σωτὴρ, καὶ ὁ Κύριος ἡμῶν προσκαλεῖται ἡμᾶς, λέγων· « Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. » Καὶ τό· « Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων γενέσθαι. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

[74] Jac. IV, 8. [75] Levit. XX, 7, 26 ; Num. XV, 40 ; I Petr. I, 16 ; II, 9. [76] Deut. VII, 6. [77] Eccli. XXIV, 26. [78] Eccli. XXVII, 29. [79] Prov. IX, 5, 6. [80] Psal. XXXIII, 6. [81] Coloss. III, 1, 2. [82] Ephes. II, 20. [83] Hebr. IV, 16. [84] Matth. XI, 28-30. [85] Matth. IV, 19.

ΛΟΓΟΣ ΡΚΖ'.

Περὶ φόβου τοῦ Θεοῦ.

Ὁ ἔχων τὸν φόβον τοῦ Θεοῦ ἐν ἀληθείᾳ, ῥᾳδίως ἔρχεται εἰς τὴν τελείαν ἀγάπην τοῦ Θεοῦ, καὶ γίνεται μαθητὴς καὶ φίλος τοῦ Χριστοῦ. « Ὑμεῖς γάρ, φησίν, πεφιλήκατέ με. » Καὶ ὁ τοιοῦτος τὴν ἁγνείαν ἐγκομβοῦται ἐν τῷ μέρει τούτῳ, τάς τε τοῦ κόσμου μερίμνας, καὶ ἀπάτας, καὶ ἡδονάς, καὶ κραιπάλας καὶ μέθας, καὶ συγχύσεις Βαβυλῶνος, καὶ πάντα τὰ βιωτικὰ ἠρνήσατο, καὶ ἀπετάξατο τῷ κόσμῳ καὶ τοῖς τοῦ κόσμου δικτύοις καὶ συμπλοκαῖς ἢ παγίσι, καὶ ἐπὶ γῆς βαδίζων τὸ πολίτευμα ἐν οὐρανοῖς ἠγάπησεν ἔχειν. Τῶν γὰρ κρειττόνων ὀρεγόμενος, τῷ κόσμῳ ἀπετάξατο, ἵνα ζήσῃ βίον θεῖον, οὐράνιον, ἀγγελικόν, ἐν θρησκείᾳ καθαρᾷ καὶ ἀμιάντῳ καὶ ἁγίᾳ, ἐν Πνεύματι Θεοῦ· Θεῷ λατρεύων τῷ παντοκράτορι, διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, δι' ἣν καὶ ἀπέθετο τὴν τοῦ κόσμου φροντίδα. « Φοβήθητι γάρ, φησίν, τὸν Κύριον, καὶ φύλασσε τὰς ἐντόλας αὐτοῦ. » Φυλάσσων δὲ τὰς ἐντολὰς τοῦ Θεοῦ, ἔσῃ δυνατὸς ἐν πάσῃ πράξει. Καὶ ἡ πρᾶξίς σου ἀσύγκριτος ἔσται. Φοβούμενος γὰρ τὸν Κύριον, πάντα καλῶς ἐργάσῃ. Οὗτός ἐστιν ὁ φόβος, ὃν δεῖ σε φοβηθῆναι, καὶ σωθήσῃ. Τὸν δὲ διάβολον μὴ φοβηθῇς· φοβούμενος γὰρ τὸν Κύριον, κατακυριεύσεις τοῦ διαβόλου, ὅτι δύναμις οὐκ ἔστιν ἐν αὐτῷ. Ἐν ᾧ δὲ δύναμις οὐκ ἔστιν, οὐδὲ φόβος· ἐν ᾧ ἡ δύναμις ἡ ἔνδοξος, καὶ ὁ φόβος ἐν αὐτῷ. Πᾶς γὰρ ὁ δύναμιν ἔχων, καὶ φόβον ἔχει. Ὁ δὲ μὴ ἔχων δύναμιν, ὑπὸ πάντων καταφρονεῖται. Φοβήθητι δὲ τὰ ἔργα τοῦ διαβόλου, ὅτι πονηρά εἰσι. Φοβούμενος δὲ τὸν Κύριον, οὐ φοβηθήσῃ τὰ ἔργα τοῦ διαβόλου, καὶ οὐκ ἐργάσῃ αὐτά· ἀλλὰ φεύξῃ ἀπ' αὐτῶν. Δισσοί οὖν εἰσιν οἱ φόβοι. Εἰ οὐ θέλῃς τὸ πονηρὸν ἐργάζεσθαι, φοβήθητι τὸν Κύριον, καὶ οὐκ ἐργάζῃ αὐτό. Ἐὰν δὲ θέλῃς πάλιν τὸ ἀγαθὸν ἐργάσασθαι, φοβήθητι τὸν Κύριον, καὶ ἐργάζῃ αὐτό. Ὥστε ὁ φόβος τοῦ Κυρίου ἰσχυρότερός ἐστι, καὶ ἔνδοξος. Καὶ ὅσοι ἂν φοβηθῶσιν αὐτὸν καὶ τηρήσωσι τὰς ἐντολὰς αὐτοῦ, ζήσονται τῷ Θεῷ. Ἐπεὶ καὶ πᾶσα κτίσις φοβεῖται αὐτόν, τὰς δὲ ἐντολὰς αὐτοῦ οὐ φυλάσσει. Τῶν οὖν φοβουμένων αὐτὸν καὶ φυλασσόντων τὰς ἐντολὰς αὐτοῦ, ἐκείνων ἡ ζωὴ ἔστιν παρὰ τῷ Θεῷ. Ὁ γὰρ φόβος τοῦ Θεοῦ ἀναγκάζει ἡμᾶς πολεμεῖν τῇ κακίᾳ. Ἡμῶν δὲ πολεμούντων, ἡ χάρις τοῦ Κυρίου ἀναιρεῖ αὐτήν. Οὐ δύναται δέ τις εἰς φόβον Κυρίου ἐλθεῖν, ἐὰν μὴ πασῶν τῶν βιωτικῶν φροντίδων ἔξω γένηται, καθὼς εἴρηται· ὅταν γὰρ ἐν ἡσυχίᾳ καὶ ἀμεριμνίᾳ γένηται ὁ νοῦς, τότε ἐνοχλεῖ αὐτῷ ὁ φόβος τοῦ Θεοῦ, φέρων αὐτὸν εἰς πολλὴν ἀγάπην τῆς ἀγαθότητος τοῦ Θεοῦ. Τοῖς γὰρ ἀγωνιζομένοις εἶδός τι φέρει ἁγνισμοῦ ὁ φόβος. « Ὁ γὰρ φόβος Κυρίου, φησίν, ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος. » Φόβος Κυρίου, γεννήτωρ φρονήσεως· ὁ τὸν ἕνα εὐλαβούμενος, οὐ δειλιάσει τοὺς πολλούς. Μᾶλλον δὲ αὐτὸν διὰ τὸν ἕνα πολλοὶ φοβηθήσονται. « Ἐὰν γάρ, φησίν, φοβηθῆτε Κύριον τὸν Θεὸν ὑμῶν, καὶ ἀκού-

HOMILIA CXXVII.

De timore Dei.

Quisquis sinceriter Deum timet, non multo admodum negotio ad perfectionem provehitur divinæ charitatis, eoque efficitur Christi et discipulus et amicus. Ait enim : « Vos me amastis [86]. » Qui ejusmodi est, utique ineluctabili nexu is astringit sibi munditiam in castissimo timore Domini. [Qui verissimo Domini timore ceu clavis confixit effrenes carnis motus, ab illo eximitur timore : Crescite et multiplicamini [87] : vitabit proinde et illud, ut ne ulla ex parte debeat in hominum descendere familiaritatem.] Mundi istius defugit jam sollicitam anxietatem, imposturas, voluptates, crapulæ et ebrietatis intemperiem omnem : omnimodam insuper Babylonicæ confusionis fugam antevertit abyssum. Vitæ istius suaviter traducendæ renuntiavit illecebris : mundo quoque vale supremum dixit, cujus et retia perrupta, congressus mire implexos evasit et pedicas. In terra tametsi ambulat, re ipsa declarat se complexum esse conversationem quæ in cœlis est: Cum enim longe istis feliciora expetat, nihil est quod cunctetur renuntiare istius mundi lenociniis, nimirum vitam ut vivat divinam, cœlestem, angelicam in observatione sinceræ prorsus religionis intemeratæ ac sanctæ, in Spiritu Dei, latriam exhibens omnipotenti Deo propter cœlorum regnum, cujus gratia supercilium omne posuit mundanæ istius prudentiæ. « Time enim, ille ait, Dominum, et custodi mandata ejus [88]. » Sane Dei mandata si custodieris, eris utique in omni operatione potens, operatioque tua incomparabiliter succedet. Dominum enim si timueris, nihil non decore conficies. Hic plane timor est, quo necesse sit ut timeas et salutem consequare : diabolum proinde nihil timueris. Dominum enim qui timet, adversus diabolum prævalebit : nihil enim huic superest. Vim utcunque qui habet adversus illum, utique habet et Dei timorem : is enim cum nihil obtineat virium, omnium patet despicatui et contemnitur. Est tamen quod timeas, opera nempe diaboli : maligna enim sunt. **1237** Timore porro Domini munitus, quid est quod commenta fraudesque veteratorias timeas diaboli? Illius opera nequaquam adeo designabis, ut non ab eis resilias quam longissime. Atqui timoris species duplex est. Si itaque cupies nihil admittere quod malignum sit ac reprobum, time Dominum, et ne opereris illud. Dominum itaque qui timet fortis utique et gloriosus. Nam quanticunque eum timuerint, observantesque fuerint mandatorum ipsius, placent Deo. Etenim creatura omnis ipsius cum sit, eum veretur ac timet; non item omnis custodit illius mandata. Illorum sane vita apud Deum reposita est, quotquot eum reverenter timent et ejus mandata explent opere. Ipse

[86] Joan. xvi, 27. [87] Gen. i, 28 et alibi. [88] Eccli. xii, 13.

timor Domini necessitatem nobis imponit cominus conserendi cum vitiis. Nobis strenue deprælliantibus gratia Domini malitiam omnem ad internecionem usque intercidit. Non autem potest quis ad Dei timorem pertingere, ni prius desciscat ab omni vitæ istius temporariæ sollicitudine, juxta superiorem sententiam. Cum enim mens resederit ab omni intemperie, secura rei mundialis, tunc timor ille Dei sic requieto plurimum facessit negotii, quo eumdem promovet ad exuberantem divinæ benignitatis amorem. Serio decertantibus in agone spirituali ipse timor expressam etiamnum imaginem asserit sanctimoniæ et puritatis : « Timor Domini sanctus (ait David), permanens in sæculum sæculi [89]. » Timor Domini prudentiæ est parens. Unum aliquem si tuetur, et observat, nihil hic quamlibet multos timebit : potius ob hunc unum multi exterrebuntur, vel teste Scriptura : « Si timueritis Dominum Deum vestrum, et audieritis vocem ejus, nemo contra vos stabit ante faciem vestram, sed timor vester ac tremor erit super omnes gentes [90]. » Denuo adhortatur dicens : « Dominum Deum timebis, et ei adhærebis [91]. » Rursus : « Quis dabit, ut sit sic cor populi, ut timeat omnia mandata mea, ut bene sit ei [92] ? » Et quidem hæc habet lex. Sed et propheta Michæas : « Et orietur vobis timentibus Dominum Sol justitiæ, et egrediemini et salietis quasi vituli a vinculis relaxati [93]. » Parœmiastes item : « Initium sapientiæ timor Domini, et propugnaculum sancti [94] ; timor Domini fons vitæ, ut faciat declinare a laqueo mortis [95]. » Iterum : « Beatus, cui donatus est timor Domini [96]. » — « Timor Domini ad vitam viro [97]. » — « Timor Domini delectabit cor, et dabit lætitiam et gaudium [98]. » — « Timor Domini donum est a Domino [99] ; timenti enim Dominum bene erit in novissimis, et in diebus defunctionis ipsius benedicetur [1]. » — « Plenitudo sapientiæ est timere Dominum, et inebriabit eos de fructibus suis [2]. » Iterum : « Concupivisti sapientiam ? Serva mandata, et Dominus dabit eam tibi [3]. » — « Qui timent Dominum, nihil verebuntur aut expavescent, quia ipse spes illorum est [4]. » David : « Os justi meditabitur sapientiam, et **1238** lingua ejus loquetur judicium [5]. » — « Quia secundum altitudinem cœli a terra corroboravit Dominus misericordiam suam super timentes se [6]. » Et : « Voluntatem timentium se faciet, et deprecationem eorum exaudiet et salvos faciet eos [7] » Et : « Firmamentum Dominus timentium se, et testamentum suum manifestabit eis ; ecce enim oculi Domini super timentes eum [8]. » Idem de seipso : Lætetur cor meum, et timeat nomen tuum [9]. » Afflatus quoque aura Spiritus sancti, ait : « Particeps ego sum omnium timentium te, et custodientium mandata tua [10]. » Jacobus autem : « Quæ desursum est sapientia, primum quidem pudica est, deinde pacifica, modesta, suasibilis, plena misericordia et fructibus bonis, absque dijudicatione, sine simulatione ; fructus autem justitiæ in pace

σητε τῆς φωνῆς αὐτοῦ, οὐκ ἀντιστήσεται οὐδεὶς κατὰ πρόσωπον ὑμῶν. Καὶ ὁ τρόμος ὑμῶν ἔσται ἐπὶ πάντα τὰ ἔθνη. » Καὶ πάλιν παρακελεύεται λέγων· « Κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ πρὸς αὐτὸν κολληθήσῃ. » Καὶ αὖθις· « Τίς δώσει οὕτως εἶναι τὴν καρδίαν τοῦ λαοῦ, ὥστε φοβεῖσθαι πάσας τὰς ἐντολάς μου, ἵνα εὖ ᾖ αὐτῷ ;! » Ταῦτα μὲν ὁ νόμος. Φησὶν δὲ καὶ ὁ προφήτης Μιχαίας· « Καὶ ἀνατελεῖ ἡμῖν τοῖς φοβουμένοις τὸν Κύριον, Ἥλιον δικαιοσύνης. Καὶ ἐξελεύσεσθε, καὶ σκιρτήσετε ὡς μοσχάρια ἀνειμένα ἐκ δεσμῶν. » Ὁ δὲ Παροιμιαστής, « Ἀρχὴ σοφίας, φόβος Κυρίου, καὶ ὀχύρωμα ὁσίου· φόβος Κυρίου, πηγὴ ζωῆς· ποιεῖ δὲ ἐκκλῖναι ἐκ παγίδος θανάτου. » Καὶ πάλιν· « Μακάριος ᾧ δεδώρηται φόβος Κύριου· φόβος Κυρίου εἰς ζωὴν ἀνδρί· φόβος Κυρίου τέρψει καρδίαν, καὶ δώσει εὐφροσύνην καὶ χαράν· φόβος Κυρίου δόσις παρὰ Κυρίου. Τῷ φοβουμένῳ γὰρ τὸν Κυριον εὖ ἔσται ἐπ' ἐσχάτων, καὶ ἐν ἡμέραις τελευτῆς αὐτοῦ εὐλογηθήσεται. Πλησμονὴ σοφίας, φοβεῖσθαι Κύριον, καὶ μεθύσει αὐτοὺς ἀπὸ τῶν καρπῶν αὐτῆς. » — « Ἐπεθύμησας σοφίαν· διατήρησον ἐντολάς, καὶ ὁ Κύριος χορηγήσει σοι αὐτήν. Οἱ φοβούμενοι τὸν Κύριον οὐδὲν εὐλαβηθήσονται, καὶ οὐ μὴ δειλιάσουσιν, ὅτι αὐτὸς ἐλπὶς αὐτῶν. » Καὶ ὁ Δαυΐδ· « Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν. Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. » Καὶ, « Τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς. » Καὶ, « Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν· καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτούς. Ἰδοὺ γὰρ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν. » Καὶ περὶ ἑαυτοῦ, « Εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου. » Καὶ τὸ ἀγαθὸν Πνεῦμα· « Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. » Ὁ δὲ Ἰάκωβος· « Ἡ δὲ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνική, ἐπιεικής, εὐπειθής, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν, ἀδιάκριτος, ἀνυπόκριτος· καρπὸς δὲ δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν εἰρήνην. » Καὶ ὁ Πέτρος, « Ἐν παντὶ ἔθνει ὁ φοβούμενος τὸν Κύριον, καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστιν. » Ὁ δὲ Κύριος· « Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. Φοβήθητε δὲ μᾶλλον τὸν μετὰ τὸ ἀποκτεῖναι ἔχοντα ἐξουσίαν τὴν ψυχὴν καὶ τὸ σῶμα ἀπολέσαι ἐν γεέννῃ. » Ναὶ λέγω ὑμῖν, αὐτὸν φοβήθητε. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

[89] Psal. xviii, 10. [90] Exod. xxiii, 22. [91] Levit. xix, 32. [92] Deut. xiii, 11. [93] Malach. iv, 2. [94] Prov. i, 7 ; Eccli. i, 18. [95] Prov. xiv, 27. [96] Psal. iii, 1. [97] Prov. xix, 23. [98] Eccli. i, 12. [99] Eccli. xxv, 15. [1] Eccli. i, 13. [2] Eccli. i, 20. [3] ibid. 33. [4] Eccli. xxxiv, 16. [5] Psal. xxxvi, 30. [6] Psal. ciii, 11. [7] Psal. cxliv, 19. [8] Psal. xxiv, 14, 15. [9] Psal. lxxxv, 11. [10] Psal. cxviii, 63.

seminatur facientibus pacem [11]. » Petrus vero : « In omni gente qui timet Dominum et operatur justitiam, acceptus est ei [12]. » Dominus item : « Nolite timere eos qui corpus occidunt, animam autem non possunt occidere : timete autem magis eum, qui postquam occiderit corpus, habet potestatem et animam et corpus perdendi in gehennam [13]. » Certe dico vobis, eum timete. Ipsi gloria in sæcula, Amen.

ΛΟΓΟΣ ΡΚΗ'.

Περὶ τῆς εἰς Θεὸν ἀγάπης.

Προβήτω ὁ λόγος ἐκ τοῦ φόβου τοῦ Κυρίου ἐπὶ τὴν τελείαν ἀγάπην αὐτοῦ. Ἀγάπην δὲ λέγω, τὴν ἀῤῥαγῆ, τὴν μὴ τεμνομένην, μήτε χωριζομένην ἐν ποικίλοις πειρασμοῖς καὶ βασάνοις, τὴν Θεῷ πλησιάζουσαν, καὶ τέκνα Θεοῦ ἀποτεκοῦσαν. Ἀγάπησις γὰρ Κυρίου καὶ φόβος, ὑπὲρ πάντα ὑπερέβαλεν εἰς φωτισμόν. « Καὶ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς ἀγαπῶντας αὐτόν. » Ὁ ἐν αἰσθήσει καρδίας ἀγαπῶν τὸν Θεὸν, ἐκεῖνος ἔγνωσται ὑπ' αὐτοῦ. Ὁ τελείαν εἰς Θεὸν ἀγάπην κεκτημένος, ἐν τῷδε τῷ βίῳ πάρεστι, ὡς εἰ οὐ πάρεστι. Ξένον γὰρ ἑαυτὸν ἡγεῖται τῶν ὁρωμένων, καρτερῶν τῶν ἀοράτων. Ὅλως γὰρ ἠλλοίωται εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, ὡς ἑκστὰς B ἅπαξ τῆς ἑαυτοῦ φιλίας τῇ ἀγάπῃ τοῦ Θεοῦ. « Εἰ γὰρ καὶ ἐξέστημεν, φησὶν, Θεῷ, εἴτε σωφρονοῦμεν, ὑμῖν. » Ὁ ἑαυτὸν φιλῶν, τὸν Θεὸν ἀγαπᾷν οὐ δύναται. Ὁ δὲ ἑαυτὸν μὴ φιλῶν ἕνεκεν τοῦ ὑπερβάλλοντος πλούτου τῆς ἀγάπης τοῦ Θεοῦ, οὗτος τὸν Θεὸν ἀγαπᾷ. Πρῶτος ὁ νόμος διαγορεύει, λέγων· « Ἐγὼ Κύριος, ὁ ποιῶν ἔλεος τοῖς ἀγαπῶσίν με καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά μου. » Καὶ ἄλλος· « Σπέρμα ἀσφαλείας, οἱ φοβούμενοι τὸν Κύριον. » Καί· « Ἔντιμον φύτευμα, οἱ ἀγαπῶντες αὐτόν. » Καί· « Ἔλεος ἀνθρώπου ἐπὶ τὸν πλησίον αὐτοῦ, ἔλεος Κυρίου ἐπὶ πᾶσαν σάρκα, ἀνυψῶν καὶ φωτίζων ὀφθαλμούς. »

HOMILIA CXXVIII.

De charitate sive dilectione erga Deum.

Consurgat noster hic sermo ac promoveatur a timore Dei ad perfectam ipsius dilectionem. Sane eam dixerim charitatem, quæ infracta sit et inconcussa, quæ impartibilis sit et individua, quæ se avelli ac diduci nullis sinat (qualibet multis tundatur) tentationum suppliciorumve attritionibus. Eam intelligo charitatem quæ nos Deo proxime connectit et confœderat : quæ nos efficit Dei filios. Ad illustrandas animas, dilectio Dei et timor cæteras virtutes facile exsuperant : « Oculi enim Domini super diligentes eum [14]. » Qui pleno cordis sensu Deum diligit, ab ipso talis cognitus est, Quisquis perfectam in Deum dilectionem semel possedit ; in hac etiamnunc sic adest vita, quasi non sit. Extorrem enim se et proinde computat alienum ab his quæcunque oculis subjacent, admirabili constantia ad invisibilia suspirans. Totus enim felici alteratione a se transivit in dilectionem Dei, juxta Pauli sententiam : « Sive excedimus, Deo ; sive sobrii sumus, vobis [15]. » Qui se priva dilectione prosequitur, Deum neutiquam potest diligere : contra qui a se prorsus excussit privæ illius dilectionis affectum ob supereminentes divitias dilectionis Dei, plane hic Deum diligit. Primaria illa lex hunc in modum edicit : « Ego Dominus faciens misericordiam his qui diligunt me, et servant mandata mea [16]. » Alius item : « Semen firmitatis timentes Dominum [17]. » **1239** Et : « Honorabilis plantatio qui diligunt ipsum. » Et : « Misericordia hominis super proximum suum : misericordia autem Domini super omnem carnem se expandit et illuminat oculos [18]. »

Λέγει δὲ καὶ ἡ Σοφία· « Ἐγὼ τοὺς ἐμὲ ἀγαπῶντας C ἀγαπῶ· οἱ δὲ ἐκζητοῦντές με, εὑρήσουσιν γνῶσιν P. Πλοῦτος καὶ δόξα ἐμοὶ ὑπάρχει. Βέλτιον ἐμὲ καρπώσασθαι, ὑπὲρ χρυσίον καὶ λίθον τίμιον. » Καὶ ὁ Δαυὶδ, ἐκ τῆς εἰς Θεὸν θερμῆς ἀγάπης ἐνδελεχῶς ἐβόα· « Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω, ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ, καὶ ἀβάτῳ, καὶ ἀνύδρῳ. » Καὶ αὖθις· « Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου· Κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου. » Καί· « Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη. » Καὶ πάλιν, « Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν, τὸν ζῶντα· πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ ; » Καί· « Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιD Dicit et Sapientia : « Ego diligentes me diligo : qui autem quærunt me, invenient scientiam P ; divitiæ et gloria mihi supersunt. Melius est me fructus colligere præ auro et lapide pretioso [19]. » David item præfervido charitatis in Deum affectu incalescens, jugi clamore insonabat : « Deus, Deus meus, ad te de luce vigilo : sitivit anima mea, quam multipliciter tibi caro mea, in terra deserta, et invia, et inaquosa [20]. » Rursum : « Diligam te, Domine, fortitudo mea : Dominus firmamentum meum, et refugium meum, et liberator meus est [21] ; » — « Domine, ante te omne desiderium meum, et gemitus meus a te non est absconditus [22]. » Iterum : « Sitivit anima mea ad Deum fortem, vivum : quando veniam et apparebo ante faciem Dei [23] ? » Et : « Concupivit anima mea de-

[11] Jac. III, 17, 18. [12] Act. X, 35. [13] Matth. X, 28. [14] Eccli. XXXIV, 15. [15] II Cor. V, 13. [16] Deut. V, 9, 10. [17] Psal. XXIV, 14. [18] Eccli. XVIII, 12. [19] Prov. VIII, 17-19. [20] Psal. LXII, 1-3. [21] Psal. XVII, 1-3. [22] Psal. XXXVII, 10. [23] Psal. XLI, 3.

VARIÆ LECTIONES.

P *Invenient scientiam* : pro quo Aldus habet, χάριν, id est, *gratiam*.

siderare justificationes tuas in omni tempore [24] : quia dulcia faucibus meis eloquia tua super mel ori meo [25]. » — « Comede mel, fili mi, ait ille : bonus enim favus, ut condulcescat guttur tuum : sic enim sensus et sapientia erunt animæ tuæ [26]. » Joannes : « Charissimi, Deus charitas est : et qui manet in charitate, in Deo manet, et Deus in eo [27]. » Infert : « Non quia nos dileximus eum, sed quia ipse dilexit nos, misit Filium suum propitiationem pro peccatis nostris [28]. » Paulus : « In his omnibus superamus propter eum qui dilexit nos, Deum [29]. » Inducit : « Quia diligentibus Deum omnia cooperantur in bonum, iis qui secundum propositum vocati sunt sancti. » Iterum : « Quis nos separabit a charitate Dei? tribulatio? an angustia? an persecutio? an fames? an gladius [30]? » Infert : « Certus enim sum, quia neque mors, neque vita, neque angeli, neque principatus, neque potestates, neque instantia, neque futura, neque ulla alia creatura poterit nos separare a charitate Dei, quæ est in Christo Jesu Domino nostro [31]. » Dominus quoque : « Qui habet mandata mea et servat ea, ille est qui diligit me : qui autem diligit me, diligetur a Patre meo, et ego diligam eum, et manifestabo ei meipsum [32]. » Vide hic quam operatoria sit erga Deum charitas! ipsius confert dilucidam cognitionem simul et cognoscentis commendationem. Qui sinceriter Deum diligit, se aliud nihil ducit esse quam externum et advenam in vita præsenti. Talis qui est, decora et eleganti alteratione immutatus est. Quotcunque meditatione jugi et indefessa intra cordis recessus intimos retinent sanctum Christi nomen altius impressum, isti splendidiuam ipsius lucem contueri jugiter queunt : in quamlibet enim angusta mentis nostræ memoria retentum cum sensu multo ipsius capimus experimentum, et omnem animæ sorditiem interiore flamma exurit. **1240** Siquidem vel teste Moyse : « Deus noster ignis consumens est [33]. » Unde et ad charitatem copiosam suæ ipsius gloriæ omnem animam accit Dominus et advocat. Nihil sic ad dilectionem Dei incendit cor et promovet, ut theologia. Germen enim ipsa cum sit gratiæ divinæ, prorsus gratuito animæ confert primitias quasdam et dona. Lacrymæ sinceriter Deum diligentis quasi mel edulcans eliquantur, seminis in modum dispersi in corde viri istius. Anima consentiens jugiter puritate mentis, Deum contemplatur et perspicit interno desiderio. Anima in charitate Dei exsultans hilariter, in articulo exitus sui a corpore, nullo pavore exterrebitur circumstantis se principis aeris hujus, neque formidabit potestates tenebrarum harum, sed fervida in Christum charitate incalescens, una cum angelis pacis evolabit : perinde atque a peregrino hospitio migratura, in proprium et peculiare se recipiat domici-

A ρῷ, ὅτι γλυκεῖα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. » — « Φάγε γάρ, φησὶν, μέλι, υἱέ· ἀγαθὸν γὰρ κηρίον, ἵνα γλυκανθῇ σου ὁ λάρυγξ. Οὕτως γὰρ αἴσθησις καὶ σοφία ἔσται τῇ σῇ ψυχῇ. » Καὶ ὁ Ἰωάννης· « Ἀγαπητοὶ, ὁ Θεὸς ἀγάπη ἐστὶν, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ. » Καὶ ἐπιφέρει, « Οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν αὐτὸν, ἀλλ' ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς, καὶ ἀπέστειλεν τὸν Υἱὸν αὐτοῦ, ἱλασμὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. » Καὶ ὁ Παῦλος· « Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν, διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς Θεοῦ. » Καὶ ἐπάγει, « Ὅτι τοῖς ἀγαπῶσιν τὸν Θεὸν πάντα συνεργεῖ εἰς τὸ ἀγαθὸν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν. « Καὶ πάλιν, « Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμὸς,

B ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; » Καὶ ἐπιφέρει· « Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε ἐξουσίαι, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. » Ὁ δὲ Κύριος, « Ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τηρῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου, κἀγὼ ἀγαπήσω αὐτὸν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν. » Βλέπεις ὅτι ἡ πρὸς Θεὸν ἀγάπη τὴν ἐμφάνειαν αὐτοῦ καὶ τὴν ὑποδοχὴν παρέχει. Ὁ εἰλικρινῶς ἀγαπῶν τὸν Θεὸν, ξένον ἑαυτὸν καὶ παρεπίδημον ἔχει ἐν τῷδε τῷ βίῳ· καὶ ὁ τοιοῦτος τὴν καλὴν ἀλλοίωσιν ἠλλοίωται· καὶ ὅσοι τὸ

C ἅγιον τοῦ Χριστοῦ ὄνομα ἐν τῷ βάθει τῆς καρδίας αὐτῶν μελετῶσιν ἀπαύστως, οὗτοι καὶ τὸ φῶς αὐτοῦ ποτε ὁρᾷν δύνανται. Στενῇ γὰρ μερίμνῃ ὑπὸ τῆς διανοίας κρατούμενον, πάντα τὸν ῥύπον τῆς ψυχῆς ἐν αἰσθήσει καταφλέγει πολλῇ. Καὶ γὰρ « Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκων, » φησίν. Ὅθεν καὶ εἰς ἀγάπην πολλὴν, τὴν ψυχὴν τῆς ἑαυτοῦ δόξης προσκαλεῖται ὁ Κύριος. Οὐδὲν δὲ οὕτως ἀναφλέγει καὶ κινεῖ τὴν καρδίαν εἰς τὴν ἀγάπην τοῦ Θεοῦ ὡς ἡ θεολογία. Γεννᾷ γὰρ αὕτη ὅσα τῆς αὐτοῦ χάριτος· πρῶτα πάντων καὶ δῶρα τῇ ψυχῇ χαρίζεται τοῦ ἀγαπῶντος τὸν Θεόν. Τὸ δάκρυα ὡς μέλι γλυκάζον ἐν τῇ

D καρδίᾳ αὐτοῦ κατασπείροντος. Τῇ ψυχῇ γὰρ σὺν τῷ ἡγεμονικῷ, ἐνδελεχῶς αὐτὸν καθορᾷ διὰ τοῦ πόθου. Ψυχὴ ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ ἀγαλλιωμένη, ἐν τῷ καιρῷ τῆς ὑπὸ τοῦ σώματος ἐξόδου, οὐ μὴ δειλιάσει τὸν ἄρχοντα τοῦ ἀέρος τούτου, οὔτε τὰς ἐξουσίας τοῦ σκότους, ἀλλ' ἐκ τῆς ἀγάπης τῆς εἰς Θεὸν, χαίρουσα ἵπταται σὺν τοῖς ἀγγέλοις τῆς εἰρήνης, ὡς ἀπὸ ξένης εἰς τὰ οἰκεῖα. « Τὴν ἐπιθυμίαν γάρ, φησὶν, ἔχω ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι. » Ἔχουσα γὰρ ἡ ψυχὴ τὴν ἀγάπην, τὸ πλήρωμα τοῦ νόμου, ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἁρπάζεται ἐν νεφέλαις εἰς ἀπάντησιν αὐτοῦ. Μικροῦ δὲ ἔλαθεν ἡμᾶς ἡ ἀγάπη τῆς ἐν τοῖς Ἁσμασιν νύμφης Ἐκκλησίας, καὶ πρὸς τὸν Νυμφίον Χριστόν. Ὢ τῆς ζημίας! φησὶν γαρ, « Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ· ὅτι

[24] Psal. cxviii, 20. [25] ibid. 103. [26] Prov. xxiv, 13, 14. [27] Joan. iv, 16. [28] I Joan. xiv, 10. [29] Rom. viii, 37. [30] Rom. viii, 35. [31] ibid. 38-39. [32] Joan. xiv, 21. [33] Deut. iv, 24; Hebr. xii, 29.

ἀγαθοὶ οἱ μαστοί σου ὑπὲρ οἶνον. Καὶ ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα. Μύρον ἐκκενωθέν, ὄνομά σου. Διὰ τοῦτο, νεάνιδες ἠγάπησάν σε, εἵλκυσάν σε, ὀπίσω σου εἰς ὀσμὴν μύρου δραμούμεθα, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν σοί· εὐθύτης ἠγάπησέν σε. » Καὶ αὖθις, « Ἀπάγγειλόν μοι, ὃν ἠγάπησεν ἡ ψυχή μου, ποῦ ποιμαίνεις; ποῦ κοιτάζεις ἐν [μεσημβρίᾳ]; Ἰδοὺ γὰρ εἶ καλὸς, καί γε ὡραῖος, ἐν τῇ σκιᾷ σου ἐπεθύμησα καὶ ἐκάθισα· ὁ γὰρ καρπός σου γλυκὺς ἐν λάρυγγί μου. » Καὶ προτρεπομένη ἄλλους, φησὶν, « Ὥρκισα ὑμᾶς, θυγατέρες Ἰερουσαλήμ, ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπησιν ἕως οὗ θελήσει. » Καὶ πάλιν, « Δεῖξόν μοι τὴν ὄψιν σου, καὶ ἀκούτισόν μοι τὴν φωνήν σου, ὅτι ἡ φωνή σου ἡδεῖα, καὶ ἡ ὄψις σου ὡραία. » Τοιοῦτος ἦν ὁ Μωϋσῆς κράζων, « Δεῖξόν μοι τὴν ὄψιν σου, γνωστῶς ἴδω σε. » Καὶ πάλιν, « Ἐζήτησα, ὃν ἠγάπησεν ἡ ψυχή μου, ἐκράτησα αὐτὸν, καὶ οὐκ ἀφῆκα αὐτὸν, ὅτι τετρωμένη ἀγάπῃ ἐγὼ, ὅτι κραταιὰ ὡς θάνατος ἀγάπη· ὕδωρ πολὺ οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην. » Τοιαύτη ἡ τοῦ Πέτρου ψυχή, λέγουσα, « Κύριε, ποῦ ὑπάγεις; » Καὶ, « Πρὸς τίνα ἀπελευσόμεθα; » Πρὸς ὃν ὁ Κύριος, ἐκ τρίτου· « Πέτρε, φιλεῖς με; » Ὁ δὲ, « Ναὶ, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. » Πάλιν δὲ ὁ Κύριος πρὸς τοὺς ἑαυτοῦ μαθητάς φησιν, « Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

lium. « Desiderium enim habeo dissolvi et esse cum Christo [34]. » Anima enim quæ charitatem, plenitudinem legis possidet; ad nubes usque rapitur, obviam itura advenienti Domino. Paulum abfuit ut nos effugeret dilectio illius sponsæ (nempe Ecclesiæ) ad sponsum, videlicet Christum: de qua in Canticis. O jacturam! ait enim: « Osculetur me ab osculis oris sui, quia meliora sunt ubera tua vino, et odor unguentorum tuorum super omnia aromata. Unguentum exinanitum nomen tuum: ideo adolescentulæ dilexerunt te; traxerunt te; post te in odorem unguentorum tuorum curramus, exsultemus et lætemur in te: rectitudo dilexit te [35]. » Rursus: « Renuntia mihi quem dilexit anima mea: ubi pascis, ubi cubas in meridie: ecce enim tu pulcher et decorus [36]. » — « In umbra tua desideravi et sedi, et fructus tuus dulcis in gutture meo [37]. » Alios adhortata ait: Adjuravi vos, filiæ Jerusalem, si suscitaveritis dilectionem, donec ipsa voluerit [38]. » Iterum: « Ostende mihi faciem tuam, audire me fac vocem tuam, quia vox tua dulcis et facies tua decora [39]. » Plane talis erat Moses inclamans: « Ostende mihi faciem tuam, perspicue ut videam te [40]. » Iterum: « Quæsivi, quem dilexit anima mea: tenui eum, nec dimittam ipsum [41], quia vulnerata charitate ego [42]: quia fortis ut mors dilectio; aqua multa non poterit exstinguere charitatem [43]. Talis Petri anima, cum diceret: « Domine, quo vadis [44]? » Et: « Ad quem ibimus [45]? » Cui Dominus, tertio: « Petre, amas me? » Ille autem: « Certe, Domine, tu scis quia amo te [46]. » Dominus denuo discipulis suis: « Si quis diligit me, sermonem meum servabit, et Pater meus diliget eum, et ad eum veniemus, et mansionem apud eum faciemus [47]. » Ipsi gloria in sæcula. Amen.

ΛΟΓΟΣ ΡΚΘ'.

Περὶ υἱοθεσίας.

Δόξα τῇ ἀγαθότητί σου, Δέσποτα, φιλάνθρωπε, φιλόπτωχε, φιλόστοργε, φιλόψυχε, φιλάγαθε, ἀμνησίκακε Κύριε· ὃς τοὺς ποτε τὴν ἐν τῷ παραδείσῳ ἐντολήν σου ἐκφαυλίσαντας, καὶ νεκρωθέντας ὑπὸ τῆς ἁμαρτίας, καὶ διὰ τοῦ ἰδίου θελήματος ἡμῶν, οὐ μόνον ἐλευθέρωσας, ἀλλὰ καὶ οἰκεῖα τέκνα ἀνηγόρευσας· οἵτινες ἕως τοῦ νῦν ἀφυλάκτως περὶ τὰς ἐντολάς σου βιοῦμεν, ὡς εἰς ἡμᾶς πληρωθῆναι τὸ, « Υἱοὺς ἐγέννησα, καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. » Τίς δυνήσεται διηγήσασθαι τὸ πέλαγος τῆς εὐσπλαγχνίας σου, μακρόθυμε καὶ κηδεμὼν τῶν ψυχῶν ἡμῶν, Θεὲ παντοκράτωρ, καὶ Κύριε, τοῦ ἐλέους σου; Ἔφης γὰρ διὰ τοῦ προφήτου σου Ὡσηὲ, « Καλέσω τὸν Οὐ λαόν μου, Λαόν μου· καὶ τὴν Οὐκ ἠγαπημένην, Ἠγαπημένην· καὶ ἔσται ἐν τῷ τόπῳ οὗ ἐρρέθη, Ὁ λαός μου ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ Θεοῦ ζῶντος. » Καὶ ὁ Ἰωάννης, « Ἀγαπητοὶ, νῦν τέκνα Θεοῦ ἐσμεν. Καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα. Οἴδαμεν δὲ ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτε ὀψόμεθα αὐτὸν καθώς ἐστιν. Καὶ ὁ Παῦλος, « Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυ-

1241 HOMILIA CXXIX.

De filiorum adoptione.

Gloria esto benignitati tuæ, eximie hominum amator Domine, qui nos rerum omnium indignos tam amanter excipis, filiis tuis tam indulges clementer; qui deamas animas, qui tanti æstimas qualemcunque vitæ nostræ probitatem, quemque nulla urget memoria malorum. O Domine, primos quidem jam olim (mandatum abs te præscriptum cum in paradiso positi contemptim transmisissent) mortis sententia multatos ob peccatum, nosque priva voluntate mortificatos, non libertate solum donasti, sed et proprios filios declarasti: cum alioqui in hunc usque diem improvide tam desidemus circa adimpletionem mandatorum tuorum, ut in nobis impleri illud merito videri possit: « Filios genui et exaltavi, ipsi autem spreverunt me [48]. » Quis enarrare sufficiat pelagus tuæ erga nos commiserationis; qui longanimitate tanta animarum nostrarum procuras salutem, Deus omnipotens et Domine misericordiæ? Per Osee enim prophetam dixisti: « Vocabo eum, qui non est populus meus, populum meum, et quæ non erat dilecta, dilectam:

[34] Philipp. I, 23. [35] Cant. I, 1-4. [36] ibid. VI, 15. [37] Cant. II, 3. [38] ibid. 7. [39] ibid. 14. [40] Exod. XXXII, 13. [41] Cant. XIII, 4. [42] Cant IV, 9. [43] Cant. VIII, 6, 7. [44] Joan. XIII, 36. [45] Joan. VI, 69. [46] Joan. XXI, 15. [47] Joan. XIV, 25. [48] Isa. I, 2.

et erit, in loco ubi dictum est, populus meus vos, illic vocabuntur filii viventis [59]. » Joannes insuper : « Charissimi, nunc filii Dei sumus, et nondum apparuit quid erimus : scimus quia videbimus eum sicuti est [60]. » Paulus : « Nos autem omnes, revelata facie gloriam Domini speculantes, in eamdem imaginem transformamur, a gloria in gloriam tanquam a Domini Spiritu [61]. » Iterum : « Qui in charitate prædestinabit nos in adoptionem filiorum per Jesum Christum in ipsum [62]. »— « Estote igitur imitatores Dei, sicut filii charissimi : et ambulate in dilectione, sicut et Christus dilexit vos [63]. » Iterum ; « Non solum autem, sed et ipsi primitias Spiritus habentes, nos etiam ipsi in nobis ipsis ingemiscimus adoptionem corporis nostri [64]. » Rursus ; « Quia autem estis filii, misit Deus spiritum Filii sui in corda vestra, clamantem : Abba pater. Itaque non jam es servus, sed filius ; quod si filius, et hæres Dei per Christum [65]. » Iterum : « Quicunque enim Spiritu Dei aguntur, hi filii sunt Dei : non enim accepimus spiritum servitutis iterum in timore, sed accepimus spiritum filiorum adoptionis, in quo clamamus : Abba pater. Ipse enim Spiritus testimonium reddit spiritui nostro, quod sumus filii Dei ; si autem filii, et hæredes : hæredes quidem Dei, cohæredes autem Christi [66]. » Item : « Filii Altissimi vocabuntur [67]. » Itaque cum intuebuntur regem Deum in gloria, illic portæ istis adaperientur regni ; **1242** Patrisque conclavia ingredientur, qui et sanctos suos (quotquot a condito primum orbe fuerunt) illis visendos proponet, Solque justitiæ interclarescet istis. Et exibunt, et salient quasi vituli laxati a vinculis, tumque « Transformabit corpus humilitatis nostræ, conforme ut sit proprio corpori gloriæ suæ [68]. » Illic ipsorum « Juventus renovabitur ut aquilæ [69] ; » terramque conspicient promissionis, et super genua consolabuntur. Quemadmodum mater si quem filiorum consoletur ; ita illis exorietur Domini justitia, et exsultatio in omnium prospectu, qui ipsum sincere diligunt corde. Nos igitur (dilectissimi) eum qui nos tanto affecit honore, in idque provexit dignitatis fastigium, revereamur, observemus. Illi et serviamus in timore, tanquam legitimo et secundum naturam Domino : « Exsultemus item ei in tremore [70], » ut Patri per gratiam : « Nequando irascatur Dominus [71], » et excidamus jure istius filiorum adoptionis. Quisquis adoptione hac spoliatur, Judæ proditori efficitur similis : nimirum perditionis filius ac gehennæ, imo diaboli. Ne (quæso) contingat nos ab eo desciscere refugas : qui nostræ est vindex salutis et Deus noster. Is enim hanc indulsit benignus potestatem, nobis ut liceat calce proterere serpentes, scorpiones, omnemque inimici potestatem [72]. « Quotquot enim accepimus eum, dedit nobis potestatem filios Dei fieri [73] : » quando dixit : « Vos autem nolite vocare patrem super terram, unus enim est Pater vester qui est in cœlis [74]. » Ipsi gloria in sæcula. Amen.

ρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος. » Καὶ πάλιν, « Ἐν ἀγάπῃ ᾗ προώρισας ἡμᾶς εἰς υἱοθεσίαν, διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν. Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα Θεοῦ ἀγαπητὰ, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς. » Καὶ πάλιν, « Οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτοὶ ἡμεῖς τὴν ἀπαρχὴν τοῦ Πνεύματος ἔχοντες, καὶ αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι τὴν λύτρωσιν τοῦ σώματος ἡμῶν. » Καὶ αὖθις, « Ὅτι δέ ἐστε υἱοὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κράζων, Ἀββὰ ὁ Πατήρ. Ὥστε οὐκ ἔτι εἶ δοῦλος, ἀλλὰ υἱός· εἰ δὲ υἱὸς, καὶ κληρονόμος Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ. » Καὶ πάλιν· « Ὅσοι γὰρ Πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ. Οὐ γὰρ ἐλάβομεν πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβομεν Πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββὰ ὁ Πατήρ· καὶ αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ· εἰ δὲ τέκνα, καὶ κληρονόμοι, κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ. » — « Οἱ δὲ τοῦ Χριστοῦ συγκληρονόμοι, υἱοὶ Ὑψίστου κληθήσονται. » Ὅταν ὄψονται βασιλείαν Θεοῦ μετὰ δόξης, ἐκεῖ ἀνοιχθήσονται αὐτοῖς πύλαι τῆς βασιλείας, καὶ εἰσελεύσονται εἰς τὰ ταμεῖα τοῦ Πατρὸς, καὶ δείξει αὐτοῖς ὁ Θεὸς τοὺς ἀπ' αἰῶνος ἁγίους αὐτοῦ, καὶ φφθήσεται αὐτοῖς ὁ Ἥλιος τῆς δικαιοσύνης, καὶ ἐξελεύσονται, καὶ σκιρτήσουσιν, ὡς μοσχάρια ἀνειμένα ἐκ δεσμῶν. « Καὶ μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, σύμμορφον τοῦ ἰδίου σώματος τῆς δόξης αὐτοῦ. » Ἐκεῖ « Ἀνακαινισθήσεται ὡς ἀετῶν ἡ νεότης » αὐτῶν, καὶ ὄψονται τὴν γῆν τῆς ἐπαγγελείας, καὶ ἐπὶ γονάτων παρακληθήσονται, ὡς εἴ τινα μήτηρ παρακαλέσῃ· οὕτως ἀνατελεῖ Κύριος δικαιοσύνην καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἀγαπώντων αὐτὸν ἐν εἰλικρινεῖ καρδίᾳ. Καὶ ἡμεῖς οὖν, ἀγαπητοὶ, αἰδεσθῶμεν τὸν οὕτως ἡμᾶς τιμήσαντα, καὶ εἰς τοσοῦτον ὕψος ἀναγαγόντα· « Καὶ δουλεύσωμεν αὐτῷ ἐν φόβῳ ὡς Δεσπότῃ κατὰ φύσιν, καὶ ἀγαλλιασώμεθα αὐτῷ ἐν τρόμῳ, » ὡς Πατρὶ κατὰ χάριν· « μήποτε ὀργισθῇ Κύριος, » καὶ ἐκπέσωμεν τῆς τοιαύτης υἱοθεσίας. Ὁ δὲ ταύτης ἐκπίπτων, ὅμοιος γίνεται Ἰούδᾳ τῷ προδότῃ, υἱὸς ἀπωλείας, καὶ γεέννης, καὶ τοῦ διαβόλου. Ἀλλὰ μὴ γένοιτο ἡμᾶς ἀποστῆναι τῆς ἀγάπης τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν. Ἔδωκε γὰρ ἡμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. « Ὅσοι γὰρ ἐλάβομεν αὐτὴν, ἔδωκεν ἡμῖν ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι· » εἰπών, « Ὑμεῖς δὲ μὴ καλέσητε ὑμῶν πατέρα ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς. » Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

[59] Osee I, 9, 10. [60] I Joan. III, 2. [61] II Cor. III, 18. [62] Ephes. I, 5. [63] Ephes. V, 1, 2. [64] Rom. VIII, 23. [65] Galat. IV, 6, 7. [66] Rom. VIII, 14-17. [67] Rom. IX, 26. [68] Philipp III, 21. [69] Psal. CII, 5. [70] Psal. II, 11. [71] ibid. 12. [72] Luc. X, 19. [73] Joan. I, 11. [74] Matth. XXIII, 9.

ΛΟΓΟΣ ΡΛ'.

Περὶ βασιλείας οὐρανῶν.

Τὰς προλεχθείσας ἐντολὰς τοῦ Θεοῦ τηρήσαντες, ἐπὶ τὴν βασιλείαν τῶν οὐρανῶν ἐπανίωμεν· περὶ ἧς καὶ ὁ ἀγὼν πολὺς, καὶ ἀπειροπλασίως ἡ ἀνάπαυσις. Εἰ γὰρ ὁ ὀρεγόμενος τῆς προσκαίρου βασιλείας, πολλὰς ἀνδραγαθίας ἐπιδείκνυσιν, ἐν πολέμοις, καὶ κινδύνοις, καὶ ἀγρυπνίαις, καὶ μερίμναις, καὶ πόνοις, καὶ οὐδὲν ἡγεῖται πάσας τὰς συμβαινούσας αὐτῷ θλίψεις, τῇ ἐλπίδι τῆς ὀνειροπωλουμένης αὐτῷ βασιλείας· καὶ ταῦτα προσκαίρου καὶ ἀνυποστάτου ὑπαρχούσης. Ἔστιν δὲ ὅτε καὶ μετὰ τὸ πάντα πόνον ἐκτελέσαι αὐτὸν, καὶ νομίζειν ἤδη ἐν χερσὶν ἔχειν τὰ ἐλπιζόμενα, ἀνυπονόητος ἀντ' αὐτοῦ, ἐφόρεσεν τὸ διάδημα· ποίων ἀγώνων δεῖται, καὶ σπουδῆς, καὶ προθυμίας, καὶ ἀγρυπνίας, καὶ μερίμνης, καὶ κινδύνων, καὶ θλίψεων, καὶ πειρασμῶν, κρυπτῶν τε καὶ φανερῶν, καὶ αἰκισμῶν καὶ θανάτων, ὁ βουλόμενος σὺν Χριστῷ ἀδιαδόχως βασιλεύειν; Διὰ τοῦτο οἱ προλαβόντες ἅγιοι, ἄνδρες τε καὶ γυναῖκες, καὶ παῖδες, μέχρι θανάτου ἠγωνίσαντο, ἵνα βασιλείας οὐρανῶν ἐπιτύχωσιν. Βιαστὴ γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ ἐν παντὶ βιαζόμενοι ἑαυτοὺς αὐτοὶ ἁρπάζουσιν αὐτήν. Ὁ γὰρ ὄντως εὐνουχίσας ἑαυτὸν διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, ἢ παρθενεύσας, διὰ πάντων ὀφειλέτης ἐστὶν ἄξιον ἑαυτὸν ἀποδεῖξαι τῆς βασιλείας. Οὐ γὰρ ἐν λόγῳ, ἢ σχήματι, ἢ ὀνόματι, ἢ γένει, ἢ μορφῇ, ἢ ἰσχύϊ, ἢ χρόνῳ, ἡ βασιλεία τῶν οὐρανῶν καταλαμβάνεται, ἀλλ' ἐν δυνάμει πίστεως, ἐπιδεικνυμένης ἔργα πίστεως. Ἐπιδεικνυμένην γὰρ πίστιν ἀπαγγελεῖ δίκαιος ἐνεργῶς. Τί δέ ἐστιν, ἐνεργῶς, ἢ διὰ τῆς πρακτικῆς ἐργασίας τῶν ἐντολῶν τοῦ Χριστοῦ; Ἀπέχεσθαι δὲ τῶν ἐναντίων, τουτέστιν τῶν σαρκικῶν, ἤγουν, διαβολικῶν φρονημάτων, ἅτινά εἰσιν, πορνεία, ἀκαθαρσία, εἰδωλολατρεία, φαρμακεῖαι, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοί, ἐριθεῖαι, καταλαλιαὶ, διχοστασίαι, φθόνοι, φόνοι, μέθαι, κῶμοι, εὐτραπελίαι, μωρολογίαι, γέλως, ἀφροσύνη, σκώμματα, ψιθυρισμοὶ, πικρία, ὀργὴ, κραυγὴ, βλασφημίαι, φλυαρίαι, κακίαι, ἐφευρήσεις κακῶν, ἐπιορκίαι, πολυλογίαι, πλοκολογίαι, βαττολογίαι, μοχθισμοὶ, βαναυσίαι, διαπαρατριβαὶ, προσκλήσεις, βλακεῖαι, τύφος, φυσιώσεις γένους, μορφῆς, χώρας, πλούτου, ἀνδρείας σαρκικῆς, λόγου· ἐριθεία μετὰ φιλονεικίας, μῖσος, μνησικακία, ὀξυχολία, μῆνις, δόλος, ἀνταπόδοσις, γαστριμαργία, ἀπληστία, πλεονεξία ἥτις ἐστὶν εἰδωλολατρεία· φιλαργυρία, ἡ ῥίζα πάντων τῶν κακῶν, φιλοκοσμία, κενοδοξία, φιλαρχία, αὐθάδεια, θρασύτης, ἀλαζονία, ἣ καλεῖται λοιμότης· ὑπερηφανία, ᾗ ὁ Θεὸς ἀντιτάσσεται. Ταῦτα, καὶ τὰ τούτοις ὅμοια ὅστις ἔχει ἐν ἑαυτῷ, σαρκικός ἐστιν καὶ υἱὸς τοῦ ἐναντίου. Τὸ γὰρ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστιν· καὶ ὁ ἐκ τῆς γῆς ὤν, τὰ τῆς γῆς λαλεῖ, τὰ τῆς γῆς ἔργα φρονῶν. Τὸ γὰρ φρόνημα τῆς σαρκὸς, ἔχθρα εἰς Θεόν ἐστιν. Τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται· καὶ ἐν τῷ τοιούτῳ οὐκ οἰκεῖ τὸ Πνεῦμα τοῦ Θεοῦ. « Οὐ μὴ γὰρ καταμείνῃ, φησὶν, τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις

HOMILIA CXXX.

De regno cœlorum.

Mandata Dei superius mihi inducta si observaverimus : utique ad regnum licebit ceu postliminio redire : pro quo nobis non unus agon indicitur ; sed et secura requies multiplex promittitur. Regnum temporarium ambit quis? hic necesse est ut exerat atque ostentet strenuitatis plurimum in bellis, periculis, excubiis, anxiis sollicitudinibus, laboribus perplexis : nihil ducit tribulationes omnes undecunque contingant, spe dum alitur regni vel per insomnium excogitati. Et hæc conditio est temporarii, nec unquam constabiliendi regni. Adde, quod omni vix exantlato labore diem suum obit ; eumque se existimat in manibus habere quæ spe præcerpserat, unus aliquis citra omnium suspicionem pro illo plerumque diadema tulit. Quanto agone opus, quo studio, quam exprompta animi alacritate, quibus vigiliis, sollicitudinibus, periculis, tribulationibus, tentationibus arcanis quidem et vix ulli compertis ærumnis ; imo et quot mortis species adeundæ veniunt ei qui cum Christo æternum cupit regnare ? Ob hoc unum sancti omnes qui nostram hanc anteverterunt ætatem, viri, mulieres, imo et pueri ad mortem usque strenue decertaverunt : quo vel tandem regno perfruerentur cœlorum. Regnum siquidem cœleste vim patitur. Illud enim pie rapiunt, qui in omnibus suam indolem ad vitia propendentem student evincere, vi quadam injecta suæ naturæ. Quisquis pro cœlestis regni consecutione se prorsus castravit, aut tuendæ virginitatis obstrinxit voto, modis omnibus adniti debet, se ut dignum regno **1243** exhibeat. Neque enim ad cœleste illud regnum provehitur quis, sermone, habitu, splendore nominis, generis claritudine, formæ elegantia, fortitudine corporis, aut temporis prolixitudine : sed virtute fidei, opera fide digna repræsentantis. Sane fidem ejusmodi vim suam exerentem, justus declarabit efficaci et operatoria impletione mandatorum Christi. Abstinendum proinde est ab omnibus quæ mandatis ex contrario obluctantur : hoc est, a carnalibus vitiis, videlicet a diabolica omni prudentia ad quam referuntur hæc : fornicatio, immunditia, idololatria, veneficium, inimicitiæ, contentiones, zelus, animositates, rixæ, detractiones, seditiones, invidiæ, cædes, ebrietates, commessationes, scurrilitates, stultiloquia, risus, imprudentia, dicteria seu cavilla, susurria, amaritudo, ira, clamor, blasphemia, nugæ, malitia, adinventiones malorum, perjuria, multiloquia, dolosi sermones, garrulitates, insultationes, turpes et illiberales artes, perversæ exercitationes, in jus vocationes, lasciviæ, fatus, arrogantia propter genus, formam, patriam, divitias, fortitudinem corporis, sermonem : contentio cum pervicacia, odium, injuriæ acceptæ recordatio, iracundia, inveteratum odium, dolus, vindicta inexplebi-

lis voracitas, avaritia, quæ idolorum servitus, pecuniæ cupiditas, quæ malorum omnium est radix, ornatus amor, inanis gloria, ambitio, superbia, audacia, jactantia, quæ et vocatur impudentia, insolentia, cui Deus resistit : hæc et his similia, quicunque habet in se, carnalis est et filius adversarii : « quod enim est natum ex carne, caro est [66] : » et : « qui de terra est, quæ de terra sunt loquitur [66], » cum opera terrena sapiat. « Nam sapientia carnis inimica est Deo : legi enim Dei non est subjecta, neque enim potest [67] ; » neque in ejusmodi homine habitat Spiritus Dei : « Non enim permanebit spiritus meus in hominibus istis in æternum, quia carnes sunt [68]. » —« Si quis ergo Spiritum Dei non habet, hic non est ejus [69]. » Qui enim Spiritum Dei habet, Spiritu Dei ambulat, et Spiritu Dei actiones corporis mortificat, et vivit Deo suggillans, et in servitutem redigens carnem, ut inhabitet in eo Spiritus sanctus, pacificus et ab eo custoditus, fructus fidei faciat, virtutis, sapientiæ, castitatis, continentiæ, charitatis, benignitatis, patientiæ, spei, concordiæ, temperantiæ, laudis sanctificationis. **1244** Hæc et his similia in regnum cœlorum introducunt : quæ vero dicta ante sunt omnia non efficiunt ut regno cœlorum propinquiores simus. Verum enimvero priusquam ad finem sermonis, qui de regno cœlorum institutus est, veniamus, operæ pretium facturus mihi videor, si cogitationem eam quæ mihi venit in mentem hoc tempore patefaciam, utilem ipsam fortasse et convenientem sermoni de regno cœlorum : imo etiam præ cæteris omnibus, ut equidem censeo, commodam atque fructuosam. Quoniam multiplicatæ sunt iniquitates nostræ et capita nostra supergressæ sunt, neque Chaldaico flagello fuimus eruditi, neque cervicis nostræ duritiem jugum illorum edomuit, sed adhuc in malis obfirmamur : idcirco Dei permissu plagam nobis inflixit Satanas, quæ posset viscera et medullas et ossa pertingere. Audivimus quemdam ex Oriente præcursorem Antichristi venisse, qui voluit sedem Antiochenam occupare, Athanasium nomine ; vel potius, mortem immortalem : qui Appollinarii, Eutychis, Severi et Jacobi dogmata divulgat : quo rumore sanctæ Urbis orthodoxi incolæ non mediocriter cum monasteriis, quæ circa illam, sunt perturbati. Quando igitur, ut ad me scriptum est, multos pagos et loca et insulas pererrat, et accidit ut diversis in locis hæreses multæ sparguntur, ne forte propter ignorantiam aliquem illorum invadat, omnes vobis hæreses quæ ab adventu Christi ad hoc usque tempus ortæ sunt, indicamus, ut vos quoque tanquam a serpentibus vobis ab illis caveatis, et iis qui vobiscum sunt. Sed quid unaquæque sentiat hæresis, dicere non est hujus temporis : hoc autem ad securitatem compendiosum tibi sit indicium et tutum : omnes sectæ, quæ a nomine alicujus hominis appellationem sortitæ sunt, ut Ariani, et Nestoriani, Severiani, et aliæ similiter, diaboli sectæ sunt : nam Ecclesia catholica

A τούτοις, εἰς τὸν αἰῶνα, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. » — « Εἴ τις τοίνυν Πνεῦμα Θεοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. » Ὁ γὰρ Πνεῦμα Θεοῦ ἔχων, Πνεύματι Θεοῦ στοιχεῖ, καὶ Πνεύματι Θεοῦ τὰς πράξεις τοῦ σώματος θανατοῖ, καὶ ζῇ τῷ Θεῷ ὑποπιάζων καὶ δουλαγωγῶν τὴν σάρκα, ἵνα ἐνοικήσῃ ἐν αὐτῷ τὸ ἅγιον Πνεῦμα τὸ εἰρηνικόν. Καὶ φρουρούμενος ὑπ' αὐτοῦ, ποιήσει καρπὸν πίστεως, ἀρετῆς, σοφίας, ἀγνείας, ἐγκρατείας, ἀγάπης, χρηστότητος, ὑπομονῆς, ἐλπίδος, ὁμονοίας, σωφροσύνης, αἰνέσεως, ἁγιασμοῦ. Ταῦτα καὶ τὰ τούτοις ὅμοια εἰσάγουσιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· τὰ δὲ προρηθέντα πάντα, σαρκικὰ φρονήματα, βασιλείαν οὐρανῶν οὐ πλησιάζουσιν. Ἀλλὰ πρὶν εἰς πέρας ἐλθεῖν τὸν προκείμενον περὶ τῆς βασιλείας τῶν οὐρανῶν λόγον, ἀναγκαῖόν B μοι φαίνεται, κατάδηλον ποιῆσαί σοι, τίμιε Πάτερ Εὐστάθιε, τὸ ὑπεισελθόν μοι ἐπὶ τοῦ παρόντος νόημα, τάχα καὶ αὐτὸ χρήσιμον, ὡς εἰκὸς, τῷ περὶ τῆς βασιλείας λόγῳ· μᾶλλον δὲ καὶ ὑπὲρ πάντα ἄλλα, ὡς ἔμοιγε δοκεῖ, ὠφέλιμον καὶ λυσιτελές. Ἐπειδὴ αἱ ἀνομίαι ἡμῶν ἐπλήθυναν, καὶ ὑπερῆραν τὰς κεφαλὰς ἡμῶν, καὶ οὐκ ἐπαιδεύθημεν τῇ Χαλδαϊκῇ μάστιγι, οὐδὲ ἐδάμασεν τὸ σκληροτράχηλον ἡμῶν ὁ ζυγὸς αὐτῶν, ἀλλ' ἔτι μᾶλλον ἐπὶ τοῖς κακοῖς ἀνδριούμεθα· τούτου χάριν ἐκ συγχωρήσεως Θεοῦ, ἐπήνεγκεν ἡμῖν ὁ Σατανᾶς πληγὴν, δυναμένην καὶ σπλάγχνων, καὶ μυελῶν, καὶ ὀστέων ἅψασθαι. Ἠκούσαμέν τινα ἐληλυθέναι τῇ ἀνατολῇ πρόδρομον τοῦ Ἀντιχρίστου, θέλοντα τὸν θρόνον τῆς Ἀντιοχέων κατασχεῖν, Ἀθα- C νάσιον μὲν προσαγορευόμενον· μᾶλλον δὲ, θάνατον ἀθάνατον, τὰ δὲ Ἀπολλιναρίου, καὶ Εὐτυχοῦς, καὶ Σεβήρου, καὶ Ἰακώβου, δόγματα κηρύττοντα. Αὕτη ἡ ἀκοὴ οὐ μετρίως ἐτάραξε τοὺς τῆς ἁγίας πόλεως ὀρθοδόξους οἰκήτορας, καὶ τὰ περὶ αὐτὴν μοναστήρια. Ἐπειδὴ οὖν, ὡς γέγραπταί μοι, πολλὰς χώρας, καὶ τόπους, καὶ νήσους ἐξ ἀνάγκης ἀμείβεται· καὶ συμβαίνει πολλὰς αἱρέσεις εἰς διαφόρους τόπους εἶναι· ἵνα μήπως ἐξ ἀγνοίας τινὶ αὐτῶν περιπέσητε, ἐσήμανα ὑμῖν πάσας τὰς αἱρέσεις, τὰς ἀπὸ τῆς παρουσίας τοῦ Χριστοῦ ἕως τοῦ νῦν, ἵνα καὶ ὑμεῖς, ὡς ἀπὸ ὄφεων φυλάξητε ἑαυτοὺς ἀπ' αὐτῶν, καὶ οἱ σὺν ὑμῖν. Ἀλλὰ τὸ, πῶς μὲν φρονεῖ ἑκάστη αἵρεσις, οὐ τοῦ παρόντος καιροῦ λέγειν. Τοῦτο δέ σοι ἔστω σημεῖον πρὸς ἀσφάλειαν σύντομον καὶ βέβαιον· Πᾶσαι αἱρέ- D σεις ἐπ' ὀνόματι ἀνθρώπου ὀνομαζόμεναι, οἷον, Ἀρειανοὶ, Νεστοριανοὶ, Σεβηριανοὶ, καὶ ἄλλαι ὁμοίως, τοῦ διαβόλου εἰσὶν αἱρέσεις. Ἡ γὰρ καθολικὴ Ἐκκλησία οὐκ ἔτι κέκληται ὄνομα ἀνθρώπου, ἀλλὰ πάντες ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, Χριστιανοὶ ὀνομαζόμεθα. Οὐδὲ γάρ ἐστιν ἕτερον ὄνομα ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς, εἰ μὴ μόνος Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρὸς, σὺν ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

[66] Joan. III, 4. [66] Ibid. 31. [67] Rom. VIII, 6-8. [68] Gen. VI, 3. [69] Rom. VIII, 9.

non jam hominis nomine appellatur, sed omnes nomine Domini nostri Jesu Christi Christiani nominamur. « Neque enim est aliud nomen sub cœlo datum hominibus, in quo oporteat nos salvos fieri [76], » nisi solus Dominus Jesus Christus, in gloriam Dei patris, una cum sancto Spiritu in sæcula. Amen.

Περὶ μὲν οὖν πίστεως, ἤγουν ὁμοουσιότητος, Πατρὸς, καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, ἐν ἀρχῇ τοῦ βιβλίου ἀρκούντως ἐξεθέμεθα· νῦν δὲ διὰ τὴν κινηθεῖσαν αἵρεσιν, μετὰ παῤῥησίας ὁμολογοῦμεν καὶ κηρύττομεν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν μονογενῆ Υἱὸν καὶ Λόγον τοῦ Πατρὸς, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, σαρκωθῆναί τε καὶ ἐνανθρωπῆσαι ἐκ Πνεύματος ἁγίου, καὶ ἐκ τῆς ἁγίας ἐνδόξου Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας, Θεὸν τέλειον τὸν αὐτὸν, καὶ ἄνθρωπον τέλειον, ἕνα καὶ μόνον Υἱόν· καὶ πρὸ τῆς σαρκώσεως, καὶ μετὰ τὴν σάρκωσιν·. ὁμοούσιον τῷ Πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα· κατὰ πάντα ὅμοιον ἡμῖν, χωρὶς ἁμαρτίας, γενόμενον ἄνθρωπον· πρὸ αἰώνων μὲν ἐκ τοῦ Πατρὸς γεννηθέντα κατὰ τὴν Θεότητα· ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, καὶ τῆς ἁγίας Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, ἕνα καὶ μόνον Υἱὸν, ἐν δύο φύσεσιν, ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως γνωριζόμενον. Δύο γὰρ φύσεις συνῆλθον ἀλλήλαις καθ' ἕνωσιν ἀδιάσπαστον, ἀχώριστον, ἀσύγχυτον, ἄτρεπτον. Ἡ γὰρ σὰρξ, σάρξ ἐστιν, καὶ οὐ θεότης, εἰ καὶ γέγονεν Θεοῦ σὰρξ· ὁμοίως καὶ ὁ Λόγος, Θεός ἐστι, καὶ οὐ σὰρξ, εἰ καὶ ἰδίαν ἐποιήσατο τὴν σάρκα οἰκονομικῶς. Δύο τοίνυν τὰς φύσεις φαμὲν εἶναι· ἕνα δὲ Χριστὸν, καὶ Υἱὸν, καὶ Κύριον, τὸν τοῦ Θεοῦ Λόγον, ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον. Ἐπειδὴ διάφοροι μὲν αἱ πρὸς τὴν ἀληθινὴν ἑνότητα συναχθεῖσαι φύσεις· εἷς δὲ ἐξ ἀμφοῖν Χριστὸς καὶ Υἱός· οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, ἀποτελεσασῶν δὲ μᾶλλον ἡμῖν, τὸν Κύριον, καὶ Χριστὸν, καὶ Υἱὸν, θεότητός τε καὶ ἀνθρωπότητος διὰ τῆς ἀῤῥάστου καὶ ἀπερινοήτου πρὸς ἑνότητα συνδρομῆς.

per nulli explicandum et incogitabilem prorsus unum Dominum et Christum et Filium.

Οὕτως καὶ ἡμεῖς, ἤτοι ἡ καθολικὴ Ἐκκλησία, πιστεύομεν, ὡς καὶ οἱ μεγάλοι φωστῆρες καὶ διδάσκαλοι τῆς ἀληθείας, Ἀθανάσιος, Βασίλειος, Γρηγόριος, Ἰωάννης, καὶ Κύριλλος, ὁ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως· καὶ τοὺς μὴ οὕτως φρονοῦντας ἀποστρεφόμεθα καὶ ἀναθεματίζομεν, μετὰ τῶν ὑπογεγραμμένων αἱρέσεων τῶν μετὰ τὴν παρουσίαν τοῦ Κυρίου, κατὰ διαφόρους καιροὺς παραφυέντων· ὧν τὰ ὀνόματά ἐστιν ταῦτα· Σιμωνιανοὶ, Μενανδριανοὶ, Σατορνιανοὶ, Βασιλιδιανοὶ, Νικολαΐται, Γνωστικοὶ, Καρποκρατιανοὶ, Κηρινθιανοὶ, Ναζωραῖοι, Ἀβιωναῖοι, Οὐαλεντιανοὶ, Σεκουνδιανοὶ, Πολεμαῖοι, Μαρκώσιοι, Κολορβάτιοι, Ἡρακλεωνῖται, Ὀφῖται, Καϊανοὶ, Σηθιανοὶ, Ἀρχοντικοὶ, Κερδωνιανοὶ, Μαρκιωνισταὶ, Λουκιανισταὶ, Ἀπελιανοὶ, Σευηριανοὶ, Τατιανοὶ, Ἐγκρατισταὶ, κατὰ Φρυγαστῶν, καὶ Μοντανιστῶν καὶ Ἀσκοδρουγιτῶν, Πεπουζιανοὶ, ἢ Πρισκιλλιανοὶ, οἱ Κεκεντιλιανοὶ, οἷς συνάπτονται Ἀρτοτυρῖται, Τεσσαρεσκαιδεκατῖται, Ἄλογοι,

Ac de fide quidem sive de consubstantialitate Patris et Filii, et Spiritus sancti, sufficienter a nobis initio libri dictum est : jam vero propter hæresim, quæ exorta est, cum fiducia confitemur et prædicamus Dominum nostrum Jesum Christum unigenitum Filium et Verbum Patris, lumen de lumine, Deum **1245** verum de Deo vero, incarnatum esse atque hominem factum ex Spiritu sancto et sancta et gloriosa Dei Genitrice ac semper Virgine Maria : qui ipse perfectus fuit Deus et perfectus homo, unus et solus Filius et ante incarnationem, et post incarnationem, consubstantialis Patri secundum divinitatem, et consubstantialis nobis secundum humanitatem : similis nobis per omnia factus homo, excepto peccato : qui ante sæcula quidem ex Patre natus est secundum divinitatem, novissimis autem diebus idem propter nos et propter nostram salutem ex sancta dei Genitrice semperque Virgine Maria prodiit unus et solus Filius, qui in duabus naturis inconfuse, invariabiliter, indivise inclaruit atque innotuit orbi. Duæ enim naturæ, unitate prorsus indissolubili, inter sese convenerunt : unitate, inquam, inseparabili, inconfusa, immutabili. Caro enim caro est et non Deitas : tametsi facta est Dei caro, etiamsi dispensatorie propriam sibi fecit eam carnem. Duas itaque profitemur esse naturas ; unum autem astruimus esse Christum, Filium et Dominum, Dei Verbum, et qui homo factus est, et carnem assumpsit. Jam quando differentes quidem hæ verissima unione counitæ sunt naturæ, unus autem ex utraque natura Christus et idem Filius, non sic alioqui asserta naturarum differentia propter unionem, magis autem, quia Dei hominisque naturæ concursum ad illam unionem nobis perficiunt

Sic nos sive catholica Ecclesia credimus, quemadmodum et magna illa Ecclesiæ luminaria ac doctores veritatis, Athanasius, Basilius, Gregorius, Joannes, Cyrillus magnæ Alexandrinorum civitatis episcopus. Quare illos qui præter horum dogmata senserunt, aversamur, repudiamus et exsecramur, cum subscriptis hæresibus quæ succedaneis temporibus adnatæ sunt post Domini adventum. Ejusmodi hæreticorum nomina sunt hæc : 1, Simoniani. 2, Menandriani. 3, Satorniani. 4, Basilidiani. 5, Nicolaitæ. 6, Gnostici. 7, Carpocratiani. 8, Nazaræi. 9, Hebionæi. 10, Valentiani. 11, Secundiani. 12, Polemæi. 13, Marcosii, 14, Colorbatii. 15, Heracleonitæ. 16, Ophitæ. 17, Caiani. 18, Sithiani. 19, Archontici. 20, Cerdoniani. 21, Marcionistæ. 22, Lucianistæ. 23, Apelliani. 24, Severiani. 25, Tatiani. 26, Encratitæ. 27, adversus Phrygastas et Montanistas, Ascodrougetas. 28, Pepusiani. 29,

[76] Act. IV, 12.

Priscillíani, Cecentilíani, quos consequuntur Artotitæ. 30, Tessares-Kai-decatitæ. 31, Alogi. 32, Adamiani. 33, Sampsæi, qui et Celsæi. 34, Theodotiani. 35, Melchisedeciani. 36, Bardisiani. 37, Noetiani. 38, Valesii. 1246 39, Kathari, qui et Anabiti. 40, Angelici. 41, Apostolici qui et Apotactiotæ. 42, Sabelliani. 43, Origenarii : qui et Eschropœi. 44, Origeniani alii qui et Adamantii. 45, Paulus Samosatensis. 46, Manichæi. 47, Hierarcitæ. 48, Melitiani. 49, Ariani, qui et Ariomanitæ. 50, Andiani. 51, Photiniani. 52, Marcelliani. 53, Hemiarii. 54, Pneumatomachi. 55, Aeriani. 56, Etiani, qui et Anomii, et Eunomiani, et Eudoxiani. 57, Dimœritæ, qui et Apollinaridæi. 58, Antidicomarianitæ : isti faciunt ad invidiam nominis, inter placentulas quas vocant, collyridas Mariæ. 59, Mesaliani. 60, Euchitæ. Hucusque sanctus Epiphanius exposuit. Posthæc hæreseon portenta fuerunt hi : Evagrius et Didymus, qui secundum dogmata Origenis, puta præexsistentiam rerum atque earum restitutionem senserunt. Theodorus Mopsuestius, Diodorus et Nestorius qui suo sensu duo astruunt esse filios. His concinit Mares vir Persa, et Epistola quæ dicitur, Iba. Secundum hos Eutyches, imaginationem, opinionem et confusionem sentiens : quem quidem sequuntur Dioscorus, Theodosius, Gæanus, Timotheus qui et Hælurus, Petrus qui et illud commentus est : nempe, ut Trisagio hymno accederet quartus σταυρωθεὶς, id est crucifixus. Petrus Mungus, Severus ille Acephalus, Soterichus ex Cæsarea Cappadociæ, Philoxenus Hierapolitanus, Amphilochius Pisidiæ, Jacobus Sytus, et Julianus : et si quis secundum hos talis fuerit. Hæc quidem, in tui gratiam contraxi, venerabilis Pater Eustathi : ut declarem quod unaquæque harum hæreseon ab uno aliquo homine momenclaturam cognominem sortita, docet ejusmodi virum desertorem esse ac refugam Christi. Neque enim isti tolerant dici se Christianos : magis autem assectatores sectæ vel Nestorianæ, Severianæ, Jacobiticæ, aut cognomine quovis præscriptorum. Atqui tempestivum jam est, ut ex ingenti tempestate hac nimis quam procellosa et turbulenta, deinceps enavigemus : ab impuris spiritibus profundæ voraginis hæreseon nos recipiamus ad tranquillum portum cœlestis regni : utque leniter aspirante aura Spiritus sancti, sermonem illinc redordiamur unde eramus digressi. Dicebamus sane esse opus non mediocri agone et fatigatione, ut perfruamur cœlesti regno. Neque enim de consecutione temporarii cujuspiam regni, et quod a gente in gentem transfertur, nobis sermo est, sed pro vita nullo fine intercipienda, pro regno nullum admissuro succedaneum hæredem, iste agon proponitur subeundus. Ait enim Daniel : « Aspiciebam, et cornu illud faciebat bellum cum sanctis, et prævalebat adversus eos donec venit Antiquus dierum, et judicium dedit sanctis Altissimi : et tempus pervenit, et regnum obtinuerunt sancti :

A Ἀδαμιανοὶ, Σαμψαῖοι, οἱ καὶ Ἑλκεσαῖοι, καὶ Θεοδοτιανοὶ, Μελχισεδεκιανοὶ, Βαρδισιανοὶ, Νοητιανοὶ, Οὐαλήσιοι, Καθαροὶ οἱ καὶ Ἀναβιτοὶ, Ἀγγελικοὶ, Ἀποστολικοὶ, οἱ καὶ Ἀποτακτικοὶ, Σαβελλιανοὶ, Ὠριγενιανοὶ, οἱ καὶ Αἰσχροποιοὶ, Ὠριγενιανοὶ ἄλλοι τε καὶ Ἀδαμαντιανοὶ, Παῦλος Σαμοσατέως, Μανιχαῖοι, Ἑρακεῖται, Μελιτιανοὶ, Ἀρειανοὶ, οἱ καὶ Ἀρειομανῖται, Ἀνδιανοὶ, Φωτινιανοὶ, Μαρκελλιανοὶ, Ἡμιάρειοι, Πνευματομάχοι, Ἀεριανοὶ, Ἀετιανοὶ, οἱ καὶ Ἄνομοι, Εὐνομιανοὶ, Εὐδοξιανοὶ, Διμοιρῖται, οἱ καὶ Ἀπολιναρῖται, Ἀντιδικομαριανῖται, οἱ εἰς ὄνομα τῆς αὐτῆς Μαρίας κολλυρίδας ποιοῦντες· Μεσαλιανοὶ, οἱ καὶ Εὐχῖται. Ἕως τῶν ὧδε ὁ ἅγιος Ἐπιφάνιος ἐξέθετο. Μετὰ δὲ τούτους γεγόνασιν, Εὐάγριος, καὶ Δίδυμος τὰ Ὠριγένους φρονοῦντες πρὸς ὕπαρξιν καὶ ἀποκατάστασιν, Θεόδωρος ὁ Μοψουεστίας, καὶ Διόδωρος, καὶ ὁ B Νεστόριος ἐνὶ φρονήματι δύο υἱοὺς λέγοντες. Τούτοις συμφωνεῖ Μάρις ὁ Πέρσης· καὶ ἡ λεγομένη Ἠβὰ Ἐπιστολή· μετὰ τούτους Εὐτυχὴς, φαντασίαν, καὶ δόκησιν, καὶ σύγχυσιν φρονῶν· ᾧτινι ἕπεται Διόσκορος, Θεοδόσιος, Γαΐανὸς, Τιμόθεος ὁ Αἴλουρος, Πέτρος, ὁ τὸ, *ὁ σταυρωθεὶς*, εἰς τὸ Τρισάγιον ἐπινοήσας, Πέτρος ὁ Μουγγὸς, Σεῦηρος ὁ Ἀκέφαλος, Σωτήριχος, ἐκ Σαμαρίας Καππαδοκίας, Φιλόξενος Ἱερᾶς πόλεως, Ἀμφιλόχιος ὁ Πισίδης, Ἰάκωβος ὁ Σῦρος, καὶ Ἰουλιανός· καὶ εἴ τις κατ' αὐτοὺς τοιοῦτος. Ταῦτά σοι ἀπίστειλα, τίμιε Πάτερ Εὐστάθιε, δεικνὺς, ὅτι ἑκάστη αἵρεσις, ἐπ' ὀνόματί τινος ἀνθρώπου ὀνομαζομένη, ἀποστασίαν ἀπὸ Χριστοῦ διδάσκει. Οὐ γὰρ ἀνέχονται Χριστιανοὶ καλεῖσθαι, ἀλλὰ Νεστοριανοὶ, καὶ C Σευηριανοὶ, καὶ Ἰακωβῖται, ἢ καὶ ἄλλῳ ὀνόματι τῶν προγεγραμμένων. Ἀλλὰ ἀνανήψωμεν λοιπὸν ἐκ τῆς ζαλοειδοῦς τρικυμίας, καὶ τῶν ἀκαθάρτων πνευμάτων τοῦ βυθοῦ τῶν αἱρέσεων ἐπὶ τὸν εὔδιον λιμένα τῆς βασιλείας τῶν οὐρανῶν· καὶ ἀναλάβωμεν τὸν λόγον ταῖς αὔραις τοῦ ἁγίου Πνεύματος, ὅθεν αὐτὸν κατελίπομεν. Λέγωμεν τοίνυν ὅτι πολλοῦ ἀγῶνος καὶ κόπου χρεία, ἵνα τύχῃ τις τῆς βασιλείας τῶν οὐρανῶν· οὐδὲ γὰρ περὶ προσκαίρου, καὶ μεθισταμένης ἡμέρας ὁ λόγος, ἀλλὰ περὶ ἀϊδίου ζωῆς ὁ ἀγὼν καὶ βασιλείας διαδόχου. Φησὶν γὰρ ὁ Δανιὴλ· « Ἐθεώρουν, καὶ τὸ κέρας ἐκεῖνο ἐποίει πόλεμον μετὰ τῶν ἁγίων, καὶ ἴσχυεν πρὸς αὐτοὺς, ἕως οὗ ἦλθεν ὁ παλαιὸς τῶν ἡμερῶν, καὶ τὸ κρῖμα ἔδωκεν ἁγίοις Ὑψίστου· καὶ ὁ καιρὸς ἔφθασεν, καὶ D τὴν βασιλείαν κατέσχον οἱ ἅγιοι· καὶ ἡ βασιλεία, καὶ ἡ ἐξουσία, καὶ ἡ μεγαλωσύνη τῶν βασιλέων ὑπὸ κάτω παντὸς τοῦ οὐρανοῦ, ἐδόθη ἁγίοις Ὑψίστου. » Καὶ ὁ Ἰωάννης· « Αὕτη ἐστὶν ἡ ἐπαγγελία ἣν ἐπηγγείλατο ἡμῖν δοῦναι, τὴν ζωὴν τὴν αἰώνιον. » Καὶ ὁ Παῦλος. « Ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. » Καὶ πάλιν· « Ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγαπήσεως αὐτοῦ. « Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες ἔχομεν χάριν, δι' ἧς λατρεύομεν εὐαρίστως τῷ Θεῷ. Οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰ-

κοδομὴν ἐκ Θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον ἐν τοῖς οὐρανοῖς. » Καὶ ὁ Πέτρος, « Οὕτως γὰρ πλουσίως ἐπιχορηγηθήσεται ἡμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. » Ὁ δὲ Κύριος ἡμῶν καὶ Σωτὴρ. « Ἡ βασιλεία, φησὶν, τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. » Καί· « Ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστιν. » Καὶ πάλιν, « Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι. » Καὶ, « Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. » Καὶ, « Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν. Ἀποστελεῖ γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου, τοὺς ἀγγέλους αὐτοῦ, καὶ συνάξει ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα, καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ βάλλουσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός. Τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν. » Ὅτι αὐτοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, πάντοτε νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A et regnum et potestas, et majestas regum qui subter omne cœlum, data sunt sanctis Altissimi [71]. » et Joannes : « Hæc est promissio quam promisit nobis, vita æterna [72] » **1247** Paulus : « Nostra conversatio in cœlis est, unde etiam Salvatorem exspectamus Dominum nostrum Jesum Christum, qui reformabit corpus humilitatis nostræ configuratum corpori claritatis suæ [73]. » Iterum : « Qui eripuit nos de potestate tenebrarum et transtulit in regnum Filii dilectionis suæ [74]. »—« Propter quod regnum stabile et inconcussum accipientes, habemus gratiam, per quam Deo placide obsequimur [75].—Scimus enim quia si terrestris domus nostra hujus habitationis dissolvatur, quod ædificationem ex Deo habemus, domum non manufactam, æternam in B cœlis [76]. » Petrus item : « Sic enim abundanter administrabitur vobis introitus in æternum regnum Domini nostri Jesu Christi [77]. » Dominus quoque noster, et nostræ omnium salutis vindex, ait : « Regnum cœlorum vim patitur, et violenti rapiunt illud [78]. » Et : « Regnum cœlorum intra vos est [79]. » Iterum : « Beati pauperes spiritu [80], » et « Qui persecutionem patiuntur propter justitiam, quoniam ipsorum est regnum cœlorum [81]. » Et : « Venite, benedicti Patris mei, possidete paratum vobis regnum a constitutione mundi [82]. »— « Mittet enim Filius hominis angelos suos, et congregabit de regno suo omnia scandala, et qui faciunt iniquitatem : et mittent eos in caminum ignis. Tunc justi fulgebunt sicut sol in regno Patris eorum [83]. » Ipsi enim est regnum et potentia et gloria Patris, et Filii, et Spiritus sancti ; ubivis locorum et nunc, et semper, et in sæcula intermina sæculorum. Amen.

[71] Dan. VII, 21, 22, 27. [72] I Joan. II, 25. [73] Phil. III, 21, 22. [74] Coloss. I, 13. [75] Hebr. XII, 28. [76] II Cor. V, 1. [77] II Petr. I, 11. [78] Matth. XI, 12. [79] Luc. XVII, 21. [80] Matth. V, 3. [81] ibid. 10. [82] Matth. XXV, 34. [83] Matth. XIII, 41-43.

ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ, ΚΑΙ ΕΞΟΜΟΛΟΓΗΣΕΩΣ.

EXOMOLOGESIS S. P. ANTIOCHI.

Κύριε, ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μέγας καὶ θαυμαστὸς, ὁ φυλάσσων τὴν διαθήκην σου, καὶ τὸ ἔλεός σου τοῖς ἀγαπῶσί σε καὶ τοῖς φυλάσσουσι τὰς ἐντολάς σου, μνήσθητι τῶν οἰκτιρμῶν σου καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνος εἰσίν· καὶ μὴ ἐπιλάθῃ τῆς διαθήκης σοῦ λέγων· « Ἐὰν τὰς ἐντολάς μου μὴ φυλάξητε, ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας ὑμῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας ὑμῶν· τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀφ' ὑμῶν, καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω. » Πιστωθήτωσαν οἱ λόγοι σου, Δέσποτα ἀγαθὲ, καὶ ἆρον τὰς ἁμαρτίας ἡμῶν, ὁ οἰκτίρμων καὶ μακρόθυμος· ὅτι σοὶ, Κυρίῳ τῷ Θεῷ ἡμῶν, ἡ δικαιοσύνη. Ἡμῖν δὲ ἡ αἰσχύνη τῶν προσώπων ἐκάλυψεν, ὡς ἡμέρα αὕτη, ὅτι ἡμάρτομεν ἐναντίον σου, Κύριε, καὶ οὐκ εἰσηκούσαμεν τῆς φωνῆς σου, τοῦ πορεύεσθαι ἐν τοῖς προστάγμασί σου, οἷς ἔδωκας κατὰ πρόσωπον ἡμῶν. Ἀλλ' ἠθετήσαμέν σε, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ ἐκολλήθη εἰς ἡμᾶς τὰ κακὰ τὰ μεγάλα ταῦτα. Καὶ

C Domine, Deus omnipotens, magnus tu et admirabilis, qui custodis testamentum tuum et misericordiam tuam his qui te diligunt et custodiunt mandata tua! Memor esto miserationum tuarum et copiosæ misericordiæ tuæ, quæ a sæculo sunt Ne obliviscaris testamenti tui, qui dixisti : « Si mandata mea non custodieritis, visitabo in virga iniquitates vestras, et in verberibus injustitias vestras : misericordiam autem meam non dispergam a vobis : et quæ procedunt per labia mea, non faciam irrita [84]. » Confirmentur sermones isti tui, Here benignissime : et aufer peccata nostra, quippe qui miserator es longanimis. Tibi enim Domino Deo nostro, justitia ; nobis autem confusio facies nostras adoperuit, ut hæc dies probat : qui peccavimus coram te, Domine, neque exaudivimus vocem tuam, ut ambularemus in mandatis tuis quæ dedisti in conspectu nostro : sed contempsimus te, Domine Deus noster, eoque cohæserunt nobis in-

D

[84] Psal. LXXXVIII, 32-35.

gentia mala hæc. Ne sic quidem conversi sumus ad custodiam mandatorum tuorum, **1248** sed abivimus unusquisque in sensu pravi cordis nostri, ut faceremus quæ mala sunt coram oculis tuis, Domine.

A οὐδ' οὕτως ἐπεστρέψαμεν φυλάξαι τὰ προστάγματά σου· ἀλλ' ἐρχόμεθα ἕκαστος ἐκ διανοίας ἡμῶν τῆς πονηρᾶς ποιῆσαι τὰ πονηρὰ κατ' ὀφθαλμῶν σου, Κύριε.

Ecce sanctuaria nostra hæc deserta : Divinitas igni succensa est, populus in captivitatem abductus, facti sumus in opprobrium his qui in circuitu nostro sunt. Facti sumus subtus et non supra : quia peccavimus tibi Domino Deo nostro, eo quod non audivimus vocem tuam. Ob hoc expulisti nos, et commovisti terram et conturbasti eam: Cæterum tu longanimis cum sis et copiosæ misericordiæ sana contritiones ejus, quia commota est vehementer. Populus enim tuus expertus est dura, super quo frustra invocatum est nomen tuum. Impleti sunt sermones prophetarum tuorum super nos, quia « Venerunt gentes in hæreditatem tuam, et polluerunt templum tuum [85], » in quo mysterium perfectum est dispensationis Unigeniti tui, et sanctuarium tuum igni succenderunt; quin et, « Jerusalem posuerunt in pomorum custodiam [86]. » Morticina servorum tuorum in medio juxta ac in circuitu Jerusalem passim disjecta sunt, « Nec erat qui sepeliret [87] » Fortitudinem nostram, ornamentum ac decus; salutis inquam nostræ spem, nempe crucem Christi, tradidisti fidei adversariis (1). Facti sumus opprobrium tam vicinis quam qui longissime dissiti sunt, subsannatio et derisio omnibus gentibus. Avertisti enim nos retrorsum post inimicos nostros, et qui oderunt nos, diripiebant sibi. Dedisti nos tanquam oves ad escam expositas, et inter gentes dispersisti nos. Vendidisti populum tuum sine pretio, et non erat multitudo in commutationibus nostris. Tradidisti nos in manus inimicorum exlegum, ac regi iniquo, omniumque qui per universam terram gradiuntur longe malignissimo addixisti nos. Ne sic quidem universis flagellis tuis attriti indoluimus : adeo sensus nostri nimia contentione ac studio in malum propendent abusque pueritia. Sed et ad annos provecti viriles, in hujusmodi vitiis solito amplius occallescimus. Prorsus Domine, justus tu, in omnibus quæ fecisti nobis; nunc demum scimus, quia peccata nostra ipsa restiterunt nobis : peccata enim nostra nimis quam multa increverunt in conspectu tuo, Domine.

Καὶ ἰδοὺ τὰ ἅγια ἡμῶν ἔρημα, καὶ ἡ πόλις πυρίκαυστος, καὶ ὁ λαὸς αἰχμάλωτος, καὶ ἐγενόμεθα εἰς ὀνειδισμὸν, καὶ εἰς ἄβατον τοῖς κύκλῳ ἡμῶν· καὶ ἐγενήθημεν ὑπὸ κάτω, καὶ οὐκ ἐπάνω, ὅτι ἡμάρτομέν σοι, Κυρίῳ τῷ Θεῷ ἡμῶν, πρὸς τὸ μὴ ἀκούειν τῆς φωνῆς σου. Διὰ τοῦτο ἀπώσω ἡμᾶς, καὶ καθεῖλες ἡμᾶς, καὶ συνέστεισας τὴν γῆν, καὶ συνετάραξας αὐτήν. Ἀλλ' ὡς μακρόθυμος, καὶ πολυέλεος, ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη σφόδρα. Ὁ γὰρ λαός σου ἴδεν σκληρὰ, οὗ τὸ ὄνομά σου τὸ καινὸν B ἐπικέκληται ἐπ' αὐτόν. Ἐπληρώθησαν γὰρ οἱ λόγοι τῶν προφητῶν σου ἐφ' ἡμᾶς, ὅτι « Ἦλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, καὶ ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου, » ἐν ᾧ τὸ τῆς οἰκονομίας τοῦ μονογενοῦς σου Υἱοῦ ἐτελεσιουργήθη μυστήριον, καὶ ἐνέπρησαν πυρὶ τὸ ἁγιαστήριόν σου, « Καὶ ἔθεντο Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον, » καὶ τὰ θνησιμαῖα τῶν δούλων σου, ἐν μέσῳ καὶ κύκλῳ Ἱερουσαλήμ· « Καὶ ὁ θάπτων οὐκ ἦν. » Καὶ τὴν ἰσχὺν ἡμῶν, καὶ καλλονὴν, καὶ τὸ σωτήριον ἡμῶν τὸν σταυρὸν τοῦ Χριστοῦ σου παρέδωκας τοῖς ὑπεναντίοις, καὶ ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, καὶ τοῖς μακρὰν μυκτηρισμὸς καὶ χλευασμὸς πᾶσι τοῖς ἔθνεσι, ὅτι ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν. Καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς. Ἔδωκας γὰρ C ἡμᾶς ὡς πρόβατα βρώσεως, καὶ ἐν τοῖς ἔθνεσιν διέσπειρας ἡμᾶς, καὶ ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς, καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλαλάγμασιν ἡμῶν. Παρέδωκας γὰρ ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν· καὶ ἐν πάσαις ταῖς μάστιξιν ταύταις οὐκ ἐπονέσαμεν, διότι ἐπιμελῶς ἔγγυται ἡ διάνοια ἡμῶν ἐπὶ τὰ πονηρὰ, ἐκ νεότητος ἡμῶν· καὶ περισσῶς ἐπὶ τοῖς κακοῖς ἀνδριούμεθα. Ὄντως δίκαιος εἶ, Κύριε, ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν. Οἴδαμεν γὰρ, ὅτι αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν, ὅτι πολλαὶ αἱ ἀνομίαι ἡμῶν σφόδρα ἐναντίον σου, Κύριε.

Sed misericordia tua, Domine, anticipet nos, quia tu in nobis, Domine, et nomen tuum sanctum invocatum est super nos. Quiescat (obsecro) ira-furoris tui, et ne confundas nos in finem, neque memineris iniquitatum nostrarum antiquarum, ac, ne a nobis quidem recens commissarum, neu indignos nos pronunties tuis miserationibus : quin potius reminiscere, quia tanti nos æstimavit tua benignitas, quos pretioso tuo sanguine redimeres. Peccavimus, placare Domine : inique gessimus : tua Here condonet indulgentia; offendimus, conciliator sancte. Illustra faciem tuam, Domine, super servos

Ἀλλ' ἡ ἐλεημοσύνη σου, Κύριε, φθασάτω ἐφ' ἡμᾶς, ὅτι σὺ ἐν ἡμῖν, Κύριε, καὶ τὸ ὄνομά σου τὸ ἅγιον ἐπικέκληται ἐφ' ἡμᾶς. Κόπασον δι' ὀργὴν θυμοῦ σου, καὶ μὴ καταισχύνῃς ἡμᾶς εἰς τέλος, μηδὲ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων, μηδὲ προσφάτων, μηδὲ ἀναξίους κρίνῃς ἡμᾶς τῶν σῶν οἰκτιρμῶν· ἀλλὰ μνήσθητι, ὅτι τῷ τιμίῳ αἵματί σου ἐξηγόρασας ἡμᾶς. Ἡμάρτομεν, ἱλάσθητι, Κύριε· ἠνομήσαμεν, συγχώρησον, Δέσποτα· προσεκρούσαμεν, διαλλάγηθι, ἅγιε, καὶ ἐπίφανον, Κύριε, τὸ πρόσωπόν σου ἐπὶ τοὺς ἐν ἀπαγωγῇ δούλους σου, καὶ τὴν παρὰ σοῦ βοήθειαν ἐξαπόστειλον, δυνατὲ, καὶ ἐξελοῦ

[85] Psal. LXXVIII, 1. [86] ibid. [87] ibid.

NOTÆ.

(1) Antiochum vixisse sub Heraclio et Cosdroa, vel hinc liceat colligere.

τὸν λαόν σου ἐκ πάσης ταλαιπωρίας, καὶ λύτρωσον ἀπὸ πάσης παρανομίας, καὶ ἐκ χειρὸς παρανομούντων, καὶ διασκέδασον, Δέσποτα, πάντα κίνδυνον, διὰ τὴν εὐσπλαχνίαν σου, καὶ μὴ εἰς τέλος παραδῷς τὴν κληρονομίαν σου εἰς ἀπώλειαν, διὰ τὰς ἀνομίας ἡμῶν, ἀλλὰ ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, ὁ Θεὸς ἡμῶν, ὅτι τὰ ἐλέη σου ἀπ' αἰῶνος ἐπὶ τὴν κτίσιν σου. Καὶ σὺ καταφυγὴ πάντων ἡμῶν ἐγενήθης, καὶ σωτηρία τῶν ἐλπιζόντων ἐπὶ σέ. Γενοῦ ἡμῖν, Κύριε, πύργος ἰσχύος ἀπὸ προσώπου τῶν ἐχθρῶν ἡμῶν, καὶ μὴ συγχωρήσῃς ἀπολέσθαι εἰς χεῖρας τῶν μὴ εἰδότων σε, ψυχὰς ἐξομολογουμένων σοι. Μὴ καταδέξῃ, Κύριε, ἀτιμασθῆναι τὴν κληρονομίαν σου ὑπ' ἔθνους ἀναιδοῦς, ἀλλὰ κλῖνον, Κύριε, τὸ οὖς σου, καὶ ἐπάκουσον, καὶ ἔπιδε ἐξ οὐρανοῦ ἁγίου σου ἐπὶ τὸν ἀφανισμὸν ἡμῶν, καὶ τῆς πόλεώς σου Ἰερουσαλήμ, ἐφ' ἧς ἐπικέκληται τὸ ὄνομά σου ἐπ' αὐτῆς, καὶ ἐπὶ τὴν Ἐκκλησίαν σου, ἣν ᾠκοδόμησας ἐπὶ τὴν πέτραν, λέγων· « Πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. » Εἰσάκουσον, Κύριε, τῆς προσευχῆς τῶν δούλων σου, καὶ τῆς δεήσεως ἡμῶν ἐνώτισαι, καὶ ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸ ἁγίασμά σου, ὅτι οὐκ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν θαρροῦντες προσφέρομέν σοι τὴν ἱκεσίαν (ἀεὶ γὰρ παροξύνομέν σε), ἀλλ' ἐπὶ τοὺς οἰκτιρμούς σου, Κύριε, τοὺς πολλούς. Εἰσάκουσον, Κύριε, ἱλάσθητι, Κύριε, πρόσχες, φεῖσαι τοῦ λαοῦ σου, Δέσποτα, « Καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος, τοῦ καταρᾶσαι αὐτὴν ἔθνη, ὅπως μὴ εἴπωσιν, Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; » Μηδὲ διὰ τὰς ἀνομίας ἡμῶν βλασφημηθῇ τὸ ὄνομά σου ἐν τοῖς ἔθνεσιν, τοῖς μὴ εἰδόσιν σε. Σοὶ, Κυρίῳ τῷ Θεῷ ἡμῶν, ἡ δικαιοσύνη, ἡμῖν δὲ ἡ αἰσχύνη τῶν προσώπων ἕως τοῦ νῦν· ὅτι ἕως τούτων οὐκ ἐνετράπημεν, διότι σχληροτράχηλοί ἐσμεν· « Εἰ ἀλλάξει Αἰθίωψ τὸ δέρμα αὐτοῦ, » καὶ ἡμεῖς τὴν κακίστην προαίρεσιν ἡμῶν. Πάντα τὰ κακὰ ταῦτα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐνετράπημεν τοῦ μετανοῆσαι, ἀλλὰ καὶ προσεθήκαμεν ἁμαρτίας ἐφ' ἁμαρτίας ἡμῶν, οὐδὲ ἐδεήθημεν τοῦ προσώπου σου, Κύριε, τοῦ ἀποστῆναι τῶν διανοημάτων τῆς καρδίας ἡμῶν τῆς πονηρᾶς· καὶ ἐγρηγόρησας, Κύριε, ἐπὶ τοῖς κακοῖς ἡμῶν, καὶ ἐπήγαγες ἐφ' ἡμᾶς τὴν ῥάβδον τοῦ θυμοῦ σου, ὅτι δίκαιος εἶ, Κύριε, ἐν πᾶσιν, ὅτι οὐκ ἠκούσαμεν τῆς φωνῆς σου, πορεύεσθαι ἐν ταῖς ἐντολαῖς σου. Ἀλλὰ νῦν, Κύριε, ὁ Θεὸς ἡμῶν, ὃς ἐρύσω ἐκ τῆς πλάνης τῶν εἰδώλων ἐν σημείοις καὶ τέρασιν, καὶ ἐποίησας ἑαυτῷ ὄνομα ἕως τοῦ νῦν, κόπασον, Κύριε· ὅτι κατελήφθημεν ὀλιγοστοὶ ἐπὶ γῆς, καὶ ἐγενήθημεν ὡς ἀκάθαρτοι πάντες ἡμεῖς. Ὡς γὰρ ῥάκος ἀποκαθημένης ἡ δικαιοσύνη ἡμῶν, καὶ ἐξερρύημεν ὡς φύλλα διὰ τὰς ἁμαρτίας ἡμῶν. Καὶ νῦν, Κύριε, Πατὴρ ἡμῶν σὺ εἶ, ἡμεῖς δὲ πηλός, ἔργα χειρῶν σου πάντες· μὴ ὀργίζου ἡμῖν σφόδρα, καὶ μὴ ἐν καιρῷ μνησθῇς ἁμαρτιῶν ἡμῶν, ἀλλ' ἐπίβλεψον, Κύριε, ὅτι λαός σου πάντες ἡμεῖς. Ἡ πόλις τοῦ ἁγίου σου ἐγενήθη ἔρημος, καὶ ἡ δόξα Σιὼν ἐγενήθη πυρίκαυστος, καὶ πάντα τὰ ἔνδοξα ἡμῶν

A tuos qui tyrannica impressione premuntur inclementer; **1249** eque solio sublimi tuo emitte eis et suggere auxilium, o potens, populum tuum ab omni calamitate, cui misere succumbit, eripe, et ab omni legis tuæ prævaricatione redimito, et e manu prævaricatorum subduc illos. Per tuæ viscera pietatis excute a nobis, Domine, ac disperge impendens omne vitæ discrimen; neque in finem tuam hanc hæreditatem tradideris in internecionem, tametsi nostræ iniquitates id promereantur. Quin potius, tuæ nos anticipent miserationes, Domine, Deus noster: Etenim a sæculo non desinis copiosæ et exuberantis misericordiæ tuæ dona effundere in omnem creaturam tuam. Tu quidem omnium nostrum refugium factus es; et in te sperantium asylum salutare. Esto nobis, Domine, turris fortitudinis a facie inimicorum nostrorum; neu sinas ad internecionem et cladem extremam tradi in eorum manus qui te non noverunt, animas confitentium tibi; neque patiaris, Domine, tam insigni ignominia aspergi hæreditatem tuam a gente sic effreni et impudenti. Magis tu, inclina, Domine, aurem tuam, et exaudi ac respice de cœlo sancto tuo ad hanc nostram exinanitionem, ad demolitionem et excidium civitatis tuæ Jerusalem, pro qua invocatum est nomen tuum, super ipsam cunctam Ecclesiam tuam; cujus substructionem supra solidam petram collocasti, dicens: « Portæ inferi non prævalebunt adversus eam [88]. » Exaudi, Domine, orationem servorum tuorum; auresque tuas accommoda nostris deprecationibus. Illustra faciem tuam super sanctuarium tuum; neque enim fiducia subnixi justificationum nostrarum, nostram hanc supplicationem tuæ majestati offerimus (nam qua fronte id ausint, qui te quotidiana accessione peccatorum exacerbant?) magis vero sub umbram tuarum confugimus miserationum. Multæ enim sunt, Domine, exaudi; esto, Domine, placabilis, Domine attende: parce mihi, Domine, populo tuo: « Et ne des hæreditatem tuam in opprobrium, ut dominentur ei gentes, ne quando dicant: Ubi est Deus eorum [89]? » Neque propter iniquitates nostras unquam permiseris ut nomen tuum sanctum blasphemetur in gentibus, quæ te non noverunt. Tibi Domino Deo nostro justitia, nobis autem confusio vultus, usque in præsens. Huc enim usque negleximus ad te converti; callosæ adeo sumus ac præduræ cervicis. « Si mutabit Æthiops pellem suam [90]; » et nos vitæ hactenus pessime institutæ propositum immutabimus. Plane mala hæc omnia in nos propterea reciderunt, neque sic ad pœnitentiæ portum nos recepimus aut resipuimus: magis vero prioribus peccatis peccata adjecimus. Ne sic quidem, Domine, rogavimus faciem tuam, ut vel sero avocares nos a cogitationibus cordis nostri pessimi. Evigilasti tandem, Domine, exsperrectus super flagitiis nostris; et super nos induxisti

B

C

D

[88] Matth. xvi, 18. [89] Joel. ii, 17. [90] Jerem. xiii, 23.

virgam furoris tui; siquidem justus es, Domine, in omnibus : non enim exaudivimus vocem tuam, ut per viam mandatorum tuorum ingrederemur. Sed et nunc, Domine, Deus noster, **1250** quandoquidem in signis et portentis ab insano errore idololatriæ submovisti nos, fecistique tibi ipsi nomen usque in præsens : quiesce, obsecro, Domine. Imminuti enim sumus super terram, et tanquam immundi omnes nos affecti. Quasi enim pannus mulieris menstruo sanguine fluentis justitia nostra : inque morem marcescentium foliorum ipsi defluximus propter iniquitates nostras : non enim superest, qui invocet nomen tuum. Sane quam juste avertisti a nobis faciem tuam. Et nunc, Domine, Pater noster tu es : nos autem lutum, opera manuum tuarum nos. Ne irascáris nobis valde, neve in tempore memineris peccatorum nostrorum : quin potius vide, Domine, quia populus tuus omnes nos. Civitas sancti templi tui in solitudinem redacta est, et gloria Sion incendio conflagravit, simulque monumenta gloriæ nostræ universa conciderunt. Ad hæc etiam omnia allisisti nos, Domine, valide, et humiliasti vehementer. Neque enim viam inivimus vitæ melioris, magis autem per calles devios, nempe post peccata nostra. Parce, Domine, populo tuo et hæreditati tuæ, proque gloria nominis tui erue nos de manu inimicorum nostrorum, ut noverit terra omnis, quia tu Dominus Deus noster in bello potens, et miserationes tuæ in generationem et generationem perseverant super populum tuum, de se alioqui minus præsumentem. Cæterum, o hominum amator clementissime, quid te oremus peccatores, aut apprecemur nobis secundum quod oportet, plane nescimus, qui sumus terra et cinis; habemus tamen apud tuam benignitatem, qui pro nobis interpellet : nempe Verbum tuum nulla prorsus aspergine peccati decoloratum, quem per tuæ viscera miserieordiæ misisti, suum ut plasma revocaret in viam. Caro factus nostri causa passus est cruci se affigi. Is abolevit quod adversum nos erat, chirographum [91], peccatorum nostrorum factus propitiatio [92]. Sed et Spiritum sanctum tuum totius sanctitatis infusorem misit. Et hic pro nobis quoque interpellat [93] non quidem servili more, sed prout tantam addecet majestatem et consueta in nos benignitate; cui etiam curæ est tuum hoc plasma. Here mi, memor esto tantæ illius tuæ erga nos clementiæ. Crucis etiamnum reminiscere Unigeniti tui, et a magnitudine gloriæ tuæ nobis emitte miserationes tuas, neque non gratiam ac donum sancti tui Spiritus : qui suo ad nos gratioso adventu, recta provehat ad ea exempla quæ tibi cum primis placent : ac demum vitam illam assequi promereamur æternam. Nos igitur indigni licet, o Domine, fiducia tamen subnixi tuæ solius gratiæ; petimus propter immaculatum Filium ac Verbum Patris, Dominum Jesum Christum : qui dixit : « Petite, et dabitur vobis : quærite, et invenietis : pulsate, et aperietur vobis. Omnis enim qui petit, accipit : et qui quærit, invenit, et pulsanti aperietur [94]. » Iterum : « Si igitur vos cum sitis mali, nostis dona bona dare filiis vestris : quanto magis Pater vester cœlestis dabit Spiritum sanctum petentibus se ! [95]. » Eoque te decet gloria omnis, honor suspiciendus, et supplex cultus, o Pater, Fili, et Spiritus sancte, nunc et semper, et in sæcula sæculorum. Amen.

A συνέπεσεν, καὶ ἐπὶ πᾶσιν τούτοις ἀνέσχου, Κύριε, καὶ ἐταπείνωσας ἡμᾶς σφόδρα, ὅτι οὐκ ἐπορεύθημεν ἐν ὁδῷ ἀγαθῇ, ἀλλ' ὀπίσω τῶν ἁμαρτιῶν ἡμῶν· ἀλλὰ φεῖσαι, Κύριε, τοῦ λαοῦ σου, καὶ τῆς κληρονομίας σου, καὶ ἐξελοῦ ἡμᾶς ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου, ἵνα γνῷ πᾶσα ἡ γῆ ὅτι σὺ, Κύριε, ὁ Θεὸς ἡμῶν, δυνατὸς ἐν πολέμῳ, καὶ οἱ οἰκτιρμοί σου εἰς γενεὰν καὶ γενεὰν λαμβάνουσιν εἰς λαὸν ἀπεγνωσμένον. Ἀλλὰ τί προσευξόμεθα ἡμεῖς οἱ ἁμαρτωλοί, ὦ Δέσποτα φιλάνθρωπε, καθ' ὃ δεῖ οὐκ οἴδαμεν, γῆ καὶ σποδὸς ὑπάρχοντες. Ἔχομεν δὲ Παράκλητον ὑπὲρ ἡμῶν πρὸς τὴν σὴν ἀγαθότητα τὸν ἄχραντόν σου λόγον, ὃν διὰ σπλάγχνα ἐλέους σου ἀπέστειλας ἀνακαλέσασθαι τὸ ἴδιον πλάσμα, τὸν σαρκωθέντα, καὶ σταυρωθέντα ὑπὲρ ἡμῶν. B Αὐτὸς ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον, ἱλασμὸς γέγονεν τῶν ἁμαρτιῶν ἡμῶν. Καὶ τὸ Πνεῦμα δέ σου τὸ ἅγιον καὶ αὐτὸ ἐντυγχάνει ὑπὲρ ἡμῶν, οὐ δουλικῶς, ἀλλὰ θεοπρεπῶς, καὶ φιλανθρώπως; κηδόμενον τοῦ ἰδίου πλάσματός σου. Μνήσθητι, ὦ Δέσποτα, τῆς τοσαύτης σου περὶ ἡμᾶς ἀγαθότητος, καὶ τοῦ σταυροῦ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ κατάπεμψον ἡμῖν τοὺς οἰκτιρμούς σου καὶ τὴν χάριν, καὶ τὴν δωρεὰν τοῦ ἁγίου σου Πνεύματος, ἵνα τῇ ἀγαθῇ αὐτοῦ παρουσίᾳ ὁδηγήσῃ ἡμᾶς εἰς τὸ τὰ εὐάρεστά σοι διαπράττεσθαι, καὶ τυχεῖν τῆς αἰωνίου ζωῆς. Ἡμεῖς οὖν οἱ ἀνάξιοι, Δέσποτα, θαῤῥοῦντες αἰτοῦμεν διὰ τὸν εἰπόντα ἄχρονον Υἱὸν καὶ Λόγον σοῦ τοῦ Πατρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· « Αἰτεῖτε, καὶ C δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. » Καὶ πάλιν· « Εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει Πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν! » Ὅτι σοι πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[91] Coloss. II, 14. [92] Joan. II, 2. [93] Hebr. VII, 25. [94] Matth. VII, 7, 8. [95] Luc. XI, 13.

INDICES ANALYTICI.

I.

INDEX SCRIPTORUM ET HÆRETICORUM

QUORUM MENTIO IN ANASTASII *HODEGO.*

Revocatur lector ad paginas editionis nostræ.

Acephali, 151. 199. 203. 206. 259. 270. 271. 306. 310.

Acoluthus, Judæus Antinopolitanus, cum quo disceptationem suam memorat Anastasius (sive Ammonius Alex. potius) 250. — τῶν θ' ὁλανόμων καὶ Αἰγυπτιακῶν χωρῶν, ita legendum p. 124. pro τῶν θελονάνων. — πᾶσα δὲ ἡ Αἰγυπτίων, καὶ Ἀλεξανδρέων μάλιστα συνήθεια, φυσικὰ τἀληθῆ τῶν πραγμάτων ὀνομάζει, 136. Ἀλεξανδρέων ἰδιωτικὴ διάλεκτος, 161.

Ἄφρων, καὶ Ῥωμαίων καὶ Δυτικῶν γλῶτσα κατὰ τοὺς ἀρχαίους χρόνους οὕπω δογματικῶν λέξεων καὶ βάθους πεῖραν ἔχουσα, 193.

Ambrosius, 94. 103. 114. 118. 146. 148. 153. Πρὸς Γρατιανὸν τὸν βασιλέα, 148. Locus a Severianis corruptus, 186.

Ammonius, presb. Alex., contra (Julianum) Halicarnasseum, 42. 235. 243 (ubi vocat τὸν περὶ πάντα πολυπειρότατον τῶν ἐξηγητῶν), 244. Hujus Ammonii etiam mentio apud Anastasium Hexaemeron.

Amphilochius, 93. 113. 183. Πρὸς Σέλευκον τὸν υἱὸν Τραϊανοῦ. 145. Ἔγγονον Τραϊανοῦ. 156. ἐκ τοῦ λόγου εἰς τὸ, ὅτι Ὁ Πατήρ μου μείζων μού ἐστιν, 157.

Andreas (Samosatenus) Nestorianus contra Cyrillum Alex., 291. 294.

Antiochi, episcopi Ptolemaidis, dictum, μὴ συγχύσῃς τὰς φύσεις, καὶ οὐ ναρκήσεις περὶ τὴν οἰκονομίαν, 159.

Apollinaris, 95.

Ἀποστατῶν τῆς Ἐκκλησίας (ita Severianos vocat) objectiones contra libros Mosis, 284.

Ἀποστολικοὶ κανόνες Νόμος γάρ ἐστιν ἐξ ἀποστολικῶν κανόνων, ὁ ἐπιτρέπων τῆς τῶν πλειόνων μαρτυριῶν ἢ χρήσεων εἶναι τὴν ψῆφον ἐπὶ παντὶ ζητήματι καὶ δόγματι συντείνοντι εἰς Χριστόν, 240. 386.

Aquila, testimonia de Christo perversa interpretatione corrupit, 105. Ejus deuτέρωσις, 106. 179. Ubi Severum νέον Ἀκύλαν appellat.

Ἄραβας (Πρὸς) μέλλοντας διαλέγεσθαι, 41. Arabum, Judæorum et Ethnicorum doctoribus obsecutus Severus, 119, Infra, Sarraceni.

Aristoteles, 56. 107. 139. Οὐκ Ἀριστοτελικῶς, ἀλλὰ θεολογικῶς, 121. Οὐκ Ἀριστοτελικῶς καὶ Ἑλληνικῶς, 140. 148. Ταύταις ταῖς δυσσεβείαις περιπίπτουσιν οἱ αἱρετικοὶ ἐκ τοῦ Ἀριστοτελικῶς αὐτοὺς νοεῖν τὴν φύσιν καὶ τὴν ὑπόστασιν. Aristotelis Categoriæ, 107.

Arius, 43. 95. 98. 107. 111. 135-148. 266. 283, ubi ejus interpretatio primorum Evangelii Joannis: Ὅτι καλῶς εἶπεν ὁ Ἰωάννης, Ἐν ἀρχῇ ἦν ὁ Λόγος, τοῦτ' ἔστι τὸ ῥῆμα τοῦ Θεοῦ. Οὐ γὰρ εἶπεν, Ἐν ἀρχῇ ἦν ὁ Υἱός, ἀλλ' Ὁ Λόγος, ὁ προφορικὸς τοῦ Θεοῦ.

Ariani, 101-106. 115. 227. Ἀρειανικῶς, 292. Severus εἰς Ἀρειανὸν τῆς τριθείας βάραθρον præcipitatus 304. — Οὐδαμοῦ σήμερον Ἀρειανῶν, ἢ Μακεδονιανῶν ἢ Εὐνομιανῶν μνήμη ἐν τῷ κόσμῳ, 97.

Ἀρμασῖται, περὶ θεανδρικῆς ἐνεργείας, 224. Dicuntur ita ab *Harmasio* quodam, qui anathemati subjicitur in Additam. ad Sophronii Hierosol. Synodicam. *Vid.* Mich. Le Quien ad Joan. Damascen. tom. I, p. 528.

Artemon, 115. 280. Primus Christum in duos divisit, ducentis ante synodum Nicænam annis, 278. Ejus hæresis renovata a Paulo Samosateno. *Ibid.*

Athanasius, 94. 103. 106. 115. 147. 166. 194. 206. 210. 299, Ἀνὴρ ὑπερφυῶς τὰ θεῖα ἐμβατεύσας, 157. Υἱὸς εἰρήνης Θεοῦ, γράφων πρὸς τοὺς Ἀφρούς, 193. Ejus certamina, 114. Ἐν τοῖς κατὰ Ἀρειανῶν, 173. Ἐν τῷ περὶ ἐνανθρωπήσεως, 173. Πρὸς Ἰουβενιανὸν τὸν βασιλέα, 205.

Athanasius notarius, 106. Babylone rogatus a Cyrillo, 154. Ubi male interpres putat, Athanasium illum dici ἐν Βαβυλῶνι. Babylonium, quasi confusaneum, quod duas in Christo confudisset naturas.

Atticus, 174.

Augustalis quidam Severianus Alexandriæ post tempora Eulogii patriarchæ aluit XIV calligraphos, qui falsarent scripta Patrum dogmatica, præcipue Cyrilli Alex., 183. Διηγοῦντο ἡμῖν οἱ τῆς καθολικῆς Ἐκκλησίας ἐν Ἀλεξανδρείᾳ, ὅτι μετὰ τοὺς χρόνους τοῦ μακαρίου Εὐλογίου τοῦ πάπα γέγονέν τις Αὐγουστάλιος ἐνταῦθα Σευηριανὸς, καὶ ἐπὶ ἱκανοὺς χρόνους ἔσχε ιδ' καλλιγράφους σύμφρονας αὐτοῦ, κατ' ἐπιτροπὴν αὐτοῦ καθεζομένους καὶ φαλσεύοντας τὰς βίβλους τῶν δογμάτων τῶν Πατέρων καὶ μάλιστα τὰς τοῦ ἁγίου Κυρίλλου. Alterius Augustalis mentio, 186.

Augustinus martyr. Legendum Justinus, 114.

Barsanuphius, 107. 111.

Basilius, 63. 94. 106. 114. 175. Ὁ τῆς οὐρανίου βασιλείας καὶ συνώνυμος καὶ συμμέτοχος. 281. Ἐν τῷ λόγῳ τῆς Ἑξαημέρου, 289.— Ἐν τῷ περὶ νηστείας, 173. Ἐν τῇ πρὸς Ὀλύμπιον Σχολαστικὸν ἐπιστολῇ Ἀρειανὸν ὑπάρχοντα, 280. — Ad Amphilochium, 50, 146. Basilii πολιτεία ἣν κακοδαίμονες ἐφριξαν, 113.

Βατανιώτης (Ὁ) ὁ νεαμός, 253. Velut alter Porphyrius, ab Anastasio perstringitur Julianus Halicarnasseus.

Cæsarius Ἐν τῷ σημειογραφείῳ τοῦ Καισαρίου, in scrinio notarii, Cæsarii Alexandriæ, 188.

Caianitæ, Γαϊανῖται, 147. 150. 162. 186. 195. 223, 254. 291. 295. 298. 302.

Cajus, 191. 198. Caianus. 107. 111. 203. 230. A Severo, quod ille corpus Christi corruptibile ante resurrectionem fuisset confessus, secessionem fecit 295. Adde sq. ubi Caianitæ et catholici disceptatio Alexandriæ habita.

Cerinthus, 95.

Chalcedonensis synodus, 42. 91. 102. 107. 111. 127. 147. 162. 166. 170. 171. 175. 178. 179. 187. 275. 294. Οἱ Χαλκηδονῖται, 185. Ἡ εὐσέβεια Χαλκηδόνος, 193. Vid. Joannes Cæsareensis, et Timotheus.

De Christo jactata παιδικὰ θαύματα rejiciuntur, 230.

Clemens (Alex.), 94. Τὸ τοῦ Χριστοῦ κλῆμα, 113. Ὅροι ἐκκλησιαστικῶν δογμάτων, 52.

CPolitani cleri διαμαρτυρία, in synodo Ephesina proposita, qua probatur, eamdem Pauli Samosateni et Nestorii esse hæresin, 278. Incipit : Ὁρκίζω τὸν λαμβάνοντα.

CPolitana synodus œcumenica II, 91. 99. — Alia τοπικὴ contra Eutychen, 99. Alia contra Origenem, œcumenica V, 102.

Crucifixi imago, pag. 198. Aliam e ms. Anastasii codice dat Lambecius, III, pag. 164 [p. 405. et Lamb. p. 408, Kollar. p. 96] ubi quatuor clavis affixus Servator conspicitur, addita adjuratione : Ἐξορκίζομεν εἰς τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν μεταγράφοντα τὸ βιβλίον, ἵνα τὸν αὐτὸν τύπον ποιήσῃ τῆς σταυρώσεως.

Cynopolitanus episcopus, 186.

Cyrillus Hierosolym. 182.

Cyrillus Alex. 91. 94. 102. 103 106. 111. 114. 115. 119. 146. 158. 162 166. 167. 175. 178. 179. 190. 191. 194. 206. 217. 275. 278. 310. ὁ Θεορήτωρ, 177. Ὁ Θεόσοφος, 192. 221. 293. 304. Εὖ σοι γένοιτο, φωστὴρ καὶ πυρσὲ καὶ στύλε τῆς ἀληθείας Κύριλλε, 177. Σφραγὶς τῶν Πατέρων, 115. Ἡ τοῦ Θεολόγου Κυρίλλου γλῶσσα, 157. 168. Ὁ φωστὴρ καὶ τοῦ χοροῦ τῶν Πατέρων ὁ ἀοίδιμος, 156. 173. 293. Ἐν τῇ ἑρμηνείᾳ πρὸς Ἑβραίους, 176. ἐν ἕκτῳ τόμῳ τῆς αὐτῆς ἑρμηνείας, 176. Ἐν πρώτῳ λόγῳ τῷ εἰς τὴν ἁγίαν Τριάδα. 181.

Cyrilli dicta frequenter laudant et objectant Eutychianistæ, Theodosiani, Caianitæ. 291. Andreas Nestorianus ipsi objicit ἐκ Προοιμίων τὸ τέταρτον κεφάλαιον, 292. Ἐν τῷ τρίτῳ κεφαλαίῳ τῶν δώδεκα, 293. Ἐν τοῖς πρὸς Ἑρμείαν, 145. 293. Ἐν τοῖς ἐπιγεγραμμένοις σχολίοις, 293. Ibidem mentio apologiæ Cyrilli contra Theodoretum pro XII anathematismis. — Ἐν τῇ ἑρμηνείᾳ τοῦ συμβόλου, 117. Homilia Εὐφραινέσθωσαν οἱ οὐρανοί, 120. Ἐν τῷ θησαυρῷ, 124. Ἐκ τῶν σχολίων, 152. 168. — Ἀπολογούμενος ὑπὲρ τῶν Ἀνατολικῶν πρὸς Εὐλόγιον ἐν Κωνσταντινουπόλει ὄντα, 124. 145. 160. 173. Πρὸς Εὐλόγιον τὸν οἰκεῖον αὐτοῦ τοποτηρητήν, 209. Πρὸς τοὺς Ἀνατολικούς, 145. 152. Ὁ Θεόφρων Κύριλλος ἐν ταῖς ἀπολογίαις τῶν δώδεκα ἀναθεματισμῶν, 130. 164. Ἐκ τῆς πρὸς Σούκκενσον ἐπιστολῆς, 152. 168. 173. 175. 181. 183. 184. 189. Πρὸς βασιλίδας, 153. 177. Κατὰ Νεστορίου, 153. 197. Εἰς τὸ *Λύσατε τὸν ναόν*, 145. 176. Εἰς τὸ ὅτι *Παιδίον ἐγεννήθη ἡμῖν*, 160. Ἐν τῷ τετάρτῳ ἀναθεματισμῷ τῶν δώδεκα (ita legendum pro δέκα), 164.

Cyrilli scripta corrupta ab hæreticis, 150. Supra in Augustali. Ἡ χρῆσις διεστραμμένη ἐν πάσαις ταῖς βίβλοις Ἀλεξανδρείας, 152. Cyrillum semper in ore habent Severiani, 179.

Δεκακέρατον (τὸ) τοῦ Ἀντιχρίστου, 308. Sunt Eutyches, Dioscorus, Petrus Fullo, Timotheus Ælurus, Theodosius, Julianus Halicarnass., Gaianus, Barsanuphius, Jacobus et Severus. *Vide* infra, in Severo.

Didymus, 102.

Diodorus, 43. 115. 278. 279. Tarsensis, 98.

Dionysius Areopagita, ὁ θεῖος Διονύσιος, 62. 75. 219. Παύλου γινόμενος μαθητής, 216. Ὁ ἅγιος Διονύσιος, 261. Ὁ Ἀποστολικός, 113. 289. Διονύσιος ὁ Παύλου φοιτητὴς ἐν τῇ πρὸς Γαΐανὸν ἐπιστολῇ, 172. Πρὸς Γάϊον ἐπιστέλλων, 213. Ὁ ἀποστολικὸς Πατὴρ Διονύσιος ὁ Ἀρεοπαγίτης, 213. Ἐν θεολογικαῖς αὐτοῦ στοιχειώσεσι ὡς ἐξ Ἱεροθέου τοῦ ἁγιωτάτου, 213. Ἐν κεφαλαίῳ ἐπιγεγραμμένῳ, Περὶ μεγάλου καὶ σμικροῦ, 289. Locus ab hæretico Manichæo interpolatus, 290. Ἐκ τοῦ κεφαλαίου τοῦ περὶ ἡνωμένης καὶ διακεκριμένης θεολογίας, 305-310.

Dionysius Alexandrinus (19), scholiis ad Dionysium Areopag. Ὁ μέγας Διονύσιος ὁ Ἀλεξανδρείας ἐπίσκοπος ὁ ἀπὸ ῥητόρων, ἐν τοῖς σχολίοις, οἷς πεποίηκεν εἰς τὸν μακάριον συνώνυμον αὐτοῦ Διονύσιον, 289.

